# Πατρολογικά κείμενα

-0-

| Πληκτρολόγηση κειμένου για Εύρεση |
| --- |
| |

=-=

## Άγιος Γρηγόριος ο Παλαμάς

**Τόμος 1ος**

Code : 354

**ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΠΑΛΑΜΑ ΛΟΓΟΙ ΑΠΟΔΕΙΚΤΙΚΟΙ ΔΥΟ ΠΕΡΙ ΕΚΠΟΡΕΥΣΕΩΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ**

***ΛΟΓΟΣ ΠΡΩΤΟΣ. (σελ. 68)***

Προλ. Πάλιν ὁ δεινός καί ἀρχέκακος ὄφις, τήν ἑαυτοῦ κεφαλήν καθ᾽ ἡμῶν διαιρών, ὑποψιθυρίζει τά τῆς ἀληθείας ἀντίθετα. Μᾶλλον δέ τήν μέν κεφαλήν τῷ τοῦ Χριστοῦ σταυρῷ συντριβείς, τῶν δέ κατά γενεάς πειθομένων ταῖς ἀπολουμέναις ὑποθήκαις αὐτοῦ κεφαλήν ἑαυτοῦ ποιούμενος ἕκαστον καί οὕτω πολλάς ἀντί μιᾶς κατά τήν ὕδραν ἀναδούς κεφαλάς, δι᾽ αὐτῶν ἀδικίαν εἰς τό ὕψος λαλῶν οὐκ ἀνίησιν. Οὕτως Ἀρείους, οὕτως Ἀπολιναρίους, οὕτως Εὐνομίους καί Μακεδονίους, οὕτω πλείστους ἑτέρους προσαρμοσάμενος τῷ αὐτοῦ προσφύντας ὁλκῷ, διά τῆς ἐκείνων γλώττης τόν οἰκεῖον κατά τῆς ἱερᾶς Ἐκκλησίας ἐπαφῆκεν ἰόν, ἀντ᾽ ὀδόντων ἰδίων τοῖς ἐκείνων λόγοις χρησάμενος καί περιπείρας τούτους τῇ τῆς εὐσεβείας ἀρχῇ, οἷόν τινι ῥίζῃ νεαρῶς καλόν τεθηλότος φυτοῦ καί καρποῖς ὡραιοτάτοις βρίθοντος, οὐ μήν τούτῳ καί λυμήνασθαι ἴσχυσε˙ καί γάρ ὑπ᾽ αὐτῶν τῶν δηχθέντων αὖθις συνετρίβη τάς μύλας, ὑπό τῶν ὡς ἀληθῶς κεφαλήν ἑαυτῶν ποιησαμένων Χριστόν.

Οὗτος τοίνυν ὁ νοητός καί διά τοῦτο μᾶλλον ἐπάρατος ὄφις, τό πρῶτον καί μέσον καί τελευταῖον κακόν, ὁ πονηρός καί τήν χαμερπῆ καί γηΐνην πονηρίαν ἀεί σιτούμενος, ὁ τῆς πτέρνης, δηλαδή τῆς ἀπάτης, ἐπιτηρητής ἀκάματος, ὁ πρός πᾶσαν θεοστυγῆ δόξαν ποριμώτατος σοφιστής καί ἀμηχάνως εὐμήχανος, μηδαμῶς ἐπιλελησμένος τῆς οἰκίας κακοτεχνίας, διά τῶν αὐτῷ πειθηνίων Λατίνων περί Θεοῦ καινάς εἰσφέρει φωνάς, (σελ. 70) μικράν μέν δοκούσας ἔχειν ὑπαλλαγήν, μεγάλων δέ κακῶν ἀφορμάς καί πολλά καί δεινά φερούσας, τῆς εὐσεβείάς ἔκφυλά τε καί ἄτοπα, καί τοῖς πᾶσι φανερῶς δεικνύσας, ὡς οὐ μικρόν ἐν τοῖς περί Θεοῦ τό παραμικρόν. Εἰ γάρ ἐφ᾽ ἑκάστου τῶν καθ᾽ ἡμᾶς ὄντων ἑνός ἀτόπου τήν ἀρχήν δοθέντος πολλά τά ἄτοπα γίνεται, πῶς οὐ μᾶλλον ἐπί τῆς κοινῆς ἁπάντων ἀρχῆς καί τῶν κατ᾽ αὐτήν οἷον ἀναποδείκτων ἀρχῶν ἑνός ἀήθους δοθέντος οὐκ εὐσεβῶς πολλά γενήσεται παρά τοῦτο τά ἀτοπήματα;

Πρός ἅ καί φανερῶς τό Λατίνων γένος ἐκπεπτώκασιν ἄν, εἰ μή παρ᾽ ἡμῶν ἀντιλεγόντων τῇ καινοφωνίᾳ τοῦ δόγματος τῆς κακοδοξίας τό πλεῖστον περιῃρεῖτο. Καί γάρ ἐπί τοσοῦτον ἔστιν ὅτε συστέλλονται ὡς καί διανοίας ἡμῖν εἶναι τῆς αὐτῆς λέγειν, διαφωνοῦντας τοῖς ρήμασι, σφῶν αὐτῶν ὑπ᾽ ἀπορίας καταψευδόμενοι. Ἡμῶν γάρ οὐχί καί ἐκ τῆς ὑποστάσεως τοῦ Υἱοῦ λεγόντων εἶναι τήν τοῦ ἁγίου Πνεύματος ὕπαρξιν, ἐκείνων δέ καί ἐκ τῆς τοῦ Υἱοῦ, τῶν ἀδυνάτων εἰς μίαν ἀμφοτέρους συνάγεσθαι ἔννοιαν˙ εἷς γάρ ὁ μονογενής καί μία ἡ τοῦ Πνεύματος ὕπαρξίς ἐστιν. Ἡ γοῦν ἀπόφασις τῇ καταφάσει ἀεί ἀντίκειται καί ἀεί ψευδής ἡ ἑτέρα, εἰ ἀληθής ἡ ἑτέρα˙ καί τό αὐτό περί τοῦ αὐτοῦ καταφῆσαι καί ἀποφῆσαι σύν ἀληθείᾳ οὐκ ἔνι.

Ἀλλ᾽ ὡς μέν ἡμῖν οὐ λέγουσι μόνο ἀλλά καί φρονοῦσι τά ἐναντία, οὐδείς οἶμαι τῶν εὖ φρονούντων καί μή ὁμοφρονούντων ἐκείνοις ἀντερεῖ. Ὡς δέ οὐχ ἡμῖν μόνον, ἀλλά καί αὐτῷ τῷ τῆς ἀληθείας ἀντιδογματίζουσι λόγῳ, ὅς παρ᾽ ἡμῖν ἀμείωτος καί ἀναυξής καί τό πᾶν ἀμεταποίητος διαπεφύλακται, πάντες μέν ὑμεῖς καί χωρίς ἀποδείξεως ἀκριβῶς ἴστε, τό τῶν εὐσεβούντων λέγω πλήρωμα. Δειχθήσεται δέ ὅμως, (σελ.72) Θεοῦ διδόντος, καί διά τοῦδε τοῦ λόγου, ὡς ἄν καί «πᾶν στόμα» τό ἀντιλέγον «φραγῇ», καί πρός μίαν ὁμολογίαν στηριχθῇ τό ἀμφίρροπον.

Ἀλλ᾽ ὦ Θεέ τοῦ παντός, ὁ μόνος δοτήρ καί φύλαξ τῆς ἀληθινῆς θεολογίας καί τῶν κατ᾽ αὐτήν δογμάτων καί ρημάτων, ἡ μόνη μοναρχικωτάτη τριάς, οὐ μόνον ὅτι μόνη τοῦ παντός ἄρχεις, ἀλλ᾽ ὅτι καί μίαν ἐν σεαυτῇ μόνην ἔχεις ὑπεράρχιον ἀρχήν, τήν μόνην ἀναίτιον μονάδα, ἐξ ἧς προάγεσθον καί εἰς ἥν ἀνάγεσθον ἀχρόνως καί ἀναιτίως ὁ Υἱός τε καί τό Πνεῦμα, Πνεῦμα τό ἅγιον, τό κύριον, τό ἐκ Θεοῦ Πατρός ἐκπορευτῶς τήν ὕπαρξιν ἔχον, καί δι᾽ Υἱοῦ τοῖς ὀρθῶς πιστεύουσιν εἰς σέ καί διδόμενον καί πεμπόμενον καί φαινόμενον˙ Υἱέ μονογενές, ἐκ Θεοῦ Πατρός γεννητῶς τήν ὕπαρξιν ἔχων καί διά τοῦ ἁγίου Πνεύματος ταῖς καρδίαις τῶν εἰς σέ πιστευόντων ἐμμορφούμενος καί ἐνοικῶν καί ἀοράτως ὁρώμενος˙ Πάτερ ἀγέννητε μόνε καί ἀνεκπόρευτε, καί, τό σύμπαν εἰπεῖν, ἀναίτιε, ὁ μόνος πατήρ τῶν ἀνεκφοιτήτων καί ὁμοτίμων σοι φώτων, ἕν κράτος, μία δύναμις, ἡ δημιουργός τῶν ποιητῶν καί ὑπό χεῖρά σοι φώτων, ἡ πάσης γνώσεως δότειρα, ἡ πολυειδεῖς ἰδέας παραγαγοῦσα γνωστικῶν τε καί γνωστῶν καί καταλλήλως τοῖς γινώσκουσι καί φυσικῶς ἐνθεῖσα τάς γνώσεις, τοῖς μέν νοεροῖς ἁπλᾶς καί ἀπαθεῖς νοήσεις, τοῖς δέ αἰσθητικοῖς πολυμερεῖς καί παθητάς αἰσθήσεις, τοῖς δέ μικτοῖς ἡμῖν ἀμφότερα˙ ἡ καί τήν περί σοῦ κατά τό ἐγχωροῦν γνῶσιν μόνοις τοῖς λογικοῖς σου κτίσμασιν ἀφάτῳ χρηστότητι χαριζομένη, δός καί ἡμῖν ἀρτίως εὐαρέστως σοι θεολογῆσαι καί τοῖς ἀπ᾽ αἰῶνος ἔργῳ σοι καί λόγῳ εὐαρεστήσασι συμφώνως˙ ὡς ἄν καί τούς μή θεαρέστως σε θεολογοῦντας ἀπελέγξωμεν, καί τούς ἐν ἀληθείᾳ σε ζητοῦντας πρός τήν ἀλήθειαν στηρίξωμεν, ἵνα σε γινώσκωμεν πάντες μίαν μόνην πηγαίαν θεότητα, τόν μόνον Πατέρα τε καί προβολέα, (σελ. 74) καί σοῦ Υἱόν ἕνα καί Υἱόν μόνον, ἀλλ᾽ οὐχί καί προβολέα, καί σόν ἕν Πνεῦμα ἅγιον, καί πρόβλημα μόνον, ἀλλ᾽ οὐχί καί ποίημα˙ καί δοξάζοιμεν ἕνα Θεόν, ἐν μιᾷ μέν καί ἁπλῇ, πλουσίᾳ δ᾽ , ἵν᾽ οὕτως εἴπω, καί ἀστενοχωρήτω θεότητι, καί ἀντιδοξαζοίμεθα παρά σοῦ ἐν πλουσίᾳ θεώσει καί τρισσοφαεῖ φωτοχυσίᾳ, νῦν καί εἰς τούς ἀκαταλήπτους αἰῶνας. Ἀμήν.

Κοινή μέν ἥδε ἡ εὐχή πᾶσι τοῖς μίαν σέβουσιν ἀρχήν. Ὑμεῖς δέ τί φατε οἱ τάς δύο λέγοντες ἐπί τῆς θεότητος ἀρχάς; Τί γάρ, εἰ μή φανερῶς τοῦτο λέγετε, ἀλλ᾽ ἐξ ὧν λέγετε τοῦτο συνάγεται; Τοιαῦτα τά βαθέα τοῦ Σατανᾶ, τά τοῦ πονηροῦ μυστήρια, ἅ τοῖς ὑπέχουσιν αὐτῷ τά ὦτα ψιθυρίζει οὐ χαλῶν καί ὑπεκκλύων τόν τόνον τῆς φωνῆς,

ἀλλά τό βλαβερόν ὑποκρύπτων τοῦ νοήματος. Οὕτως καί τῇ Εὔᾳ, ὡς ἐγᾦμαι, ἐψιθύρισεν.

Ἀλλ᾽ ἐμεῖς διδαχθέντες ὑπό τῆς θεοσοφίας τῶν Πατέρων αὐτοῦ τά νοήματα μή ἀγνοεῖν, ἀφανῆ τήν ἀρχήν ὡς ἐπίπαν τοῖς πολλοῖς τυγχάνοντα, οὐδέποτ᾽ ἄν ὑμᾶς κοινωνούς δεξαίμεθα μέχρις ἄν καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα λέγητε.

Ἆρα γάρ οὕτω λέγοντες οὐ φανερῶς διατελεῖτε προστιθέντες πρῶτον μέν τῇ περί τοῦ ἁγίου καί προσκυνητοῦ Πνεύματος ἐκφαντορικῇ θεολογίᾳ τῆς αὐτοαληθείας Χριστοῦ, ὅς Θεός ὤν προαιώνιος δι᾽ ἡμᾶς καί θεολόγος ἐγεγόνει, ὅς αὐτόχρημα ὤν ἀλήθεια διά φιλανθρωπίαν κῆρυξ ἡμῖν ἀναπέφηνε τῆς ἀληθείας, ὅς διά τοῦτο εἰς τόν κόσμον ἦλθεν, ἵνα μαρτυρήσῃ τῇ ἀληθείᾳ, οὗ καί πᾶς ὁ ὤν ἐκ τῆς ἀληθείας καί ταύτην ἐν ἀληθείᾳ ζητῶν, ἐπαΐει τῆς ἀληθινῆς φωνῆς;

Ἆρ᾽ οὖν οὐ πρώτῳ μέν τούτῳ ἀντιπίπτετε τῷ καί πρώτῳ πάντων οὕτω θεολογήσαντι («τό Πνεῦμα γάρ, φησί, τῆς ἀληθείας, ὅ παρά τοῦ Πατρός ἐκπορεύεται»), ἔπειτα τοῖς αὐτόπταις (σελ.76) καί αὐτηκόοις γεγενημένοις μαθηταῖς καί ἀποστόλοις αὐτοῦ, μᾶλλον δέ πρό τούτων καί αὐτῷ τῷ ἁγίῳ Πνεύματι, ὅ καί ἦλθε κατά τήν δεδομένην ὑπό τοῦ Σωτῆρος αὐτοῖς ἐπαγγελίαν, ὅ καί ἐδίδαξεν αὐτούς τά πάντα, ὅ τοῦτο οὐκ ἐδίδαξεν ὡς οὐκ ἐκ μόνου τοῦ Πατρός ἐκπορεύεται τῶν φώτων, ἀλλά καί ἐκ τοῦ Υἱοῦ; Εἰ γάρ οὕτω τούτους ἐδίδαξε, καί ἡμᾶς ἄν οὗτοι ὁμοίως ἐδίδαξαν.

Ἐπεί καί διά τοῦτο διδαχθέντες τε καί φωτισθέντες ἀπεστάλησαν, ἵνα διδάξωσιν ὡς ἐδιδάχθησαν, ἵνα φωτίσωσιν ὡς ἐφωτίσθησαν, ἵνα κηρύξωσιν ἐν παρρησίᾳ, ὅ εἰς τό οὖς ἀκούσειαν, τουτέστιν οὐκ ἐν ἐπηκόῳ πάντων, ἵν᾽ εἴπωσιν ἐν τῷ φωτί, δηλονότι φανερῶς τοῖς πᾶσιν, ἅ τούτοις εἴρηται ἐν τῇ σκοτίᾳ, ὡς ἔγωγ᾽ ἄν φαίην, δι᾽ ἀποκαλύψεως ἐν ὑπερφώτῳ γνόφῳ, ἔστω δέ καί παραβολικῶς, καί οἷος ὁ παρά τῷ Σολομῶντι σκοτεινός λόγος ὁ τῷ μετειληχότι τῆς σοφίας τρανούμενος. Εἰ δέ βούλει, τό κατά μόνας ἡ σκοτία δηλούτω καί ἀποκρύφως καί μήπω τοῖς πολλοῖς ἐγνωσμένως.

Ἀλλά πρός ὅ νῦν ἡμῖν ὁ λόγος, ὅ μή τούτοις εἴρηται τοῖς παρρησιασαμένοις τήν ἀλήθειαν, ὅ μή ἀνήγγειλε τό Πνεῦμα τό πᾶσαν ἀπαγγεῖλαν τήν ἀλήθειαν, ὅ μή ἐμαρτύρησεν ἤ ἐγνώρισεν ὁ πάντα ὅσα ἤκουσε παρά τοῦ Πατρός τοῖς ἀγαπητοῖς γνωρίσας, καί διά τοῦτο ἐλθών, ἵνα μαρτυρήσῃ τῇ ἀληθείᾳ, πῶς ὑμεῖς τοῦτο τολμᾶτε

λέγειν οὕτως ἔκφυλον εἰσάγοντες προσθήκην ἐν τῷ τῆς πίστεως ὅρῳ, ὅν οἱ πρόκριτοι πατέρες κοινῇ συνειλεγμένοι πνευματοκινήτως, σύμβολον ἀψευδοῦς δόξης τῆς εἰς Πατέρα καί Υἱόν καί ἅγιον Πνεῦμα καί βάσανον εἰλικρινοῦς θεογνωσίας καί ὁμολογίαν ἀσφαλῆ πᾶσι τοῖς ὀρθοτομεῖν προῃρημένοις τόν λόγον τῆς ἀληθείας συνεγράψαντό τε καί παραδεδώκασιν;

Ἥν γάρ ὑπολογίζεσθε πρόφασιν, ὡς ἔστιν ὧν λεγόντων οὐκ ἴσον εἶναι τῷ Πατρί τόν Υἱόν, ὅτι μή καί αὐτός (σελ.78) ἔχει τό ἐκπορεύειν, ὑμεῖς ἴσον δεικνύναι σπεύδοντες τήν προσθήκην εἰσηνέγκατε ταύτην, οὐδαμόθεν ἔχει τό εὔλογον. Εἰ γάρ τινες φαῖεν χρῆν εἶναι καί τό γεννᾶν ἔχειν τοῦτον, ὡς μή τούτου προσόντος τό ἴσον ἀφαιρουμένου, ἀνάγκη προστιθέναι καί τοῦτο πειθομένους τοῖς ἀσυνέτοις˙ καί ἁπλῶς μή μείζω λέγειν τῷ αἰτίῳ τοῦ Υἱοῦ τόν Πατέρα, ἵνα μή τό πρός αὐτόν ἴσον τοῦ Υἱοῦ ἀθετήσωμεν.

Ὅπερ ἄρα δοκεῖτε καί ὑποβάλλειν δολίως πρός ἀντίθεσιν τῶν εὐαγγελικῶν δογμάτων καί διδαγμάτων˙ ὁ γάρ καί τόν Υἱόν αἴτιον θεότητος λέγων αὐτόν ἀθετεῖ τόν Υἱόν ἐν τῷ εὐαγγελίῳ σαφῶς εἰπόντα «ὁ πατήρ μου μείζων μού ἐστιν», οὐχ ὡς ἀνθρώπου μόνον, ἀλλά καί ὡς Θεοῦ, τῷ τῆς θεότητος αἰτίῳ. Διό καί οὐχ ὁ Θεός εἶπεν, ἀλλ᾽ ὁ Πατήρ˙ οὐ γάρ ὡς Θεός μείζων τοῦ Υἱοῦ, ἄπαγε τῆς ἀσεβείας, ἀλλ᾽ ὡς αἴτος θεότητος, καθάπερ καί οἱ θεοφόροι πατέρες ἡμῖν ἡρμήνευσαν. Τούτοις οὖν ὡς ἔοικε τοῖς θεοφόροις καί Χριστῷ τῷ Θεῷ τῶν θεοφόρων ἀντιλέγετε, τῷ Πατρί τόν Υἱόν οὐκ ἴσον κατά τό αἴτιον λέγουσιν.

Ἀλλ᾽ ἡμεῖς καί τό ἴσον ἴσμεν τοῦ Υἱοῦ πρός τόν Πατέρα κατά τήν φύσιν καί τό μεῖζον τοῦ Πατρός ὁμολογοῦμεν κατά τό αἴτιον, ὅπερ ἄμφω, τό τε γεννᾶν καί ἐκπορεύειν, συμπεριβάλλει. Καί αὐτοῖς δέ τοῖς συγγραψαμένοις τήν ἀρχήν ὑπέρ τῆς πρός τόν Πατέρα τοῦ Υἱοῦ συμφυΐας, ταὐτό δ᾽ εἰπεῖν ὁμοτιμίας, οὔσης τῆς ἀγωνίας, χωρίς τῆς παρ᾽ ὑμῶν προσθήκης ἀποχρῶν ἐνομίσθη τό τῆς πίστεως σύμβολον.

Οὐκοῦν εὐλόγως οὐδέ εὐσεβῶς ταύτην εἰσάγειν τήν προσθήκην ἐν τῷ τῆς πίστεως ὅρῳ, ὅν οἱ πρόκριτοι πατέρες κοινῇ συνειλεγμένοι, πνευματικινήτως συνεγράψαντό τε καί παραδεδώκασιν. Ὧ καί προσθῆναι ἤ ἀφελεῖν ὅλως οὐκ ἐφεῖται (σελ. 80) μετά τήν τῷ χρόνῳ δευτερεύουσαν ἐκείνης τῶν ἁγίων σύνοδον, δι᾽ ἧς καί ὁ τοῦτο τολμήσων ἀραῖς ὑποβάλλεται καί τῆς ἐκκλησίας ἐκβάλλεται, καί ταῦτα προσθήκην οὐκ εἰρημένην ὡς εἴρηται τῷ λόγῳ, οὐκ

ἀποκεκαλυμμένην τῷ Πνεύματι, οὐχ εὑρημένην ἐν τοῖς τῶν ἁγίων ἀποστόλων ἀναγράπτοις λογίοις.

Οἷς συμφώνως καί οἱ ἐκθέμενοι τόν τῆς πίστεως τοῦτον θεῖον ὅρον ἐξέθεντο καί οἱ μετ᾽ αὐτούς γεγονότες συνέθεντο, εἰ καί μή συνεξέθεντο. Οὐ γάρ ἔχετε λέγειν, ὡς οὐχί οὕτως οἱ μέν ἐξέθεντο, οἱ δέ τοῖς τήν ἀρχήν ἐκθεμένοις συνέθεντο, ὑπό τε τῶν ἀναγραψάντων τά καθέκαστα τῶν ἁγίων ἁπασῶν συνόδων ἐξελεγχόμενοι, καί αὐτῆς τῆς ἐξ ἐκείνων μέχρι καί νῦν, μᾶλλον δέ καί ἐσαεί συμφωνίας τῶν τεσσάρων πατριαρχικῶν θρόνων, καί αὐτῶν τῶν πολλῶν καί διαφόρων καί γενῶν καί γλωσσῶν ἀδίαφορον φερουσῶν τήν ἐξ ἀρχῆς ἔκθεσιν καί ἀμεταποίητον.

Καί τοίνυν αἱ μέν ἐκφαντορικαί κοιναί φωναί τῶν θεοφόρων θεολόγων, εὐαγγελιστῶν, ἀποστόλων, καί τῶν πρό αὐτῶν ἐξ αἰῶνος προφητῶν οὕτως ὁμολογουμένως ἔχουσι περί τοῦ Πνεύματος καί οὕτως ὁμολόγως τῷ Θεανθρώπῳ λόγῳ˙ πρός δέ καί αἱ κατά διαφόρους αἰτίας καί καιρούς ὑπέρ εὐσεβείας συγκροτηθεῖσαι πᾶσαι σύνοδοι, ταὐτό δέ σχεδόν εἰπεῖν πᾶσα γλῶσσα θεοφόρος˙ ἐν οὐδεμιᾷ γάρ τῶν συνόδων τούτων καί ἐκ τοῦ Υἱοῦ τεθεολόγηται τό Πνεῦμα τό ἅγιον. Ἔδειξα δ᾽ ἄν ἀρτίως τοῦτ᾽ αὐτό καί τούς θεηγόρους πάντας αὖθις ἕκαστον ἐν μέρει στέργοντας ἀπαραλλάκτως διά τῶν ἰδίως ἑκάστῳ τούτων ἐξενηνεγμένων λόγων ἐφεξῆς.

Ἀλλ᾽ οὐκ ἐπί τοσοῦτον ἀνέξεται τό φίλερι τοῦ λατίνου μακρούς ἡμῶν ἀποτεινόντων λόγους, ἀλλ᾽ ἀπαντήσει λέγον˙ πῶς οὖν καί ὑμεῖς καί πόθεν εὑρόντες τήν προσθήκην ταύτην, παρά μόνου τοῦ Πατρός ἐννοεῖτε τό Πνεῦμα τό ἅγιον ἐκπορεύεσθαι, (σελ. 82) διό καί ἡμᾶς ἑτεροδόξους οἴεσθε, τοῦ Χριστοῦ τοῦτο μή εἰπόντος, ἀλλ᾽ οὐδέ τῶν ἐκείνου μαθητῶν τινος;

Πρός ὅ νῦν ἡμεῖς εὐθύς ἀναντήσομεν, οὕτω λέγοντες. Τό τῶν εὐσεβούντων πλήρωμα χεῖλος γεγονότες ἕν ἐπ᾽ ἀγαθῷ, πύργον εὐσεβείας ᾠκοδόμησαν, δυσσεβείας νοητοῦ κατακλυσμοῦ παντάπασιν ἀνώτερον. Ἐπεδήμησε γάρ καί αὐτοῖς οἰκοδομεῖν ἐπιχειροῦσιν ἡ τελεσιουργός τῶν ἀγαθῶν τριάς οὐ συγχέουσα, ἀλλά συνδέουσα καί τάς δόξας καί τάς γλώσσας εἰς εὐσεβεστάτην καί ὀρθόδοξον ὁμοφροσύνην. Αὐτοῦ τοίνυν ἡμεῖς ἐπ᾽ ἀσφαλοῦς ὀχυρώματος ἱστάμενοι τούς ἀπεναντίας τῶν ὀρθῶν δογμάτων φερομένους πρῶτον μέν ἐντεῦθεν εὐστοχώτατα καί γενναιότατα βαλοῦμεν, ἅμα δέ καί λυσιτελῶς αὐτοῖς, εἰ βούλοιντο. Μετά τοῦτο δέ

τάς πολλαχόθεν, μᾶλλον δέ τῶν πανταχόθεν ἀναφαινομένων ἀποδείξεων τῆς ἀληθείας, ἔστιν ἅς προκομίσομεν αὐτοῖς πρός πόθον ταύτης καί αὐτούς ἐπαίροντες, ἵν᾽ εἴπω κατά τό γεγραμμένον˙ «εἰ ἄραγε ψηλαφήσειαν αὐτήν καί εὕροιεν, καί γε οὐ μακράν ὑπάρχουσαν αὐτῶν». Νῦν δέ μᾶλλον τούτους οὐχ ἡμεῖς, ἀλλ᾽ αὐτό τό οἷον λογικόν τῆς εὐσεβείας περιτείχισμα καί βαλεῖ καί πατάξει καί τροπώσεται, εἰ δέ βούλει, καί ἰάσεται.

Τοιοῦτος γάρ ὁ τῶν θείων θεῖος ὅρος οὗτος˙ οὐ περιβάλλει μόνον τούς ἐμμένοντας καί καθίστησιν ἐν ἀσφαλείᾳ, ἀλλά καί προπολεμεῖ καί ἀνυποστάτως ἀντιτάττεται τοῖς ἐπανισταμένοις˙ τό δ᾽ ὅπως, ἄκουε.

«Πιστεύω εἰς ἕνα Θεόν, πατέρα, παντοκράτορα», «καί εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τόν Υἱόν τοῦ Θεοῦ, τόν μονογενῆ, τόν ἐκ τοῦ Πατρός γεννηθέντα πρό πάντων τῶν αἰώνων». Ἆρ᾽ οὖν οὐ συννοεῖται οὐδέ συνυπακούεται τό μόνου, οὐδ᾽ ἐκ μόνου τοῦ Πατρός γεγέννηται, εἰ καί μή προστέθειται τό μόνου; Καί πάνυ μέν οὖν συνυπακούεται, καί οὐχ ἧττον προσκείμενον, (σελ. 84) εἰ ὅλως εὐσεβεῖν ἐθέλεις, εἴποις ἄν. Ἐντεῦθεν τοίνυν καί περί τοῦ Πνεύματος διδάσκου. Καί ἡνίκ᾽ ἄν ἀκούοις ἐπί τοῦ αὐτοῦ συμβόλου, «τό Πνεῦμα τό ἅγιον τό ἐκ τοῦ Πατρός ἐκπορευόμενον», εὐθύς ἐξ ἀνάγκης συνυπακουόμενον νόμιζε τό «μόνου» καί μή προσθήκην ἄλλως νόμιζε ἡμῶν, ὑπέρ ἀληθείας διά τήν σήν ἀθέτησιν ἐν ταῖς πρός ὑμᾶς διαλέξεσι προστιθέντων ἀκροώμενος. Εἰ δέ μή, οὐδ᾽ ἐπί τῆς ἐκ τοῦ Πατρός τοῦ Υἱοῦ γεννήσεως ἐάσεις συνυπακούεσθαι τό «μόνου»˙ καί οὕτω σου πολυπλασιάσεις τό δυσσέβημα.

Καί τοῦτο δέ μοι λάβε κατά νοῦν, ὡς ἐπί τοῦ τῆς πίστεως συμβόλου τόν Υἱόν ἐκ τοῦ Πατρός ἀκούοντες γεννηθέντα πρό πάντων τῶν αἰώνων καί τῷ ἐκ τοῦ Πατρός συννοούμενόν τε καί συνυπακουόμενον ἔχοντες τό «μόνου», καθάπερ ἄν καί αὐτός ἡμῖν συμφήσαις, ὅμως οὐδείς οὐδέποτε τό «μόνου» προσέθηκεν ἐκεῖ, ὥστε καί τήν σήν δόξαν ὅτι καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα ἐκπορεύεται, εἰ καί ἀνωμολογημένον ἦν, καί ἡμῖν καί ἁπλῶς πάσῃ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ συνδοκοῦν, οὐδ᾽ οὕτως ἐχρῆν ἐν τῷ τῆς πίστεως συμβόλῳ προστεθῆναι παρ᾽ ὑμῶν.

Ἦν οὖν ἄρα τῶν δικαιοτάτων μηδέ λόγου ἀξιοῦν ὑμᾶς, εἰ μή τοῦ προστιθέναι τῷ ἱερῷ συμβόλῳ παύσησθε˙ τῆς δέ παρ᾽ ἡμῶν προσθήκης παρ᾽ ὑμῶν ἐκβεβλημένης πρότερον, ἔπειτα ζητεῖν, εἰ καί

ἐκ τοῦ Υἱοῦ ἤ οὐχί καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα τό ἅγιον, καί τό ἀναφανέν τοῖς θεοφόροις συνδοκοῦν κυροῦν· ἀλλ᾽ οὐδ᾽ οὕτω προστιθέναι τῷ συμβόλῳ τῆς πίστεως, καθάπερ ἐπί τῶν δύο τοῦ ἑνός Χριστοῦ φύσεων καί θελημάτων καί ἐνεργειῶν, τῆς τε καθ᾽ ὑπόστασιν ἑνώσεως καί τοῦ ἐπωνύμου τῆς παρθενομήτορος, οἱ πρό ἡμῶν πεπράχασι καλῶς τε καί φιλευσεβῶς, ὡς μετά τῆς εὐσεβείας καί τῆς κοινῆς εἰρήνης ἀντιποιούμενοι, καίτοι πολλάκις ἔπειτα κοινῇ συνειλεγμένοι, (σελ.86) συνεκκλησιαζόντων ἤ συνευδοκούντων καί τῶν κατά καιρούς τῆς παλαιᾶς Ρώμης ἀρχιερατικῶς προϊσταμένων. Οὔκουν ἔχει τις ὑπολογίζεσθαι τήν τοῦ περιόντος πάπα περιωπήν· οὐ γάρ διά τοῦτον ἤ τούτους τούς μετ᾽ ἐκείνους ἀποστερκτέον τούς τοσούτους καί τηλικούτους καί μακαρίῳ τέλει τήν ἡγιασμένην καί πολυειδῶς παρά Θεοῦ μεμαρτυρημένην κατακλείσαντας ζωήν.

Ἀλλά γάρ οὐ μόνον τό τῆς ὀρθοδόξου πίστεως σύμβολον, - δεῖ γάρ τῶν εὐγνωμόνως ἀκουσομένων ἕνεκα λέγειν·- μή μόνον οὖν τό τῆς πίστεως σύμβολον, ἀλλά καί πᾶσα σχεδόν γλῶσσα θεολόγος ἐκ Πατρός γεννηθέντα τόν Υἱόν κηρύττουσα καί παρά τοῦ αὐτοῦ Πατρός τό Πνεῦμα τό ἅγιον ἐκπορευόμενον, οὐ προστίθησι τό «μόνου»· ὡς κἄν μή προσκέηται, ἐξ ἀνάγκης συνυπακουόμενον, καί τοῦτ᾽ εἴσῃ ἀνελίττων καί διεξιών αὐτάς τάς θεολόγους βίβλους. Σήν δ᾽ ὅμως χάριν, καί ἡμεῖς ὀλίγ᾽ ἄττα προενέγκωμεν καί διά βραχέων γεγραμμένα. Ὁ γοῦν μέγας Ἀθανάσιος, «τί ἐστι», φησί, «Θεός; Ἡ πάντων ἀρχή κατά τόν Ἀπόστολον, λέγοντα, “εἷς Θεός ὁ Πατήρ, ἐξ οὗ τά πάντα”, καί γάρ ὁ λόγος ἐξ αὐτοῦ γεννητῶς καί τό Πνεῦμα ἐξ αὐτοῦ ἐκπορευτῶς». Ὁρᾷς ὁμοίως ἐπ᾽ ἀμφοῖν τό ἐξ αὐτοῦ καί οὐδαμοῦ ρήματι προσκείμενον τό «μόνου»; Καί σύ τοίνυν ὁμοίως ἐπ᾽ ἀμφοῖν ἤ τήν σήν προσθήκην λήψῃ ἤ τό μόνου ἐξ ἀνάγκης συνυπακουόμενον νοήσεις.

Τί δέ ὁ μετ᾽ αὐτόν εὐθύς τῷ χρόνῳ καί οὐ μετ᾽ αὐτόν τῇ μεγαλειότητι παρά Θεῷ, τό φερωνύμως βασίλειον ἱεράτευμα, ἆρ᾽ οὐ συμφωνήσει τε καί συμφρονήσει; Ἀλλ᾽ ἄκουε καί μάνθανε· «κυρίως ὁ Υἱός ἐκ τοῦ Θεοῦ, ἐπειδή ὁ Υἱός ἐκ τοῦ Πατρός ἐξῆλθε καί τό Πνεῦμα ἐκ τοῦ Πατρός ἐκπορεύεται· ἀλλ᾽ ὁ μέν ἐκ τοῦ Πατρός γεννητῶς, τό δέ ἀρρήτως ἐκ τοῦ Θεοῦ». Ἰδού πολυπλασίως ὁμοίως ἐπ᾽ ἀμφοῖν τέθεικε τό ἐκ (σελ. 88) τοῦ Πατρός· ἔχεις οὖν ὅλως λέγειν ἔτι, ὡς οὐκ ἐκ μόνου τοῦ Πατρός τό Πνεῦμα τό ἅγιον, ὅτι μή πρόσκειται τό «μόνου»;

Βούλει δή καί τοῦ μεγάλου θεολόγου ἀκοῦσαι Γρηγορίου, ἐν βραχεῖ τό πᾶν συνάγοντος καί τήν σήν ὥσπερ τινί σμιλίῳ ἀποσμιλεύοντος προσθήκην καί ἀμφοτέροις τό ἐκ μόνου ἐφαρμόζοντος; καί τό θαυμασιώτερον, οὐχ ὅτι προστίθησιν, ἀλλ᾽ ὅτι μή προστήθησιν. «Ἡμῖν εἷς Θεός», φησίν, «ὅτι μία θεότης, καί πρός ἕν τά ἐξ αὐτοῦ τήν ἀναφοράν ἔχει, κἄν τρία πιστεύηται». Ἀκήκοας; Ἐξ αὐτοῦ εἶπεν ἄμφω. Ἆρ᾽ οὖν οὐ νοήσομεν καί προσθήσομεν, ὅτι ἐκ τοῦ Πατρός καί ἐξ ἑτέρου τινός προέρχεται ἀμφότερα, ὅτι μή πρόσκειται τό «μόνου», καί τοῦ μόνου Θεοῦ τῆς ἀνωτάτω Τριάδος διά τοῦτο ἐκπεσούμεθα; Μή σύ γε τοῦτο πάθῃς, μᾶλλον δέ μή διαμείνῃς ἀνίατος παθών˙ γνωστόν γάρ ἤδη γέγονέ σοι τό ὀρθόν.

Καί μήν ἐκ τοῦ Πατρός φαμεν εἶναι τόν Υἱόν, ὡς ἐκ τῆς θείας οὐσίας γεννηθέντα, δηλονότι κατά τήν πατρικήν ὑπόστασιν˙ ἡ γάρ οὐσία μία τῶν τριῶν ἐστιν˙ ὥστε τό γεννᾶν τῇ πατρικῇ ὑποστάσει ἐφαρμόζεται καί οὐκ ἔστιν εἶναι τόν Υἱόν ἐκ τοῦ Πνεύματος. Ἐπεί οὖν καί τό Πνεῦμα τό ἅγιον ἐκ τοῦ Πατρός, ἐκ τῆς θείας οὐσίας καί αὐτό κατά τήν πατρικήν ὑπόστασιν ἐκπορευόμενόν ἐστιν˙ ἡ γάρ οὐσία πάντῃ τε καί πάντως μία τῶν τριῶν. Οὐκοῦν τό ἐκπορεύειν τῇ πατρικῇ ὑποστάσει ἐφαρμόζεται καί οὐκ ἔστιν εἶναι τό Πνεῦμα καί ἐκ τοῦ Υἱοῦ, οὐ γάρ ἐστι τά τῆς πατρικῆς ὑποστάσεως ἔχειν τόν Υἱόν.

Κατά γάρ τόν ἱερόν Δαμασκηνόν, «τήν διαφοράν τῶν θείων ὑποστάσεων ἐν μόναις τρισίν ἰδιότησιν ἐπιγινώσκομεν, τῇ ἀναιτίῳ καί πατρικῇ, τῇ αἰτιατῇ καί υἱϊκῇ, καί τῇ (σελ. 90) αἰτιατῇ καί ἐκπορευτῇ». Ὁρᾷς ὡς ἡ τοῦ Υἱοῦ ὑπόστασις οὐχί καί αἰτία, ἀλλ᾽ αἰτιατή μόνον ἐστί; Μόνην γάρ, φησί, ταύτην ἔχει τήν ἰδιότητα, καθάπερ καί ἡ τοῦ Πνεύματος. Συνορᾷς δέ καί τοῦτο, ὡς ἡ πατρική, καθό πατρική ἰδιότης, ἄμφω τό γεννᾶν καί ἐκπορεύειν συμπεριβάλλει; Τοιγαροῦν, εἰ καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα τό ἅγιον, εἴη ἄν καί ὁ Υἱός αἴτιός τε ἅμα καί Πατήρ ὡς αἴτιος.

Οὐκοῦν ἔνι τι τῶν τῆς πατρικῆς ὑποστάσεως ἔχειν τόν Υἱόν˙ εἰ δ᾽ ἔχει, ἤ δύο ἔσονται τά αἴτια, ὡς ἐν δυσίν ὑποστάσεσι τοῦ ἐκπορεύειν ὄντος (οὕτω γάρ δύο καί τά αἰτιατά, ὡς τοῦ αἰτιατοῦ ἐν δυσίν ὑποστάσεσι θεωρουμένου), ἤ συνδραμοῦνται εἰς μίαν τήν ὑπόστασιν ὁ Πατήρ καί ὁ Υἱός. Ἐκ μόνου ἄρα τοῦ Πατρός ἐκπορεύεται τό Πνεῦμα τό ἅγιον, καί προσεχῶς καί ἀμέσως ἐκ Πατρός, ὡς καί ὁ Υἱός ἐκ τοῦ Πατρός γεννᾶται.

Διό καί Γρηγόριος ὁ Νύσσης θεῖος πρόεδρος, «τά τοῦ ἀνθρώπου», φησί, «πρόσωπα πάντα, οὐκ ἀπό τοῦ αὐτοῦ προσώπου κατά τό προσεχές ἔχει τό εἶναι, ὡς πολλά καί διάφορα εἶναι πρός τοῖς αἰτιατοῖς καί τά αἴτια. Ἐπί δέ τῆς ἁγίας Τριάδος οὐχ οὕτως˙ ἕν γάρ πρόσωπον καί τό αὐτό τοῦ Πατρός, ἐξ οὗπερ ὁ Υἱός γεννᾶται καί τό Πνεῦμα τό ἅγιον ἐκπορεύεται. Διό καί κυρίως τό ἕνα αἴτιον μετά τῶν αὐτοῦ αἰτιατῶν ἕνα Θεόν φαμεν τεθαρρηκότως».

Ἆρα νοῦν ἔλαβες πληγείς τῷ τῆς ἀληθείας λόγῳ καί μεταμανθάνεις τήν ἀλήθειαν καί πείθῃ Θεῷ καί τοῖς κατά Θεόν πατράσιν, ὡς ἐκ τοῦ Πατρός ἀκούων τό Πνεῦμα συνυπακούειν τό ἐκ μόνου καί μηκέτ᾽ ἐκ διαφόρων προσώπων τήν ὕπαρξιν αὐτῷ παρέχειν, ἀλλ᾽ ἐκ τοῦ ἑνός, τοῦ Πατρός, κατά τό προσεχές θεολογεῖν, οὐ τόν Υἱόν μόνον, ἀλλά καί τό Πνεῦμα τό ἅγιον ἕν πρόσωπον τό αἴτιον τῶν αὐτοῦ αἰτιατῶν εἶναι δοξάζων τόν Θεόν, ἀλλ᾽ οὐχ ἕν αἴτιον ὡς τῆς αὐτῆς οὐσίας τά δύο πρόσωπα λέγων τοῦ ἑνός, οὕτω γάρ (σελ. 92) πολλά γίνεται τά αἴτια, ὡς ἐφ᾽ ἡμῶν συμβαίνει, καί οὐκέτι Θεός εἷς, ὥσπερ οὐδ᾽ ἡμεῖς εἷς οἱ πάντες ἄνθρωπος, εἰ καί τῆς αὐτῆς ἐσμεν οὐσίας;

Ἆρ᾽ οὖν πείθῃ κατά ταῦτα Θεῷ καί τοῖς κατά Θεόν θεολογοῦσιν ἤ ζητεῖς ἔτι καί διά βροντῆς ἀκηκοέναι κατά τούς μετά τάς πολλάς Ἰησοῦ θεοσημίας σημεῖον ζητοῦντας ἐκ τοῦ οὐρανῶν ἰδεῖν; Ἄκουε δή καί τῆς βροντῆς, Ἰωάννου καί θεολογικωτάτου τῶν τοῦ Κυρίου μαθητῶν, ὅς φησιν˙ «εἴδομεν τήν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρά τοῦ πατρός». Τί οὖν, οὐκ ἐροῦμεν τόν μονογενῆ παρά μόνου τοῦ Πατρός, ἐπεί μή πρόσκειται τοῦ «μόνου»; Ἀλλά καί ὁ Κύριος αὐτός πρός Ἰουδαίους λέγων, «εἰ ὁ Θεός πατήρ ὑμῶν ἦν, ἠγαπᾶτε ἄν ἐμέ, ἐγώ γάρ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καί ἥκων», καί πάλιν, «οὐχ ὅτι τις ἑώρακε τόν πατέρα, εἰ μή ὁ ὤν παρά τοῦ Θεοῦ, οὗτος ἑώρακε τόν πατέρα», πῶς οὐ προσέθηκε τό «μόνου» λέγων ‘ἐκ τοῦ Πατρός μόνου ἐξῆλθον’, ἤ “ὁ ὤν παρά μόνου τοῦ Πατρός”, οὐχ ὡς ἐξ ἀνάγκης συννοούμενον;

Τοσαυτάκις οὖν εἰρημένου περί τοῦ Υἱοῦ ὅτι παρά τοῦ Πατρός καί μηδαμοῦ τοῦ «μόνου» προσκειμένου, αὐτός τε πανταχοῦ συνυπακούεις τοῦτο καί τοῖς πανταχοῦ συνυπακούουσιν οὐ δυσχεραίνεις. Μᾶλλον μέν οὖν καί τοῖς μή συννοοῦσι τοῦτο ἐς τά μάλιστα δυσχερανεῖς καί ὡς δυσεβέσιν ἤ καί ἀσεβέσιν ἐγκαλέσεις. Περί δέ τοῦ ἁγίου Πνεύματος ἐκ τοῦ Πατρός ἀκούων, εἶτα τί παθών,

οὐ συννοεῖς τό ἐξ ἀνάγκης συνυπακουόμενον, ἀλλά καί εἰς τήν ἐναντίαν ἐξετράπης δόξαν, ὅ ἄν ἐνεκάλεσας δικαίως τοῖς περί τοῦ Υἱοῦ κακῶς νοοῦσι, τοῦτ᾽ αὐτός ἀδίκως πεπονθώς ἐπί τοῦ Πνεύματος, ἐκ μηδεμιᾶς ὅλως τό δυσσεβές προεξενούσης ἀφορμῆς;

Οὐ γάρ μόνον ὅτι λέγεται παρά τοῦ Πατρός τό Πνεῦμα, (σελ. 94) ὡς ὁ Θεός Λόγος πρό αἰώνων παρά τοῦ Πατρός, ἐξ ἀνάγκης παρά μόνου τοῦ Πατρός ἐκπορευόμενον νοεῖται, ἀλλ᾽ ἐπεί καί κατά τόν σοφόν μάρτυρα τῆς ἀληθείας Ἰουστῖνον, «ὡς ὁ Υἱός ἐστιν ἐκ τοῦ Πατρός, οὕτω καί τό Πνεῦμα τό ἅγιον ἐκ τοῦ Πατρός, πλήν τοῦ τρόπου τῆς ὑπάρξεως˙ ὁ μέν γάρ γεννητῶς ἐκ φωτός ἐξέλαμψε, τό δέ, φῶς μέν ἐκ φωτός καί αὐτό, οὐ μήν γεννητῶς, ἀλλ᾽ ἐκπορευτῶς προῆλθεν». Εἰ ὁ Υἱός ἀμέσως ἐκ Πατρός, καί τό Πνεῦμα ἐκ Πατρός ἀμέσως˙ καί εἰ ὁ Υἱός οὐχί καί ἐκ τοῦ Πνεύματος, καί τό Πνεῦμα οὐχί καί ἐκ τοῦ Υἱοῦ˙ καί εἰ ὁ Υἱός ἐκ μόνου τοῦ Πατρός, καί τό Πνεῦμα ἐκ μόνου τοῦ Πατρός. Ἐπεί γάρ τό Πνεῦμα τό ἅγιον ἐκπορευτόν ἐκ τοῦ Πατρός, ὡς ὁ Υἱός γεννητός ἐκ τοῦ Πατρός, τό δέ ὡς ὁ Υἱός γεννητός ἐκ τοῦ Πατρός ἐκπορευτόν, ἐκ μόνου τοῦ Πατρός ἐκπορευτόν, τό Πνεῦμα ἄρα τό ἅγιον ἐκ Θεοῦ Πατρός μόνου ἐκπορευτῶς προερχόμενος.

Ταῦτα ἄρα καί ὁμοίως λέγεταί τε καί ἔστιν, ὁμοῦ τε καί χωρίς ἑκάτερον, διά μέν τοῦ ὁμοίως εἶναι τήν ἀπόδειξιν ἡμῖν τῆς ἀληθείας αἰτιώδη παρεχόμενα, διά δέ τοῦ ὁμοίως λέγεσθαι τεκμηριώδη˙ οὐ γάρ ὅτι ἅμα ἐξ ἀϊδίου ὁ Υἱός τε καί τό Πνεῦμα, διά τοῦτο οὐκ ἐκ τοῦ Υἱοῦ τά τοῦ Πνεύματος γνωρίσομεν, ἀλλ᾽ ὅτι γνωριμώτερα ἡμῖν ἐστι τά τοῦ Υἱοῦ, ἐκ τῶν γνωριμωτέρων τούτων καί τό Πνεῦμα ἀποδείξομεν. Ἄλλως τε οὐδέ ἐκ τοῦ Υἱοῦ ἁπλῶς, ἀλλ᾽ ἐκ τοῦ εἶναι ὡς ὁ Υἱός τό Πνεῦμα ἐκ Πατρός, ἐκ μόνου τοῦ Πατρός ὑπάρχον ἀποδέδεικται.

Καί μήν κατά τόν θεῖον Παῦλον Πνεῦμα καί νοῦς λέγεται Χριστοῦ τό Πνεῦμα τό ἅγιον, καθάπερ ὁ Μέγας Βασίλειος ἐν τοῖς πρός Εὐνομιανοῦς περί τοῦ Πνεύματός φησιν γράφων˙ «τό ἐκ Θεοῦ τό Πνεῦμα εἶναι τρανῶς ἀνεκήρυξεν ὁ ἀπόστολος λέγων, ὅτι "τό Πνεῦμα ἐκ τοῦ Θεοῦ ἐλάβομεν"˙ καί τό δι᾽ Υἱοῦ (σελ. 96) πεφηνέναι σαφές πεποίηκεν, Υἱοῦ Πνεῦμα ὀνομάσας αὐτό καθάπερ Θεοῦ, καί νοῦν Χριστοῦ προσειπών, καθάπερ Θεοῦ Πνεῦμα, ὡς τό τοῦ ἀνθρώπου».

Καθάπερ οὖν τῶ νἀνθρώπων ἕκαστος τόν οἰκεῖον ἔχει νοῦν καί αὐτοῦ μέν ἐστιν ἑκάστου τούτων ὁ οἰκεῖος νοῦς, ἀλλ᾽ οὐκ ἐξ αὐτοῦ, ἀλλ᾽ ἐξ οὗπερ καί αὐτός, οὐκ ἐξ αὐτοῦ τοίνυν ἑκάστου ὁ οἰκεῖος νοῦς,

εἰ μή ἄρα κατ᾽ ἐνέργειαν, οὕτω καί τό θεῖον Πνεῦμα φυσικῶς ἐνυπάρχον ὡς Θεῷ τῷ Χριστῷ, καί Πνεῦμα καί νοῦς ἐστιν αὐτοῦ. Καί κατά μέν τήν ἐνέργειαν αὐτοῦ ἐστι καί ἐξ αὐτοῦ, ὡς ἐμφυσώμενον καί πεμπόμενον καί φανερούμενον, κατά δέ τήν ὕπαρξιν καί τήν ὑπόστασιν αὐτοῦ μέν ἔστιν, οὐκ ἐξ αὐτοῦ δέ, ἀλλ᾽ ἐκ τοῦ γεννήσαντος αὐτόν.

Ἵν᾽ οὖν σοι πανταχόθεν τάς κατά τῆς ἀληθείας ἐκκρούσωμεν λαβάς, ὁ Υἱός καί Λόγος τοῦ Θεοῦ, φύσει ὤν ἐκ τοῦ Θεοῦ, φύσει γεννᾶται, ἀλλ᾽ οὐ χάριτι γίνεται ἐκ τοῦ Πατρός. Ἐπεί δέ ὁ γεννῶν πηγαία θεότης καί πηγή θεότητος, πηγάζεται ὁ γεννώμενος. Ἐπεί δέ μόνος πηγή θεότητος καί πηγαία θεότης ὁ Πατήρ, ὡς Διονύσιος ὁ Ἀρεοπαγίτης καί Ἀθανάσιος ὁ μέγας συνῳδά φθέγγονται, ἐκ μόνου ἄρα ὁ φύσει Υἱός ὑπάρχει τοῦ Πατρός˙ ὁ δέ θέσει οὐκ ἐκ μόνου ἀλλά δι᾽ Υἱοῦ ἐκ τοῦ Πατρός, καίτοι οὐχ Υἱός μόνον, ἀλλά καί Πνεῦμα χάριτί ἐστιν˙ «ὁ γάρ κολλώμενος τῷ Κυρίῳ ἕν Πνεῦμα ἐστι», φησίν ὁ ἀπόστολος. Τό δέ Πνεῦμα τό ἅγιον οὐ χάριτι, ἀλλά φύσει ἐστίν ἐκ τοῦ Θεοῦ, ὡς καί ὁ Υἱός καί Λόγος τοῦ Θεοῦ ἐκ τοῦ Θεοῦ. Τό δέ φύσει ὄν Πνεῦμα ἐκ Θεοῦ φύσει ἐκπορεύεται ἐκ τοῦ Θεοῦ˙ τό δέ φύσει ἐκπορευόμενον πηγάζεται ἐκ τοῦ Θεοῦ˙ τό δέ πηγαζόμενον ἐκ τοῦ Θεοῦ ἐκ τῆς πηγαίας θεότητος πηγάζεται, ἥτις ἐστί μόνος ὁ Πατήρ. Τό Πνεῦμα ἄρα τό ἅγιον φύσει Θεός, ἐκ Θεοῦ Πατρός μόνου ἐκπορευτῶς πηγαζόμενον.

(σελ. 98) Εἰ δέ τις τοῦτ᾽ οὕτως ἔχειν οὐχ ὁμολογεῖ, καί περί τοῦ Υἱοῦ κακῶς δοξάζων ἐξελεγχθήσεται. Τῇ γάρ τῆς ἀληθείας ἀποδείξει ταύτῃ συμμαρτυρῶν καί ὁ θεολογικώτατος Γρηγόριος, «τί», φησίν, «οὐ προσαγορεύεται τό Πνεῦμα ὧν ὁ Υἱός, πλήν γεννήσεως»; Καί «πάντα ὅσα τοῦ Υἱοῦ, καί τοῦ Πνεύματος, πλήν τῆς υἱότητος». Δαμασκηνός δ᾽ ὁ θεῖος, «διά τόν Πατέρα», φησί, «τουτέστι διά τό εἶναι τόν Πατέρα, ἔχει ὁ Υἱός καί τό Πνεῦμα πάντα ἅ ἔχει, τουτέστι διά τό τόν Πατέρα ἔχειν αὐτά, πλήν τῆς ἀγεννησίας καί τῆς γεννήσεως καί τῆς ἐκπορεύσεως».

Ἑκάτερον ἄρα τούτων οὐκ ἔχει τό γεννᾶν καί ἐκπορεύειν˙ καί ὡς τό Πνεῦμα κατ᾽ οὐδένα τρόπον ἔχει τήν γέννησιν, οὕτω ὁ Υἱός κατ᾽ οὐδένα τρόπον ἔχει τήν ἐκπόρευσιν. Τοιγαροῦν ὁ αὐτός Υἱοῦ καθάπερ ὅρος καί τοῦ Πνεύματος, πλήν τοῦ γεννητῶς τε καί ἐκπορευτῶς, καθ᾽ ἅ καί μόνα διενηνόχασιν ἀλλήλων.

Καί τοῦτ᾽ ἄρα τηρητέον ἐφ᾽ ἅπασι τόν μή βλασφημεῖν ἀλλά θεολογεῖν ἐθέλοντα. Ὡς γάρ εἷς καί μόνος γεννητός ὑπάρχει, ὁ Υἱός, διόπερ καί μονογενής, οὕτως ἕν καί μόνον ἐκπορευτόν ὑπάρχει, Πνεῦμα ἅγιον˙ καί ὡς ὁ Υἱός γεννητός ἐκ μόνου τοῦ Πατρός, οὕτω καί τό Πνεῦμα τό ἅγιον ἐκπορευτόν ἐκ μόνου τοῦ Πατρός˙ καί ὡς ὁ Υἱός ἀμέσως ἐκ Πατρός γεννητός, οὕτω καί τό Πνεῦμα τό ἅγιον ἐκπορευτόν ἐκ τοῦ Πατρός ἀμέσως.

Ὁρᾷς ὅτι τό μέν παρ᾽ ἡμῶν προσκείμενον ἔκφανσίς ἐστι τῆς ἀληθείας συνεκφωνουμένη διά τήν σήν πρός τήν ἀλήθειαν ἀθέτησιν; Καί γάρ παρόν τε καί ἀπόν τό αὐτό δίδωσι νοεῖν. Τό δέ σόν οὐ προσθήκη λέγοιτ᾽ ἄν κυρίως, ἀλλά σαφής ἐναντιότης καί ἀνατροπή τοῦ εὐσεβοῦς φρονήματος˙ περιτρέπει γάρ τήν τῶν ἀκουόντων διάνοιαν εἰς τοὐναντίον καί ἀντί μιᾶς δύο δίδωσι δοξάζειν ἐπί τῆς μιᾶς θεότητος ἀρχάς καί τῇ πολυθέῳ πλάνῃ πάροδον παρέχει. Τίς γάρ τό (σελ. 100) ἕν ἐξ ἀμφοτέρων ἀκούων ἤ λέγων ἤ πιστεύων ἑτέρως ἄν φρονῆσαι;

Ἀλλ᾽ οὐδέν ἄτοπον, φησίν, εἴ τις δύο μέν ἀρχάς λέγει, οὐκ ἀντιθέτους μέντοι, ἀλλά τήν ἑτέραν ἐκ τῆς ἑτέρας, ὡς καί Γρηγόριος ὁ θεολόγος περί τοῦ Υἱοῦ φησιν, «ἡ ἐκ τῆς ἀρχῆς ἀρχή»˙οὕτω γάρ πάλιν μία ἔσται ἡ ἀρχή καί τό τῆς μοναρχίας δόγμα περισώζεται. Πρός ὅ λέγομεν ἡμεῖς, ὅτι καί Θεόν ἐκ Θεοῦ φαμεν, ἀλλ᾽ οὐ δύο ποτέ θεούς.

Ἄλλως τε τό δημιουργικόν ταύτης σημαινούσης τῆς ἀρχῆς οὐ δύο μόνον ἄν εἴποι τις, εἰ καί μή καλῶς, ἀλλά καί πλείους. Τρισυπόστατος γάρ αὕτη ἡ ἀρχή˙ φύσει δέ οὖσα καί κοινή ἐστι˙ κοινήν δέ οὖσαν πῶς οὐκ ἄν ἔχοι καί τό Πνεῦμα ταύτην τήν ἀρχήν; Καί ὁ τῷ Ἰώβ δέ προσδιαλεγόμενος ὑπέρ τῆς τοῦ Θεοῦ δικαιοσύνης Ἐλιούς, «Πνεῦμα, λέγων, Κυρίου τό ποιῆσάν με» οὐ ποιητικήν ἀρχήν τό Πνεῦμα λέγει; Καί ὁ θεῖος ᾠδικός Δαβίδ, «λόγῳ μέν Κυρίου τούς οὐρανούς στερεωθῆναι» ψάλλων, «Πνεύματι δέ τάς τῶν οὐρανῶν δυνάμεις» οὐχ ὥσπερ τῷ Υἱῷ, οὕτω καί τῷ Πνεύματι, τήν δημιουργικήν ἀρχήν προσμαρτυρεῖ; Εἰ τοίνυν διά τό γεγράφθαι «ἡ ἐκ τῆς ἀρχῆς ἀρχή» δύο εἰπεῖν ἀρχάς οὐδέν κωλύει κατά σέ, οὐκοῦν καί διά τό γεγράφθαι καί τό πνεῦμα ποιητήν, δύο ποιητάς εἰπεῖν οὐδέν κωλύει˙ ἤ διά τό «Λόγῳ Θεοῦ καί Πνεύματι τήν κτίσιν στερεοῦσθαι», ταὐτό δ᾽ εἰπεῖν συνίστασθαι, τρεῖς ἀρχάς εἰπεῖν οὐδέν ἄτοπόν ἐστιν.

Ἀλλ᾽ οὐδαμοῦ τῶν θεολόγων εἶπέ τις οὔτε δύο οὔτε τρεῖς. Ὥσπερ γάρ Θεόν ἑκάστην τῶν τριῶν προσκυνητῶν ἐκείνων ὑποστάσεων

φαμε καί Θεόν ἑκατέραν ἐκ Θεοῦ, ἀλλ᾿ οὐ παρά τοῦτο τρεῖς ἤ δύο ποτέ θεούς, οὕτω καί ἀρχήν ἐξ ἀρχῆς φαμεν, ἀλλ᾿ οὐ δύο ποτέ ἀρχάς˙ δευτέραν γάρ ἀρχήν οὐδέπω καί τήμερον ὑπό τῶν εὐσεβῶν ἀκηκόαμεν, (σελ. 102) ὥσπερ οὐδέ θεόν δεύτερον. Ἀλλ᾿ εἷς ἡμῖν Θεός καί μοναρχία τό προσκυνούμενον, οὐκ ἐκ δύο θεῶν, οὐδ᾿ ἐκ δύο ἀρχῶν συνιόντα εἰς ἕν˙ ἐπεί μηδέ κατά ταυτά μεριστόν ἡμῖν τό σεβόμενον. Καί μήν οὐδέ κατά τό αὐτό μερίζεταί τε καί συνάγεται˙ διαιρεῖται μέν γάρ ταῖς ὑποστατικαῖς ἰδιότησι, ταῖς δέ κατά τήν φύσιν ἑνοῦται. Εἰ γοῦν δύο ἀρχάς εἰπεῖν οὐδέν κωλύει, λοιπόν αὗταί εἰσι, καθ᾿ ἅς μερίζεται˙ ἑνωθῆναι τοίνυν αὖθις κατ᾿ αὐτάς ἀδύνατον˙ οὐκ ἄρ᾿ αἱ δύο μία.

Μᾶλλον δέ ἀναλαβόντες καί ἑτέραν ἀρχήν τῷ λόγῳ δόντες τά τῆς μοναρχικωτάτης ἀρχῆς εἰς δύναμιν διατρανώσωμεν, ὡς ἄν φερωνύμως ἔχοντά τε δείξωμεν τόν τῆς θεολογίας ἐπώνυμον καί ἀπελέγξωμεν τούς τοῦ ἑνός ἁγίου Πνεύματος δύο δογματίζοντας ἀρχάς, ὅτι τε τοῦτο δογματίζουσι καί ὅτι οὐ καλῶς.

Ἡ δημιουργική ἀρχή μία ἐστίν, ὁ Πατήρ καί ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον. Ὅταν οὖν ἐκ τοῦ Θεοῦ τά ἐκ τοῦ μή ὄντος προηγμένα λέγωμεν, τήν τε ἀγαθότητα, δι᾿ ἥν τό εἶναι ἔσχον, καί τήν ἐγγεγενημένην χάριν, ὅθεν ἕκαστον τοῦ εὖ εἶναι καταλλήλως μετεσχήκασι, καί τήν ἐπιγεγενημένην ὕστερον, δι᾿ ἥν πρός τό εὖ εἶναι τά διαπεπτωκότα ἐπανῆλθον, ὅταν ταῦτά τε καί περί τούτων ποιώμεθα τούς λόγους, ἀρχήν καί πηγήν καί αἴτιον τόν Υἱόν ἐν ἁγίῳ Πνεύματί φαμεν, οὐχ ἑτέραν ἄπαγε, ἀλλά τήν αὐτήν ὡς τοῦ Πατρός δι᾿ αὐτοῦ ἐν ἁγίῳ Πνεύματι καί προάγοντος καί ἐπανάγοντος καί συνέχοντος καλῶς τά πάντα. Ὁ δέ Πατήρ πρός τῷ πηγή τῶν πάντων εἶναι διά τοῦ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι, καί πηγή καί ἀρχή ἐστι θεότητος μόνος θεογόνος ὤν. Καί τοῦτ᾿ ἐσμέν εἰδότε κρεῖττον ἤ κατά ἀπόδειξιν, διά τῶν θεοπνεύστων λογίων τρανῶς ἐκπεφασμένον.

Ὅταν οὖν ἀκούσῃς ὅτι ὁ Υἱός, «ἡ ἐκ τῆς ἀρχῆς ἀρχήν» (σελ. 104) καί «ὁ καλῶν αὐτόν ἀπό γενεῶν ἀρχήν» καί «μετά σοῦ ἡ ἀρχή ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου», τῶν δημιουργημάτων νόει, καθάπερ καί Ἰωάννης ἀριδήλως ἐν τῇ Ἀποκαλύψει περί αὐτοῦ βοᾷ, «ἡ ἀρχή τῶν κτισμάτων τοῦ Θεοῦ», οὐχ ὡς καταρχή, ἄπαγε, Θεός γάρ, ἀλλ᾿ ὡς δημιουργός αὐτῶν˙ κοινωνός γάρ ἐστι τῆς ἐξ ἧς ταῦτα πατρικῆς ἀρχῆς, ἥ καί τῆς πάντων δεσποτείας ἐστίν ἐπώνυμον.

Τοῦ δέ Πνεύματος τόν Υἱόν ἀρχήν ἐπί τῆς σημασίας ταύτης πῶς ἄν φαίη τις, εἰ μή καί τό Πνεῦμα δοῦλον καί κτιστόν; Ἀλλ᾽ ἐπεί Θεός τό Πνεῦμα, οὐκ ἀρχή αὐτοῦ κατά τοῦτο ὁ Υἱός, εἰ μή ἄρα ὡς θεότητος ἀρχή. Εἰ δέ τῆς τοῦ ἁγίου Πνεύματος θεότητος ὁ Υἱός ἐστιν ἀρχή, κοινωνεῖν δέ κατά ταύτην τήν ἀρχήν τῷ Πατρί ἀμήχανον, μόνος γάρ τεθεολόγηται πηγαία θεότης ὁ Πατήρ, ἑτέρας ἄρα διαφόρου τινός θεότητος ὁ Υἱός ἐστιν ἀρχή καί διέσπασε τό Πνεῦμα τῆς πηγαζούσης ἐκ τοῦ Πατρός θεότητος. Ἤ δύο διαφόρους θεότητας δώσωμεν τούτῳ τῷ ἑνί, οἱ καί τοῖς τρισί μίαν ἀνομολογοῦντες θεότητα;

Πῶς δέ καί αἱ δύο κατά Λατίνους τοῦ Πνεύματος ἀρχαί μία ἐστίν ἀρχή; Οὐ γάρ ἀξιώσουσιν ἡμᾶς πίστει δέχεσθαι τούτων τά προβλήματα, ἀλλά μηδέ σοφιστικῶς ἀποκρινέσθωσαν ἄλλην ἀντ᾽ ἄλλης ποιούμενοι τήν ἀπόκρισιν. Ἡμῶν γάρ ἐρωτώντων, πῶς δύο κατ᾽ αὐτούς τοῦ ἑνός Πνεύματος ἀρχαί, μίαν ἐκεῖνοι διισχυρίζονται τῶν δύο εἶναι τήν ἀρχήν. Ἡμεῖς δέ οὐ περί τῶν δύο προσώπων ἐρωτῶμεν, ἀλλά περί τοῦ ἑνός˙ περί τούτου γάρ πρός αὐτούς ποιούμεθα τόν λόγον. Ὡς ἐπεί τῶν δύο μία ἡ ἀρχή καλῶς, πῶς τοῦ ἑνός δύο ἔσονται ἀρχαί καί πῶς αἱ δύο μία κατ᾽ αὐτούς;

Φασίν οὖν, διότι ἡ μία ἐστίν ἐκ τῆς ἑτέρας. Τί οὖν ὁ Σήθ, ἐκ μιᾶς ἄρα γεγέννηται ἀρχῆς, ὅτι ἡ Εὔα ἦν ἐκ τοῦ Ἀδάμ, (σελ. 106) καί οὐ δύο εἰσί τούτου τοῦ ἑνός ἀρχαί, ὅτι ἡ μία ἐστιν ἐκ τῆς ἑτέρας; Τί δέ ἡ Εὔα, οὐ δευτέρα ἀρχή τῶν ἐξ αὐτῆς, ὅτι καί αὐτή τήν ἀρχήν ἔσχεν ἐξ Ἀδάμ; Καίτοι ἀμφοῖν τό γόνιμον αὐτοῖς, ἀλλά διάφορον καί ἐν διαφόροις ὑποστάσεσι˙ διόπερ οὐδέ μία ἐστίν αὗται αἱ ἀρχαί, καθάπερ καί τόν Νύσσης θεῖον πρόεδρον ἀνωτέρω προηνέγκαμεν εἰπόντα, καίτοι ἡ μία τούτων ἐστίν ἐκ τῆς ἑτέρας.

Εἰ γοῦν ἐνταῦθα οὗ εἰ καί μή ἕν, ὅμως ἐστί τό γόνιμον ἀμφοῖν, οὐκ ἔνι τοῦ ἑνός μίαν τήν ἀρχήν, πῶς ἐπί τῆς ἀνωτάτου Τριάδος αἱ δύο κατ᾽ αὐτούς τοῦ ἑνός ἁγίου Πνεύματος μία εἰσίν ἀρχαί, ἐν ᾗ μηδαμῶς ἐστι κατά τό θεογόνον κοινωνία; Μόνος γάρ τεθεολόγηται θεότης θεογόνος ὁ Πατήρ.

Πάλιν ἡ Εὔα ἐκ μόνου οὖσα τοῦ Ἀδάμ, ἐκ μιᾶς ἐστιν ἀρχῆς˙ ὁ δέ Ἀδάμ ἐκ γῆς ἐστιν Ἀλλ’, οὐ παρά τοῦτο ἡ Εὔα ἐκ τῆς γῆς καί τοῦ Ἀδάμ. Ὁ γάρ Ἀδάμ μόνος ἐκ τῆς γῆς. Ἤ τοίνυν καί αὐτοί ἐκ τοῦ Υἱοῦ μόνου λεγέτωσαν τό Πνεῦμα καί οὕτως αὐτό ἐκ μιᾶς ἀρχῆς λεγέτωσαν, ἑαυτοῖς μέν ἀκολούθως ἀλλ᾽ οὐκ εὐσεβῶς, οὐ γάρ ἐκ τῆς αὐτῆς ἀφ᾽ ἧς καί ὁ Υἱός, κἀντεῦθεν πάλιν δύο εἰσίν ἐπί τῆς θεότητος

ἀρχαί καί οὐκέτ᾽ ἐστί μείζων ὁ Πατήρ τῷ αἰτίῳ τοῦ Υἱοῦ, ἐπίσης γάρ καί αὐτός αἴτιος θεότητος, ἤ ἐκ μόνου τοῦ Πατρός αὐτό λέγοντες μίαν καί τῷ Πνεύματι ὡς καί τῷ Υἱῷ εὐσεβῶς διδότωσαν ἀρχήν. Μέχρι γάρ ἄν ἐκ τοῦ Υἱοῦ, ἤ ἐξ ἀμφοτέρων λέγωσιν, ἀλλ᾽ οὐκ ἐκ μόνου τοῦ Πατρός, οὐκ ἔστι μίαν εἶν αι τῆς θεότητος καί ἑνός Πνεύματος ἀρχήν.

Συνάπτων γάρ τις ἐπί τῶν τοιούτων, εἰ καί μίαν φαίη τήν ἀρχήν, ἀλλ᾽ ὁμονύμως, ὥστ᾽ οὐ μία. Εἰ δέ διαιρῶν κατά μίαν ὁρᾷ τάς ὑποστάσεις, τῆς μιᾶς ἐξ ἀνάγκης δύο φανερῶς γίνονται ἀρχαί. Ἐμοί δ᾽ ἔπεισι θαυμάζειν καί τό ὑπερβάλλον τῆς ἀνοίας τῶν τάς δύο ταύτας, ἅς φασιν (σελ. 108) ἀρχάς, μίαν λεγόντων τε καί οἰομένων˙ εἰ μέν γάρ κοινωνεῖ τῷ Πατρί κατά τόν θεογόνον ὁ Υἱός προβαλλόμενος τό Πνεῦμα καί ἕν αὐτοῖς τό θεογόνον καί ἡ ἐκ τούτων αὕτη πρόοδος, τῆς φύσεως ἄρα τοῦτο καί οὐ δύο εἰσίν ἀρχαί, οὐδ᾽ αἱ δύο μία, ἀλλά ἁπλῶς μία, καί ἀπεξένωται τῆς θείας φύσεως αὐτό τό Πνεῦμα, μή καί αὐτό κατά θεογόνον κοινωνοῦν. Εἰ δέ μή κοινωνεῖ ὁ Υἱός κατά τοῦτο τό Πατρί, μηδέ ἕν αὐτοῖς τοῦτο τό προβάλλειν, καθ᾽ ὑπόστασιν τῷ Υἱῷ ἡ πρόοδος τοῦ Πνεύματος˙ διάφορος ἄρα αὕτη τῆς ἐκ τοῦ Πατρός τοῦ Πνεύματος προόδου˙ τά γάρ ὑποστατικά διάφορα.

Πῶς οὖν μία αἱ διάφοροι ἀρχαί, καί μήν τοῦ μεγάλου Διονυσίου ἐν δευτέρῳ κεφαλαίῳ τοῦ Περί θείων ὀνομάτων λόγου λέγοντος «ὅσα ἐστί τοῦ Πατρός καί τοῦ Υἱοῦ, ταῦτα καί τῷ θεαρχικῷ Πνεύματι κοινῶς καί ἡνωμένως ἀνατίθεσθαι», καί τοῦ μεγάλου Βασιλείου ἐν τοῖς πρός Εὐνομιανούς Ἀντιρρητικοῖς αὐτοῦ κεφαλαίοις γράφοντος, «πάντα τά κοινά Πατρί τε καί Υἱῷ κοινά εἶναι καί τῷ Πνεύματι»; Εἰ μέν κοινόν ἐστι Πατρί τε καί Υἱῷ τό ἐκπορεύειν, κοινόν ἔσται τοῦτο καί τῷ Πνεύματι, καί τετράς ἔσται ἡ Τριάς˙ καί τό Πνεῦμα γάρ ἐκπορεύσει Πνεῦμα ἕτερον. Εἰ δέ μή κοινόν ἔστι κατά Λατίνους τῷ Πατρί καί τῷ Υἱῷ τό ἐκπορεύειν, ὡς τοῦ μέν Πατρός ἐμμέσως κατ᾽ αὐτούς, τοῦ δέ Υἱοῦ ἀμέσως ἐκπορεύοντος τό Πνεῦμα, οὕτω γάρ καί ὑποστατικῶς ἔχειν τόν Υἱόν τό προβλητικόν φασιν, οὐκοῦν κατ᾽ αὐτούς καί τό δημιουργεῖν καί ἁγιάζειν καί ἁπλῶς ἅπαντα τά φυσικά οὐ κοινά Πατρός τε καί Υἱοῦ, ἐπειδή ὁ μέν Πατήρ διά τοῦ Υἱοῦ κτίζει τε καί ἁγιάζει, καί διά μέσου τοῦ Υἱοῦ δημιουργεῖ καί ἁγιάζει, ὁ δέ Υἱός οὐ δι᾽ Υἱοῦ. Τοιγαροῦν κατ᾽ αὐτούς ὑποστατικῶς ἔχει τό δημιουργεῖν καί ἁγιάζειν ὁ Υἱός˙ ἀμέσως γάρ καί οὐχ ὡς ὁ Πατήρ ἐμμέσως˙ καί οὕτω (σελ. 110) κατ᾽ αὐτούς τά φυσικά τῶν ὑποστατικῶν

διενήνοχεν οὐδέν· οὐκοῦν καί ἡ φύσις τῆς ὑποστάσεως, ὡς μή τρισυπόστατον ἤ τριφυᾶ κατ᾽ αὐτούς εἶναι τόν Θεόν.

Εἰ δ᾽ ἄρα φαῖεν διά τοῦ Πνεύματος τόν Υἱόν δημιουργεῖν καί ἁγιάζειν, ἀλλά πρῶτον μέν οὐ σύνηθες τοῖς θεολόγοις διά τοῦ Πνεύματος τόν Υἱόν ἤ τόν Πατέρα δημιουργόν εἶναι λέγειν τῶν κτισμάτων, ἀλλ᾽ ἐν ἁγίῳ Πνεύματι. Ἔπειτα πρός τῷ μηδ᾽ οὕτω τό ἀνωτέρω δεδειγμένον ἄτοπον αὐτούς ἐκφεύγειν, οὐ γάρ δι᾽ Υἱοῦ πάλιν ὁ Υἱός ἀναφαίνεται δημιουργός καθάπερ ὁ Πατήρ συμβήσεται τούτοις μηδέ κοινόν εἶναι λέγειν καί τῷ Πνεύματι τό δημιουργεῖν καί ἁγιάζειν, ὡς μή δι᾽ ἑτέρου, μηδέ ὡς ὁ Πατήρ ἤ καί ὁ Υἱός αὐτοῦ ταῦτα ἐνεργοῦντος. Κατ᾽ αὐτούς οὖν ὑποστατικῶς ἔχει τό Πνεῦμα τό δημιουργεῖν καί ἁγιάζειν, ὡς οὐκ ἐμμέσως καθάπερ ὁ Πατήρ κτίζον τε καί ἁγιάζον. Ἐντεῦθεν δή πάλιν κατ᾽ αὐτούς, ταῦτά τε εἶναι καί ἀδιάφορα δείκνυται τοῖς ὑποστατικοῖς τά φυσικά. Εἰ δέ τοῦτο, καί ἡ φύσις ταῖς ὑποστάσεσι ταὐτόν τε καί ἀδιάφορον. Ἆρ᾽ οὐ σαφῶς τῆς ἀνωτέρω Τριάδος ἐκπεπτώκασι καί τῆς ἑνότητος τῆς πίστεως καί τῆς κοινωνίας τοῦ ἁγίου Πνεύματος οἱ ταῦθ᾽ οὕτω λέγοντες τε καί φρονοῦντες;

Ἀλλά γάρ ἐπανέλθωμεν ὅθεν ἐξέβημεν. Τίς γάρ τό Πνεῦμα τό ἅγιον τήν ὕπαρξιν ἔχειν ἐξ ἀμφοτέρων Υἱοῦ τε καί Πατρός ἀκούων ἤ λέγων ἤ πιστεύων καί παρά μέν τοῦ Υἱοῦ ἀμέσως, παρά δέ τοῦ Πατρός ἐμμέσως καί τά παρ᾽ αὐτῶν θρυλλούμενά τε καί περιᾳδόμενα προσεχῆ τε καί ἐφεξῆς καί πόρρω, τίς ταῦτ᾽ ἀκούων καί πιστεύων οὐ δύο δοξάσει τοῦ ἑνός Πνεύματος ἀρχάς; Πῶς δέ οὐκ ἄν εἴη ὁ Υἱός τῷ Πατρί συναίτιος, εἰ μή μάτην λέγεται καί ἐξ αὐτοῦ; Πῶς δέ οὐκ ἄν τό Πνεῦμα εἴη κτίσμα; Ἐπί γάρ τῶν κτισμάτων τῷ Πατρί συναίτιος, εἰ μή μάτην λέγεται καί ἐξ αὐτοῦ; Πῶς δέ οὐκ ἄν τό Πνεῦμα εἴη κτίσμα; Ἐπί γάρ τῶν κτισμάτων τῷ Πατρί ὁ Υἱός συναίτιος.

(σελ. 112) Καί μήν ἐπί τῆς κτίσεως, ἐφ᾽ ἧς φανερῶς αἴτιός ἐστι καί ὁ Υἱός καί τῷ Πατρί συναίτιος, ὡς ἐκ Πατρός δι᾽ αὐτοῦ καί ἐξ αὐτοῦ τό εἶναι λαβούσης, ἀσεβές παντάπασιν εἰπεῖν ὅτι τήν κτίσιν ἐκ τοῦ Υἱοῦ οὐ λέγομεν καί ὅτι τό δημιουργικόν ἰδιότης ἐστί τῆς τοῦ Πατρός ὑποστάσεως. Τοιγαροῦν εἰ καί τό ἐκπορευτῶς ὑπάρχον Πνεῦμα ἅγιον ἐκ Πατρός δι᾽ Υἱοῦ καί ἐξ αὐτοῦ τό εἶναι εἶχεν, οὐκ ἄν ἦν ὅλος εὐσεβοῦς εἰπεῖν, ὡς ἐκ τοῦ Υἱοῦ τό εἶναι τό Πνεῦμα οὐ λέγομεν καί ὡς ἡ ἐκπορευτική ἰδιότης τῷ Πατρί μόνῳ πρόσεστιν.

Ἐπεί δέ οἱ ταῦτα λέγοντες Δαβίδ ἐστιν ὁ θεοπάτωρ καί Γρηγόριος ὁ Νυσσαέων φανότατος φωστήρ καί Δαμασκηνός ὁ θεοφόρος, κατά πᾶσαν ἀνάγκην οἱ συναίτον τῷ Πατρί τόν Υἱόν λέγοντες ἐπί τοῦ παναγίου Πνεύματος καί ἐκ τοῦ Πατρός διά τοῦ Υἱοῦ καί ἐκ τοῦ Υἱοῦ τήν ὕπαρξιν αὐτῷ διδόντες, τοσοῦτον ἀπέχουσι τῆς εὐσεβείας, ὅσον ἀντέχονται ταύτης οἱ προαπηριθμημένοι τῶν ἁγίων καί οἱ τούτοις συνῳδά θεολογοῦντες.

Καί τοῦτο δέ συνορᾶν τῶν ἀναγκαιοτάτων, ὡς καθάπερ ἐκ τοῦ Πατρός δι᾿ Υἱοῦ καί ἐξ Υἱοῦ τήν γένεσιν ἔχοντες ἡμεῖς, Πατέρα καί ποιητήν ὁμοῦ τε καί χωρίς ἑκάτερον ἐπικαλούμεθα καί ἀνομολογοῦμεν, οὕτω καί τοῦ θείου Πνεύματος ὁμοῦ τε καί χωρίς ἑκάτερος Πατήρ ἄν ἐλέγετο καί προβολεύς, εἴπερ ἐκ Πατρός δι᾿ Υἱοῦ καί ἐξ Υἱοῦ τήν ὕπαρξιν τό Πνεῦμα εἶχεν. Ἀλλά τά τοιαῦτα πάντα πολυειδῶς συγχέοντα τάς θείας ὑποστάσεις παρίστησι σαφῶς, ὡς οὐχί καί ἐκ τοῦ Υἱοῦ τήν ὕπαρξιν ἔχει τό Πνεῦμα τό ἅγιον.

Καί μέν δή, «πάντα ὅσα ἔχει ὁ Πατήρ, τοῦ Υἱοῦ ἐστι», κατά τόν θεολόγον Γρηγόριον, «ἄνευ τῆς αἰτίας. Ποίας αἰτίας; Τῆς τῶν κτισμάτων; Ἄπαγε˙ τούτων γάρ ἀρχή καί αἴτιος καί ὁ Υἱός. Τοιγαροῦν ἄνευ τῆς αἰτίας καί ἀρχῆς τῆς ἐν Τριάδι νοουμένης θεότητος˙ πάντα οὖν ἔχει ὁ Υἱός τοῦ (σελ. 114) τοῦ Πατρός, ἄνευ τοῦ ἀρχή καί αἴτιος εἶναι καί αὐτός τῆς θεότητος τοῦ Πνεύματος. Ἐκ μόνου ἄρα τοῦ Πατρός ἐκπορεύεται τό Πνεῦμα τό ἅγιον, καθάπερ ὁ Υἱός ἐκ μόνου τοῦ Πατρός γεννᾶται, καί προσεχῶς καί ἀμέσως τοῦ Πατρός ἔχεται καθ᾿ ὕπαρξιν, καθά καί ὁ Υἱός, εἰ καί διά τοῦ Υἱοῦ Πατρός εἶναι Πνεῦμα ἔσχεν, ὡς τοῦ ἐκπορεύοντος ὄντος καί Πατρός.

Ἐπεί δέ καί δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστι κατά τόν τοῦ Κυρίου λόγον, «καί διά δύο ἤ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα», καί ἡμεῖς τό νῦν εἶναι τῶν ἄλλων ἀφέμενοι διά τό μῆκος τρεῖς παραστήσομέν σοι μάρτυρας, σαφῶς ἀπαγορεύοντάς σου τήν προσθήκην. Καί δή παρίτω πρῶτος ὁ καί τῷ χρόνῳ πρότερος Βασίλειος ὁ μέγας˙ ἐν γάρ τοῖς Κατ᾿ Εὐνομίου κεφαλαίοις, «γεννᾷ», φησίν, «ὁ Θεός οὐχ ὡς ἄνθρωπος, γεννᾷ δέ ἀληθῶς˙ καί τό γεγεννημένον ἐξ αὐτοῦ ἐκφαίνει λόγον οὐκ ἀνθρώπινον, ἐκφαίνει δέ λόγον ἀληθῆ ἐξ αὐτοῦ˙ ἐκπέμπει Πνεῦμα διά στόματος, οὐχ οἷον τό ἀνθρώπινον, ἐπεί μηδέ στόμα Θεοῦ σωματικῶς˙ ἐξ αὐτοῦ δέ τό Πνεῦμα καί οὐχ ἑτέρωθεν». Ὁρᾷς ὅτι οὐχ ἑτέρωθεν, ἀλλ᾿ ἐκ μόνου τοῦ καί τόν Υἱόν γεννῶντος; Ὥστε οὐκ ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα, ἐπεί καί

λόγος ὁ Υἱός, ἀλλ᾽ οὐ στόμα τοῦ Πατρός ἐνταῦθα τῷ μεγάλῳ τεθεολόγηται. Ὅς ἀλλαχοῦ δεικνύς καί τόν λόγον τοῦτον ἐκ τοῦ αὐτοῦ προϊόντα στόματος, «εἰ γάρ τό Πνεῦμα μή πιστεύεις», φησίν, ἐκ στόματος Θεοῦ προεληλυθέναι, οὐδ᾽ ἄν τόν λόγον πιστεύσεις». Ὁρᾷς σαφῶς ὅτι Λόγος ὁ Υἱός, ἀλλ᾽ οὐ στόμα τοῦ Πατρός˙ ἐξ οὗ στόματος κατά τόν μέγαν Βασίλειον πρόεισι καθ᾽ ὕπαρξιν ὡς τό Πνεῦμα τό ἅγιον;

Τόν αὐτόν δέ τρόπον καί ὁ ἀδελφός αὐτῷ καί ἀδελφά φρονῶν Γρηγόριος ἐν τῷ Περί θεογνωσίας λόγῳ, «Πνεῦμα δέ», φησί, «τό τῆς πατρικῆς ἐκπορευόμενον ὑποστάσεως. Τούτου γάρ ἕνεκα καί Πνεῦμα στόματος ἀλλ᾽ οὐχί καί τόν (116) λόγον στόματος ὁ Δαβίδ εἴρηκεν, ἵνα τήν ἐκπορευτικήν ἰδιότητα τῷ Πατρί μόνῳ προσοῦσαν πιστώσηται».

Μετ᾽ αὐτόν τόν ἀψευδῆ τῆς ἀληθείας μάρτυρα, ὁ ζῶν φωστήρ γεγονώς Ἀλεξανδρείας Κύριλλος, συμμαρτυρήσων παρελθέτω˙ φησί γάρ ἐν τῷ Περί τῆς ἁγίας Τριάδος˙ «αἱ προσκυνηταί τρεῖς ὑποστάσεις γινώσκονται καί πιστεύονται ἐν Πατρί ἀνάρχῳ καί ἐν Υἱῷ μονογενεῖ καί ἐν Πνεύματι ἁγίῳ τῷ ἐκ πορευομένῳ ἐκ τοῦ Πατρός, οὐ γεννητῶς καθάπερ ὁ Υἱός, ἀλλ᾽ ἐκπορευομένῳ καθάπερ εἴρηται ἐκ μόνου τοῦ Πατρός ὡς ἀπό στόματος, πεφηνότι δέ διά τοῦ Υἱοῦ καί λαλήσαντι ἐν τοῖς ἁγίοις πᾶσι προφήταις τε καί ἀποστόλοις». Καί ἀλλαχοῦ πάλιν˙ «οὐχ ὥσπερ ὁ Υἱός καί τοῦ Πατρός γεννητῶς οὕτω καί τό Πνεῦμα τό ἅγιον ἀπό τοῦ Υἱοῦ ἐκπορευτῶς, ἄπαγε τῆς βλασφημίας καί πολυθεΐας˙ εἷς γάρ παρ᾽ ἡμῖν ἀμφοῖν τοῖς προσώποις αἴτιος καί σύνδεσμος, ὁ Πατήρ».

Ἆρ᾽ ἔστι τρανότερον ἔλεγχον τῆς σῆς δυσσεβείας παρελθεῖν; Ἀνθρώπῳ μέν οὐκ ἄν ἔδοξεν. Ἀλλά καί τοῦθ᾽ ἡμῖν τό Πνεῦμα δέδωκε τόν ἐκ Δαμασκοῦ σοφίσαν Ἰωάννην˙ «τό Πνεῦμα γάρ», φησίν οὗτος, «τοῦ Υἱοῦ μέν λέγομεν, ἐκ δέ τοῦ Υἱοῦ οὐ λέγομεν˙ δι᾽ Υἱοῦ δέ πεφανερῶσθαι καί μεταδιδόσθαι ἡμῖν ὁμολογοῦμεν».

Ἀφείς δέ σοι τούς ἄλλους συνείρειν ἐφεξῆς ὅτι πλείστους ὄντας καί σχεδόν ὅσοι τῶν πατέρων οὐδέν ἧττον ἤ ζῶντες ἐν τοῖς καθ᾽ ἑαυτούς συγγράμμασι λαλοῦσιν, ἐκ τῶν λόγων σου κρινῶ σε˙ πάντως δέ καί ὁ Θεός. Σοῦ γάρ αὐτοῦ λέγοντος ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ ἐκπορεύεσθαι τό Πνεῦμα καί τό «μόνων» οὐ προστιθεμένου, ἆρ᾽ οὐδ᾽ ἐκ τούτων μόνων τό Πνεῦμα ἐννοεῖς, οὐδέ συνυπακούεις τό μόνων, κἄν μή συνεκφωνῇς; Ἀλλά ζητήσομεν κατά τήν σήν, ἵν᾽ οὕτως εἴπω,

(σελ. 118) φιλοπολυεκπόρευτον διάνοιαν, καί ἐκ ἄλλου του ἐκπορεύεσθαι τό Πνεῦμα διά τήν σήν περί τοῦ μόνου ἄγνοιαν;

Οὐ μήν, ἀλλ᾿ ἵνα πάλιν ἐκ τῶν αὐτῶν σοι συσκευάσω τῆς ὡς ἀληθῶς πληγῆς τό ἴαμα καί τῶν δυσσεβῶν ἐκσπάσω καί δογμάτων καί ρημάτων, εἰπέ μοι, ὦ βέλτιστε, εἴ τις ἔροιτό σε περί τοῦ Υἱοῦ, ὡς ἐπειδήπερ γέγραπται ὅτι, «εἴδομεν τήν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρά Πατρός», καί ὅτι «πιστεύω εἰς ἕνα Υἱόν τόν ἐκ τοῦ Πατρός πρό αἰώνων γεννηθέντα, καί τ᾿ ἄλλα ὅσα σοι ἀνωτέρω ἀπηρίθμηται, οἷς οὐ πρόσκειται τό «μόνου», ἐκ τοῦ Πατρός καί ἐκ τοῦ ἁγίου Πνεύματος προσθείς φαίης ἄν γεγεννῆσθαι τόν Υἱόν, τοῦτ᾿ αὐτό προφασιζόμενος ὅτι μή πρόσκειται τό «μόνου»; Ἄπαγε δήπου, φαίης ἄν. Καί αὐτῆς ἐκπέσοι τῆς ἄνωθεν ἀναγεννήσεως ὁ τοῦτο προστιθείς καί μή ἐκ μόνου δοξάζων γεγεννῆσθαι τοῦ Πατρός τόν Λόγον. Οὐδαμοῦ γάρ γεννήτωρ εἴρηται τό Πνεῦμα σύν ἡμῖν καλῶς ἐρεῖς, οὐδέ κοινόν ἔχει τι Πατρί, ὅ μή ἔστι κοινόν καί τῷ Υἱῷ˙ οὐδ ἐκ τῆς δυάδος προάγεται τό ἕν, οὐδ᾿ εἰς τήν δυάδα ἀναφέρεται˙ οὐδ᾿ ἡ μονάς εἰς μονάδα κινηθεῖσα καί εἰς ἑτέραν αὖθις μονάδα ἡ δυάς, «ἀλλ᾿ ἡ μονάς θεοπρεπῶς εἰς δυάδα κινηθεῖσα, μέχρι τριάδος ἔστη». Καί «εἷς ἡμῖν Θεός˙ οὐ μόνον ὅτι μία θεότης, ἀλλ᾿ ὅτι καί εἰς ἕν ἀμφότερα τά ἐξ αὐτοῦ τήν ἀναφοράν ἔχει. Καί μία πηγαία θεότης, ὁ Πατήρ καί μόνος αἴτιος καί μόνος πηγή θεότητος». Οὐκοῦν καί ταῦτ᾿ ἐστίν αὐτοῦ τά ἰδιάζοντα τῶν γνωρισμάτων˙ μόνος γάρ˙ οὐδεμίαν ἄρα τήν κοινωνίαν ἕξει πρός ταῦτα τό Πνεῦμα τό ἅγιον, ἐπεί καί «τά τῆς ὑπερουσίου θεογονίας οὐκ ἀντιστρέφει πρός ἄλληλα», Διονύσιος αὖθις ἄν εἶπεν ὁ οὐρανόφρων.

Ἀλλ᾿ εὖγέ σοι τῆς ἐν τούτοις πρός τε τούς θεοσόφους τῶν πατέρων καί ἡμᾶς τούς ἐξ ἐκείνων σοφισθέντας ἀπαραλλάκτου συμφωνίας. Ἑάλως δ᾿ ὅμως, τό τοῦ λόγου, (σελ. 120) τοῖς σαυτοῦ πτεροῖς καί λυσιτελῶς ὄντως ἐπατάχθης τῷ τοῦ ὀρθοῦ προπολεμοῦντι λόγῳ˙ τό γάρ εἰς αὐτόν ᾗκον, οὐ μόνον ἐπατάχθης, ἀλλά καί ἰάθης κατά τό εἰρημένον ὡς ὑπό Θεοῦ, «πατάξω καί ἰάσομαι».

Ἅ γάρ ἄν εἶπες μεθ᾿ ἡμῶν τε καί τῆς ἀληθείας πρός τούς ἐκ Πατρός τε καί ἐκ τοῦ Πνεύματος λέγοντας γεγεννῆσθαι τόν Υἱόν, ἄλλας τε προφάσεις προφασιζομένους ἐν ἁμαρτίαις, μᾶλλον δέ δυσσεβείαις, καί ὅτι μή προστέθειται τῷ γεγεννῆσθαι ἐκ Πατρός τό “μόνου”, ταῦτα καί αὐτός ἀρτίως ἀφ᾿ ἡμῶν τε καί τῆς ἀληθείας ἄκουε, ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ λέγων ἐκπορεύεσθαι τό Πνεῦμα τό

ἅγιον˙ ἑτέρωθέν τε τοῦτο πειρώμενος πιστοῦσθαι καί τοῦ μή προσκεῖσθαι τῷ ἐκ Πατρός ἐκπορεύεσθαι τό ”μόνου” ˙ καί αὐτῆς γάρ ἐκπεσεῖται τῆς διά τοῦ ἁγίου Πνεύματος υἱοθεσίας ὁ καί ἐκ Υἱοῦ τό Πνεῦμα λέγων˙

Ποῦ γάρ τῶν θεοπνεύστων λογίων προβολέα τόν Υἱόν εὕροι τις ἄν ὠνομασμένον, καίτοι Γρηγορίῳ τῷ μεγάλῳ θεολόγῳ τῶν τοῦ Υἱοῦ προσηγοριῶν πασῶν καί πολλάκις ἀπηριθμημένων καί οὐκ ἀπηριθμημένων μόνον ἀλλά καί τεθεωρημένων; Ὅς καί τό “μονογενής” ἐξηγούμενος, «οὐχ ὅτι», φησί, «μόνος ἐκ μόνου καί μόνον, ἀλλά καί μονοτρόπως»˙ ὅ ἀλλαχοῦ μόνως εἶπε ἰδιοτρόπως, τοῦτ᾽ αὖθις ἐξηγούμενος. Τό δέ “μόνος” ὡς εἷς˙ τό δ᾽ “ἐκ μόνου” ὡς ἐν παρθενίᾳ γεννήσαντος, ταὐτό δ᾽ εἰπεῖν ὡς οὐκ ἀπό συζυγίας. Τό δέ “μόνον” τί ἄν ἄλλο εἴη ἤ ὅτι μόνος Υἱός, ἀλλ᾽ οὐχί καί Πατήρ οὐδέ προβολεύς; Εἰ δέ καί ὁ Πατήρ, Πατήρ μόνον λέγεται, εἰκότως – καί γάρ ἐκ Πατρός τό Πνεῦμα – καί Πατρός λέγεται Πνεῦμα καί ὁ Πατήρ καί τοῦ Πνεύματος λέγοιτ᾽ ἄν ὡς αἴτιος˙ Πατέρα γάρ τῶν φώτων τοῦτον εἶπεν ὁ μέγας Ἰάκωβος ὁ ἀδελφόθεος, τουτέστιν Υἱοῦ καί Πνεύματος, ὡς καί Ἀθανάσιος ὁ μέγας ἐξηγούμενος λέγει. Εἰ δέ τοῦτ᾽ οὕτως (σελ. 122) ἔχει, ὥσπερ οὖν ἔχει, λέγοιτ᾽ ἄν καί ὁ Υἱός Πατήρ φωτός, τουτέστι τοῦ ἁγίου Πνεύματος, εἰ καί ἐξ αὐτοῦ κατά σέ τό Πνεῦμα.

Εἰ γοῦν ταῦτ᾽ ἦν ὀνομάσαι, οἷον Πατέρα φωτός ἤ προβολέα τοῦ ἁγίου Πνεύματος, πῶς ἄν οὐχί τῶν ἄλλων αὐτοῦ σχεδόν πάντων ὀνομάτων ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος προὔθηκε, καίτοι τό πρός τόν Πατέρα ἀγωνιζόμενος δεικνύναι; Διό φησιν˙ «εἰ μέγα τῷ Πατρί τῷ μηδαμόθεν ὡρμῆσθαι, οὐκ ἔλαττον τῷ Υἱῷ τό ἐκ τοιούτου Πατρός. Καί πρόσεστιν τῷ Υἱῷ τό τῆς γεννήσεως πρᾶγμα τοσοῦτον». Εἰ γοῦν προσῆεν τό προβολέα εἶναι, πῶς οὐκ ἄν εἶπε πρᾶγμα τοσοῦτον, δι᾽ ὅ καί μᾶλλον ἄν δεικύειν ἔδοξεν ἴσον τῷ Πατρί; Ἀλλ᾽ οὐκ εἶπεν˙ οὐκοῦν οὐδέ πρόσεστιν.

Ὁ γάρ μέγας οὗτος θεολόγος οὐδ᾽ ἁπλῶς οὕτω τό ἐκπορευόμενον ἴδιον τίθησι τοῦ Πνεύματος, ἀλλά τό ἐκ τοῦ Πατρός ἐκπορευόμενον, προορῶν δήπου καί προανατρέπων σου τήν δυσσεβῆ προσθήκην. Ἀνωτέρω γάρ μικρόν εἰπών, τόν μέν Πατέρα γεννήτορα καί προβολέα, τόν δέ Υἱόν προβολέα μέν οὐ, γέννημα δέ μόνον, προσϊών, ἡμεῖς δέ, φησίν, «ἐπί τῶν ἡμετέρων ὅρων ἱστάμενοι, τό ἀγέννητον εἰσάγομεν καί τό γεννητόν καί τό ἐκ τοῦ Πατρός ἐκπορευόμενον». Οὐκ εἶπε τό ἐκπορευόμενον ἁπλῶς ἴδιον τοῦ Πνεύματος ὑπάρχειν, ἵνα

μή τις ἐκ τοῦ Υἱοῦ ἤ καί ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι νομίσῃ τό Πνεῦμα τό ἅγιον· τό μέν γάρ γεννητόν συνεισάγει τῇ διανοίᾳ τόν Πατέρα, τό δέ ἐκπορευτόν οὐχ οὕτω. Διά τοῦτο τό ἐκ Πατρός ἐκπορευόμενον ἴδιον τέθηκε τοῦ Πνεύματος· «τοῦτο γάρ», φησί καί Βασίλειος ὁ μέγας, «γνωριστικόν τῆς κατά τήν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει τό Πνεῦμα τό ἅγιον, τό μετά τόν Υἱόν καί σύν αὐτῷ γνωρίζεσθαι καί ἐκ τοῦ Πατρός ὑφεστάναι». Ἀλλ᾽ ὁρᾷς, ὅπως παρ᾽ ἡμῶν (σελ. 124) δικαίως ἀπελήλασθε τῆς κοινωνίας, οὐκ ἐπί τῶν ἡμετέρων ὅρων καί τῆς εὐσεβείας ἱστάμενοι;

Ἤ γάρ καί τόν Υἱόν Πατέρα προσερεῖς, ὡς καί ἀνωτέρω δέδεικται, ἵν᾽ ἐκπορευόμενον εἴη σοι καί ἐξ αὐτοῦ τό Πνεῦμα, ἤ τό ἐκ τοῦ Πατρός ἐκπορεύεσθαι οὐκ ἄν ἴδιον εἴη σοι τοῦ Πνεύματος, οὐδέ τό ἐκπορεύειν ἴδιον εἶναι νομίσεις τοῦ Πατρός, καί ἀπ᾽ ἐναντίας θεολογήσεις τοῦ τό θεολογεῖν ἐπωνυμίαν κτησαμένου καί πρός τήν ἐναντίον ὄντως μοῖραν στήσῃ καί παρ᾽ ἡμῶν ἐκκήρυκτος γενήσῃ· τάς γάρ αὐτοῦ φωνάς ἐκφαντορίας οὔσας ἴσμεν τοῦ ἁγίου Πνεύματος. Ἀλλά γάρ, ὥσπερ τῆς νοτίδος ἐξ ὑγρῶν σωμάτων ἐκπορευομένης καί τοῦτ᾽ ἴδιον ἐχούσης καί τῶν ὑγρῶν σωμάτων ἴδιόν ἐστι τό νοτίδα ἐκπορεύειν, τόν αὐτόν τρόπον καί τοῦ Πνεύματος ἴδιον ἔχοντος τό ἐκ τοῦ Πατρός ἐκπορεύεσθαι καί τοῦ Πατρός ἐξ ἀνάγκης ἐστι τό τό Πνεῦμα ἐκπορεύειν.

Μόνου ἄρα τοῦ Πατρός ἡ τοῦ Πνεύματος ἐκπόρευσις· καί ἀεί ἐκ μόνου τοῦ Πατρός ἐκπορεύεται τό Πνεῦμα καθ᾽ ὑπαρκτικήν ἀλλ᾽ οὐκ ἐκφαντικήν προέλευσιν. Καί ἐν οἷς γάρ τῷ ἐκπορευτῷ μή συνεκφωνεῖται τό ἐκ τοῦ Πατρός, συνυπακουόμενον ἐστιν ἀεί τοῖς συνετῶς ἀκούουσιν, ὥσπερ καί ἐπί τοῦ Υἱοῦ τῷ γεννητῷ συνυπακούεται. Γεννητός γάρ καί ἡμῶν ἁπάντων ἕκαστος· γεννητός δέ ἐκ τοῦ Πατρός, ταὐτόν δ᾽ εἰπεῖν ἐκ Θεοῦ Πατρός, μόνος ὁ Υἱός, ὥστε τό συννημένον τοῦτ᾽ ἔστιν ἴδιον αὐτοῦ καί ἀεί συννοεῖται, κἄν μή συνεκφωνεῖται. Τόν αὐτόν οὖν τρόπον ἐκπορευτόν ἄν εἴποις καί τό πνεῦμα τό ἡμέτερον. Οὐκοῦν οὐ τό ἁπλῶς ἐκπορευτόν ἴδιον τοῦ ἁγίου Πνεύματος, ἀλλά τό ἐκ τοῦ Πατρός ἐκπορευτόν· ἐκεῖνος γάρ ἀεί Πατήρ. Τῶν ἀδυνάτων ἄρ᾽ ἐστίν ἐκ τοῦ Υἱοῦ ἐκπορευτόν ὑπάρχειν, εἰ μή καί ὁ Υἱός εἴη σοι Πατήρ. Οὐ μόνον δέ τό ἐκ τοῦ Πατρός τῷ ἐκπορευτῷ συνυπακούεται, ἀλλά καί τό ἐκ μόνου τοῦ Πατρός, καθάπερ καί τῷ γεννητῷ· (σελ. 126) ὡς γάρ οἱ ἔνθεοι θεολόγοι διδάσκουσιν ἡμᾶς, ὅ καί ἀνωτέρω ἔφημεν, χωρίς τοῦ γεννητῶς τε καί

ἐκπορευτῶς, ὡς ὁ Υἱός ἐκ τοῦ Πατρός, οὕτω καί τό Πνεῦμα˙ τοιγαροῦν παντάπασιν ἀδύνατον εἶναι καί ἐκ τοῦ Υἱοῦ.

Πρός δέ, εἰ καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα καί δι᾽ αὐτοῦ τήν ὕπαρξιν ἔχει κατά σέ, αὐτός ἐστιν ἕνωσις Πατρός καί Πνεύματος. Πῶς οὖν ὁ αὐτός μέγας ἐν θεολογίᾳ Γρηγόριός φησιν, «ἄναρχον καί ἀρχή καί τό μετά τῆς ἀρχῆς εἷς Θεός», «φύσις δε τοῖς τρισί μία˙ ἕνωσις δέ ὁ Πατήρ, ἐξ οὗ καί πρός ὅν ἀνάγεται τά ἑξῆς, οὐχ ὡς συναλείφεσθαι, ἀλλ᾽ ὡς ἔχεσθαι»;

Ἀκούων γάρ τις διά τοῦ Υἱοῦ τό Πνεῦμα τῷ Πατρί συναπτόμενον, νοεῖν ἄν ἔχοι τοῦτο λεγόμενον, διά τήν κατά τήν ὁμολογίαν ἐκφώνησιν, μέσου κειμένου τοῦ Υἱοῦ. Καί ὅτι Πατρός Πνεῦμα οὐκ ἄν ἄλλως λέγοιτο, εἰ μή διά τόν Υἱόν. Ἕνωσις δέ ὁ Πατήρ πῶς ἄν εἴη, εἰ μή προσεχῶς ἔχει πρός ἑκάτερον ἀμέσως προβαλλόμενος ἑκάτερον; Ἀλλά καί τό οὐχ ὡς συναλείφεσθαι δέ, ἀλλ᾽ ὡς ἔχεσθαι, τήν προσεχῆ καί ἄμεσον ἑκατέρου σχέσιν πρός αὐτόν δηλοῖ.

Τί δέ, ὅτι «τό ἄναρχον καί ἡ ἀρχή καί τό μετά τῆς ἀρχῆς εἷς Θεός»; Εἰ γάρ ἐξ Υἱοῦ τό Πνεῦμα ᾔδει, τό ἐκ τῆς ἀρχῆς ἄν εἶπεν, οὐ τό μετά τῆς ἀρχῆς.

Οὐκοῦν ὅταν ἀκούσῃς διά τοῦ Υἱοῦ τό Πνεῦμα ἐκπορεύεσθαι, ὡς συμπαρομαρτοῦν τῷ λόγῳ νόησον. Οὕτω γάρ καί τήν “διά” οὐκ εἰς τήν “ἐκ” κακῶς, ἀλλ᾽ εἰς τήν “μετά”, τῷ τῆς θεολογίας ἐπωνύμῳ συνᾴδων μεταλήψῃ. «Πνεῦμα γάρ», φησί, «μεμαθήκαμεν», Δαμασκηνός ὁ θεῖος, «τό συμπαρομαρτοῦν τῷ λόγῳ καί φανεροῦν αὐτοῦ τήν ἐνέργειαν». (σελ. 128) Συμπαρομαρτεῖν δέ ἐστι τό συνακολουθεῖν, ὡς ὁ αὐτός ἐκεῖ φησιν ὥστε οὐχί καί ἐκ τοῦ Υἱοῦ, ἀλλά σύν τῷ Υἱῷ τό Πνεῦμα ἐκ Πατρός, συνακολουθούσης ἀδιαστάτως τε καί ἀχρόνως τῇ γεννήσει τῆς ἐκπορεύσεως. Μεμαθήκαμεν δέ εἶπεν, ὡς τῶν πρό αὐτοῦ θεοφόρων οὕτω διδασκόντων, παρ᾽ ὧν μυηθείς οὕτω νοεῖν τό Πνεῦμα δι᾽ Υἱοῦ, τό ἐκ τοῦ Υἱοῦ τοῦτο λέγειν παντάπασιν ἀπηγόρευσεν.

Εἰ δ᾽ ὁ μέγας Βασίλειος οὐδέν εἶναί φησιν ἀπᾷδον εἰς τήν “ἐκ” τήν “διά” μεταλαμβάνειν, ἀλλ᾽ ἐπί τῶν κτισμάτων, διό καί τόν ἀπόστολον προήγαγεν εἰπόντα, «ἐξ αὐτοῦ καί δι᾽ αὐτοῦ καί εἰς αὐτόν τά πάντα», παρ᾽ αὐτοῦ γάρ δεδημιούργηνται καί δι᾽ αὐτοῦ συνέχονται καί πρός αὐτόν ἐπιστρέφονται τά ὄντα πάντα, ὁ δέ ἱερός Δαμασκηνός κἀν τῷ ἑβδόμῳ τῶν Θεολογικῶν αὐτοῦ κεφαλαίων προθείς πάλιν ὅ καί ἀνωτέρω ἔφημεν, μετά τινα συνᾴδων τῷ Κατηχητικῷ λόγῳ τοῦ

Νύσσης ἐνθέου Γρηγορίου, «τό ἅγιον Πνεῦμα δύναμιν εἶναί φησιν οὐσιώδη, αὐτήν ἐφ᾽ ἑαυτῆς ἐν ἰδιαζούσῃ ὑποστάσει θεωρουμένην καί αὐτοῦ, δηλονότι τοῦ Λόγου, οὖσαν ἐκφαντικήν, οὐ χωρισθῆναι τοῦ Θεοῦ ἐν ᾧ ἐστι καί τοῦ Λόγου ᾧ συμπαρομαρτεῖ δυναμένην», ἆρ᾽ οὐ σαφές κἀντεῦθεν, ὡς οὐχί καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα τό ἅγιον;

Οὐ μήν, ἀλλ᾽ ἐπεί παρά τῶν θεολόγων ποτέ μέν ὁ Πατήρ μέσος εἶναι λέγεται Υἱοῦ καί Πνεύματος, ποτέ δέ ὁ Υἱός μέσος τοῦ Πατρός τε καί Πνεύματος, ποτέ δέ τό Πνεῦμα μέσον τοῦ Πατρός τε καί Υἱοῦ, οὐκ ἄν εἴη τό Πνεῦμα τρίτον ἀπό τοῦ Πατρός, οὐδ᾽ ἄν ἐκ τοῦ Πατρός διά τοῦ Υἱοῦ τό εἶναι ἔχοι. Τοῖς γάρ ἐφεξῆς τρισί σημείοις, οὐκ ἄν εἴη ποτέ τι τῶν ἑκατέρωθεν κειμένων ἄκρων μέσον· ἀλλ᾽ ἔοικεν ἡ ἐπί τῆς θεολογίας μεσότης νοουμένη τοῖς ἐπί τῶν γωνιῶν τοῦ ἰσοπλεύρου τριγώνου σημείοις ἄκροις· ἐκεῖ γάρ ἕκαστον μέσον ἑκατέρωθεν εὑρίσκεται. Ἄν δέ καί τόν μεσότητα πρῶτον ἔχοντα ἐν ἀριθμοῖς ἐπισωρεύσας ὡς ἐν ἐπιπέδῳ θῇς, οὕτω (σελ. 130) τόν τε πρῶτον ἐνεργείᾳ τρίγωνον ἀποτελέσεις ἀριθμόν, καί ἥν ἄν λάβοις τῶν ἐν αὐτῷ μονάδων μέση δυσῖν ὑπολοίποιν ἔσται. Εἴ τις οὖν ἀρχήν καί αἴτιον τῶν δύο κέντρων ὑποθοῖτο τό ἕν, προσεχῶς καί ἀμέσως ἐξ ἀνάγκης ἐκεῖνο πρός ἑκάτερον ἔχει κἀν ταῖς μονάσι δήπου τόν αὐτόν τρόπον.

Τί δέ, οἱ λέγοντες ὡς ἕν ἕκαστον αὐτῶν ἔχει πρός τό ἕτερον οὐχ ἧττον ἤ πρός ἑαυτό, ἆρ᾽ οὐκ ἀριδήλως ἀμέσως ἔχειν παριστῶσι πρός ἄλληλα;

Τί δ᾽ ὁ ἐμμέτροις Ἔπεσι θεολογικῶς τε ἅμα καί πατρικῶς ἐγκελευόμενος, ὡς εἴπερ ἀκούσαις περί Υἱοῦ καί Πνεύματος, «ὧς ρα Θεοῖο τά δεύτερα Πατρός ἔχουσιν, οὕτω νοεῖν κέλομαί σε λόγους σοφίης βαθυκόλπου»· ὡς εἰς ρίζαν ἄναρχον ἀνέρχεται, οὐ θεότητα τέμνει. Εἰ γάρ μή ἀμέσως ἦν ἐκ τοῦ Πατρός τό Πνεῦμα, οὐκ ἄν δεύτερον καί τοῦτ᾽ ἀπό τοῦ Πατρός ἐτίθει, καθά καί τόν Υἱόν.

Καί μήν ἐκπόρευσις, ἐφ᾽ οὗπερ ἄν λέγοιτο, πρόοδός τις καί κίνησίς ἐστι, κατάλληλος τῷ τε ἐκπορεύοντι καί τῷ ἐκπορευομένῳ. Ἡ δέ τοῦ Πνεύματος πρόοδος διττή διά τῆς θεοπνεύστου κηρύσσεται Γραφῆς· προχεῖται γάρ ἐκ τοῦ Πατρός διά τοῦ Υἱοῦ, εἰ δέ βούλει καί ἐκ τοῦ Υἱοῦ, ἐπί πάντας τούς ἀξίους, οἷς καί ἐπαναπαύεται καί ἐνοικεῖ. Αὕτη οὖν ἡ κίνησίς τε καί πρόοδος, εἰ δέ βούλει καί ἐκπόρευσις – οὐδέ γάρ περί τῶν ὀνομάτων ζυγομαχοῦντες ἀσχημονήσομεν, ἐπεί καί ὁ Δαβίδ λέγει, «ὁ Θεός ἐν τῷ ἐκπορεύεσθαί σε ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ

διαβαίνειν σε ἐν τῇ ἐρήμῳ, γῆ ἐσείσθη», ἐκπόρευσιν ἐνταῦθα λέγων τήν τοῦ Πνεύματος ἔκχυσιν ἐπί πᾶσαν σάρκα τήν εἰς Χριστόν πιστεύσασαν, ἥτις ἔρημος ἦν πρότερον τῆς χάριτος, ὥσπερ καί σεισμόν τῆς γῆς τήν ἐξ εἰδωλολατρίας πρός Θεόν μετάθεσιν – αὕτη οὖν ἡ ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ πρόοδος τοῦ Πνεύματος οὐκ ἄν εἴη πάντως καί διά τῶν ἀξίων· καί ταῦτα πρός τούς (σελ. 132) αὐτούς πάλιν, ἐν οἷς οἰκεῖ τε καί ἀναπαύεται χάριτι τό Πνεῦμα τό ἅγιον. Ἀνάπαυσις γάρ ἐστιν ἐν τούτοις, ἀλλ᾽ οὐκ ἐξ αὐτῶν κίνησις τοῦ Πνεύματος, ἀλλά μᾶλλον τῆς ἐπ᾽ αὐτούς κινήσεως παῦλα· κἄν τινες μεταδιδόναι δύναμιν ἐκτήσαντο, ἀλλ᾽ ἑτέρῳ πάντως τρόπῳ.

Ἡ μέντοι ἐκ Πατρός δι᾽ Υἱοῦ, ἥν ἔφημεν, πρόοδος τοῦ Πνεύματος καλεῖται καί εὐδοκία Πατρός τε καί Υἱοῦ, ὡς διά φιλανθρωπίαν πάντως τελεσθεῖσα, καί ἀποστολή καί δόσις καί συγκατάβασις, καί χρονικῶς ἀεί προάγεται καί πρός τινας καί δι᾽ αἰτίας, ἵνα ἁγιάσῃ καί διδάξῃ καί ὑπομνήσῃ καί τούς ἀπειθεῖς ἐλέγξῃ· μίαν μέν οὖν αὕτη κίνησις καί πρόοδος τοῦ Πνεύματος.

Ἔστι δέ καί ἡ ἀναιτίως τε καί ἀπολελυμένως πάντῃ καί ὑπέρ εὐδοκίαν καί φιλανθρωπίαν, ὡς μή κατά θέλησιν ἀλλά κατά φύσιν μόνην ἐκ τοῦ Πατρός οὖσα προαιώνιος καί ὑπερφυεστάτη τοῦ Πνεύματος ἐκπόρευσις καί κίνησις καί πρόοδος. Ζητῆσαι δή χρεών ἡμᾶς καί κατά ταύτην τήν ἄφραστόν τε καί ἀπερινόητον κίνησιν τό Πνεῦμα προερχόμενον ἐκ τοῦ Πατρός, ἆρ᾽ ἔχει κατά τάς γραφάς καί «ἐν ᾧ ἀναπαύεται» θεοπρεπῶς; Ζητοῦντες οὖν εὑρίσκομεν εὐδοκιμήσαντα τόν Πατέρα τοῦ μονογενοῦς Θεοῦ διδάξαι καί ἀποκαλύψαι τοῦτο πρῶτον Ἰωάννῃ τῷ τοῦ Κυρίου προδρόμῳ τε καί βαπτιστῇ, ὅς φησι· «κἀγώ οὐκ ᾔδειν αὐτόν, ἀλλ᾽ ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ᾽ ὅν ἄν ἴδοις τό Πνεῦμα καταβαῖνον καί μένον ἐπ᾽ αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ». Διό «καί ἐμαρτύρησεν ὁ Ἰωάννης λέγων ὅτι τεθέαμαι τό Πνεῦμα καταβαῖνον ὡσεί περιστεράν ἐξ οὐρανοῦ καί ἔμεινεν ἐπ᾽ αὐτόν».

Ἀλλ᾽ ἵνα μή τις, νομίσας διά τήν ἐνανθρώπησιν τοῦ Κυρίου ταῦτα λεχθῆναί τε καί τελεσθῆναι παρά τοῦ Πατρός, οὐχ ἱκανόν εἶναι δεῖγμα τοῦτ᾽ εἴπῃ πρός εὕρεσιν τοῦ ζητουμένου (σελ. 134) ἀκουέτω Δαμασκηνοῦ τοῦ θείου γράφοντος ἐν ὀγδόῳ τῶν Δογματικῶν, «πιστεύομεν καί εἰς ἕν Πνεῦμα ἅγιον, τό ἐκ Πατρός ἐκπορευόμενον καί ἐν Υἱῷ ἀναπαυόμενον», καί ἐν τῷ περί θείου τόπου, «Θεός τό

Πνεῦμα τό ἅγιόν ἐστι, δύναμις ἁγιαστική ἐνυπόστατος ἐκ τοῦ Πατρός ἀδιαστάτως ἐκπορευομένη καί ἐν Υἱῷ ἀναπαυομένη». Διό καί ταμίας τοῦ θείου Πνεύματος ὁ Χριστός ἐκ Θεοῦ γνήσιος Υἱός ἐστί τε καί λέγεται. Ὅ καί ὁ θεῖος Κύριλλος ἐν Θησαυροῖς δεικνύς, «ἀνάγκη πᾶσα», φησί, «τῆς θείας φύσεως εἶναι λέγειν τό Πνεῦμα τό ἅγιον, ἧς καί ἔστιν ἀπαρχή κατά τόν ἀπόστολον· εἰ δέ τοῦτο, οὐκ ἔστι κτίσμα, Θεός δέ μᾶλλον ὡς ἐκ Θεοῦ καί ἐν Θεῷ». Καί πάλιν, «Θεός ἄρα τό Πνεῦμά ἐστι τό ἐν Υἱῷ παρά Πατρός φυσικῶς ὑπάρχον καί ὅλην αὐτοῦ τήν ἐνέργειαν ἔχον». Ἀλλά καί ὁ τοῦ Διαλόγου θεῖος Γρηγόριος ἐν τῷ τελευταίῳ αὐτοῦ λόγῳ φησίν, ὅτι «τό Πνεῦμα τό ἅγιον ἐκ τοῦ Πατρός ἐκπορεύεται καί ἐν τῷ Υἱῷ μένει». «Οὕτω γάρ ἄν θεώμενοι σεφθείημεν πηγήν ζωῆς εἰς ἑαυτήν χεομένην καί ἐφ᾽ ἑαυτῆς ἑστῶσαν ὁρῶντες», κατά τόν μέγαν θεοφάντορα Διονύσιον.

Καί τοίνυν τό Πνεῦμα τό ἅγιον κατά τήν προαιώνιον ἐκείνην καί ἀπερινόητον ἐκπόρευσίν τε καί πρόοδον ἐκ τοῦ Πατρός ἐκπορευόμενον καί ἐν Υἱῷ ἀναπαυόμενον, πῶς ἄν διά τοῦ Υἱοῦ ἐν ᾧ ἀναπαύεται ταύτην ἔχει τήν πρόοδον; Οὐκοῦν εἰ καί ἐκ τοῦ Υἱοῦ πάλιν προέρχεσθαι θεολεγεῖται, οὐ κατ᾽ ἐκείνην πάντως, ἀλλά καθ᾽ ἑτέραν πρόοδον, ἥτις ἐστίν ἡ πρός ἡμᾶς φανέρωσις καί πρός τούς ἀξίους μετάδοσις. Ὁ γάρ Χριστός ἐστι κατά τόν θεολόγον Γρηγόριον ὁ τοῦ Πνεύματος ταμίας, ὡς Θεός τε καί Θεοῦ Υἱός. Ὁ δέ ταμίας οὐκ ἐξ ἑαυτοῦ πάντως τά διδόμενα προβάλλεται, καίτοι φυσικῶς ἔχει ἐν αὐτῷ τό Πνεῦμα τό ἅγιον ὁ ἐκ Θεοῦ Θεός (σελ. 136) καί φυσικῶς ἐξ αὐτοῦ προϊόν εἰς τούς ἀξίους, ἀλλ᾽ οὐχί τήν ὕπαρξιν ἔχον ἐξ αὐτοῦ. Ταῦτ᾽ ἄρα καί αὐτός ὁ Κύριος, «ὅταν ἔλθῃ», φησίν, «ὁ παράκλητος, ὅν ἐγώ πέμψω ὑμῖν παρά τοῦ Πατρός», ὡς παρά τοῦ Πατρός ἐκπορευόμενον καί ἐν αὐτῷ ἀναπαυόμενον καί οὕτω πεμπόμενον πρός τούς οἰκείους.

Εἰ δ᾽ ὡς τήν ὕπαρξιν ἔχον ἐκ τοῦ Υἱοῦ, ὡς δι᾽ Υἱοῦ παρ᾽ αὐτοῦ τό Πνεῦμα πέμπεται, ἀρχήν οὐκοῦν ἔχει καί τοῦτο τόν Υἱόν καί τῶν γεγονότων ἐστίν ἕν. Καί μαρτυρείτω πάλιν ἡ θεολόγος φωνή· «τηροῖτο γάρ», φησίν, «ὡς ὁ ἐμός λόγος, εἷς μέν Θεός, εἰς ἕν αἴτιον καί Υἱοῦ καί Πνεύματος ἀναφερομένων, καί κατά τό ἕν καί ταὐτόν τῆς θεότητος, ἵν᾽ οὕτως εἴπω, κίνημά τε καί βούλημα καί τήν τῆς οὐσίας ταυτότητα. Αἱ δέ τρεῖε ὑποστάσεις μηδεμιᾶς ἐπινοουμένης συναλοιφῆς ἤ ἀναλύσεως ἤ συγχύσεως, Πατρός μέν ὡς ἀνάρχου καί ἀρχῆς ἐπινοουμένου καί λεγομένου, ἀρχῆς δέ ὡς αἰτίου καί ὡς πηγῆς

καί ὡς ἀϊδίου φωτός, Υἱοῦ δέ ἀνάρχου μέν οὐδαμῶς, ἀρχῆς δέ τῶν ὅλων». Εἰ οὖν καί τοῦ Πνεύματος εἴη ἀρχή ὁ Υἱός, ἕν τῶν ὅλων ἔσται κατά σέ τό Πνεῦμα˙ τούτων γάρ ἀρχή καί ὁ Υἱός. Ἵν᾿ οὖν αὖθις εἴπω τό τοῦ θεολόγου, «δεῖξον ὅτι γέγονε τό Πνεῦμα καί τότε τῷ Υἱῷ δός», ὥστε δι᾿ αὐτοῦ ἤ καί ἐξ αὐτοῦ τήν ὕπαρξιν κεκτῆσθαι, - ἐπεί καί ὁ θεῖος Κύριλλος πρός τούς λέγοντας ὡς, εἰ καί ἐκ τοῦ Θεοῦ τό Πνεῦμα, ἀλλ᾿ οὐ κυρίως οὐδ᾿ ἐξῃρημένως, ἵν᾿ ἐντεῦθεν ὁμοούσιον νοῆται τό ἐξ οὗ, γέγραπται γάρ ὅτι καί τά πάντα ἐκ Θεοῦ «μένει», φησί, «τῷ ἁγίῳ Πνεύματι κυρίως τό ἐξ οὗ, διά τό ἐκ Θεοῦ Πατρός πρός τό εἶναι τά οὐκ ὄντα δραμεῖν, δι᾿ Υἱοῦ δέ» - δεῖξον οὖν, ἵνα πάλιν εἴπω, τό θεῖον Πνεῦμα ἐκ μή ὄντων, καί τότε καί ἐκ τοῦ Υἱοῦ τήν ὑπόσταστιν αὐτῷ παράσχου, ταὐτό δ᾿ εἰπεῖν παρ᾿ ἀμφοτέρων. Ἐξ ἀμφοτέρων οὖν ὑπάρχον τό Πνεῦμα οὐκ ἔστι μή ἕν τῶν πάντων εἶναι ἤ τό τάχα μετριώτερον (σελ. 138) δοκοῦν, μή καί ἀμφοτέρους τό ἕν αἰτίους ἔχειν καί ἀρχήν ἑκάτερον. Ὡς γάρ ἐξ ἀμφοτέρων τῆς κτίσεως ἁπάσης προηγμένης ἑκάτερός ἐστιν ἀρχή τῶν ὅλων, οὕτως ἐξ ἀμφοτέρων τοῦ Πνεύματος ἐκπορευομένου, κατά τούς λατινικῶς φρονοῦντας, ἑκάτερος ἔσται τοῦ πνεύματος ἀρχή, καί δύο κἀντεῦθεν ἔσονται ἀρχαί τῆς μιᾶς θεότητος. Εἰ γάρ συντελεῖ τι, μάτην εἴληπται καί ὡς ἐκ γεωμετρικοῦ πορίσματος μάταιοι ὄντως ἀνεφάνησαν οἱ λατῖνοι θεολόγοι˙ οὐ γάρ ταῦτ᾿ ἔχουσι λέγειν. Ὡς, καθάπερ ἐπί τῶν δημιουργημάτων ἑκατέρου ὑπάρχοντος ἀρχῆς, μία οὐδέν ἧττόν ἐστιν ἀρχή, οὕτω δή κἀνταῦθα μία ἔσται, κἄν ἐξ ἀμφοτέρων λέγηται. Ἐκεῖ μέν γάρ, καθάπερ ἔφημεν, φυσική ἐστιν, ἀλλ᾿ οὐχ ὑποστατική, διά τοῦτο ἡ δημιουργική δύναμις μία καί ἀμφοῖν˙ ἐνταῦθα δέ οὐχί τό γόνιμον ἀμφοῖν.

Ἠκούσαμεν γάρ μικρόν ἀνωτέρω τοῦ τῆς θεολογίας ἐπωνύμου, τόν μέν Πατέρα πηγήν καί ἀρχήν εἰπόντος ἀϊδίου φωτός, τόν δέ Υἱόν ἄναρχον μέν οὐδαμῶς ἀρχήν δέ τῶν ὅλων. Διό καί «μόνη πηγή τῆς ὑπερουσίου θεότητος ὁ Πατήρ», ὁ μέγας εἶπε Διονύσιος ὁ Ἀρεοπαγίτης˙ καί αὖθις «ἔστι πηγαία θεότης ὁ Πατήρ, ὁ δέ Υἱός καί τό Πνεῦμα τῆς θεογόνου θεότητος, εἰ οὕτω χρή φάναι, βλαστοί θεόφυτοι καί οἷον ἄνθη καί ὑπερούσια φῶτα»˙ καί πάλιν˙ «διακεκριμένα δέ ἐστι τό Πατρός ὑπερούσιον ὄνομα καί χρῆμα καί Υἱοῦ καί Πνεύματος, οὐδεμιᾶς ἐν τούτοις ἀντιστροφῆς ἤ ὅλως κοινότητος ἐπεισαγομένης». Κἀν τῷ Περί μυστικῆς θεολογίας τρίτῳ, «ἐκ τοῦ ἀΰλου», φησί, «καί ἀμεροῦς ἀγαθοῦ τά ἐγκάρδια τῆς ἀγαθότητος ἐξέφυ φῶτα, καί τῆς ἐν

αὐτῷ καί ἐν ἑαυτοῖς καί ἐν ἀλλήλοις συναϊδίου τῇ ἀναβλαστήσει (σελ. 140) μονῆς ἀπομεμένηκε ἀνεκφοίτητα»˙ καί αὖθις˙ «τά τῆς ὑπερουσίου θεογονίας οὐκ ἀντιστρέφει πρός ἄλληλα».

Εἰ τοίνυν εἴποις προβολέα τόν Υἱόν ὁ Πατήρ οὐδέποτ᾽ ἄν εἴη προβολεύς˙ κοινωνήσει γάρ κατά τό θεογόνον τῷ Υἱῷ˙ ἀλλά τοῦτ᾽ ἀπείρηται. Εἰ δέ τόν Πατέρα φαίης, ὥσπερ οὖν ἐστιν, ὁ Υἱός οὐκ ἄν εἴη προβολεύς, οὐκ ἄρα ἐξ αὐτοῦ τό Πνεῦμα˙ μόνος γάρ θεότης θεογόνος ὁ μόνος γεννήτωρ καί προβολεύς˙ κατά ταῦτα γάρ καί θεογόνος. Ταύτην δή τήν κοινωνίαν καί ὁ μέγας Βασίλειος ἀπαγορεύων πρός τόν ἑαυτοῦ γράφων ἀδελφόν, «τό Πνεῦμα», φησί, «τό ἅγιον τοῦ Υἱοῦ μέν ἤρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται˙ τῆς δέ τοῦ Πατρός αἰτίας ἐξημμένον ἔχει τό εἶναι, ὅθεν καί ἐκπορεύεται, τοῦτο γνωριστικόν τῆς κατά τήν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχον, τό μετά τόν Υἱόν καί σύν αὐτῷ γνωρίζεσθαι καί ἐκ τοῦ Πατρός ὑφεστάναι. Ὁ δέ Υἱός τό ἐκ τοῦ Πατρός ἐκπορευόμενον Πνεῦμα δι᾽ ἑαυτοῦ καί μεθ᾽ ἑαυτοῦ γνωρίζων, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτός ἐκλάμψας, οὐδεμίαν κατά τό ἰδιάζον τῶν γνωρισμάτων τήν κοινωνίαν ἔχει πρός τόν Πατέρα ἤ τό Πνεῦμα τό ἅγιον».

Ὁρᾷς ὅπως ἔχει πρός τε τόν Πατέρα καί τόν Υἱόν τό Πνεῦμα τό ἅγιον καί τίνα Υἱοῦ καί Πνεύματος τά γνωρίσματα; «Γνωρίζει τοίνυν ἡμῖν», φησί, «καί φανεροῖ τό Πνεῦμα τό ἅγιον, δι᾽ ἑαυτοῦ καί μεθ᾽ ἑαυτοῦ ὁ τοῦ Θεοῦ μονογενής Υἱός, ἀλλ᾽ οὐχί καί ἐκπορεύει, ἵνα μή κοινωνίαν ἔχῃ κατά τό ἰδιάζον τῷ Πατρί. Τῆς γάρ τοῦ Πατρός, φησίν, αἰτίας ἐξημμένον ἔχει τό εἶναι τό Πνεῦμα τό ἅγιον, ἥτις ἰδιότης μόνου τοῦ Πατρός ἐστι˙ «Πάντα γάρ», φησίν ὁ θεολόγος, «ὅσα ἔχει ὁ Πατήρ, τοῦ Υἱοῦ ἐστιν, ἄνευ τῆς αἰτίας». Τίς οὖν ἐκ τοῦ παντός αἰῶνος τῶν ἐνθέων θεολόγων τά ἴδια ἑκάστου τῶν τριῶν τῆς μιᾶς θεότητος προσώπων τοῖς δυσίν ἤκουσται προσνείμας, ἀλλά μή ἀσύγχυτα φυλάξας; Ὅτι δέ τοῦ Πατρός ἴδιον τό ἐκπορεύειν δῆλον˙ Τῆς γάρ αὐτοῦ, (σελ. 142) φησίν, αἰτίας ἐξῆπται τό Πνεῦμα, ὅθεν καί ἐκπορεύεται, παρ᾽ οὗ καί ὑφέστηκεν˙ εἰ καί μετά τόν Υἱόν καί σύν αὐτῷ γνωρίζεται.

Ἐπεί δέ τά κοινά ἐπί τῆς ἀνωτάτω καί προσκυνητῆς Τριάδος ἐπίστης ἔνεστιν, οἷς ἐστι κοινά, τό δέ ἐκ τοῦ Πατρός εἶναι κατά τούς Λατίνους οὐκ ἐπίσης πρόσεστι τῷ Υἱῷ καί τῷ ἁγίῳ Πνεύματι, - ὁ μέν γάρ προσεχῶς ἐξ αὐτοῦ γεγέννηται καί ἐκ μόνου τοῦ Πατρός, τό δέ ἐμμέσως καί οὐ προσεχῶς ἐκπορεύεται καί οὐκ ἐκ μόνου τοῦ Πατρός

ὥς γε αὐτοί φρονοῦσιν – εἰ οὖν κατ᾽ αὐτούς οὐκ ἐπίσης πρόσεστιν, οὐδέ κοινόν Υἱῷ καί Πνεύματι τό εἶναι ἐκ Πατρός˙ εἰ δέ μή κοινόν τοῦτ᾽ἔστιν αὐτοῖς, οὐδ᾽ ἐκ τοῦ Πατρός ὅλως οὐδέτερον αὐτῶν. Θάτερον γάρ ὁποιονοῦν ἐκ τοῦ Πατρός ὑπάρχον, θάτερον ἐκβάλλεται μή κοινωνοῦν, καί δι᾽ ἀλλήλων ἀμφότερα. Οὕτως οὐδέν ἄν διαφύγοις τῶν ἀτόπων ὁ λατινικῶς φρονῶν, ὥσπερ οὐδ᾽ οἱ ἐκ τοῦ Πνεύματος εἰπόντες τόν Υἱόν, ἀλλ᾽ οἷς ἄν ἐπιχειρήσης διαφεύγειν, τοῖς αὐτοῖς ἐπιχειρήμασι κἀκεῖνοι χρήσονται καί σοι δι᾽ ἑαυτῶν ἄφυκτον ἀποδείξουσι τόν τῶν ἀτόπων ἑσμόν.

Εἰ γάρ ὅτι μετά τόν Υἱόν λέγεται τό Πνεῦμα ὑπαριθμούμενον ἐρεῖς, ὅ σοι δοκεῖ τῶν ἐπιχειρημάτων ἀσφαλέστερον, ὡς ἔγωγ᾽ ἄν φαίην οὐχ ἧττον τῶν ἄλλων σφαλερόν, κἀκεῖνοί σοι τόν Υἱόν δείξουσιν, ἔστιν οὑ λεγόμενον μετά τό Πνεῦμα, προαριθμουμένου δηλαδή τοῦ ἁγίου Πνεύματος. Ἀμφοτέροις δέ ἡμεῖς μετά τῆς ἀληθείας ἀντεροῦμεν λέγοντες, οὐκ ἐν τῇ τάξει τῶν ὀνομάτων, ὦ οὗτοι, κεῖνται τά πράγματα.

Εἰ γάρ τοῦτο, τί κωλύει κατά τόν αὐτόν λόγον τῆς συναριθμήσεώς τε καί προαριθμήσεως ἐπαλαττομένης παρά τῇ θείᾳ Γραφῇ, ποτέ μέν γεννᾶν τε καί προβάλλειν, ποτέ δέ τά αὐτά γεννᾶσθαί τε καί προβάλλεσθαι; Οὐδέ γάρ προκαταρκτικόν , (σελ. 144) οὐδέ πρῶτον αἴτιον ἐπί τοῦ Πνεύματος, ὡς ὑμεῖς, τόν Πατέρα λέγομεν, δεύτερον δέ τόν Υἱόν, εἰ καί διά τό δημιουργικόν αἴτιον ταῦτα καλεῖται ὁ Πατήρ. Κἀκεῖθεν οὕτω κεκλημένος, ἔσθ᾽ ὅτε παρά τῶν θεολόγων οὕτως ὀνομάζεται καί περί τῶν ἀκτίστων τόν λόγον ποιουμένων, ὥσπερ καί Πατήρ διά τόν Υἱόν καλεῖται. Ἀλλ᾽ ἔσθ᾽ ὅτε καί περί τῶν κάτω ποιούμενοι τούς λόγους, οὕτω τοῦτον ὀνομάζομεν˙ οὐδέ γάρ πρῶτον μέν Θεόν τόν Πατέρα σέβομεν, δεύτερον δέ τόν Υἱόν, τρίτον δέ τό Πνεῦμα τό ἅγιον, ἵν᾽ ἀεί τό δεύτερον μετά τό πρῶτον λέγωμεν καί μετ᾽ αὐτό τό τρίτον, ὑπό τάξιν ἐξ ἀνάγκης ἄγοντες τά ὑπεράνω τάξεως, ὥσπερ καί τῶν ἄλλων πάντων.

Ὁ γάρ χρυσοῦς τήν γλῶτταν Ἰωάννης ἐξηγούμενος τό παρά τοῦ Ἀβραάμ πρός τόν οἰκεῖον οἰκέτην εἰρημένον, «θές τήν χεῖρά σου ὑπό τόν μηρόν μου», κατά τήν ὁμιλίαν προϊών φησι˙ «κηρυττέσθω Πνεῦμα ἅγιον˙ ὑψούσθω ὁ μονογενής˙ δοξαζέσθω ὁ Πατήρ. Μηδείς ἀνατετράφθαι τήν ἀξίαν νομιζέτω, εἰ Πνεύματος πρῶτον μνημονεύομεν, εἶτα Υἱοῦ, εἶτα Πατρός˙ ἤ Υἱοῦ πρῶτον, εἶτα Πατρός. Οὐ γάρ ἔχει τάξιν ὁ Θεός, οὐχ ὡς ἄτακτος, ἀλλ᾽ ὡς ὑπέρ τάξιν ὤν.

Οὐδέ γάρ σχῆμα ἔχει ὁ Θεός, οὐχ ὡς ἀσχήμων, ἀλλ᾽ ὡς ἀσχημάτιστος».

Ὑπέρ τάξιν οὖν, ἀλλ᾽ οὐχ ὑπό τάξιν ὁ Θεός. Εἰ δ᾽ ἔστι καί τάξις ἐπί τοῦ Θεοῦ διά τό τρισυπόστατον τῆς θεότητος, ἀλλ᾽ οὐκ ἔστιν ἡμῖν ἐγνωσμένη διά τό ὑπέρ πᾶν εἶδος τάξεως εἶναι. Τήν μέν γάρ κατά τήν ἐκφώνησιν τάξιν ἴσμεν, διδαχθέντες παρά τῆς θεοπνεύστου Γραφῆς, παρ᾽ ἧς καί ἐπαλλαττομένην ταύτην εὐσεβῶς διδασκόμεθα. Τήν δ᾽ ἐκ τῆς φυσικῆς ἀκολουθίας προσοῦσαν, καί μάλιστα τοῖς δυσί προσώποις, τῷ τε Υἱῷ καί τῷ ἁγίῳ Πνεύματι, οὐδαμῶς ἴσμεν. Διό Γρηγορίων ὁ θεολογικώτατος ἐν τῷ δευτέρῳ τῶν Εἰρηνικῶν φησιν, «οὕτω φρονοῦμεν καί οὕτως ἔχομεν, ὡς ὅπως μέν ἔχει ταῦτα σχέσεώς τε καί τάξεως, αὐτῇ μόνῃ τῇ Τριάδι (σελ. 146) συγχωρεῖν εἰδέναι καί οἷς ἄν ἡ Τριάς ἀποκαλύψῃ κεκαθαρμένοις, ἤ νῦν ἤ ὕστερον».

Ἀλλ᾽, ὁ μέγας, φασί, Βασίλειος, ὡς κεκαθαρμένος ἐξ ἀποκαλύψεως, τοῦτο μαθών εἶπεν ἐν τοῖς Κατ᾽ Εὐνομίου. Συγχωρεῖν δέ καί Γρηγόριον τόν θεολόγον εἰδέναι ταύτην, οἷς ἄν ἡ Τριάς ἀποκαλύψῃ κεκαθαρμένοις. Ἀλλ᾽ εἰ τοῦτο, πῶς τοῦ Εὐνομίου μαθεῖν εἰπόντος ἐκ τῶν ἁγίων τρίτον τῇ τάξει καί τῷ ἀξιώματι τό Πνεῦμα τό ἅγιον, δυσχεράνας οὔμενουν ἠρέμα τούτῳ καί λίαν ἐπαχθῶς ἐνεγκών ὁ θεῖος Βασίλειος, «παρά τῶν ἁγίων», φησίν, εἶπε μεμαθηκέναι· τίνες δέ οἱ ἅγιοι καί ἐν ποίοις αὐτῶν λόγοις τήν διδασκαλίαν πεποίηνται εἰπεῖν οὐκ ἔχει»; Δῆλον ὡς οὐκ ὄντων τῶν εἰπόντων ἁγίων.

Εἶτα, ἐπειδήπερ ἐκεῖνος ἐκ τοῦ τρίτου εἶναι τῇ τάξει καί τῷ ἀξιώματι τό Πνεῦμα τό ἅγιον τρίτον εἶναι καί τῇ φύσει συνήγαγε, καίτοι μηδέ παρά τοῦτο συναγόμενον, ἐνδούς ὁ μέγας καί καθ᾽ ὑπόθεσιν παραδεξάμενος, «εἰ καί τρίτον εἶναι», φησί, «τῇ τάξει καί τῷ ἀξιώματι τό Πνεῦμα τό ἅγιον ὁ τῆς εὐσεβείας ἴσως παραδίδωσι λόγος, ἵνα καί ὅλως συγχωρήσωμεν, ἀλλ᾽ οὐκ ἀνάγκη παρά τοῦτο τρίτον εἶναι αὐτό καί τῇ φύσει». Ὡς οὖν καθ᾽ ὑπόθεσιν παραδεξάμενος, ἀλλ᾽ οὐ τοῦτο δογματίζων αὐτός, ἀμφισβητικῶς ἔχοντα τόν λόγον προήγαγεν.

Ὅ δέ φησιν ἐν τῷ πρώτῳ τῶν Πρός αὐτόν Εὐνόμιον, ὡς «ἔστι τάξεως εἶδος οὐ κατά τήν ἡμετέραν θέσιν, ἀλλ᾽ ἐκ τῆς κατά φύσιν αὐτοῖς ἐνυπαρχούσης ἀκολουθίας», οὐ περί τοῦ Υἱοῦ καί τοῦ Πνεύματος ἀλλά καί περί τοῦ Πατρός καί τοῦ Υἱοῦ ποιούμενος τήν διάλεξίν φησιν, ἐν οἷς ἐγνωσμένον τε καί ἀνωμολογημένον ἅπασιν αἰτιατόν μέν εἶναι τόν Υἱόν, τόν δέ Πατέρα αἴτιον καί τοῦ αἰτιατοῦ

προεπινοούμενον ἐξ ἀνάγκης, εἰ καί μή κατά χρόνον, ὡς αὐτός ἐκεῖ φησι. (σελ. 148) Ταῦτ᾽ ἄρα καί χωρίς ἐνδοιασμῶν τε καί ἀμφισβητήσεων, τόν μέν Πατέρα προτετάχθαι τοῦ Υἱοῦ φησι, τόν δέ Υἱόν δευτερεύειν τοῦ Πατρός, γράφων· «ἡμεῖς δέ, κατά μέν τήν τῶν αἰτίων πρός τά ἐξ αὐτῶν σχέσιν, προτετάχθαι τοῦ Υἱοῦ τόν Πατέρα φαμέν, κατά δέ τήν τῆς φύσεως διαφοράν οὐκέτι, οὐδέ κατά τήν τῶν χρόνου ὑπεροχήν». Ἐν δέ τῷ τρίτῳ πάλιν, «τάξει μέν», φησί, «δεύτερος τοῦ Πατρός, ὅτι ἀπ᾽ ἐκείνου, καί ἀξιώματι, φύσει δέ οὐκέτι δεύτερος».

Οὕτως οἶδεν ὁμολογουμένως ἐκ τοῦ Πατρός εἶναι τόν Υἱόν, ἀλλ᾽ οὐχί καί τό Πνεῦμα ἐξ Υἱοῦ. Εἰ γάρ τοῦτ᾽ ἐγίνωσκεν, οὐκ ἄν ὅλως ἠμφισβήτει, οὐδ᾽ ἄν ἀπηγόρευε τρίτον εἶναι τῇ τάξει ἀπό τοῦ Πατρός τό Πνεῦμα τό ἅγιον· ἀλλ᾽ οὐδέ κατά τοῦ Εὐνομίου καί τοῦτ᾽ εἰπόντος λίαν ἐδυσχέραινε. Πρός δέ τούτοις καί τό δευτερεύειν τοῦ Υἱοῦ τό Πνεῦμα σύν ἀμφιβολίᾳ πολλῇ καί καθ᾽ ὑπόθεσιν, ἀλλ᾽ οὐχ ὡς αὐτός δοξάζων παραδεξάμενος, δείκνυται μηδ᾽ αὐτός εἰδέναι, ὅπως ἔχουσι πρός ἄλληλα ὁ Υἱός τε καί τό Πνεῦμα σχέσεώς τε καί τάξεως.

Ὅτι μέν γάρ ἅμα ἐξ ἀϊδίου ὁ Υἱός τε καί τό Πνεῦμα τό ἅγιον, ἐν ἀλλήλοις τε ὄντα καί ἀλλήλων ἐχόμενα καί δι᾽ ἀλλήλων ἀφύρτως τε καί ἀμιγῶς χωροῦντα, καί ὅτι τούτων ἕκαστον τάξεώς τε καί σχέσεως εἶδος, καί ὡς ὁ Υἱός τε καί τό Πνεῦμα τό ἅγιον ἐκ τοῦ Πατρός ἅμα, εἰ καί οὐχ ὡσαύτως, καί ὅτι ὁμότιμα ἐξ ὁμοτίμου, καί ὅτι τό ἐκπορεύειν ἰδιότης ὄν τῆς πατρικῆς ὑποστάσεως οὐκ ἔστιν εἶναι τοῦ Υἱοῦ, καί ὡς ὁ λέγων καί τόν Υἱόν τό ἐκπορεύειν ἔχειν σύγχυσιν ποιεῖ τῶν θείων ὑποστάσεων, δυσσεβῶς ἀθετῶν τήν ἀνωμολογημένην τάξιν ἐπί τοῦ Θεοῦ - «δεῖ γάρ», φησί καί Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος, «τάς ἰδιότητας μένειν Πατρί καί Υἱῷ, ἵνα μή σύγχυσις ᾖ παρά θεότητι τῇ καί τά ἄλλα εἰς τάξιν ἀγούσῃ» - ταύτην μέν οὖν τήν ἀνωμολογημένην τάξιν ἐπί τοῦ Θεοῦ καί ἡμεῖς ἴσμεν· τήν δέ δεύτερον μέν ἐκ τοῦ Υἱοῦ, τρίτον δέ ἀπό Πατρός τιθεῖσαν (σελ. 150) τό Πνεῦμα τό ἅγιον οὔθ᾽ ἡμεῖς ἴσμεν οὔτε οἱ διδάσκαλοι καί προασπισταί τῆς Ἐκκλησίας.

Λατῖνοι δέ, ὢ τῆς ἀνοίας ὁμοῦ καί ἀπονοίας, τήν μέν εὐσεβῆ καί ἀνωμολογημένην ἐκείνην ἐπί τοῦ Θεοῦ τάξιν ἀθετοῦσιν, ἅ δέ Βασίλειος ὁ μέγας καί Γρηγόριος ὁ θεολόγος ὑπέρ τήν οἰκείαν γνῶσιν ὁμολογοῦσιν εἶναι ὡς ἀπόρρητα ὄντα καί ὑπέρ ἡμᾶς, αὐτοί καταλαβεῖν αὐχοῦσι καί περί τήν ἄφραστόν τε καί ἀπερινόητον ἐκπόρευσιν τοῦ Πνεύματος καινοφωνοῦσι, βλασφημοῦσι δέ εἰπεῖν οἰκειότερον, ἔμμεσόν τε καί ἄμεσον αὐτήν λέγοντες καί προσεχῆ καί

πόρρω, δι᾽ ὧν κινδυνεύουσι καί εἰς κτίσμα κατασπᾶν τό Πνεῦμα τό ἅγιον. Διό οὐκ ἀναγκαίως οὐδ᾽ ἀεί μετά τόν Υἱόν παρά τῆς θεοπνεύστου τίθεται Γραφῆς τό Πνεῦμα τό ἅγιον.

Τοῦτο γάρ Λατίνοις συμβαίνει, τοῖς ἐκ τῶν δύο, πρώτου αἰτίου καί δευτέρου, λέγουσι τό ἕν καί μή κατά πάντα στέργουσι τήν θεόπνευστον Γραφήν, ἀλλά κατ᾽ ἐξουσίαν ἅττα βούλονται προστιθεῖσί τε καί ἀφαιροῦσιν˙ ἡμῖν δέ τοῖς ἐκ τοῦ ἑνός εὐσεβοφρόνως σέβουσι καί εἰς ἕν ἀναφέρουσι τά δύο, ἥκιστα.

Ἵνα δέ σοι καί λόγον δῶμεν, μᾶλλον δέ καταξιώσωμεν διδάξαι˙ τίνος ἕνεκεν ὡς ἐπί πλεῖστον ὁ μέν Υἱός μετά τόν Πατέρα, τό δέ Πνεῦμα μετά τόν Υἱόν ἡμῖν ὑμνεῖται, καί μυεῖσθαι παραδέδοται; Ὁ Θεός καί Πατήρ, ἡ πάντων ἀρχή, Υἱοῦ Πατήρ ἐστι μονογενοῦς, ὅς καί πρίν ἤ προστεθῆναι τῷ Πατρί συννοεῖται παραυτα. Πῶς οὖν ἀφέντες τόν καί πρίν ἤ λεχθῆναι προσεχέστατα τῷ Πατρί νοούμενον, εὐθύς ἄν τό Πνεῦμα μετά τόν Πατέρα θείημεν; Διά τοῦτο μετά τόν τοῦ Πατρός Υἱόν λέγεται τό Πνεῦμα˙ μή δυναμένων γάρ ἡμῶν ἄμφω προφέρειν διά γλώττης ἅμα, ὥσπερ ἄρα καί ἐκ τοῦ Πατρός προῆλθον, εἰ πρό τοῦ Υἱοῦ τό Πνεῦμα τῷ Πατρί συννημένον θείημεν, δόξαι ἄν Υἱός τό Πνεῦμα˙ τό γάρ “Πατήρ” ὄνομα εὐθύς συνεισάγεται τῇ διανοίᾳ τόν Υἱόν˙ (σελ. 152) προϊόντες δ᾽ αὖθις καί μετά τό Πνεῦμα προσεχῶς εὐθύς τιθέντες τόν Υἱόν, Πατέρα τό Πνεῦμα ποιήσομεν νοεῖσθαι. Ὁ γάρ Υἱός, Πατρός Υἱός καί συνεισάγει τῇ διανοίᾳ τόν Πατέρα καί μάλιστα τόν πρό αὐτοῦ λεγόμενον˙ ὁ δέ Υἱός προσεχῶς τῷ Πατρί τιθέμενος καί τό μονογενές ἑαυτῷ φυλάττει καί τό ἐκπορευτῶς ἐκ Πατρός εἶναι τό Πνεῦμα κωλύει. Ὁ καί ὁ Νυσσαέων Γρηγόριός φησιν, οὗτινος οἱ λατινικῶς φρονοῦντες τό ὕψος τῆς διανοίας μή χωρήσαντες, πόρρω μέν τοῦ Πατρός, ὢ τῆς ἀσεβείας, δοξάζουσι τό Πνεῦμα, προσεχές δέ τοῦ Υἱοῦ. Ἀλλ᾽ οὐχ ὅτι ὁ Πατήρ τε καί Υἱός ἄλληλα εἰσάγουσι τῇ διανοίᾳ κατά τοῦτο ὄντα προσεχῆ, διά τοῦτο πόρρω τό Πνεῦμα τοῦ Πατρός καί οὐκ ἀμέσως ἐξ αὐτοῦ. Ἀλλά περί μέν τούτων, ὕστερον.

Νῦν δ᾽ ἵνα καί δευτέραν αἰτίαν ἀποδῶμεν, ἥτις καί αὕτη, ἵνα διά πάντων συνετίσωμέν σε, διά τήν προειρημένην γέγονε˙ πρῶτον ἡμῶν τό γένος Θεόν ἔγνω τόν Πατέρα καί Πατέρα τόν Θεόν, τῆς αὐτοῦ θεότητος φανερωθείσης τε καί πιστευθείσης ἀμυδρῶς, ὥς γε συνήνεγκεν ἡμῖν. Εἰ γάρ ἐπίσης ὤν Πατήρ καί προβολεύς, τόθ᾽ ἡμῖν οὐ Πατήρ ἀλλά προβολεύς ἤ ἐκπορεύων ἐκηρύττετο, πῶς ἄν

παραδεξάμεθα, μή δυνάμενοί πω χωρῆσαι διά τό νηπιῶδες ἔτι, τήν ἐπίγνωσιν τοῦ ἐμφύτου πλούτου τῆς θεότητος; Τό δέ “πατήρ” ὄνομα καί πρός ἡμῶν ἐστι καί οἷον κοινόν ἔχομεν αὐτό ταῖς ἐξ αὐτοῦ ὁμοουσίοις μέν αὐτῷ ἡμῖν δέ δεσποτικαῖς ἐκείναις ὑποστάσεσιν. Εἰ κἀκεῖνοι μέν φύσει καί ὑπέρ ἡμᾶς ἔχουσιν αὐτό, ἡμῶν δ᾽ ὑπό φιλανθρωπίας καλεῖσθαι κατηξίωσε – διό καί Ἰουδαῖοι ἔλεγον, «ἡμεῖς Πατέρα ἔχομεν τόν Θεόν – σοφῶς οὖν ἄγαν καί οἷον ὑποκλέπτων τήν διάνοιαν ἡμῶν, μᾶλλον δέ ἡμᾶς ἀπό τῆς τοῦ πονηροῦ δουλείας καί ψευδοδοξίας καί ψευδολατρίας ἐπί τήν οἰκείαν δεσποτείαν πρός θεογνωσίαν ὑφαιρούμενος καί τήν τοῦ μονογενοῦς ὑπεμφαίνων (σελ. 154) συνεισέφερε θεότητα, Πατήρ κηρυττόμενος αὐτός. Μετ᾽ αὐτόν ὁ Υἱός πεφανέρωται τῷ κόσμῳ, διά σαρκός ἡμῖν ὀφθείς καί συναναστραφείς˙ ὅς σύν ἑαυτῷ καί τό Πνεῦμα ὑπεδείκνυ, λόγοις τε καί ἔργοις διά πάντων πιστούμενος, συνημμένον φύσει καί ὁμότιμον ἑαυτῷ καί τῷ Πατρί. Μετά τόν Υἱόν τό Πνεῦμα τό ἅγιον ἐπεδήμησε τῷ κόσμῳ, παρά μέν τοῦ Υἱοῦ πεμπόμενον, ὡς οὖν ἀντίθεον οὐδέ ἀντίχριστον, καί πεμπόμενον οὐχ ἁπλῶς καί ἀπολύτως, ἀλλά χρονικῶς καί πρός τινας καί δι᾽ αἰτίαν˙ παρά δέ τοῦ Πατρός ἐκπορευόμενον οὐ δι᾽ αἰτίαν ὅλως, οὐδέ χρονικῶς ἤ πρός τινας, ἀλλ᾽ ἁπλῶς καί ἀπολύτως πάντῃ, ὡς ὁμόθεον καί ὁμοούσιον καί τῆς αὐτῆς οὐχ ἧττον ἐξημμένον τῷ Υἱῷ αἰτίας καί ἀρχῆς, παρ᾽ ἑαυτοῦ δέ ἐρχόμενον ὡς κύριον καί αὐτεξούσιον.

Ἐπεγένετο δέ καί τρίτη τις αἰτία τοῖς θεολόγοις, δι᾽ ἥν μετά τόν Υἱόν καί ἐκ τῶν τοῦ Υἱοῦ παριστᾶσιν ὡς ἐπί πλεῖστον τό συναφές καί τέλειον καί ὁμοούσιον Πατρί τῆς θεότητος τοῦ Πνεύματος˙ ὅτι μετά τό κατευνασθῆναι καί μετασκευασθῆναι τήν πλειόντων κατά τοῦ Υἱοῦ μανίαν, πολυειδῶς ἀποδειχθείσης καί ἀναφανείσης καί στηριχθείσης ἀσφαλέστατα τῆς τούτου πρός τόν Πατέρα συμφυΐας καί ὁμοτιμίας ὁ κατά τοῦ θείου Πνεύματος ἐμφανέστερον ἀνερριπίσθη πόλεμος. Ταῦτ᾽ ἄρα καί τοῖς θεολόγοις ὁ λόγος ἅπας, οὐ περί τοῦ τρόπου τῆς ὑπάρξεως, ἀλλά περί τήν πρός τόν Υἱόν ὁμοουσιότητος τοῦ Πνεύματος, εἰ καί Λατῖνοι βιάζονται τάς ρήσεις, μεθέλκοντες αὐτῶν τήν διάνοιαν εἰς τήν οἰκείαν κακόνοιαν.

Ἀλλά γάρ οὕτως ἡμῖν ὁ ἐν τρισίν ὑποστάσεσιν εἷς Θεός ἐκπεφασμένος, οὕτω καί δοξάζεται˙ καί οὕτω μιᾶς εἰκόνος οὔσης καί μορφῆς ἐπί τῆς μόνης ἀνειδέου καί προσκυνητῆς Τριάδος – «ἡ γάρ Τριάς συνάπτεται μέν ἀδιαστάτως, σύνεστι δέ ἀϊδίως, εἰκόνα δέ

προφαίνει μίαν καί τήν αὐτήν», Ἀθανάσιος ὁ μέγας λέγει – μιᾶς οὖν οὕτως εἰκόνος οὔσης ἐπί τῆς σεπτῆς Τριάδος, τόν μέν Υἱόν τοῦ Πατρός μορφήν (σελ. 156) τε καί εἰκόνα λέγομεν, τό δέ Πνεῦμα τοῦ Υἱοῦ. Οὕτω γάρ ἡμῖν ὡς εὐδόκησεν ἑαυτήν ἐγνώρισε καί οὕτως ἔχειν πρός τόν Υἱόν τό Πνεῦμα λέγομεν, ὡς αὐτός πρός τόν Πατέρα˙ ὁμοίως γάρ ἀμφότερα ἔχουσι πρός τόν Πατέρα, πλήν τοῦ τρόπου τῆς ὑπάρξεως, ὡς ἀνωτέρω διά πλειόνων ἀποδέδεικται. Προσεχῶς δέ τῷ Πατρί ὁ Υἱός ἔγνωσται ἡμῖν καί διά τοῦ προσεχῶς τούτου ἐγνωσμένου τό Πνεῦμα τό ἅγιον ἐφανερώθη, κηρυχθέν τε καί πεμφθέν ἐν τῷ ὀνόματι αὐτοῦ, ὡς καί οὗτος πρῴην ἦλθεν ἐν τῷ τοῦ Πατρός ὀνόματι. Καί πάντα λέγομεν ἔχειν ἔχειν τόν Υἱόν τά τοῦ Πατρός ἄνευ τῆς ἄνευ τῆς αἰτίας, πάντα δέ τά τοῦ Υἱοῦ τό Πνεῦμα ἄνευ τῆς υἱότητος. Πάντα γάρ τοῦ Πατρός ὁμοίως ἔχει ὁ Υἱός τε καί τό Πνεῦμα ἄνευ τῆς αἰτίας, συμπεριβαλλούσης ἄμφω τάς ὑπαρκτικάς καθ᾿ ὑπόστασιν διαφοράς. Διό καί πρό τοῦ Υἱοῦ ἔστιν οὗ τίθεμεν τό Πνεῦμα, εἰ καί ὡς ἐπ᾿ ἔλαττον, ὡς δέ ἐπί πλεῖστον μετά τόν Υἱόν καί μετά τόν Πατέρα τοῦτον, ἵνα τῶν τριῶν ὑπέρ ἡμῶν μεγίστων ἔργων θεοπρεπῶν καί προμηθεστάτων οἰκονομιῶν, συνεχῆ καί ἀδιάλειπτον τήν μνήνην φέροντες, συντομωτάτην διά πάντων ἀποδιδῶμεν τήν εὐχριστίαν.

Εὐνόμιος δέ καί μετ᾿ αὐτόν οἱ λατινικῶς φρονοῦντες μή συνετῶς ἀκηκοότες τῆς πρός τόν Θεόν τοιαύτης εὐχαριστίας τῶν Πατέρων καί τῆς ἐν ταῖς πρός τούς ἑτεροδόξους ἀντιρρήσεσιν οἰκονομίας μή δυνηθέντες συνιδεῖν, συνήγαγον κακῶς ἐντεῦθεν τρίτον ἀπό Πατρός εἶναι τό Πνεῦμα τό ἅγιον, μηδέ τοῦτο συνιδόντες, ὡς εἴγε τοῦτο ἦν καί διά τοῦτο «ἡ φυσική τάξις τοῦ τε Υἱοῦ πρός τόν Πατέρα καί τοῦ θείου Πνεύματος πρός τόν Υἱόν ἐδείκνυτο, οὐκ ἄν, ἐπαλλαττομένης ἐν τῇ θείᾳ Γραφῇ τῆς συνεκφωνήσεως τῶν τριῶν προσκυνητῶν προσώπων, ἔστιν οὗ μετά τό Πνεῦμα ὁ Υἱός ἐτίθετο, προαριθμουμένου δηλαδή τοῦ ἁγίου Πνεύματος, καθάπερ καί ὁ πολύς ἐν θεολογίᾳ φησί Γρηγόριος, ὅτι «τά αὐτά καί προαριθμεῖται καί ὑπαριθμεῖται παρά τῇ Γραφῇ διά τήν ἰσοτιμίαν τῆς φύσεως»˙ ἐν δέ τῇ παρουσίᾳ τῶν ἀπ᾿ Αἰγύπτου (σελ. 158) ἐπισκόπων καί ἡμᾶς οὕτω παραινεῖ θεολογεῖν, «μετά Παύλου», λέγων, «θεολόγησον, τοῦ πρός τρίτον οὐρανόν ἀναχθέντος, ποτέ μέν συναριθμοῦντος τάς τρεῖς ὑποστάσεις, καί τοῦτο ἐνηλλαγμένως, οὐ τετηρημένως ταῖς τάξεσι, προαριθμοῦντος, ἐναριθμοῦντος, ὑπαριθμοῦντος τό αὐτό».

Ἀλλ᾽ οὐδέ τό "δι᾽ οὗ" μόνῳ τῷ Υἱῷ παρά τῆς θείας ἀπονενέμηται Γραφῆς˙ ὁ γάρ θεῖος Κύριλλος ἐν Θησαυροῖς φησι, «Χριστοῦ τό Πνεῦμα, ὡς τοῦ Θεοῦ Λόγου διά Πνεύματος ἡμῖν ἐνοικιζομένου». Τούτων οὖν Εὐνόμιός τε καί τό τῶν Λατίνων γένος, μηδένα ποιησάμενοι λόγον, τρίτον εἶναι τῇ τάξει καί τῷ ἀξιώματι τό Πνεῦμα τό ἅγιον ἐδογμάτισαν, οὐ τῇ κατά τήν ὁμολογίαν τάξει ἀλλά τῇ φυσικῇ, κακῶς. Ὅ γε μήν Εὐνόμιος ἐντεῦθεν τρίτον ἀπό τοῦ Πατρός εἶναι καί τῇ φύσει, ὡς ἀμφοτέρων κατ᾽ αὐτήν διαφέρον, προσεδογμάτισεν, οἱ δέ Λατῖνοι καί ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι τό Πνεῦμα τό ἅγιον κατασκευάζουσιν.

Ἡμεῖς δέ σύν τοῖς ἱεροῖς πατράσιν ὡς ἐπί τό πλεῖστον τό Πνεῦμα μετά τόν Υἱόν τιθέαμεν καί μετά τόν Πατέρα τοῦτον, ἵνα τῶν τριῶν ὑπέρ ἡμῶν μεγίστων ἔργων καί θεοπρεπῶν καί προμηθεστάτων οἰκονομιῶν συντομωτάτην ἀποδιδῶμεν διά πάντων τήν δοξολογίαν καί τήν εὐχαριστίαν καί τήν ἀνάμνησιν˙ οὐχ ὅτι δεύτερα καί τρίτα τῇ τιμῇ καί τῇ ἀξίᾳ - καί γάρ ὁμότιμα – οὐδέ τήν δυάδα ποιοῦντες τοῦ ἑνός ἀρχήν, οὐδ᾽ εἰς τήν δυάδα ἀναφέροντες τό ἕν, ἀλλ᾽ εἷς ἡμῖν Θεός, εἰς ἕν αἴτιον καί Υἱοῦ καί Πνεύματος ἀναφερομένων, ἐξ οὗ μόνου ἔχει τήν ὕπαρξιν ἑκάτερον αὐτῶν˙ καί ὅτι μία ἀρχή, ὁ Πατήρ, ὡς καί ὁ θαυματουργός Γρηγόριος λέγει, κατά τοῦτο τοίνυν εἷς Θεός˙ καί ὅτι μία φύσις τοῖς τρισίν, αὐτά γάρ τά δύο καί τά τρία καί τό ἐξ αὐτοῦ καί τό ἀναφέρεσθαι εἰς αὐτόν οὐ τήν φύσιν διαιρεῖ, ἀλλά περί αὐτήν διαιρεῖται, οὐδέ γοῦν ἐξ αὐτῆς ἐστι κυρίως, (σελ. 160) εἰ καί μή χωρίς αὐτῆς, οὐδ᾽ εἰς αὐτήν ἀναφέρεται, εἰ καί μή ἄνευ ταύτης˙ τό γάρ ἕν, πῶς ἄν αὐτό ἑαυτό γεννήσαι τε καί προβάλοιτο καί εἰς ἑαυτό ἀναφέροιτο; Οὐδ᾽ ἀρχή τοίνυν καί τά ἐξ αὐτῆς, οὐδέ αἴτιον καί αἰτιατόν αὐτό ἑαυτοῦ τό ἕν. Εἰ τοίνυν ταῦθ᾽ ἅπαντα, κατά ταῦτα κυρίως καθ᾽ ἅ καί μερίζεται, ταῦτα δ᾽ ἐστίν αἱ τρεῖς ὑποστάσεις, εἶτ᾽ οὖν τά τρία πρόσωπα τῆς μιᾶς τῇ φύσει θεότητος, ὅταν οἱ Λατῖνοι λέγωσιν ἐξ ἀμφοτέρων τό ἕν, τῶν προσώπων δηλαδή φασι˙ κατά τοῦτο γάρ καί ἀμφότερα, τό γάρ ἕν οὐκ ἄν ρηθείη ποτέ ἀμφότερα.

Ἐπεί τοίνυν κατά ταῦτα λέγουσιν ἐκ τῶν δύο τό ἕν, καθ᾽ ἅ καί ἡ ἀρχή καί τό αἴτιον καί νοεῖται καί λέγεται, ἐκ δύο ἀρχῶν λέγουσι τό ἕν καί δύο ἀρχάς καί δύο αἴτια καί πολυθεΐαν εἰσάγουσιν. Οὐ γάρ μόνον ὅτι μία φύσις εἷς Θεός, ἀλλ᾽ ὅτι καί ἕν πρόσωπον τήν ἀναφοράν ἔχει τά ἐξ αὐτοῦ, καί εἰς ἕν αἴτιον καί μίαν ἀρχήν τά ἐξ ἀρχῆς ἀναφέρεται˙ οὐ τά δύο μόνον ἄμφω, ἀλλά καί ἑκάτερον αὐτῶν χωρίς. Και διά τοῦτο

μία τῆς θεότητος ἀρχή καί εἷς Θεός ἐστι καί κατά ταύτην τήν ἀναφοράν˙ ὅτι καί ἑκάτερον ἀναφέρεται εἰς ἕν ἀμέσως. Εἰ γάρ μή ἀμέσως καί τό Πνεῦμα ἐκ Πατρός, τό ἐμμέσως τοῦτο δύο ἐξ ἀνάγκης τά αἴτια ποιεῖ τοῦ Πνεύματος, τό τε μέσον καί τό ἄκρον, καί οὐκ ἔνι διά τήν οὕτως ἔχουσαν ἀναφοράν ἕνα Θεόν τά τρία εἶναι˙ μᾶλλον δέ οὐδέ Θεόν εἶναι τό διά μέσης θεότητος ἐκ τοῦ Πατρός˙ ἐπί γάρ τά κτίσματα ἦλθεν ὁ Πατήρ διά μέσης θεότητος κατά τούς θεολόγους.

Οὐ γάρ ὡς Πατήρ ταῦτ᾽ ἔκτισεν, ἀλλ᾽ ὡς Θεός. Ὁ δέ Υἱός εἷς Θεός μετά Πατρός˙ καί τοῦτο ἐκ Πατρός δι᾽ Υἱοῦ ὡς ἐξ ἑνός Θεοῦ κτίσματα καί μία ἡ ἀρχή τῶν κτισμάτων, ὁ Θεός. Γεννᾷ δέ ὁ Θεός καί ἐκπορεύει ὡς Πατήρ τῶν αὐτῷ συναϊδίων φώτων. Εἰ γοῦν ἐκ Πατρός δι᾽ Υἱοῦ ὡς ἐξ ἑνός ἐστι τό Πνεῦμα τό ἅγιον, οὐχ ὡς ἐξ ἑνός ἔσται Θεοῦ, τοῦ Πατρός καί τοῦ Υἱοῦ, ἀλλ᾽ ὡς ἐξ ἑνός ὄντος Πατρός, τοῦ Πατρός καί τοῦ Υἱοῦ. Καί ταύτης τῆς συγχύσεως τίς ἄν (σελ. 162) ἀτοπωτέρα γένοιτο; Διό καί ταύτην οἱ Λατῖνοι φεύγοντες ὡς ἐξ ἑνός φασι Θεοῦ˙ ὅ χώραν οὐδαμόθεν ἔχει, καθάπερ ἀναπέφηνε˙ καί ταῦθ᾽ ὅτι καί τό Πνεῦμα εἷς Θεός ἐστι μετά Πατρός τε καί Υἱοῦ.

Τοιγαροῦν, ἐπειδήπερ πάντῃ τε καί πάντως εἷς ὑπάρχει ὁ Πατήρ, οὐκ ἄμφω ὁ Υἱός τε καί τό Πνεῦμα, ἀλλά καί χωρίς ἑκάτερον μίαν ἀρχήν καί ἕν αἴτιον ἔχει μόνον, τόν Πατέρα. Καί οὕτω μία τῆς θεότητος ἀρχή, κἄν οἱ λατινικῶς φρονοῦντες ἐγκαλούμενοι, πῶς δύο λέγουσιν ἐπί τῆς θεότητος ἀρχάς, ἀπολογεῖσθαι οἴωνται μίαν ἀρχήν ἰσχυριζόμενοι δοξάζειν τοῦ Υἱοῦ τε καί τοῦ Πνεύματος˙ σοφίζεσθαι γάρ ἡμᾶς βουλόμενοι τοῦτο διαβεβαιοῦνται, ὡς καί τήν ἀρχήν ἔφθημεν εἰπόντες. Αὐτό γάρ τοῦτό ἐστι τό παρ᾽ ἡμῶν ἐγκαλούμενον αὐτοῖς˙ πῶς Υἱοῦ μέν καί τοῦ Πνεύματος μίαν τήν ἀρχήν φασι, τοῦ δέ ἑνός Πνεύματος δύο λέγουσιν ἀρχάς; Ἐκεῖνοι δέ περί τοῦ ἑνός ἐρωτώμενοι, σοφιστικῶς περί τῶν δύο τήν ἀπόκρισιν ποιοῦνται˙ σφῶν αὐτῶν μᾶλλον ἤ τῶν πυνθανομένων κατασοφιζόμενοι.

Πατήρ μέν οὖν καί ἀρχή καί αἴτιον ἐπί Θεοῦ πάντῃ τε καί πάντως ἕν˙ προβολεύς γάρ παρ᾽ οὐδενός τῶν ἀποστόλων ἤ τῶν εὐαγγελιστῶν ἐκλήθη, ἀλλά καί ἀντί τούτου ἡ τοῦ Πατρός ἀπέχρησεν αὐτοῖς φωνή. Ἀρχήν δέ λέγω οὐ τήν καταρχήν, οὐδέ τήν δημιουργικήν, οὐδ᾽ ᾗ τό τῆς δεσποτείας ἐστίν ἐπώνυμον.

Καί τοίνυν ὁ Θεός καί Πατήρ, καθό Πατήρ, ἀρχή καί αἴτιός ἐστι˙ καί καθό ἀρχή, Πατήρ τῶν φώτων, δηλαδή Υἱοῦ καί Πνεύματος˙ καί καθό αἴτιος, αἴτιος, ἀρχή τε καί Πατήρ. Εἰ οὖν καί ὁ Υἱός αἴτιός ἐστι

τοῦ Πνεύματος, ἐξ ἀνάγκη ἔσται καί ἀρχή καί Πατήρ ὡς αἴτιος˙ ὡς γάρ τοῦ ἀνθρώπου, καθό ἀνθρώπου ἐπιστήμης δεκτικοῦ ὑπάρχοντος, τόν ἐπιστήμης δεκτικόν οὐκ ἔνι μή καί ἄνθρωπον ὑπάρχει, οὕτω καί ἐπί Θεοῦ˙ ἐπεί ὁ Πατήρ, καθό Πατήρ, ἀρχή καί αἴτιός ἐστι, τόν αἴτιον ὑπάρχοντα οὐκ ἔνι μή καί ἀρχήν εἶναι καί Πατέρα, καίτοι τοῦ θεολόγου Γρηγορίου γράφοντος, (σελ. 164) «οὕτως εἶναι Υἱόν κυρίως τόν Υἱόν, ὅτι μή ἔστιν οὗτος καί Πατήρ».

Ὁρᾷς ἀθετουμένην σαφῶς τήν μοναρχίαν καί τό καθ᾽ ὑπόστασιν ἑνιαῖον τοῦ Πατρός ὑπό τῶν λεγόντων καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα καί μή ἀναγόντων ἑκάτερον τῶν προσώπων εἰς μίαν μόνην, τήν τῆς θεότητος πηγήν; Μία γάρ φύσις καί οἱ πάντες ἄνθρωποι, ἀλλ᾽ οὐχ εἷς οἱ πάντες ἄνθρωπος. Καίτοι δι᾽ ἀλλήλων, μᾶλλον δέ διά τῶν πρό ἡμῶν, ἀναχθείημεν ἄν εἰς ἕνα τόν προπάτορα, ἀλλ᾽ εὐθύς πολλά τά αἴτια, καί οὐκ ἐξ ἑνός ἡμεῖς διά τοῦτο καί οὐχ εἷς. Ἆρ᾽ οὐ φανερῶς καινοτομεῖς ὁ λατινικῶς φρονῶν;

Καί εἰ μή πρό ὑμῶν ἐλλιπές ἦν τό καθ᾽ ἡμᾶς εὐαγγέλιον, ὅ «ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύη ἐν κόσμῳ, καί «ἡ τοῦ Θεοῦ σωτήριος χάρις» καί ἡ κατ᾽ αὐτήν θεογνωσία, ἡ πᾶσιν ἐκφανεῖσα καί διδάξασα πάντας, εἰ μή «κεκένωται ἡ πίστις», εἰ μή διέφθαρται τά τῆς ὁμολογίας, αἷς καί ἐνήθλησαν καί ἐνήσκησαν «τό τῶν μαρτύρων ἡμῖν περικείμενον νέφος», ὁ τῶν ὁσίων παμπληθής κατάλογος, ὁ τῶν διδασκάλων θεοδίδακτος θίασος, πάντες οἱ ἔργῳ καί λόγῳ καί τοῖς καθ᾽ ἑαυτούς παθήμασι μαρτυρήσαντες τῇ ἀληθείᾳ, ὑπέρ ἧς καί μεχρι θανάτου καλῶς ποιοῦντες ἐνέστησαν, καί οὐχ ὑπέρ αὐτῆς μόνον ἤ καί ἑαυτῶν, ἀλλά καί ὑπέρ τοῦ ἡμετέρου στηριγμοῦ - εἰ μή μόνον ἤ ταῦθ᾽ ἅπαντα καί ἡ τῶν ἀπό Χριστοῦ καλουμένων πίστις ἐλλιπής, διακενῆς ὄντως οὐ προσθήκας ἐξευρίσκεις καί κατά τῆς σεαυτοῦ καινοτομεῖς ψυχῆς.

Εἰ μέν γάρ ἐγίνωσκον καί ἐξ Υἱοῦ τό Πνεῦμα, τίνος ἕνεκεν οὐ παρρησίᾳ διατέλεσαν κηρύττοντες καί διά τῶν ἱερῶν συνόδων πολλῶν καί πολλάκις γενομένων βεβαιώσαντες; Ἀλλ᾽ οὐκ ἐγνωσμένον ἦν αὐτοῖς; Οὐκοῦν οὐδ᾽ ἦν οὕτω τἀληθές˙ πάντα γάρ ἐγνώρισεν αὐτοῖς ὁ δι᾽ ἡμᾶς ἐγνωσμένος καθ᾽ ἡμᾶς. Καί πάντα κατά τήν ἐπαγγελίαν ἐδίδαξεν (σελ. 166) αὐτούς τό Πνεῦμα καί διά τοῦτ᾽ ἐδίδαξεν, ἵν᾽ ἡμᾶς οὗτοι διδάξωσιν, ὡς ἐδιδάχθησαν, ὡς καί ἀνωτέρω εἴρηται. Εἰ γάρ τοῦτο λέγειν τολμήσεις, ὡς οὐκ ἔγνωσαν οἱ πρό ἡμῶν

θεολόγοι τἀληθές, ὡς καί τοῦτο μηδέν ἧττον βλάσφημον ἀποπεμψόμεθα.

Τίς γάρ εἰ ὁ τοῦτο γρύξαι τολμῶν; Ποία δ᾽ ἰσάριθμος σύνοδος, μᾶλλον δέ πόσαι καί ποῦ μαρτυρηθεῖσαι παρά τοῦ Πνεύματος, ὅ καί ζῶσιν ἐκείνοις καί γεγονόσιν ἐξ ἀνθρώπων συνεμαρτύρησε, καί ἀεί συμμαρτυρεῖ τε καί συμμαρτυρήσει διά τῶν ἐπί τοῖς σοφοῖς τούτων τελουμένων τε καί τελεσθησομένων θαυμάτων; Ἀλλ᾽ ἔχω κἀγώ, φησί, πολλούς τῶν πατέρων συμμαρτυροῦντάς μοι τῇ προσθήκῃ. Τί οὖν, ἕτερα μέν οὗτοι κοινῇ συνειλεγμένοι παρεδίδουν ἐκκλησίᾳ, ἕτερα δέ καθ᾽ ἑαυτούς ἐδογμάτιζον; Οὐμενουν. Ἀλλ᾽ ἤ παραχαράττεις αὐτός ἤ παραλογίζῃ καί παρεξηγῇ, μή μετά τοῦ Πνεύματος ἑρμηνεύων τά εἰρημένα διά τοῦ Πνεύματος.

Οὐ μήν, ἀλλ᾽ εἰ καί τοῦτο θείημεν, ὅπερ οὐκ ἔστιν, οὐ προσδεκτέα μᾶλλον τά κοινῇ παραδεδομένα τῶν ἰδίως εἰρημένων ἑκάστῳ; Ἐκεῖνα μέν γάρ πρός τῷ πάντων εἶναι καί ἀνεπιχείρητα τοῖς κακουργοῦσι καί τῷ παραχαράττειν δολοῦσι τόν τῆς ἀληθείας λόγον, πᾶσιν ἐγνωσμένα σοφοῖς τε καί ἰδιώταις καί διά στόματος ἀεί φερόμενα. Τά δέ μή ἐπί τοσοῦτο καθωμιλημένα ὕποπτά ἐστι καί μάλιστα προαγόμενα παρά Λατίνων, οἵ καί τῷ φανερωτάτῳ τῆς πίστεως συμβόλῳ διά προσθήκης ὑπεβούλευσαν. Οἱ γάρ τῷ ἐν τοῖς τῶν ὡς ἀληθῶς χριστιανῶν ἁπάντων στόμασι κειμένῳ καί τῆς ἡμέρας ἑκάστης πολλάκις ἀνακηρυττομένῳ προσθήκην ἐπινοήσαντές τε καί τολμήσαντες, τί οὐκ ἄν ἔδρασαν ἐν τοῖς ἀγνοουμένοις παρά τῶν πλειόνων; Τά γοῦν μή κοινά μηδέ καθωμιλημένα ὕποπτά ἐστι, μή πονηρός ἄνθρωπος ἐνέσπειρεν (σελ. 168) αὐτοῖς ζιζάνια. Ταῦτα ἄρα, κἄν μέν ὁμολογῶσι τῇ κοινῇ ὁμολογίᾳ, προσδεκτέα˙ ἄν δέ μή, οὐχί.

Ὅμως ἐν δευτέρῳ λόγῳ τά δοκοῦντα συμμαρτυρεῖν σου τῇ καινοτομίᾳ ὀψόμεθα καί ἀπελέγξομεν, Θεοῦ διδόντος, οὐκ ἐκεῖνα, ἄπαγε, ἀλλά σέ τά καλῶς λελεγμένα ἐκλαμβάνοντα κακῶς, καί μή τοῖς σοφέσι τά ἀσαφῆ καί τοῖς παρρησίᾳ εἰρημένοις τά ἐν τῷ κρυπτῷ συμβιβάζοντα πρός δύναμιν.

Νῦν δ᾽ἀνακεφαλαιωσώμεθα τόν νῦν λόγον, κἆθ᾽ οὕτω τά λείποντα προσθῶμεν.

Πρῶτον μέν οὖν ἐξελήλεκται κενή τυγχάνουσα παντάπασιν ἡ τῆς προσθήκης τούτων ἀπόφασις.

Ἔπειτα δέδεικται συνυπακουόμενον τό “μόνου”, ὅταν λέγηται παρά τοῦ Πατρός ἐκπορευόμενον τό Πνεῦμα τό ἅγιον˙ ἐπεί κἄν τῷ

αὐτῷ συμβόλῳ παρά τοῦ Πατρός ἀκούοντες γεννηθέντα τόν Υἱόν, ἐκτός ἀντιλογίας πάσης δεχόμεθα συνυπακουόμενον τό "μόνου".

Τούτῳ συνείρομεν ἑξῆς˙ ὡς εἰ καί ἀνεπιλήπτως εἶχε τό λέγειν καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα, τῷ συμβόλῳ προστεθεῖσθαι παρά Λατίνων οὐκ ἐχρῆν. Ἐπεί κἄν εὖ ἔχον εἰς τό ἑξῆς ἀναφανῇ, προσθετέον οὐκ ἄν εἴῃ˙ καί τοῖς πρός ἡμῶν γάρ, καίτοι συνεληλυθόσι καί συνεξητακόσι πᾶσι καί αὐτοῖς τοῖς τῆς παλαιᾶς Ρώμης προεστῶσιν, οὐδέν τῶν ἀναφανέντων εὐσεβῶς ἔχειν προσετέθη.

Κἀντεῦθεν ἀνεφάνη τῶν δικαίων ὄν πρῶτον ἀπαιτεῖν αὐτούς τήν προσθήκην ἐξελεῖν καί μή διά τήν περιωπήν τοῦ περιόντος πάπα τούς μεμαρτυρημένῳ παρά Θεοῦ τέλει κατακλείσαντας τόν βίον ἀποστέργειν, εἶται συζητεῖν μετ᾽ αὐτῶν ἀνέχεσθαι περί αὐτῆς.

Μετά τοῦτο πρός τούς εὐγνωμόνως τῶν λόγων ἀκροωμένους λέγομεν, ὡς καί ἀμφότερα ἐκ τοῦ Πατρός ἀκούοντες, ἔχομεν συνυπακούειν τό "ἐκ μόνου", κἄν μή συνεκφωνῆται.

(Σελ. 170) Ἀλλά καί ἐκ τοῦ Πατρός ἐκπορευτῶς τό Πνεῦμα λέγοντες τό ἐκπορεύειν τῇ πατρικῇ ὑποστάσει ἐφαρμόζομεν˙ ἡ γάρ οὐσία πάντῃ τε καί πάντως μία τῶν τριῶν, οὐκ ἔνι δέ τά τῆς πατρικῆς ὑποστάσεως ἔχειν τόν Υἱόν˙ ὥστε οὐχί καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα.

Μετά τοῦτο ἐξηλέχθησαν οἱ λατινικῶς φρονοῦντες μηκέτι ἐξ ἑνός δύνασθαι τά δύο πρόσωπα τῆς θεότητος φρονεῖν, ὡς ἐν δυσί προσώποις τό αἴτιον τιθέμενοι καί ταῦτα διαφόρως, ἀλλ᾽ οὐδέ Θεόν ἕνα λέγειν διά τήν τοιαύτην πρός τό ἕν ἀναφοράν˙ οὐδέ γάρ εἷς ἄνθρωπος πάππος, πατήρ τε καί υἱός, κατά τόν σοφόν τῆς Νύσσης πρόεδρον, ἐπειδήπερ εἰς δύο πρόσωπα τό αἴτιον ἀναφέρεται. Καί πρός τούτῳ παρεστήσαμεν, ὡς, καθάπερ δύο τά αἰτιατά, ἐπειδήπερ τό αἰτιατόν ἐν δυσίν φασιν αὐτοί προσώποις.

Πρός δέ τούτοις, ἐπεί κατά τούς θεοσόφους θεολόγους, ὡς ὁ Υἱός ἐκ τοῦ Πατρός ἐστιν, οὕτω καί τό Πνεῦμα, πλήν τοῦ γεννητῶς τε καί ἐκπορευτῶς, εἰ ὁ Υἱός ἀμέσως καί οὐχί καί ἐκ τοῦ Πνεύματος, ἀλλ᾽ ἐκ μόνου τοῦ Πατρός, καί τό Πνεῦμα ἐκ τοῦ Πατρός ἀμέσως, ἀλλ᾽ οὐχί καί ἐκ τοῦ Υἱοῦ.

Προσαπεδείξαμεν ὡς, ἐπεί καί νοῦς λέγεται Χριστοῦ τό Πνεῦμα, καθάπερ καί ἡμῶν ἑκάστου ὁ οἰκεῖος, κατά μέν τήν ἐνέργειαν αὐτοῦ ἐστι καί ἐξ αὐτοῦ, κατά δέ τήν ὑπόστασιν αὐτοῦ μέν ἐστι φυσικῶς, ἀλλ᾽ οὐκ ἐξ αὐτοῦ, ἀλλ᾽ ἐκ μόνου τοῦ Πατρός.

Πρός τούτῳ μή χάριτι, φύσει δέ εἶναι ἐκ Πατρός τό Πνεῦμα, ἐκ μόνου τοῦ Πατρός ἔχειν τήν ὕπαρξιν ἐδείχθη.

Καί ἀπό τοῦ πάντα ἔχειν ἑκάτερον τά τοῦ Πατρός, ἄνευ τῆς ἀγεννησίας καί τῆς γεννήσεως κάι τῆς ἐκπορεύσεως κατά τούς θεολόγους.

Κἀντεῦθεν ἀναπεφήνασιν οἱ μέν Λατῖνοι προστιθέντες καί κατά διάνοιαν ἐν τῷ τῆς πίστεως συμβόλῳ· ἡμεῖς δέ (σελ. 172) ἀναπεφήναμεν μηδέ κατά τόν ἔξω λόγον τῇ κατά τό θεῖον σύμβολον εὐσεβεῖ διανοίᾳ προστιθέντες.

Κατηγορήσαμεν τῶν Λατίνων ὡς ἐκεῖνα δογματιζόντων, ἐξ ὧν δύο ἀναφέρονται τοῦ ἑνός Πνεύματος ἀρχαί. Οἱ δέ μηδέν κωλύειν πρός τό μίαν εἶναι ταύτας ἔφησαν, ἐπειδήπερ ἡ μία ἐστίν ἐκ τῆς ἑτέρας· καί ἀπεδείχθησαν καί κατά τοῦτο βλασφημοῦντες.

Εἶτ᾽ αὖθις ἡμεῖς ἀναλαβόντες τόν περί τῆς ἀρχῆς λόγον, ἐδείξαμεν κατ᾽ οὐδέν τρόπον δύο εἶναι τοῦ ἑνός Πνεύματος ἀρχάς.

Παρεστήσαμεν ἐκ τοῦ τά κοινά Πατρί τε καί Υἱῷ, καί τῷ Πνεύματι κοινά εἶναι μαρτυρεῖσθαι, ὅτι οὐχί καί τοῦ Υἱοῦ τό ἐκπορεύειν· ἦν γάρ ἄν τοῦτο καί τοῦ Πνεύματος· ἐν ᾧ προσεξηλέγξαμεν αὐτούς, ἀδιάφορα τοῖς φυσικοῖς τά ὑποστατικά ποιοῦντας. Εἰ δέ τοῦτο, καί ταῖς προσκυνηταῖς ὑποστάσεσι τήν θείαν φύσιν.

Ἐκ τοῦ ἀσεβές εἶναι τήν δημιουργικῶς διά τοῦ Υἱοῦ τό εἶναι σχοῦσαν κτίσιν ἐκ τοῦ Υἱοῦ μή λέγειν, ἀλλά τήν δημιουργικήν ἰδιότητα μόνῳ διδόναι τῷ Πατρί, κατ᾽ ἀνάγκην ἀκολούθως συνηγάγομεν, ὡς, εἰ καί ἐκπορευτῶς τό Πνεῦμα δι᾽ Υἱοῦ τό εἶναι εἶχε, δυσσεβοῦς ἦν ἄν λέγειν, ὅτι Πνεῦμα ἐκ τοῦ Υἱοῦ οὐ λέγομεν καί ὡς ἡ ἐκπορευτική ἰδιότης μόνον τοῦ Πατρός ἐστιν. Ἐπεί δ᾽ οἱ τοῦθ᾽ οὕτω λέγοντες οὐκ εὐσεβεῖς μόνον, ἀλλά καί θεοφόροι, δυσσεβεῖς οὐκοῦν οἱ λέγοντες καί ἐξ Υἱοῦ τό Πνεῦμα.

Καί ὡς, εἰ δι᾽ Υἱοῦ τό Πνεῦμα, ὁμοῦ τε καί χωρίς ἑκάτερος Πατήρ ἄν λέγοιτο καί προβολεύς, ὡς καί ἐπί τῆς κτίσεως, ποιητής τε καί Πατήρ.

Ἐκ τοῦ πάντα ἔχειν θεολογεῖσθαι τόν Υἱόν τά τοῦ Πατρός ἄνευ τῆς αἰτίας, ἥτις οὐκ ἄν ἡ τῶν κτισμάτων εἴη, (σελ. 174) τοιγαροῦν ἡ τοῦ Υἱοῦ καί τοῦ Πνεύματός ἐστιν, ἀπεδείξαμεν αὖθις οὐχί καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα ἐκπορεύεσθαι.

Καί μάρτυρας παρηγάγομεν ἀπαγορεύοντας τήν λατινικήν προσθήκην.

Ἐδείξαμεν αὖθις ἐκ τοῦ μή τόν Υἱόν καί ἐκ τοῦ Πνεύματος ὑπάρχειν, ὅτι καί τό Πνεῦμα οὐχί καί ἐκ τοῦ Υἱοῦ τό εἶναι ἔχει.

Εἶτα, ἐκ τῶν ἀπηριθμημένων καί τεθεωρημένων τοῖς ἁγίοις ὀνομάτων τοῦ Υἱοῦ, παρεστήσαμεν ὡς οὐχί καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα τό ἅγιόν ἐστι.

Πάλιν ἐκ τοῦ μή ἐκπορευτόν ἁπλῶς, ἀλλά τό ἐκ τοῦ Πατρός ἐκπορευτόν ἴδιον εἶναι τοῦ θείου Πνεύματος, τούς θεολόγους μαρτυρεῖν παρεστήσαμεν ἐκ μόνου τοῦ Πατρός τό Πνεῦμα τό ἅγιον.

Καί ἀπό τοῦ ἕνωσιν Υἱοῦ καί Πνεύματος εἶναι τόν Πατέρα˙ ἡ γάρ τῶν ἄλλων ἑκατέρου μεσότης ἐν τοῖς ὀνόμασι κεῖται.

Καί ἀπό τοῦ μή ἐκ τῆς ἀρχῆς τό Πνεῦμα λέγεσθαι, ἀλλά μετά τῆς ἀρχῆς, ἀρχῆς εἶναι θεολογουμένου τοῦ Υἱοῦ.

Καί ὡς ὁ δι᾿ Υἱοῦ καθ᾿ ὕπαρξιν τό Πνεῦμα λέγων καί εἰς τήν ‘ἐκ’ τήν ‘διά’ μεταλαμβάνων ἁμαρτάνει. Ὡς γάρ συμπαρομαρτοῦν τῷ λόγῳ δι᾿ αὐτοῦ τό Πνεῦμα λέγεται καί οὐκ ἐξ ἐκείνου, ἀλλά σύν ἐκείνῳ, γεννηθέντι ἐκ τοῦ Πατρός, καί τό Πνεῦμα ἐκπορεύεται.

Αὖθις ἐκ τοῦ θεολογεῖσθαι τῶν τριῶν προσώπων ἕκαστον, τῶν καθ᾿ ὑπόστασιν ἑτέρων δύο μέσον.

Καί πρός ἄλληλα ἔχειν ὡς ἕκαστον πρός ἑαυτό.

Καί τῷ δεύτερον ἀπό τοῦ Πατρός καί τό Πνεῦμα λέγεσθαι, καθά καί ὁ Υἱός, ἀμέσως ἑκάτερον ὑπάρχον ἐκ Πατρός ἐδείχθη μή ἐοικυίας τῆς θεολογικῆς μεσότητος τοῖς κειμένοις ἐφεξῆς τρισί σημείοις, ἀλλά τοῖς ἐπί τῶν τοῦ τριγώνου γωνιῶν.

(σελ. 176) Μετά τοῦτο διττῆς φανερῶς δειχθείσης τῆς τοῦ Πνεύματος προόδου, προσεδείχθη καί τῶν προόδων ἑκατέραν κατάλληλον τήν παῦλαν ἔχειν. Κἀντεῦθεν πάλιν, ὡς οὐχί καί ἐκ τοῦ Υἱοῦ τό εἶναι ἔχει τό Πνεῦμα τό ἅγιον.

Πάλιν ἐκ τοῦ λέγειν καί τόν Υἱόν ἀρχήν τοῦ θείου Πνεύματος ἀναπεφήνασιν οἱ λατινικῶς φρονοῦντες τοῖς κτιστοῖς συντάττοντες τό θεῖον Πνεῦμα.

Αὖθις ἐκ τοῦ μή ἔχειν κοινωνίαν κατά τό θεογόνον τόν Πατέρα καί τόν Υἱόν παρίσταται μή εἶναι καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα.

Πρός δέ τούτοις, ἐκ τοῦ τά κοινά τῆς ἀνωτάτω Τριάδος ἐπίσης εἶναι τῶν θείων ὑποστάσεων ἑκάστη, ἀνεφάνησαν οἱ λατινικῶς φρονοῦντες μήτε τόν Υἱόν μήτε τό Πνεῦμα λέγοντες ἐκ τοῦ Πατρός, μηδ᾿ ὑποστατικάς ἔχειν τόν Θεόν διαφοράς.

Εἶτα περί τῆς ἐν Θεῷ τάξεως ποιησάμενοι τόν λόγον προσαπεδείξαμεν μή γνωστόν εἶναι τοῖς ἁγίοις, ὅπως ἔχει πρός ἄλληλα σχέσεώς τε καί τάξεως ὁ Υἱός τε καί τό Πνεῦμα τό ἅγιον˙ καί συμφωνεῖν κἀν τούτῳ παρεστήσαμεν τούς μεγάλους, Βασίλειον καί Γρηγόριον καί Ἰωάννην τόν χρυθοῦν θεολόγον, πρός δέ καί τήν εὐσεβῆ καί ἀνωμολογημένην ἐπί τοῦ Θεοῦ τάξιν παρεστήσαμέν τε καί διευκρινήσαμεν. Κἀντεῦθεν ἀπηλέγχθησαν οἱ λατινικῶς φρονοῦντες τήν μέν εὐσεβῆ τάξιν ἀγνοοῦντες, ἅ δέ οἱ θεολόγοι μή εἰδέναι ὁμολογοῦσιν ὡς ὑπέρ ἡμᾶς, αὐτοί ταῦτα γινώσκειν ἀκριβῶς αὐχοῦντες καί οὕτω καινοφωνοῦντες, καί βλασφημοῦντες περί τήν ἐκπόρευσιν τοῦ παναγίου Πνεύματος.

Ἡμεῖς δέ καί λόγον ἐκδεδώκαμεν πολυειδῶς δεικνύοντες τίνος ἕνεκεν ὡς ἐπί πλεῖστον ὁ μέν Υἱός μετά τόν Πατέρα, τό δέ Πνεῦμα μετά τόν Υἱόν ἡμῖν ὑμνεῖται καί τοῖς μυουμένοις παραδίδοται.

Καί ὡς ἑπόμενοι καλῶς οἱ θεολόγοι τῷ λόγῳ τῆς μυήσεως, ἐπί πάντων τῶν κοινῶς ἐνθεωρουμένων τοῖς τρισίν , οὕτω φασίν ἔχειν πρός τόν Υἱόν τό Πνεῦμα, ὡς πρός τόν Πατέρα ὁ Υἱός.

(σελ. 178) Καί ὅτι τοῦτο μή συνετῶς ἀκούσαντες Εὐνόμιός τε πρότερον καί οἱ λατινικῶς πεφρονηκότες ὕστερον, τρίτον ἀπό τοῦ Πατρός ἐδογμάτισαν τόν Πνεῦμα τό ἅγιον˙ κἀντεῦθεν ὁ μέν Εὐνόμιος τρίτον καί τῇ φύσει, Λατῖνοι δέ καί ἐκ τοῦ Υἱοῦ τό εἶναι ἔχειν προσεδογμάτισαν.

Ἔτι δείκνυμεν, ὡς οὐκ ἄμφω μόνον ὁ Υἱός τε καί τό Πνεῦμα, ἀλλά καί ἑκάτερον αὐτῶν χωρίς, ἀμέσως ἀναφέρεται πρός τόν Πατέρα˙ καί ὡς, εἰ μή τοῦθ᾽ οὕτως ἔχει, οὐδέ Θεός εἷς ἔσται.

Πρός δέ τούτοις ἐκ τοῦ τόν Θεόν καί Πατέρα ὡς Θεόν ἀλλ᾽ οὐχ ὡς Πατέρα κτίζειν, γεννᾶν δέ καί ἐκπορεύειν ὡς Πατέρα, δείκνυμεν, ὡς εἰ κατά Λατίνους ἐκ τοῦ Πατρός καί ἐκ τοῦ Υἱοῦ ὡς ἐξ ἑνός τό Πνεῦμα, οὐχ ὡς ἐξ ἑνός ἔσται Πατρός, τοῦ Πατρός καί τοῦ Υἱοῦ. Καί οὕτω τό λατινικόν φρόνημα τελέως ἐξελέγχεται καί ὡς ἐξ ἀμφοτέρων αὐτῶν δυσσεβῶς καθ᾽ ὕπαρξιν τό Πνεῦμα λέγον καί ὡς ἐξ ἑνός Θεοῦ τῶν ἀμφοτέρων.

Ἔτι μετά τοῦτο περί ἀρχῆς φαμεν, καί ὡς οἱ λατινικῶς φρονοῦντες σοφιστικῶς ἀποκρίνονται πρός τούς ἐρωτῶντας αὐτούς, εἰ δύο λέγουσιν ἀρχάς τῆς θεότητος τοῦ Πνεύματος.

Ἐντεῦθεν πάλιν ἐκ τοῦ Πατέρα φώτων θεολογεῖσθαι παρά τοῦ ἀποστόλου τόν Πατέρα, καί τόν Υἱόν κἀντεῦθεν Πατέρα λέγοντες οἱ

λατινικῶς φρονοῦντες ἀποδείκνυται˙ καί ἀθετοῦντες σαφῶς τήν μοναρχίαν καί τό καθ᾽ ὑπόστασιν ἑνιαῖον τοῦ Πατρός.

Ἀναφαίνομεν τό αἰδέσιμον ἔχειν καί ἀπό τῆς ἀρχαιότητος τό καθ᾽ ἡμᾶς δόγμα, καί ὡς ἀνελλιπές μηδαμῶς προσθήκης δεῖσθαι.

Ἔπειτα καί τοῦτ᾽ εἰπόντες, ὅτι τά κοινῶς εἰρημένα παρά τῶν πατέρων στερκτέα μᾶλλον τῶν ἰδίως τισί τούτων εἰρημένων ἑκάστῳ, καί ὅτι τά μή καθωμιλημένα ὕποπτά ἐστι, καί μάλιστα παρά Λατίνων προαγόμενα τῶν καί τοῖς φανεροῖς παρεγχειρούντων, ὑπεσχέθημεν, σύν Θεῷ δ᾽ ὁ λόγος ἐν (σελ. 180) δευτέρῳ λόγῳ τά διαφωνεῖν δοκοῦντα συμφωνοῦντα παραστήσειν.

Ταῦτα μέν οὖν ἀνωτέρω διά πλειόνων ἀποδέδεικται˙ καί ὡς ἡμεῖς καί ἡ καθ᾽ ἡμᾶς ὁμολογία πανταχόθεν ἔχει τό ἀσφαλές καί στέφανος ἡμῖν ἐστι καυχήσεως καί ἀκαταίσχυντος ἐλπίς. Εἰ γάρ μή οὕτω καί ἡμεῖς κατά ταύτην ἐλλιπεῖς, πολλῷ μᾶλλον οἱ ἐκ παλαιοῦ καί μυηθέντες ἄνωθεν καί τό καθ᾽ ἡμᾶς γένος θεοκινήτως μυήσαντες ἀπόστολοι, προφῆται, σεπταί σύνοδοι πατέρων πολλαί τε καί πολυάριθμοι. Εἰ δέ καί γινώσκοντες ἑτέρως, ὡς νῦν ἰσχυρίζονται τό τῶν Λατίνων γένος, οὐ πεφανερώκασιν ἡμῖν, καί ταῦτα τοῦ Κυρίου πρός αὐτούς εἰπόντος, «ἅ ἠκούσατε ἐν τῇ σκοτίᾳ, κηρύξατε ἐν τῷ φωτί», πῶς οὐκ ἄν τῶν ὑπευθύνων εἶεν; Ἀλλ᾽ ὁ Θεός αὐτούς δι᾽ἔργων κἀνταῦθα μεγίστων ἐδικαίωσεν.

Οὐ γάρ ἐφρόνουν κατά τούς Λατίνους, ἄπαγε, ὡς καί τοῦτο δέδεικται, ἀλλά καί ἐγνώκασι καί παραδεδώκασιν ἡμῖν μίαν καί μόνην ἀρχήν τῆς θεότητος, ἕνα Πατέρα ἀγέννητον, ἕνα Υἱόν ἐξ αὐτοῦ γεννητῶς προερχόμενον, ἕν Πνεῦμα ἅγιον συναΐδιον, ἐκ τοῦ Πατρός καί αὐτό ἐκπορευόμενον πρό αἰώνων καί εἰς αἰῶνας˙ καί ἔτι καί συνδοξαζόμενον τῷ Πατρί καί τῷ Υἱῷ νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΠΕΡΙ ΕΚΠΟΡΕΥΣΕΩΣ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ*

## *ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ (σελ. 182)*

Ὧν μέν οὖν ἔδει καί αὐτῷ τῷ τῶν εὐσεβούντων καταλόγῳ πρός διασάφησίν τε καί βεβαίωσιν τοῦ ὀρθοῦ φρονήματος καί δι᾽ ὧν ἐν βραχεῖ τό δυσσεβές ἅπαν τῶν ἐνισταμένων ἀναφαίνεται Λατίνων,

πρότερον εἰς δύναμιν διεξελθόντες, ἅ δέ αὐτοί προτείνουσι καθ᾽ ἡμῶν τε καί τῆς εὐσεβείας, καί δι᾽ ὧν ἰσχυρίζονται μηδέν καινοτομεῖν, ἀλλά τοῖς αὐτοῦ Χριστοῦ θείοις λόγοις συνῳδά φρονεῖν καί λέγειν καί τοῖς κατά Χριστόν θεολογήσασι κατ᾽ οὐδέν ἀπᾴδοντα, ταῦτα δέ μήπω πάνθ᾽ ἑξῆς εἰς τοὐμφανές παραγαγόντες μηδέ ἀπελέγξαντες, νῦν ἴδωμεν καθ᾽ ἕκαστον ἅττα λέγουσι καί τίσι λογισμοῖς ἤ καί γραφικοῖς ῥήμασί τε καί νοήμασι χρησάμενοι, μᾶλλον δέ παραχρησάμενοι, τῆς θεολέκτου τε καί πατροπαραδότου διαπεπτώκασιν ὁμολογίας. Καί τό δεινότατον ἁπάντων, οὐδ᾽ ἐπαναλῦσαι καί ἀσφαλῶς ἐπιλαβέσθαι οὗ διαπεπτώκασιν ἐθέλουσιν, ἀλλά τοῖς πρός ἐπανόρθωσιν διδοῦσι χεῖρα, ἀληθείας λόγου δύναμιν πρός ἀλήθειαν ἀναγωγόν, οἷά τινες ὡς ἀληθῶς ἀνάγωγοι, δυσχεραίνουσί τε ἐς τά μάλιστα καί ἀντιλέγουσι.

Τό μέν οὖν διαπεσεῖν κοινόν ἐγένετο ταῖς ἐκκλησίαις ἁπάσαις, ἄλλοτε ἄλλῃ διά τοῦ μακροῦ χρόνου λυμηναμένου χείρονος. Τό δέ διαπεσοῦσαν μηκέτ᾽ ἐπανελθεῖν μόνης τῆς τῶν Λατίων ἐγένετο, καίτοι μεγίστης τε καί κορυφαίας οὔσης καί τῶν πατριαρχικῶν θρόνων ἐξόχου περιωπῆς˙ καί ταὐτόν ταύτῃ συμβέβηκε, μεγίστῃ τῶν ἐκκλησιῶν οὔσῃ, (σελ. 184) τῷ μεγίστῳ τῶν ζώων ἐλέφαντι. Ὅν φασι «μηδ᾽ ὕπνου καιρόν ἐπ᾽ ἐδάφους ἀνακλίνεσθαι πρός ἄνεσιν, τοῖς δέ πλαγίοις ἄρθροις μικρόν ἐποκλάζοντα διαναπαύεσθαι˙ ἄν δέ πού τι παθών καταπέσῃ, μηκέτ᾽ ἀνίστασθαι δύνασθαι. Ἀλλά τοῖς μέν ἐλέφασι τό βάρος τοῦ σώματος αἴτιον καί ἡ πολυσαρκία δύσχρηστός τε οὖσα καί κάτω πιέζουσα, καθάπερ τις ἐπικειμένη μόλυβδος πολυτάλαντος, τοῖς δέ Λατίνοις ὁ τύφος οἶμαι τό μόνον, μικροῦ δέω λέγειν, πάθος ἀνίατον, ὅ καί τῷ μόνῳ πονηρῷ κρίμα κατά τόν ἀπόστολον ἰδιαίτατον˙ δι᾽ ὅ κἀκεῖνος εἰς αἰῶνας ἀνίατος.

Ἄν δέ τό τῶν Λατίνων τοῦτο φῦλον τοῦτον ἀπόθωνται – δύνανται γάρ, καί γάρ ἄνθρωποι – τάχ᾽ ἄν ἡμεῖς οἱ τοῦ ὀρθοῦ πάντες συναχθέντες εἰς ἕν καί οἷόν τισι προνομαίαις, ὅ καί τοῖς καταπεσοῦσιν ἐλέφασι παρά τῶν μή κειμένων ἡ φύσις ἐξεῦρε βοήθημα, τοῖς θεοπνεύστοις λογίοις χρησάμενοι διαναστήσομέν τε καί στήσομεν ὀρθίους, ἀπαρεγκλίτως ἐχομένους τοῦ κανόνος τῆς εὐσεβείας. Ἐθελοντάς δέ κειμένους ὀνήσει τό παράπαν οὐδέν, κἄν παρ᾽ αὐτῶν τῶν οὐρανίων νόων σκευάζηταί τε καί προσάγηται τό τῆς ψευδοδοξίας ἴαμα˙ τούτων γάρ λόγος προφητικοῖς ῥήμασιν ἐκπεφασμένος, ὡς «ἰατρεύσαμεν τήν Βαβυλῶνα καί οὐκ ἰάθη».

Μικροῦ τοίνυν μάτην τούτοις δίδωσιν ὁ χεῖρα διδούς, τοῦτο μόνον εὖ ἄγαν ἑαυτῷ νείμας καί ἀποδούς τῷ Θεῷ τήν τῆς οἰκείας καλοκαγαθίας ἐπίδειξιν, ἐκείνους δέ μόνον ἐθελοκακοῦντας ἀποδείξας καί ἴσως στήσας τοῦ μή πρόσω τῶν ἀπτοπημάτων χωρεῖν. Καί νῦν γάρ, εἰ μή σαφῶς ἑτεροφωνεῖν ἐθέλουσι, τί κρεῖττον ἄν σχοῖεν φάρμακον πρός (186) ἐπανόρθωσιν, ἤ ὅτι περ ἐκ μόνου τοῦ Πατρός, ἀλλ᾽οὐχί καί ἐκ τοῦ Υἱοῦ τήν ὑπόστασιν ἔχει τό Πνεῦμα τό ἅγιον; Ὅ προαποδέδεικται διά πολλῶν καί διά τῆς ὑποφωνήσεως τοῦ "μόνου", ἀριδηλοτέρας γεγονυίας τῆς ὀρθοδόξου διανοίας περί τῆς τοῦ ἁγίου Πνεύματος ἀσφαλοῦς θεολογίας καί τῆς κατ᾽ αὐτούς προσθήκης ὑπεναντίας φανερῶς ἐληλεγμένης τοῦ ὀρθοτομοῦντος κηρύγματος τῆς ἀληθείας.

Ἀλλά καί χωρίς τούτων οὐδέ τινά ποθεν ἀνάγκην ἐπαγομένην ὁρῶμεν μετακινεῖν τάς πενυματικινήτους περί θεοσεβείας ψήφους τῶν ἀπ᾽ αἰῶνος ἱερῶν συνόδων καί μετασκευάζειν τό πατροπαράδοτον τῆς εὐσεβείας σύμβολον, ὡς προστιθέναι καί ἰσχυρίζεσθαι τήν ὕπαρξιν ἔχειν καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα τό ἅγιον. Τί γάρ, εἰ τῆς θεοπνεύστου Γραφῆς ἔστιν ἅ δοκοῦσι διαφωνεῖν πρός τά κοινῇ τοῖς θεολόγοις ἐκπεφασμένα, κἀντεῦθεν ἀνωμολογημένα πᾶσιν ἡμῖν, οὐκ ἐκεῖνα μᾶλλον συμβιβάσομεν τῇ πανταχόθεν ἐχούσῃ τό ἀναμβισβήτητον ἀληθείᾳ πρός δύναμιν, ἀλλ᾽ ἡμεῖς ἐκπεσούμεθα δι᾽ ἐκεῖνα τῆς ἀληθείας; Οὐδ᾽ εἴ τι καί τήν ἡμετέραν ὑπερβαίνειν διάνοιαν ὁμολογήσομεν καί ἄλλοις δή τισι τῆς κατ᾽ αὐτά συνέσεως παραχωρήσωμεν, ὅστις ἄν ἀξιωθείη – κἄν τῶν ἐσχάτων ᾖ - τῶν βαθέων καί ἀποκεκρυμμένων μυστηρίων τοῦ Πνεύματος, ἡμᾶς δ᾽ αὐτούς ἀναξίους κρίναντες τούτων, ὑπό τήν κραταιάν χεῖρα τοῦ Θεοῦ ταπεινώσομεν, ἀλλ᾽ ὤ τοῦ πάθους, καί Θεόν αὐτόν ἀγνοήσομεν διά τό μηδέν ἐθέλειν ὁμολογεῖν ἀγνοεῖν, ὥσπερ οἱ καί τήν τοῦ Υἱοῦ θεότητα ἀγνοήσαντες διά τά δυσλήπτως περί αὐτοῦ γεγραμμένα; Οὔμενουν. Οὐδέ γάρ ἐκείνοις αἱ γραφικαί μαρτυρίαι, μή καλῶς ἐκληφθεῖσαι, δυνηθεῖεν ἄν συνάρασθαι παραιτουμένοις οὐ κατά καιρόν ἤ τῆς ἀσεβείας αὐτούς καί τῆς δι᾽αὐτήν αἰωνιζούσης καταδίκης ἐξελέσθαι˙ ἀλλά κρίσιν τίσουσιν αἰώνιον, ὅτι τάς σαφεῖς ἀθετήσαντες φωνάς καί τάς ἀσαφεῖς φυσιώσει γνώσεως ἀνερευνήσαντες, (σελ. 188) μᾶλλον δέ μή ἐρευνήσαντες μηδέ τοῖς ὡς ἀληθῶς ἐρευνήσασι πεισθέντες, ἐξ αὐτῆς ἐνδίκως τῆς πεφυσιωμένης γνώσεως τήν ὄντως ἀφροσύνην ἐκαρπώσαντο.

Καίτοι πλεῖσται εἰσιν αὗται αἱ φωναί, αἵ τοῖς μή διορατικωτάτοις τό πρός τόν Πατέρα συνάναρχόν τε καί ὁμότιμον ἀφαιροῦνται τοῦ Υἱοῦ καί αὐτό δέ τό δεσποτικόν ἀξίωμα καί τήν βασιλείαν τήν ἄληκτον˙ «ὑποταγήσεται γάρ», φησί, «καί ὁ Υἱός», καί «χρή αὐτόν βασιλεύειν ἄχρι τινός», καί «μείζων ὁ Πατήρ», καί «ἡ σοφία ἔκτισται», καί «ἀγνοεῖ τι τῶν ἐκτισμένων ὑπ᾽ αὐτοῦ», καί «ἀφ᾽ ἑαυτοῦ οὐδέν δύναται ποιεῖν», καί «καταβέβηκεν οὐχ ἵνα τό οἰκεῖον θέλημα ποιῇ», καί «ἦν διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ Θεοῦ», καί «ἔμαθε», καί «προέκοψε», καί «ὑψώθη», καί «ἐδοξάσθη», καί «τετελείωται», καί ὅσα τῆς τοῦ ἡμετέρου φυράματος ταπεινότητος, καί ὅσα τῆς εὐγνωμοσύνης, ἵν᾽ οὕτως εἴπω, τοῦ γεννήματος πρός τόν γεννήτορα, καί ὅσα τοῦ μή ἀντίθεος εἶναι δείγματα, καί ὅσα πρός ἡμᾶς δι᾽ἔργων ἀρετῆς ὑποδείγματα.

Τί οὖν, διά ταῦτα τό ἑτέρωθεν προσμαρτυρούμενον τῷ Υἱῷ θεῖον οἷον ἀδιεξίτητον ὕψος ἀθετητέον, ὅτι «ἐν ἀρχῇ ἦν», «καί πρός τόν Θεόν ἦν, καί Θεός ἦν», καί «πρό πάντων βουνῶν γεννᾶται», καί «πρό τοῦ ἡλίου διαμένει τό ὄνομα αὐτοῦ», καί «οὗτος ὁ Θεός καί οὐ λογισθήσεται ἕτερος πρός αὐτόν», αὐτός γάρ ἐστιν ὁ «μετά ταῦτα τοῖς ἀνθρώποις συναναστραφείς», ὅτι τε αὐτός καί ὁ Πατήρ ἕν εἰσι, καί αὐτός ἐν τῷ Πατρί καί ὁ Πατήρ ἐν αὐτῷ, καί «ὁ ἑωρακώς αὐτόν ἑώρακε τόν Πατέρα», καί «μετ᾽ αὐτοῦ ἡ ἀρχή ἐν ἡμέρᾳ τῆς δυνάμεως αὐτοῦ», «καί κατακυριεύσει μετά (σελ. 190) τό ἀνταναιρεθῆναι τήν σελήνην», καί «πᾶν αὐτῷ γόνυ κάμψει ἐπουρανίων καί ἐπιγείων καί καταχθονίων», καί «ἡ βασιλεία αὐτοῦ, βασιλεία αἰώνιος», καί «βασιλεῖ ἑτέρῳ οὐχ ὑπολειφθήσεται».

Ταῦτα τοίνυν καί τ᾽ ἄλλα ὅσα τούτοις παραπλήσια, τά τοσοῦτο θαυμαστά, τά ἐπί τοσοῦτον ὑψηλά, τά οὕτως ἀνυπέρβλητα, διά τά ταπεινοῦντα τῶν ρημάτων συγκαθελκύσομεν αὐτοῖς; Ἀλλ᾽ οὐ ζητήσομέν τε καί στέρξομεν τό ἐγκεκρυμμένον τοῖς δοκοῦσι χαμερπέσιν ὑψηλόν καί τοῦ εὐσεβοῦς νοήματος γενόμενοι διαλύσομεν τό προσιστάμενον; Ἀλλά τῷ φαινομένῳ προσπταίσομέν τε καί πεσούμεθα καί ἐναπομενοῦμεν τῷ γράμματι; Οὐμενουν˙ ἀποκτένει γάρ τό γράμμα κατασπῶν ἀφ᾽ ὕψους τούς μή ἄνω πρός τό Πνεῦμα βλέποντας.

Ταῦτ᾽ ἄρα καί ἡμεῖς, ὅσοι καθαρῶς τοῦ Πνεύματος, ὅσοι καθάπερ αὐτό ἑαυτό διεσάφησε θεολογοῦμεν, ὅσοι μηδέν ἀνάξιον αὐτοῦ καί φρονοῦμεν καί κηρύττομεν, μηδ᾽ ἐξ ὧν λέγομεν ἐκβαῖνον˙ ἡμεῖς

τοίνυν, κἄν τι μή ὁμόφωνον δοκῆ τῆ περί τοῦ ἁγίου μόνου καί προσκυνητοῦ Πνεύματος θεολογίᾳ καί αὐτό τοῦ ἁγίου Πνεύματος διδόντος, νοήσομεν πνευματικῶς καί διευκρινήσομεν καί διαρρίψομεν τούς λίθους τοῦ προσκόμματος καί πᾶσι τρόποις ἀποδείξομεν τοῖς προτέροις τῶν Πατέρων ὁμολογοῦντας τούς ὑστέρους, κοινῆ τε καί ἰδίᾳ ἑαυτοῖς, καί ἡμᾶς αὐτούς αὐτοῖς καί κοινῆ πάντας τῷ κοινῷ τῆ φύσει δεσπότη καί κατά χάριν ἡμετέρῳ Πατρί. Ἐπεί δέ ὅσα σχεδόν ἀγνοοῦσι τῶν Γραφῶν ὑπ᾽ ἀπορίας ἤ κακοβουλίας πρός τήν οἰκείαν κακοδοξίαν οἱ Λατῖνοι περιτρέπουσι στρεβλοῦντες, πλείονα δέ εἰσιν αὐτοῖς τά ἀγνοούμενα τῶν δοκούντων αὐτοῖς ἀναντιρρήτων καί δι᾽ ὧν ὡς προφανῶν τόν περί αὐτούς ἐξαπατῶσιν ὄχλον, τούτων ἡμεῖς ἀρτίως μνησθέντας καί ταῦτα κακῶς παρ᾽ αὐτῶν ἐξειλλημένα Θεοῦ συναιρομένου ἀπελέγξαντες, (σελ. 192) καί οἷόν τινάς θεμελίους ὑποσπάσαντες, σαθρόν αὐτῶν ἀποδείξομεν τό ὅλον τῆς δυσεβείας οἰκοδόμημα.

Φέρε δή προθῶμεν, πρότερον τό καί πρότερον αὐτοῖς δοκοῦν παντάπασιν ἄμαχον, ὡς ὑπό τοῦ λόγου τῆς ἀληθείας εἰρημένον˙ «ἐνεφύσησεν αὐτοῖς καί εἶπε, λάβετε Πνεῦμα ἅγιον». Ὁρᾷς, φησί, πῶς σαφῶς καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα τό ἅγιον; Ἆρ᾽ οὖν ὅτι ἐμφυσήσας εἶπε «λάβετε Πνεῦμα ἅγιον», τό ἅγιον Πνεῦμα τό ἐμφύσημα ἦν, ὡς ταὐτόν εἶναι τῷ διά σαρκός ἐμφυσήματι τό ἐκπόρευμα ἤ τῷ δεδόσθαι δι᾽ ἐμφυσήματος τεκμηριοῦνται καί τῆς τοῦ Χριστοῦ θεότητος ἐμφύσημα εἶναι τό Πνεῦμα τό ἅγιον, κἀντεῦθεν παρά τοῦ Υἱοῦ ἐκπορεύεσθαι συμπεραίνουσιν; Ἀλλ᾽ ὁπότερον τούτων λέγουσιν, ἐπιστομιζέσθωσαν αὐτόθεν πρῶτον διά βραχέων˙ οὐ γάρ ἐμφυσήσας εἶπεν ὁ Κύριος, "λάβετε τό Πνεῦμα", ἀλλά χωρίς τοῦ ἄρθρου, "λάβετε Πνεῦμα ἅγιον", δηλαδή βραχύ τι τοῦ Πνεύματος. Σαφές οὖν ὡς μερικήν τοῦ Πνεύματος ἐνέργειαν διά τοῦ ἐμφυσήματρος ἔδωκεν, οὐκ αὐτοῦ τήν φύσιν ἤ τήν ὑπόστασιν˙ ἀμερής γάρ παντάπασιν ἡ τοῦ θείου Πνεύματος φύσις τε καί ὑπόστασις. Διά τί δέ ἐμφυσήσας ἔδωκεν, ὅπερ ἔδωκεν; Ἵνα δείξῃ μίαν οὖσαν ἑαυτοῦ καί τοῦ θείου Πνεύματος τήν ἐνέργειαν˙ κἀντεῦθεν ἀλλήλων, ἑαυτοῦ κἀκείνου, παραστήσῃ τό συναφές καί συμφυές καί ὁμότιμον, καθάπερ καί ὁ Χρυσόστομός φησι θεολόγος γράφων, «τινές μέν φασιν ὅτι οὐ τό Πνεῦμα ἔδωκεν, ἀλλ᾽ ἐπιτηδείους αὐτούς πρός ὑποδοχήν δι᾽ ἐμφυσήματος κατεσκεύασεν. Οὐκ ἄν δέ τις ἁμάρτοι καί τότε εἰληφέναι αὐτούς λέγων ἐξουσίαν τινά πνευματικήν καί χάριν, ὥστε

ἀφιέναι ἁμαρτήματα. Διό ἐπήγαγεν, ‘ὧν ἄν ἀφῆτε ἀφέωνται, δεικνύς ποῖον εἶδος ἐνεργείας δίδωσι˙ καί γάρ ἄφατος ἡ τοῦ Πνεύματος χάρις καί πολυειδής ἡ δωρεά. Τοῦτο δέ γίνεται, ἵνα μάθῃς ὅτι μία ἡ δωρεά καί ἡ ἐξουσία Πατρός καί Υἱοῦ καί ἁγίου Πνεύματος».

(σελ. 194) Ὥς ἄν δέ καί διεξοδικώτερον πρός αὐτούς ἀπαντήσωμεν, εἰ τό ἐμφύσημα τοῦ Κυρίου τό Πνεῦμα τό ἅγιον ἦν, καί ἡ ἀναπνοή λοιπόν ᾗ ἐχρῆτο, δι᾿ ἧς καί τό ἐμφύσημα γέγονε, τό Πνεῦμα τό ἅγιον ἦν. Οὐκοῦν οὐ καθ᾿ ἡμᾶς ἐγένετο ἄνθρωπος, ἀλλ᾿ ἤ φαντασίᾳ, κατά τήν φαντασίαν τῶν Ἀκεφάλων, ἤ καί πρίν ἀνθρώποις συναναστραφῆναι τήν σαρκώδη φύσιν ἐξ ἀρχῆς εἶχεν οὕτω πως συνισταμένην, κατά τήν Ἀπολιναρίου ἄνοιαν˙ καί μή αὐτός ὁ Κύριος καί τοῦτ᾿ εἶπε πάντως˙ «τά ρήματα, ἅ ἐγώ λαλῶ, Πνεῦμά εἰσι καί ζωή εἰσι». Εἰ δέ Πνεῦμα εἰσι, καί Πνεῦμα ἅγιόν εἰσι˙ πῶς γάρ οὔ; Οὐκοῦν, κατά τήν Ἰταλῶν περί τοῦ ἐμφυσήματος ἑρμηνείαν, καί τό Πνεῦμα Λόγος καί Θεοῦ Λόγος. Οὗ τί ἄν ἀκουσθείη καινότερον; Μᾶλλον δέ λόγοι, καί Θεοῦ λόγοι˙ τά γάρ ρήματα, πλῆθος.

Ἐπιστῆσαι δέ κἀνταῦθα δέον, ὡς οὐδέ νῦν εἶπεν, ὅτι «τά ρήματα ἅ ἐγώ λαλῶ τό Πνεῦμά εἰσιν», ἀλλά χωρίς τοῦ ἄρθρου, δηλῶν μή τοῦ Πνεύματος τήν ὑπόστασιν εἶναι ταῦτα, τῆς δέ τοῦ θείου Πνεύματος ἐνεργείας εἶναι πεπληρωμένα καί τήν ζωοποιόν τοῦ Πνεύματος δι᾿ αὐτῶν χορηγεῖσθαι ἐνέργειαν. Καί ἡνίκα τοίνυν ἐμφυσήσας εἶπε, “λάβετε Πνεῦμα ἅγιον”, τοῦτ᾿ ἄντικρυς ἔφη, ὅτι τό ἐμφύσημα τοῦτο τῆς τοῦ λύειν καί δεσμεῖν ἐξουσίας τοῦ θείου Πνεύματος πεπληρωμένον ἐστί.

Πρός ὅ δέ νῦν ὁ Λόγος καί παρ᾿ ἡμῶν τά τοῦ Κυρίου ρήματα ἐξαγγέλλεται˙ «ἐν γάρ τοῖς χείλεσί μου», φησίν, «ἐξήγγειλα πάντα τά κρίματα τοῦ στόματός σου». Ἆρ᾿ οὖν καί ἐξ ἡμῶν ἐκπορεύεται τό Πνεῦμα τό ἅγιον; Ἀλλά καί ἐξερευνῶνται καί μελετῶνται καί τηροῦνται καί πράττονται καί κατανοοῦνται, εἰς ὅσα κατάγει τό Πνεῦμα ὁ τά τοῦ Πνεύματος ἑρμηνεύων οὐ διά τοῦ Πνεύματος, ὅση δέ καί ἡ διαφορά τῶν τοῦ Κυρίου λόγων˙ ἐντολαί, νόμοι, μαρτύρια, δικαιώματα, κρίματα. «Καί ἐγένετο ρῆμα Κυρίου ἐπί Ἰωάννην τόν Ζαχαρίου», κατά τόν θεῖον εὐγγελιστήν Λουκᾶν, (σελ. 196) καί «καθώς ἐλάλησε Κύριος διά τῶν ἁγίων αὐτοῦ προφητῶν ποιῆσαι ἔλεος», ὁ Ζαχαρίας φησί, καί «ἐπί Ἰωνᾶν τόν τοῦ Ἀμαθῆ Λόγος Κυρίου ἐγένετο», καί «ὁ Λόγος ὁ γενόμενος πρός Ἡσαΐαν» καί ἄλλοτ᾿ ἐπί

ἄλλον, καί «εἶπε Κύριος πρός Μωϋσῆν» καί τόν δεῖνα ἤ τόν δεῖνα καί ἐφ᾽ ὅσους ἀρτίως οὐδέ ἀριθμῆσαι ῥᾴδιον.

Τί οὖν, ταῦτα πάντα τό Πνεῦμα τό ἅγιον ἦν καί οὐκ ἐλάλησεν αὐτό διά τῶν προφητῶν κατά τό γεγραμμένον, ἀλλ᾽ αὐτό ἐλαλήθη δι᾽ αὐτῶν ἤ ἐλαλήθη πρός αὐτούς; Ἄπαγε τῆς βλασφημίας. Εἰ δέ μή ταῦτα τά ἐκ τοῦ ἀσωμάτου Θεοῦ ἀσωμάτως λεγόμενα τό Πνεῦμα τό ἅγιον ἦν, πολλῷ μᾶλλον οὐδέ τά τοῦ Χριστοῦ ῥήματα σωματικῶς προφερόμενα. Εἰ δέ μή ταῦτα, οὐδέ ἡ ἀναπνοή ἐν ᾗ τυποῦται αὐτά καί προάγεται. Εἰ δέ μή αὕτη, οὐδέ τό ἐμφύσημα τό γεγονός δι᾽ αὐτῆς. Πρός δέ τούτῳ, οὐδέ τό παρ᾽ αὐτοῦ αἰνιττόμενον. Εἰ γοῦν καί παντάπασιν ἀδύνατον, ὅμως ἔστω μή τῆς σαρκός εἶναι, ἀλλά τῆς θεότητος τοῦ Υἱοῦ τό ἐμφύσημα˙ μᾶλλον δέ, ἵν᾽αὐτό θῶμεν τό παρά τῶν Λατίνων λεγόμενον, ἔστω παρά τοῦ αἰσθητοῦ τό νοητόν ἐκεῖνο παρά τοῦ Σωτῆρος σημαίνεσθαι. Ἀλλ᾽ ἐνεφύσησεν οὗτος καί τήν ἀρχήν εἰς τό πρόσωπον τοῦ πρώτου πλάσματος. Τί δέ ἐνεφύσησε; Πνοήν ζωῆς. Τί ἐστι πνοήν ζωῆς; Ψυχήν ζῶσαν. Διδασκέτω σε Παῦλος˙ «ἐγένετο ὁ πρῶτος ἄνθρωπος εἰς ψυχήν ζῶσαν». Τί δέ ἐστι ζῶσαν; Ἀείζωον, ἀθάνατον, ταὐτόν δ᾽ εἰπεῖν λογικήν - ἡ γάρ ἀθάνατος λογική – καί οὐ τοῦτο μόνον, ἀλλά καί κεχαριτωμένην θείως. Τοιαύτη γάρ ὄντως ζῶσα ψυχή. Τοῦτο δέ τῷ κατ᾽ εἰκόνα ταὐτόν, εἰ δέ βούλει καί καθ᾽ ὁμοίωσιν. Ὤ τῆς ζημίας, ἐκ τίνος εἰς τί μετεβάλομεν.

Ἑώρων οἱ τῶν ἀγγέλων ὀφθαλμοί τότε τήν αἰσθήσει καί σαρκί συνημμένην τοῦ ἀνθρώπου ψυχήν καί Θεόν ἄλλον ἑώρων, μή γεγενημένον μόνον ἐπί γῆς δι᾽ ἀγαθότητα (σελ. 198) θείαν, νοῦν τε καί σάρκα τόν αὐτόν, ἀλλά δι᾽ ὑπερβολήν ταύτης καί κατά Θεοῦ χάριν μεμορφωμένον, ὡς εἶναι τόν αὐτόν σάρκα καί νοῦν καί Πνεῦμα καί τό κατ᾽ εἰκόνα καί ὁμοίωσιν θείαν τήν ψυχήν ἔχειν ἐντελῶς ὡς ἑνιαίαν οὖσαν ἐν νῷ καί λόγῳ καί πνεύματι. Ἀλλ᾽ εἶδε καί ὁ βάσκανος ὀφθαλμός, οὐκ ἤνεγκεν ὁ ἀρχέκακος ὄφις˙ τοσοῦτον ἐκαρτέρησεν, οἶμαι, ὅσον δραστικώτερον τόν ἰόν ὑπό τήν γλῶσσαν κεράσαι καί οἷον συσκευάσαι καί μῖξαι δόλῳ, γλυκερῷ λόγῳ, τό δι᾽ ἀκοῆς δηλητήριον˙ ἐπῆλθεν, ἔθελξεν, ἔτρωσεν - ὤ καί τῆς ἐμῆς εὐκολίας καί τῆς ἐκείνου κακίας – εἰσέχεε τῇ ψυχῇ τόν ἰόν, ἐθανάτωσε τό ζῶν ἐκεῖθεν, τό σῶμα λέγω, τήν δ᾽ ἀφ᾽ ἑαυτῆς ζῶσαν ψυχήν ἠμαύρωσεν˙ ἀφῃρήμεθα τό θεῖον κάλλος, ἐστερήμεθα τῆς θείας μορφῆς, τό φῶς ἀπεβάλομεν, τήν πρός αὐτό τό ἀνωτάτω φῶς ὁμοιότητα διεφθείραμεν˙ περιβαλόμεθα

τό ζόφον ὡς ἱμάτιον, φεῦ, καί ὡς διπλοΐδα τό σκότος ἐνεδεδύμεθα. Ἀλλ᾽ ἠλέησε δωρεάν, ἵνα μή μηκύνω λέγων, οὗ φύσις ἡ ἀγαθότης καί ὁ δι᾽ αὐτήν ἔλεος˙ καί δι᾽ ἐμέ τόν πεσόντα κατῆλθε καί γέγονε, καθά φησιν ὁ ἀπόστολος, «εἰς Πνεῦμα ζωοποιοῦν», ὡς ἄν ζωοποιήσας ἀνακαινίσῃ τήν ἀμαυρωθεῖσαν εἰκόνα.

Τοῦτον τοίνυν ἤδη τελῶν καί δεικνύς ὡς οὗτος ἐκεῖνος ὁ καί τήν ἀρχήν δημιουργήσας δι᾽ ἐμφυσήματος τοῖς μαθηταῖς ἐμφυσᾷ καί δι᾽ οἰκείου λόγου φανεροῖ τό δώρημα˙ οὐκ αὖθις λέγων ψυχήν ἐντίθημι, ἀλλά Πνεῦμα, καί Πνεῦμα θεῖον αὖθις τῇ μεταδόσει τῶν χαρισμάτων τήν ψυχήν ἀπεργάζομαι. Εἰπέ, Παῦλε, πῶς, τόν λόγον διαδεξάμενος˙ στόμα γάρ ὄντα σε γινώσκω Χριστοῦ. Αὐτήν, φησί, συνάπτων, ὡς ἐκεῖνος ἄν εἶπε, τῷ ἐμῷ πνεύματι καί οἷον πνέειν μετ᾽ ἐμοῦ τούς ἐμούς καί κατά χάριν ἔχειν διά τῆς πρός ἐμέ συναφείας τήν τῷ θείῳ Πνεύματι φυσικῶς προσοῦσαν τοῦ λύειν καί δεσμεῖν ἐξουσίαν. «Ἡμεῖς γάρ», φησί, (σελ. 200) «νοῦν Χριστοῦ ἔχομεν», καί «ὁ κολλώμενος τῷ Κυρίῳ ἕν Πνεῦμά ἐστιν».

Ἀλλ᾽ ὁρᾷς πῶς τό ἐμφύσημα τοῦτο αἰνίττεται μέν παρόν τό Πνεῦμα καί τελεσιουργοῦν τήν ἐπί τό κρεῖττον τῆς ἀνθρωπίνης ψυχῆς ἀνακαίνισιν, ἥν ἐκ Πατρός διά τοῦ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι τελεῖσθαι πιστεύομεν, δίδωσι δέ πνεῦμα καί Πνεῦμα ἅγιον, ἀλλά κατά τήν δωρεάν καί τήν δύναμιν καί τήν χάριν καί τήν ἐνέργειαν, ἥτις τό τάς ἁμαρτίας τῶν ἀνθρώπων δεσμεῖν καί λύειν ἐστίν, οὐκ αὐτήν τήν ὑπόστασιν τοῦ παναγίου Πνεύματος; Παρ᾽ οὐδενός γάρ αὕτη λαμβάνεσθαι δύναται. Τά δέ χαρίσματα τοῦ Πνεύματος, αἱ φυσικαί δυνάμεις καί ἐνέργειαι, μηδαμῶς αὐτοῦ χωριζόμεναι, λαμβάνονται μέν παρά τῶν ἀξίων ἐνεργεῖσθαι παρά τοῦ Πνεύματος, οἱ διά τό ἡνῶσθαι τούτῳ καί τῇ τούτου ἐνεργείᾳ χρισθῆναι (μόνος γάρ ὁ μόνος Χριστός ὅλῳ ἐχρίσθη τῷ χρίοντι, κατά τόν εἰπόντα, Χριστός διά τήν θεότητα, οὐκ ἐνεργείᾳ κατά τούς ἄλλους χριστούς ἁγιάζουσαν, παρουσίᾳ δέ ὅλου τοῦ χρίοντος)˙ τῷ γοῦν ἡνῶσθαι διά τῆς ἐκεῖθεν θείας ἐνεργείας καί χρηματίσαι τοῦ Πνεύματος ὄργανα, και δι᾽ ἑαυτῶν αὐτό φανεροῦν λαβεῖν λέγονται καί πρός αὐτούς δίδοσθαι διά τοῦ Υἱοῦ, εἰ δέ βούλει καί παρά τοῦ Υἱοῦ, τό Πνεῦμα τό ἅγιον. Καί τοῦτ᾽ ἔδειξεν ὁ Κύριος ἐμφυσήσας καί εἰπών τοῖς μαθηταῖς, «λάβετε Πνεῦμα ἅγιον», ὡς καί Δαμασκηνός ὁ θεῖος ἡμᾶς ἐδίδαξεν˙ εἰπών γάρ, «ὅτι ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα οὐ λέγομεν, Πνεῦμα δέ Υἱοῦ ὀνομάζομεν καί δι᾽ Υἱοῦ πεφανερῶσθαι καί μεταδίδοσθαι ἡμῖν

ὁμολογοῦμεν», εὐθύς ἐπήνεγκεν˙ «ἐνεφύσησε γάρ καί εἶπε τοῖς μαθηταῖς, λάβετε Πνεῦμα ἅγιον». Ἆρ᾽ οὐ κατάδηλον, ὡς ὁ δαμασκηνός Πατήρ ἀπό τοῦ ἐμφυσήματος τούτου μή εἶναι καί ἐκ τοῦ Υἱοῦ, ἀλλά φανεροῦσθαι μόνον καί μεταδίδοσθαι δι᾽ αὐτοῦ τό Πνεῦμα τό ἅγιον ἐνόησε καί ἀπέδειξε;

(202) Λατῖνοι δέ φρενοβλαβῶς ἀντιθετικῶς ἐκείνῳ νοοῦσι καί δογματίζουσιν˙ οὐ γάρ συνορῶσιν ὡς τά χαρίσματα ταῦτα καί αἱ ἐνέργειαι, καθ᾽ ἅς διά τοῦ Υἱοῦ χορηγεῖται τό Πνεῦμα τό ἅγιον, οὐ παρά τοῦ Υἱοῦ μόνον, ἀλλά καί παρ᾽ αὐτοῦ δίδονται τοῦ ἀνωτάτω Πατρός. «Πᾶν γάρ», φησί, «δώρημα τέλειον ἄνωθέν ἐστι παρά τοῦ Πατρός τῶν φώτων». Τί δέ τῆς ἐξουσίας τοῦ ἀφιέναι καί κρατεῖν τά ἁμαρτήματα τελεώτερον; Καί οὐ παρά τοῦ Πατρός καί τοῦ Υἱοῦ μόνον, ἀλλά καί δι᾽ αὐτοῦ καί παρ᾽ αὐτοῦ τοῦ ἁγίου Πνεύματος˙ «ἐκχεῶ γάρ ἀπό τοῦ Πνεύματός μου ἐπί πᾶσαν σάρκα», διά τοῦ Ἰωήλ εἶπεν ὁ Θεός˙ ἧς ἐκχύσεώς ἐστι πάντως καί τό τοῖς μαθηταῖς παρά Χριστοῦ δεδομένον Πνεῦμα δι᾽ ἐμφυσήματος˙ καί «τῷ μέν», φησί, «διά τοῦ Πνεύματος δίδοται λόγος σοφίας, τῷ δέ λόγος γνώσεως», καί πάνθ᾽ ὅσα ἐφεξῆς τῷ ἐκλεκτῷ σκεύει τῶν χαρισμάτων ἀπηρίθμηται Παύλῳ, τῷ καί τῶν ἀποκαλύψεων τήν ὑπερβολήν διά τοῦ Πνεύματος ηὐμοιρηκότι˙ διό καί λέγοντι, «ἡμῖν δέ ἀπεκάλυψεν ὁ Θεός διά τοῦ Πνεύματος αὐτοῦ», οὐ μόνον τά μή ἐγνωσμένα τοῖς περιβοήτοις κατ᾽ ἀρετήν καί εὐσέβειαν πατράσιν, ἀλλά καί αὐτήν τήν τῶν ἀγγέλων ὑπερβαίνοντα γνῶσιν˙ «καί ταῦτα γινώσκομεν», φησίν ὁ τῶν ἀποστόλων θεολογικώτατος Ἰωάννης», ἐκ τοῦ Πνεύματος οὗ ἐλάβομεν παρ᾽ αὐτοῦ». Καί ἁπλῶς πᾶσα ἐπί τήν κτίσιν ἡ τῶν ἀγαθῶν χορηγία ἐξ αὐτοῦ πηγάζει˙ καί «οὐκ ἔστιν ὅλως δωρεάν», φησίν ὁ μέγας Βασίλειος, «ἄνευ τοῦ ἁγίου Πνεύματος εἰς τήν κτίσιν ἀφικνουμένη»˙ὅς καί πάντα ἀπαριθμησάμενος, τάς τε δωρεάς καί τά χαρίσματα καί τάς ἐνεργείας τοῦ Πνεύματος, εἶτα φησί, «πάντα ταῦτα ἀϊδίως ἔχει τό Πνεῦμα τό ἅγιον, ἀλλά τό μέν ἐκ Θεοῦ πηγάζον ἐνυπόστατόν ἐστι, τά δέ ἐξ αὐτοῦ πηγάζοντα ἐνέργειαι αὐτοῦ εἰσιν». Ἆρ᾽ οὖν καί ἐξ ἑαυτοῦ τό Πνεῦμα τό ἅγιον ἐκπορεύεται, ἐπεί ἐξ (204) αὐτοῦ τε καί δι᾽ αὐτοῦ πᾶσα ἡ τῶν ἀγαθῶν χορηγία, ἐν ᾗ πάντως καί ἡ τοῦ λύειν καί δεσμεῖν ἐξουσία, ἥν ὁ Κύριος δι᾽ ἐμφυσήματος τοῖς μαθηταῖς παρέσχεν; Ἄπαγε τῆς ἀτοπίας˙ ἀλλά τό μέν διδόναι τῶν τριῶν ἐστιν ὑποστάσεων κοινόν, ὡς καί ὁ ἀπόστολος συμμαρτυρεῖ˙ «διαιρέσεις γάρ», φησί, «χαρισμάτων εἰσί, τό δέ αὐτό Πνεῦμα˙ καί

διαρέσεις διακονιῶν, ὁ δέ αὐτός Κύριος˙ καί διαιρέσεις ἐνεργημάτων, ὁ δέ αὐτός Θεός».

Κοιναί μέν οὖν τῇ μόνῃ ἁγίᾳ καί προσκυνητῇ Τριάδι αἵ τε θεῖαι δυνάμεις καί αἱ ἐνέργειαι, δι᾽ ὧν ὁ Θεός ἐνοικεῖ καί ἐμπεριπατεῖ τοῖς ἀξίοις κατά τήν ἐπαγγελίαν, δι᾽ αὐτῶν ἐνργῶν τε καί γνωριζόμενος. Ὧνπερ θείων ἐνργειῶν καί πηγή θεολογεῖται μή μόνον ὁ Πατήρ καί ὁ Υἱός, ἀλλά καί τό Πνεῦμα τό ἅγιον, ὡς καί ὁ μέγας φησί Βασίλειος ἐν τοῖς Περί τοῦ ἁγίου Πνεύματος ἀντιρρητικοῖς αὐτοῦ κεφαλαίοις γράφων˙ «αἱ δέ ἐνέργειαι τοῦ Πνεύματος τίνες; Ἄρρητοι μέν διά τό μέγεθος, ἀνεξαρίθμητοι δέ διά τό πλῆθος». Καί πάλιν˙ «παρά τῷ ἁγίῳ Πνεύματι πάντα τέλεια˙ ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, σοφία, σύνεσις, βουλή, ἀσφάλεια, εὐσέβεια, γνῶσις, ἁγιασμός, ἀπολύτρωσις, πίστις, ἐνργήματα δυνάμεων, χαρίσματα ἰαμάτων, καί ὅσα τούτοις παραπλήσια, οὐδέν ἔχον τι ἐν ἑαυτῷ ἐπίκτητον ἀλλ᾽ ἀϊδίως πάντα ἔχον, ὡς Πνεῦμα Θεοῦ καί ἐξ αὐτοῦ πεφηνός, αἴτιον ἑαυτῷ ἔχον ὡς πηγήν ἑαυτοῦ κἀκεῖθεν πηγάζον. Πηγή δέ καί αὐτό τῶν προειρημένων ἀγαθῶν. Ἀλλά τό μέν ἐκ Θεοῦ πηγάζον ἐνυπόστατόν ἐστι, τά δέ ἐξ αὐτοῦ πηγάζοντα ἐνέργειαι αὐτοῦ εἰσι». Ταῦτα δέ εἰσι τά γνωριστικά τῆς θείας φύσεως αὐχήματα.

Θέλων οὖν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ὁμοούσιον ἑαυτόν δεῖξαι κατά τήν θεότητα τῷ Πατρί καί τῷ Πνεύματι, τοῖς μαθηταῖς αὐτός ταύτην κατά χάριν δίδωσι τήν φυσικήν τῆς θεότητος ἐνέργειαν, ὡς καί ὁ Πατήρ πρότερον (206) ἐνίας τῶν τοιούτων ἐνεργειῶν τοῖς προφήταις παρέσχε˙ καί τό Πνεῦμα δέ τό ἅγιον κατελθόν μετά τήν τοῦ Σωτῆρος ἄνοδον, καί αὐτό τάς τοιαύτας ἐνεργείας ἔδωκε τοῖς μαθηταῖς, δι᾽ αὐτῶν καί αὐτό δεικνύμενον ὁμοούσιον τῷ Πατρί καί τῷ Υἱῷ. Κοινά μέν οὖν καί πολλά τῇ μόνῃ ἁγίᾳ καί προσκυνητῇ Τριάδι τά πρός ἡμᾶς ἐξ αὐτῆς θεῖα δόματα καί ἡ τούτων δόσις, ἡ δέ τοῦ ἁγίου Πνεύματος ἐκπόρευσις μία καί τοῦ Πατρός ἰδία καί προαιώνιος.

Ἀλλ᾽ ἵνα καί τήν ἀπολογίαν ἐπισφραγίσωμαι καί «πᾶν στόμα τό ἀντιτεῖνον φραγῇ», αὐτόν τόν τῆς ἀληθείας λόγον τοῦ νυνί λόγου κατά τούς πρό ἡμῶν συμφθεγγόμενον ἡμῖν δείξας προβαλοῦμαι μάρτυρα τῆς ἀληθείας. Αὐτός δέ ὁ μηδαμόθεν χωριζόμενος, γῆθεν πρός τόν ἐπουράνιον Πατέρα ἀνιών, τοῖς διαμεμενηκόσιν εἰς τέλος μετ᾽ αὐτοῦ «παρήγγειλεν ἀπό Ἱεροσολύμων μή χωρίζεσθαι, ἀλλά περιμένειν τήν ἐπαγγελίαν τοῦ Πατρός ἥν ἠκούσατέ μου», φησίν. Ἀλλά τίς ἡ ἐπαγγελία; Ὅτι «βαπτισθήσεσθε», φησίν, «ἐν Πνεύματι

ἁγίῳ, οὐ μετά πολλάς ταύτας ἡμέρας». Οὐκοῦν πρό τῆς τοῦ Σωτῆρος ἀναλήψεως οὔπω τῆς ἐπαγγελίας ἔτυχον˙ οὐκ ἄρα διά τοῦ ἐμφυσήματος τό Πνεῦμα τό ἅγιον ἐδόθη, τοῦτο γάρ ἡ ἐπαγγελία. Πότε δή τοῦ Σωτῆρος ἐπαγγειλαμένου ταῦτ᾽ ἤκουσαν οἱ μαθηταί; Ὅτε μέλλων ἑκών ὑπέρ ἡμῶν ἀποθνήσκειν – βαβαί τοῦ μεγέθους τῆς πρός ἡμᾶς διαθέσεως – οὐχ ἑαυτόν μόνον ὑπέρ ἡμῶν παρεδίδου τῇ σφαγῇ, ἀλλά καί κληρονόμους ἐνδιαθήκως ἐποιεῖτο τῶν ὑπαρχόντων αὐτῷ καί τούς θησαυρούς ἡμῖν ἀνεώγνυ τε καί παρεδίδου καί αὐτόν τόν συμφυᾶ καί πᾶσαν κτίσιν ὑπεραναβεβηκότα, τόν ἀκένωτον πλοῦτον τοῦ Πνεύματος˙ «ἐγώ γάρ», φησίν, «ἐρωτήσω τόν Πατέρα καί ἄλλον παράκλητον δώσει ὑμῖν, ἵνα μένῃ μεθ᾽ ὑμῶν εἰς τόν αἰῶνα». Εἶτα μετ᾽ ὀλίγα, «ὁ δέ παράκλητος, τό Πνεῦμα τό ἅγιον, ὅ πέμψει ὁ Πατήρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα».

(σελ. 208) Εἶτ᾽ αὖθις μετά τάς γλυκείας ὑποθήκας ἐκείνας, μετά τούς ψυχαγωγοῦντας λόγους, μετά τάς πρός φυλακήν τοῦ πλούτου προτροπάς, «ὅταν ἔλθῃ», φησίν, «ὁ παράκλητος, ὅν ἐγώ πέμψω ὑμῖν παρά τοῦ Πατρός, τό Πνεῦμα τῆς ἀληθείας, ὅ παρά τοῦ Πατρός ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περί ἐμοῦ». Εἶδες τοῦ ὄντος θησαυροῦ τά κατά μέρος κλεῖθρα διανοιγόμενα; Μᾶλλον δ᾽ ἵν᾽ εἴπω θεολογικώτερον, ὁρᾷς φωτισμούς ὑμῖν κατά μέρος ἐλλάμποντας;

Ἀλλ᾽ ὑπέρ οὗ νῦν ὁ λόγος, ἴδωμεν τήν ἐπαγγελίαν˙ τό δ᾽ «οὐ μετά πολλάς ταύτας ἡμέρας» ποῦ; Αὐτοῦ τῶν λόγων μικρόν προελθών καί τοῦτο τότε προείρηκεν ἐκ τῶν μεγίστων τούς οἰκείους φιλανθρώπως παραμυθούμενος˙ «συμφέρει γάρ», φησίν, ὑμῖν, «ἵνα ἐγώ ἀπέλθω˙ ἐάν γάρ ἐγώ μή ἀπέλθω, ὁ παράκλητος οὐκ ἐλεύσεται πρός ὑμᾶς». Πῶς οὖν τις τολμᾷ λέγειν, ὅτι διά τοῦ ἐμφυσήματος ἦλθε πρός τούς μαθητάς τοῦ Κυρίου πρίν ἀναληφθῆναι αὐτόν; Ἀλλ᾽ ἔστω, φησίν˙ οὐ γάρ ἐδόθη πρό τῆς ἀναλήψεως τοῦ Σωτῆρος ὁ ἄλλος παράκλητος. Ἔχεις καί τοῦτο λέγειν, ὡς οὐκ αὐτός σαφῶς τοῖς μαθηταῖς ἐπηγγείλατο λέγων, «ὅν ἐγώ πέμψω ὑμῖν», καί «ἐάν ἐγώ πορευθῶ, πέμψω αὐτόν πρός ὑμᾶς»;

Εὖγέ σοι τοῦτο μετ᾽ ἐκεῖνο προήχθη, πρός τόν εἰπόντα φαίη τις ἄν˙ ὑποβέβηκε γάρ καί τῇ δυνάμει τοῦ δοκοῦντος ὑμῖν παρά τῶν Γραφῶν βοηθήματος. Εἰ γάρ καί τοῦτο λόγος τοῦ Λόγου τῆς ἀληθείας, ἀλλ᾽ οὐχ ὁμοίως τό ἐμφυσᾶν καί τό πέμπειν τό παρ᾽ ἑαυτοῦ δείκνυσιν˙ ὁ μέν γάρ ἐμφυσῶν κατά πᾶσαν ἀνάγκην ἐξ ἑαυτοῦ ἐμφυσᾷ τῷ παρ᾽ ἑαυτοῦ πνεύματι˙ ταὐτόν δ᾽ εἰπεῖν τῷ παρ᾽ ἑαυτοῦ ἐκπορευομένῳ

ἐμφυσήματι. Οὐ μήν δέ καί πᾶς ὁ πέμπων τό παρ᾽ ἑαυτοῦ ὄν τε καί ἐκπορευόμενον πέμπει, ἀλλά καί τό παρ᾽ ἑτέρου πρός αὐτόν ἧκον. Διό καί σπουδήν ὁ Κύριος ((210) θέμενος τοῦ μηδένα παραχθέντα δοξάζειν, ὅτι τό Πνεῦμα τό ἅγιον καί ἐξ αὐτοῦ ἐκπορεύεται, τό μέν ἐμφύσημα, ὅ τοῦτ᾽ ἐδόκει μᾶλλον παριστᾶν, τότ᾽ ἔδωκεν, ὅτε ἀπείρηκε καί ὑπερέθετο τήν ἐπιδημίαν τοῦ Πνεύματος˙ τό δέ «πέμψω» προειπών, προσέηκε τό «παρά τοῦ Πατρός». Εἰ γάρ καί «πέμψω», φησίν, ἀλλ᾽ οὐ παρ᾽ ἐμαυτοῦ, ἀλλά παρά τοῦ Πατρός λαβών, ἀφ᾽ οὗ ἐκπορεύεται˙ ἐκεῖνος γάρ μόνος πέμπει παρ᾽ ἑαυτοῦ, ὡς παρ᾽ ἑαυτοῦ τοῦτ᾽ ἔχων ἐκπορευόμενον, καί ἀεί τοῦτ᾽ ἔχων ἐκπορευόμενον, οὐ τότε μόνον ἐκπορευθησόμενον ὅτε καί αὐτός ἐγώ «πέμψω», οὐδέ παρ᾽ ἐμοῦ ἀδιαστάτως πεμπόμενον, ὥσπερ παρ᾽ ἐκείνου ἐκπορευόμενον˙ οὐ γάρ εἰπών «πέμψω» τό “παρ᾽ ἐκείνου ἐκπορευθέν” προσεπήγαγον, ἵνα μή ἐπί τοῦ Πατρός προσεπινοηθῇ τό “ποτέ”. Καί ἐπιφέρειν μέλλων «ὅ παρά τοῦ Πατρός ἐκπορεύεται», φθάσας εἶπον, οὐχ “ὅ ἐγώ πέμπω”, ἀλλ᾽ «ὅ ἐγώ πέμψω», ἵνα μή συνεπινοηθῇ καί ἐπ᾽ ἐμοῦ τό ἀεί. Τό μέν γάρ πέμπειν ἔχειν τό Πνεῦμα τό ἅγιον πρός τούς ἀξίους κοινόν ἐστιν ἐξ ἀϊδίου τῷ Πατρί καί τῷ Υἱῷ˙ πέμπει δέ χρονικῶς ἑκάτερος, ἀμφότεροι δέ μᾶλλον, ὁπότε δέοι.

Ταῦτ᾽ ἄρα καί τήν προθεσμίαν καί τόν μέλλοντα χρόνον ἐπιδέχεσθαι δύναται˙ τοῦ δέ ἐκπορεύειν τό ἐκπορεύειν ἔχειν οὐδαμῶς προηγεῖται, οὐδ᾽ ἐν ἐπαγγελίας μοίρᾳ κείσεταί ποτε, οὐδέ τό μελλειν ἐπιδέξαιτ᾽ ἄν, ἄπαγε τῆς βλασφημίας, ἥ συμβαίνει τοῖς οἰομένοις ἀΐδιον εἶναι τήν παρά τοῦ Υἱοῦ ἔκπεμψιν τοῦ Πνεύματος. Ἐπέμφη γάρ τισι καί ἐδόθη πρός τούς μαθητάς ἐκ τοῦ Υἱοῦ, λαβόντος παρά τοῦ Πατρός χρονικῶς καί αὐτῶν τῶν λαμβανόντων ὑστερογενεστέρας οὔσης τῆς ἀποστολῆς, καί δι᾽ αἰτίαν, μᾶλλον δέ διά πολλάς αἰτίας˙ «ἵνα μένῃ», φησί, «μεθ᾽ ὑμῶν εἰς τόν αἰῶνα», «ἵνα ὑμᾶς διδάξῃ καί ὑπομνήσῃ πάντα ἅ εἶπον ὑμῖν», «ἵνα μαρτυρήσῃ περί ἐμοῦ» καί ὑμῖν συμμαρτυρήσῃ τά κατ᾽ ἐμέ, ἀπ᾽ ἀρχῆς μέχρι τέλους μαρτυροῦσιν, (σελ. 212) «ἵνα ἐλέγξῃ τόν κόσμον» ὑπεύθυνον τῇ ἁμαρτίᾳ, τόν ἁμαρτίν ὀνομάσαντα τήν ἐμήν δικαιοσύνην˙ δικαιοσύνην ἥ καί αὐτόν τόν ἄρχοντα τῆς ἁμαρτίας καί αὐτῆς τῆς τῶν ἁμαρτωλῶν ἐξέβαλεν ἀρχῆς κατακρίνασα δικαίως, ὅτι τόν ὄντως δίκαιον ἀδίκως ὑπό τήν αὐτήν τοῖς ἁμαρτωλοῖς ἤγαγεν εὐθύνην, ἵν᾽ ἐμέ δοξάσῃ, ὁδηγῆσαν ὑμᾶς πρός πᾶσαν τήν ἀλήθειαν. Καί γάρ «Πνεῦμα ἀληθείας» ἐστί, καί «οὐκ ἀφ᾽ ἑαυτοῦ λαλεῖ, ἀλλ᾽ ὅσα ἀν ἀκούῃ παρά τοῦ Πατρός», ὥσπερ

κἀγώ οὐδέν ἐλάλησα ἀπ᾽ ἐμαυτοῦ»˙ ἐπεί δέ ὁ Πατήρ ἐμός καί «πάντα ὅσα ἔχει ὁ Πατήρ ἐμά», «ἐκ τοῦ ἐμοῦ λαμβάνει καί ἀναγγέλλει»˙ κοινά γάρ ἡμῖν καί ὁ πλοῦτος καί τά δόματα.

Ἐπέμφθη τοίνυν ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ χρονικῶς καί πρός τινας καί δι᾽ αἰτίαν˙ παρ᾽ αὐτοῦ δέ μόνου τοῦ Πατρός ἐκπορεύεται ἀχρόνως καί ἀναιτίως, αὐτόν μόνον ἔχον αἰτίαν ἑαυτοῦ, τόν μόνον ἀγέννητον Πατέρα, τόν ποιοῦντα τά πάντα ἐκ μή ὄντων διά μόνην τήν κοινήν ἑαυτοῦ τε κἀκείνων ἀγαθότητα, τόν δ᾽ Υἱόν ἐξ ἀρχῆς ἔχοντα γεγεννημένον καί τό Πνεῦμα τό ἅγιον ἐκπορευόμενον.

Ἆρα νοῦν ἔλαβες ὁ δι᾽ ἐναντίας καί φῶς γνώσεως ἐπέλαμψέ σοι παρά τοῦ τῆς ἀληθείας λόγου; Μᾶλλον δέ σύ γε αὐτός ἆρα διαίρειν ἤρξω τά βλέφαρα καί διαβλέπειν πρός τό φῶς, εἰ καί μή τελέως, ἀλλ᾽ ἀμυδρῶς γοῦν ἀντιλαμβανόμενος τῆς διαπρυσίου καί μή ἀμυδρᾶς αὐγῆς, ὥστε ψηλαφῆσαι καί ἰδεῖν ὅτι τό «δώσει» τε καί τό «πέμψει» τοσαυτάκις εἰρημένον οὐδαμοῦ χωρίς αἰτίας εἴρηκεν, οὐδ᾽ ἄνευ προσώπου τοῦ λαμβάνοντος δι᾽ ὅν καί πέμπεται, ἀλλ᾽ ἀεί συνεζευγμένον ταῖς αἰτίαις ἀποδέδωκεν ὁ μόνος καί Θεός καί θεολόγος, τό δέ ἐκπορευόμενον ἀπολύτως ἔθηκε ψωρίς ἡστινοοῦν αἰτίας; Τήν μέν γάρ συνδιαιωνίζουσαν καί χωρίς αἰτίας οὖσαν ἔκπεμψιν μόνῳ τῷ Πατρί προσένειμε, τήν δ᾽ ὑπό χρόνον οὖσαν καί ἀεί μετά τῆς αἰτίας συνημμένην κοινήν οὖσαν, ἐξεκάλυψεν ἑαυτῷ καί τῷ Πατρί, (σελ. 214) ὡς ἄν τοῦτο συνιδών, μηκέτι βλασφημῇς τῇ ἐκπορεύσει φρονῶν καί λέγων τήν ἀποστολήν ταὐτόν ἤ ἐκ ταύτης ἐκείνην στοχαζόμενος καί διά τοῦτο λέγων ἐκ τοῦ Πατρός καί ἐξ Υἱοῦ τό θεῖον Πνεῦμα τήν ὑπόστασιν ἔχειν. Ὥσπερ γάρ Θεός ἀναίτιος, οὕτω καί Θεοῦ ὕπαρξις ἀναίτιος, αὐτόν αἰτίαν ἔχων τόν ἐξ οὗ ὑπάρχει ἀναιτίως, ἀλλ᾽ οὐκ ἐξ αὐτοῦ ὑπάρχων δι᾽ αἰτίαν. Ὥσπερ δέ Θεός Θεοῦ ὕπαρξις ἀναίτιος, οὕτω τό δι᾽ αἰτίαν γεγονός κοινόν αὐτῷ τε τῷ ἀναιτίῳ καί τοῖς ἀναιτίοις ἐξ αὐτοῦ ὑπάρχουσιν. Ὅ δ᾽ αὐτοῖς κοινόν, θείας ὑποστάσεως οὐκ ἴδιον. Διό τό μέν ἀποστέλλεσθαι καί τῷ Υἱῷ καί τῷ Πνεύματι ὑπάρχει, ὥσπερ καί τό ἀποστέλλειν τοῖς τρισί˙ δι᾽ αἰτίαν γάρ. Τό δέ ἐκπορεύεσθαι ἤ καί ἐκπορεύειν οὐχί καί τοῦ Υἱοῦ˙ καί γάρ οὐ δι᾽ αἰτίαν. Ὅταν οὖν ἀκούσῃς ἐκ τοῦ Υἱοῦ ἤ καί δι᾽ Υἱοῦ ἤ καί ἐξ ἀμφοῖν πρός τινας πεμπόμενον τό Πνεῦμα τό ἅγιον, τήν ὑπό χρόνον καί δι᾽ αἰτίαν ἐπί νοῦν λάμβανέ μοι πρόοδον, ἀλλά μή τήν ἐκ Πατρός ἄσχετον ἐκείνην καί ὑπέρ αἰτίαν καί προαιώνιον.

Τί οὖν; Ἤδη πείθομεν καί διετρανώθη σοι τό φῶς, ἤ ἔτι προσμενοῦμεν συνείροντες τάς ἀποδείξεις καί διαρριπίζοντες τό τῆς σῆς ἀγνοίας σκότος; Ὥς πολύ τοῦτο καί βαθύ τά τῆς σῆς ἐπηλυγάζον διανοίας κόρας ἔχεις, εἰ μηδέ νῦν πρός τήν ἀλήθειαν διέβλεψάς πω, καίτοι τό «δώσω» ταὐτόν ἐστι τῷ «πέμψω». Ἐπεί γάρ μήτε τό πεμπόμενον τοπικῶς μετάγεται μήτ᾽ αὐτός ὁ πέμπων διΐσταται τοῦ πεμπομένου (καί γάρ ἀεί τε ἅμα καί ἁπανταχοῦ καί ὁ πέμπων καί τό δι᾽ αὐτοῦ πεμπόμενον, εἰ δέ βούλει καί ἐξ αὐτοῦ˙ οὐ γάρ ἐπί τῶν συλλαβῶν ἡμῖν ἡ εὐσέβεια)˙ ἐπεί τοίνυν οὐ διαιρεῖται τόπῳ, οὐδέ τόπῳ περιλαμβάνεται τό πέμπον καί τό πεμπόμενον, οὐκ ἄρα δίδωσιν ὁ πέμπων; Τοῦτο καί αὐτός ὁ Κύριος ἡμᾶς φωτίζων νῦν μέν εἴρηκεν, «ὅ δώσει ὁ Πατήρ», νῦν δ᾽ αὖθις, «ὅ πέμψει ὁ Πατήρ», ἐπί τῆς ἀμφοτέροις διανοίας χρησάμενος. Ἀλλά καί αὐτός, νῦν μέν ὅτι ἐπέμφη παρά τοῦ Πατρός, νῦν δ᾽ ὅτι ἐδόθη, (σελ. 216) ἀναγέγραπται, ὡς ταὐτοῦ ὄντος ἐπί τούτων τοῦ πέμπειν τε καί τοῦ διδόναι.

Ἀλλά μήν «ὁ πανταχοῦ ὤν καί τά πάντα πληρῶν» καί διά πάντων χωρῶν πῶς ἥξει καί δοθήσεται; Δηλαδή φανερούμενος καί ἐνεργῶν τήν τῶν χαρίτων ἐνέργειαν. Οὐκοῦν οὐδέν ἄλλο τό πέμπεσθαί τε καί δίδοσθαι ἐπί Θεοῦ ἤ τό φανεροῦσθαι. Λατίνοις οὖν ἀΐδιον τήν παρά τοῦ Υἱοῦ τοιαύτην ἔμπεμψιν δογματίζουσι καί φανέρωσιν τοῦ Πνεύματος ἀΐδιον δοξάζειν ἀκόλουθον˙ ἀνάγκη δέ συναϊδίους εἶναι καί τούς πρός οὕς ἡ φανέρωσις καί πρόσεστι τό μηδ᾽ οὕτω τήν ὕπαρξιν τοῦ θείου Πνεύματος καί τοῦ Υἱοῦ δείκνυσθαι.

Εἰ δ᾽ ἐκ τῆς φανερώσεως στοχάζεσθαί φασιν ἐκεῖνοι τήν ὕπαρξιν, ἀλλ᾽ ἡμεῖς οὐ στοχασμοῖς ἀκολουθοῦντες, ἀλλά θεολέκτοις λογίοις τήν ὁμολογίαν τῆς πίστεως πεπλουτήκαμεν. Ἴσμεν δέ καί αὐτό παρ᾽ ἑαυτοῦ τό Πνεῦμα τό ἅγιον ἐρχόμενόν τε καί φανερούμενον, ἀλλ᾽ οὐ διά τοῦτο καί παρ᾽ ἑαυτοῦ δώσομεν ἐκπορεύεσθαι˙ ὁ διδούς τοίνυν ἤ πέμπων τό Πνεῦμα τό ἅγιον οὐκ ἐκπορεύει διά τό πέμπειν, ἀλλά φανερόν καθίστησιν αὐτό. Τοῦτο γάρ καί ὁ Κύριος ἐποίησε πρό μέν τῆς οἰκείας ἀναλήψεως φανερώσας μετρίως τοῖς οἰκείοις μαθηταῖς τό Πνεῦμα διά τῆς κοινῆς αὐτῶν καί παρ᾽ αὐτῶν μετρίας τηνικαῦτα δεδομένης χάριτος˙ ὅ καί τήν ἀρχήν αἴτιον, ὡς ἔγωγ᾽ ἄν φαίην, τοῦ δι᾽ ἐμφυσήματος δεδημιουργεῖσθαι τήν ἀνθρώπου ψυχήν.

Ἐπεί γάρ ὅ τε λέγων Πατήρ καί ὁ τούτου παντοδύναμος Λόγος πάντων κτιζομένων ἐκηρύττοντο, ἔκφανσις δέ Πνεύματος οὐ γέγονέ πω, ἔδει δέ τοῦ ἀνθρώπου γενομένου μηδέν τῶν τῆς Τριάδος

προσώπων ἀνεπίγνωστον εἶναι, ἧς ἐπλάττετο μύστης καί προσκυνητής ἐπίγειος, διά τοῦτο τῷ τε λόγῳ καί τῷ λέγοντι, ταὐτόν δέ εἰπεῖν τῷ Υἱῷ καί τῷ γεννήτορι, προσεπιφέρεται τό «ἐνεφύσησεν», ἀνακαλύπτον τήν τοῦ (σελ. 218) Πνεύματος ὑπόστασιν˙ ὅ καί ὁ Κύριος ἀνανεῶν ἡμᾶς ἐποίησεν˙ Υἱοῦ γάρ ὄντος, αὐτόθεν ὁ Πατήρ ἐδείκνυτο καί δι᾿ ἐμφυσήματος τό Πνεῦμα ἐκηρύττετο˙ ὧν κοινόν ἔργον ἥ τε τήν ἀρχήν ἡμῶν πλάσις, ἥ τ᾿ ἐς ὕστερον χάρις τῆς ἀναπλάσεως.

Οὕτως οὖν δι᾿ ἡμᾶς καθ᾿ ἡμᾶς ἐπί γῆς ὀφθείς ὁ τοῦ Πατρός μονογενής Υἱός, πρό μέν τῆς ἑαυτοῦ ἀναλήψεως τήν τοῦ ἁγίου Πνεύματος ὑπόστασιν ἐφανέρωσε μετρίως διά τοῦ πρός τούς μαθητάς δι᾿ ἐμφυσήματος δώρου τοῦτο ὑπαινιττόμενος καί τῇ τῶν δεχομένων δυνάμει τήν διδασκαλίαν παραμετρούμενος˙ μετά δέ τήν οἰκείαν ἀνάληψιν ἔπεμψε τόν ἐρχόμενον, αὐτός τε αὐτό φανερῶν τελεώτατα τό καί ἀφ᾿ ἑαυτοῦ φανερούμενον, καί αὐτό ἐφ᾿ ἑαυτοῦ δεικνύμενον κατ᾿ ἰδίαν ὑπόστασιν. Τοῦτο γάρ δή καί τό τῆς οἰκονομίας μυστήριον, ἕν καί τρία τόν Θεόν πιστευθῆναι καί κοινόν αἴτιον μόνον τῶν δύο τό ἕν. Διά τοῦτο κοινή μέν αὐτοῖς πᾶσα δόσις καί δύναμις, μερίζονται δέ ἑαυτοῖς τόν καιρόν ἰδίᾳ φανερούμενον ἕκαστον καί σύν ἑαυτῷ φανεροῦν ἀεί τά ὑπόλοιπα.

Πρῶτον πεφανέρωται ὁ Πατήρ, τῆς θείας φύσεως αὐχήματα, τά τῆς θεότητος ἰδιώματα, τάς φυσικάς καί οὐσιώδεις αὐτῆς ἐνεργείας τοῖς προφήταις κατά χάριν διδούς, ὡς ἄν ἅμα τε δείξῃ καθ᾿ ἑαυτόν ὑφεστώς καί οὐκ αὐτόν ὤν ἐξ ἄλλου, ἀλλ᾿ αὐτός ὤν ἀρχή τῆς θεότητος˙ καί δή καί τ᾿ ἄλλα δεικνύς ἐξ αὐτοῦ τε ὄντα καί αὐτῷ συνημμένα, πρό πάντων ἐμφυσήματι καί λόγῳ δημιουργῶν καταγγέλλεται.

Μετ᾿ αὐτόν ὁ Υἱός πεφανέρωται, τά αὐτά τῆς αὐτῆς φύσεως αὐχήματα, τά τῆς θεότητος ἰδιώματα, τάς φυσικάς καί οὐσιώδεις αὐτῆς ἐνεργείας, παρ᾿ ὧν τά χαρίσματα τῶν ἰαμάτων, τά ἐνεργήματα δυνάμεων καί τά παραπλήσια τούτοις τοῖς οἰκείοις μαθηταῖς κατά χάριν διδούς, ὡς ἄν καί αὐτός ἅμα τε δείξῃ κεθ᾿ ἑαυτόν ὑφεστώς (τό γάρ μή καθ᾿ ἑαυτό ὑφεστώς ἐνεργείας ἔχειν ἤ παρέχειν ἀδύνατον) καί (σελ. 220) οὐκ αὐτός ὤν ἀρχή, ἀλλ᾿ αὐτός ἐξ ἀρχῆς. Καί οὕτω δι᾿ ἑαυτοῦ μέν τόν Πατέρα δεικνύς, Υἱός γάρ, ἐμφυσήματι δέ διδούς τά πνευματικά χαρίσματα καί Πνεῦμα θεῖον αὐτά καλῶν, συνημμένον ἑαυτῷ προσεπεδείκνυ τό Πνεῦμα τό ἅγιον. Ὅς ἐπεί καί τήν ἡμετέραν ἀνειληφώς φύσιν ἐφανερώθη, οὐκ ἐδείκνυ μόνον διά τῶν ἔργων, ἀλλά

καί διά γλώττης ἐκήρυττε τοῦ Πατρός καί τοῦ Πνεύματος τήν θεότητα καί τί τό μόνον αἴτιον καί τί τά ἐξ αὐτοῦ.

Μετ᾽ αὐτόν τό ἅγιον πεφανέρωται Πνεῦμα, τό αὐτά τῆς αὐτῆς φύσεως αὐχήματα καί αὐτό τοῖς ἀποστόλοις κατά χάριν παρέχον, τά τῆς θεότητος ἰδιώματα, τάς φυσικάς καί οὐσιώδεις αὐτοῦ ἐνεργείας. Ἡ γάρ τοῦ Θεοῦ βασιλεία, ἧς τούς ἀρραβῶνας οἱ ἅγιοι ἐνταῦθα κομίζονται, καθάπερ ὁ θεῖος Μάξιμος ἐν τοῖς Πρός Θαλάσσιον σχολίοις φησί, «τῶν προσόντων τῷ Θεῷ φυσικῶς κατά χάριν ἐστί μετάδοσις˙ ἅ καί τήν ἀρχήν εὐθύς παρά Θεοῦ πλασθείς ὁ ἄνθρωπος κατά χάριν εἴληφεν»˙ ὡς καί ὁ θεῖος Κύριλλος ἐν τῇ Πρός Σοΐμον ἐπιστολῇ φησι γράφων ὅτι, «πλάσας ὁ Θεός τόν ἄνθρωπον, ψυχωθέντα παρήγαγεν, ἔχοντα τάς πνευματικάς δωρεάς, σοφίαν, δικαιοσύνην καί ὅσα ἔνεστιν οὐσιωδῶς ἐν τῷ Θεῷ˙ ὁμοῦ γάρ καί ζωήν ἐνετίθει τό Πνεῦμα τῷ πλάσματι καί τούς ἑαυτοῦ χαρακτῆρας θεοπρεπῶς ἐνεσήμαινεν». Ὅταν οὖν ἀκούσῃς αὐτόν ἐξ ἀμφοῖν, ὡς ἐκ Πατρός οὐσιωδῶς δι᾽ Υἱοῦ προχεόμενον, τό Πνεῦμα τό ἅγιον λέγοντα, τήν τῶν φυσικῶν τούτων δυνάμεών τε καί ἐνεργειῶν τοῦ Θεοῦ μετάδοσιν, ἀλλά μή τήν θείαν τοῦ Πνεύματος ὑπόστασιν προχεῖσθαι διδάσκειν, εὐσεβῶς νόμισον.

Μετά τόν Υἱόν τοίνυν διά τοῦ τάς αὐτάς δυνάμεις καί ἐνεργείας τοῖς ἀξίοις παρέχειν τό ἅγιον πεφανέρωται Πνεῦμα˙ ὡς ἄν ἅμα τε δείξῃ καί αὐτό καθ᾽ ἑαυτό ὑφεστώς, καί τούς μαθητάς σοφίσαν καί πνευματικήν δύναμιν ἐνδύσαν, αὐτούς τε συνιέναι ποιήσῃ καί τοῖς πᾶσι δι᾽ αὐτῶν κηρύξῃ τά τοῦ Σωτῆρος κηρύγματα, δι᾽ ὧν καί αὐτό, οὐ μετά τόν (σελ. 222) Υἱόν κατά τήν ὕπαρξιν, ἀλλά μετά τοῦ Υἱοῦ, οὐδέ ὡς ὁ Υἱός, ἀλλ᾽ ἰδιοτρόπως ἐκ τοῦ μόνου Πατρός ὑφεστηκός κηρύττεται, συνημμένον ὄν φυσικῶς αὐτῷ καί τῷ Υἱῷ ἀδιαστάτως τε καί ἀϊδίως. Δι᾽ ὅ δέ οὐκ εὐθύς τό Πνεῦμα μετά τόν Πατέρα, καίτοι καί αὐτό ἀμέσως ὄν ἐκ τοῦ Πατρός, ἀλλ᾽ ὁ Υἱός πρότερος τῷ κόσμῳ πεφανέρωται, καί δι᾽ ὅ ἐκ τοῦ Υἱοῦ τά τοῦ Πνεύματος οἱ θεολόγοι παριστῶσιν, ἐν τῷ προτέρῳ λόγῳ τάς αἰτίας ἀποδεδώκαμεν.

Ἐπεί δέ τῆς τρισυποστάτου θεότητος τά ἔργα κοινά, ἕν δέ τῶν ἔργων καί ἡ φανέρωσις, διά τοῦτο παρ᾽ ἑαυτοῦ τε πρός ἡμᾶς ἥκει καί παρά τοῦ Πατρός καί τοῦ Υἱοῦ πέμπεται, δι᾽ ὧν καί φανεροῦται τό καί παρ᾽ ἑαυτοῦ φανερούμενον, καθάπερ καί ὁ Υἱός πρό αὐτοῦ. Φανεροῦται τοιγαροῦν καί ἐκ τοῦ Υἱοῦ πεμπόμενον τό Πνεῦμα τό ἅγιον, ἀλλ᾽ οὐκ ἐκπορεύεται. Εἰ δέ μή τοῦτο, μηδέ φανέρωσις ἡ

ἀποστολή καί ἡ κατ᾽ αὐτήν ἔκπεμψις, ἀλλ᾽ ἐκπόρευσις· ἐπεί καί ὁ Υἱός ἐπέμφθη πρότερον παρ᾽ αὐτοῦ, τοῦ ἁγίου λέγω Πνεύματος καί τοῦ Πατρός· «Κύριος γάρ», φησίν, «ἐπέσταλκέ με καί τό Πνεῦμα αὐτοῦ». Ἆρ᾽ ἐκ τοῦ Πατρός καί τοῦ Πνεύματος ὁ Υἱός ἢ γεννᾶται ἢ ἐκπορεύεται; Ἄπαγε τῆς ἀσεβείας. Εἰ δέ λέγει τις ὡς ἄνθρωπον ἀπεστάλθαι τόν Υἱόν, ἐγγύς ἡ ἀπάντησις· ἀπεστάλη μέν γάρ ὡς ἄνθρωπος· «εἰ δέ καί ὡς Θεός, τί τοῦτο; Τήν εὐδοκίαν τοῦ Πατρός ἀποστολήν εἶναι νόμισον», Γρηγόριός σοι διακελεύεται ὁ τῆς θεολογίας ἐπώνυμος, κἀγώ τήν τοῦ Υἱοῦ καί τοῦ Πνεύματος, ἐκείνῳ καί τῇ ἀληθείᾳ πειθόμενος.

Ἐπεί οὖν καί ὡς Θεός ὁ Υἱός ἀποστέλλεται καί παρ᾽ ἀμφοτέρων, Πατρός καί Πνεύματος, παρ᾽ ἀμφοτέρων τούτων λοιπόν κατά Λατίνους ἔχει καί οὗτος τήν γέννησιν, εἴπερ, ὅτι καί τό Πνεῦμα παρ᾽ ἀμφοτέρων ἀποστέλλεται. Πατρός τε καί Υἱοῦ, παρ᾽ ἀμφοτέρων ἐκπορεύεται τούτων. Κἄν εἰ λέγοιεν μή τήν ἀποστολήν νομίζειν ἐκπόρευσιν, ἀλλ᾽ ἐκ (σελ. 224) ταύτης ἐκείνην τεκμαίρεσθαι, καί τῆς τοῦ Υἱοῦ γεννήσεως αὕτη δήπουθε ὑπάρξει τεκμήριον.

Τί δέ καί διενήνοχε τοῦ τήν ἀποστολήν νομίζειν γέννησιν ἤ ἐκπόρευσιν τό λέγειν ὡς ἀϊδίως ἔχον πέμπειν τό τε Πνεῦμα τόν Υἱόν καί ὁ Υἱός τό Πνεῦμα; Τό μέν καί νῦν αὐτόν ὕστερον εἰς τόν κόσμον ἀπέστειλεν· ὁ δέ τό Πνεῦμα τοῖς οἰκείοις μαθηταῖς ἔπεμψεν, ἐπανελθών ὅθεν κατῆλθεν. Ἀλλ᾽ ὁ μέν Υἱός καί Θεός ἐστι καί ἄνθρωπος γέγονεν·ἀπεστάλη γοῦν καί ὡς ἄνθρωπος· τό Πνεῦμα οὐκ ἐνηνθρώπησεν.

Ἐπεί γοῦν Θεός ὅν ἀπεστάλη τοῦτο παρά τοῦ Πατρός, εὐδοκίαν δέ χρή τήν ἀποστολήν ἡγεῖσθαι ταύτην κατά τούς θεολόγους, εὐδοκία δέ ἡ ἀγαθή θέλησίς ἐστι, Λατῖνοι δέ τῇ ἐκπορεύσει ταὐτόν ἡγοῦνται τήν ἀποστολήν, θέλησις οὐκοῦν ἐστι κατ᾽ αὐτούς ἡ ἐκπόρευσις· κἀπειδήπερ ἐκπορεύσει τήν ὕπαρξιν ἔχει τό Πνεῦμα τό ἅγιον, θελήσει τοῦτο λοιπόν ἔχει κατ᾽ αὐτούς τήν ὕπαρξιν. Ὦ τῆς δυσσεβείας οὐκέτι γάρ ἄκτιστον· τῷ γάρ θέλειν, ἀλλ᾽ οὐ τῷ πεφυκέναι τοῦτο προήγαγεν ὁ Θεός καί Πατήρ, καθά καί τήν κτίσιν, εἴπερ ἡ ἐκπόρευσίς ἐστιν εὐδοκία καί θέλησις· τά κτίσματα γάρ κατά τούς θεολόγους ἐν τῷ πεφυκέναι, ἀλλά τῷ θέλειν ὁ Θεός προήγαγεν. Ἔργον μέν γάρ φύσεως κατ᾽ αὐτούς ἡ προαίωνιος καί ἀΐδιος γέννησις· ἔργον δέ θείας θελήσεως ἡ κτίσις.

Ἀρειανοί μέν οὖν τόν Υἱόν ἔλεγον θελήσει τοῦ Πατρός εἰς τό εἶναι προελθεῖν ἐκ τοῦ μή ἀθελήτως ἐκ Πατρός τό εἶναι λαβεῖν τοῦτο δῆθεν κατασκευάζοντες. Λατῖνοι δέ θελήσει τοῦ Πατρός ἤ καί τοῦ Υἱοῦ προελθεῖν εἰς τό εἶναι δεικνύουσι τό Πνεῦμα τό ἅγιον τοῦ τήν ἐκπόρευσιν εἶναι νομίζειν ἀποστολήν κατ᾽ εὐδοκίαν καί θέλησιν. Ἐροῦμεν οὖν καί ἡμεῖς πρός αὐτούς, ὅπερ καί ὁ μέγας Ἀθανάσιος πρός τούς Ἀρειανούς, ὅτι «τοῦ βούλεσθαι τό κατά φύσιν (σελ.226) ὑπέρκειται˙ καί ἡ φύσις οὐχ ὑπόκειται βουλήσει». Ὡς οὖν ἡ γέννησις εὐδοκία καί θέλησις οὐκ ἔστιν, ἀλλ᾽ ὑπέρ εὐδοκίαν καί θέλησιν (φύσει γάρ δείκνυσιν ἐκ Πατρός ὄντα τόν Υἱόν ὡς αὐτῷ γνήσιον καί ὁμοούσιον, ἀλλ᾽ οὐ θελήσει καθά τά κτίσματα) οὕτως οὐδέ τοῦ Πνεύματος ἡ ἐκπόρευσις ἀποστολή καί εὐδοκία καί θέλησίς ἐστι˙ φύσει γάρ ἡ ἐκπόρευσις δείκνυσι τό Πνεῦμα τό ἅγιον ἐκ τοῦ Πατρός, ὡς αὐτῷ γνήσιον καί ὁμοούσιον, ἀλλ᾽ οὐ θελήσει κατά τά κτίσματα.

Λατῖνοι γοῦν λέγοντες ταὐτόν εἶναι τῇ ἀποστολῇ τοῦ θείου Πνεύματος τήν ἐκπόρευσιν κατά πᾶσαν ἀνάγκην κτιστόν εἶναι τό Πνεῦμα κατασκευάζουσι. Καί μήν ἐπειδήπερ εὐδοκία τοῦ Πατρός ἐστιν, ὡς ἐδιδάχθημεν, ἥ τε τοῦ Υἱοῦ ὡς Θεοῦ παρά Πατρός τε καί Πνεύματος ἀποστολή καί ἡ τοῦ Πνεύματος παρά Πατρός τε καί Υἱοῦ (θελήσαντος γάρ ἑκατέρου τούτων κατά καιρόν ἀφικέσθαι πρός ἡμᾶς καί ὁ Πατήρ εὐδόκησε) δι᾽ οὐδέν ἄλλο πάντως ἤ διά φιλανθρωπίαν ἡ εὐδοκία γέγονεν αὕτη. Τοιγαροῦν, εἰ κατά Λατίνους τῇ ἀποστολῇ τοῦ Πνεύματος ταὐτόν ἡ ἐκπόρευσις, ἡ δέ ἀποστολή διά φιλανθρωπίαν, κατ᾽ αὐτούς οὐκοῦν καί ἡ πρό αἰώνων ἐκ Πατρός ἐκπόρευσίς τε καί ὕπαρξις τοῦ Πνεύματος οὐχ ὑπέρ αἰτίαν, ἀλλά διά φιλανθρωπίαν. Οὗ τί ἄν ἀκουσθείη δυσσεβέστερόν τε καί καινότερον;

Πρός δέ τούτοις, εἰ ταὐτόν ἀποστολή καί ἐκπόρευσις, δι᾽ ἐμέ λοιπόν τό Πνεῦμα (βαβαί τῆς κακοδοξίας˙ οὐ γάρ ἔχω ταῦτα λέγειν ἄνευ φρίκης καί θαύματος) ἐκ τοῦ Πατρός ἐκπορεύεται˙ δι᾽ ἐμέ γάρ ἀπέσταλται˙ εἰ δέ δι᾽ ἐμέ, καί μετ᾽ ἐμέ πάντως ἤ οὐ πολύ πρό ἐμοῦ, ἀλλ᾽ ὑπό χρόνον ὥσπερ ἐγώ, καί οὐχί τῷ Πατρί καί τῷ Υἱῷ συναΐδιον. Καί οὐ τοῦτο μόνον, ἀλλά καί ὑπείκει τῇ δεσποτείᾳ. Φεῦ, ποῦ κατάγεται παρά τῶν ἀγνωμόνων δούλων τό τῇ φύσει τήν δεσποτείαν ἔχον ἁπάσης τῆς κτίσεως˙ «τό γάρ Σάββατον», (σελ. 228) φησί, «διά τόν ἄνθρωπον, οὐχί ὁ ἄνθρωπος διά τό Σάββατον˙ ὥστε Κύριός ἐστι τοῦ Σαββάτου ὁ Υἱός τοῦ ἀνθρώπου». Ὁρᾷς πόσον ἀπέχει ἀποστολή

ἐκπορεύσεως; Ὅσον χρόνων ἀϊδιότης καί κτισμάτων Θεός καί τῶν φύσει δούλων ὁ φύσει δεσπότης τῆς κτίσεως.

Ὁ τοίνυν παρά Θεοῦ καί τῶν ὡς ἀληθῶς θεολόγων μεμυημένος ἐμφυσώμενον μέν ἀκούων τό Πνεῦμα δι᾽ ἐμφυσήματος παρόν καί συμφυές ὄν τῷ ἐμφυσῶντι νοεῖ σημαινόμενον, ἀλλ᾽ οὐκ αὐτό ὑπάρχον ἐμφύσημα, ὡς ἐξ ἀνάγκης ἔχειν τήν ὕπαρξιν ἐξ οὗ τό ἐμφύσημα˙ ἄν δέ καί πεμπόμενον, φανερούμενον˙ ἄν δέ καί διδόμενον, καί τό συνημμένον ἐπιγινώσκει τοῦ πεμπομένου τε καί τοῦ πέμποντος˙ ἄν δέ παρ᾽ ἡμῶν λαμβανόμενον, οἶδε μέν ᾖ Θεόν, ἄληπτον, ληπτά δέ ἡμῖν τά παρ᾽ ἐκείνου χαρίσματα˙ ἄν δέ καί παρά τοῦ Υἱοῦ ἀκούσῃ πεμπόμενον, διδόμενον, ἐμφυσώμενον, εὐθύς καί τοῦτο πρός τοῖς ἄλλοις συνίησιν, ὡς ἐκ τοῦ Πατρός ἐκπορεύεται, καθά καί Γρηγόριος ἐκλαμβάνειν ἀξιοῖ σοφῶς ὁ ἐν θεολογίᾳ πολύς˙ «ὅσα γάρ», φησί, «περί τοῦ ἁγίου Πνεύματος ταπεινότερα λέγεται, τό δίδοσθαι, τό στέλλεσθαι, τό μερίζεσθαι, τό χάρισμα, τό δώρημα, τό ἐμφύσημα, εἴτε τι ἄλλο τοιοῦτον, ἐπί τήν πρώτην αἰτίαν ἀνακτέον, ἵνα τό ἐξ οὗ δειχθῇ», (δηλαδή τοῦ Πατρός˙ αὐτός γάρ ἡ πρώτη αἰτία) καί μή τρεῖς, φησίν, ἀρχαί μεμερισμέναι πολυθέως παραδεχθῶσιν», ὅπερ αὐτός ἔπαθες, μή πρός τήν πρώτην αἰτίαν διά τούτων τῶν φωνῶν ἀναγόμενος.

Καί δύο μέν σαφῶς κηρύττων οὐκ αἰσχύνῃ ἀρχάς ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ τό Πνεῦμα δογματίζων ἔχειν τήν ὕπαρξιν, τήν δέ τρίτην ἀφ᾽ ὧν λέγεις διδούς συνάγεσθαι. Εἰ γάρ διά τό πέμπεσθαι παρά τοῦ Υἱοῦ καί ἐξ αὐτοῦ ἐκπορεύεται, πέμπει δέ καί τό Πνεῦμα τόν Υἱόν, οὐχ ὡς ἄνθρωπον μόνον ἀλλά καί ὡς Θεόν, καθάπερ ἀνωτέρω δέδεικται, ἀλλά καί τόν Πατέρα ὁ Υἱός τε καί τό Πνεῦμα, (σελ. 230) ὡς ὁ χρυσοῦς θεολόγος Ἰωάννης ἐξηγούμενος τό προφητικόν ἐκεῖνο, «Κύριος ἀπέσταλκέ με καί τό Πνεῦμα αὐτοῦ», ἐξεδέξατο, ἰδού σοι καί τό Πνεῦμα ἀρχή, καί ἐκ τοῦ Πατρός καί τοῦ Πνεύματος ὁ Υἱός ἤ γεννᾶται ἤ ἐκπορεύεται.

Παρίημι γάρ τόν Πατέρα λέγειν, κἄν ἐκ τῆς λατινικῆς καινοφωνίας καί τοῦτ᾽ ἐκβαίνῃ, τό περιόν τῆς ὑπερβολῆς εὐλαβούμενος. Ἴδοι δ᾽ ἄν τις οὐδέ τ᾽ ἄλλα τῶν ἐκβαινόντων ἀτόπων τήν ἐπί τό χεῖρον ὑπερβολήν ἀπολείπονται˙ καί γάρ δι᾽ ἀλλήλων ἀναιρούμενα δείκνυται, εἰ διά τῆς ἀποστολῆς νοήσαιμεν τήν ἐκπόρευσιν ἤ τήν γέννησιν. Εἰ γάρ ταῦτα κατά τήν ἀποστολήν, ἑκάτερον λοιπόν τούτων οὐχ ὑπάρξεώς ἐστι τρόπος, κἄν προαιώνια ᾖ˙

εἰ δέ κατά τήν πρό αἰώνων ἐκπόρευσίν τε καί γέννησιν τήν πρός ἡμᾶς ἀποστολήν νοήσαιμεν, ἀποστολή τις πρός ἡμᾶς ἄχρονος καί ἀΐδιος ἤ χρονική τις ὕπαρξιν ἔσται τοῦ Υἱοῦ καί τοῦ Πνεύματος.

Ἐπιστῆσαι δέ καί τοῦτο χρή τόν συνετόν ἀκροατήν, ὡς ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος τοῖς περί τοῦ Πνεύματος ταπεινότερον λεγομένοις καί τό ἀποστέλλεσθαι συνηρίθμησε˙ τό δέ ἐκπορεύεσθαι μέγα καί ὑπέρ τό μέγα ἐστίν. «Εἰ γάρ μέγα τῷ Πατρί τό μηδαμόθεν ὁρμᾶσθαι, οὐκ ἔλαττον τῷ Πνεύματι τό ἐκ τοιούτου Πατρός ἐκπορεύεσθαι». Οὐκ ἄρα ταὐτόν ἀποστολή καί ἐκπόρευσις. Ἡ μέν γάρ ἀποστολή τῆς πρός ἡμᾶς συγκαταβάσεως ἐκφαίνει τήν πρόθεσιν˙ ἡ δέ ἐκπόρευσις τῆς καθ᾽ ἑαυτό παρά Πατρός ὑπάρξεως τοῦ Πνεύματος ἐστιν ὄνομα. Καί ἡ μέν ἔστι, καθ᾽ ἥν ἡμεῖς τοῦ εὖ εἶναι μετέσχομεν˙ ἡ δέ παρίστησι τό φύσει συνημμένον ὁμοτίμως πρός τόν Πατέρα, τό κατά μόνην ὑπόστασιν διαφέρον αὐτοῦ καί τοῦ Υἱοῦ Πνεῦμα ἅγιον.

Σύ δέ τό μεμερισμένον ἐκ τῶν λόγων σοι συμβαῖνον βλέπων διά τάς σάς καινοτομίας καί ἤδη σε μερίζον Θεοῦ (τί γάρ τό προσεχές καί πόρρω ἤ ἐγγύς μερισμοῦ); (σελ. 232) ἵν᾽ οὖν ὅ κατασκευάζεις αὖθις ἐκφύγης, πολύ τό μέσον ἐντίκτεις ταῖς θεολογίαις ταῖς σαῖς. Ἡμεῖς δέ καί ἑωράκαμεν ἐν τοῖς Πνεύματι γράφουσι Θεοῦ μυστήρια καί πιστεύομεν καί κηρύττομεν ἐν ἀλλήλοις τε ὄντα δι᾽ ἀλλήλων ἀμιγῶς χωροῦντα καί οὐ μᾶλλον πρός ἑαυτό ἕκαστον ἤ πρός ἄλληλα ἔχοντα. Εἰ δέ πρός ἑαυτό ἕκαστον ἔχει ἀδιαστάτως τε καί ἀμέσως – πῶς γάρ οὔ; - πῶς ἐμμέσως ἕξει πρός ἄλληλα; Ὅταν δέ τήν αἰτίαν ζητῶμεν τῆς ἀρρήτου ἐκείνης καί ὑπέρ πάντα νοῦν πρός ἄλληλα σχέσεως καί τῆς ὑπερβαλλούσης συμφυΐας καί τῆς ἀπερινοήτου τε καί ἀφθέγκτου περιχωρήσεως, αὐτόν αὖθις εὑρίσκομεν καί κηρύττομεν τόν Πατέρα, αὐτόν ἕνωσιν, αὐτόν σύνδεσμον, αὐτόν καί Πατέρα καί προβολέα καί συνοχέα γινώσκοντες τοῦ γεννήματός τε καί τοῦ προβλήματος˙ καί οὕτω μένον καί ἀρχήν αὐτῶν ἐκεῖνον τιθέμεθα.

Παρ᾽ ὅτου δ᾽ ἄν αὐτῶν, Υἱοῦ λέγω καί Πνεύματος, οἰκονομικῶς ἡμῖν ἴδωμεν τόν ἕτερον παράκλητον φανερούμενον, αὐτίκα διά τούτου πρός τήν πρώτην καί μόνην ἀρχήν ἀναγόμεθα˙ πέμπων γάρ ἤ διδούς τό Πνεῦμα ὁ Υἱός, πόθεν τοῦτ᾽ἔχει, ὅτι μή παρά τῆς πρώτης καί μόνης ἀρχῆς; Οὐκοῦν οὕτω πέμπει τε καί δίδωσιν, ὡς ἔχων ὑφιστάμενον ἐκ τοῦ Πατρός, ἀλλ᾽ οὐκ αὐτός συνεκπορεύων καί

συνυφιστῶν˙ καί πέμπων καί διδούς, τοῦτ᾽ αὐτό δείκνυσιν ἡμῖν, ὡς ἐμοῦ μέν ἔστιν, ἀλλ᾽ ἐκ τοῦ Πατρός, οὐκ ἐξ ἐμοῦ.

Τοῦτο δέ καί ὁ πολύς ἐν θεολογίᾳ καί ὄντως μέγας Ἀθανάσιος ἐννοήσας, μᾶλλον δέ φωτισθείς, καί ἡμῖν τῷ λόγῳ διαπορθμεύσας τό φῶς, ἐν μιᾷ τῶν Πρός Σεραπίωνα ἐπιστολῶν˙ «ἑνός ὄντος», φησί, «τοῦ Υἱοῦ, τοῦ ζῶντος Λόγου, μίαν εἶναι δεῖ καί πλήρη τήν ἁγιαστικήν καί φωτιστικήν ζωήν, οὖσαν ἐνέργειαν καί δωρεάν αὐτοῦ˙ ἥτις γε ἐκ τοῦ Πατρός λέγεται ἐκπορεύεσθαι, ἐπειδή παρά τοῦ Λόγου τοῦ ἐκ Πατρός ἐκλάμπει καί ἀποστέλλεται. "Οὕτω (σελ. 234) γάρ ὁ Θεός ἠγάπησε τόν κόσμον, ὥστε τόν Υἱόν αὐτοῦ τόν μονογενῆ ἔδωκεν", ὁ δέ Υἱός τό Πνεῦμα ἀποστέλλει». Τοῦτο γάρ αὐτό ἐστιν ἐκεῖνο, τό παρά τοῦ τῆς θεολογίας ἐπωνύμου Γρηγορίου μικρόν καί ἀνωτέρω εἰρημένον, ὡς ὅ τι ἄν περί τοῦ θείου Πνεύματος ταπεινότερον λέγηται, τό χάρισμα, τό δώρημα, καί εἴ τι ἄλλο τοιοῦτον, ἐπί τήν πρώτην αἰτίαν ἀνακτέον, ἵνα τό ἐξ οὗ δειχθῇ. Εἰπών γάρ ὁ μέγας ἐνταυθοῖ τό Πνεῦμα τό ἅγιον ταπεινότερον δωρεάν καί ἐνέργειαν τοῦ Λόγου, καί δείξας ὡς οὐχί περί τῆς ὑπάρξεως οὐδέ περί τῆς ὑποστάσεως αὐτῷ τοῦ Πνεύματος ὁ Λόγος (ἡ γάρ ἐνέργεια ἐνεργεῖται μᾶλλον ἤ ἐνεργεῖ, τό δέ Πνεῦμα τό ἅγιον παρεκτικόν καί μεταδοτικόν ὑπάρχει τῶν αὐτοῦ δωρεῶν) σαφῶς οὖν ἐμφήνας ὡς οὐχί περί τῆς προαιωνίου λέγει ἐκπορεύσεως, ἐπήγαγεν, ὅτι «παρά τοῦ Λόγου τοῦ ἐκ τοῦ Πατρός ἐκλάμπει καί ἀποστέλλεται».

Τί δή, διά τοῦ ἐκλάμπειν καί ἀποστέλλεσθαι παρά τοῦ Λόγου νοοῦμεν ὅτι ἐξ αὐτοῦ ἐκπορεύεται; Ἄπαγε, φησίν, ὡς πορρωτάτω βάλλεις τοῦ σκοποῦ˙ ἀλλ᾽ ὅτι ἐκ τοῦ Πατρός ἐκπορεύεται νοοῦμεν καί λέγομεν, ἐπεί παρά τοῦ Υἱοῦ δίδοταί τε καί ἀποστέλλεται. Ἔχων γάρ ἐκεῖθεν πρό αἰώνων συνυφεστώς ὁ Υἱός τό Πνεῦμα τό ἅγιον, νῦν πρός ἡμᾶς καί ἀποστέλλει καί δίδωσιν. Ἐπεί δέ ἡ δόσις ἔλλαμψις (καί τοῦτ᾽ ἴσασιν οἱ μεμυημένοι, ὅσοι λαμπρότητα Θεοῦ καί εἶδον καί ἔπαθον, ὅσοι τήν δόξαν τοῦ Κυρίου εἶδον «ὡς μονογενοῦς παρά Πατρός», ὅσοι τῷ φωτί τῆς θεότητος ἐπί τοῦ ὄρους περιηυγάσθησαν, πρός δέ τούτοις καί οἱ τούτοις ἀσφαλῶς πιστεύσαντες) ἐπεί οὖν ἡ δόσις ἔλλαμψις, ἀντί τοῦ παρά τοῦ Υἱοῦ δίδοσθαί τε καί ἀποστέλλεσθαι, παρά τοῦ Υἱοῦ ἐκλάμπειν ἔφη καί ἀποστέλλεσθαι. Καί τοῦτ᾽ ἔτι σαφέστερον δείκνυσιν ἐκ τῆς κατασκευῆς τοῦ λόγου˙ «ὁ μέν γάρ Θεός καί Πατήρ», φησί, «τόν Υἱόν ἔδωκεν ὑπέρ ἡμῶν˙ ὁ δέ Υἱός, τό Πνεῦμα».

(σελ. 236) Ἀλλά γάρ ὥσπερ ἡ τοῦ Υἱοῦ παρά τοῦ Πατρός ὑπέρ τῆς τοῦ κόσμου σωτηρίας δόσις ἤ ἀποστολή γέννησις οὐκ ἔστι, πολλοῦ γε ἄν δή που δέοι καί ἀπείρου εἶναι ἡ προαιώνιος, οὕτως οὐδ᾽ ἡ παρά τοῦ Υἱοῦ δόσις τοῦ ἁγίου Πνεύματος ἤ ἀποστολή ἐκπόρευσίς ἐστι, πόσῳ γε μᾶλλον καί ὑπέρ τό πόσῳ ἡ πρό τῶν αἰώνων παρά τοῦ Πατρός οὐ γενομένη, ἄπαγε, ἀλλά καί πρό τούτων οὖσα καί τῷ Πατρί συνάναρχος.

Ἔτ᾽ ἔχει τις λέγειν διά τήν ἀποστολήν ὡς ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ ἐκπορεύεται τό Πνεῦμα τό ἅγιον; Οὐκ ἔγωγε οἶμαι, εἰ μή σαφῶς ἐθέλει θεομαχεῖν. Ἀλλά καί αὐτοῦ, φησί, τοῦ Υἱοῦ τό Πνεῦμα καί ἴδιον αὐτοῦ λέγεται. «Ἐξαπέστειλε γάρ ὁ Θεός», φησίν, ὁ ἀπόστολος, «τό Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ ἐν ταῖς καρδίαις ἡμῶν, κρᾶζον˙ ἀββά, ὁ Πατήρ».

Ὑπέρευγε˙ τήν "ἐξ" γάρ ἀφείς, σύγε ὅς τίς ποτ᾽ εἶ ὁ πρόσφατος ἀντικείμενος, τό αὐτοῦ νῦν ἡμῖν προβάλλῃ ταύτης χωρίς˙ ἤ σοι κἀκ τοῦ αὐτοῦ τό ἐξ αὐτοῦ νεοεῖταί τε καί κατασκευάζεται, τῷ διαλεκτικῷ τῶν ἀπερινοήτων; Εἰπέ δή μοι, καί σύ αὐτός οὐ σαυτοῦ; Τοῦτό γε, οἶμαι, ἀποδράσεις ἡμῶν. Οὐ γάρ ἔοικάς μοι ἀκοῦσαι τοῦ λέγοντος, «γενοῦ σεαυτοῦ ἄνθρωπε». Εἰ γάρ ἤκουσας καί ὑπήκουσας, ἔστεργες ἄν τά παραδεδομένα περί Θεοῦ καί τοῖς ὑπέρ ἄνθρωπον καί λόγοις καί πράγμασι, καί ταῦτα καινοτομῶν, ἥκιστα ἐπεχείρησας. Ἀλλ᾽ εἰ ὁ ἄνθρωπος ἑαυτοῦ, οὐκοῦν ὁ ἄνθρωπος ἐξ ἑαυτοῦ κατά σέ. Τόν Υἱόν δέ τοῦ Πνεύματος πῶς οὐ λέγομεν, φησίν, εἰκότως˙ δόξαι γάρ ἄν Πατήρ τό Πνεῦμα, τοῦ Υἱοῦ συνεισάγοντος τῇ διανοίᾳ τόν Πατέρα˙ διά τοῦτο τοίνυν Υἱόν μέν Πνεύματος οὐ λέγομεν, ἵνα μή δόξῃ ἐκ τοῦ Πνεύματος, Υἱοῦ δέ Πνεῦμα λέγομεν, ἀλλ᾽ οὐ παρά τοῦτο καί ἐκ τοῦ Υἱοῦ˙ Πνεῦμα γάρ αὐτοῦ λέγεται, οὐχ ὡς ἐξ αὐτοῦ, ἀλλ᾽ ὡς ἐν αὐτῷ ὄν.

(σελ. 238) Καί τοῦτο διδάσκου παρά τοῦ ἀποστόλου, «οὐδείς οἶδε, λέγοντος, τά τοῦ ἀνθρώπου, εἰ μή τό Πνεῦμα τοῦ ἀνθρώπου τό ἐν αὐτῷ»˙ ὡς οὖν Πνεῦμα μέν ἀνθρώπου λέγεται, ἀλλ᾽ οὐχ ὡς ἐκ τοῦ ἀνθρώπου, ἀλλ᾽ ὡς ἐν τῷ ἀνθρώπῳ ὄν, οὕτω καί τό θεῖον Πνεῦμα καλεῖται τοῦ Υἱοῦ, ἀλλ᾽ οὐχ ὡς ἐκ τοῦ Υἱοῦ, ἀλλ᾽ ὡς ἐν τῷ Υἱῷ φυσικῶς ἐξ ἀϊδίου ὄν καί τάς ἀφύκτους δοκούσας σοι τῶν συλλογισμῶν ἀνάγκας διαφεῦγον.

Ἐκ διαιρέσεως γάρ ὁ λατινικῶς φρονῶν συλλογιζόμενος φησι˙ «ἐπεί τοῦ Υἱοῦ ἐστι τό Πνεῦμα, ἤ ὡς δι᾽ αὐτοῦ χορηγούμενόν ἐστιν ἤ

ὡς ὁμοούσιον ἤ ὡς ἐξ αὐτοῦ ἐκπορευόμενον. Καί ὡς μέν χορηγούμενον οὐκ ἔστι· προαιωνίως μέν γάρ ὑπάρχει τοῦ Υἱοῦ τό Πνεῦμα, τό δέ χορηγεῖσθαι ὑστερογενές. Οὐδ᾽ ὡς ὁμοούσιον· λέγοιτο γάρ ἄν καί ὁ Υἱός τοῦ Πνεύματος. Λείπεται τοίνυν τοῦ Υἱοῦ τό Πνεῦμα εἶναί τε καί λέγεσθαι ὡς ἐξ αὐτοῦ ἐκπορευόμενον». Τί οὖν, ἐάνπερ ἀναφανῇ τι ταύτης τῆς διαιρέσεως ἐκτός, καθ᾽ ὅ τοῦ Υἱοῦ τό Πνεῦμα λέγοιτ᾽ ἄν, οὐχ ὁ ἐκ διαιρέσεως οὗτός σοι καθ᾽ ὑπόθεσιν συλλογισμός ἀσυλλόγιστος τό παράπαν γένοιτ᾽ ἄν;

Ἔστι γάρ τοῦ Υἱοῦ τό Πνεῦμα ὡς ἐξ αἰώνων καί εἰς αἰῶνας ἐκ τοῦ Πατρός ἐκπορευόμενον καί ἐν Υἱῷ φυσικῶς ὑπάρχον καί ἀναπαυόμενον· καί διά τοῦτο Πνεῦμα μέν Υἱοῦ λέγεται, ἐκ δέ τοῦ Υἱοῦ οὐ λέγεται. Καί ὁ νοῦς γάρ τοῦ ἀνθρώπου ἐκ τοῦ Θεοῦ ἐστι γενόμενος καί ἐν αὐτῷ ὑπάρχων, δηλονότι τῷ ἀνθρώπῳ· καί νοῦς μέν ἀνθρώπου λέγεται, ἄνθρωπος δέ τοῦ νοῦ οὐ λέγεται· ἀλλ᾽ οὐδ᾽ ἐξ ἀνθρώπου λέγεται ὁ νοῦς, ὅ γε κατ᾽ οὐσίαν· οὐ γάρ δή περί ἐνεργείας νῦν ὁ λόγος. Οὐκ ἄρα ἐκ τοῦ Υἱοῦ ἐστι τό Πνεῦμα, εἰ μή τήν χάριν εἴπῃς Πνεῦμα καί τήν ἐνέργειαν· καί τόν νοῦν γάρ, ὅταν τήν ἐνέργειαν σημαίνῃ τοὔνομα, φαίῃς ἄν ἐκ τοῦ ἀνθρώπου, ὡς ἐκφαινόμενός τε καί μεταδιδόμενον.

Ἴδοι δ᾽ ἄν τις τούς θεολόγους καί νοῦν λέγοντας εἶναι Χριστοῦ τό Πνεῦμα τό ἅγιον· ὁ γάρ θεῖος Κύριλλος (σελ. 240) ἐν τετάρτῳ κεφαλαίῳ τῶν Θησαυρῶν φησιν, «ὅτι νοῦς ὑπάρχον τοῦ Χριστοῦ, πάντα τά ἐν αὐτῷ διαλέγεται τοῖς μαθηταῖς». Καθάπερ οὖν ἐφ᾽ ἡμῶν ὁ νοῦς τοῦ ἀνθρώπου ἐστί καί κατ᾽ οὐσίαν καί κατ᾽ ἐνέργειαν, καί κατ᾽ οὐσίαν μέν αὐτοῦ ἐστιν ὁ νοῦς, ἀλλ᾽ οὐκ ἐξ αὐτοῦ, κατ᾽ ἐνέργειαν δέ καί αὐτοῦ ἐστι καί ἐξ αὐτοῦ, οὕτω καί τό Πνεῦμα τό ἅγιον τοῦ Χριστοῦ ἐστιν ὡς Θεοῦ καί κατ᾽ οὐσίαν καί κατ᾽ ἐνέργειαν. Ἀλλά κατά μέν τήν οὐσίαν καί τήν ὑπόστασιν αὐτοῦ ἐστιν, ἀλλ᾽ οὐκ ἐξ αὐτοῦ· κατά δέ τήν ἐνέργειαν καί αὐτοῦ ἐστιν καί ἐξ αὐτοῦ. Λατῖνοι δέ τοῦ Υἱοῦ τό Πνεῦμα λέγοντες, ἀλλ᾽ οὐχί καί τοῦ Υἱοῦ μέν, οὐκ ἐκ τοῦ Υἱοῦ δέ, αὐτήν ἀναιροῦσί τε καί ἀθετοῦσι τήν οὐσίαν καί τήν ὑπόστασιν τοῦ παναγίου Πνεύματος.

Τό μέν οὖν ἐκ διαιρέσεως συμπέρασμα τοῦ λατινικοῦ καθ᾽ ὑπόθεσιν συλλογισμοῦ διαλέλυται τελέως καί πρός τό μή ὄν κεχώρηκε· μᾶλλον δέ πρός ἅπαν τοὐναντίον. Ἄν δέ τις ἴδῃ καί τά παρ᾽ αὐτοῦ τοῦ Λατίνου ἀναιρούμενα, ἵνα ἐξ ἀνάγκης τό ἕν ἀπερίτρεπτον δειχθῇ, τοῖς ἁγίοις τοῦτον ὄψεται φανερῶς ἀντίθετον· «τοῦ γάρ Υἱοῦ»,

φησίν, «ἔστι τε καί λέγεται τό Πνεῦμα, οὐχ ὡς δι᾿ αὐτοῦ χορηγούμενον ἤ φαινόμενον (ἐπειδήπερ ἀνάρχως μέν τό Πνεῦμα τοῦ Υἱοῦ, τό δέ χορηγεῖν οὐκ ἄναρχον) οὐδ᾿ ὡς ὁμοούσιον˙ λέγοιτο γάρ ἄν καί ὁ Υἱός τοῦ Πνεύματος».

Ἀλλ᾿ ὁ μέγας Βασίλειος, οὗ καί ἀκατάσκευος ἡ ῥῆσις διαφερόντως ἐστίν ἰσχυροτέρα τῶν λατινικῶν συλλογισμῶν τε καί διαιρέσεων, οὗτος οὖν ἐν τῷ Περί τοῦ ἁγίου Πνεύματος λόγῳ, «τό δι᾿ Υἱοῦ», φησί, «πεφηνέναι τό Πνεῦμα σαφές πεποίηκεν ὁ ἀπόστολος, Υἱοῦ Πνεῦμα ὀνομάσας αὐτόν. Ὁρᾷς ὅτι Χριστοῦ τό Πνεῦμα λέγεται ὡς παρ᾿ αὐτοῦ χορηγούμενόν τε καί φαινόμενον; Πνεῦμα μέν οὖν Υἱοῦ ἀνάρχως ἐστί τε καί λέγεται˙ ἀλλά καί αὐτό τό χορηγεῖν ἔχειν ἀνάρχως ἔχει ὁ Υἱός˙ οὐδεμία γάρ πρόσληψις ἤ ἀφαίρεσις (σελ. 242) ἐκεῖ, ὡς δ᾿ ὑπό χρόνον ὄντα τά λαμβάνοντα, χρονικῶς ἔλαβον τήν χορηγίαν.

Ἀλλά καί ὡς ὁμοφυές καί ὁμοούσιον λέγοιτ᾿ ἄν τό Πνεῦμα τοῦ Υἱοῦ, ὡς ὁ αὐτός μέγας Βασίλειος ἐν τῷ Πρός Ἀμφιλόχιον ὀκτωκαιδεκάτῳ κεφαλαίῳ «Πνεῦμα Χριστοῦ», φησί, «λέγεται, ὡς κατά φύσιν ᾠκειωμένον αὐτῷ». Καί ὁ θεῖος Κύριλλος ἐν τῷ Περί τοῦ ἁγίου Πνεύματος ἀγωνιστικῷ φησί λόγῳ˙ «τό Πνεῦμα τό ἅγιον, ὥσπερ κατ᾿ οὐσίαν ὑπάρχει τοῦ Θεοῦ καί Πατρός, οὕτω καί τοῦ Υἱοῦ κατ᾿ οὐσίαν ἐστίν, ὡς μετά τοῦ Υἱοῦ οὐσιωδῶς γεννηθέντος, ἐκ τοῦ Πατρός ἀφράστως ἐκπορευόμενον»˙ κἀν τῇ τοῦ Κατά Λουκᾶν εὐαγγελίου ἐξηγήσει, «ὥσπερ», φησίν, «ὁ δάκτυλος ἀπήρτηται τῆς χειρός, οὐκ ἀλλότριος ὤν αὐτῆς, ἀλλ᾿ ἐν αὐτῇ φυσικῶς, οὕτω καί τό Πνεῦμα τό ἅγιον τῷ τῆς ὁμοουσιότητος λόγῳ συνῆπται μέν πρός ἕνωσιν τῷ Υἱῷ, ἐκ τοῦ Θεοῦ δέ καί Πατρός ἐκπορεύεται». Πνεῦμα μέν οὖν Υἱοῦ καί ὡς ὁμοφυές λέγοιτ᾿ ἄν˙ οὐ λέγεται δέ καί ὁ Υἱός τοῦ Πνεύματος, ὡς ἄν μή Πατήρ τό Πνεῦμα δόξῃ.

Ἔπεισί μοι τοιγαροῦν θαυμάζειν τό τῆς λατινικῆς παρουσίας ὑπερβάλλον, ἀναλογιζομένῳ ὅτι τοῦ Πνεύματος κατά τούς εἰρημένους πάντας τρόπους λεγομένου τοῦ Υἱοῦ, καθ᾿ ἕνα δέ μόνον οὐδαμῶς, αὐτοί πάντας μέν ἐκείνους δυσσεβῶς ἠγνόησάν τε καί ἠθέτησαν, τῷ δέ μηδαμῶς εἰρημένῳ προσχόντες καί τοῦτο δυσσεβῶς, ἐκ τοῦ Υἱοῦ τήν ὕπαρξιν ἔχειν τό Πνεῦμα ἐδογμάτησάν τε καί ἠθέτησαν, τῷ δέ μηδαμῶς εἰρημένῳ προσχόντες καί τοῦτο δυσσεβῶς, ἐκ τοῦ Υἱοῦ ἐστί τε καί λέγεται. Ἀλλ᾿ ἵν᾿ ἐπί βεβαίαν ἕδραν στηρίξωμεν τούς περί τούτου λογισμούς, σαφεστάτῳ τε καί θεοπνεύστῳ λόγῳ τούτους ἐπισημηνάμενοι, Ἰωάννην οἶσθα τόν ἐκ

Δαμασκοῦ πυρσεύσαντα καί τήν οἰκουμένην ὅλην φωτί περιαυγάσαντα θεογνωσίας. Οὐχ οὗτος ἀριδηλότατά φησιν, «ὡς Πνεῦμα μέν Υἱοῦ λέγομεν, ἐκ δέ τοῦ Υἱοῦ οὐ λέγομεν»; "Ναί", φησί, "καί οὐκ ἔχω λέγειν ὡς οὐχ οὗτος οὕτως εἴρηκεν, ἀλλ᾽ ἔχω λέγειν ὡς πρός τό πρῶτον αἴτιον ἐκ τοῦ Υἱοῦ οὐ λέγεται".

(σελ. 244) Βαβαί˙ ἔστι δέ σοι καί ἄλλο αἴτιον ἐπί τῆς θεότητος, εἰ μή τό πρῶτον; Τοῦτο γάρ ἐφ᾽ ἡμῶν τῶν δεδημιουργημένων τοῖς πατράσιν εἴρηται καί οὕτως ἔχει λόγον τό πρῶτον ἐπί τοῦ αἰτίου, ὡς καί τοῦ Υἱοῦ τοῦ Πνεύματος ὄντων συναιτίων. Διό καί προκαταρκτικόν τόν Πατέρα αἴτιον ὁ μέγας εἴρηκε Βασίλειος. Ὥσπερ δέ Πατήρ μέν ἔστι κυρίως τοῦ μονογενοῦς, λέγεται δέ καί ἡμῶν τῶν μή γεγεννημένων ἀλλά δεδημιουργημένων ὑπ᾽ αὐτοῦ, οὕτω πάλιν πρῶτον αἴτιον δι᾽ ἡμᾶς κυρίως˙ λέγεται δέ κἀκεῖ παρά τῶν θεολόγων, ὡς δεικτικόν τῆς τοῦ Πατρός ὑποστάσεως, ἀλλ᾽ οὐχ ὡς καί τοῦ Υἱοῦ συναιτίου ὄντος ἐπί τῆς θεότητος.

Οὐκ ἐπί τοῦ ἀνάρχου τοίνυν Πνεύματος τό προκαταρκτικόν καί πρῶτον αἴτιον, ἄπαγε τῆς βλασφημίας, ἀλλ᾽ ἐπί τῶν ἐσχηκότων τήν χρονικήν ἀρχήν, ἐφ᾽ ὧν καί ὁ Υἱός τῷ Πατρί συναίτιός ἐστιν. Ἀλλά μήν ἐφ᾽ ὧν πρῶτον κυρίως αἴτιόν ἐστιν ὁ Πατήρ, τῶν κτισμάτων δηλαδή, οὐκ εὐσεβές εἰπεῖν, ὡς τοῦ Υἱοῦ μέν τήν κτίσιν λέγομεν, ἐκ δέ τοῦ Υἱοῦ οὐ λέγομεν. Εἰ τοίνυν καί ἐπί τοῦ ἀκτίστου Πνεύματος πρῶτον αἴτιον ὑπῆρχεν ὁ Πατήρ, ὡς καί τοῦ Υἱοῦ ὄντος συναιτίου, δυσσεβοῦς ἄν ἦν λέγειν, ὡς ἐκ τοῦ Υἱοῦ οὐ λέγομεν. Ἐπεί δέ ὁ τοῦτο λέγων οὐκ εὐσεβής μόνον, ἀλλά καί τοῖς ἁγίοις ἐναρίθμιος, δυσσεβής ἄρ᾽ ὁ λέγων συναίτιον τῷ Πατρί τόν Υἱόν ἐπί τοῦ Πνεύματος καί διά τοῦτο πρῶτον αἴτιον ἐπί τῆς ἀνωτάτω Τριάδος τόν Πατέρα. Τοῦτο γάρ δι᾽ ἡμᾶς τούς διά τοῦ Υἱοῦ γεγονότας ἀκούει ὁ Πατήρ, διό καί ποιητής ἡμῶν ἑκάτερος, μενοῦνγε καί Πατήρ˙ κἄν εἷς καί ἐφ᾽ ἡμῶν λέγηται ποιητής τε καί Πατήρ ὁ Πατήρ σύν τῷ Υἱῷ, ἀλλ᾽ ὡς μίαν καί τήν αὐτήν δημιουργικήν δύναμιν πλουτοῦντες. Ἐκεῖ δέ πάντῃ τε καί πάντως εἷς Πατήρ, εἷς αἴτιος˙ οὐ γάρ ἐστι τό γόνιμον ἀμφοῖν, ἀλλά μία πηγαία θεότης, ὁ Πατήρ. Ποῦ γοῦν ὅλως χώραν ἔχει τό πρῶτον αἴτιον; ὡς καί τοῦ (σελ. 246) αἰτιατοῦ ὄντος συναιτίου; Ἀσεβής ὁ λόγος˙ ἐς κάρακας ῥιπτέσθω, μή τοῖς νοητοῖς σε κόραξι σύννομον καταστήσῃ.

Πῶς δέ ἄρα ὁ σοφός οὗτος εἴπερ τις τά θεῖα Ἰωάννης, καί ταῦτα τήν ἀσφαλῆ δόξαν περί Θεοῦ ἠκριβωμένως ἐκτιθείς, ἀπροσδιορίστως

ἄν προέθετο τό προσδιορισμοῦ δεόμενον; Ποῖον δέ οὐχ ἕξει χώραν τῶν ἀφρόνως παρά τῶν κακοδόξων εἰρημένων, εἰ προσδιορίζειν δοίημεν τά ἀπροσδιορίστως περί τῆς τρισυποστάτου θεότητος ἐκπεφασμένα; Ἐπεί γάρ Πνεῦμα ὁ Θεός, καί τῶν τριῶν ἕκαστον ἐν μέρει Πνεῦμα λέγεται. Εἴ τις οὖν καινοτομῶν ἔλεγεν ὅτι ἐκ τοῦ Πνεύματός ἐστιν ὁ Υἱός, ἐπεί Θεός ὁ Υἱός καί ἐκ Θεοῦ, Πνεῦμα δέ ὑπάρχει ὁ Θεός, εἶθ᾽ ἡμεῖς ἀντεπεφέρωμεν ὅτι Θεός μέν Πνεῦμα καί Θεοῦ Πνεῦμα λέγεται, Θεός δέ ἐκ Πνεύματος οὐ λέγεται, ἆρα ἄν εἶχε λέγειν, ὡς πρός τό πρῶτον αἴτιον οὐ λέγεται; Οὐμενοῦν.

Τολμήσαντος δέ τινος μή δημιουργόν εἶναι φάναι τόν Υἱόν, ἆρ᾽ ἄν ἡμεῖς ἐδικαιώσαμεν αὐτόν εἰπόντες, ὡς πρός τόν πρῶτον αἴτιον οὐκ εἶναι φάσκει τόν Υἱόν δημιουργόν; Ἄπαγε. Ἡμῶν δ᾽ αὖ λεγόντων εὐσεβῶς, 'ὡς οὐκ ἦν ὅτε οὐκ ἦν ὁ Υἱός', εἴ τις προσδιορίζων ἔλεγε μή αἰωνίως ἀλλά χρονικῶς, ὡς τόν χρόνον μόνον, ἀλλ᾽ οὐχί καί τόν αἰῶνα συμπεριβαλλούσης τῆς φωνῆς, οὐκ εὐθύς ἄν παρ᾽ ἡμῶν ἀκούσειεν ὡς τοῦθ᾽ ὅ λέγεις, ἄνθρωπε, σαφής ἀθέτησίς ἐστι τῶν ὁμολογουμένων καί διαστροφή τῶν εὐσεβῶς κειμένων; Οὕτω πάσης δυσσεβείας ἐστίν ἀφορμή καί ἀρχή καί ρίζα καί πηγή τό προσδιορίζειν τά τεθεολογημένα τοῖς θεοφόροις ἡμῶν πατράσιν ἀπροσδιορίστως˙ καί σχεδόν τοῦτο μόνον τῶν ἁπάντων μιγνύει τά ἄμικτα καί συγκλώθει, τό τοῦ λόγου, τά ἀσύγκλωστα καί τά πολεμιώτατα πρός ἄλληλα, εὐσέβειάν τε καί ἀσέβειαν, καί τούς ἀντεχομένους ἑκατέρας ὡς μηδέν ἀντικειμένους πρός ἀπάτην δείκνυσι. Τοσούτῳ δέ οἱ Λατῖνοι τούτῳ καταχρῶνται, ὡς καί τῶν ἁγίων ἀκούοντες θεολογούντων ἀπροσδιορίστως ὅτι (σελ. 248) μόνος ὁ Πατήρ ἀρχή καί ρίζα καί πηγή θεότητος, αὐτοί πάντα ταῦτα προσδιορίζουσι (μᾶλλον δέ διά τοῦ προσδιορισμοῦ δολίως τούτοις ἀντιδογματίζουσι) καίτοι πάσαις ἐχρῆν αὐτούς ὁμοῦ στοιχεῖν ταῖς τῶν θεοσόφων θεολόγων φωναῖς, καί ποῦ μέν λεγούσαις ἐκ μόνου τοῦ Πατρός τό Πνεῦμα, διό καί μόνον αἴτιον τόν Πατέρα καί πηγήν θεότητος, ποῦ δ᾽ αὖ, ὡς ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα συνάγειν εἰς ἕν καί φρονεῖν εὖ ἐκ μόνου τοῦ Πατρός, ἀλλ᾽ οὐχί καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα τό ἅγιον.

Οἱ δέ συνείροντες ἤ προφασιζόμενοι τό πρῶτον ἀνασκευάζουσιν ἑκάτερον, φάσκοντες, ὅτι καθάπερ μόνος Θεός ἀληθινός ὁ Πατήρ ἔστιν ὅτε λέγεται, καί τοῦ Υἱοῦ ὄντος ἀληθινοῦ Θεοῦ καί ἀγαθοῦ, οὕτω καί μόνος ὁ Πατήρ πηγή καί αἴτιος θεότητος ὡς πρῶτος˙ καί οὐδέν ἐμπόδιον εἶναι καί τόν Υἱόν αἴτιον θεότητος. Οὐ συνορῶσι γάρ,

ὡς ἐντεῦθεν καί τόν Υἱόν, μάλιστα δέ τό Πνεῦμα τό ἅγιον εἰς κτίσμα κατασπῶσιν. Ὅταν γάρ λέγωμεν ὅτι μόνος ὁ Πατήρ Θεός ἐστιν ἀληθινός, οὐ τῶν ἀκτίστων πρός ἄλληλα τήν ἀντιδιαστολήν ποιοῦμεν, οὐδ᾽ ἁπλῶς τότε τόν Πατέρα, ἀλλά τήν μόνην ἐν τρισίν ὑποστάσεσι θεωρουμένην φύσιν τῶν κτισμάτων ἀποδιαστέλλομεν. Εἰ τοίνυν οὕτω λέγομεν καί μόνος αἴτιος θεότητος ὁ Πατήρ, ὡς ἐπ᾽ αὐτοῦ λέγομεν ὅτι μόνος ἀγαθός, τό Πνεῦμα τό ἅγιον καί κατ᾽ αὐτούς οὐκ ὄν αἴτιον θεότητος ἐναρίθμιον ἔσται τοῖς κτιστοῖς.

Καί μήν ἐφ᾽ ὧν ὡς πρῶτος καί ὡς προκαταρκτικόν αἴτιον ἔσθ᾽ ὅτε λέγεται μόνος ὁ Πατήρ, ὡς καί τοῦ Υἱοῦ ὄντος συναιτίου καί κοινωνοῦντος κατ᾽ ἐκεῖνα τῷ Πατρί οὐ μόνον ὁ Πατήρ ἔσθ᾽ ὅτε μόνος λέγεται Θεός ἀληθινός καί μόνος δημιουργός καί μόνος ἀγαθός καί τά τοιαῦτα, ἀλλ᾽ ἔσθ᾽ ὅτε καί ὁ Υἱός μόνος ἄν ρηθείη˙ καί οὐχ ὁ Υἱός μόνος, ἀλλά καί τό Πνεῦμα. Ἐπεί γάρ τό "μόνος" τοῦτο τήν ἄκτιστον φύσιν ἀντιδιαστέλλει τῶν κτιστῶν, ἡ δ᾽ ἄκτιστος φύσις τρισυπόστατός ἐστι καί ἀμερῶς ἐφ᾽ ἑκάστης τῶν (σελ. 250) ὑποστάσεων ὅλη θεωρεῖται, ἀφ᾽ ἧς ἄν αὐτήν τῶν τριῶν ἐμφύτων ὑποστάσεων καλέσῃς, ὅλην λέγεις τήν τρισυπόστατον φύσιν.

Ἆρ᾽ οὖν, ὥσπερ λέγομεν εὐσεβῶς ὅτι μόνος ἐστί Χριστός ὁ ἐπί πάντων Θεός, ἔχοι τις ἄν εἰπεῖν, μᾶλλον δέ ἤκουσταί ποτέ τις καί τοῦτο εἰρηκώς, ὡς μόνος ὁ Υἱός αἴτιός τε καί πηγή τῆς θεότητος τοῦ Πνεύματος; Ἤ καί αὐτό τό Πνεῦμα μόνον αἴτιόν τε καί πηγή θεότητος, ὅ καί κατά Λατίνους οὐδαμῶς αἴτιόν ἐστι θεότητος; Καίτοι καί τοῦτο τῶν εἰκότων ἦν, εἶπερ οὕτως ὁ Πατήρ αἴτιος μόνος θεότητος ἐλέγετο, ὡς καί τοῦ Υἱοῦ ὄντος συναιτίου.

Δῆλον τοίνυν, μᾶλλον δέ κατάδηλον, ὅτι τό «μόνος» ἐπί τῶν ὑποστατικῶν λεγόμενον οὐ τά κτιστά τῶν ἀκτίστων, ἀλλά μίαν τινά τῶν ἀκτίστων ὑποστάσεων πρός τάς ἄλλας διαστέλλει. Τίς δ᾽ οὐκ οἶδεν, ὡς ὑποστατικόν ἐπί τῆς θεότητος τό αἴτιόν ἐστιν; Οὐκοῦν, εἰ μόνος ὁ Πατήρ αἴτιος καί μόνος ἀρχή καί πηγή θεότητος, οὐδεμία ἄρα τῶν θείων ὑποστάσεων ἑτέρα αἰτία κάι ἀρχή καί πηγή θεότητός ἐστιν. Οὐ μήν ἀλλ᾽ εἰ τοῦ αἰτίου ἐν δυσί προσώποις ἐπί τῆς θεότητος θεωρουμένου κατά τούς Λατίνους, οὐδέν κωλύει λέγειν μόνον τόν Πατέρα αἴτιον θεότητος˙ καί τοῦ αἰτιατοῦ θεωρουμένου ἐν δυσί προσώποις, οὐδέν κωλύσει λέγειν μόνον τό Πνεῦμα τό ἅγιον αἰτιατόν ὑπάρχειν ἤ μόνον τόν Υἱόν, ὅ μηδείς ποτε οὐδέν τῶν αἱρετικῶν ἐτόλμησεν εἰπεῖν.

Καίτοι, εἰ προσδιορίζειν δοίημεν τά τεθεολογημένα τοῖς ἁγίοις ἀπροσδιορίστως, καί τοῦτ᾽ ἄν εὐχερῶς κατασκευασθείη παντί τῷ βουλομένῳ· ἀλλ᾽ εὐθύς οὗτος, εἰ μή μεταμεληθείη, καθυποβληθήσεται τῷ ἀναθέματι· «εἰ γάρ τις», φησίν, «εὐαγγελίζεται παρ᾽ ὅ εὐηγγελισάμεθα, ἀνάθεμα ἔστω». Τί δέ οὐ φῄς ὁ καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα λέγων καί διά τοῦτο (σελ. 252) προσδιορίζων τά ἀπροσδιορίστως τεθεολογημένα τοῖς ἁγίοις καί τῷ θεολογοῦντι μή καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα λέγεσθαι τῷ προσδιορισμῷ δολίως ἀντιλέγων; Ἆρ᾽ ἔχεις δεῖξαι, ὡς οὐ σχεδόν πάνθ᾽ ὅμοιος τυγχάνεις ὤν τῷ ὑπευθύνῳ τούτῳ; «Ἔχω σοι», φησί, «δεῖξαι πολλούς τῶν θεολόγων ἐναντιουμένους τῇ τοῦ Δαμασκηνοῦ θεολογίᾳ ταύτῃ καί τό ἐκπορεύειν νοεῖν διδόντας εἶναι τοῦ Υἱοῦ».

Βαβαί· καί ὅλως, ἔστιν ἐν τοῖς θεολόγοις, καί ταῦτ᾽ ἐπί τῶν ἀναγκαιοτάτων καί ὧν ἡ πίστις ἡμῶν ἅπασα ἐξήρτηται, ἐναντιότης; Ἔστι δ᾽ ὅλως καί θεολογίας εἶναι τάς ἐναντιουμένας ἤ τούς κατ᾽ αὐτάς θεολόγους ἀμφοτέρους; Ἥκιστα. Οὐκοῦν τοῦτον ἤ ἐκείνους διαγράψομεν τοῦ χοροῦ τῶν ὀρθοδόξων κατά σέ. Τί δέ, τῶν εὐαγγελικῶν καί ἀποστολικῶν ῥημάτων οὕτως ἐχόντων καί οὕτω διευκρινούντων τά τοῦ Πνεύματος, καθά προαπεδείξαμεν, οὐ τῇ δι᾽ αὐτῶν πεφανερωμένῃ τῆς εὐσεβείας ἐννοίᾳ παντί τρόπῳ συμβιβάσομεν τό δοκοῦν διαφωνεῖν; Ἄν δέ τι καί μή δυνηθῶμεν τῶν πατερικῶν ῥημάτων πρός ἐκείνην ἀποκαταστῆσαι τήν διάνοιαν, οὐκ αὐτό μέν ἀφῶμεν, ὡς μή συνεῖναι δυνηθέντες, τῆς δέ ἀνωμολογημένης εὐσεβείας οὐδέν ἧττον ἀντεχόμενοι διατελέσωμεν; Παντί που δῆλον, ὡς πᾶσι τρόποις ταῖς ἀνακεκηρυγμέναις ὑπό τῶν εὐαγγελικῶν καί ἀποστολικῶν ῥημάτων τῆς εὐσεβείας προσέξομεν ἐννοίαις.

Φέρε δ᾽ ὅμως ὀρθοδόξους ἀναδεῖξαι πρός αὐτάς ἐπιχειρήσωμεν τάς ὑπό Λατίνων ὑπέρ τῶν δοκούντων σφίσι προτεινομένας πατερικάς φωνάς. Κἄν μέν διαρκῶς διαλῦσαι σχῶμεν τήν πρός τό φαινόμενον ἀντίθεσιν, τῷ Θεῷ χάρις τῷ καί τοῖς ἐν ἐσχατιαῖς ἡμῖν κειμένοις τῆς ἀγνοίας καί τῆς ἀπαθοῦς ζωῆς ἀπῳκισμένοις γνῶσιν συνήγορον τῆς ἐν (σελ. 254) τῷ ἀληθείας παρασχόντι. Εἰ δ᾽ ἄρα μή τοιοῦτον ἀποδοῦναι κατά πάντα σχοίημεν τόν λόγον, εἴ τις ἐν Χριστῷ τέλειος καί σοφός τά θεῖα καί πνευματικά, τῆς προαιρέσεως ἡμᾶς ἀποδεξάμενος, αὐτός παρ᾽ ἑαυτοῦ τόν κρείττω λόγον διδασκέτω, ποθοῦντας καί μαθητιῶντας ὅτι μάλιστα καί τό ἐνδέον ἡμῶν

ἀναπληρῶν ἐντρεπέτω λεγεώτερον τούς τἀναντία τῇ εὐσεβείᾳ συνάγειν ἐκ τούτων πειρωμένους.

Εἰπέ δη, τίνες καί τί τά παρ᾽ ἐκείνων εἰρημένα˙ τῶν γάρ ἀδυνάτων ἐστί μή ὁμολογεῖν ἀλλήλοις ἅπαντας τούς θεοφόρους καί Χριστῷ τῷ Θεῷ τῶν θεοφόρων, μιᾶς αὐτοῖς ἐκ τοῦ ἑνός Πνεύματος τοῦ Χριστοῦ τῆς ἐπιπνοίας οὔσης˙ πρός δέ τούτῳ καί μετ᾽ ἐκείνους σχεδόν ἅπαντας οὗτος ὁ Δαμασκηνός ἐστι καί ὑπ᾽ ἐκείνων ἁπάντων ἐδιδάχθη καί αὐτός ἑαυτῷ μαρτυρεῖ τήν πρός ἐκείνους συμφωνίαν, οὐ "λέγω" λέγων, ἀλλά "λέγομεν", καί δι᾽ ἑαυτοῦ κἀκείνους παρίστησιν ἡμῖν οὐδαμοῦ ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα λέγοντας καθ᾽ ὕπαρξιν. Ὑμεῖς δ᾽ ἐοίκατέ μοι τοῦ τῆς αὐτῶν μεγαλονοίας ὕφους μή ἐφικνούμενοι τοιαῦτ᾽ εἴεσθαι περί αὐτῶν. Καί γάρ καί πρῶτον αἴτιον λέγεται παρά πάντων ὁ Πατήρ, ἀλλ᾽ ἤκουσας ὡς λέγεται˙ καί ὁ μέγας Ἀθανάσιος παρά τοῦ Λόγου τό Πνεῦμα τό ἅγιον ἐκλάμπειν εἶπεν, ἀλλ᾽ ἤκουσας ὡς εἶπε˙ καί εἰκόνα Πατρός μέν Υἱόν, Υἱοῦ δέ τό Πνεῦμα λέγομεν, ἀλλ᾽ ἤκουσας ὡς λέγομεν˙ καί πλεῖσθ᾽ ἕτερα, δοκοῦντα πρός ὑμῶν, ἡμῖν ἀλλ᾽ οὐχ ὑμῖν συμβαίνοντα καθαρῶς ἀναπεφήνασι. Δώσει δέ τό Πνεῦμα κἀν τοῖς ἑξῆς λόγον ἐν ἀνοίξει τοῦ στόματος ἡμῶν.

Ἀλλά τίς ὁ λέγων ὡς καί τοῦ Υἱοῦ τό ἐκπορεύειν ἔνι; Αὐτός, φασί, Γρηγόριος ὁ τό θεολογεῖν ἐπωνυμίαν ἔχων˙ «πάντα γάρ», φησίν, «ἔχει ὁ Υἱός τά τοῦ Πατρός, πλήν τῆς ἀγεννησίας». Ἐπεί τοίνυν χωρίς μόνης τῆς ἀγεννησίας ἔχει ἅπαντα τά τοῦ Πατρός, πῶς οὐκ ἄν ἔχοι καί τό ἐκπορεύειν; Ὄντως οὐκ εἰσι τοῦ Πνεύματος τοῦ ἐν αὐτῷ (σελ. 256) λαλοῦντος˙ εἰ γάρ ἦσαν, οὐκ ἄν τοῦ ἁγίου τοιαῦτα κατεψεύδοντο, ὅς «καί ὅσα περί τοῦ ἁγίου Πνεύματος», φησί, «ταπεινότερα παρά τοῦ Υἱοῦ λέγεται ἐπί τήν πρώτην αἰτίαν ἀνακτέον, ἵνα τό ἐξ οὗ δειχθῇ». Τίς οὖν ἡ πρώτη αἰτία; Οὐχί μόνος ὁ Πατήρ; «Ἀλλά καί πάντα ἔχειν τόν Υἱόν τά τοῦ Πατρός φησίν ἄνευ τῆς αἰτίας, τοῦ αἴτιον εἶναι δηλονότι καί αὐτόν θεότητος». Ἕν γάρ οὗτος αἴτιον ἐπί Θεοῦ καί μίαν ἀρχήν ἀεί κηρύττει, τόν ἀγέννητον Πατέρα, καί θεϊκόν οἶδε τόν μοναδικόν. Καί διά τοῦτό φησιν, «ἡμῖν εἷς Θεός, ὅτι πρός ἕν αἴτιον τά ἐξ αὐτοῦ τήν ἀναφοράν ἔχει», οὐ τό ἐξ αὐτῶν λέγων ἐκ Θεοῦ τόν Υἱόν, καί Θεόν ἐκ Θεοῦ τό Πνεῦμα τό ἅγιον. Διά μέσου δέ Θεοῦ ἐκ τοῦ Θεοῦ, οὐ Θεόν ὑφιστάμενον δοξάζει, ἄπαγε τῆς βλασφημίας, ἀλλά τά κτιστά˙ καθ᾽ ὅ καί πρῶτον αἴτιον τίθεται τόν Πατέρα λέγων ἐν τῷ δευτέρῳ τῶν Εἰρηνικῶν ὡς, «ὅσῳ τιμιώτερον Θεός κτισμάτων,

τοσούτῳ μεγαλοπρεπέστερον τῇ πρώτῃ αἰτίᾳ θεότητος εἶναι ἀρχήν ἤ κτισμάτων καί διά θεότητος μέσης ἐλθεῖν ἐπί τά κτίσματα».

Σύ δέ, ὤ τῆς βλασφημίας, ὁ λατινικῶς φρονῶν διά μέσου τοῦ Υἱοῦ, ταὐτό δ᾿ εἰπεῖν διά μέσης τῆς τοῦ Υἱοῦ θεότητος, ἐλθεῖν φῄς τόν Πατέρα ἐπί τό προενεγκεῖν τό Πνεῦμα τό ἅγιον, καί οὐδέ μέχρι τούτου σοι τά τῆς καινοφωνίας ἵσταται, ἀλλά καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα λέγεις κοινόν εἶναι Πατρός καί Υἱοῦ τό ἐκπορεύειν, διά τό τοῦ τουτονί τόν θεολόγον λέγειν πρός τούς ἀπ᾿ Αἰγύπτου καταπλεύσαντας ἔχειν τόν Υἱόν ἅπαντα τά τοῦ Πατρός ἄνευ τῆς ἀγεννησίας μόνης. Ἐνταῦτα γάρ δεκτέον σοι τό «μόνης», κἄν μή συνεκφωνῆται˙ καί διά τοῦτό σοι κἀγώ τοῦτο προγράφω φανερῶς.

Ἀλλ᾿ εἰπέ μοι, οὐκ αὐτός οὗτος ὁ θεολόγος προσεπάγει γράφων, «πάντα δέ ὅσα τοῦ Υἱοῦ, καί τοῦ Πνεύματος, πλήν τῆς υἱότητος»; Εἴπερ οὖν καί τοῦ Υἱοῦ τό ἐκπορεύειν, ἔσται (σελ. 258) τοῦτο καί τοῦ Πνεύματος˙ οὐ γάρ υἱότητος τό ἐκπορεύειν˙ ἦν γάρ ἄν Υἱός καί Πατήρ, ἐπεί καί τό ἐκπορεύειν ἔχει. Ὁ αὐτός δέ κἄν τῷ Περί τοῦ ἁγίου Πνεύματος οἰκείῳ λόγῳ καί περί τοῦ ἁγίου Πνεύματος αὐτοῦ φησι˙ «τί οὐ δύναται τῶν μεγάλων καί ὧν Θεός; Τί δέ οὐ προσηγόρευται ὧν Θεός, πλήν ἀγεννησίας καί γεννήσεως»; Οὐκοῦν καί προβολέα ὀνομάσομεν τό Πνεῦμα. Καί τό ἐκπορεύειν δέ κατά σέ ὁμοίως ἔχει τῷ Υἱῷ κἀντεῦθεν καί διπλασίως ἤ ἐκεῖνος˙ ἕξει γάρ οὐ τό τοῦ Πατρός μόνον, ἀλλά καί τό τοῦ Υἱοῦ κατά τήν περί τοῦ Υἱοῦ δόξαν. Ὁρᾷς ὅσοις ἀτόποις περιπίπτει ὁ πάντα ἔχειν τόν Υἱόν τά τοῦ Πατρός ἀκούων καί μή μόνα τά τῆς φύσεως νοῶν, ἀλλ᾿ ἔστιν ἅ καί τῶν ὑποστατικῶν τοῖς φυσικοῖς συνείρων;

Προάγειν μέν οὖν τόν περί τούτου λόγον περαιτέρω οὐκ ἐπάναγκες, σοῦ γε ἐξεληλεγμένου, ἀλλά τοῦ καλοῦ γε ἕνεκα καί ἵνα μή προστρίψαιτό τις μέμψιν τῷ ἀμωμήτῳ, δείξομεν ἑξῆς ὡς ἔχειν μέν καλῶς ἡ τοῦ ἁγίου ῥῆσις, ἀγνοίᾳ δέ τῶν λατινικῶς φρονούντων ἐκλαμβάνεται κακῶς. Συντελέσει δ᾿ οἶμαι καί πρός αὐτό τό προκείμενον ὁ λόγος οὐκ ἐλάχιστα. Προσεκτέον δ᾿ ὅτι μάλιστα τόν νοῦν.

Ταὐτόν εἰπεῖν ἐπί Θεοῦ ἀγέννητον καί ἀναίτιον˙ διό κἄν πάσας ἐναλίξῃς τάς θεολογούσας βίβλους, οὐδαμοῦ τό Πνεῦμα τό ἅγιον ἀγέννητον εὑρήσεις εἰρημένον καί ταῦτ᾿ ὄν τοῦ γεννητόν. Δαμασκηνός δέ ὁ θεοφόρος εἰπών ἐν ὀγδόῳ τῶν Δογματικῶν ὅτι, «πάντα ὅσα ἔχει ὁ Πατήρ καί αὐτοῦ τοῦ Πνεύματος εἰσι, πλήν τῆς

ἀγεννησίας», ἔδειξεν ὡς οὐ μόνον τό ἀγέννητον τῷ ἀναιτίῳ ταὐτόν, ἀλλά καί τό ἀναίτιον τῷ αἰτίῳ ταὐτόν ἐστιν ἐπί Θεοῦ˙ συντρέχει γάρ τῷ ἀναιτίῳ τό αἴτιον ἐπί Θεοῦ, αἴτιον δέ φημι θεότητος Υἱοῦ καί Πνεύματος. Θέλων οὖν εἰπεῖν ὅτι τό Πνεῦμα πάντα τά τοῦ Πατρός ἔχει πλήν τοῦ ἀναιτίου εἶναι καί τοῦ αἴτιον εἶναι, (σελ. 260) κατά τό γεννᾶν δηλαδή καί ἐκπορεύειν, χωρίς μόνης τῆς ἀγεννησίας εἶπεν, ὡς αὐτῆς πάντα συμπεριβαλλούσης, ὅσα τοῦ Πατρός ἐστιν ἴδια.

Θεός οὖν ἀγέννητος καί ἀναίτιος˙ Θεός δέ ἀναίτιος θεότητος αἴτιος. Οὕτω δέ ὤν αἴτιος ἐμφύτου πλούτου, ἑαυτοῦ κατά μηδέν ἀποδέοντος, αὐτεπίβουλος ἄν ἦν, ἑνός καί μόνου ὑπάρχων αἴτιος καί οὕτω πενίαν ἑαυτῷ τόν πλοῦτον ποιούμενος. Πρό δέ τούτῳ καί ἀτελές τό πάντη καί πάντως ἕν˙ διό καί χωρητόν τοῖς πρός θεογνωσίαν ἀτελέσιν Ἰουδαίοις ἐγένετο. Ἀλλ᾿ οὐδέ ὁμοουσίου δυάδος ὑπάρχων αἴτιος καί τό μέν γεννῶν, τό δέ ἐκπορευτῶς προβαλλόμενος, ἀπειροκάλως, ἵν᾿ οὕτως εἴπω, ἐπί πλεῖον ἐξενεχθείη, καί ταῦτ᾿ ἐν ἑαυτῷ τε καί τοῖς ἐξ αὐτοῦ πᾶσαν ἀπειρίαν περιορίζων. Πρός δέ τούτοις οὐδέ τρόπος ἕτερος ἐμφύτου ὑπάρξεως˙ διό καί τό ὑπέρ ταῦτα οὐ θεότης, ἀλλά θεότητος ἔκπτωσις˙ ταῦτ᾿ ἄρα καί τῶν ἀθέων Ἑλλήνων ἡ πολυθεΐα ἐστίν.

Ἀλλά μήν μονάδος πρός δυάδα κεκινημένης καί περαιτέρω μή προηγμένης, δηλαδή παντουργοῦ Θεοῦ Πατρός πρός γέννησίν τε καί πρόοδον Υἱοῦ δημιουργοῦ τῶν πάντων καί τά πάντα τελεσιουργοῦντος, οὔθ᾿ ὁ Υἱός διά τοῦ Πνεύματος (ἀτελής γάρ ἦν ἐκ τοῦ Πατρός, εἰ διά τοῦ τελεσιουργοῦντος ἐγεννᾶτο Πνεύματος) οὔτε τό Πνεῦμα δι᾿ Υἱοῦ˙ πρός γάρ τῷ ἀτελές εἶναι ἐκ Πατρός, καί ταῦτα τό πάντα τελειοῦν, καί τῶν δεδημιουργημένων ἦν ἄν ἕν˙ τά γάρ δι᾿ ἐκείνου γέγονε, δι᾿ Υἱοῦ δέ τό Πνεῦμα ἔγνωσται. Καί ἐν φωτί τῷ Πνεύματι φῶς ὁρῶμεν τόν Υἱόν προφητικῶς ὁμοῦ καί πατρικῶς εἰπεῖν˙ ὡς ἄν εἰδῶμεν μή μόνον ἐκ μιᾶς ὑπάρχοντα ἀρχῆς, ἀλλά καί ἀδιαστάτως ἔχοντα πρός ἄλληλα καί ἐνυπάρχοντα ἀλλήλοις καί ἄλληλα (σελ. 262) δεικνύντα καί δι᾿ ἀλλήλων προφαινόμενα, ἀλλ᾿ οὐ δι᾿ ἀλλήλων ἤ καί ἐξ ἀλλήλων ἤ ἀλλήλων ὄντα˙ ἕν γτάρ τό ἐξ οὗ.

Καί τοίνυν ὁ θεολογῶν πάντα ἔχειν πλήν τόν Υἱόν τά τοῦ Πατρός πλήν ἀγεννησίας πάντα ἔχειν αἰτίας εἴρηκεν, ὡς καί ἀλλαχοῦ τῶν συγγραμμάτων σαφῶς οὕτω προσδιώρισεν. Εἰ δέ πάντα ἔχει ὁ Υἱός τά τοῦ Πατρός πλήν τοῦ εἶναι αἴτιος, δηλαδή θεότητος, αἴτιος δέ ὁ Πατήρ οὐ γεννῶν μόνον τόν Υἱόν, ἀλλά καί τό Πνεῦμα ἐκπορεύων, πάντα

ἔχει ὁ Υἱός τά τοῦ Πατρός, πλήν τοῦ τόν Υἱόν γεννᾶν τε καί τό Πνεῦμα ἐκπορεύειν˙ ἅ μόνου τοῦ Πατρός ὄντα τό ἀγέννητον αὐτῷ προσμαρτυρεῖ. Διό καί ὁ Δαμασκηνός θεολόγος ἐν τῷ Περί τῆς ἁγίας Τριάδος, «διά τόν Πατέρα», φησί, «τουτέστι διά τό εἶναι τόν Πατέρα, ἔχει ὁ Υἱός καί τό Πνεῦμα πάντα ἅ ἔχει, τουτέστι διά τό τόν Πατέρα ἔχειν αὐτά, πλήν τῆς ἀγεννησίας καί τῆς γεννήσεως καί τῆς ἐκπρορεύσεως».

Εἰ δέ ἡ ἀγεννησία τό πάντη τε καί πάντως αἴτιον ἐπί Θεοῦ δηλοῖ, ἡ γέννησις τό μηδαμῆ μηδαμῶς αἴτιον θεότητος εἶναι τό γεννητόν ἀναγκαιότατα δηλώσει, καθάπερ καί ἡ ἐκπόρευσις τό ἐκπορευτῶς ἐκ τοῦ Πατρός ὑπάρχον. Εἰ δέ μή μηδαμῆ μηδαμῶς αἴτιος ὑπάρχει ὁ Υἱός θεότητος, πῶς ἄν εἴη ἐξ αὐτοῦ τό Πνεῦμα; Ἤ πῶς πρῶτον αἴτιον ὁ Πατήρ, εἶται ὁ Υἱός τούτῳ, ὡς καί ἐξ αὐτοῦ τοῦ ἁγίου ἐκπορευομένου Πνεύματος, καθώς φρονεῖν δεῖν οἴονται Λατῖνοι, παραφρονοῦντες, ὡς ἐγῷμαι, καί τάς πατρικάς παρανοοῦντες ρήσεις; Οὐ γάρ ὁ φερωνύμως θεολόγος οὗτος οὕτως, «ἀλλά πάντα», φησίν, «ἔχει ὁ Υἱός τά τοῦ Πατρός πλήν ἀγεννησίας», ταὐτόν δ᾽ εἰπεῖν, ἄνευ τῆς αἰτίας, τούτῳ δέ ταὐτόν εἰπεῖν, ἄνευ τοῦ γεννᾶν καί ἐκπορεύειν; Κατά ταῦτα γάρ αἴτιον τό αἴτιον.

Καί πάντα, ὅσα ἔχει ὁ Υἱός, τοῦ Πνεύματος, πλήν τῆς υἱότητος, εἰ δέ βούλει τῆς γεννήσεως˙ οὐ γάρ φοβησόμεθα μή ἀναίτιον, εἰ καί αὐτό αἴτιον εἶναι φωραθείη, γέννησιν μή ἔχον˙ οὐδέ γάρ ἀναίτιον, εἰ καί μή γεννητόν˙ τό γάρ ὡς (σελ. 264) ἀναίτιον γέννησιν μή ἔχον, αὐτό τε καθ᾽ ἑαυτό παντάπασιν ἀναίτιον, καί παντί τρόπῳ θεότητος αἴτιον. Οὕτως ἡμεῖς τοῖς ἐν Πνεύματι θεολογοῦσι, συνῳδά φθεγγόμεθα˙ καί οὕτω τούς ἀπᾴδοντα φθεγγομένους ἀπελέγχομεν, καθ᾽ ἑαυτῶν δεικνύντες τάς γραφικάς μαρτυρίας προτιθέντας.

Κἀκεῖνο γάρ, ὅπαρά τοῦ αὐτοῦ θεολόγου προάγειν ὑπέρ τῆς σφῶν αὐτῶν δόξης τῶν Λατίνων οἴονται φῦλον, ὅτι τό οἰκεῖον ἀξίωμα ὁ Κύριος ἔδειξε πρός τούς μύστας εἰπών, «αὐτός ὑμῖν ἐγώ πέμψω τό Πνεῦμα» τό ἅγιον, καθ᾽ ἑαυτῶν ὡς οὐκ ἴσασι προάγουσιν. Ἐπεί γάρ ὡς ἀληθῶς τό πέμπειν τό Πνεῦμα μέγα καί ὑπέρ τό μέγα καί Θεοῦ μόνου (ὁ Πατήρ γάρ εἰπών πρότερον πέμψειν τόν παράκλητον, εἶτ᾽ αὐτό "ἐγώ", φησί, "πέμψω", τό οἰκεῖον ἀξίωμα δεικνύς, ὡς ἀν αὐτό τε τό πρᾶγμα φωνήν ὥσπερ ἀφιέν κηρύττοι καί ὁ τῆς θεολογίας ἐπώνυμος ἐξηγήσαιτο). Εἰ μή παρά τοῦ Πατρός ὁ Κύριος μόνου, ἀλλά καί παρ᾽ ἑαυτοῦ ᾔδει ἐκπορευόμενον καί τήν ὕπαρξιν ἔχον, πῶς οὐ

προσθείς εἶπεν, «ὅ παρά τοῦ Πατρός καί παρ᾽ ἐμοῦ ἐκπορεύεται»; Οὐ γάρ ἦν ταπεινότερον τηνικαῦτα περί ἑαυτοῦ φθεγγόμενος, δι᾽ ὅπερ ἄν τοῦτο μόνον καί παρῆκεν ἐπικρυψάμενος. Δῆλον οὖν καί τυφλῷ, φασίν, ὡς οὐχί καί ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τό Πνεῦμα τό ἅγιον.

Μέγα μέν οὖν ἀξίωμα τό πέμπειν ἔχειν τό θεῖον Πνεῦμα, καί τοσοῦτο μέγα, ὡς ὁμοφυᾶ καί ἴσον καί ὁμότιμον δεικνύναι τῷ Πατρί τόν Υἱόν, καθάπερ καί τό Πνεῦμα ὁμοούσιόν τε καί ὁμότιμον τῷ Πατρί συνίστησι τό μή παρά τοῦ Πατρός μόνου, ἀλλά καί παρ᾽ αὐτοῦ τοῦ Πνεύματος τόν Υἱόν ἀποστέλλεσθαι. Θεϊκόν γε μήν καί φυσικόν ἐστι τουτί τό ἀξίωμα, ἀλλ᾽ οὐχ ὑποστατικόν˙ εἰ γάρ ὑποστατικόν ἦν τό ἀποστέλλειν, οὐκ ἄν ἦν κοινόν Πατρός, Υἱοῦ καί Πνεύματος. Θεός οὖν ἀληθινός ὁ ἄλλος παράκλητος˙ ὁ δή (σελ. 266) τοῦτον ἀποστέλλων πῶς οὐχί Θεός ἀληθινός; Εἰ δέ καί παρ᾽ ἑαυτοῦ ἐρχόμενον ὡς αὐτοκέλευστον ἀποστέλλει τόν παράκλητον ὁ Υἱός, πῶς οὐ μιᾶς ἐστιν ἐξουσίας καί θελήσεως, πῶς οὐχί καί μιᾶς ἄν εἶεν φύσεως;

Ὁρᾷς ὡς ἡ ἀποστολή τοῦ θείου Πνεύματος τήν τοῦ ἀποστέλλοντος πρός τόν ἀποστελλόμενον ὁμοβουλίαν καί ὁμουσιότητα παρίστησιν, ὅ μέγιστόν ἐστιν ἀξίωμα, προσόν μέντοι τοῖς τρισί καλῶς τε καί θεοπρεπῶς, ὡς καί τήν αὐτεξουσιότητα δεικνῦον τῶν ἀποστελλομένων οὕτως; Ὁ δέ λέγων μή θεϊκόν εἶναι τό ἀξίωμα τοῦτο, ἀλλά προβλητικόν, πρῶτον μέν οὐ τόν Υἱόν μόνον αἴτιον δείκνυσι τοῦ θείου Πνεύματος, ἀλλά καί τοῦ Υἱοῦ τό Πνεῦμα. Πρός δέ τούτῳ καί τῆς πρός ἡμᾶς ἐλεύθερως τήν ἑκατέρου τούτων αὐτοβουλίαν ἄλλοτε ἄλλην ἀθετεῖ κακῶς, μή θελήσεως ἀλλά φύσεως δογματίζων εἶναι τήν πρός ἡμᾶς ἀποστολήν, τοιγαροῦν καί ἄναρχον. Ἅ γάρ μή τῷ θέλειν ἀλλά τῷ πεφυκέναι ἐκ Θεοῦ, προάναρχά ἐστιν, ἀλλ᾽ οὐκ ἀρκτά.

Καί μήν ὁ τῆς θεολογίας ἐπώνυμος πρός τούς ἐλάττω νομίσαντας τόν Υἱόν, ὅτι ἀπεστάλη παρά τοῦ Πατρός, τεκμήριον εἶναί φησι τήν ἀποστολήν τῆς πατρικῆς εὐδοκίας, ἀλλ᾽ οὐχί τῆς αὐτοῦ προαιωνίου ὑπάρξεως. Φρενοβλαβῶς οὐκοῦν οἱ Λατῖνοι τεκμήριον ἡγοῦνται τήν ἐκ τοῦ Υἱοῦ τοῦ Πνεύματος ἀποστολήν τῆς παρ᾽ αὐτοῦ προαιωνίου ὑπάρξεως. Ἀλλά καί ἐγήγερθαι γέγραπται, φησί, καί ἀνειλῆφθαι παρά τοῦ Πατρός, ἀλλά καί ἑαυτόν ἀνεστακέναι καί ἀνεληλυθέναι πάλιν˙ ἐκεῖνα τῆς εὐδοκίας, ταῦτα τῆς ἐξουσίας. Ἐπεί γοῦν καί τό Πνεῦμα τό ἅγιον εἰ καί παρά τοῦ Υἱοῦ ἀπεστάλη, ἀλλά καί παρ᾽ ἑαυτοῦ πρός ἡμᾶς ἀφίκετο, ἐκεῖνο τῆς εὐδοκίας χρή λέγειν, τοῦτο τῆς

ἐξουσίας· ἀλλά μή καινοτομεῖν ἐντεῦθεν ἀλόγως τόν τῆς ὑπάρξεως τρόπον τοῦ θείου Πνεύματος.

Πρός μέν δή τῷ τῆς θεολογίας ἐπωνύμῳ τούτῳ (σελ. 268) οὐδ᾽ ὁ μέγας Βασίλειος εὕρηταί που λέγων καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα· εἰ δ᾽ ἐκ τοῦ Πατρός τοῦτο διά τοῦ Υἱοῦ ἐν τοῖς Πρός Εὐνομιανούς περί τοῦ θείου Πνεύματος εἰρήκει κεφαλαίοις, ἀλλ᾽ αὐτός ἑαυτοῦ ἐν τοῖς αὐτοῖς κεφαλαίοις ἑρμηνεύς γενόμενος, ἐπί τῆς μεταδόσεως τοῦτο φάναι διεσάφησε γράφων· «τό μέν ἐκ Θεοῦ τό Πνεῦμα εἶναι τρανῶς ἀνεκήρυξεν ὁ ἀπόστολος, λέγων ὅτι τό Πνεῦμα τό ἐκ τοῦ Θεοῦ ἐλάβομεν, καί τό διά τοῦ Υἱοῦ πεφηνέναι σαφές πεποίηκεν, Υἱοῦ Πνεῦμα ὀνομάσας αὐτό, καθάπερ Θεοῦ, καί νοῦν Χριστοῦ προειπών, καθάπερ καί Θεοῦ Πνεῦμα ὡς τοῦ ἀνθρώπου.

Ὁρᾷς ὅτι ἐκ Θεοῦ μέν, δηλονότι τοῦ Πατρός, ἔχει τό εἶναι, διά δέ τοῦ Υἱοῦ τό μεταδιδόσθαι καί φανεροῦσθαι; Καί ὡς Υἱοῦ Πνεῦμα ὀνομάζεται καί νοῦς, ἀλλ᾽ οὐκ ἐκ τοῦ Υἱοῦ, καθάπερ καί τοῦ ἀνθρώπου; Καί τούτου γάρ τό οἰκεῖον πνεῦμα καί ὁ νοῦς αὐτοῦ ἐστιν, ἀλλ᾽ οὐκ ἐξ αὐτοῦ, εἰ μή ἄρα κατ᾽ ἐνέργειαν. Τοῦτο δή καί ἀλλαχοῦ ποιῶν ἀριδηλότερον ὁ μέγας οὗτος, «τό Πνεῦμα», φησί, «τοῦ Υἱοῦ μέν ἤρτηται, ᾧ ἀδιαστάτως συγκαταλαμβάνεται, ἐκ δέ τῆς τοῦ Πατρός αἰτίας ἐξημμένον ἔχει τό εἶναι, ὅθεν καί ἐκπορεύεται, τοῦτο γνωριστικόν τῆς κατά τήν ὑπόσταστιν ὑπάρξεως σημεῖον ἔχον, τό μετά τόν Υἱόν καί σύν αὐτῷ γνωρίζεσθαι καί ἐκ τοῦ Πατρός ὑφεστάναι. Ὁ δέ Υἱός, τό ἐκ τοῦ Πατρός ἐκπορευόμενον Πνεῦμα δι᾽ ἑαυτοῦ καί μεθ᾽ ἑαυτοῦ γνωρίζων, μόνος μονογενῶς ἐκ τοῦ ἀγεννήτου φωτός ἐκλάμψας, οὐδεμίαν κατά τό ἰδιάζον τῶν γνωρισμάτων τήν κοινωνίαν ἔχει πρός τόν πατέρα ἤ τό Πνεῦμα τό ἅγιον».

Ἀκούεις τό γνωριστικόν σημεῖον τῆς τοῦ θείου Πνεύματος ὑποστάσεως, ὅτι τό γνωρίζεσθαι διά τοῦ Υἱοῦ ἐστιν, ἀλλ᾽ οὐχί τό τήν ὑπόστασιν ἔχειν ἐξ αὐτοῦ, ἀλλ᾽ ἐκ τοῦ Πατρός ὑφεστάναι; Λέγων δέ καί αὐτός ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις, «ὅταν ἔλθῃ ὁ Παράκλητος ὅν ἐγώ πέμψω ὑμῖν παρά τοῦ πατρός, τό Πνεῦμα τῆς ἀληθείας, ὅ παρά τοῦ Πατρός (σελ. 270) ἐκπορεύεται», οὐχί τοῦ Πνεύματος μέν ἔδειξεν ἰδιάζον ὑπάρχον γνώρισμα τό ἐκπορεύεσθαι, τό δέ ἐκπορεύειν τοῦ Πατρός, ἐπεί καί ὑποστατικόν τούτων ἑκάτερόν ἐστιν, ἰδιάζοντα δέ ἐστι τά ὑποστατικά; Μηδεμίαν οὖν κατά τόν μέγαν Βασίλειον πρός τά

ἰδιάζοντα τῶν γνωρισμάτων τοῦ Πατρός τήν κοινωνίαν ἔχων ὁ Υἱός, οὐδέ τό ἐκπορεύειν ἕξει.

Διά τοῦτο πάλιν ὁ αὐτός Πρός τούς Εὐνομιανούς περί τοῦ Πνεύματός φησιν˙ «Υἱός Θεοῦ, καρπός ἅγιος ἐξ ἁγίου, ἀΐδιος ἐξ ἀϊδίου, Πνεύματος ἁγίου χορηγός εἰς ὑπόστασιν καί μόρφωσιν κτίσεως». Ὁρᾷς ὅτι χορηγός τοῦ Πνεύματος, ἀλλ᾽ οὐχ ὑποστάτης ὁ Υἱός; Καί ὡς ἡ ἐκ τοῦ Υἱοῦ χορηγία δι᾽ αἰτίαν, ἵν᾽ ὑποστήσῃ καί μορφώσῃ τήν κτίσιν τῷ Πνεύματι; Πρόσεχε δή καί τοῖς ἑξῆς˙ «ὁ γάρ τόν Υἱόν», φησίν, «ἀναιρῶν, τήν ἀρχήν τῆς τῶν ὅλων δημιουργίας ἀνεῖλεν˙ ἄρχει γάρ τῆς ἁπάντων ὑποστάσεως ὁ τοῦ Θεοῦ Λόγος, δι᾽ οὗ τά πάντα γέγονεν». Ὁρᾷς; Τῆς ἁπάντων ὑποστάσεως ὁ τοῦ Θεοῦ Λόγος, ἀλλ᾽ οὐχί τῆς τοῦ θείου Πνεύματος ὑποστάσεως ἄρχει˙ καί ἀρχή ἐστι τῆς τῶν ὅλων δημιουργίας, ἀλλ᾽ οὐχί τῆς ὑπάρξεως τοῦ Πνεύματος. Πῶς δ᾽ ἄν ἐνταῦθα τόν Υἱόν ὑπερυψοῦν βουλόμενος ὁ μέγας Βασίλειος, εἴπερ εἶχε λέγειν ἀρχήν τοῦτον τοῦ θείου Πνεύματος, ὡς δι᾽ αὐτοῦ τό εἶναι σχόντος, οὐκ ἄν εἶπεν, ἀλλά χορηγόν μέν αὐτοῦ μόνον, ἀρχήν δέ μόνης τῆς δι᾽ αὐτοῦ τό εἶναι λαβούσης κτίσεως;

Ἀλλ᾽ ὁ Χρυσόστομος, φασί, θεολόγος, «ἦλθε» φησίν «ὁ Χριστός πρός ἡμᾶς, ἔδωκεν ἡμῖν τό ἐξ αὐτοῦ Πνεῦμα καί ἀνέλαβε τό ἡμέτερον σῶμα»˙ καί πάλιν, «διά τό γενέσθαι ναόν τῆς θείας δυνάμεως ἐπί γῆς τό σῶμα τοῦ Χριστοῦ, γίνῃ καί σύ ναός καθ᾽ ὁμοίωσιν αὐτοῦ˙ δέχῃ γάρ ἐκπεμπόμενον παρ᾽ αὐτοῦ τό Πνεῦμα˙ ὥσπερ οὖν Χριστόν ἐπιγνούς ἐπέγνως Θεόν οὕτω δή καί Πνεῦμα Χριστοῦ ἐδέξω Θεόν».

(σελ. 272) Περί μέν οὖν τῆς ἐπιγνώσεως αὐτόθεν δῆλον˙ περί δέ τῆς ἀποστολῆς καί τῆς δόσεως καί πρότερον εἰρήκαμεν. Δεῖ δ᾽ ὅμως κἀνταῦθα πρῶτον συνιδεῖν, τί ποτ᾽ ἄρα Πνεῦμά φησιν ὁ Χρυσόστομος Πατήρ λαμβανόμενόν τε καί διδασκόμενον, αὐτήν τήν οὐσίαν καί τήν ὑπόστασιν τοῦ Πνεύματος ἤ τήν χάριν καί τήν ἐνέργειαν; Ἀλλ᾽ ἵνα μή κάμνωμεν ἀνερευνῶντες, αὐτόν τοῦτον τόν χρυσοῦν θεολόγον ἑρμηνέα προβαλώμεθα καί τοῦ νῦν ζητουμένου παρ᾽ ἡμῶν˙ οὗτος γάρ ἐν μέν τῷ Περί τοῦ Πνεύματος λόγῳ, «ἡ δωρεά», φησί, «πέμπεται, τό Πνεῦμα οὐκ ἀποστέλλεται». Ἰωάννου δέ τοῦ προδρόμου καί βαπτιστοῦ λέγοντος ἀκηκοώς περί Χριστοῦ, ὡς οὐκ ἐκ τοῦ μέτρου παρά τοῦ Πατρός ἔλαβε τό Πνεῦμα, «οὐ γάρ ἐκ μέτρου», φησί, «δίδωσι τό Πνεῦμα ὁ Πατήρ», ἀλλά πάντα δέδωκεν ἐν τῇ χειρί αὐτοῦ», ἐξηγούμενος αὐτός φησι˙ «Πνεῦμα ἐνταῦθα τήν ἐνέργειαν λέγει˙

αὔτη γάρ ἐστιν ἡ μεριζομένη. Πάντες γάρ ἡμεῖς μέτρῳ τήν ἐνέργειαν τοῦ Πνεύματος ἐλάβομεν, ἐκεῖνος δέ ὁλόκληρον ἔλαβε πᾶσαν τήν ἐνέργειαν· εἰ δέ ἡ ἐνέργεια αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία». Καί ἀλλαχοῦ πάλιν ἐκεῖνο τό ψαλμικόν εἰς ἐξήγησιν προθείς, «ἐξεχύθη χάρις ἐν χείλεσί σου», «ὁρᾷς», φησίν, «ὅτι περί τῆς οἰκονομίας ὁ λόγος»; Καί μετ᾽ ὀλίγα· τήν χάριν γάρ φησιν ἐνταῦθα τήν ἐλθοῦσαν ἐπί τήν σάρκα· πᾶσα γάρ ἡ χάρις ἐξεχύθη εἰς τόν ναόν ἐκεῖνον· "οὐ γάρ ἐκ μέτρου δίδωσιν ἐκείνῳ τό Πνεῦμα ὁ Πατήρ". Ἡμεῖς δέ, μικρόν τι καί ρανίδα ἀπό τῆς χάριτος ἐκείνης ἔχομεν· "ἐκ τοῦ πληρώματος γάρ, φησίν", "αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν", ὡς ἄν εἴποι τις, ἐκ τοῦ ὑπερβλύζοντος, ἐκ τοῦ περιττεύοντος. Καί πάλιν, οὐκ εἶπε "δίδωμι τό Πνεῦμα", ἀλλ᾽ ἐκχεῶ ἀπό τοῦ Πνεύματός μου ἐπί πᾶσαν σάρκα". Καί ἡ ἐν τοσούτοις τοῦ κόσμου κλίμασι διδομένη χάρις μέρος τι τῆς δωρεᾶς ἐστι καί ἀρραβών· "δούς γάρ", φησί, (σελ. 274) "τόν ἀρραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν". Τό μέρος λέγει τῆς ἐνεργείας, οὐ γάρ δή ὁ παράκλητος μερίζεται».

Τήν γοῦν ἐνέργειαν ταύτην καί ὁ ναός ἐκεῖνος ἔλαβε καί τοῖς ἀξίοις παρ᾽ ἑαυτοῦ παρέχει ὁ Χριστός. Σύ δ᾽ ἐνταῦθα νῦν ἀκούων τοῦ χρυσορρήμονος λέγοντος, «ὁ Χριστός ἔδωκεν ἡμῖν», ἀναμνήσθητι καί τῶν λόγων ἐκείνων, οὕς φθάσαντες εἰρήκαμεν, ὅτι Θεός καί Θεοῦ ὕπαρξις πρός ἕτερον οὐκ ἔστιν, οὐδέ δόδοταί τινι· ἀλλά καί ἀναίτιός ἐστιν, αὐτόν αἰτίαν ἔχων τόν ἐξ οὗ ὑπάρχει ἀναιτίως, ἀλλ᾽ οὐκ ἐξ αὐτοῦ ὑπάρχων δι᾽ αἰτίαν. Ὥσπερ δέ Θεός καί Θεοῦ ὕπαρξις ἀναίτιος, οὕτω τό δι᾽ αἰτίαν γεγονός κοινόν αὐτῷ τε τῷ ἀναιτίῳ καί τοῖς ἀναιτίοις ἐξ αὐτοῦ ὑπάρχουσι. Διό πολλάκις εἰρημένον καί παρά τοῦ θεανθρώπου Λόγου καί καθεξῆς παρά τῶν θεοφόρων πέμπεσθαί τε καί δίδοσθαι παρά τοῦ Υἱοῦ τό Πνεῦμα, οὐδαμοῦ χωρίς αἰτίας εἴρηται, οὐδ᾽ ἄνευ προσώπου τοῦ λαμβάνοντος, δι᾽ ὅν καί πέμπεται· ἀλλ᾽ ἀεί συνεζευγμένον ταῖς αἰτίαις ἀποδέδωκε πρῶτον μέν ὁ μόνος καί Θεός καί θεολόγος, ὅς καί τό ἐκπορευόμενον ἀπολύτως ἔθηκε χωρίς ἡστινοσοῦν αἰτίας, ἔπειτα δέ καί οἱ δι᾽ αὐτοῦ λαλοῦντες ἅπαντες, παρ᾽ ὧν ἡμεῖς διδασκόμεθα μή τήν ὑπόστασιν τοῦ παναγίου Πνεύματος εἶναι καί ἐκ τοῦ Υἱοῦ, μηδέ δίδοσθαι ταύτην, μηδέ λαμβάνεσθαι παρ᾽ οὐδενός, ἀλλά τήν θείαν χάριν καί τήν ἐνέργειαν. Εἰ δ᾽ ἄρα καί μή πάντες, μηδ᾽ ἀεί μέμνηνται τῶν προσώπων ἤ τῶν αἰτιῶν, οὐχ ὡς μή οὕτω φρονοῦντες, ἀλλ᾽ ὡς πολλάκις εἰρημένων καί ὡς ἐντεῦθεν ὁμολογουμένων ὄντων. Καί τοῦτο μή προσχόντες μηδ᾽ ἐπιστήσαντες

οἱ λατινικῶς φρονοῦντες, πολλά τῶν τοῦ μεγάλου Ἀθανασίου καί τῶν τοῦ θείου Κυρίλλου παρενόησαν καί περιέτρεψαν κακῶς.

Ἀλλά τί ἄν τις εἴπει, πάλιν οἱ τοιοῦτοι λέγουσιν, τοῦ Νύσσης θεηγόρου ἀκούων Γρηγορίου λέγοντος, «προθεωρεῖσθαι τόν Υἱόν κατά τόν τῆς αἰτίας λόγον τῆς τοῦ Πνεύματος ὑποστάσεως»; Τί δ᾽ ἄν τις φαίη, ἕτερον ἡμεῖς ἐροῦμεν (σελ. 276) ἀνθυπενεγκόντες ἤ τό ἀληθές καί τοῖς μικρόν ἐφιστᾶσι γνωριμώτατον, ὅτι προθεωρεῖται ἡ τοῦ Υἱοῦ ὑπόστασις ἐκ τοῦ Πατρός κατά τόν τῆς αἰτίας τοῦ Πνεύματος ὑποστάσεως, οὐ κατά τόν τῆς αἰτίας λόγον τῆς τοῦ Πνεύματος, ἀλλά κατά τόν λόγον τῆς ἑαυτοῦ ἐκ τοῦ Πατρός ὑποστάσεως, ὅς ἐστι τό γεννητῶς ὑπάρχειν ἐκ Πατρός; Πατέρα γάρ τις ἀκούων, γννήματος εὐθύς αὐτόν ἐννοεῖ Πατέρα˙ ἡνίκα δ᾽ ἄν ὄντα καί λόγον ἀκούσῃ τό γέννημα, τότε καί τοῦ θείου Πνεύματος εἰς ἔννοιαν ἔρχεται. Καί διά τοῦτο ὁ Υἱός πρό τοῦ Πνεύματός ἐστι καθ᾽ ὕπαρξιν οὐδαμῶς. Διό φησιν ὁ Νύσσης θεῖος οὗτος πρόεδρος ἐν τῷ πρώτῳ τῶν Πρός Εὐνόμιον ἀντιρρητικῶν˙ «ὡς συνάπτεται τῷ Πατρί ὁ Υἱός καί τό ἐξ αὐτοῦ εἶναι ἔχων οὐχ ὑστερίζει κατά τήν ὕπαρξιν, οὕτω πάλιν καί τοῦ μονογενοῦς ἔχεται τό Πνεῦμα τό ἅγιον, ἐπινοίᾳ μόνον κατά τόν τῆς αἰτίας λόγον προθεωρουμένου τῆς τοῦ Πνεύματος ὑποστάσεως».

Τί οὖν ἐστί τό ἐντεῦθεν τῷ ἁγίῳ δεικνύμνον; Οὐδέν ἄλλο πάντως ἤ ὅτι ἅμα ἐστίν ὁ Πατήρ καί ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον˙ καί οὔτε τό ἐκ τοῦ Πατρός εἶναι τόν Υἱόν προσίσταταί τι κωλῦον ἅμα τῷ Πατρί ἐξ ἀϊδίου εἶναι τόν Υἱόν, οὔτε τό ἐπινείᾳ μόνῃ κατά τόν τῆς οἰκείας αἰτίας λόγον, τουτέστιν ὡς Υἱόν προθεωρεῖσθαι ἀπό τοῦ Πατρός, προσίσταται κωλῦον τοῦ Υἱοῦ ἔχεσθαι τό Πνεῦμα καί σύν αὐτῷ ἅμα εἶναι ἀπό τοῦ Πατρός. Σκεπτέον δέ καί τοῦτο φανερῶς προσκείμενον, ὡς οὐδ᾽ ἁπλῶς ἐπινοίᾳ, ἀλλ᾽ ἐπινοίᾳ μόνον ἔφη προθεωρεῖσθαι τόν Υἱόν τοῦ Πνεύματος˙ καί ὅτι τόν μέν Υἱόν εἶπεν ἐκ Πατρός, τό δέ Πνεῦμα τό ἅγιον ἔχεσθαί φησι τοῦ Υἱοῦ, τουτέστιν ἅμα σύν τῷ Υἱῷ ἐκ τοῦ Πατρός ὑπάρχειν, ἀλλ᾽ οὐκ ἐξ αὐτοῦ τό εἶναι ἔχειν. σ

Ἀλλ᾽ ὁ αὐτός, φασί, Νύσσης θεηγόρος, ἀλλαχοῦ σοφῶς μέσον τίθησι τόν Υἱόν τοῦ Πατρός καί τοῦ Πνεύματος, καί δι᾽ αὐτοῦ προσεχῶς ὄντος τῷ Πατρί καί τό Πνεῦμα (σελ. 278) παραδίδωσιν˙ οὕτω γάρ, φησίν, ἔσται καί μονογενής. Τί γοῦν, ἄν ἡμεῖς δείξωμεν αὐτόν τήν ἐκπορευτικήν ἰδιότητα μόνῳ τῷ Πατρί προσμαρτυροῦντα καί μόνον αἴτιον Υἱοῦ καί Πνεύματος τόν Πατέρα λέγοντα καί ἐξ ἑνός καί τοῦ αὐτοῦ προσώπου τόν Υἱόν τε καί τό Πνεῦμα τό ἅγιον καί

προσεχῶς ἄμφω ἐξ αὐτοῦ καί τόν μή οὕτω φρονοῦντα πολύθεον δεικνύντα; Διδάσκων γάρ, πῶς ἐν τρισί προσώποις εἷς ἐστι Θεός «τά τοῦ ἀνθρώπου», φησί, «πρόσωπα πάντα, οὐκ ἀπό τοῦ αὐτοῦ προσώπου κατά τό προσεχές ἔχει τό εἶναι, ὡς πολλά καί διάφορα εἶναι πρός τοῖς αἰτιατοῖς καί τά αἴτια. Ἐπί δέ τῆς ἁγίας Τριάδος οὐχ οὕτως˙ ἕν γάρ πρόσωπον καί τό αὐτό τοῦ Πατρός, ἐξ οὗπερ ὁ Υἱός γεννᾶται καί τό Πνεῦμα τό ἅγιον ἐκπορεύεται. Διό καί κυρίως τόν ἕνα αἴτιον μετά τῶν αὐτοῦ αἰτιατῶν ἕνα Θεόν φαμεν τεθαρρηκότως». Τήν δέ ἐκπορευτικήν ἰδιότητα μόνῳ προσεῖναι δεῖξαι τῷ Πατρί διά τοσαύτης ἐποιήσατο σπουδῆς, ὡς καί μάρτυρα παραγαγεῖν τόν ἐν βασιλεῦσι θεῖον ᾠδικόν Δαβίδ, οὐ μόνον ἐκ τοῦ Πατρός ἐκπορευόμενον λέγοντα τό Πνεῦμα τό ἅγιον, ἀλλ᾽ ἐξ αὐτῆς αὐτοῦ τῆς ὑποστάσεως. Φησί γάρ ἐν τῷ Περί θεογνωσίας λόγῳ προφιλοσοφήσας οὐκ ὀλίγα περί Πατρός καί Υἱοῦ, ὡς «Πνεῦμα δέ τό τῆς πατρικῆς ἐκπορευόμενον ὑποστάσεως˙ τούτου γάρ ἕνεκα καί πνεῦμα στόματος ὁ Δαβίδ εἴρηκεν, ἵνα τήν ἐκπορευτικήν ἰδιότητα τῷ Πατρί μόνῳ προσοῦσαν πιστώσηται». Τί τούτων τῶν ρημάτων σαφέστερον ἤ βεβαιότερον ἤ ἀλειπτότερον ἤ δεικτικώτερον, ὡς οὐχί καί ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται τό Πνεῦμα;

Εἰ γάρ καί ἐξ αὐτοῦ, οὐκ ἄν ἦν ἐξ ἑνός προσώπου κατά τό προσεχές ἑκάτερον, οὐδ᾽ ἄν εἴχομεν θαρρεῖν μίαν λέγειν σέβειν θεότητος ἀρχήν καί ἕνα Θεόν ἰσχυρίζεσθαι τά τρία εἶναι πρόσωπα. Εἰ καθάπερ τό αἰτιατόν, οὕτω καί (σελ. 280) τό αἴτιον ἐν δυσί προσώποις ἦν ὡς καί ἐφ᾽ ἡμῶν ὁρᾶται, οὐδ᾽ ἄν ἦν ἡ ἐκπορευτική ἰδιότης μόνον τοῦ Πατρός, εἰ καί ὁ Υἱός τό ἐκπορεύειν εἶχε˙ νῦν δέ μόνῳ τῷ Πατρί προσοῦσαν αὐτός τε ὁ Νυσσαέων Γρηγόριος πιστοῦται καί τόν θεοπάτορα Δαβίδ προάγει προσπιστούμενον, μᾶλλον δέ τό Πνεῦμα τό ἅγιον τό διά τῶν προφητῶν λαλῆσαν.

Ὁρᾷς τἀναντία σαφῶς τοῦ Πνεύματος φρονῶν καί ἀπεναντίας ἐκείνου δογματίζων καί μαχόμενος, ἀλλ᾽ οὐ θεολογῶν τό Πνεῦμα, πονηρός διαιτητής θεογόνου θεότητος γενόμενος καί τῶν τοῦ Θεοῦ Πατρός ἰδίων ἀποστερητής, κινῶν καί μεταφέρων τάς ἀκινήτους ἰδιότητας καί τό σαυτοῦ μέρος κυκῶν καί συνταράσσων τήν ὑπέρ πάντα νοῦν καί αὐτόχρημα εἰρήνην; Τί οὖν, οὐ φρίττεις ταῦτ᾽ ἀκούων καί ἀφίστασαι πρός τάχος τῆς δεινῆς κακοδοξίας καί θρηνεῖς τόν πρῴην βίον ὡς μή εὐσεβῶς ἀνύσας;

Ἀλλ᾽ ἴδωμεν καί τήν προτεινομένην ὑπ᾽ αὐτῶν ἀρτίως τοῦ Νύσσης μαρτυρίαν καί πρός δύναμιν ἀναθεωρήσαντες αὐτήν ἀνακαθάρωμεν τοῖς πᾶσι τό ἐν ταύτῃ δύσληπτον, ὅ αὐτοῖς καί τήν πλάνην ὡς ἐπίπαν ἀπειργάσατο˙ εἴθε δ᾽ ἦν καί αὐτούς καθάραντας, ἐξελέσθαι τῆς ἀπάτης. Ἀλλά συντείνατε παρακαλῶ τόν νοῦν οἱ νῦν τε καί αὖθις ἐντευξόμενοι. Πάντα μέν γάρ τ᾽ ἀνδρός τουτουί τά ῥήματα βαθείας ἔχεται φρενός, τά δέ περί Θεοῦ ὡς μάλιστα καί τούτων μᾶλλον τό νῦν προτεθησόμενον ἡμῖν˙ γράφων γάρ Πρός Ἀβλάβιον, διά τι, μίαν θεότητα ἐπί Πατρός καί Υἱοῦ καί Πνεύματος ἁγίου λέγοντες, τρεῖς θεούς λέγειν ἀπαγορεύομεν, τό παντάπασιν ἑνιαῖον παραστήσας τῆς θείας φύσεως, «εἰ δέ τις», φησί, «συκοφαντοίη τόν Λόγον ὡς ἐκ τοῦ μή δέχεσθαι τήν κατά φύσιν διαφοράν μίξίν τινα τῶν ὑποστάσεων καί ἀνακύκλησιν κατασκευάζοντα, τοῦτο περί τῆς τοιαύτης ἀπολογησόμεθα μέμψεως˙ ὅτι τό ἀπαράλλακτον τῆς θείας φύσεως ὁμολογοῦντες τήν κατά τό αἴτιον καί αἰτιατόν διαφοράν οὐκ ἀρνούμεθα, ἐν ᾧ μόνῳ διακρίνεσθαι τό ἕτερον τοῦ ἑτέρου καταλαμβάνομεν, τῷ μέν (σελ. 282) αἴτιον πιστεύειν εἶναι, τό δέ ἐκ τοῦ αἰτίου. Καί τοῦ ἐξ αἰτίας ὄντος πάλιν ἄλλην διαφοράν ἐννοοῦμεν. Τό μέν γάρ προσεχῶς ἐκ τοῦ πρώτου, τό δέ διά τοῦ προσεχῶς ἐκ τοῦ πρώτου˙ ὥστε καί τό μονογενές ἀναμφίβολον ἐπί τοῦ Υἱοῦ μένειν καί τό ἐκ τοῦ Πατρός εἶναι τό Πνεῦμα μή ἀμφιβάλλειν, τῆς τοῦ Υἱοῦ μεσιτείας καί ἑαυτῷ τό μονογενές φυλαττούσης καί τό Πνεῦμα τῆς φυσικῆς πρός τόν Πατέρα σχέσεως μή ἀπειργούσης».

Τοῦτο δή πρῶτον ἐνταῦθα λεκτέον ἄν εἴη πρός Λατίνους˙ ἐπειδήπερ ὑμεῖς οὐ τό ἐξ αἰτίας μόνον, ἀλλά καί τό αἴτιον ἐν δυσίν οἴεσθε προσώποις (ἐν γάρ δυσί προσώποις τίθεσθε τήν αἰτίαν τοῦ θείου Πνεύματος καί ἐν ἑκατέρῳ τούτων διαφόρως), εἴπερ ἐφρόνει καθ᾽ ὑμᾶς ὁ τῆς Νύσσης οὗτος φανότατος φωστήρ, διεῖλεν ἄν πρό τοῦ αἰτιατοῦ τό αἴτιον. Τοῦτο δέ ποιήσας οὐδαμῶς δῆλός ἐστι μηδ᾽ εἰς νοῦν λαβών, ὅπερ ὑμεῖς ἐκ τῶν ἐκείνου συνάγειν πειρᾶσθε λόγων, ἀφ᾽ ὧν τῷ καλῶς σκοπουμένῳ καί τἀναντία τῶν ὑμετέρων ἀναφαίνεται δογμάτων. Τοῦτο γάρ ἐστιν ὅ φησιν, ὡς ὁ Υἱός οὐκ ἀπείργει τήν ἄμεσον τοῦ Πνεύματος πρός τόν Πατέρα σχέσιν, εἰ καί μόνος αὐτός ἐστιν Υἱός. Ἔπειτα μηδέ τοῦτο παραλειπτέον συνιδεῖν, ὡς μετά τό εἰπεῖν ὅτι «τήν κατά τό αἴτιον καί αἰτιατόν διαφοράν οὐκ ἀρνούμεθα», αἰτιατόν ὁμοῦ μετά τοῦ Πνεύματος καί τόν Υἱόν εἰπών, ἐπήνεγκεν, «ἐν ᾧ μόνῳ διακρίνεσθαι τό ἕτερον τοῦ ἑτέρου

καταλαμβάνομεν», φανερῶς ἀπαγορεύων, τήν λατινικήν καινοτομίαν, ὡς οὐ μόνον αἰτιατός, ἀλλά καί αἴτιός ἐστιν ὁ Υἱός, καί πάσας τούτων ἐν βραχεῖ τάς ἐπινενοημένας διαφοράς ἀποσειόμενος, ὅτι πρῶτον μέν ὁ Πατήρ αἴτιόν ἐστιν ἐπί τοῦ Πνεύματος, δεύτερον δέ ὁ Υἱός, καί ὅσα τούτοις παραπλήσια· ἐν μόνῳ γάρ, φησί, τῷ αἰτίῳ καί τῷ αἰτιατῷ τήν θείαν φύσιν κατανοοῦμεν, καί τό μέν αἴτιον οὐκ ἐν δυσί προσώποις θεωροῦμεν, τοῦ δέ αἰτιατοῦ (σελ. 284) μόνου ταύτην τήν ἐν δυσί προσώποις διαφοράν ἐννοοῦμεν, ἥτις ἐστίν οὐχ ὅτι τό μέν τούτων καί αἴτιόν ἐστι, τό δέ μόνον αἰτιατόν, ὡς Ἰταλοί φρονοῦσι, μᾶλλον δέ παραφρονοῦσιν, ἀλλ᾽ ὅτι τό μέν Υἱός ἐστι, τό δέ οὐχ Υἱός. Καί οὐκ ἀπείργεται τοῦτο παρά τῆς τοῦ Υἱοῦ πρός τόν Πατέρα κατά φύσιν ἑνώσεως. Εἰπών γάρ ἀνωτέρω τοῦ λόγου, τί ἐστι τά τρία ταῦτα, ὁ Πατήρ, ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον, ὅτι μία ὑπερούσιος οὐσία, δεικνύς ἔπειτα πῶς ἐστι τά τρία ταῦτα, ἆρα αἰτιατῶς ὡς ἔχοντά τι καί αἴτιον, ἤ ἀναιτίως πάντῃ, φησίν ὅτι τό μέν αὐτῶν ἐστιν αἴτιον, τό δέ αἰτιατῶς ἔχει τό εἶναι, αἰτιατῶς δέ φησιν ἔχει τό εἶναι ὁ Υἱός τε καί τό Πνεῦμα τό ἅγιον.

Ἆρ᾽ οὐκ ἐντεῦθεν ἔδειξεν ἐνταῦθα, ἕν εἶναι μόνον αἴτιον τό ληφθέν ἐκ τῶν τριῶν, δηλονότι τόν Πατέρα μόνον; Εἶτα θέλων δεῖξαι πῶς τῶν δύο τούτων προσώπων ἑκάτερον αἰτιατῶς ἐστιν, ἵνα μή τις νομίσῃ, καθάπερ οἱ Λατῖνοι, πάλιν ἐκείνην τήν τοῦ αἰτίου καί αἰτιατοῦ διαφοράν καί ἐπί Υἱοῦ καί Πνεύματος εἰσάγειν, φησί σαφῶς, ὅτι ἐπί τούτων ἄλλην διαφοράν ἐννοῦμεν. Λατῖνοι δέ ἀντιθεϊκῶς τούτῳ φασίν οὐκ ἄλλην, ἀλλά τήν αὐτήν· καί τοῦ ἁγίου πάλιν, πῶς αἰτιατῶς ἔχει τό εἶναι ὁ Υἱός φάναι προθεμένου, αὐτοί πῶς αἴτιός ἐστι φάναι συκοφαντοῦσιν αὐτόν. Τό μέν γάρ εἶναι τόν Υἱόν ὁπωσοῦν αἴτιον, οὐδαμῇ δείκνυται λέγων ἤ φρονῶν ὁ θεοφόρος οὗτος, καί μάλιστα ἐν τοῖς ἀρτίως προκειμένοις ῥήμασιν αὐτοῦ. Ἀλλά τό αἰτιατῶς μέν καί τοῦτον ὑπάρχειν, καθάπερ καί τό πνεῦμα τό ἅγιον, αἰτιατῶς μέντοι γεννητῶς, αἰτιατῶς δέ καί τό Πνεῦμα τό ἅγιον ὑπάρχειν, οὐ γεννητῶς δέ.

Ἀμφοτέρων γάρ λεγομένων, τοῦ Πατρός καί ἐκ Πατρός, Υἱοῦ δηλονότι καί Πνεύματος, τῷ Πατρί προσεχές ὁ μεγαλόνους εἶπε τόν Υἱόν, διά μέσου δέ αὐτοῦ, προσεχοῦς ὄντος τῷ πατρί, ἐκ Πατρός εἴρηκε τό Πνεῦμα νοούμενον, ἀλλ᾽ οὐκ ἐκπορευόμενον διά μέσου τοῦ Υἱοῦ, (σελ. 286) πάλιν οἷον ἐκεῖνο λέγων, ὅτι τοῦ αἰτίου καί πρώτου ὡς αἰτίου Πατρός φώτων ὄντος τε καί λεγομένου, τουτέστιν Υἱοῦ καί

Πνεύματος (ἄμφω γάρ, ἀλλ᾽ οὐχ ὁ Υἱός μόνος δευτερεύει τοῦ Πατρός, ὡς καί Γρηγόριος ὁ θεολόγος ἐν τοῖς Ἔπεσι φησι) τοῦ γοῦν πρώτου πρός ἀμφότερα ταῦτα Πατρός τῶν φώτων λεγομένου (ἐκ γάρ τῶν λογίων οὐκ ἄν εὕροις ἑτέραν αὐτοῦ ἐπωνυμίαν) τῶν ἐξ αἰτίου τούτου ὄντων, τό γεννητῶς ἐκ φωτός προερχόμενον φῶς προσεχῶς τῷ Πατρί νοεῖται πάραυτα, καθάπερ καί αὐτός ὁ Νύσσης ἐν τῷ δευτέρῳ τῶν Πρός Εὐνόμιον διατείνεται γράφων, «ὡς οὐκ ἄν Πατήρ κεχωρισμένος ἀφ᾽ ἑαυτοῦ νοηθείη μή υἱοῦ συνημμένου διά τῆς τοῦ Πατρός ἐκφωνήσεως», καί πάλιν, «εἰς τόν Πατέρα τήν πίστιν ἔχοντες, ὁμοῦ τῷ ἀκοῦσαι τόν Πατέρα συμπαραδεξόμεθα τῇ διανοίᾳ καί τόν Υἱόν».

Ὁ μέν οὖν Υἱός ἐκ τοῦ Πατρός καί ἔστι καί νοεῖται, τό δέ Πνεῦμα τό ἅγιον δι᾽ ἑαυτό μέν ἐκ προβολέως εἴη ἄν καί νοηθείη, ἀλλ᾽ οὐκ ἐκ Πατρός, διά δέ τοῦ προσεχῶς νοουμένου ἐκ Πατρός Υἱοῦ, καί ἐκ Πατρός εἴη ἄν τό Πνεῦμα, ἐκπορεύοντος μέν αὐτό τό Πνεῦμα, γεννῶντος δέ τόν Υἱόν. Ἐκ γοῦν τοῦ γεννῶντος τό μή γεννητόν Πνεῦμα πῶς ἄν ρηθείη; Οὐ διά τόν Υἱόν μονογενῆ τε ὄντα καί διά τοῦτο προσεχῶς εὐθύς τῷ γεννῶντι συνοούμενον καί τό γεννητόν ἑαυτοῦ ποιοῦντα μόνον ἴδιον καί συντηροῦντα, τό δέ Πνεῦμα δεικνύντα οὐ γεννητῶς ὄν ἐκ τοῦ Πατρός; Διά τοῦ Υἱοῦ ἄρ᾽ ἔχει τό εἶναι καί νοεῖσθαι ἐκ Πατρός τό Πνεῦμα˙ δι᾽ ἑαυτοῦ ἐκ προβολέως ἀμέσως καί αὐτό προβαλλομένου. Διό, καθάπερ ἔφημεν, οὐδ᾽ αἴτιον, ἀλλ᾽ αἰτιατόν εἶπε μόνον τόν Υἱόν καί ἐπίσης τῷ Πνεύματι αἰτιατόν˙ καί ὁμοίως κατά τό αἴτιον ταῦτα διέστειλεν ἀπό Πατρός, καίτοι κατά τήν τῶν Λατίων ἐκδοχήν οὐχ οὕτως ἔδει φάναι.

Ἀλλά, καθάπερ ἔφημεν, τό αἴτιον πρῶτον διελεῖν διά (σελ. 288) τοῦ κατ᾽ αὐτούς ἐμμέσου ὑποστάσεσιν ὁρώμενον, εἶτα τῷ λόγῳ προϊών καί ἐκ τοῦ Πατρός εὐθύς νοεῖσθαι τόν Υἱόν εἰπών καί τήν αἰτίαν προστιθείς, ἐχρῆς εἰπεῖν, εἰ κατά Λατίνους ἦν φρονῶν, ἵνα μή μόνον αἰτιατός ὁ Υἱός, ἀλλά καί αἴτιος ἀναφανῇ˙ ὁ δέ, τοῦτο μέν οὐδαμῶς φησιν, ἀλλ᾽ "ἵνα", φησί, "μόνος ὤν γεννητός ἀναφανῇ" ταὐτό δ᾽ εἰπεῖν αἰτιατός τόν τρόπον τοῦτον. Ποῦ τοίνυν ἐνταῦθ᾽ ὁρᾶτε τόν Υἱόν, οὐ μόνον αἰτιατός ὤν ἀνακηρύττεται;

Καί τοῦτο δέ μοι λάβε κατά νοῦν, ὅτι μηδέ συνεργοῦσαν εἴρηκε ὁ μέγας οὗτος τήν μεσιτείαν τοῦ Υἱοῦ, ἀλλά μή ἀπείργουσαν, τουτέστι μή κωλύουσαν ἀμέσως ἐκ τοῦ Πατρός καί τό Πνεῦμα ἐκπορεύεσθαι. Ποιήσωμεν δ᾽ ὡς ἔνι φανεράν καί διά παραδειγμάτων τήν διάνοιαν. Ἐκ τοῦ πυρός ἀμέσως καί τό φῶς καί ὁ ἀτμός προέρχεται˙ οὐ γάρ

ἕτερον διά θατέρου. Τό τοίνυν πῦρ ἐπειλημμένον ὕλης ἀτμίζειν ἅμα καί φωτίζειν πέφυκε, τό μέν φῶς οἷα δή γεννῶν, τόν ἀτμόν δέ ἐκπορεῦον, Ἐκ μέν οὖν τοῦ φωτίζοντος τό φῶς προσεχῶς καί ἔστι καί δ᾿ ἑαυτοῦ νοεῖται ἐξ αὐτοῦ˙ ὡσαύτως καί ὁ ἀτμός ἐκ τοῦ ἀτμίζοντος. Εἰ δέ τόν ἀτμόν φαίη τις ἐκ τοῦ φωτίζοντος, διά τό φῶς ἐρεῖ, διά τοῦ φωτός νοήσας τόν ἀτμόν ἐκ τοῦ φωτίζοντος, τῆς μεσιτείας τοῦ φωτός καί ἑαυτῷ τό μονογενές φυλαττούσης καί τόν ἀτμόν μή ἀπειργούσης τῆς πρός τό φωτίζον σχέσεως, τουτέστι μή ἐμποδιζούσης ἀμέσως εἶναι ἐξ αὐτοῦ.

Ἀλλ᾿ εἰ βούλεσθε, καί ἕτερον παράδειγμα προσθῶμεν, οὐ καινόν οὐδ᾿ ἄηθες τοῖς θεολόγοις, σαφηνείας χάριν πλείονος. Ὁ Κάϊν υἱός ὑπῆρχε τοῦ Ἀδάμ καί μονογενής αὐτῷ πρό τοῦ τεκεῖν τούς ἄλλους, ἡ δέ Εὔα τμῆμα˙ καί ἐγένετο ἄν καί ἐνοεῖτο τότε τμῆμα Πατρός ἐπ᾿ ἀληθείας πάσης διά τοῦ Κάϊν καί εἶναι καί νοεῖσθαι καί (σελ. 290) καί λέγεσθαι πατρός τμῆμα κτησαμένη, τῆς τοῦ υἱοῦ τούτου μεσιτείας καί τό μονογενές ἑαυτῷ τότε φυλαττούσης καί τήν Εὔαν πατρός εἶναι τμῆμα μή κωλυούσης˙ ἀλλ᾿ οὐ διά τοῦτο ἐμμέσως τε καί οὐκ ἀμέσως ἡ Εὔα τήν ἀρχήν ἐκ τοῦ Ἀδάμ ἐτμήθη. Ἀφείς τοίνυν τήν χρονικήν ἀρχήν τε καί διάστασιν καί τήν ἐκ συζυγίας γέννησιν καί τ᾿ ἄλλ᾿ ὅσα μή θεότητι κτάλληλα, σκόπει πρός τούς τοῦ ἁγίου λόγους τό παράδειγμα καί συνήσεις τἀληθές.

Ἀλλ᾿ μέν οὕτω δι᾿ Υἱοῦ νοοῦμεν ἐκ γεννητικοῦ, ταὐτόν δ᾿ εἰπεῖν ἀπό Πατρός, τό μή γεννητόν ὑπάρχον Πνεῦμα˙ διά τόν Υἱόν γάρ ἐστί τε καί λέγεται Πατήρ. Δι᾿ αὐτοῦ δέ τοῦ Πνεύματος, οὐ γεννητοῦ ὄντος ἀλλ᾿ ἐκπορευτοῦ, ἀμέσως ἐκ τοῦ ἐκπορεύοντος αὐτό νοοῦμεν, ταὐτόν δ᾿ εἰπεῖν ἐκ προβολέως. Διά τί γάρ καί ὁ φερώνυμος θεολόγος Γρηγόριος ὁ μέγας οὐ Πατέρα μόνον, ἀλλά καί προβολέα τήν μόνην πηγαίαν θεότητα καλεῖ; Οὐ Πατέρα μέν γεννήματος, προβολέα δέ προβλήματος; Ὥσπερ οὖν ἔχει τό γέννημα πρός τόν γεννήσαντα, οὕτως ἕξει καί τό πρόβλημα πρός τόν προβολέα ἑαυτοῦ, ἀμέσως δηλαδή ἑκάτερον. Ἐάν δέ τό πρόβλημα Πατρός λέγῃς, διά τόν Υἱόν ἐρεῖς.

Ἐβουλόμην δέ καί περί τῆς “διά” διά πλειόνων δεῖξαι, ἀλλά τίς ἔτι χρεία λόγων, δι᾿ αὐτοῦ τοῦ ἁγίου Πνεύματος ἡμῖν ἑρμηνευθείσης; Ἐγώ γάρ ἐξετάζων τίς ὁ πρῶτος εἰρηκώς τό ἅγιον Πνεῦμα δι᾿ Υἱοῦ, μᾶλλον δέ τίς ὁ δι᾿ ἐπιπνοίας θείας τοῦτο παραδούς ἡμῖν (οὐδεμίαν γάρ λέξιν ἡ καθ᾿ ἡμᾶς θεολογία φέρει μή διά θείας ἀποκαλύψεως τήν

ἀρχήν ἐκπεφασμένην) ἐξετάζων οὖν ἐγώ τίς ὁ πρῶτος οὗτος εἰρηκώς, τοῦτ᾽ αὐτό περί ἑαυτοῦ τό Πνεῦμα τό ἅγιον διά τοῦ θεολογικωτάτου ἐν ἀποστόλοις Ἰωάννου, Γρηγορίῳ τῷ θαυματουργῷ τῆς τοῦ Θεοῦ μητρός προτρεψαμένης, ἀποκαλύψαν τε ὁμοῦ καί ἑρμηνεῦσαν εὗρον˙ καί ὁ συγγραφεύς τοῦ Γρηγορίου θαυμασίου Βίου καί τῆς ἐν αὐτῷ (σελ. 292) ἀποκαλύψεως, ὁμώνυμός τε καί ἀξιόλογος οὐχ ἧττον, Γρηγόριος γάρ ἐστιν ὁ Νυσσαέων οὗτος, οὗ μικρόν ἀνωτέρω διευκρινήσαντες τήν ῥῆσιν ἐκ Πατρός δι᾽ Υἱοῦ τό Πνεῦμα νοούμενον εὑρήκαμεν, ἀλλ᾽ οὐκ ἐκπορευόμενον˙ ὅς εὖ ὅτι μάλιστα ποιῶν, αὐτοῖς ῥήμασι προὔθηκεν ἡμῖν τήν ἀποκάλυψιν ἐκείνην οὕτω πως ἐν βραχεῖ διατρανοῦσαν τά τοῦ Πνεύματος˙ «ἕν γάρ», φησί, Πνεῦμα ἅγιον ἐκ Πατρός καί αὐτό τήν ὕπαρξιν ἔχον καί δι᾽ Υἱοῦ πεφηνός, δηλαδή τοῖς ἀνθρώποις». Ὁρᾷς πῶς χρή τό Πνεῦμα νοεῖν καί λέγειν δι᾽ Υἱοῦ; Δηλονότι φανερωθέν τοῖς ἀνθρώποις δι᾽ αὐτοῦ. Οὕτω τοίνυν νόει καί αὐτός ὅπουπερ ἄν εὕρῃς διά τοῦ Υἱοῦ ἐκ τοῦ Πατρός τό Πνεῦμα διδόμενόν τε καί πεμπόμενον, εἴγε μή ἀντίθεος ἐθέλεις εἶναι, ἀλλ᾽ ὁμοῦ καί θεοσεβής καί θεοδίδακτος.

Εἰ δέ καί ἀντί τῆς "διά" τήν "ἐκ" πρόθεσιν τιθέντα βούλοιο, μεμψόμεθά σε οὐδαμῶς, μόνον τἀληθές κάι φρονῶν καί προστιθείς, ἐκ τοῦ Υἱοῦ φανερωθέν ἡμῖν τό Πνεῦμα λέγε˙ ἄν δέ τήν τοῦ ἁγίου Πνεύματος ὕπαρξιν λέγῃς δι᾽ Υἱοῦ, ὡς ἐκ τοῦ Υἱοῦ ὑπάρχουσαν, ὡς ἐκτός ὑπάρχοντα τῆς εὐσεβείας καί τῆς ἐκκλησίας ἔξω στήσομεν˙ ἐπεί γάρ «καί μεμαθήκαμεν Πνεῦμα θεῖον συμπαρομαρτοῦν τῷ λόγῳ, δύναμιν ὄν αὐτήν ἐφ᾽ ἑαυτῆς ἐν ἰδιαζούσῃ ὑποστάσει θεωρουμένην, ἐκφαντικήν τοῦ Λόγου, μή χωρισθῆναι τοῦ Θεοῦ ἐν ᾧ ἐστι καί τοῦ Λόγου, ᾧ παρομαρτεῖ δυναμένη;», ὡς συνακολουθούσης ἀδιαστάτως τε καί ἀχρόνως τῇ γεννήσει τῆς ἐκπορεύσεως, πῶς τήν "διά" ἐπί τῆς ἐκπορεύσεως εἰς τήν "ἐκ" μεταλαμβάνοντες οὐχ ἁμαρτήσομεν; Εὐσεβῶς οὖν εἴπουπερ εὑρεθείη διά τοῦ Υἱοῦ ἐκπορευόμενον τό Πνεῦμα τό ἅγιον, οὐκ εἰς τήν "ἐκ", ἀλλ᾽ εἰς τήν "σύν" πρόθεσιν τήν "διά" νοήσομέν τε καί μεταληψόμεθα, μετά τοῦ τῆς θεολογίας ἐπωνύμου Γρηγορίου λέγοντος, «εἷς ἡμῖν Θεός, ὁ ἄναρχος Πατήρ˙ ἡ ἀρχή τῶν πάντων, ὁ Υἱός καί τό οὐκ ἐκ τῆς ἀρχῆς, ἀλλά σύν τῇ ἀρχῇ καί μετά τῆς ἀρχῆς ἐκ τοῦ Πατρός Πνεῦμα ἅγιον». Διό καί αὐτός ὁ (σελ. 294) θεῖος Κύριλλος ἐν Θησαυροῖς ἐν Υἱῷ παρά Πατρός φυσικῶς ὑπάρχειν διά πολλῶν τό Πνεῦμα συμπεραίνει καί παρά Πατρός φυσικῶς τε καί οὐσιωδῶς διήκειν ἐν Υἱῷ τό Πνεῦμα γράφει, δι᾽ οὗ

πάντα χρίων οὗτος ἁγιάζει˙ἐκ μέν οὖν τοῦ Πατρός ἐν τῷ Υἱῷ διήκει ἀϊδίως, ἐκ δέ τοῦ Πατρός διά τοῦ Υἱοῦ τοῖς ἁγιαζομένοις ἐγγίνεται, ἡνικ᾽ ἄν δέοι.

Καί τοῦτο δέ σκοπεῖν τῶν ἀναγκαιοτάτων, ὡς ὅταν μηδέν διαφέρῃ φάναι ἐκ τοῦ Πατρός διά τοῦ Υἱοῦ, καί ἐκ τοῦ Πατρός καί ἐκ τοῦ Υἱοῦ, καί τοῦτον τόν τρόπον ἐπί τῆς θεολογίας ἰσοδυναμῶσιν ἀλλήλαις ἡ "ἐκ" καί ἡ "διά", οὐ τήν διαίρεσιν οὐδέ τήν διαφοράν παριστῶσι τῆς ἁγίας Τριάδος, ἀλλά τήν ἕνωσιν καί τήν ἀπαραλλαξίαν, ἥτις ἐστί κατά τά φυσικά ἰδιώματα, δεικνῦσα μιᾶς καί τῆς αὐτῆς ἐνεργείας καί θελήσεως εἶναι τόν Πατέρα καί τόν Υἱόν καί τό Πνεῦμα τό ἅγιον.

Λατῖνοι δέ τήν διαφοράν τῶν θείων ὑποστάσεων ἐκ τούτων ἐπιχειροῦσι δεικνύναι τῶν προθέσεων, καί ὡς ἐκ τῶν δύο ὑποστάσεων καί παρ᾽ ἑκατέρας τούτων διαφόρως ἔχει τήν ὑπόστασιν τό Πνεῦμα. Φανερόν οὖν ὡς ἐν μέν τοῖς ἁγίοις αἱ προθέσεις ἔχουσιν εὐσεβῶς τε καί καλῶς, ἐκλαμβάνονται δ᾽ αὗται παρά τῶν Λατίνων κακῶς καί δυσσεβῶς. Ὅτι δέ τήν ἕνωσιν καί τό ἀπαράλλακτον ἡ τοιαύτη δείκνυσι "διά", παρίστησι σαφῶς ὁ μέγας Βασίλειος γράφων ἐν ὀγδόῳ τῶν Πρός Ἀμφιλόχιον˙ «τό διά τοῦ Υἱοῦ δημιουργεῖν τόν Πατέρα οὔτε ἀτελῆ τοῦ Πατρός τήν δημιουργίαν συνίστησιν, οὔτε ἄτονον τοῦ Υἱοῦ παραδηλοῖ τήν ἐνέργειαν, ἀλλά τό ἡνωμένον τοῦ θελήματος παρίστησιν˙»

Ὁ γοῦν λέγων διά τοῦ Υἱοῦ καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα προϊέναι κατά τήν χορηγίαν, τήν ὁμοβουλίαν τοῦ Πατρός καί τοῦ Υἱοῦ παρέστησε καλῶς˙ εὐδοκίᾳ γάρ τοῦ Πατρός καί τοῦ Υἱοῦ καί αὐτό συνευδοκοῦν, τοῖς ἀξίοις χορηγεῖται τό Πνεῦμα τό ἅγιον. Ὁ δέ λέγων διά τοῦ Υἱοῦ καί ἐκ τοῦ Υἱοῦ τήν ὕπαρξιν τό Πνεῦμα ἔχειν, θελήσεως ἔργον (σελ. 296) καί κτίσμα ἐξ ἀνάγκης, ἀλλ᾽ οὐ θείας φύσεως καρπόν ὑπάρχειν δυσσεβῶς παρίστησι τό Πνεῦμα τό ἅγιον. Κατά γάρ τόν ἱερόν Δαμασκηνόν, ἔργον θείας θελήσεως ἡ κτίσις, ἀλλ᾽ οὐχ ἡ θεότης, ἄπαγε˙οὐδέ γάρ τῆς θελήσεως, ἀλλά τῆς θείας φύσεως ἔργον, αὖθις κατά τόν αὐτόν, ἡ προαιώνιος καί ἀΐδιος γέννησίς τε καί ἐκπόρευσις.

Πῶς δέ καί φῄς αὐτός ἐκ τοῦ Πατρός εἶναι τό Πνεῦμα δι᾽ Υἱοῦ καί ἐξ Υἱοῦ λατινικῶς φρονῶν; Ἡμεῖς μέν γάρ τήν φανέρωσιν ὑπό χρόνον οὖσαν ἴσμεν, πάντα δέ τά ὑπό χρόνον ὄντα διά τοῦ Υἱοῦ γενόμενα˙ διό καί φανεροῦσθαι μέν ἐξ αὐτοῦ καί δι᾽ αὐτοῦ φαμεν τό Πνεῦμα, ἀλλ᾽ οὐκ ἐκπορεύεσθαι. Σύ δέ πῶς λέγεις τό Πνεῦμα δι᾽ αὐτοῦ; Εἰ μέν διαβατικῶς τε καί παροδικῶς, βαβαί τῆς ἀσεβείας˙ὡς γάρ διά σωλῆνος

οἴει τοῦ Υἱοῦ διέρχεσθαι τό Πνεῦμα καί κενόν ἑαυτοῦ τοίνυν ἕξει μεταξύ ὁ πληρῶν τά πάντα καί πλήρης ὤν ἀεί· καί ὡς ἐν τόπῳ τῷ Υἱῷ περιληφθήσεται τό Πνεῦμα καί πέρας ἔσται τοῦ Υἱοῦ, καθ᾽ ὅ τό Πνεῦμα περιλήψεται (πέρας γάρ τοῦ περιέχοντος ὁ τόπος), καί φύσεως δέ οὐκ ἔσται τῆς αὐτῆς τῷ Πνεύματι· καί γάρ οὐχ ἡ αὐτή τόπου φύσις καί τοῦ ἐν αὐτῷ. Πῶς δέ καί αὐτός ὁ Υἱός ἐστιν ἐν τῷ παροδικῶς δι᾽ αὐτοῦ διερχομένῳ Πνεύματι;

Εἰ δ᾽ ὡς δι᾽ ὀργάνου, καί τοῦτο ἀσεβές· ἄλλη γάρ ὀργάνου φύσις καί τοῦ δι᾽ ἐκείνου ἄλλη· καί αὖθις ἑτέρα τοῦ δι᾽ αὐτοῦ τό τελούμενον τελοῦντος. Οὐκοῦν τοῦτό σοι λέγειν ἔτι λείπεται, ὅτι καθάπερ δι᾽ αὐτοῦ τά πάντα ἐκ Πατρός, οὐ διαβατικῶς ἀλλά δημιουργικῶς, οὐχ ὡς δι᾽ ὀργάνου ἀλλ᾽ ὡς συνδημιουργοῦντος, οὕτω καί τό Πνεῦμα δι᾽ αὐτοῦ. Ὁρᾷς ποῦ κατάγεις, ὦ οὗτος, τό ἀνωτάτω Πνεῦμα καί τίσι συντάττεις τόν ἐπί πάντων Θεόν; Ἀλλ᾽ οὐχ ὡς συνδημιουργοῦντος λέγω, φησίν, ἀλλ᾽ ὡς συνεκπορεύοντος. Οὐκοῦν συνεκπορεῦον καί τό Πνεῦμα τελειώσει (σελ. 298) ἑαυτό ὥσπερ κἀκεῖ συνδημιουργοῦν τελεσιουργεῖ τά πάντα· μᾶλλον δέ οὐχ ἑαυτό, ἀλλ᾽ ἕτερον ἀπαράλλακτον αὐτοῦ ἐν ἰδίᾳ ὑποστάσει θεωρούμενον· καί τοῦ Πατρός γάρ δι᾽ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι δημιουργοῦντος ἕτερον παντάπασι τό ὑφιστάμενον, καί τοῦ Πατρός πρό τῶν αἰώνων γεννῶντός τε καί ἐκπορεύοντος, εἰ καί ὁμοούσια τά παρ᾽ ἑαυτοῦ, ἀλλ᾽ ἑκάτερον ἕτερον αὐτοῦ τε καί ἀλλήλων καθ᾽ ὑπόστασιν.

Οὐκοῦν ἐπειδήπερ, ὡς κοινόν Πατρί τε καί Υἱῷ τό ἐκπορεύειν κατ᾽ αὐτούς, ἀνάγκη τοῦτ᾽ ἔχειν καί τό Πνεῦμα, τετράς ἔσται ἡ Τριάς. Τί γάρ ποτε κοινόν Υἱῷ τε καί Πατρί, ὅ μή καί τῷ Πνεύματι κοινόν; Πῶς δέ οὐχί καί ὁ Υἱός αἴτιος θεότητος ἐπίσης τῷ πατρί καί πηγαία καί αὐτός θεότης; Καίτοι τοῦτ᾽ ἀνωτέρω διά πλείστων ἀποδέδεικται καί μεμαρτύρηται, ὅτι πάντη τε καί πάντως μία πηγαία θεότης ὁ Πατήρ καί μόνος ἀρχή καί μόνος ἀγέννητος καί μόνος αἴτιος καί μόνος Πατήρ καί μόνος προβολεύς καί μόνος πηγή θεότητος καί μόνος θεότης θεογόνος· καί ὡς τῷ αἰτίῳ τοῦ Υἱοῦ μείζων ὁ Πατήρ, ὡς αἰτιατοῦ μόνον ὄντος τοῦ Υἱοῦ, ἀλλ᾽ οὐχί καί θεότητος αἰτίου.

Εἰ δέ τις εὕρηται μείζω λέγων τόν Υἱόν τοῦ Πνεύματος, ἀλλά καί τό Πνεῦμα τοῦ Υἱοῦ, ὡς καί ὁ θεῖος Κύριλλος ἐν Θησαυροῖς φησι· προθείς γάρ ἐκεῖνο τό παρά τοῦ Σωτῆρος εἰρημένον, «εἰ δέ ἐγώ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τά δαιμόνια», ἐπήνεγκεν, «εἰ διά τῆς ἐνεργείας τοῦ Πνεύματος Θεός ἐξελαύνων τά δαιμόνια δοξάζεται,

πῶς οὐ μεῖζόν ἐστι αὐτοῦ, τό ἐν ᾧ δοξάζεται»; Κατασκευάζων ἐντεῦθεν ἄκτιστον εἶναι τό Πνεῦμα τό ἅγιον. Πῶς γάρ ἄν ἐπί κτίσματος ἔμφασιν ἐξ ὧν εἶπεν ὁ Κύριος παρεῖχε τοῦ τοιούτου μείζονος; Λέγεται δέ τά τοιαῦτα ἐπί τε τοῦ Υἱοῦ καί τοῦ Πνεύματος οὐ διά τό ἀλλήλων αἴτια ὑπάρχειν, ἄπαγε, ἀλλά διά τό ποικίλον καί πολυειδές τῆς κατά τήν πρός ἡμᾶς οἰκονομίαν σοφίας τοῦ Θεοῦ δι᾽ ἀλλήλων (σελ. 300) τό ἴσον ἐν πᾶσι δεικνύσης ἀμφοτέρων, τοῦ Υἱοῦ λέγω καί τοῦ Πνεύματος.

Ἀλλ᾽ ὁ τῆς Ἀλεξανδρείας, φασί, Κύριλλος, ἔχειν φησί τόν Υἱόν φυσικῶς ἐν ἑαυτῷ τά τοῦ Πατρός ἴδια καί ἐξαίρετα, διαβαινούσης εἰς αὐτόν φυσικῶς τῆς τοῦ γεννήσαντος ἰδιότητος, καί ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τό Πνεῦμα λέγει καί προχεόμενον ἐκ Πατρός δι᾽ Υἱοῦ τήν κτίσιν ἁγιάζειν, καί ἐξ ἀμφοῖν προχεόμενον οὐσιωδῶς. Καί αὖθις ἐν ἑβδόμῳ τῶν Πρός Ἑρμείαν ἐξενηνεγμένων λόγων περί τοῦ Υἱοῦ ταῦθ᾽ ἡμῖν διατρανοῖ˙ «ἀπολύων γάρ», φησίν, «ἁμαρτίας τόν αὐτῷ προσκείμενον, τῷ ἰδίῳ λοιπόν καταχρίει Πνεύματι, ὅπερ ἐνίησι μέν αὐτός ὡς ἐκ Θεοῦ Πατρός Λόγος καί ἐξ ἰδίας ἡμῖν ἀναπηγάζει φύσεως. Καί οὐκ ἐκ μέτρου ἔχων δίδωσι τό Πνεῦμα κατά τήν Ἰωάννου φωνήν, ἀλλ᾽ αὐτός ἐνίησιν ἐξ ἑαυτοῦ, καθάπερ ἀμέλει καί ὁ Πατήρ».

Καιρός δή ἡμῖν εἰπεῖν πρός τόν τά τοιαῦτα προβαλλόμενον˙ ἔτ᾽ ἀσύνετος εἶ καί οὐδ᾽ ἀκηκοώς πάνυ πολλάκις ἀνωτέρω παρ᾽ ἡμῶν συνῆκας, ὅτι Θεός καί ἐκ Θεοῦ ὕπαρξις ἀναίτιός τε καί ὑπέρχρονος; Ἐνταῦθα γάρ προχεόμενον φησι καί τήν κτίσιν ἁγιάζον. Χρονικόν τοίνυν καί δι᾽ αἰτίαν ἀκούων τό προχεῖσθαι (καί γάρ μετ᾽ αὐτήν καί δι᾽ αὐτήν προκέχυται τήν ἁγιαζομένην˙ πῶς γάρ οὔ;), πρός δέ καί εἰς ἄφεσιν ἁμαρτιῶν διδόμενον παρά τοῦ Υἱοῦ, ὥσπερ ἀμέλει καί παρά τοῦ Πατρός, καί οὐκ ἀπολύτως πηγαζόμενον ἀλλά τισίν ἀκούων, οὐκ ἀναμιμνήσκῃ ὅ διδαχθείς ἔχεις παρ᾽ ἡμῶν τε καί τῆς ἀληθείας, ὡς ἡ παρά τοῦ Πατρός προαιώνιος τοῦ ἁγίου Πνεύματος ἐκπόρευσις οὐ διά τι οὐδέ πρός τινας οὔτε ὑπό χρόνον ὅλως; Εἰ δέ καί οὐσιωδῶς ἐξ ἀμφοῖν εἶπε προχεόμενον, οὐδέν καινόν. Ὡς γάρ ἐπιδημοῦν τοῖς ἀποστόλοις καί ἐνεργοῦν τελεώτερον, καί ὡς Γρηγόριος ὁ θεολόγος λέγει, (σελ. 302) «οὐσιωδῶς ὡς ἄν εἴποι τις παρόν καί συμπολιτευόμενον˙. Τί δέ, οὐκ οὐσιώδης ἦν καί ἡ πρός ἡμᾶς ἀποστολή τοῦ Λόγου, ἐξ ἀμφοῖν τοῦ Πατρός γενομένη καί τοῦ Πνεύματος; Ἀλλ᾽ ἡ ἀποστολή γέννησις οὐκ ἦν˙ οὐ γάρ ἐξ ἀμφοῖν ὁ Υἱός γεγέννηται, οὐδέ δι᾽ ἡμᾶς, ἀλλ᾽ οὐδέ μεθ᾽ ἡμᾶς, εἰ καί μεθ᾽ ἡμᾶς δι᾽ ἡμᾶς

οὐσιωδῶς κατῆλθεν ἑνωθείς τῇ καθ᾽ ἡμᾶς φύσει καθ᾽ ὑπόστασιν καί γεγονώς καθ᾽ ἡμᾶς ὑπέρ ἡμῶν, μή πρό ἡμῶν μόνον, ἀλλά καί πρό τῶν αἰώνων, ἐκ μόνου τοῦ Πατρός γεγεννημένος ὤν. Καί τό Πνεῦμα τοίνυν τό ἅγιον οὐσιωδῶς ἐπέμφθη ἐξ ἀμφοῖν ἀρτίως, εἰ δέ βούλει, καί ἐκκέχυται παρ᾽ ἀμφοτέρων˙ ὕδωρ γάρ ἐκλήθη ζῶν. Καί «Ἰωάννης μέν ἐβάπτισεν ὕδατι˙ ὑμεῖς δέ, φησίν ὁ Κύριος, βαπτισθήσεσθε ἐν Πνεύματι ἁγίῳ». Πῶς ἄν οὖν ἐβαπτίσθησαν, μή τοῦ ζῶντος ἐκχυθέντος ὕδατος;

Ἐκκέχυται τοίνυν οὐσιωδῶς δι᾽ ἡμᾶς καί μεθ᾽ ἡμᾶς˙ αὐτό γάρ ἐφανερώθη δι᾽ ἑαυτοῦ τήν θείαν δύναμιν παρέχον, ἀλλά καί πάρεστιν ἀεί οὐσιωδῶς ἡμῖν, πάντως δέ καί καθ᾽ ὑπόστασιν, κἄν ἡμεῖς τῆς οὐσίας ἤ τῆς ὑποστάσεως ἥκιστα μετέχωμεν, ἀλλά τῆς χάριτος. Ἐκπορεύεται δέ οὐ πρό ἡμῶν μόνον, ἀλλά καί πρό τῶν αἰώνων ἀναιτίως ἐκ μόνου τοῦ Πατρός. Ὁ δέ τῆς ἐκκλησίας ἐν ταὐτῷ καί θεμέλιος καί κορυφαῖος Πέτρος καί αὐτῆς τῆς παρ᾽ ἀμφοτέρων ἐκχύσεως τοῦ ἁγίου Πνεύματος διαφοράν ἐγνώρισεν ἡμῖν˙ «τήν γάρ ἐπαγγελίαν τοῦ Πνεύματος ὁ Υἱός λαβών, φησί, παρά τοῦ Πατρός, ἐξέχεε τοῦτο ὅ νῦν ὑμεῖς βλέπετε καί ἀκούετε», ἄντικρυς ἐκείνην λέγων τοῦ Κυρίου καί διδασκάλου τήν φωνήν, «ὅταν δέ ἔλθῃ ὁ παράκλητος, ὅν ἐγώ πέμψω παρά τοῦ Πατρός».

Ἐκχεῖται τοιγαροῦν ἡμῖν τό Πνεῦμα παρά τοῦ Πατρός ὡς καί ἑαυτοῦ, παρά δέ τοῦ Υἱοῦ ὡς παρά τοῦ Πατρός λαμβάνοντος. Ὥστε, οὐκ ἐξ ἑαυτοῦ μέν ἔχει τό Πνεῦμα (σελ. 304) ὁ Υἱός, οὐδέ διά τοῦ Υἱοῦ τήν ὕπαρξιν τό Πνεῦμα ἔχει, ἀλλ᾽ ἐξ ἑαυτοῦ ἔχει ὁ Πατήρ, ἐξ ἑαυτοῦ ἀμέσως ἐκπορευόμενον ἀναιτίως καί προαιωνίως˙ ἀλλά καί ἐκ τῆς ἰδίας ἡμῖν, φησί, ὁ Υἱός τοῦτ᾽ ἀναπηγάζει φύσεως, εἰκότως καί παναληθῶς˙ μία γάρ φύσις τοῖς τρισί καί φυσικῶς ἔνεισιν ἀλλήλοις. Καί όσάκις ὁ θεόφρων οὗτος Κύριλλος ἐκ τοῦς οὐσίας τοῦ Υἱοῦ τό Πνεῦμα λέγει, τό ὁμοούσιον παρίστησιν, ἀλλ᾽ οὐκ αἴτιον εἶναι τόν Υἱόν τοῦ Πνεύματος. Ἐπεί καί πρός τούς ἀντιλέγοντας τῷ ὁμοουσίῳ τά τοιαῦτα γέγραφεν˙ ὕδωρ μέν γάρ ζω[ν ακλεῖται τό Πνεῦμα τό ἅγιον καί πηγή ἐστι τούτου τοῦ ὕδατος ὁ Πατήρ, ὅς διά τοῦ προφήτου περί τῶν Ἰουδαίων λέγει˙ «ἐμέ ἐγκατέλιπον πηγήν ὕδατος ζῶντος καί ὤρυξαν ἑαυτοῖς λάκκους συντετριμμένους».

Πηγή ἐστι τούτου τοῦ ὕδατος καί ὁ Υἱός, καθό καί ὁ Χρυσόστομος περί τοῦ βαπτίσματος γράφων, «δείκνυσι», φησίν, «ἑαυτόν ὁ σωτήρ πηγήν ζωῆς καί ὕδωρ ζῶν τό Πνεῦμα τό ἅγιον». Ἀλλά τοῦ ὕδατος

τούτου πηγήν εἶναι δείκνυσιν ὁ Χριστός καί αὐτό τό Πνεῦμα τό ἅγιον˙ «ὁ πιών γάρ», φησίν, «ἐκ τοῦ ὕδατος οὗ ἐγώ δώσω αὐτῷ, οὐ μή διψήσῃ εἰς τόν αἰῶνα˙ ἀλλά τό ὕδωρ ὅ ἐγώ δώσω, δηλαδή τό Πνεῦμα τό ἅγιον, γενήσεται αὐτῷ πηγή ὕδατος ἀλλομένου εἰς ζωήν αἰώνιον».

Ἔστιν οὖν καί ὁ Πατήρ καί ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον ὁμοῦ πηγή τοῦ ζῶντος ὕδατος, τουτέστι τῆς θείας χάριτος καί ἐνεργείας τοῦ Πνεύματος. Τήν χάριν γάρ τοῦ Πνεύματος ἡ Γραφή, ὁ Χρυσόστομός φησι πατήρ, ποτέ μέν πῦρ, ποτέ δέ ὕδωρ καλεῖ δεικνῦσα ὅτι οὐ οὐσίας ἐστί ταῦτα ὀνόματα, ἀλλ᾽ ἐνεργείας». Οὐ γάρ ἐκ διαφόρων οὐσιῶν συνέστηκε τό Πνεῦμα τό ἅγιον, ἀόρατόν τε καί μονοειδές ὄν. «Ἀλλ᾽ ἐκ τῆς θείας φύσεως», φασί, «καί αὐτῆς τῆς τοῦ Υἱοῦ ἀναπηγάζει τό Πνεῦμα τό ἅγιον». Ἔστω δή, εἰ βούλεσθε, (σελ. 306) καί κατά τήν ἀΐδιον ὕπαρξιν˙ πηγάζει γοῦν ἐκ τῆς θείας φύσεως, ἀλλά καθ᾽ ὑπόστασιν μόνην τήν πατρικήν. Διό οὐδείς οὐδέποτε τῶν ἀπ᾽ αἰῶνος εὐσεβῶν θεολόγων ἐκ τῆς ὑποστάσεως εἶναι τοῦ Υἱοῦ τό Πνεῦμα εἶπεν, ἀλλ᾽ ἐκ τῆς τοῦ Πατρός ὑποστάσεως˙ ἐκ δέ τῆς φύσεως τοῦ Υἱοῦ καί φυσικῶς εἶναι ἐξ αὐτοῦ εἴπερ τις φαίη, ἀλλ᾽ ὡς μιᾶς καί τῆς αὐτῆς φύσεως οὔσης τοῦ Πατρός καί τοῦ Υἱοῦ.

Ἵνα γάρ κατ᾽ αὐτόν εἴπω τόν θεῖον Κύριλλον, ὡς αὐτός Πρός Ἑρμείαν γράφει, «οὐχ ἕτερος ἄν ὁ Υἱός εἶναι νοοῖτο παρά τόν Πατέρα, ὅσον εἰς ταὐτότητα φυσικήν, πάντως δέ καί τό Πνεῦμα τό ἅγιον», ὡς καί περί τούτου ὁ αὐτός ἐξηγούμενος ἐκεῖνο τό εὐαγγελικόν, «οὐ γάρ λαλήσει ἀφ᾽ ἑαυτοῦ», φησίν, «οὐδέν ἕτερον παρά τόν Υἱόν ὑπάρχει τό Πνεῦμα τό ἅγιον, ὅσον εἰς ταὐτότητα φύσεως». «Πηγή δέ ἐστι ζωῆς, κατά τόν μέγαν Διονύσιον, ἡ θεία φύσις εἰς ἑαυτήν χεομένη καί ἐφ᾽ ἑαυτῆς ἑστῶσα καί ἀεί δι᾽ ἑαυτῆς θεωμένη».

Ἀλλ᾽ οὐκ ἔστι, φησίν, ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ εἶναι τό Πνεῦμα καί ἐκ τῆς ὑποστάσεως αὐτοῦ μή εἶναι˙ οὐ γάρ συνορῶσιν, ὡς, ὅταν τι μιᾶς μέν οὐσίας ᾖ καί ὑποστάσεως, τό ἐξ ἐκείνης τῆς οὐσίας ἔχον ὁπωσδήποτε τήν ὕπαρξιν καί ἐκ τῆς ὑποστάσεως ἐκείνης ταύτην ἔχει, καί ἀντιστρόφως˙ ὅ γάρ ἄν ἐκ τῆς ὑποστάσεως ἐκείνης ᾖ καί ἐκ τῆς οὐσίας ἐκείνης ἐστίν, Ὅταν δέ τι μιᾶς μέν οὐσίας ᾖ, οὐ μιᾶς δέ ὑποστάσεως, ἀλλά πλειόνων, τό ἐκ τῆς μιᾶς ἐκείνης οὐσίας οὐκ ἐκ τῶν λοιπῶν αὐτῆς ὑποστάσεών ἐστιν, ἀλλ᾽ ἐκ μιᾶς τινος αὐτῶν. Ἐπεί γοῦν ἡ ἀνωτάτω καί προσκυνητή Τριάς ἡμῖν μία φύσις ἐστίν ἐν ὑποστάσεσι τρισίν, οὐχί τό ἐκ τῆς οὐσίας τήν ὑπόστασιν ἔχον ἐκ τῶν ὑπολοίπων ὑποστάσεών ἐστιν, ἀλλ᾽ ἐκ μιᾶς τινος αὐτῶν, δηλαδή τῆς

πατρικῆς˙ ἐκ ταύτης γάρ μή εἶναι οὐκ ἐνδέχεται, οὐκοῦν οὐχί καί ἐξ ἑτέρας, ἀλλ᾿ ἐκ μόνης, εἴπερ ἐκ μιᾶς.

(σελ. 308) Καί τοῦτο δῆλον ἀπό τῶν ἀνθρώπων˙ ἕκαστος γάρ ἡμῶν ἐκ τῆς οὐσίας μέν ἔστι τοῦ Ἀδάμ, οὐκ ἔστι δέ καί ἐκ τῆς ὑποστάσεως αὐτοῦ, διότι μία μέν οὐσία τῶν ἀνθρώπων νῦν, πολλαί δέ ὑποστάσεις. Ἀνθρωπίνης δέ τήν ἀρχήν μιᾶς οὔσης οὐσίας τε καί ὑποστάσεως, τῆς τοῦ Ἀδάμ, ἐκ τῆς οὐσίας τοῦ Ἀδάμ ἡ Εὔα οὖσα, καί ἐκ τῆς ὑποστάσεως ἐκείνου ἦν. Ἀλλά καί πρίν τόν Κάϊν εἶναι, μιᾶς οὔσης ἀνδρικῆς οὐσίας τε καί ὑποστάσεως, ἐκ μιᾶς καί τῆς αὐτῆς ὁ Κάϊν ἀνδρικῆς οὐσίας τε καί ὑποστάσεως ὑπῆρχε, τοῦ Ἀδάμ˙ δυοῖν δέ ἀνδρῶν ἤδη καθ᾿ ὑπόστασιν τελούντων, ὁ τοῦ Κάϊν Ἐνώχ ἐκ τοῦ οὐσίας μέν ὑπῆρχε τοῦ Ἀδάμ, ἀλλ᾿ οὐχί καί ἐκ τῆς ὑποστάσεως αὐτοῦ, ἀλλ᾿ ἐκ μόνης τῆς τοῦ Κάϊν.

Οἱ γοῦν λατινικῶς φρονοῦντες διατεινόμενοι καί ἐκ τῆς ὑποστάσεως εἶναι τοῦ Υἱοῦ τό Πνεῦμα, εἴπερ εἶναι θεολογεῖται ἐκ τῆς φύσεως, πλήν τοῦ θείου Πνεύματος, μίαν εἶναι δείκνυνται φρονοῦντες ὥσπερ οὐσίαν οὕτω καί ὑπόστασιν ἐπί Θεοῦ, τόν Πατέρα τελέως ἀθετοῦντες καί τόν Υἱόν εἶναι μόνον καθ᾿ ὑπόστασιν δεικνύντες καί τό Πνεῦμα τό ἅγιον ἐκ μόνου τοῦ Υἱοῦ τήν ὕπαρξιν ἔχειν παριστῶντες.

Εἰ τις οὖν ἐκ τῆς φύσεως ἀκούων τοῦ Υἱοῦ τό Πνεῦμα, ἐκ τῆς ὑποστάσεως νοεῖ, ὁμοϋπόστατον ποιεῖ τῷ Πατρί τόν Υἱόν, ἐπειδήπερ ὁμοούσιος˙ ἤ καί τήν διαφοράν καί τήν διάκρισιν κἄν τῇ θείᾳ φύσει, ἀλλ᾿ οὐκ ἐν μόναις ταῖς τρισί θείαις ὑποστάσεσι νοεῖ, μή πρός τοῖς ἄλλοις καί τοῦ Χρυσοστόμου θεολόγου διδάσκοντος ἀκούων, «ὡς ἡ μέν τῶν θείων ὑποστάσεων διακριτική τάξις, τοῖς ἁγίοις καθέστηκε γνώριμος, ἡ δέ φύσεων διακριτική ἐπί τῆς ἁγίας Τριάδος ἀπόβλητος». «Οὐ γάρ ἐμερίσθη ἡ οὐσία ἀπό τοῦ Πατρός εἰς Υἱόν, πρός τάς κανονικάς φησιν ὁ μέγας Βασίλειος, οὐδέ ρυεῖσα ἐγέννησεν».

Τοιγαροῦν εὖ ἄν ἔχοι λέγειν οὐκ ἐκ τῆς ὑποστάσεως τοῦ Υἱοῦ, ἀλλ᾿ ἐξ αὐτοῦ φυσικῶς κἀκ τῆς οὐσίας τοῦ Υἱοῦ (σελ. 310) τό Πνεῦμα, διά τό τοῦ Υἱοῦ πρός τόν Πατέρα ὁμοούσιον, καί τῆς τοῦ θείου Πνεύματος πρός τόν Πατέρα καί τόν Υἱόν ὁμοουσιότητος ἐντεῦθεν δεικνυμένης, ἀλλ᾿ οὐχί τῆς διαφόρου ἐκ τοῦ Πατρός ὑπάρξεως τοῦ Πνεύματος, ἴσον δέ ἐστιν εἰπεῖν καί ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ τό Πνεῦμα διά τήν ὁμοουσιότητα, καί ὅτι τῆς αὐτῆς ἐστιν οὐσίας τῷ Υἱῷ τό Πνεῦμα. Ἐκ δέ τῆς τοῦ Υἱοῦ ἡ ὁμοουσιότης δείκνυται τοῦ Πνεύματος ὡς

φανερωτέρας καί προκατηγγελμένης καί προπεπιστωμένης˙ «ἔχει τε ὁ Υἱός φυσικῶς ἐν ἑαυτῷ τά τοῦ Πατρός ἴδια καί ἐξαίρετα, διαβαινούσης εἰς αὐτόν φυσικῶς τῆς τοῦ γεννήσαντος ἰδιότητος»˙ οὐ τά ὑποστατικά ἴδια τοῦ Πατρός καί ἐξαίρετα – οὐδέ γάρ τό ἄναρχον ἔχει καί ἀγέννητον ἤ τό γόνιμον - ἀλλά τά φυσικά καί ἴδια τῆς τοῦ Πατρός φύσεως αὐχήματα, ἅπερ ἔχει φυσικῶς καί τό Πνεῦμα τό ἅγιον.

Καί τοῦτο διά πολλῆς ποιούμενος σπουδῆς ὁ θεῖος Κύριλλος, τό μηδένα παραχθέντα δοξάζειν ἐκ τῆς ὑποστάσεως τοῦ Υἱοῦ τό Πνεῦμα τό ἅγιον, ἐκ τῆς φύσεως αὐτοῦ καί φυσικῶς καί κατά φύσιν ὁσάκις λέγει, τό Πνεῦμά φησι τό ἅγιον καί ἐκ τῆς φύσεως αὐτοῦ πηγάζειν, καθ᾽ ἥν ὁ αὐτός ἐστι μετά Πατρός, ἀλλ᾽ οὐδαμοῦ τῶν λόγων ἐκ τῆς ὑποστάσεως˙ καί τά ἴδια τοῦ Πατρός ἔχειν αὐτόν φυσικῶς τε καί οὐσιωδῶς καί κατά φύσιν ἀεί θεολογεῖ.

Καί συκοφαντηθείς γάρ ὡς καί ἐκ τῆς ὑποστάσεως τοῦ Υἱοῦ δοξάζων τήν ὕπαρξιν τό Πνεῦμα ἔχειν, τοῦτ᾽ αὐτό ὅτι συκοφαντεῖται ἰσχυρίσατο, ἴδιον τοῦ Υἱοῦ καί οὐκ ἀλλότριον εἶναι τό Πνεῦμα διατεινάμενος, ἀλλ᾽ οὐκ ἐκ τοῦ Υἱοῦ. Καί τοῦτ᾽ ἀνάγραπτον κεῖται πρός Λατίνων περιφανῆ τε καί λαμπρόν ἔλεγχον˙ οἵ παρ᾽ ὧν ἔδει μᾶλλον ἀποσχέσθαι τῆς κακονοίας, ἐκ τούτων ἐνάγεσθαι δικαιοῦσιν εἰς τό μή τόν Πατέρα μόνον, ἀλλά καί τήν τοῦ Υἱοῦ ὑπόστασιν αἰτίαν αἶναι κακῶς νομίζειν τῆς τοῦ θείου Πνεύματος ὑποστάσεως. Ὁ δέ λέγων εἶναι ἐκ τῆς τοῦ Υἱοῦ ὑποστάσεως τό Πνεῦμα, (σελ. 312) διά τό εἰπεῖν τόν θεῖον Κύριλλον διαβαίνειν φυσικῶς εἰς τόν Υἱόν τήν τοῦ γεννήσαντος ἰδιότητα παρ᾽ αὐτοῦ τοῦ θείου Κυρίλλου ἐντρεπέσθω, γράφοντος ἐν Θησαυροῖς˙ «πῶς οὐκ ἔσται τό Πνεῦμα ὁ Θεός, ὅλην ἔχον ἐν ἑαυτῷ οὐσιωδῶς τήν ἰδιότητα τοῦ Πατρός καί τοῦ Υἱοῦ, οὗ καί Πνεῦμα ἐστι, δι᾽ Υἱοῦ τῇ κτίσει χορηγούμενον»; Κατά γάρ τήν αὐτῶν σύνεσιν, ἥν ἐν ταῖς τῶν θεοφόρων κέκτηνται θεολογίαις, τό Πνεῦμα γεννητόν τε ἅμα καί γεννήτωρ ἔσται˙ οὗ τί ἀν ἀκουσθείη καινότερον;

Ἀλλά ταῦτα μέν ὥσπερ ἐκ περιουσίας ἡμῖν ἀρτίως εἴρηται πρός τούς διατεινομένους ἐκ τῆς ὑποστάσεως εἶναι τοῦ Υἱοῦ τό Πνεῦμα, ἐπειδήπερ ἐκ τῆς φύσεως εἴρηται. Ὁ γάρ θεῖος Κύριλλος ἐνταῦθ᾽ ἡμῖν ἀναπηγάζειν ἐκ τῆς φύσεως οὐ τήν φύσιν φησί τοῦ Πνεύματος, οὐδέ τήν ὑπόστασιν, ἀλλά τήν ἐνέργειαν, ἥτις ἀναπηγάζει, κατά τόν Δαμασκηνόν θεολόγον, ἐκ μιᾶς τρισυποστάτου φύσεως. Ὅτι μέν γάρ ἄκτιστός ἐστι καί ἡ τῆς θείας φύσεως ἐνέργεια καί ὅτι φυσική καί

οὐσιώδης λέγεται, παραστήσει δι᾽ ὀλίγων καί ὁ μέγας Ἀθανάσιος ἐν τοῖς Κατά Μακεδονίου γράφων˙ «οὐ κατά ἄλλην καί ἄλλην πρόνοιαν ὁ Πατήρ καί ὁ Υἱός ἐργάζεται, ἀλλά κατά μίαν καί τήν αὐτήν οὐσιώδη τῆς θεότητος ἐνέργειαν».

Ὅτι δέ οὐκ ἐκ μιᾶς τινος τῶν ὑποστάσεων, ἀλλ᾽ ἐκ τῆς τρισυποστάτου φύσεως ἡ τοιαύτη ἐνέργεια πηγάζει προσμαρτυρείτω καί ὁ μέγας Διονύσιος γράφων ἐν κεφαλαίῳ τετάρτῳ τῆς Περί τῆς οὐρανίου ἱεραρχίας βίβλου˙ «πάντα μετέχει προνοίας ἐκ τῆς παναιτίου θεότητος ἐκβλυζομένης». Ὅτι δέ Πνεῦμα ἐνταῦθα ὁ θεῖος Κύριλλος ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ διδόμενον ἡμῖν οὐ τήν φύσιν φησίν οὐδέ τήν ὑπόστασιν τοῦ Πνεύματος, ἀλλά τήν ἄκτιστον αὐτοῦ καί φυσικήν χάριν καί ἐνέργειαν, σαφές δεῖγμα πρός τοῖς ἄλλοις (σελ. 314) καί τό μνησθῆναι τῆς ἐν τῷ εὐαγγελίῳ τοῦ προδρόμου καί βαπτιστοῦ περί τοῦ Χριστοῦ φωνῆς, τῆς οὐκ ἐκ μέτρου δίδοσθαι λεγούσης παρά τοῦ Πατρός τό Πνεῦμα τῷ Υἱῷ. Ἰωάννης γάρ ὁ χρυσορρήμων, τό χωρίον τοῦτο τοῦ κατά τόν θεολόγον Ἰωάννην εὐαγγελίου ἐξηγούμενος, «Πνεῦμα», φησίν, «ἐνταῦθα τήν ἐνέργειαν λέγει˙ πάντες γάρ ἡμεῖς μέτρῳ τήν ἐνέργειαν τοῦ Πνεύματος ἐλάβομεν, ἐκεῖνος δέ ὁλόκληρον˙ εἰ δέ ἡ ἐνέργεια αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία».

Οὕτω πάντα νικᾷ τῆς τῶν παρ᾽ ἡμῶν εἰρημένων ἀληθείας ἡ δύναμις, εὐπορίας ἀφορμήν ποιουμένη τάς ὑμῶν ἀπορίας καί δι᾽ ἑαυτῆς ὡς διά μιᾶς τινος εὐθείας πλῆθος σκολιῶν, ἑτεροκλινεῖς ἀπελέγχουσα γραμμάς.

Ταύτῃ τοι τῶν μέν γραφικῶς προβαλλομένων ἅλις.

Ἐπεί δέ οὐ μόνον τοῖς λογίοις οἱ Λατῖνοι χρῶνται καθ᾽ ἡμῶν, μᾶλλον δέ καθ᾽ ἑαυτῶν, ἀλλά καί διανοήμασιν οἰκείοις, φέρ᾽ ἴδωμεν τό ἀναμφίλεκτον αὐτοῖς δοκοῦν, ᾧ καί τ᾽ ἄλλα συνδιαρρυήσεται λυθέντα, μᾶλλον δέ καί τό παρωνύμως ἀπό τῆς διανοίας λέγεσθαι στερήσεται, ἀδιανόητα δειχθέντα˙ κατά μέρος γάρ ταῦτ᾽ ἐπαξιέναι οὐκ ἀνάγκη. Καί ταῦθ᾽ ἡμῖν ἀρτίως οἷς πέρα τοῦ μετρίου μηκύνειν ἥκιστα προηρημένοις, ὅμως εἰς μῆκος ἐκτέταται ὁ λόγος, ταῖς αὐτῶν ἐξ ἀγνοίας ἀπορρίαις συμπαρεκτεινόμενος.

Ἀλλά τί τό δοκοῦν αὐτοῖς ἀκράδαντον τῆς δυσσεβείας ἔρεισμα; Πᾶν, φησί, τό ἐκπορευόμενον ἔκ τινος, διά τινος ἐκπορεύεται καί οὕτως ἐπί πάντων ἐστί, κἄν μή ῥήματι ὁ λέγων ἐπισημαίνηται˙ τό δ᾽ αὖ διά τινος, καί ἐξ ἐκείνου δι᾽ οὗ ἐστι λέγεται˙ διά τίνος οὖν ἑτέρου, εἰ

μή διά τοῦ Υἱοῦ τό Πνεῦμα; Σαφές οὐκοῦν τό περαινόμενον, ὅτι διά τοῦ Υἱοῦ καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα ἐκπορεύεται.

Τί οὖν ἡμεῖς πρός ταῦτα; Οὐ τήν “διά” μέν αὐτοῖς δώσομεν, τήν δέ “ἐκ” ἀπαγορεύσομεν, ὅ πολλοί πεπόνθασιν, ἀγνοοῦντες ὅ πεπόνθασι. Τό γάρ διά στόματος, καί ἐκ στόματος (σελ. 316) σαφῶς προφέρεται. Καί τῷ Ἰώβ «διά νεφέλης» γέγραπται λαλήσας ὁ Θεός καί αὖθις «ἐκ τοῦ νέφους». Ἀλλ᾽ οὐδ᾽ ἐπί τῶν κτιστῶν καί κατά φύσιν ἐκπορευομένων τό διά τινος οὐ συννοήσομεν καί μή λεγόμενον. Οὐ μήν διά τοῦτο τοῖς κατά φύσιν τά ὑπέρ φύσιν ὁμοιώσομεν. Ἀπόκριναι γάρ δή μοι ὁ ἐμβατεύων ἅ μή ἑώρακας· οὐχί καί πᾶς υἱός ἔκ τινος γεννώμενος διά τινος γεννᾶται καί οὕτως ἐπί πάντων ἔχει, κἄν μή ρήματι ὁ λέγων ἐπισημαίνηται; Ἆρ᾽ οὖν διά τοῦτο καί τήν κάτω καί χρονικήν τοῦ μονογενοῦς ὑπέρ φύσιν οὖσαν ἐκ μόνης παρθένου μητρός ἀθετήσομεν γέννησιν καί τήν ἄνω ἐκ μόνου παρθένου Πατρός προαιώνιον, ζητοῦντες τό διά τίνος τε καί ἐκ τίνος κατά τάς ἀπολουμένας σάς ὑποθήκας καί τούς ἀσυλλογίστους συλλογισμούς; Οὔμενουν, ἀλλά δι᾽ αὐτῆς κἀπί γῆς φανερωθείσης καί τήν τοῦ ἁγίου Πνεύματος ἐκπόρευσιν ἀμέσως οὖσαν ἐκ Πατρός ἐπιγνωσόμεθα καί τήν σήν ἀποποιησόμεθα προσθήκην, ὡς τοῖς φυσικῶς διοικουμένοις τά ὑπερφυῆ συντάττουσαν.

Καί τοῦτο δέ οὐ συννοεῖς ὁ τῶν ἀνεξερευνήτων ἐξεταστής, ὅτι τό ἐκπορευόμενον ἅπαν οὐ διά τινος μόνον, ἀλλά καί εἴς τι ἀεί ἐκπορεύεται; Ἤ τοίνυν δώσεις ἡμῖν εἰς τί πρό τῶν αἰώνων τό Πνεῦμα τό ἅγιον ἐκπορεύεται, καί ἀντί τῆς μόνης προαιωνίου καί σεπτῆς διά τοῦτο Τριάδος τετράδα σεβόμενος ἀποδειχθήσῃ, τό ἐξ οὗ, τό δι᾽ οὗ, τό εἰς ὅ καί αὐτό τό ἐκπορευόμενον, ἤ τοῦτο σοῦ μή διδόντος οὐδ᾽ ἐκεῖνο δεξόμεθα. Τίς γάρ ὁ λόγος καθ᾽ ὅν, ἀμφοτέρων ἑπομένων τῷ ἐκπορευομένῳ παντί, τό μέν προσίεσθαι, τό δέ μή;

Καίτοι τό μέν ἐκ Πατρός ἐκπορευέσθαι τό Πνεῦμα τό ἅγιον καί ἐν τῷ Υἱῷ ἀναπαύεσθαι, καί γέγραπται παρά τῶν θεολόγων καί πεφανέρωται ἐν Ἰορδάνῃ τοῦ Σωτῆρος βαπτιζομένου καί τοῦθ᾽ οὕτως ἔχον ὁμολογοῦμεν, οὐκ ἐκ τῶν (σελ. 318) ὄντων τά ὑπέρ πάντα τά ὄντα στοχαζόμενοι, ἀλλ᾽ ἐκ τῶν ἀρρήτως τελουμένων τά ὑπέρ ἔννοιαν διδασκόμενοι. Ποῦ δή σοι τό δι᾽ Υἱοῦ καί ἐξ Υἱοῦ ἐπί τῆς τοῦ θείου Πνεύματος ὑπάρξεως, εἰ ἐκ Πατρός ἐκπορευόμενον τό Πνεῦμα πρός τόν Υἱόν σαφῶς ἔρχεται καί ἐν αὐτῷ ἀναπαύεσθαι τό θεολογεῖται; Καθάπερ ὁ ἱερός Δαμασκηνός ἐπί λέξεώς φησι καί

Γρηγόριος ὁ θεολόγος τοῦτ᾽ αὐτό δεικνύς ταμίαν εἶναι τοῦ θείου Πνεύματος ὡς Θεοῦ Υἱόν καταγγέλλει τόν Χριστόν. Καί ὁ θεῖος Κύριλλος ἐν Θησαυροῖς ἐν Υἱῷ παρά Πατρός φυσικῶς ὑπάρχειν τό Πνεῦμα συμπεραίνει καί παρά Πατρός φυσικῶς τε καί οὐσιωδῶς διήκειν ἐν Υἱῷ τό Πνεῦμα λέγει, δι᾽ οὗ πάντα χρίων ἁγιάζει ὁ Υἱός. Ἐκ γοῦν τοῦ Πατρός ἐν τῷ Υἱῷ ὑπάρχον φυσικῶς καί ἀϊδίως, ἐκ τοῦ Υἱοῦ πρός τούς ἀξίους, ὅπως καί ἡνίκα δέοι, πρόεισι καί φανεροῦται τό Πνεῦμα τό ἅγιον.

Οὐ μήν, ἀλλ᾽ ἐπιεικέστερον τόν προκείμενον μεταχειρίζων λόγον, μάλιστα διά τούς μετ᾽ εὐγνωμοσύνης ἐντυγχάνειν μέλλοντας καθολικωτέραν ἔκφανσιν ἐν βραχεῖ ποιήσομαι τῆς ἀληθείας, ὡς ἐν ἐπιλόγῳ τό πᾶν διαλαμβάνουσαν. Ὁ δ᾽ ἔχων ὦτα πρός διάκρισιν ὀρθοῦ καί μή τοιούτου μυείσθω κατά τό ἐγχωροῦν τό τοῦ μυστηρίου βάθος˙ πύλας δ᾽ἐπίθεσθε τοῖς ἑαυτῶν ὠσίν, ὅσοι μή κριτικωτάτην κέκτησθε διάνοιαν, εἰ μή τοῖς εὖ λέγειν δυναμένοις, μᾶλλον δέ παρά Θεοῦ δυναμουμένοις, πειθηνίους ἑαυτούς παρέχετε, ὡς ἄν μή τό ὑπέρ τήν ὑμετέραν γνῶσιν ἀφροσύνην τῶν εὖ εἰδότων ὀνομάσητε. Τί δέ ἐστιν ὅ λέγω; Καί συντείνατε παρακαλῶ τόν νοῦν.

Τό Πνεῦμα τό ἅγιον πρό αἰώνων καί ἀπ᾽ αἰῶνας καί ἔτι ἰδιαίτατον μέν ἔχει τῆς ἰδιοτρόπου ὑπάρξεως τό ἐκ τοῦ Πατρός, τῆς μόνης πηγαίας θεότητος, ἐκποερεύεσθαι, τουτέστιν ἐκ τῆς ὑπερθέου ἐκείνης οὐσίας καθ᾽ ὑπόστασιν μόνην τήν πατρικήν, ὑπέρθεος ὄν καί αὐτοουσία καί (σελ. 320) κατ᾽ αὐτήν τοῦ προσενεγκότος κατ᾽ οὐδέν ἀποδέον, μᾶλλον δέ μηδαμῶς διαφέρον ἤ διαιρούμενον, ἑτεροϋπόστατον δ᾽ ὅμως καί αὐθυπόστατον. Οὕτω δέ ὄν ἐκ τοῦ Πατρός, οὔτ᾽ αὐτοῦ διΐσταταί ποτε, καί τῷ Υἱῷ οὐχ ἧττον ἥνωται οὐσιωδῶς τε καί ἀδιαστάτως, αὐτῷ τε ἐπαναπαυόμενον καί ἴδιον αὐτοῦ ὑπάρχον καί ἐν αὐτῷ φυσικῶς διατελοῦν ἀεί˙ αὐτός γάρ ἐστιν ὁ τοῦ Πνεύματος ταμίας. Οὐδέν οὖν καινόν, εἰ καί ἐξ αὐτοῦ καί ἐκ τῆς φύσεως αὐτοῦ προϊέναι λέγεται, καθ᾽ ὑπόστασιν μέντοι τήν πατρικήν˙ καί δι᾽ αὐτοῦ καί ἐξ αὐτοῦ φυσικῶς καί δίδοται καί πέμπεται καί προχεῖται καί προέρχεται, δι᾽ αὐτοῦ διδόμενόν τε καί φανερούμενον, εἰ δέ βούλει καί ἐκπορευόμενον πρός οὕς ἄξιον. Καί ἐκπόρευσιν γάρ εἴπουπερ ἄν ἐν τοῖς τοιούτοις ἀκροάσῃ, τήν φανέρωσιν νόει˙ οὐ γάρ ἀεί τό ἐκπορεύεσθαι παρά Θεοῦ ὑπάρξεώς ἐστι σημαντικόν αὐθυποστάτου˙ «οὐκ ἐπ᾽ ἄρτῳ γάρ», φησί, «μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ᾽ἐπί παντί ῥήματι ἐκπορευομένῳ διά στόματος

Θεοῦ». Ὁρᾷς ὅτι τά μέν παρά Θεοῦ ἐκπορευόμενα πολλά, πλήθους γάρ συνεκτικόν τό πᾶν, τό δέ Πνεῦμα τό ἅγιον ἕν, ὅ καί ἰδιοτρόπως παρά πάντα ἐκπορεύεται παρά Θεοῦ; Καί πάλιν˙ «ἐθαύμαζον», φησί, «οἱ ὄχλοι ἐπί τοῖς λόγοις τῆς χάριτος τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ». Ἆρ᾽ οὖν ἡ τῶν λόγων χάρις αὐθυπόστατος, ὥσπερ τό Πνεῦμα τό ἐκπορευόμενον παρά μόνου τοῦ Πατρός; Ἄπαγε˙ καίτοι ταύτην τήν χάριν ὁ Κύριος Πνεῦμα προσηγόρευσεν εἰπών, «τά ῥήματα ἅ ἐγώ λαλῶ, Πνεῦμα εἰσι καί ζωή εἰσιν». Ἀλλ᾽ ὁρᾷς ὅπως ἐξ Υἱοῦ ἡ χάρις καί οὐκ αὐτή μόνον, ἀλλά καί πᾶσαι αἱ δωρεαί τοῦ ἁγίου Πνεύματος.

Εἰ γάρ ἐκ τῆς τῶν πιστευόντων εἰς Χριστόν κοιλίας ποταμοί ῥέουσιν ὕδατος ζῶντος κατά τήν ἐπαγγελίαν («ὁ πιών γάρ», φησίν ὁ Κύριος «ἐκ τοῦ ὕδατος, οὗ ἐγώ δώσω αὐτῷ γενήσεται πηγή ὕδατος ἁλλομένου εἰς ζωήν αἰώνιον», (σελ. 322) ταὐτόν δ᾽ εἰπεῖν ἐκπορευομένη, κατά τό «πηγή δέ ἦν ἐκπορευομένη ἐξ Ἐδέμ») εἰ οὖν ἐκ τῶν ὡμοιωμένων τῷ Υἱῷ ποταμηδόν ἅλλεται, ταὐτόν δ᾽ εἰπεῖν πηγάζεται καί ἐκπορεύεται τό Πνεῦμα κατά χάριν ἐνυπάρχον αὐτοῖς, πολλῷ μᾶλλον ἐκ τοῦ Υἱοῦ τοῦ κατά φύσιν προαιωνίως τε καί ἀϊδίως ἔχοντος ἑαυτῷ ἐπαναπαυόμενον αὐτό καί συνημμένον φυσικῶς.

Ἀλλ᾽ οὐ διά τοῦτο δογματίσομεν ἐκ τοῦ Πατρός καί ἐκ τοῦ Υἱοῦ καί ἐκ τῶν ὡμοιωμένων κατά χάριν τῷ Υἱῷ ἐκπορεύεσθαι τό Πνεῦμα˙ ἰδιαίτατα γάρ ἐκ τοῦ Πατρός, ὡς ἐξ αὐτοῦ μόνου τήν ὕπαρξιν ἔχον τήν προαιώνιόν τε καί ὁμοούσιον. Ἔστι γάρ καί ἐκ τοῦ Πατρός καί τοῦ Πατρός τό Πνεῦμα τό ἅγιον, καί προηγεῖται τῇ ἐπινοίᾳ τοῦ εἶναι Πατρός τό ἐκ τοῦ Πατρός εἶναι˙ (τό γάρ εἶναί τι προθεωρεῖται τοῦ τίνος εἶναι, εἰ καί μή κατά χρόνον) καί διά τοῦτο τοῦ Πατρός, ὅτι ἐκ Πατρός, ὡς καί ὁ μέγας Βασίλειος ἐν τοῖς Πρός Εὐνομιανούς φησι κεφαλαίοις˙ «τήν πρός τόν Πατέρα οἰκειότητα νοῶ τοῦ Πνεύματος, ἐπειδή παρά τοῦ Πατρός ἐκπορεύεται». Ἐκ δέ τοῦ Υἱοῦ, εἴπου εὑρεθείη καί οἷς τισι ῥήμασιν, ὡς αὐτῷ φυσικῶς ἐναναπαυόμενον προαιωνίως τε καί ἀϊδίως, ἅτε κατά τήν ἀπόρρητόν τε καί ἄχρονον ἐκείνην γέννησιν τέλειον ἐν ἑαυτῷ σχόντι ἐκ Πατρός τό Πνεῦμα, ἐκ τῆς αὐτῆς ὄν αὐτῷ οὐσίας, καθ᾽ ὑπόστασιν μέντοι τήν πατρικήν. Οὐκοῦν ἐπί τοῦ Υἱοῦ προθεωρεῖται τό εἶναι αὐτοῦ Πνεῦμα τοῦ ἐξ αὐτοῦ εἶναι, εἰ καί μή κατά χρόνον˙ καί διά τοῦτο ἐκ τοῦ Υἱοῦ, ὅτι τοῦ Υἱοῦ. Τοιγαροῦν οὐκ ἔχει παρ᾽ αὐτοῦ τήν ὕπαρξιν.

Διά δέ τοῦ Υἱοῦ λέγεται τό Πνεῦμα τό ἅγιον, ἔσθ᾽ ὅτε μέν ὡς δι᾽ αὐτοῦ νοούμενον Πνεῦμα Πατρός καί ἐκ Πατρός, ἅτε μή γεννητόν ὑπάρχον ἀλλ᾽ ἐκπορευτόν, καί ὡς ἐκπορευτόν ἀμέσως ἐκ τοῦ ἐκπορευόντος αὐτό νοούμενον˙ ἔστι δέ καί ὡς συμπαρομαρτοῦν ἀχρόνως αὐτῷ κατά τούς θεολόγους (σελ. 324) καί σύν αὐτῷ καί μετ᾽ αὐτοῦ, ἀλλ᾽ οὐχί καί ἐξ αὐτοῦ ἐκ τοῦ πατρός ὑπῆρχον, ὡς καί αὐτόθεν τοῖς συνετοῖς ἐστι κατάδηλον˙ οὐδείς γάρ τῶν εὖ φρονούντων λόγον ἀκούσας προαιωνίως ἐκ Πατρός γεννώμενον οὐκ εἰς ἔννοιαν εὐθύς ἔρχεται τοῦ τῷ λόγῳ συμφυῶς καί συνανάρχως συμπαραμαρτοῦντος Πνεύματος, καθ᾽ ἥν ἔννοιαν οὐδ᾽ εἰς "ἐκ" τήν "διά" χρή μεταλαμβάνειν˙ ἔστι δέ καί ὡς δι᾽ Υἱοῦ καί ἐξ Υἱοῦ τοῖς ἁγίοις χορηγούμενον, οὐ μήν προαιωνίως ἐκεῖθεν πεμπόμενον ἤ διδόμενον ἤ πηγάζον, εἰ δέ βούλει ἐκπορευόμενον, ἀλλ᾽ ἡνίκα ληφθῆναι καί φενερωθῆναι εὐδόκησε καί ὡς εὐδόκησε διδόμενόν τε καί φανερούμενον˙ οὐ γάρ αὐτή καθ᾽ ἑαυτήν ἡ οὐσία καί ἡ ὑπόστασις φανεροῦταί ποτε τοῦ θείου Πνεύματος. Εἰ δέ Λατῖνοί φασιν ἐντεῦθεν στοχάζεσθαι τήν προαιώνιον πρόοδον, ἀκολούθως οὐδ᾽ ἐκεῖ κατά τήν ὕπαρξιν ἔσται. Καί τό τεκμήριον ὅ φασιν αὐτοί τοῦτο, οὐδέν αὐτοῖς συμβαλεῖται πρός τήν πρόθεσιν.

Ἀλλ᾽ ἐκ μέν τοῦ Υἱοῦ καί διά τοῦ Υἱοῦ οὕτω προϊόν θεολογεῖται τό Πνεῦμα τό ἅγιον˙ μιᾶς γάρ καί τῆς αὐτῆς οὐσίας, μία καί ἡ αὐτή καί θέλησις καί δόσις καί φανέρωσις. Ἐκ δέ τῶν υἱοποιήτων τῷ Θεῷ καί διδόμενόν ἐστι καί ἀλλόμενον καί πηγάζον καί ἐνεργοῦν καί φαινόμενον, ὡς ἐνυπαρχούσης μέν αὐτοῖς καί ἐνοικούσης τῆς ἐμφύτου χάριτος καί δυνάμεως τοῦ Πνεύματος, ἀλλά κατά χάριν καί οὐ φυσικῶς καί ὕστερον ἐπιδημησάσης, τουτέστι δι᾽ αὐτῶν ἐνεργησάσης, ἀλλ᾽ οὐ προαιωνίως ἐπαναπαυομένης.

Ὁρᾷς ὅση ἡ διαφορά, ὡς ἀπειρίας ἐπέκεινα; Λατῖνοι δέ ἐν τῷ συμβόλῳ τῆς πίστεως, ἐκ μέν τοῦ Πατρός λέγοντες γεννηθῆναι τόν Υἱόν, ἐκ δέ τοῦ Πατρός καί τοῦ Υἱοῦ τό Πνεῦμα ἐκπορεύεσθαι, οὐ σαφῶς περί τῶν προαιωνίων καί ὑποστατικῶν φασι προόδων καί αὐτῆς τῆς ὑπάρξεως τοῦ Υἱοῦ τε καί τοῦ Πνεύματος; Σαφῶς τοιγαροῦν μιγνύουσι τά ἄμικτα˙ τοῖς ὑπέρ χρόνον τά ὑπό χρόνον, τοῖς ὑπέρ αἰτίαν τά δι᾽ αἰτίαν. Δι᾽ ἡμᾶς γάρ ἐκ τοῦ Υἱοῦ πέμπεται˙ εἰ δέ δι᾽ ἡμᾶς, καί καθ᾽ ἡμᾶς. Ἐκ δέ τοῦ Πατρός οὐ διά (σελ. 326) τι, οὐδέ μετά τι˙ ἄπαγε τῆς βλασφημίας, εἰ μή σύ καί τοῦτ᾽ ἀναπλάσεις ὁ

πάντολμος, μᾶλλον δέ ψευδώνυμος θεολόγος, καί τόν λόγον οἷον ἐγγυτέρω τοῦ Πατρός τιθείς, πορρωτέρω δέ τό Πνεῦμα τό ἅγιον.

Ταῦτ᾽ ἄρα καί οἱ θεόσοφοι Πατέρες ἡμῖν μέν παραδιδόντες τήν τῆς πίστεως ὁμολογίαν, ὡς ἐκ τοῦ Πατρός ἐθεολόγησαν γεννηθέντα τόν Υἱόν, οὕτω καί τό Πνεῦμα ἐξ αὐτοῦ τοῦ Πατρός ἐκπορευόμενον· δηλονότι ἀμέσως ἑκάτερον αὐτῶν καί ἐκ μόνου τοῦ Πατρός, ἐξ αὐτῆς δηλαδή τῆς πατρικῆς ὑποστάσεως. Εἰ δέ διά τήν γενομένην ἐπιφοίτησιν ὕστερον ἡμῖν, καί ταῦτα πρός τούς ἀλλοτριοῦντας τοῦ Υἱοῦ τό Πνεῦμα ἐνιστάμενοι, ἐξ ἀμφοῖν εἶπέ τις αὐτό, ἤ ἐκ πατρός δι᾽ Υἱοῦ ἤ ὅτι τοῦ Υἱοῦ ἐκλάμπει καί τά ὅμοια τούτοις, ἀλλ᾽ ὡς καί ἐν τῷ Υἱῷ ὑπάρχον καί ἴδιον αὐτοῦ καί κατ᾽ οὐδέν ἀλλότριον.

Πρός δέ τούτοις οὐδ᾽ ἄνευ χρονικῆς προσθήκης ἤ αἰτίας εἴρηκέ τις δι᾽ Υἱοῦ ἤ καί ἐξ Υἱοῦ τό Πνεῦμα τό ἅγιον ἀποστελλόμενον, προσημαίνων δέ ἀεί ἐνέργειαν, καθ᾽ ἥν ἐφ᾽ ἡμᾶς ἐλθεῖν πρό ἡμῶν τῶν ἀδυνάτων ἦν. Εἰ δ᾽ ἄρα που καί μή προσημήναντες εἰρήκεσαν, ἀλλ᾽ ὡς πολλάκις τοῦτο πράξαντες. Ἔπειτα οὐδέ συνίης τοῦτο, ὦ ὑπερλίαν σύ καί καυχώμενος εἰς τά ἄμετρα, ὅτι πολλ᾽ ἄττα τῶν λεγομένων παρά τῇ θείᾳ Γραφῇ, τῇ μέν συνόδῳ τῶν ρημάτων ἐστίν ἕν, τῇ δέ διανοίᾳ καί τῷ πράγματι οὐχ ἕν; Ὅ καί τοῖς αἱρετικοῖς τήν πλάνην ὡς ἐπίπαν ἀπειργάσατο, μή δυναμένοις διακρίνειν τό τῇ συνόδῳ τῶν ρημάτων ἕν, τοῖς δέ πράγμασιν οὐχ ἕν, ὡς καί Γρηγορίῳ τῷ θεολόγῳ συνδοκεῖ;

Σαφές γάρ τοῦτο τοῖς σοφοῖς τά θεῖα καί τῷ θείῳ Πνεύματι μεμυημένοις, ὡς ὅταν ἐξ ἀμφοτέρων, Πατρός καί Υἱοῦ, τό Πνεῦμα λέγηται, ἤ ἐκ Πατρός δι᾽ αὐτοῦ, εἰ καί συνάγεται ρήματι, ἀλλά διέστηκε πράγματι. (σελ.328) Καί πρός μέν τούς ἀλλοτριοῦντας τό Πνεῦμα τοῦ Υἱοῦ δεόντως ἄν συνημμένως οὕτως εἴποιμεν ἐν κρίσει τούς λόγους οἰκονομοῦντες, οἰκειωθεῖσι δέ Θεῷ διά τοῦ γνῶναι ἴδιον αὐτοῦ τό Πνεῦμα ἠκριβωμένως ἐκκαλύψομεν ἑκάτερον, ὡς ἐκ Πατρός μέν ἔχει πρό πάντων τῶν αἰώνων τήν ὑπαρκτικήν τό Πνεῦμα πρόοδον, τῷ Υἱῷ δέ αἰωνίως ἐνυπάρχον, ἐξ αὐτοῦ εἰς τοὐμφανές προῆλθε δι᾽ ἡμᾶς καί μεθ᾽ ἡμᾶς κατ᾽ ἐκφαντικήν καί οὐχ ὑπαρκτικήν προέλευσιν.

Ἀλλά καί ὁ Υἱός, φησίν, ἐν τῷ Πνεύματί ἐστι. Πάνυ γε, διό καί ἐκφαντικόν ἐστιν αὐτοῦ τό Πνεῦμα, καί ἀποστέλλεται καί παρ᾽ αὐτοῦ οὐχ ὡς ἄνθρωπος μόνον, ἀλλά καί ὡς Θεός κατά τόν θεολόγον Γρηγόριον, καί ἐμμορφοῦται ταῖς καρδίαις τῶν πιστῶν καί ἐνοικεῖ καί

ὁρᾶται δι᾽ αὐτοῦ. Ἐν γάρ Θησαυροῖς ὁ θεῖος Κύριλλος, «Χριστοῦ», φησί, «τό Πνεῦμα, ὡς τοῦ Θεοῦ λόγου διά Πνεύματος ἡμῖν ἐνοικιζομένου». Γεννᾶσθαι δέ οὐ λέγεται, ἐπεί τό γεννώμενον Υἱός ἀεί τοῦ γεγεννηκότος ἐστί τε καί λέγεται καί ὁ γεννῶν ἀεί Πατήρ˙ τό δέ ἐκπορευόμενον ἐπί Θεοῦ, καθά προέφημεν, οὐχ ἁπλῶς οὐδέ μόνου τοῦ ἁγίου Πνεύματός ἐστι˙ ἀλλά τό μέν προαιώνιον καί ὑπαρκτικήν πρόοδον δηλοῦν, ἑτερότροπον οὖσαν τῆς τοῦ Υἱοῦ ἐκ τοῦ Πατρός γεννήσεως, μόνου τοῦ ἁγίου Πνεύματος ἐστι˙ τό δ᾽ ἐκ τοῦ κρυφίου φανεροῦσθαι καί παρρησιάζεσθαι καί δημοσιεύειν τήν οἰκείαν δύναμιν διά τῶν ἐπιτελουμένων θαυμασίων οὐ μόνον τοῦ ἁγίου Πνεύματος, ἀλλ᾽ ἔστι καί αὐτοῦ˙ «ὁ Θεός» γάρ, φησίν ὁ προφητικώτατος ἐν βασιλεῦσιν «ἐν τῷ ἐκπορεύεσθαί τε ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ γῆ ἐσείσθη».

Καί τοῦ Πατρός τοίνυν πάλαι ποτέ φανερουμένου καί διά Μωσέως θαυματοποιοῦντος, ὁ πρῶτος κατά τόν θεολογικώτατον Γρηγόριον γέγονε σεισμός, μετατιθεμένων τῶν Ἑβραίων ἀπό τῆς τῶν εἰδώλων προσκυνήσεως ἐπί τήν (σελ. 330) ἀμυδράν μέν, ἀληθῆ δέ θεογνωσίαν. Ἀλλά καί ἐπί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος ὁ δεύτερον γέγονε σεισμός, τῶν μέν Ἰουδαίων μεταρρυθμιζομένων ἀπό τοῦ νόμου πρός τό εὐαγγέλιον, παντός δέ ἔθνους καλουμένου πρός τήν εὐηγγελιζομένην κοινωνίαν τῆς θεώσεως. Ἀλλά καί τοῦ Υἱοῦ μόνου διά τοῦ σταυροῦ διαβαίνοντος ἐν τῇ ὡς ἀληθῶς ἐρήμῳ, τῷ θανάτῳ καί τῷ ᾅδῃ, καί φανερουμένου ἐν μέσῳ τοῦ λαοῦ τῶν Ἰουδαίων, διά τῆς ἐκ τῶν οὐρανῶν θεοσημίας καί αἰσθητῶς ἡ γῆ ἐσείσθη. Ὁρᾷς ἐπί τῆς τοιαύτης σημασίας τό ἐκπορευόμενον οὐ μόνον ὄν τοῦ Πνεύματος, ἀλλά κοινόν Πατρός, Υἱοῦ καί Πνεύματος; Ἀλλ᾽ ὑστερογενής καί ὑπό χρόνον αὕτη ἡ ἐκπόρευσις˙ «ἐν τῷ λαῷ» γάρ φησιν. Εἰ δ᾽ ἐν τῷ λαῷ, καί μετά τόν λαόν.

Καλῶς ἄρ᾽ ἔφημεν, ὡς τό ἐκπορευόμενον ἐπί τοῦ ἁγίου Πνεύματος οὐκ ἀεί τήν ἐκ τοῦ Πατρός προαιώνιον ὕπαρξιν δηλοῖ, ἀλλ᾽ ἔστιν ὅτε καί τήν ὕστερον φανέρωσιν, καθ᾽ ἥν καί ὁ Υἱός κοινωνήσει τῷ Πατρί, ὅ καί ὁ θεῖος Κύριλλος δείκνυσι σαφῶς λέγων, «Τό Πνεῦμα τόν Υἱόν ἐξ ἰδίας ἡμῖν ἀναπηγάζει φύσεως». Προστιθείς γάρ τό “ἡμῖν”, συνιέναι δίδωσι τό χρονικόν τῆς ἀναδόσεως. Καί ὅτι ἐνέργεια καί δωρεά ἐστι τοῦ θείου Πνεύματος τό ἐκ Πατρός καί Υἱοῦ πηγαζόμενον ἡμῖν, Ἰωήλ προκαταγγέλλων, μᾶλλον δέ διά τούτου ὁ Θεός, οὐκ «ἐκχεῶ τό Πνεῦμα μου», φησίν, ἀλλ᾽ «ἐκχεῶ ἀπό τοῦ Πνεύματός

μου». Ὡς γάρ καί ὁ Χρυσόστομός φησι πατήρ, «τό μέρος λέγει τῆς ἐνεργείας˙ οὐ γάρ ὁ παράκλητος μερίζεται». Ὁ δέ τῶν ἀποστόλων κορυφαῖος πολλαχοῦ, μᾶλλον δέ πανταχοῦ, δωρεάν καλεῖ τήν ἐκχυθεῖσαν τηνικαῦτα πρός αὐτούς. Καί ὁ χρυσοῦς πάλιν θεολόγος˙ «οὐχ ὁ Θεός», φησίν, «ἀλλ᾽ ἡ χάρις ἐκχεῖται».

Οὐκ ἄρα διά ταῦτα ἐκ τοῦ Πατρός καί τοῦ Υἱοῦ ἐκπορεύεσθαι τό Πνεῦμα˙ ἀτιμάσαμεν γάρ ἄν (σελ. 332) τοῦτο μᾶλλον ἤ δοξάσαιμεν, τοῖς διά τοῦ Υἱοῦ εἶναι σχοῦσι συντάττοντες αὐτό. Τοιγαροῦν ἐκ τοῦ Πατρός μόνου δοξάζομεν ἐκπορευόμενον ἰδιοτρόπως καί προαιωνίως, ὡς καί ὁ Υἱός γεννᾶται˙ καί οὕτω δοξάζοντες, συνδοξάζομεν αὐτό καί συμπροσκυνοῦμεν τῷ Υἱῷ καί τῷ Πατρί.

Καί τοῦτο δηλοῦντες οἱ θεόσοφοι πατέρες, ἐπί τοῦ συμβόλου τῆς ὀρθοδοξίας τό ἐκ τοῦ Πατρός ἐκπορεύεσθαι τό Πνεῦμα καί τό συνδοξάζεσθαι τῷ Πατρί καί τῷ Υἱῷ συνήγαγον εἰς ἕν, συνημμένως ἐκφωνήσαντες καί παραδόντες, ὡς τῶν μή δοξαζόντων ἐκ μόνου τοῦ Πατρός ἐκπορευόμενον τό Πνεῦμα τό ἅγιον, ὥσπερ ἀμέλει καί τόν Υἱόν γεγεννημένον, οὐδέ συμπροσκυνεῖν τό Πνεῦμα ἐκείνοις δυναμένων, ἐν ἰδίᾳ ὑποστάσει θεωρούμενον.

Εἰ γάρ κοινόν ἀεί αὐτοῖς ὡς ἐξ αὐτῶν ἡ τοῦ Πνεύματος ἐκπόρευσις, ἐνέργεια ἄν τό Πνεῦμα εἴη μόνη καί οὐκ ἐν ὑποστάσει˙ μόνον γάρ ἐνέργια, ἥ γε αὐτοῖς κοινή. Κοινόν μέν οὖν αὐτοῖς ὡς ὁμοούσιον, ἀλλ᾽ οὐκ ἀεί αὐτοῖς κοινόν ὡς ἐξ ἀμφοῖν εἰ καί νῦν ἐπ᾽ ἐσχάτου τῶν αἰώνων ἐξ ἀμφοῖν ἐκκέχυται, προσθήσω δ᾽ ὅτι καί παρ᾽ ἑαυτοῦ˙ καί γάρ αὐτεξουσίως πρός ἡμᾶς ἐκχεῖται. Καί πρός τόν Υἱόν γάρ εἴρηται προφητικῶς εἰπεῖν, «Υἱός μου εἶ σύ, ἐγώ σήμερον γεγέννηκά σε». Ἀλλ᾽ ἴσμεν ὑπό χρόνον ταύτην ὑπάρχουσαν τήν γέννησιν. Τί δέ, οὐχί καί τό Πνεῦμα ταύτην συνειργάσατο τήν γέννησιν, ᾧ τό καθ᾽ ἡμᾶς ἀνειλημμένον τοῦ Υἱοῦ φύραμα ἐπί τοῦ βαπτίσματος ἐχρίσθη καί χρισθέν ἐφανερώθη, ὅτι καί πρό τοῦ βαπτίσματος γέγονεν ὁμόθεον, ἐπεί καί τήν ἀρχήν ὁ τοῦ Θεοῦ Υἱός, «ἐκ Πνεύματος ἁγίου καί Μαρίας ἐσαρκώθη τῆς παρθένου», κατά τό γεγραμμένον;

Ἆρ᾽ οὖν ἐκ τοῦ Πατρός καί ἐκ τοῦ Πνεύματος ἐρεῖςγεγεννῆσθαι πρό αἰώνων τόν Υἱόν διά τήν ὑπό χρόνον ταύτην γέννησιν; Σύ δέ ἴσως ὁ λογικαῖς ἐφόδοις τήν περί (σελ. 334) Θεοῦ γνῶσιν ποριζόμενος καί ἐκ τῶν ὕστερον ὡς αὐτός φῄς γεγονότων τά προαιωνίως ὄντα στοχαζόμενος˙ ἀλλά καί μάρτυρά γε ἀξιολογώτατον ἡμῖν ἄν ἐπαγάγοις τόν Υἱόν αὐτόν διά τοῦ προφήτου λέγοντα, «Κύριος

ἀπέσταλκέ με καί τό Πνεῦμα αὐτοῦ»˙ καί τοῦτο γάρ σόν, ταὐτόν εἴεσθαι ἀποστολήν τε καί τρόπον ὑπάρξως. Πρός δέ τούτῳ καί τῷ τοῦ μεγάλου προσχρήσῃ καί παρεξηγήσῃ Παύλου, καί τοῦθ᾽ ἑκών καί ἐθελοκακῶν ἤ ἀγνοῶν καί μή ὁμολογῶν. «Ὧ μέν γάρ» φησίν ἐκεῖνος, «διά τοῦ Πνεύματος δίδοται λόγος σοφίας, ἄλλῳ δέ λόγος γνώσεως». Ἀλλά καί ὁ Χριστός ἐνοικεῖ ταῖς καρδίαις τῶν μή ἀδοκίμων, πάντως διά τοῦ Πνεύματος, καί νοερῶς ὁρᾶται καί ἐμμορφοῦται καί ἐμφανίζεται, καί ταῦτα διά τοῦ Πνεύματος. Οὐκοῦν προσυλλογιζόμενος ἐρεῖς, εἰ διά τοῦ Πνεύματος, καί ἐκ τοῦ Πνεύματος. Εἰ δ᾽ ἐκ τοῦ Πατρός καί ἐκ τοῦ Πνεύματος ὁ Υἱός σαφῶς ἀποστέλλεται καί τό βάπτισμα δέχεται, καθ᾽ ὅ πᾶς βαπτιζόμενος γεννᾶται ἐκ Πνεύματος, καί ταῖς καρδίαις ἐλλάμπει, καί τοῦτο διά τοῦ Πνεύματος, καί πολλά ἕτερα τῶν παραπλησίων συνείρας, εἶτα κοινῶς κατά τάς σάς ἐπιστήμας συμπεραίνων, καί ἐκ τοῦ Πνεύματος γεγεννημένον εἶναι τόν Υἱόν δοξάσεις τε καί δείξεις. Ἀλλ᾽ οὐχ ἡμεῖς γε, ὦ σοφώτατε ἐπιχθονίων, οἱ τῆς κατά σέ ταύτης θεολογίας ἄμοιροι παντάπασιν, ἀλλ᾽ ὀρθῶς ἄν καί προσενέγκωμεν καί διέλωμεν τήν τῆς πίστεως ὁμολογίαν, ἐκ τοῦ Πατρός μόνου λέγοντες ἐξ ἀρχῆς ἀμέσως εἶναι τόν Υἱόν τε καί τό Πνεῦμα, ἰδιοτρόπως μέντοι ἑκάτερον αὐτῶν.

Καί δή τό ἴδιον δηλοῦντες ἑκατέρου τρόπου, τήν μέν ἐκ Πατρός ὕπαρξιν τοῦ Υἱοῦ γέννησιν προσαγορεύομεν, ἐκπόρευσιν δέ τήν τοῦ ἁγίου Πνεύματος. Τά δ᾽ ὕστερον ἐν χρόνῳ καί μετά τήν κτίσιν ἐπί ταύτης καί ὑπό τούτων ὑπηργμένα, νοήμασι μέν ἀεί διαιροῦμεν τῶν προαιωνίων καί ἀνάρχων ὑπάρξεων ἐκείνων, ῥήμασι δ᾽ ἔστιν ὅτε καί τοῦτο σπανιώτατα συνάπτοντες ἤ καί συνημμένα παρά τινων ἀκούοντες, (σελ. 336) τήν ἐν τοῖς νοήμασι διαίρεσιν οὐκ ἀποβάλλομεν. Τοιοῦτόν ἐστι καί τό παρά τοῦ Κυρίου λεγόμενον, «ἐγώ ἐκ τοῦ Θεοῦ ἐξῆλθον καί ἥκω», καί «ἐξῆλθον παρά τοῦ Πατρός καί ἐλήθυθα εἰς τόν κόσμον». Κἀνταῦθα γάρ τό “ἐξῆλθον” ἕν ὄν οὐ μιᾶς διακονίας ἐστί δηλωτικόν˙ τήν τε γάρ ἐφ᾽ ἡμᾶς δι᾽ ἡμᾶς ἐφ᾽ ἡμῶν παρά τοῦ πατρός ἀποστολήν δηλοῖ καί τήν ἐκ τῆς οὐσίας καί τῆς τοῦ Πατρός ὑποστάσεως προαιώνιον πρόοδον.

Τί οὖν, διά τό τοῦ ῥήματος ἑνιαῖον συνάψομεν τά πλεῖστον διεστῶτα; Ἤ διότι τό “ἐξῆλθον” καί τήν ἀποστολήν δηλοῖ, ἡ δέ τοῦ Υἱοῦ ἀποστολή παρά τοῦ Πατρός ἐγεγόνει καί τοῦ Πνεύματος, κατά τό «Κύριος ἀπέσταλκέ με καί τό Πνεῦμα αὐτοῦ», ἵν᾽ εἴπω πάλιν τό πολλάκις εἰρημένον, προελθεῖν δογματίσομεν ἐκ τοῦ Πατρός καί ἐκ

τοῦ Πνεύματος τόν Υἱόν καί Λόγον τοῦ Θεοῦ; Οὔμενουν. Οὐκοῦν οὐδέ διά τήν ἐκ Πατρός καί Υἱοῦ τοῦ ἁγίου Πνεύματος ἀποστολήν ἤ ἔκφανσιν ἤ πρόοδον, τήν ἐκφαντικήν καί ὑπό χρόνον λέγω, κἄν εἰς ἕν τῇ προαιωνίῳ ἐνίοτε συνάγηται κατά τήν λέξιν, ἐκ τοῦ Πατρός καί ἐκ τοῦ Υἱοῦ δογματίσομεν ἐκπορεύεσθαι τό Πνεῦμα τό ἅγιον, μέχρις ἄν ἐκ Θεοῦ Θεόν γινώσκωμεν αὐτό τῷ προενεγκόντι Πατρί ἐπίσης προαιώνιον.

Ἀλλ᾽ ὁ μόνος διανοίγων ὀφθαλμοῖς τυφλῶν, καί δι᾽ οὗ ὁρῶσιν οἱ ὁρῶντες, εἰ καί μή ἀπαξαπλῶς τοῖς πᾶσιν, ἀλλά τοῖς ἐν ἀληθείᾳ σε ζητοῦσιν ἅπασι, δίδου δι᾽ ἀοράτου θεωρίας ἀνηκούστοις σοῖς ἐν νῷ διδάγμασιν, ἐπιγινώσκειν τήν ἀλήθειαν. Εἰ δ᾽ οὖν, ἀλλά δι᾽ ἀκοῆς πιστεύσαντας πρός τήν ἑνότητα τῆς σῆς ἐπιγνώσεως διά πίστεως ἀνάγαγε, καί δι᾽ ἔργων ἀγαθῶν βεβαιοπίστους ἀποδείξας ἐν καιρῷ εὐθέτῳ φανέρωσον σαὐτόν αὐτοῖς, ἵν᾽ εἰδῶμεν τήν σήν ἐπ᾽ ἀληθείας δόξαν ἅπαντες καί καταπολαύσωμεν ἐν πνευματικῇ καί ἀπορρήτῳ θέᾳ τῆς τρισηλίου καί μοναρχικωτάτης φαιδρότητος, καί δοξάσωμέν σε πρός δύναμιν ἀδιαλείπτως, νῦν καί ἀεί καί εἰς τους ἀκαταλήκτους αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## ΑΝΤΕΠΙΓΡΑΦΑΙ

## ΕΙΣ ΤΑΣ ΠΑΡΑ ΤΟΥ ΒΕΚΚΟΥ ΥΠΕΡ ΛΑΤΙΝΩΝ ΕΠΙΓΡΑΦΑΣ (σελ. 344)

### *Ἐπιγραφή πρώτη*

Χρήσεις γραφικαί διάφοροι συλλεγεῖσαι εἰς ἀπόδειξιν τοῦ εἶναι τό Πνεῦμα τό ἅγιον καί ἐκ τοῦ Υἱοῦ, μεθ᾽ ἅς ἕτεραι καταστρωννύονται εἰς ἀπόδειξιν τοῦ εἶναι τό Πνεῦμα διά τοῦ Υἱοῦ ἐκ τοῦ Πατρός. Καί ἐπειδή αἱ μέν ἐκ τοῦ Υἱοῦ αἱ δέ διά τοῦ Υἱοῦ ἀποδεικνύουσιν εἶναι τοῦτο, εἰς παράστασιν τοῦ ἰσοδυνάμου τῆς “διά” καί τῆς “ἐκ”,

ἀκολούθως παρευθύς, ἕτεραι γραφικαί χρήσεις καταστρωννύονται, δι᾽ ὧν τό τῶν προθέσεων τούτων ἰσοδύναμον ἀποδείκνυται.

*Ἀντεπιγραφή πρώτη*

Ὅταν ἐπί τῆς θεολογίας ἰσοδυναμῶσιν ἀλλήλαις ἡ "ἐκ" καί ἡ "διά", οὐ τήν διαίρεσιν οὐδέ τήν διαφοράν παριστῶσι τῆς ἁγίας Τριάδος, ἀλλά τήν ἕνωσιν καί τήν ἀπαραλλαξίαν, ἥτις ἐστί κατά τήν φύσιν καί τήν ὁμοβουλίαν. Δείκνυται γάρ ἐντεῦθεν μιᾶς καί τῆς αὐτῆς εἶναι φύσεως καί δυνάμεως καί ἐνεργείας καί θελήσεως ὁ Πατήρ καί ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον, ὁ δ᾽ ἐνταῦθα καταγράψας τά τῶν ἁγίων ρητά καί οὕτως ἐπιγράψας τήν διαφοράν κακῶς καί δυσσεβῶς τῶν θείων ὑποστάσεων ἐπιχειρεῖ δεικνῦναι διά τοῦ τῶν τοιούτων προθέσεων ἰσοδυνάμου καί ὅτι ἐκ τῶν δύο ὑποστάσεων καί παρ᾽ἑκατέρας τούτων διαφόρως ἔχει τήν ὕπαρξιν ἡ μία τῶν τριῶν προσκυνητῶν ὑποστάσεων, τουτέστι τό Πνεῦμα τό ἅγιον. Φανερόν οὖν ὡς αἱ μέν τῶν ἁγίων ρήσεις ἔχουσιν εὐσεβῶς τε καί καλῶς, ἐκλαμβάνονται δέ (σε. 346) παρά τοῦ συνειλοχότος καί καταγράψαντος ἐνταῦθα ταύτας κακῶς τε καί δυσσεβῶς.

Ὅτι δέ τήν ἕνωσιν καί τήν ἀπαράλλακτον ἐν πᾶσιν ἡ τοιαύτη δείκνυσι "διά", ὅταν δηλονότι ἰσοδυναμῇ τῇ "ἐκ", ὁ θεῖος Μάξιμος παρίστησι σαφῶς, περί τινων εἰπόντων διά τοῦ Υἱοῦ τό Πνεῦμα, γράφων πρός Μαρῖνον, «οὐκ αἰτίαν τόν Υἱόν ποιοῦντας σφᾶς αὐτούς ἀπέδειξαν, μίαν γάρ ἴσασι τοῦ Υἱοῦ καί τοῦ Πνεύματος τόν Πατέρα αἰτίαν, τοῦ μέν κατά τήν γέννησιν τοῦ δέ κατά τήν ἐκπόρευσιν, ἀλλ᾽ ἵνα τό δι᾽ αὐτοῦ προϊέναι δηλώσωσι καί ταύτῃ τό συναφές τῆς οὐσίας καί ἀπαράλλακτον παραστήσωσι». Σαφές οὖν ἐντεῦθεν ὡς ὁ Βέκκος οὗτος δυσσεβῶς ἐκλαμβάνει τάς τοιαύτας ρήσεις˙ οὐ γάρ τό συναφές καί ἀπαράλλακτον, ὅ ἐστι κατά τήν φύσιν, ἀλλά τό διαφέρον τῶν ὑποστάσεων ἐκ τούτων ἐπιχειρεῖ συνάγειν, οὐδέ τῷ μεγάλῳ Βασιλείῳ πειθόμενος˙ καί οὗτος γάρ ἐν ὀγδόῳ τῶν Πρός Ἀμφιλόχιον κεφαλαίῳ φησί˙ «τό διά τοῦ Υἱοῦ δημιουργεῖν τόν Πατέρα, οὔτε ἀτελῆ τοῦ Πατρός τήν δημιουργίαν συνίστησιν, οὔτε ἄτονον τοῦ Υἱοῦ παραδηλοῖ τήν ἐνέργειαν, ἀλλά τό ἡνωμένον τοῦ θελήματος παρίστησιν».

Ὁ γοῦν λέγων διά τοῦ Υἱοῦ καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα προϊέναι κατά τήν χορηγίαν τήν ὁμοβουλίαν τοῦ Πατρός καί τοῦ Υἱοῦ παρίστησι καλῶς. Εὐδοκίᾳ γάρ τοῦ Πατρός καί τοῦ Υἱοῦ καί αὐτό

συνευδοκοῦν τοῖς ἀξίοις χορηγεῖται τό Πνεῦμα τό ἅγιον. Οἱ δέ λατινόφρονες οὗτοι συνάγοντες ἐκ παρανοίας διά τοῦ Υἱοῦ καί ἐκ τοῦ Υἱοῦ τήν ὕπαρξιν τό Πνεῦμα ἔχειν εὐδοκίας καί θελήσεως ἔργον καί κτίσμα ἐξ ἀνάγκης, ἀλλ᾽ οὐ θείας φύσεως καρπόν ὑπάρχειν τό Πνεῦμα τό ἅγιον παριστῶσι δυσσεβῶς. Κατά γάρ τόν ἱερόν Δαμασκηνόν ἔργον θείας θελήσεως ἡ κτίσις, ἀλλ᾽ οὐχ ἡ θεότης, ἄπαγε˙ «οὐ γάρ τῆς θείας θελήσεως, ἀλλά τῆς θείας φύσεως, αὖθις κατά τόν αὐτόν, ἡ προαιώνιος καί ἀΐδιος γέννησίς τε καί ἐκπόρευσις».

*Ἐπιγραφή δευτέρα* ***(σελ. 348)***

Ἐπειδή εἰσί τινες ἀντιλέγοντες ταῖς γραφικαῖς χρήσεσι, τοῖς δηλοῦσαις διά τοῦ Υἱοῦ εἶναι τό Πνεῦμα ἐκ τοῦ Πατρός, συνελέγησαν καί αἱ παροῦσαι γραφικαί χρήσεις, αἱ δηλοῦσαι προσεχῶς καί ἀμέσως τόν Υἱόν ἐκ Πατρός εἶναι, εἰς συγκρότησιν τῶν δηλουσῶν χρήσεων διά τοῦ Υἱοῦ εἶναι τό Πνεῦμα. Εἰ γάρ μή ἦν τό Πνεῦμα διά τοῦ Υἱοῦ, διατί μή καί αὐτό ἀμέσως ἐρρήθη εἶναι ἐκ τοῦ Πατρός;

*Ἀντεπιγραφή δευτέρα*

Καί μήν ἐρρήθη καί τό θεῖον Πνεῦμα ἐκ Πατρός ἀμέσως καί ἀνῄρηταί σου παντάπασιν ἡ τῆς δυσσεβείας πρόφασίς τε καί παράστασις. Γρηγόριος γάρ ὁ τῆς θεολογίας ἐπώνυμος δεύτερον ἐν τοῖς Ἔπεσιν ἀπό τοῦ Πατρός εἶναί φησι τό Πνεῦμα τό ἅγιον καθά καί τόν Υἱόν. Ὁ δέ Νύσσης, σύν πολλοῖς ἑτέροις, πρός ἕν πρόσωπον, τό πατρικόν, ὡσαύτως ἔχειν ἑκάτερόν φησιν, ἄνευ τοῦ τρόπου τῆς ὑπάρξεως. Ἀλλά καί τά τοῦ ἀνθρώπου, φησί, πρόσωπα οὐκ ἀπό τοῦ αὐτοῦ προσώπου κατά τό προσεχές ἔχει τό εἶναι, ὡς πολλά καί διάφορα εἶναι πρός τοῖς αἰτιατοῖς καί τά αἴτια. Ἐπί δέ τῆς ἁγίας Τριάδος οὐχ οὕτως˙ ἕν γάρ πρόσωπον καί τό αὐτό, τοῦ Πατρός, ἐξ οὗπερ ὁ Υἱός γεννᾶται καί τό Πνεῦμα τό ἅγιον ἐκπορεύεται. Διό καί κυρίως τόν ἕνα αἴτιον μετά τῶν αὐτοῦ αἰτιατῶν ἕνα Θεόν φαμεν τεθαρρηκότως».

Τί δέ οἱ λέγοντες ἐκ τοῦ Πατρός ἐκπορεύεσθαι καί ἐν τῷ Υἱῷ διαμένειν τό Πνεῦμα τό ἅγιον καί ἐκ τοῦ Πατρός ἐν τῷ Υἱῷ διήκειν καί ἐκ τοῦ Πατρός εἶναι καί τῷ λόγῳ συμπαρομαρτεῖν; Ἔτι δέ οἱ κοινωνίαν καί ἀγάπην εἶναι (σελ. 350) λέγοντες τοῦ Πατρός καί τοῦ

Υἱοῦ τό Πνεῦμα τό ἅγιον; Πρός δέ τούτοις οἱ πρός τό ἕτερον ἕκαστον ἔχειν τῶν προσώπων λέγοντες οὐ ἧττον ἤ πρός ἑαυτό; Τί δέ ὁ ψάλλων «αἱ χεῖρες σου ἐποίησάν με καί ἔπλασάν με»; Ἆρ᾽ οὐχ ἅπαντες οὗτοι ἀμέσως εἶναι καί τό Πνεῦμα δεικνύουσιν ἐκ τοῦ Πατρός;

*Ἐπιγραφή τρίτη.*

Κατεστρώθησαν καί αἱ παροῦσαι γραφικαί χρήσεις εἰς συγκρότησιν τῆς ἐννοίας τῶν δηλουσῶν χρήσεων , μή ἀμέσως ἀλλά διά τοῦ Υἱοῦ ἐκ Πατρός εἶναι τό Πνεῦμα. Εἰ γάρ ἀμέσως ἦν τό Πνεῦμα ἐκ τοῦ Πατρός, οὐκ ἄν ἐρρήθη ὁ μέν Υἱός εἰκών τοῦ Πατρός, τό δέ Πνεῦμα εἰκών τοῦ Υἱοῦ˙ καί ὁ μέν Υἱός ἐνέργεια τοῦ Πατρός, τό δέ Πνεῦμα ἐνέργεια τοῦ Υἱοῦ˙ καί ὁ μέν Υἱός πρόσωπον τοῦ Πατρός, τό δέ Πνεῦμα πρόσωπον τοῦ Υἱοῦ.

*Ἀντεπιγραφή τρίτη.*

Ἀνούστατε, ὁ δυσσεβῶς ἐπιγράφων ὧδε τά παρά τῶν ἁγίων εὐσεβῶς εἰρημένα, πῶς οὐ συνορᾷς ὅτι τά κοινά καί φυσικά ἐπί τῆς ἀνωτάτω καί προσκυνητῆς Τριάδος οὐδεμίαν ἔχουσι διαφοράν; Εἷς γάρ Θεός, μία εἰκών, μία θέλησις, μία ἐνέργεια Πατρός, Υἱοῦ καί ἁγίου Πνεύματος. Οὐκοῦν πρός τοῖς ἄλλοις, ὅταν καί πρόσωπον ἕτερον ἑτέρου τούτων λέγηται, φυσικόν ἐστιν, ἀλλ᾽ οὐχ τοῦ τρόπου τῆς ὑπάρξεως, ἄπαγε. Σύ δέ μή οὕτω πρόσωπον ἕτερον λέγων, ἀλλ᾽ ὑποστατικῶς, οὐκέτ᾽ ἔχεις εἶναι μύστης τῆς Τριάδος. Εἰ γάρ τοῦ Πατρός ἐστιν ὁ Υἱός τό πρόσωπον, ὡς ἐξ αὐτοῦ καί τοῦ Υἱοῦ τό Πνεῦμα, οὐκέτ᾽ ἔσται λοιπόν ὁ (σελ. 352) Πατήρ πρόσωπον ἕτερον παρά τόν Υἱόν, οὐδέ παρά τό Πνεῦμα ὁ Υἱός. Ὁρᾷς ὡς αἱ μέν τῶν ἁγίων ρήσεις ἔχουσιν εὐσεβῶς τε καί καλῶς, παρά δέ σοῦ ἐκλαμβάνοντα κακῶς καί δυσσεβῶς;

*Ἐπιγραφή τετάρτη*

Ἐπειδή τινες μή καταδεχόμενοι τήν ἐν τῇ Τριάδι μεσιτείαν τοῦ Υἱοῦ, προδήλως παρά τῶν ἁγίων θεολογουμένην ἀπαρνοῦνται καί τό ὅλως λέγειν ὄνομα τάξεως ἐν τῇ Τριάδι, συνελέγησαν αἱ παροῦσαι γραφικαί χρήσεις εἰς δήλωσίν τε καί τό Πνεῦμα διά τοῦ Υἱοῦ

συνάπτεσθαι τῷ Πατρί καί εἰς παράστασιν τοῦ λέγεσθαι ἀριδήλως τάξιν ἐν τῇ Τριάδι.

*Ἀντεπιγραφή τετάρτη*

Καταψεύδῃ τῶν εὐσεβῶν, ταλαίπωρε. Ἴσμεν γάρ τάξιν ἐπί τῆς ἁγίας Τριάδος, ἀλλά τήν εὐσεβῆ˙ τήν δέ δεικνῦσαν τρίτον ἐξ ἀνάγκης ἀπό τοῦ Πατρός τό Πνεῦμα τό ἅγιον, ὡς δυσσεβῶς ἔχουσαν, ἥν σύ μετ᾽ Εὐνομίου στέργεις, οὐ καταδεχόμεθα. Καί τῶν γραφικῶν δέ καταψεύδῃ χρήσεων˙ οὐ γάρ τόν Υἱόν μόνον, ἀλλ᾽ ἔσθ᾽ ὅτε καί τόν Πατέρα τοῦ Υἱοῦ καί τοῦ Πνεύματος ἕνωσίν φασιν, ἄλλοτε δέ τοῦ Υἱοῦ καί τοῦ Πατρός τό Πνεῦμα μέσον καί κοινόν αὐτοῖς˙ καί ἥν 'ἀριδήλως' φῄς τάξιν, σαφές ὡς οὐ περί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος ἐστι. Στέργεται δέ καί ἡ μεσιτεία τοῦ Υἱοῦ, ἀλλ᾽ οὐ κατά τήν ὕπαρξιν τοῦ Πνεύματος τοῖς τά θεῖα συνετοῖς, ἀλλά κατά τήν ὁμολογίαν, μή προσεχῶς τῷ Πατρί τῷ Πνεῦμα τό ἅγιον τιθεῖσιν, ἵνα μή δόξῃ καί τοῦτο γεννητόν. Τά τοιαῦτα τοίνυν τοῖς ἁγίοις λέγεται καλῶς, ὁ δέ συνειλοχώς (σελ. 354) ταῦτα καί προθείς ἐνταῦθα πρός τήν οἰκείαν μεθέλκων κακοδοξίαν κακῶς καί δυσσεβῶς αὐτοῖς χρῆται.

*Ἐπιγραφή πέμπτη*

Ἐπειδή εἰσί τινες μή καταδεχόμενοι ἐκεῖνο τήν εὐαγγελικήν δύνασθαι ῥῆσιν, Τήν 'Πνεῦμα ἀληθείας' τό ἅγιον λέγουσαν Πνεῦμα, ὅπερ δύναται καί ἡ ῥῆσις ἡ λέγουσα ἐκ τοῦ Πατρός αὐτό ἐκπορεύεσθαι, ἔτι δέ διενιστάμενοι μηδέ εἰς ἰσοδύναμον ἔννοιαν λέγεσθαι τό ἐκ τοῦ Πατρός ἐκπορεύεσθαι καί ἐκ τοῦ Υἱοῦ λαμβάνειν τό Πνεῦμα τό ἅγιον, κατεστρώθησαν αἱ παροῦσαι γραφικαί χρήσεις εἰς ἀπόδειξιν τοῦ ἰσοδυνάμου τῶν τοιούτων εὐαγγελικῶν χρήσεων.

*Ἀντεπιγραφή πέμπτη.*

Τῆς ἀναισθησίας˙ ἰσοδυναμοῦσι γάρ αἱ ῥήσεις τῶν ἁγίων εἰς τό δεῖξαι τήν πρός τόν Πατέρα καί τόν Υἱόν οἰκειότητα, ταὐτό δ᾽εἰπεῖν ὁμοουσιότητα τοῦ θείου Πνεύματος, διαφέρουσι δέ ὡς μή παρ᾽

ἀμφοτέρων, Πατρός τε καί Υἱοῦ, τήν ὕπαρξιν δεικνεῖσαι. Καί τοῦτο κατάδηλον ὑπ᾽ αὐτῶν τούτων τῶν γραφικῶν χρήσεών ἐστι, ὁ δέ συνειλοχώς ταύτας οὗτος πρός τήν διαφοράν τῶν ρήσεων τούτων καθάπερ ἐκκεκώφηται.

***Ἐπιγραφή ἕκτη.***

Ἐπειδή εἰσί τινες λέγοντες διαφέρειν ἀλλήλων τό 'πρόεισι' καί τό 'προχεῖται' καί τό 'ἐκπορεύεται', ἐξελέγησαν εἰς ἀναντίρρητον ἀπόδειξιν τοῦ ἰσοδυνάμου αὐτῶν αἱ προκείμεναι χρήσεις τοῦ ἁγίου Κυρίλλου καί μετ᾽ αὐτάς αἱ (σελ. 356) ὑποτεταγμέναι χρήσεις τῶν θεολογούντων ἐκ Πατρός προϊέναι τε καί ἐκπέμπεσθαι καί προχεῖσθαι τό Πνεῦμα.

***Ἀντεπιγραφή ἑβδόμη***

Ἐπειδή τινες ἀκούοντες τό Πνεῦμα τό ἅγιον ἐκ τοῦ Υἱοῦ ὑπάρχον καί ἀναβλύζον καί προϊόν, οὐχί τήν φύσιν τοῦ Πνεύματος ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ πηγάζειν καί ἀναβλύζειν τερατολογοῦσιν, ἀλλά τό πνευματικόν χάρισμα τό τοῖς ἀξίοις ἐπιγινόμενον, διά τό τήν ἐγγινομένην αὐτοῖς ἐνοίκησιν τῆς πανταχοῦ παρούσης θεότητος τοῦ ἁγίου Πνεύματος σχετικῶς γίνεσθαι, οὕτω τό τοιοῦτον ἐκλαμβάνοντες χάρισμα, ὥσπερ ἄν εἰ ἀποδιῃρημένον τῆς θείας οὐσίας νοοῖτο τοῦ Πνεύματος , συνελέγησαν αἱ παροῦσαι γραφικαί χρήσεις, ἐξ ὧν ἔχει τις διαγνῶναι, ὡς κἄν ἡ ἐγγινομένη τοῖς ἀξίοις ἐνοίκησις τοῦ παναγίου Πνεύματος σχετική ἐστιν ἀρρήτως καί ὑπέρ λόγον, ἀλλ᾽ἐπεί ἐκεῖ τά χαρίσματα προχέονται, ὅπου ἡ θεία φύσις αὐτοῦ σχετικῶς ἐνοικήσει, αὐτό τό Πνεῦμα τό ἅγιον, τό ἕν τῆς Τριάδος καί συμπληρωτικόν, ὅπερ ἐστί θεία φύσις καί τέλειος Θεός, ὡς ὁ Πατήρ καί ὁ Υἱός, (σελ. 358) δηλοῦται, ὅταν τις λέγῃ τό Πνεῦμα τό ἅγιον προϊόν καί ἀναβλύζον καί ὑπάρχον ἐκ τοῦ Υἱοῦ.

***Ἀντεπιγραφή ἑβδόμη***

Ὄντως οὐκ οἶδεν ἅ λέγει οὔτε περί τίνων διαβεβαιοῦται ὁ καί ταύτην τήν ἐπιγραφήν συνθείς. Οὐδείς γάρ τῶν εὐσεβεῖν ᾐρημένων διεσπαρμένην εἶναι νομίζει τῆς θείας φύσεως τήν θείαν χάριν καί τήν

ἐνέργειαν˙ οὐ μήν ὅτι ἀχώριστός ἐστι τῆς θείας φύσεως ἡ θεία ἐνέργεια, παρά τοῦτο καί φύσις ἐστίν ἡ ἐνέργεια ταύτης μηδέν διαφέρουσα (τοῦτο γάρ τῆς Βαρλαάμ καί Ἀκινδύνου δυσσεβείας ἐστίν)˙ ἡ μέν γάρ θεία ἐνέργεια ἐκ τῆς θείας φύσεώς ἐστι καί ἐνθεωρεῖται ταύτη κατά τούς θεολόγους, ἀλλ᾽ οὐκ ἔστι καθ᾽ αὐτήν, ἡ δέ θεία φύσις οὐκ ἐκ τῆς ἐνεργείας ἐστί καθ᾽ ἑαυτήν ἐστι καί τῶν θείων ἐνεργειῶν ἐστι πηγή. Ἀλλά καί τό Πνεῦμα τό ἅγιον οὐκ ἐκ τῆς ὑποστάσεως εἶναι τοῦ Υἱοῦ φαμεν˙ οὗτος δέ λέγων εἶναι τοῦτο ἐκ τῆς φύσεως, ἡμῖν ἀντιλέγειν οἴεται καί τἀναντία ἡμῶν κατασκευάζειν, μηδέν διαφέρειν, ὡς ἔοικε, νομίζων τήν φύσιν τῆς ὑποστάσεως, ἤ καί διαφοράν ἀφρόνως εἰσάγων φύσεως ἐπί τῆς ἁγίας Τριάδος, ἐπεί διαφοράν ἐστιν ὑποστάσεων.

***Ἐπιγραφή ὀγδόη***

Εἰς ἀπόδειξιν τοῦ εἶναι τό Πνεῦμα τό ἅγιον ἐκ Πατρός καί Υἱοῦ συνελέγησαν καί αἱ παροῦσαι γραφικαί λύσεις, αἱ δηλοῦσαι εἶναι αὐτό ποιότητα τῆς τοῦ Πατρός καί τοῦ Υἱοῦ οὐσίας, ἔτι δέ εὐωδίαν, πνοήν καί ὀσμήν τοῦ Πατρός καί τοῦ Υἱοῦ, μεθ᾽ ἅς ἕτεραι χρήσεις, αἵτινες καί τόν (σελ. 360) Πατέρα πηγήν τοῦ Πνεύματος καί τόν Υἱόν πηγήν θεολογοῦσι τοῦ Πνεύματος.

***Ἀντεπιγραφή ὀγδόη***

Αἱ συνειλεγμέναι παροῦσαι γραφικαί χρήσεις καί διά παραδειγμάτων τό πρός τόν Πατέρα καί τόν Υἱόν ὁμοούσιον παριστῶσι τοῦ ἁγίου Πνεύματος κατά τό ἐγχωροῦν˙ οὐ γάρ ἔστιν εὑρεῖν ἐπί Θεοῦ παράδειγμα πάντῃ κατάλληλον. Ἐπεί δέ καί ὕδωρ ζῶν καλεῖται τό Πνεῦμα τό ἅγιον κατά τήν χάριν καί τήν ἐνέργειαν, τούτου τοῦ ὕδατος καλεῖται πηγή καί ὁ Υἱός μετά Πατρός, ἔστι δ᾽ ὅτε καί αὐτό τό ἅγιον Πνεῦμα, ὁ δέ τάς ῥήσεις ταύτας προενεγκών ἐνταῦθα τάς μέν παρῆκε τούτων, ταῖς δέ παραχρῆται καί οὕτω δι᾽ αὐτῶν κλέπτειν οἴεται τούς ἐντυγχάνοντας πρός τήν οἰκείαν κακόνοιαν.

*Ἐπιγραφή ἐνάτη.*

Αἱ παροῦσαι γραφικαί χρήσεις, ἐν αἷς οἱ πατέρες ἐθεολόγησαν πάντα τά τοῦ Πατρός ἴδια φυσικῶς διαβαίνειν ἐπί τόν ἐξ αὐτοῦ γεννηθέντα Υἱόν, κατεστρώθησαν εἰς ἀπόδειξιν τοῦ ὑπάρχειν καί προϊέναι καί πηγάζειν τό Πνεῦμα καί ἐκ τοῦ Υἱοῦ, καθάπερ ἀμέλει καί ἐκ τοῦ Πατρός, κατά τόν ἅγιον Κύριλλον. Εἰ γάρ τήν πατρότητα καί τό γεννᾶν μόνον ἀφαιροῦνται ἀπό τοῦ Υἱοῦ οἱ προσδιορισμοί τῶν χρήσεων, εὔδηλον ὡς Υἱός μέν ἐκ τοῦ Υἱοῦ οὐκ ἔσται, Πνεῦμα δέ τό ἐκ τῆς πατρικῆς ἀναβλύζον οὐσίας καί ἐκ τῆς μή γεννώσης οὐσίας τοῦ Υἱοῦ ἀναβλύζον ἔσται καί προχεόμενον.

***(σελ. 362) Ἀντεπιγραφή ἐνάτη.***

Ὄντως ἀσυλλόγιστον ἡ δυσσέβεια˙ διαβαίνειν γάρ ἀκούων ὁ λατινόφρων οὗτος ἐπί τόν Υἱόν τά τοῦ Πατρός ἴδια φυσικῶς τε καί οὐσιωδῶς, τά τῆς πατρικῆς ὑποστάσεως ἐνόμισεν ἴδια, ἀλλ᾽ οὐ τά τῆς φύσεως. Οὐκοῦν κατά τήν αὐτοῦ σύνεσιν, ἥν ἐν ταῖς τῶν θεοφόρων κέκτηται θελογίαις, τοῦ θείου Κυρίλλου γράφοντος ἐν θησαυροῖς «πῶς οὐκ ἔσται Θεός τό Πνεῦμα, ὅλην ἔχον οὐσιωδῶς τήν ἰδιότητα τοῦ Πατρός καί τοῦ Υἱοῦ», τά ὑποστατικά τοῦ Πατρός καί τοῦ Υἱοῦ τό Πνεῦμα ἕξει, γέννημά τε καί γεννήτωρ ἔσται καί Πατήρ τῶν φώτων τό γεννᾶν καί ἐκπορεύειν ἔχον˙ οὗ τί ἄν ἀκουσθείη δυσσεβέστερόν τε καί καινότερον; Τό αὐτό δέ σχεδόν πείσεται πάλιν αὐτός τε καί οἱ κατ᾽ αὐτόν φρονοῦντες καί ὅταν ἀκούσωσι τοῦ μέν ἱεροῦ Δαμασκηνοῦ λέγοντος ἐν τῷ ὀγδόῳ τῶν δογματικῶν «πάντα ὅσα ἔχει ὁ Πατήρ καί τοῦ Πνεύματός ἐστι πλήν τῆς ἀγεννησίας» καί τοῦ τῆς θεολογίας ἐπωνύμου Γρηγορίου γράφοντος ἐν τῷ Πρός τούς ἀπ᾽ Αἰγύπτου καταπλεύσαντας, «πάντα ὅσα τοῦ Υἱοῦ καί τοῦ Πνεύματος, πλήν τῆς υἱότητος». Πόσης δέ ἀνοίας πάλιν τό ἐκ τῆς οὐσίας ἀκούειν καί ἐκ τῆς τοῦ Υἱοῦ ὑποστάσεως δοξάζειν, ὥσπερ ἄν εἰ μία ἦν, καθάπερ οὐσία, οὕτω καί ὑπόστασις ἐπί Θεοῦ˙ πρός δέ καί τό μή συνορᾶν ὡς, ἐπεί Πατρός καί ἐκ Πατρός λέγεται τό Πνεῦμα, οἱ Πατέρα εἶναι τόν Υἱόν ἀπαγορεύοντες συναπαγορεύουσι καί τήν τοῦ Υἱοῦ πρός τόν Πατέρα κοινωνίαν κατά τήν ἐκπορευτικήν ἰδιότητα.

*Ἐπιγραφή δεκάτη*

Αἱ παροῦσαι γραφικαί χρήσεις, ἐν αἷς οἱ πατέρες (σελ. 364) ἐθεολόγησαν ἴδιον τοῦ Πατρός τόν Υἱόν εἶναι, ὡς ἐκ τῆς οὐσίας αὐτοῦ ὄντα, καί ἐξ αὐτοῦ εἶναι, ὡς ἴδιον ὄντα τῆς οὐσίας αὐτοῦ, κατεστρώθησαν ἐνταῦθα, ἵν᾽ εἴη τῷ βουλομένῳ ἐντεῦθεν διαγινώσκειν ὡς καί τό Πνεῦμα διά τοῦτο ἴδιον τοῦ Υἱοῦ λέγεται εἶναι, διά τό ἐκ τῆς οὐσίας αὐτοῦ εἶναι˙ καί αὖ διά τοῦτο ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ λέγεται, διά τό τῆς τοιαύτης οὐσίας ἴδιον ἀγαθόν εἶναι αὐτό, ὅπερ ἐμφαίνει καί τήν πρός τόν Υἱόν τοῦ Πνεύματος ὁμοουσιότητα. Εἰ γάρ κατ᾽ ἄλλον τινα λόγον ὁμοουσιότητος, ὁποῖός ἐστιν ὁ περί δύο τινῶν ὁμοουσίων λεγόμενος, ἐν οἷς οὐκ ἔστι διά τοῦ ἑτέρου τό ἕτερον, ἦν τό Πνεῦμα ἴδιον τοῦ Υἱοῦ καί ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ, ἦν ἄν καί ὁ Υἱός ἴδιος τοῦ Πνεύματος καί ἐκ τῆς οὐσίας τοῦ Πνεύματος διά τό ἀντιστρέφον τῆς τοιαύτης ὁμοουσιότητος, ὅπερ οὔτε ἐρρήθη παρά τινος τῶν ἁγίων οὔτε ρηθήσεταί ποτε παρά τοῦ τῶν ὀρθοδοξεῖν αἱρουμένων. Ἡ δέ τοιαύτη ὁμοουσιότης οὐδέ κυρίως ὁμοουσιότης, ἀλλ᾽ ἡ συνάπτουσα τό ἕτερον τῷ ἑτέρῳ, ὡς δι᾽ αὐτοῦ ἤ ἐξ αὐτοῦ ὑπάρχον φυσικῶς τε καί οὐσιωδῶς. Καί μαρτυρήσει τοῦτο ἡ ἐνταῦθα κατεστρωμένη τοῦ μεγάλου Βασιλείου χρῆσις ἡ λέγουσα «μή τά ἀδελφά ἀλλήλοις ὁμοούσια λέγεσθαι», προστίθενται δέ καί αἱ δηλοῦσαι χρήσεις διά τοῦτο εἶναι τόν Υἱόν ὁμοούσιον τῷ Πατρί, διά τό ἐκ τῆς οὐσίας αὐτοῦ εἶναι, ἵν᾽ εἴη τῷ βουλομένῳ ἐντεῦθεν διαγινώσκειν, ὡς καί τό Πνεῦμα διά τοῦτό ἐστι τῷ Υἱῷ ὁμοούσιον, ὅτι ἐκ τῆς αὐτοῦ οὐσίας ἐστί.

*Ἀντεπιγραφή δεκάτη*

Ἴδιον ἐστιν ὁ Υἱός τοῦ Πατρός, ὡς ἐξ αὐτοῦ γεννηθείς, ὡσαύτως καί τό Πνεῦμα τό ἅγιον, ὡς ἐξ αὐτοῦ τοῦ Πατρός (σελ. 366) ἐκπορευόμενον, καθ᾽ ἅ καί ὁ μέγας Βασίλειος ἐν τοῖς Πρός Εὐνομιανούς φησι κεφαλαίοις, γράφων˙ «τήν πρός τόν Πατέρα οἰκειότητα νοῶ τοῦ Πνεύματος, ἐπειδή παρά τοῦ Πατρός ἐκπορεύεται». Λέγεται δέ καί τοῦ Υἱοῦ τό Πνεῦμα, ἐπειδή ὁ αὐτός ἐν ὀγδόῳ κεφαλαίῳ τῶν Πρός Ἀμφιλόχιόν φησιν, «ὡς κατά τήν φύσιν ᾠκειωμένον αὐτῷ». Ἔστι δέ τῶν ἀδυνάτων τά τῇ φύσει ταυτά μή καί ἀλλήλοις οἰκεῖα εἶναι˙ οὐ λέγεται δέ ὁ Υἱός τοῦ Πνεύματος, ἵνα μή δόξῃ Πατήρ τό Πνεῦμα τό ἅγιον, ἅτε τοῦ Υἱοῦ Πατέρα δεικνύντος τόν

οὗπερ ἄν λέγοιτο Υἱός. Ὁ δέ λατινόφρων οὗτος ἐκ τῶν ὑγιῶς ἐνταῦθα κατεστρωμένων ῥήσεων οὐδέν συνάγει ὑγιές. Ἐξελέγχεται μέντοι καί παρ᾽ ἑαυτόῦ λέγων διά τό ὁμοούσιον ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ λέγεσθαι τό Πνεῦμα˙ οὐ γάρ ἔσται διά τοῦτο καί ἐκ τῆς ὑποστάσεως˙ συμβήσεται γάρ ἐξ ἀλλήλων εἶναι ταῦτα, διό οὐδείς οὐδέποτε τῶν ἁπάντων τό Πνεῦμα τό ἅγιον εἴρηκεν ἐκ τῆς ὑποστάσεως εἶναι τοῦ Υἱοῦ, ἀλλ᾽ ἐκ τῆς τοῦ Πατρός.

***Ἐπιγραφή ἑνδεκάτη***

Ἐπειδή ἀκούοντές τινες τό Πνεῦμα ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ λέγουσιν ἄλλο εἶναι τό ἐκ τῆς οὐσίας καί ἄλλο τό ἐκ τῆς ὑποστάσεως, μή δυνάμενοι συνιδεῖν ὡς τό Υἱός ὄνομα ὑποστατικόν ἐστι καί ὁ λέγων ἐκ τῆς οὐσίας τοῦ Υἱοῦ ὅλον δηλοῖ τόν Υἱόν, οὐσίαν δηλαδή ἐνυπόστατον, εἰς ἔλεγχον τῆς αὐτῶν ἐπινοίας συνελέγησαν αἱ παροῦσαι γραφικαί χρήσεις, αἱ δηλοῦσαι ἐκ τῆς οὐσίας τοῦ Πατρός τόν Υἱόν γεννᾶσθαι. Ὡμολογημένου γάρ μίαν εἶναι τήν ἐκ Πατρός γέννησιν τοῦ Υἱοῦ, πῶς ἔστι διαφέρειν τό ἐκ τῆς οὐσίας καί τό ἐκ τῆς ὑποστάσεως, εἰ μή τις βλασφημῶν ἐθέλει λέγειν ἄλλην μέν ἐκ τῆς οὐσίας, ἄλλην δ᾽ ἐκ τῆς ὑποστάσεως Πατρός γέννησιν τοῦ Υἱοῦ; Μεθ᾽ ἅς ἕτεραι χρήσεις αἱ δηλοῦσαι (σελ. 368) τελείαν οὐσίαν καί τέλειον Θεόν λέγεσθαι τόν Πατέρα καί τελείαν οὐσίαν τόν Υἱόν καί τελείαν οὐσίαν τό Πνεῦμα τό ἅγιον.

***Ἀντεπιγραφή ἑνδεκάτη.***

Ὅταν τι μιᾶς οὐσίας ᾖ καί ὑποστάσεως, τό ἐκ τῆς οὐσίας ἐκείνης φυσικῶς ἔχον ὁπωσδήποτε τήν ὕπαρξιν καί ἐκ τῆς ὑποστάσεως ἐκείνης ταύτην ἔχει καί ἀντιστρόφως˙ ὅ γάρ ἄν ἐκ τῆς ὑποστάσεως ἐκείνης ᾖ καί ἐκ τῆς οὐσίας ἐκείνης ἐστίν. Ὅταν δέ τι μιᾶς μέν οὐσίας ᾖ, οὐ μιᾶς δέ ὑποστάσεως, ἀλλά πλειόνων, τό ἐκ τῆς μιᾶς ἐκείνης οὐσίας οὐκ ἐκ τῶν λοιπῶν αὐτῆς ὑποστάσεών ἐστιν, ἀλλ᾽ ἐκ μιᾶς τινος αὐτῶν. Ἐπεί οὖν ἡ ἀνωτάτω καί προσκυνητή Τριάς ἡμῖν μία φύσις ἐστίν ἐν ὑποστάσεσι τρισίν, οὐ πᾶν τό ἐκ τῆς οὐσίας τήν ὑπόστασιν ἔχον ἐκ τῶν λοιπῶν ὑποστάσεών ἐστιν, ἀλλ᾽ ἐκ μιᾶς τινος αὐτῶν, δηλαδή τῆς πατρικῆς˙ ἐκ ταύτης γάρ μή εἶναι οὐκ ἐνδέχεται. Οὐκοῦν οὐχί καί ἐξ ἑτέρας, ἀλλ᾽ ἐκ μόνης, εἴπερ ἐκ μιᾶς. Καί τοῦτο

δῆλον ἀπό τῶν ἀνθρώπων˙ ἕκαστος γάρ ἡμῶν ἐκ τῆς οὐσίας μέν ἐστι τοῦ Ἀδάμ, οὐκέτι δέ ἐκ τῆς ὑποστάσεως τοῦ Ἀδάμ, διότι μία μέν οὐσία τῶν ἀνθρώπων νῦν, πολλαί δέ ὑποστάσεις˙ ἀνθρωπίνης δέ τήν ἀρχήν μιᾶς οὔσης οὐσίας τε καί ὑποστάσεως, τῆς τοῦ Ἀδάμ, ἐκ τοῦ οὐσία ς τοῦ Ἀδάμ ἡ Εὔα οὖσα καί ἐκ τῆς ὑποστάσεως ἐκείνου ἦν. Ἀλλά καί πρίν τόν Κάϊν εἶναι, μιᾶς οὔσης ἀνδρικῆς οὐσίας τε καί ὑποστάσεως, ἐκ μιᾶς καί τῆς αὐτῆς ὁ Κάϊν ἀνδρικῆς οὐσίας τε καί ὑποστάσεως ὑπῆρχε, τοῦ Ἀδάμ˙ δυοῖν δέ ἀνδρῶν ἤδη καθ᾽ ὑπόστασιν τελούντων, ὁ τῷ Κάϊν γεννηθείς υἱός ἐκ τοῦς οὐσίας μέν ὑπῆρχε τοῦ Ἀδάμ, ἀλλ᾽ οὐχί καί ἐκ τῆς ὑποστάσεως αὐτοῦ, ἀλλ᾽ἐκ μόνης τῆς τοῦ Κάϊν. (σελ. 370) Ὁ δέ λατινόφρων οὗτος διατεινόμενος ἐνταῦθα καί ἐκ τῆς ὑποστάσεως εἶναι τοῦ Υἱοῦ τό Πνεῦμα, εἴπερ εἶναι θεολογεῖται ἐκ τῆς φύσεως, μίαν δείκνυσι φρονῶν ὥσπερ οὐσίαν οὕτω καί ὑπόστασιν ἐπί Θεοῦ, τόν Υἱόν ἤ τόν Πατέρα τελέως ἀθετῶν ὁ τάλας, πρός δέ τούτῳ καί ἐκ μόνου τοῦ Υἱοῦ τήν ὕπαρξιν εἶναι τοῦ θείου Πνεύματος δεικνύς. Ἀλλά καί ἀπό τῶν ρητῶν, ἅ θεολογοῦσι τελείαν οὐσίαν εἶναι τόν Πατέρα καί τελείαν οὐσίαν τόν Υἱόν, ὡσαύτως καί τό Πνεῦμα τό ἅγιον, οὐ τό ἑνιαῖον καί ἀπαράλλακτον τῆς οὐσίας ἐπιγινώσκει τῶν τριῶν, ἀλλ᾽ ἐνθεωρεῖν πειρᾶται πληθυσμόν τινα καί διαφοράν ἐντεῦθεν κατ᾽ αὐτήν ἀφρόνως.

### *Ἐπιγραφή δωδεκάτη*

Ἐπειδή εἰσίν τινες ἀποτολμῶντες καί λέγοντες τό ἀναβλύζειν καί προϊέναι καί ἐκλάμπειν καί πεφηνέναι ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα μή δηλοῦν τό οὐσιωδῶς καί ἐνυποστάτως ὑπάρχειν αὐτό ἐκ τοῦ Υἱοῦ, ἀλλά τήν ἐξ αὐτοῦ τῶν πνευματικῶν χαρισμάτων διανομήν, εἰς ἔλεγχον τῆς τοιαύτης ἀνοίας ἐξελέγησαν αἱ παροῦσαι γραφικαί χρήσεις, αἱ δηλοῦσαι ἀναβλύζειν καί ἐκλάμπειν καί πεφηνέναι τόν Υἱόν ἐκ Πατρός˙ οὐ γάρ δή τις ἐρεῖ ὡς οὐχ ὁ Υἱός ἐστιν ὁ ἀναβλύζων καί ἐκλάμπων καί πεφηνώς ἐκ Πατρός οὐσιωδῶς καί ἐνυποστάτως, ἀλλά τά χαρίσματα τοῦ Υἱοῦ.

### *Ἀντεπιγραφή δωδεκάτη*

Τό γεννητῶς ἔκ τινος ἤ ἐκπορευτῶς τήν ὕπαρξιν ἔχον ἐξ αὐτοῦ καί προϊέναι λέγεται καί ἐκπέμπεσθαι καί ἐκλάμπειν, (σελ. 372) εἴπερ

φῶς ἐστι, καί ὅσα παραπλήσια τούτοις. Οὐ μή πᾶν τό προϊόν ἤ ἐκπεμπόμενον ἤ ἐκλάμπον ἔκ τινος καί ἐξ ἐκείνου γεννητῶς ἤ ἐκπορευτῶς τήν ὕπαρξιν ἔχει καί ἐν ἰδίᾳ ὑποστάσει ἐστίν. Οὗτος δέ, ὁ τάς ἐπιγραφάς ταύτας συγγραψάμενος, τόλμαν ἐγκαλεῖ τοῖς εὐσεβῶς καί νουνεχῶς φρονοῦσι τολμητίας ὢν αὐτός περί τό δυσσεβεῖν.

## ΕΠΙΣΤΟΛΗ Α’ ΠΡΟΣ ΑΚΙΝΔΥΝΟΝ (σελ.398)

### *ΟΤΙ ΛΑΤΙΝΟΙ ΤΟΥ ΕΝΟΣ ΠΝΕΥΜΑΤΟΣ ΔΥΟ ΛΕΓΟΥΣΙΝ ΑΡΧΑΣ*

### *ΚΑΙ ΟΤΙ ΤΟΥΣ ΘΕΟΛΟΓΙΚΟΥΣ ΣΥΛΛΟΓΙΣΜΟΥΣ ΑΠΟΔΕΙΚΤΙΚΟΥΣ ΜΑΛΛΟΝ ΔΕΙ ΚΑΛΕΙΝ Ἤ ΔΙΑΛΕΚΤΙΚΟΥΣ*

Σύ μέν ἡμᾶς ἴσως χρῆν εἶναι λόγον ἀποδοῦναι δοκεῖς, ὅτι μή συχνότερον ἐπιστέλλομεν˙ ἡμεῖς δέ καί τοῦ διά πλείστου γράφειν ἀπολογήσασθαι δεῖν οἰόμεθα. Τίς δέ ἡ ἀπολογία; Τό ἀναγκαῖον, ὅθεν ὡς ἐκ τοῦ γεωμετρικοῦ πορίσματος σχοίης ἄν, ὦ φιλότης, καί τῆς πρώην ἀγραφίας τό αἴτιον˙ καί νῦν γάρ ἄκων ἐπί τό γράφειν ἦλθον ὑπ᾽ ἀνάγκης ἀπαραιτήτου. Ταῦτ᾽ ἄρα καί αὐτός τῆς τε μακρηγορίας καί τῆς ἀγροικίας τῶν ρημάτων ἀνάσχου. Τί ποτ᾽ οὖν ἐστι τό βιασάμενον; Ἀκηκόαμεν ἐξενηνέχθαι βιβλίον Κατά Λατίνων τῷ καλῷ τά τε ἄλλα καί περί τούς λόγους καί τούτων μάλιστα τό κορυφαῖον εἶδος Καλαβρῷ Βαρλαάμ καί δι᾽ ἐφέσεως ἦν ἡμῖν ἐντυχεῖν τῷ βιβλίῳ. Τῆτες τοίνυν κατά τήν ἑόρτιον Πεντηκοστήν ἥκει τις ἡμῖν τό ποθούμενον φέρων. Ἐδεξάμεθα τοίνυν ἄσμενοι, διήλθομέν τε καί ἀπεδεξάμεθα τάς ἀντιρρήσεις ἐς τά μάλιστα. Πάνυ δέ ἦν μοι βουλομένῳ προσεντυγχάνειν καί τῷ τοῦ Λόγου Πατρί˙ τούτου δέ ἐπί τοσοῦτον ἀπῳκισμένου σύν σοί, διά σοῦ δεῖν ἔγνων ἐρέσθαί τι τῶν ἀναγκαιοτάτων.

Ἐγκαλεῖ τοῖς προσδιειλεγμένοις τῶν Λατίνων, ὅτι δύο ἀρχάς ποιοῦσι τῆς τοῦ Πνεύματος θεότητος, τόν Πατέρα δηλονότι καί τόν Υἱόν, ἐξ ἀμφοτέρων δογματίζοντες αὐτό. Οἱ δ᾽ “οὐ”, φασιν, “εἷς γάρ Θεός καί ὡς ἐξ ἑνός ἡ πρόοδος”, κακῷ τό κακόν φεῦ ἰώμενοι, μᾶλλον δέ καί χείρονι, ὡς φανερόν ἔσται προϊόντος τοῦ λόγου. Ὁ δέ μεταξύ λέγων ἐπιφέρει, ἴσως ἄν τις ὑπέρ ταύτης ἀπολογούμενος τῆς δόξης,

(σελ. 400) τουτέστι τῶν δύο ἀρχάς δοξαζόντων τοῦ ἁγίου Πνεύματος, εἴποι μηδέν ἄτοπον εἶναι, εἴ τις δύο μέν ἀρχάς λέγει, τόν Πατέρα δηλονότι καί τόν Υἱόν, μή μέντοιγε ἀντιδιῃρημένας μηδέ ἀντιθέτους ἀλλήλαις, ἀλλά τήν ἑτέραν ὑπό τήν ἑτέραν ἤ ἐκ τῆς ἑτέρας. Προϊών δέ ἐπιβεβαιοῖ μηδαμόθεν ἔχειν τό ἄτοπον τήν δόξαν ταύτην, μάρτυρα παράγων τόν ἐν θεολογίᾳ πολύν Γρηγόριον λέγοντα περί τοῦ Υἱοῦ˙ «ἡ ἐκ τῆς ἀρχῆς ἀρχή». Καί αὐτός δ᾽ οἴκοθεν ἀποδεικνύς τό τῆς δόξης ταύτης ἀσφαλές, προκατασκευάζει λέγων˙ «σώζεται γάρ οὕτω γε τό τῆς μοναρχίας δόγμα». Καί ἐπ᾽ ἐκεῖνο δέ τοῦ λόγου γενόμενος, ἐφ᾽ ὅ τῶν παραδεδομένων ἡμῖν περί Θεοῦ τά συντείνοντα τῇ διαλέξει καταλέγει, προϋποθέμενος ὡς μίαν φύσιν ἀνομολοῦμεν ἐπί τοῦ Θεοῦ, τρεῖς δέ ὑποστάσεις, καί ὡς ἕτερα τά φυσικά τῶν ὑποστατικῶν, ἐπιφέρει λέγων καθ᾽ ὑπόθεσιν καί τοῦτο ἀνωμολογημένην ὡς οὐ δύο ἀρχαί οὕτως ὡς μή ἔχειν τήν ὕπαρξιν τήν ἑτέραν ἐκ τῆς ἑτέρας, ὡς ἀσεβές ὄν οὕτω δύο λέγειν ἀρχάς ἐπί Θεοῦ. Καί γάρ καί αὐτός αὖθις προστίθησιν˙ «ἴσως οὕτω γε οὐδέν κωλύει» ὥς φησιν ὁ Θεολόγος, «ἡ ἐκ τῆς ἀρχῆς ἀρχή», καί δείκνυσιν οἰόμενος ἐκ τῶν τοιούτων λόγων καί δι᾽ ἄλλων μεταξύ διαλεγόμενος μή δυσσεβές εἶναι λέγειν ἀρχήν καί τόν Υἱόν τοῦ ἁγίου Πνεύματος, ὡς καί αὐτόν ἐξ ἀρχῆς ὄντα, εἰ καί ἀρχή ἐστι. Καί μήν οὐδέ ἐπί τῆς δημιουργικῆς ἀρχῆς, καθ᾽ ἥν καί ὁ Υἱός φανερῶς ἀρχή παρά τῆς Γραφῆς καλεῖται, δύο λέγειν εὐσεβές ἀρχάς˙ ἀλλ᾽ οὐ ταύτην ἐνταυθοῖ προϋποτίθεται, μηδέν συντελοῦσαν πρός τήν προκειμένην σκέψιν. Καί τοῦτο σαφῶς μέν, ὡς ἐγῷμαι, κἀνταῦθα δείκνυσι, σαφέστερον δέ ἐν τοῖς μικρόν ἀνωτέρω γεγραμμένοις, ἐν οἷς οὐκ ἐκ τῆς ἀρχῆς αὐτόν μόνον λέγει, ἀλλά καί ὑπό τήν ἀρχήν, τήν ἑτέραν ὑπό τήν ἑτέραν λέγων, ὅπερ οὐκ ἄν εἴη ἐπί τῆς δημιουργικῆς ἀρχῆς˙ ἡ αὐτή γάρ ἐστιν ἐκείνη.

(σελ. 402) Ἄλλως τε, τό δημιουργικόν ταύτης σημαινούσης, οὐ δύο μόνον ἄν εἴποι τις, εἰ καί μή καλῶς, ἀλλά καί πλείους˙ τρισυπόστατος γάρ αὕτη ἡ ἀρχή˙ φύσει δέ οὖσα καί κοινή ἐστι˙ κοινήν δέ οὖσαν, πῶς οὐκ ἄν ἔχοι καί τό Πνεῦμα ταύτην τήν ἀρχήν; Καί ὁ τῷ Ἰώβ δέ προσδιαλεγόμενος ὑπέρ τῆς τοῦ Θεοῦ δικαιοσύνης Ἐλιούς, «Πνεῦμα», λέγων «Κυρίου τό ποιῆσάν με», οὐ ποιητικήν ἀρχήν τό Πνεῦμα λέγει; Καί ὁ θεῖος ᾠδικός Δαβίδ, «λόγῳ μέν Κυρίου τούς οὐρανούς στερεωθῆναι ψάλλων, «Πνεύματι δέ τάς τῶν οὐρανῶν δυνάμεις», οὐχ ὥσπερ τῷ Υἱῷ, οὕτω καί τῷ Πνεύματι τήν δημιουργικήν ἀρχήν προσμαρτυρεῖ; Εἰ οὖν διά τό γέγραφθαι «ἡ ἐκ τῆς ἀρχῆς ἀρχή», δύο

εἰπεῖν ἀρχάς οὐδέν κωλύει, καί διά τό γεγράφθαι καί τό Πνεῦμα ποιητήν, δύο ποιητάς εἰπεῖν οὐδέν κωλύει· ἤ διά τό λόγῳ Θεοῦ καί Πνεύματι τήν κτίσιν στερεοῦσθαι», ταὐτόν δ᾽ εἰπεῖν συνίστασθαι, τρεῖς ἀρχάς εἰπεῖν οὐδέν κωλύει. Ἀλλ᾽ οὐδαμοῦ τῶν θεολόγων εἶπέ τις οὔτε δύο οὔτε τρεῖς· ὥσπερ γάρ Θεόν ἑκάστην τῶν προσκυνητῶν ἐκείνων ὑποστάσεών φαμεν καί Θεόν ἑκατέραν ἐκ Θεοῦ, ἀλλ᾽ οὐ παρά τοῦτο τρεῖς ἤ δύο ποτέ θεούς, οὕτω καί ἀρχήν ἐξ ἀρχῆς φαμεν, ἀλλ᾽ οὐ δύο ποτέ ἀρχάς· δευτέραν γάρ ἀρχήν οὐδέπω καί τήμερον ὑπό τῶν εὐσεβῶν ἀκηκόαμεν, ὥσπερ οὐδέ Θεόν δεύτερον. Ἀλλ᾽ εἷς ἡμῖν Θεός καί μοναρχία τό προσκυνούμενον, οὐκ ἐκ δύο θεῶν, οὐδ᾽ ἐκ δύο ἀρχῶν συνιόντα, καί ἕν, ἐπεί μηδέ κατά ταῦτα μεριστόν, ἡμῖν τό σεβόμενον· καί μήν οὐδέ κατά τό αὐτό μερίζεταί τε καί συνάγεται· διαρεῖται μέν γάρ ταῖς ὑποστατικαῖς ἰδιότησι, τοῖς δέ κατά τήν φύσιν ἑνοῦται. Εἰ γοῦν δύο ἀρχάς εἰπεῖν οὐδέν κωλύει, λοιπόν αὗταί εἰσι καθ᾽ ἅς μερίζεται· ἑνωθῆναι τοίνυν αὖθις κατ᾽ αὐτάς ἀδύνατον· οὐκ ἄρ᾽ αἱ δύο μία. Ὁ τοίνυν λέγων δύο ἀρχάς ἐπί Θεοῦ, ὅτι ὁ Υἱός ἐκ τῆς ἀρχῆς ἀρχή ἐστιν, εἰ μέν κατά τό δημιουργικόν φησι, πρός τῷ καί (σελ. 404) ἄλλως μή συμβαίνειν τῇ καθ᾽ ἡμᾶς ὁμολογίᾳ, καί τό Πνεῦα τό ἅγιον ἐκβάλλει τῆς δημιουργικῆς δυνάμεως, ταὐτό δέ εἰπεῖν καί τῆς θεότητος· τό γάρ μή δημιουργικόν, οὐδέ Θεός· εἰ δέ κατά τό θεογόνον, ἐκ τοῦ Πατρός καί ἐκ τοῦ Υἱοῦ σαφῶς τό Πνεῦμα παραδίδωσιν.

Οὐ μή ἀλλά τοῦτο μέν αὐτός ἐν τοῖς Λόγοις εἰρηκώς, σιωπῆσαι τελέως οὐ διέγνων. Σύ δέ ἐρωτήσας μετά τῆς γιγνομένης ἐπιεικείας τε ὁμοῦ καί παρρησίας, μᾶλλον δέ φιλομαθείας, μάθε καί δίδαξον ἡμᾶς διά γραμμάτων τήν τε δόξαν τοῦ ἀνδρός καί τόν σκοπόν τῶν γεγραμμένων οὕτω. Τόν μέν οὖν εἰσόμεθα καί μέθ᾽ ἡδονῆς δήπου· τί γάρ ποτ᾽ ἄν ἄλλο προσδόκιμον ἡμῖν εἴη παρ᾽ ἀνδρός ἀκριβοῦς εὐσεβείας πόθῳ τήν ἐνεγκοῦσαν ἀπολιπόντος; Ἴσθι δ᾽ ἀκριβῶς καί ἀμετάπειστος ἴσθι περί τοῦτο, ὅτι τοῦτό ἐστι τό τῶν Λατίνων φρόνημα καί ἐν τούτῳ αὐτοῖς σχεδόν τό ἰσχυρόν καί πρός τοῦτο ἀντιπαράττεσθαι δεῖ τόν ἀντιτεταγμένων, εἰ μή βούλοιτο κενοῦν μέν ἐν τοῖς ἀκαίροις τήν ἰσχύν, ἥττων δ᾽ ἐν τοῖς καιρίοις εὑρίσκεσθαι. Ὅταν γάρ μή ἐκ τῶν ἡμῖν ἀνωμολογημένων ποιῶνται τούς συλλογισμούς, μηδέ ὡς ἀρχαῖς χρῶνται τοῖς θεοπαραδότοις ῥήμασί τε καί νοήμασι, μικρόν ἤ οὐδέν ἡμᾶς ἀπολογεῖσθαι χρή, ὡς ἐθελοκακοῦσι καί πρός ἔριν, ἀλλ᾽ οὐ πρός ἀλήθειαν ποιουμένοις τήν διάλεξιν, καί μάλισθ᾽ ὅτι μηδέν οἱ τοιοῦτοι λόγοι ἡμᾶς. Εἰ γάρ τόν

μουσικόν ἤ τόν γεωμέτρην ἤ τοιοῦτον ἑκάτερον αὐτῶν οὐ προσδιαλεκτέον ἀγεωμετρήτῳ παντάπασιν ἤ ἀναρμόστῳ, μή ἐξημμένῳ δηλαδή τῶν τῆς γεωμετρίας ἤ τῆς μουσικῆς ἀρχῶν, κἄν περί αὐτῶν τῶν ἀρχῶν τήν ζήτησιν ποιῆσθον τούς μαθηματικούς ἐκείνους μηδέ ἀποκρίνασθαι, πολλῷ μᾶλλον ἡμᾶς οὐκ ἀποκριτέον, οὐδέ διαλεκτέον τῷ περί Θεοῦ ἰδιοτήτων συλλογιζομένῳ μή ἀπό τῶν θεολογικῶν ἀρχῶν˙ ἐκ ψευδῶν γάρ αὐτῷ συντίθεται (σελ. 406) ὁ λόγος, ἐξ ὧν οὐ πάντως ἀληθές συνάγεται, μᾶλλον δέ οὐδόλως. Δι᾿ αὐτό γάρ αὐτοῖς καί προάγεται τό ψεῦδος, ὥστε τό ἐναντίον τῇ θεολογίᾳ κατά τῆς ἑαυτῶν φέρειν κεφαλῆς ἀνάγκη, ὅ ἐστιν ἡ βλασφημία. Ὡς οὖν τήν κατά διάθεσιν ἄγνοιαν νοσοῦντας παραιτεῖσθαι δεῖ. Ἀλλά γάρ ὅπως σαθρόν λίαν ἐξελέγχεται τό δοκοῦν τοῦτο τοῖς λατινικῶς φρονοῦσιν ἰσχυρόν, ἤδη μέν καί ἐν τοῖς πρῴην Περί τοῦ ἁγίου Πνεύματος σύν αὐτῷ πεποιημένοις ἡμῖν λόγοις πολλαχοῦ καί διά πλειόνων ἀπεδείξαμεν καί νῦν δέ οὐκ ὀκνήσομεν διά τούς ἐντυγχάνειν μέλλοντας τουτωί τῷ γράμματι. Οὐδέ γάρ ἀνεχόμεθα κακοδόξων ἐπιχείρημα παρ᾿ ἡμῶν ἐγγεγραμμένον ἀνεξέλεκτον προκεῖσθαι τοῖς πολλοῖς, μᾶλλον δέ ἀναλαβόντες καί ἑτέραν δόντες ἀρχήν τῷ λόγῳ, τά τῆς μοναρχικωτάτης ἀρχῆς εἰς δύναμιν διατρανώσωμεν καί ἐπελέγξωμεν τούς τοῦ ἑνός Πνεύματος δύο δογματίζοντας ἀρχάς, ὅτι τε τοῦτο δογματίζουσι καί ὅτι οὐ καλῶς.

Ἡ δημιουργική ἀρχή μία ἐστίν, ὁ Πατήρ καί ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον. Ὅταν οὖν ἐκ τοῦ Θεοῦ τά ἐκ τοῦ μή ὄντος προηγμένα λέγωμεν, τήν τε ἀγαθότητα, δι᾿ ἥν τό εἶναι ἔσχον, καί τήν ἐγγεγενημένην χάριν, ὅθεν ἕκαστον τοῦ εὖ εἶναι καταλλήλως μετεσχήκασι, καί τήν ἐπιγεγενημένην ὕστερον, δι᾿ ἥν πρός τό εὖ εἶναι τά διαπεπτωκότα ἐπανῆλθον, ὅταν ταῦτά τε καί περί τοιούτων ποιώμεθα τούς λόγους, ἀρχήν καί πηγήν καί αἴτιον καί τόν Υἱόν ἐν ἁγίῳ Πνεύματί φαμεν, οὐχ ἑτέραν, ἄπαγε, ἀλλά τήν αὐτήν, ὡς τοῦ Πατρός δι᾿ αὐτοῦ ἐν ἁγίῳ Πνεύματι καί προάγοντος καί ἐπανάγοντος καί συνέχοντος καλῶς τά πάντα. Ὁ δέ Πατήρ πρός τῷ πηγή τῶν πάντων εἶναι διά τοῦ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι, καί πηγή καί ἀρχή ἐστι θεότητος, θεογόνος ὤν μονώτατος. Καί τοῦτ᾿ ἐσμέν εἰδότες κρεῖττον ἤ κατά ἀπόδειξιν διά τῶν θεοπνεύστων λογίων τρανῶς ἐκπεφασμένον. Ὅταν οὖν ἀκούσῃς ὅτι ὁ Υἱός «ἡ ἐκ τῆς ἀρχῆς ἀρχή» καί «ὁ καλῶν αὐτόν ἀπό γενεῶν ἀρχήν» (σελ. 408) καί «μετά σοῦ ἡ ἀρχή ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου», τῶν δημιουργημάτων νόει, καθάπερ καί Ἰωάννης

ἀριδήλως ἐν τῇ Ἀποκαλύψει περί αὐτοῦ βοᾷ, «ἡ ἀρχή τῶν κτισμάτων τοῦ Θεοῦ», οὐχ ὡς καταρχή, ἄπαγε, Θεός γάρ, ἀλλ᾽ ὡς δημιουργός αὐτῶν˙ κοινωνός γάρ ἐστι τῆς ἐξ ἧς ταῦτα πατρικῆς ἀρχῆς, καθ᾽ ἥν καί τῶν πάντων δεσποτείας αὕτη ἐστίν ἐπώνυμον. Τοῦ δέ Πνεύματος τόν Υἱόν ἀρχήν ἐπί τῆς σημασίας ταύτης, πῶς ἄν φαίη τις, εἰ μή καί τό Πνεῦμα δοῦλον ἤ κτιστόν; Ἀλλ᾽ ἐπεί Θεός τό Πνεῦμα, οὐκ ἀρχή αὐτοῦ κατά τοῦτο ὁ Υἱός, εἰ μή ἄρα ὡς θεοτητος ἀρχή. Εἰ δέ τῆς τοῦ ἁγίου Πνεύματος θεότητος ὁ Υἱός ἐστιν ἀρχή, κοινωνεῖν δέ κατ᾽ αὐτήν τῷ Πατρί ἀμήχανον, «μόνος» γάρ τεθεολόγηται «πηγαία θεότης Πατήρ», ἑτέρας ἄρα διαφόρου τινος θεότητος ὁ Υἱός ἐστιν ἀρχή καί διέσπασε τό Πνεῦμα τῆς παγαζούσης ἐκ Πατρός θεότητος˙ ἤ διά δύο διαφόρους θεότητας δώσωμεν τούτῳ τῷ ἑνί, καί τοῖς τρισί μίαν ἀνομολογοῦντες θεότητα;

Πῶς δέ καί αἱ δύο κατά Λατίνους τοῦ ἑνός Πνεύματος ἀρχαί μία ἐστίν ἀρχή; Οὐ γάρ ἀξιώσουσιν ἡμᾶς πίστει δέχεσθαι τούτων τά προβλήματα, ἀλλά μηδέ σοφιστικῶς ἀποκρινέσθωσαν, ἄλλην ἀντ᾽ ἄλλης ποιούμενοι τήν ἀπόκρισιν. Ἡμῶν γάρ ἐρωτώντων πῶς δύο κατ᾽ αὐτούς τοῦ ἑνός Πνεύματος ἀρχαί, μίαν ἐκεῖνοι δισχυρίζονται τῶν δύο εἶναι τήν ἀρχήν. Ἡμεῖς δέ οὐ περί τῶν δύο προσώπων ἐρωτῶμεν, ἀλλά περί τοῦ ἑνός, καί περί τούτου μᾶλλον πρός αὐτούς ποιούμεθα τόν λόγον ὡς ἐπεί τῶν δύο μία ἡ ἀρχή καλῶς, πῶς τοῦ ἑνός δύο ἔσονται ἀρχαί καί πῶς αἱ δύο μία κατ᾽ αὐτούς; Φασίν οὖν˙ «διότι ἡ μία ἐστίν ἐκ τῆς ἑτέρας». Τί οὖν Σήθ; Ἐκ μιᾶς ἄρα γεγέννηται ἀρχῆς ὅτι ἡ Εὔα ἦν ἐκ τοῦ Ἀδάμ, καί οὐ δύο εἰσί τούτου τοῦ ἑνός ἀρχαί, ὅτι ἡ μία ἐστίν ἐκ τῆς ἑτέρας; Τί δέ ἡ Εὔα; (σελ. 410) Οὐ δευτέρα ἀρχή τῶν ἐξ αὐτῆς, ὅτι καί αὐτή τήν ἀρχήν ἔσχεν ἐξ Ἀδάμ; Καίτοι ἀμφοῖν τό γόνιμον αὐτοῖς, ἀλλά καί διάφορον καί ἐν διαφόροις ὑποστάσεσι˙ διόπερ οὐδέ μία ἐστίν αὗται αἱ ἀρχαί, καίτοι ἡ μία ἐστίν ἐκ τῆς ἑτέρας. Εἰ γοῦν ἐνταῦθα, οὗ, εἰ καί μή ἕν, ὅμως ἐστί τό γόνιμον ἀμφοῖν, οὐκ ἔνι τοῦ ἑνός μίαν εἶναι τήν ἀρχήν, πῶς ἐπί τῆς ἀνωτάτω Τριάδος αἱ δύο τοῦ ἑνός ἁγίου Πνεύματος μία εἰσίν ἀρχαί, ἐν ᾗ μηδαμῶς ἐστι κατά τό θεογόνον κοινωνία; μόνος γάρ τεθεολόγηται «θεότης θεογόνος» ὁ Πατήρ. Πάλιν ἡ Εὔα, ἐκ μόνου οὖσα τοῦ Ἀδάμ, ἐκ μιᾶς ἐστιν ἀρχῆς, ὁ δέ Ἀδάμ ἐκ γῆς ἐστιν, ἀλλ᾽ οὐ παρά τοῦτο ἡ Εὔα ἐκ τῆς γῆς καί τοῦ Ἀδάμ˙ ὁ γάρ Ἀδάμ μόνος ἐκ τῆς γῆς. Ἤ τοίνυν καί αὐτοί ἐκ τοῦ Υἱοῦ μόνου λεγέτωσαν τό Πνεῦμα, καί οὕτως αὐτό ἐκ μιᾶς ἀρχῆς λεγέτωσαν, ἀλλ᾽ οὐκ ἐκ τῆς αὐτῆς, ἀφ᾽ ἧς καί ὁ Υἱός,

κἀντεῦθεν πάλιν δύο εἰσίν ἐπί τῆς θεότητος ἀρχαί καί οὐκ ἔτ᾽ ἐστί μείζων ὁ Πατήρ τῷ αἰτίῳ τοῦ Υἱοῦ, ἐπίσης γάρ καί αὐτός αἴτιος θεότητος, ἤ ἐκ μόνου τοῦ Πατρός αὐτό λέγοντες, μίαν ἐν τῷ Πνεύματι ὡς καί τῷ Υἱῷ εὐσεβῶς διδότωσαν ἀρχήν. Μέχρι γάρ ἄν ἐκ τοῦ Υἱοῦ ἤ ἐξ ἀμφοτέρων λέγωσιν, ἀλλ᾽ οὐκ ἐκ μόνου τοῦ Πατρός, οὐκ ἔστι μίαν εἶναι τῆς θεότητος τοῦ ἑνός Πνεύματος ἀρχήν. Συνάπτων γάρ τις ἐπί τῶν τοιούτων, εἰ καί μίαν φαίη τήν ἀρχήν, ἀλλ᾽ ὁμωνύμως, ὥστε οὐ μία˙ εἰ δέ διαιρῶν κατά μίαν ὁρᾷ τάς θείας ὑποστάσεις, τῆς μιᾶς ἐξ ἀνάγκης δύο φανερῶς γίνονται ἀρχαί.

Ἐμοί δ᾽ ἔπεισι θαυμάζειν καί τό ὑπερβάλλον τῆς ἀνοίας τῶν τάς δύο ταύτας, ὥς φασιν, ἀρχάς μίαν λεγόντων τε καί οἰομένων. Εἰ μέν γάρ κοινωνεῖ τῷ Πατρί κατά τό θεογόνον ὁ Υἱός, προβαλλόμενος τό Πνεῦμα, καί ἕν αὐτοῖς τό θεογόνον καί ἡ ἐκ τούτων αὕτη πρόοδος, τῆς φύσεως ἄρα τοῦτο καί οὐ δύο εἰσίν ἀρχαί, οὐδ᾽ αἱ δύο μία, (σελ. 412) ἀλλ᾽ ἁπλῶς μία, καί ἀποξένωται τῆς θείας φύσεως αὐτό τό Πνεῦμα, μή καί αὐτό κατά τό θεογόνον κοινωνοῦν. Εἰ δέ μή κοινωνεῖ ὁ Υἱός κατά τοῦτο τῷ Πατρί, μηδέ ἕν αὐτοῖς τοῦτο τό προβάλλειν, καθ᾽ ὑπόστασιν τῷ Υἱῷ ἡ πρόοδος τοῦ Πνεύματος. Διάφορος ἄρα αὕτη τῆς ἐκ τοῦ Πατρός τοῦ Πνεύματος προόδου˙ τά γάρ ὑποστατικά διάφορα. Πῶς οὖν μία αἱ διάφοροι ἀρχαί; Καί μήν τοῦ μεγάλου Βασιλείου ἐν τοῖς Πρός Εὐνομιανούς ἀντιρρητικοῖς αὐτοῦ κεφαλαίοις γράφοντος, «πάντα τά κοινά Πατρί τε καί Υἱῷ κοινά εἶναι καί τῷ Πνεύματι», εἰ μέν κοινόν ἐστι Πατρί τε καί Υἱῷ τό ἐκπορεύειν, κοινόν ἔσται τοῦτο καί τῷ Πνεύματι καί τετράς ἔσται ἡ Τριάς˙ καί τό Πνεῦμα γάρ ἐκπορεύσει Πνεῦμα ἕτερον. Εἰ δέ μή κοινόν ἐστι κατά Λατίνους τῷ Πατρί καί τῷ Υἱῷ τό ἐκπορεύειν, ὡς τοῦ μέν Πατρός ἐμμέσως κατ᾽ αὐτούς, τοῦ δέ Υἱοῦ ἀμέσως ἐκπορεύοντος τό Πνεῦμα, οὕτω γάρ καί ὑποστατικῶς ἔχειν τόν Υἱόν τό προβλητικόν φασιν, οὐκοῦν κατ᾽ αὐτούς καί τό δημιουργεῖν καί ἁγιάζειν καί ἁπλῶς ἅπαντα τά φυσικά οὐ κοινά Πατρός τε καί Υἱοῦ; Ἐπειδή ὁ μέν Πατήρ διά τοῦ Υἱοῦ κτίζει τε καί ἁγιάζει καί διά μέσου τοῦ Υἱοῦ δημιουργεῖ καί ἁγιάζει, ὁ δέ Υἱός οὐ δι᾽ Υἱοῦ, τοιγαροῦν κατ᾽ αὐτούς ὑποστατικῶς ἔχει τό δημιουργεῖν καί ἁγιάζειν ὁ Υἱός, ἀμέσως γάρ καί οὐχ ὡς ὁ Πατήρ ἐμμέσως, καί οὕτω κατ᾽ αὐτούς τά φυσικά τῶν ὑποστατικῶν διενήνοχεν οὐδέν. Εἰ δ᾽ ἄρα φαῖεν διά τοῦ Πνεύματος τόν Υἱόν δημιουργεῖν καί ἁγιάζειν, ἀλλά πρῶτον μέν οὐ σύνηθες τοῖς θεολόγοις διά τοῦ Πνεύματος τόν Υἱόν ἤ τόν Πατέρα δημιουργόν εἶναι λέγειν τῶν κτισμάτων, ἀλλ᾽ ἐν

Πνεύματι ἁγίῳ, ἔπειτα πρός τῷ μηδ᾽ οὕτω τό ἀνωτέρω δεδειγμένον ἄτοπον αὐτούς ἐκφεύγειν, οὐ γάρ δι᾽ Υἱοῦ πάλιν ὁ Υἱός ἀναφαίνεται δημιουργός καθάπερ ὁ Πατήρ, συμβήσεται τούτοις μή κοινόν ε ἶναι λέγειν καί τῷ Πνεύματι (σελ. 414) τό δημιουργεῖν καί ἁγιάζειν, ὡς μή δι᾽ ἑτέρου, μηδέ ὡς ὁ Πατήρ ἤ καί ὁ Υἱός αὐτοῦ ταῦτα ἐνεργοῦντος. Κατ᾽ αὐτούς οὖν ὑποστατικῶς ἔχει τό Πνεῦμα τό δημιουργεῖν καί ἁγιάζειν, ὡς οὐκ ἐμμέσως καθάπερ ὁ Πατήρ κτίζον τε καί ἀδιάφορα δείκνυται τοῖς ὑποστατικοῖς τά φυσικά˙εἰ δέ τοῦτο, καί ἡ φύσις ταῖς ὑποστάσεσι ταὐτόν τε καί ἀδιάφορον. Ἆρ᾽ οὐ σαφῶς τῆς ἀνωτάτω Τριάδος ἐκπεπτώκασι καί τῆς ἑνότητος τῆς πίστεως καί τῆς κοινωνίας τοῦ ἁγίου Πνεύματος οἱ ταῦθ᾽ οὕτω λέγοντές τε καί φρονοῦντες;

Ταῦτα μέν δή ταύτῃ. Συλλογίζεσθαι δέ ἐπί τοῖς τοιούτοις ἔργῳ ὑπό τῶν πατέρων ἐδιδάχθημεν καί οὐδέ τούς Λατίνους γράψαιτ᾽ ἄν τις τούτου χάριν. Μήτε δ᾽ ἀποδεικτικῶς τούτους συλλογίζεσθαι, καθάπερ φῄς αὐτός, παρά τό μή τοῖς αὐτοπίστοις λογίοις ὡς ἀρχαῖς καί ἀξιώμασι χρῆσθαι καί τοῖς θεοσόφοις καλῶς ἕπεσθαι πατράσι, μήτε διαλεκτικῶς, διά τό μή ἐκ τῶν παρ᾽ ἡμῖν λημμάτων ποιεῖσθαι τούς συλλογισμούς, καί πάνυ γ᾽ ἄν φαίην. Μηδεμίαν δέ εἶναι ἀπόδειξιν ἐπ᾽ οὐδενός τῶν θείων καί τῶν ἐν τῇ ἀνωτάτω Τριάδι ζητουμένων, ἀλλά πάντα τόν περί αὐτῶν συλλογισμόν διαλεκτικόν οἴεσθαί τε καί καλεῖν, ἀποδεικτικόν δέ οὐδέποτε, πολλοῦ δέω τίθεσθαι. Αἵ τε γάρ ἐπιγραφαί τῶν πατρικῶν φωνῶν οὐκ ἐῶσι τοῦτο παραδέξασθαι, κἄν τις φιλονεικότερον ἐνιστῆται καί τάς ἐπιγραφάς ὡς παρεγγράπτους παραγράφηται, ἡμεῖς καί αὐτάς δείξομεν αὐτῷ τοῦτο μαρτυρούσας τάς φωνάς, «εἷς Πατήρ, εἷς Υἱός, ἕν Πνεῦμα ἅγιον», ὥστε κατά τοσοῦτον τοῦτο ἐκείνοις ἥνωται, καθόσον ἔχει μονάς πρός μονάδα τήν οἰκειότητα˙ «καί οὐκ ἐντεῦθεν» φησί «μόνον ἡ τῆς κοινωνίας ἀπόδειξις»˙ καί ποῦ μέν, μετά τό συναγαγεῖν, ἀποδέδεικται βοῶσας, ποῦ δέ μεταξύ κείμενον, τό ἀποδείκνυμεν, ποῦ δέ καί ἐπαγγελλομένας (σελ. 416) ζητεῖς φησί τάς ἀποδείξεις, ἕτοιμος παρασχεῖν. Καί τί τό μετά τήν ἐπαγγελίαν ταύτην ἐπαγόμενον; Λόγιόν τι τῶν θεοπαραδότων ἤ καί θεοπνεύστων καί πᾶν ὅ,τι ἄν τούτοις ἕποιτο καί ἐκ τούτων συμπεραίνοιτο. Τί μέν γάρ ἐστι Θεός, οὐδείς πώποτε τῶν εὖ φρονούντων οὔτ᾽ εἶπεν οὔτ᾽ ἐζήτησεν, οὔτ᾽ ἐνενόησεν. Ὅτι δέ ἔστι καί ὅτι εἷς ἐστι καί ὅτι οὐχ ἕν ἐστι καί ὅτι τήν Τριάδα οὐχ ὑπερβέβηκε καί πολλ᾽ ἕτερα τῶν περί αὐτόν θεωρουμένων, ἔστι ζητῆσαί τε καί ἀποδεῖξαι. Εἰ γάρ μή ταῦτα, οὐδέ

μαθεῖν ὅλως ἔστι τό περί Θεοῦ. Εἰ δέ μανθάνομεν καί ζητοῦμεν καί τοῦτο παρά τῶν εὖ εἰδότων καί ἐπισταμένων, τά μέν ἄρα τοῦ Θεοῦ γινώσκεται, τά δέ ζητεῖται, ἔστι δ᾿ ἅ καί ἀποδείκνυται, ἕτερα δέ εἰσιν ἀπερινόητα πάντη καί ἀνεξερεύνητα˙ τρόπος γεννήσεως, ἐκπορεύσεως, τελείας ἅμα καί ἀνεκφοιτήτου προελεύσεως, ἀδιαιρέτου τε ἅμα καί τελείας διαιρέσεως, καί τ᾿ ἄλλ᾿ ὧν διά πίστεως ἐπιστημόνως ἔχομεν. «Ὥς γάρ αἴσθησις ἐν τοῖς ὑπ᾿αἴσθησιν λογικῆς οὐ δεῖται δείξεως, οὕτως οὐδέ πίστις ἐν τοῖς τοιούτοις ἀποδείξεως. Μικροῦ δ᾿ ἴσον καί οὐδέν ἔλαττόν ἐστι κακόν, τά τε ὑπέρ νοῦν οἴεσθαι εἰδέναι καί «τό τοῦ Θεοῦ γνωστόν» μή τοιοῦτον ἀποφαίνεσθαι, ὡσαύτως καί τό ζητητόν ἤ ἀποδεκτόν. Ἔστι γάρ κοινῶν ἐννοιῶν καί ἀξιωμάτων ἀπορῆσαι οὐκ ὀλίγων, ἅ κρείττω ἤ κατά ἀπόδειξιν παρεχόμενα τήν ἐπιστήμην ἀποδεικτικαί τῷ ἐπισταμένῳ χρήσασθαι γίνονται ἀρχαί.

Πᾶσι γάρ ἐστιν ἐγνωσμένον τε καί ἀνωμολογημένον ὅτι ὁ Θεός τέλειός ἐστι καί οὐκ ἄλογος, ἐξ ὧν εἷς καί οὐχ ἕν ἀποδείκνυται. Λεγόντων οὖν ἡμῶν ὅτι ὁ Θεός τέλειος, ὁ τέλειος εἷς, καί τ᾿ ἄλλα συνείρειν διανοουμένων συμφώνως τοῖς πατράσιν, ὅπως εἷς ὁ τέλειος, εἴ τις τῶν ἀνεπιστημόνων τούτων ἀποδεικτικῶν προσίσταιτο λέγων ἐπί τῶν μοναδικῶν ἀπόδειξιν μή εἶναι, παρ᾿ ἡμῶν εὐθύς ἀκούσεται ὡς καθόλου μέν οὐκ ἔστι˙ πῶς γάρ ἐπί τῶν μή καθόλου; (σελ. 418) Ἀψευδής δέ οὐδέν ἧττον ἀπόδειξίς ἐστι, καί γάρ ἀναγκαία καί ἐπί τῶν μοναδικῶν καί ἀνεξαπάτητος μᾶλλον αὕτη ἡ ἀπόδειξις. Ἐπί γάρ τῶν καθόλου γένοιτ᾿ ἄν μᾶλλον ἡ ἀπάτη, διά τῆς φαντασίας θηρωμένης τῆς τοιαύτης ἀποδείξεως, δυσξυμβλήτων τε καί δυσπεριλήπτων ὄντων πάντων τῶν ὑποκειμένων. Οὐ μήν ἀλλά καί ἐφ᾿ ὧν τό κοινόν ἀνώνυμον, τόν αὐτόν τρόπον γένοιτ᾿ ἄν ἀπόδειξις καί ἐπί τινος εἴδους τοῦ καθόλου καί ἐφ᾿ ἑνός ἑκάστου γε τῶν μερικῶν ἀποδείξεις γίνονται, καθόλου μέν οὔ, πῶς γάρ; ἀψευδεῖς δέ καί ἀναγκαῖαι. Ἕλλησι μέν οὖν πιθανολογία ἡ θεολογία, διό καί διαλεκτικός ἅπας ὁ δοκῶν αὐτοῖς θεολογικός συλλογισμός, ἐξ ἐνδόξων ἔνδοξος, ταὐτόν δέ εἰπεῖν πιθανός ἐκ πιθανῶν. Οὐδέν γάρ ἴσασι περί Θεοῦ βέβαιον οὐδ᾿ ἀσφαλές, «ἀλλ᾿ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν». Ἡμεῖς δέ οὐκ ἐξ ἐνδόξων ἐπί τό θεολογεῖν ὁρμώμεθα ἀρχῶν, ἀλλ᾿ ἀμεταπείστως περί ταύτας ἔχομεν, θεοδιδάκτους οὔσας. Πῶς οὖν οὐκ ἀποδεικτικόν, ἀλλά διαλεκτικόν τόν τοιοῦτον συλλογισμόν ἐροῦμεν; Καί μήν εἴ τις τῶν τήν διαλεκτικήν ἐν τοῖς περί Θεοῦ λεγομένοις

εἰσαγόντων, ὅ παρά τῶν θεολόγων ρητῶς ἀπηγόρευται πατέρων, εἴ τις τοίνυν καί τούτων τούς εὖ ἔχοντας ἀναλύσειε συλλογισμούς, ἥκιστ᾿ ἐν τούτοις εὑρήσει τό καθόλου˙ τό τε γάρ προκείμενον μοναδικόν ἐστι καί πᾶν ὅ,τι τῶν αὐτῷ προσόντων μόνῳ κυρίως πρόσεστιν αὐτῷ. «Οὐδείς γάρ» φησίν «ἀγαθός, εἰ μή εἷς ὁ Θεός», ὁ μόνος σοφός, ὁ μακάριος καί μόνος δυνάστης, «ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον». Οὐδέν οὖν τῶν ἑπομένων ἐπί πλέον εἴη ἄν αὐτοῦ, ὥστε καί αὐτῶν ἕκαστον μοναδικόν καί πᾶν ὅ,τι κατηγοροῖτο τούτων οὐ καθόλου. Πῶς οὖν συλλογίσαιντ᾿ ἄν ἄνευ τοῦ καθόλου; Εἰ δέ διά τήν τοῦ προκειμένου ἰδιότητα προάγοντες ἐν ὅλῳ τούς (σελ. 410) οἰκείους δέχονται συλλογισμούς, πολλῷ μᾶλλον διά τό μοναδικόν τοῦ προκειμένου τήν ἀπόδειξιν προσήσονται δίκαια ποιοῦντες. Ἄν δ᾿ αὖθις λέγῃ τις ‘ἡ ἀπόδειξις ἐκ τῶν προτέρων, οὐδέν δέ πρότερον Θεοῦ’, ‘οὐ τά κατ᾿ αὐτόν ἐξετάζομεν, ὦ βέλτιστε’, ἐροῦμεν πρός αὐτόν, ‘ἀλλά τί τῶν περί αὐτόν’. Τό γάρ ‘εἷς καί τρία’ καί τό ‘ἐξ ἐκείνου μόνου’, καί τό ‘εἰς ἐκεῖνον μόνον’, οὐ τήν φύσιν δείκνυσιν, ἀλλά περί αὐτήν ἐστι δεικνύμενα. Οὐκοῦν οὐδέ τι τῶν δι᾿ ἅ ταῦτα προϋπάρχειν ἀνάγκη τις τοῦ δεικνυμένου, καθάπερ οὐδ᾿ αὐτά προϋπάρχει τά περί Θεόν δεικνύμενα. Κἀκεῖνο γάρ, ὅ,τι ποτ᾿ ἄν ᾖ, περί τήν ἀπερινόητον ἐκείνη θεωρεῖται φύσιν, αἵ τε κοινότητες, αἵ τε ἰδιότητες, οἷον ἐκπόρευσις ἤ γέννησις, καί ταῦτ᾿ οὐ θέσει, ἀλλά φύσει, πλοῦτός τε ἤ κίνησις ἤ τελειότης, ὥσπερ καί τῶν ἄκρων θεολόγων τίς φησι, «μονάδος μέν κινηθείσης διά τό πλούσιον, δυάδος δέ ὑπερβαθείσης διά τήν ὕλην καί τό εἶδος, ἐξ ὧν τά σώματα, Τριάδος δέ ὁρισθείσης διά τό τέλειον». «Οὐκ αἰτιολογία τε τοῦτο ἐστι θεότητος, ἀλλ᾿ ἀπόδειξις τῆς περί αὐτῆς δόξης εὐσεβοῦς».

Ἔπειτα πῶς τό πρότερον, ὦ οὗτος, ἐπί τῆς ἀποδείξεως ζητεῖς; Εἰ μέν χρόνῳ, λοιπόν οὐδέ οὐρανοῦ καί τῶν κατ᾿ αὐτόν σωμάτων καί θαυμάτων, οὐδέ γῆς καί θαλάττης καί τῶν ἐν αὐταῖς, οὐδ᾿ ἀέρος καί τῶν ἀεροπόρων, οὐδ᾿ αἰθέρος καί τῶν μετεώρων περιδέξῃ τινά ποτε ἀπόδειξιν. Μετά γάρ ταῦτα πάντα κοιναί τε ἔννοιαι καί ἀξιώματα καί ὅροι, προτάσεις τε καί ἀποδείξεις καί συλλογισμοί, διαιρέσεις τε καί ἀναλύσεις πᾶσαι˙ διανοίας γάρ ἐστι ταῦτα τοῦ ὕστατα κτισθέντος. Εἰ μέν οὖν οὕτω ζητεῖς τό πρότερον, λύσεις ἐκ μέσου τῶν ὄντων τήν ἐπιστήμην ταύτην ποιησάμενος˙ εἰ δ᾿ ἑτέρως τό πρότερον ἐκλήψῃ, οὐκ οἶμαί σε λόγου κἀν τοῖς περί θεοῦ δεικνυμένοις ἀπορήσειν, (σελ. 422) ἐκεῖνο προσδιανοούμενον, ὅτι καί δι᾿ ὧν εἰσι δεικνύμενα ἐν τοῖς περί

αὐτῶν εἰσιν, ἀλλ᾽ οὐδέ τό αἴτιον πάντως ἐπιπλέον ἤ πρεσβύτερον οὗ ἐστιν αἴτιον.Ὥστε κἄν ἐξισάζῃ τοῖς αἰτιατοῖς αὐτά τά αἴτια, κἄν μή προϋφεστηκότα ᾖ, οὐκ ἐμποδίσει τήν ἀπόδειξιν. Ἐκ μέν οὖν τῶν κοινῶν ἐννοιῶν τε καί ἀξιωμάτων οὕτως ἔστιν οὗ τῶν θείων ἔνι συνίστασθαι τάς ἀποδείξεις. Τί δέ τά παρ᾽ αὐτοῦ τοῦ ἑνός τῆς θεαρχικῆς Τριάδος θεανδρικῶς ἡμῖν ὡμιληκότος παραδεδομένα; Τί δέ τά παρ᾽ αὐτοῦ τοῦ ἁγίου Πνεύματος διά τῶν αὐτῷ λαλούντων ἡμῖν ἀποκεκαλυμμένα; Ἆρ᾽ οὐχ ὡς αὐτοπίστους καί ἀναποδείκτους δεξόμεθα ἀρχάς, καί πᾶν ὅ,τι ἄν τούτοις ἕποιτο καί ἐκ τούτων συμπεραίνοιτο οὐκ ἀποδείξεις θείας προσεροῦμεν;

Αὐτίκα Διονυσίου τοῦ μεγαλοφυεστάτου θεοφάντος θεολογοῦντος ὅτι «μόνη πηγή τῆς ὑπερουσίου θεότητος ὁ Πατήρ», καί ἔστι «πηγαία θεότης ὁ Πατήρ, ὁ δέ Υἱός καί τό Πνεῦμα τῆς θεογόνου θεότητος οἷον ἄνθη καί ὑπερούσια φῶτα», εἴ τις τό ὑπερούσιον Πνεῦμα φύσει ἐρεῖ ἐκ τοῦ Θεοῦ, τό δέ φύσει ὄν ἐκ τοῦ Θεοῦ πηγάζεσθαι ἐκ τοῦ Θεοῦ, τουτέστιν ἐκ τῆς πηγαίας θεότητος τό εἶναι ἔχειν, πηγαία δέ θεότης μόνος ὁ Πατήρ, εἶτα συμπεραίνει ὡς ἐκ μόνου τοῦ Πατρός ἐστι τό Πνεῦμα, τίς λόγος μή οὐκ εὐσεβῶς ἅμα καί ἀποδεικτικῶς καί ἀναμφιλέκτως ἔχειν οἴεσθαι τοῦτον τόν συλλογισμόν; Οὐκ ἀληθείς εἶσιν αὗται αἱ προτάσσεις; Οὐ τά ἀντικείμενα αὐταῖς εἰσι ψευδῆ; Οὐκ ἀεί ὡσαύτως ἔχουσιν; Οὐ πρῶται καί ἄμεσοι καί γνωριμώτεραι; Οὐκ οἰκεῖαί εἰσι τῷ προκειμένῳ; Οὐ τήν αἰτίαν ἐν ἑαυτοῖς ἔχουσι τοῦ συμπεράσματος; Οὐκ εἰς αὐτόπιστον καί ἀναπόδεικτον καί ἀρχοειδεστάτην καταλήγουσιν ἀρχήν; Τί δέ ὅταν τεκμηριώδεις ἐκ τῶν ὑστέρων, ἡμῖν δέ προτέρων, τοῦ ὅτι ποιώμεθα τάς ἀποδείξεις; Πῶς ἄν πεισθείημεν τῷ λέγοντι ὡς οὐδέ οὕτως ἔνι τι τῶν θείων ἀποδεῖξαι; (σελ. 424) «Δεῖ γάρ» φησίν «εἶναι ὁμογενῆ καί τεκμήρια ὧν ἐστι τεκμήρια, Θεῷ δέ οὐδέν ὁμογενές». Πῶς οὖν τό μή στίλβειν τῇ σελήνῃ ἐστίν ὁμογενές ἤ τό στίλβειν ταῖς πλειάσι, δι᾽ ὧν τήν μέν ἐγγύτερον ἡμῖν πλανᾶσθαι, τάς δέ πορρωτέρω ἐστηρίχθαι τεκμαιρόμεθα; Τόπου μέν γάρ ταῦτα, αἱ δέ εἰσιν οὐσίαι· δι᾽ ὧν ἐκεῖνα ταύταις δείκνυται, ταῦτ δ᾽ αὖθίς ἐστιν ἐνέργεια ἤ πάθος, καί οὐ τοῦ ἀστέρος μᾶλλον ἤ τοῦ ἀτενίζοντος. Ἀλλ᾽ οὐδ᾽ ἡ κωνοειδής σκιά τῷ φωτίζοντι ὁμογενές, δι᾽ ἧς μεῖζον τοῦ φωτιζομένου δείκνυται, οὐδέ ὁ φωτισμός τῇ σφαίρᾳ ἐστίν ὁμογενής· εἰ δ᾽ ἕτερον τρόπον εἰσίν ὁμογενῆ, ὅτι περί τό αὐτό θεωρεῖται τό πόρρω καί τό στίλβειν καί τό μή ἐφ᾽ ἑκατέρου καί τά

ἄλλα τούτοις γε παραπλησίως, κἀκεῖ θεωροῖτο ἄν περί τό αὐτό καλῶς τό τε δεικνύμενον καί δι᾽ οὗ ἐκεῖνο δείκνυται.

Ἴσασιν οἱ κεκαθαρμένοι τήν καρδίαν διά τεκμηρίου τῆς ἐγγινομένης ἐν ἑαυτοῖς ἱερᾶς φωτοφανείας ὅτι ἔστι Θεός καί οἷον φῶς ἐστι, μᾶλλον δέ πηγή φωτός νοεροῦ τε καί ἀΰλου. Διό καί χάριν ἴσασιν οὐχ ἑαυτοῖς, ἀλλά τῷ φωτίζοντι, ὥσπερ οὐδέ τῷ ἀέρι χάρις αἰσθητῶς πεφωτισμένῳ, οὐ γάρ ἡ λαμπρότης ἐστίν αὐτοῦ, ἀλλά τοῦ φωτίζοντος ἡλίου, τοῦ δ᾽ ἀέρος μόνον τό διαφανές ἐπίχαρι, ὡς καί τοῖς θεοφόροις τό διά καθαρότητα καρδίας δεικτικόν τῆς νοερᾶς ἐλλάμψεως. Δύνανται καί οἱ μή πρός τοῦτο θεωρίας ἀναβεβηκότες ἐκ τῆς περί πάντα προμηθείας τόν κοινόν προμηθέα συνορᾶν, ἐκ τῶν ἀγαθυνομένων τήν αὐτοαγαθότητα, ἐκ τῶν ζωοποιουμένων τήν αὐτοζωήν, ἐκ τῶν σοφιζομένων τήν αὐτοσοφίαν καί ἁπλῶς ἐκ πάντων τόν τά πάντα ὄντα καί ὑπεξῃρημένον καί ὑπερανιδρυμένον πάντων, τήν πολυώνυμον ἐκείνην καί ἀκατανόμαστον ὑπερούσιον οὐσίαν. Τί οὖν, οὐ ταῦτα πάντα περί ἕν ἐκεῖνο ἀΰλως θεωρεῖται, (σελ. 426) ὅ,τι ποτέ ἐστιν ἐκεῖνο; Τί δέ, οὐ διά τούτων οἷα τεκμηρίων ἀψευδής γίνεται ἀπόδειξις ὅτι ἔστι τις προαγωγεύς καί προμηθεύς προάναρχον ἁπάντων, παντοδύναμος, παντεπίσκοπος, πανάγαθος, παναίτιος, ὑπερφυής; Ἐγώ μέν οἶμαι καί πάνυ γε οἴομαι καί οὐδ᾽ ἄν οἶμαι ἔχειν ἀντειπεῖν. Οὕτω τοίνυν καί ἡμεῖς ὁμοίως, τεθεολογημένον ἐπί τοῦ τῆς πίστεως συμβόλου περί τε τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, καί τοῦ μέν γεγεννῆσθαι ἐκ τοῦ Πατρός κηρυττομένου, τοῦ δέ ἐκπορεύεσθαι ἐκ τοῦ Πατρός, ἀμφοτέροις τό ἐκ μόνου τοῦ Πατρός ἐφαρμόζεσθαι συνάγομεν, ἐκ τῶν ὕστερον ὁμοίως τεθεολογημένων τά προαιωνίως κατά τοὐθ᾽ ὁμοίως ὑπάρχοντα δεικνύντες.

Οὐ μήν ἀλλ᾽ εἰ καί τοσαῦτα περί τούτου σοι γεγράφαμεν, ἀλλ᾽ οὐ πάνυ διοισόμεθα εἴθ᾽ ἁπλῶς δεῖξιν εἴτε ἀπόδειξιν τούς τοιούτους λόγους λέγει τις˙ μόνον στεργέτω τήν δι᾽ αὐτῶν φωτός τρανότερον ἐκφαινομένην ἀλήθειαν˙ σοῦ δ᾽ ἕνεκα συνηγορήσαμεν τῇ ἀποδείξει, οἷον ἀπολογίαν ὑπέρ ταύτης ποιησάμενοι˙ τούς γάρ ἐμούς κατά Λατίνων διά γραμμάτων λίαν ἐπανοῦντος λόγους, ὑπειδόμενος τήν εἰ καί μή κατά λόγον ὅμως ὑφέρπουσαν μέμψιν τῇ ἐπιγραφῇ, ὡς ἄν μή πρός τόν ἐπαινέτην ἀναφέροιτο ἀπετριψάμην. Ἵν᾽ οὖν καί σέ κριτήν ἀξιόχρεων τούτου τοῦ ὀνόματος ποιήσωμαι παραθήσομαι τάς διαφοράς τοῦ τε ἀποδεικτικοῦ καί διαλεκτικοῦ συλλογισμοῦ. Σόν δ᾽ ἔστι σκοπεῖν καί ἀδεκάστως κρίνειν τίνι μᾶλλον προσήκουσιν οἱ περί

θείων δογμάτων συντιθέμενοι, καί μάλισθ᾽ ὅταν τήν ἡμῶν αὐτῶν εὐσεβῆ καί ἀκλινῆ περί Θεοῦ δόξαν ἐκτιθώμεθα. Ὁ μέν οὖν περί τό ἀναγκαῖον καί ἀεί ὄν καί ἀληθές ὄν καί ἀεί ὡσαύτως ἔχον, ὁ δέ διαλεκτικός περί τό ἔνδοξον καί πιθανόν καί πεφυκός ἄλλοτε ἄλλως ἔχειν καί νῦν μέν ὄν, νῦν δ᾽ οὐκ ὄν, καί ποτέ μέν ἀληθές, ποτέ δέ μή. Ποῦ ποτ᾽ ἄρα τά θεῖα (σελ. 428) δεχομένη, καί ὅτι διαιρεῖται, κἄν μή καθ᾽ ἑαυτήν, διό καί ἐν τῇ διαιρέσει μένει ἀδιαίρετος, καί ὅτι κἀν τῷ διαιρετῷ μίαν καί ἀδιαίρετον ἔχει τήν ἀρχήν, διό κἀν τούτῳ εἷς Θεός, καί ὅτι δημιουργός καί ὅτι προνοητής καί ὅτι συνοχεύς καί τ᾽ ἄλλα ὅσα τούτοις ὅμοια, ἔστιν ὡς δέον εἶναι ζητοῦντας τάς αἰτίας, αἵ καί αὗται τῶν περί Θεοῦ ἄν εἶεν, ἐφικέσθαι τῆς εὑρέσεως, σύν Θεῷ δ᾽ ἐφικομένους, οὐ διαπορητικῶς ἔτ᾽ ἔχειν ἤτοι διαλεκτικῶς, ἀλλ᾽ ἀποδεικτικῶς ἐπίστασθαι καί πρός ἑτέρους τήν θείαν διά λόγου μετοχετεύειν ἐπιστήμην. Εἰ δέ μή ἐφικοίμεθα, τούς μέν τῇ πίστει ἀσθενοῦντας δυνάμει λόγων ἥκιστ᾽ ἔχομεν ἐπιρρωννύειν, αὐτοί δέ διά τῆς πίστεως ἐπιστημόνως ἔχομεν. Οὐ γάρ ἀποδείξεσι τό πᾶν πιστεύομεν, οὐδέ τό μυστήριον δεῖν οἰόμεθα τεχνογραφεῖσθαι τῆς πίστεως, οὔθ᾽ ἡμεῖς, οὔθ᾽ οἱ πρό ἡμῶν διά λόγου τῷ λόγῳ τῆς ἀληθείας συνηγορήσαντες, ἀλλά κἀν τούτῳ δείκνυμεν τοῦ λόγου τῆς ἀληθείας τό ἰσχυρόν καί τοῖς κατά τι τούτου χωλεύουσιν ἐπανορθώσεως παρέχομεν ἀφορμήν καί τοῖς ὀρθοτομοῦσι τοῦτον ἀσφαλείας ὑπόθεσιν.

Ὁ δέ διακομίσας ὑμῖν τούς ἐπί τούτοις λόγους ἐκείνους, τά πάντα καλός κἀγαθός καί τήν πολιτείαν εἴπερ τις θεοφιλής καί ἡμῖν διά τοῦτο προσφιλής Ἰωσήφ, ἐπί τήν ἐπάνοδον σπεύδων, αὐτοσχεδίους σχεδόν ἥρπασε παρ᾽ ἡμῶν, οἷον ἀρτιτόκους παῖδας, μή τυχόντας τῆς προσηκούσης φροντίδος. Ἀλλ᾽ ἐπεί πρός ἀληθείας ἀπόδειξιν, ἀλλ᾽ οὐ κάλλους ἐπίδειξιν ἐξενηνόχαται, παρά τοῦτ᾽ οἶμαι καί παρά τῆς σῆς ἐπαινοῦνται σοφίας. Ἐκεῖνό γε μήν ἐπί νοῦν σε λαβεῖν, ὡς ἡμεῖς ἐκ πολλοῦ τήν ἀνωτάτω σοφίαν ποθήσαντες, μᾶλλον δέ πρός τόν αὐτῆς πόθον παρά τῆς ἀνωτάτω φιλανθρωπίας ἐφελκυσθέντες, παντοίου λόγων εἴδους καί τῆς κατ᾽ αὐτά μελέτης ἀφέμενοι, ταύτῃ προσανέχομεν διά βίου, (σελ. 432) καί τοῦτ᾽ εἰσίν οἵ συνίσασιν ἡμῖν καί συμμαρτυρήσουσι παρ᾽ ὑμῖν πολλοί· καί σύ δέ αὐτός οὐκ ἀνεπιγνώμων ὅσα ἐμαυτόν ἔχω πείθειν. Παρεῖται δέ ἡμῖν τ᾽ ἄλλ᾽ ἅπαντα ἐξ ἀνάγκης, ἐπειδήπερ ἐν τῇ πάντων ἀποκτήσει καί καί τῇ πάντων ἐπιλήσει τά κατ᾽ ἐκείνην τήν σοφίαν συνίστασθαι πέφυκεν,

ὥσπερ κἀν τῇ πάντων ἀφαιρέσει ἐν ὑπεροχῇ τινι τό θεῖον νοεῖται. Ἀλλ᾽ οὐκ ἴσον τούτῳ τῆς σοφίας ἐκείνης τό τέλος˙ ἐντεῦθεν μέν γάρ τά ἀπεμφαίνοντα τῷ Θεῷ διανοεῖται ὁ νοῦς, ἐκεῖ δ᾽ ἔργῳ τάς θείας ἐμφάσεις νοερῶς ὁ νοῦς δέχεται, ἔσοπτρον ἀκηλίδωτον Θεοῦ καί ὤν καί ἀεί γινόμενος. Κἄν ἡμεῖς τῶν μέν περί λόγους ἐπιστημῶν ἐπιλελήσμεθα σχεδόν παντάπασιν, εἰ καί χρείας ἐπειγούσης οὐχ ἑκόντες εἶναί τινα τούτων ἀναλαμβάνειν ὡς ἐνόν πειρώμεθα, διό καί τάς ἀττικάς ἐκεῖνας χάριτας καί τό λίαν ἔντεχνον τῆς ἐξαγγελίας ἀπειπάμεθα, τῆς δέ ἀληθινῆς σοφίας οὐδέν ἤ μικρόν κατειλήφαμεν, ἀλλ᾽ οἷον εἰς ὀσμήν μύρου τρέχομεν, αὐτό τό μύρον οὐκ ἐν χερσίν ἔχοντές πω.

Ὁ δέ τόν πόθον τοῦτον ἡμῖν ὑπερβολῇ φιλανθρωπίας ἐνθείς καί τέλος ἀτέλεστον διά τούς οἰκτιρμούς αὐτοῦ παράσχοι τῆς μελλούσης ἀμβροσίας ἀρχήν. Τοῦτο καί αὐτός ἡμῖν σύνευξαι καί ἡμεῖς ἐπευχόμεθά σου τῇ ἀρετῇ καί θεός ἄνωθεν ἐπίκουρος καί ἐπήκουος εἴη.

## **Β’ ΠΡΟΣ ΑΚΙΝΔΥΝΟΝ** (Σελ. 334)

### *ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΒΑΡΛΑΑΜ ΕΝ ΤΟΙΣ ΔΟΓΜΑΣΙ ΔΙΑΦΟΡΑΣ*

Ὁ μέν τῆς ἑαυτοῦ περί τό κατηγορεῖν ἑτοιμότητός δε καί δεινότητος ἡμᾶς ὑπόθεσιν ἐνστησάμενος, πρός ἡμᾶς τούς λόγους ἀποτεινομένους ἐκπέμψας καί γραμμάτιον προσεπιστείλας ταύτην ἐπαγγέλον δοῦναι οἱ χάριν, εἴ τις ἡμῖν ὑπολέλειπται λόγος, μή πρός ἕτερον, ἀλλά πρός αὐτόν ἥκειν παρ᾽ ἡμῶν, δυσίν ἀνθολκαῖς, τῇ τε τοῦ πράγματος αἰτήσει, τήν ἀπολογίαν ἐφ᾽ ἑαυτόν ἐπισπασάμενος διετέλεσεν. Ἐπεί δέ καί τῷ σῷ νῦν πρός ἡμᾶς γράμματι τῶν αὐτῶν σχεδόν λόγων δεῖ, κἀπί τοσοῦτο τούτων ἐρᾷς ὡς καί δι᾽ εὐχῆς ἡμῖν τάς πρός τό γράφειν ἐπιπέμπειν ἀνάγκας, καί ταῦθ᾽ ὥς γε αὐτός ἄν φαίης μηδ᾽ ἄγαν εὐπρεπεῖς οὔσας, ἐπεί τοίνυν οὕτω κατ᾽ ἄκρας ἑάλως τῇ δυνάμει τοῦ πόθου καί σοί τόν αὐτόν ἀπολογητικόν ἔπεμψα. Τοῦτον τοίνυν ἐμμελῶς ἀναγνούς, εἴσῃ μή τοὐμόν αὐτοῦ ζητοῦντά με μόνον, ἀλλά καί τό ὑμέτερον, καί μηδ᾽ ἀμφότερον τοῦτο μόνον, ἀλλά καί ὑπέρ τῶν θεοφόρων καί κοινῶν ἡμῖν πατέρων ἐξειργασμένον. Δίελθε

τοίνυν οὐχ ἅπαξ, ἀλλά καί πολλάκις, ὡς ἐναποθεῖο τῷ τῆς ψυχῆς σοι ταμείῳ τά λυσιτελῆ δόγματα, καί τῶν λόγων ἀναμνήσθητι τῶν ἐμῶν, οὕς πολλούς πολλάκις ἐποιησάμην πρός σέ συνόντα, καί τήν, καί τήν ἀπό τῆς ἔξω φιλοσοφίας κενήν ἀπάτην ᾗ δυνάμεως ἔχεις φυλάττου˙ μᾶλλον δέ καί σαυτόν νῦν ἀνακαθάραι σπεῦσον, ἱλαστηρίοις τε εὐχαῖς καί περιρραντηρίοις ὑγιαίνουσι λόγοις χρησάμενος˙ ἀνιέρου γάρ γνώσεως κεκοινωνηκέναι δοκεῖς τῷ μή ἀντικεῖσθαι λόγῳ, μηδέ (σελ. 436) γοῦν ἀπαρέσκεσθαι γνώμῃ, θαυμάζοντα δέ φαίνεσθαι τόν εἰς τήν τοῦ ἀγαθοῦ Πνεύματος ἐνέργειάν τε καί χάριν τήν τοῦ Βελίαρ παραγνωρίσαντα.

Καίτοι τόν ἄνδρα τήν περί λόγους δεινότητα καί αὐτός τῶν ἀρίστων ἥγημαι καί πρός καλοκαγαθίαν τρόπων εὖ πεφυκέναι πείθομαι καί οὐκ ἔσθ᾽ ὅπως ἔχω μή φιλεῖν, οὐ μήν καί χαρίζεσθαί τι τῶν δεόντων πόρρω, καί ταῦτ᾽ ἐν τοῖς περί Θεοῦ καί τῶν θείων δόγμασι καί ῥήμασι˙ οὐ γάρ πρός ἀληθῶς φιλοῦντος ἤ παρέχειν ἤ τόν μή παρέχοντά τι τῶν τοιούτων ἄφιλον ἡγεῖσθαι˙ ἀλλά πρό τῶν φίλων θετέον τόν φίλιον, καί ταύτην οἴεσθαι φιλίαν μόνην ἥ τῆς αἰτίας ἐκείνης ἐξῆπται κἀκεῖθεν τε ἀφικνεῖται καί δι᾽ ἀλλήλων τῶν φιλούντων οὐρανομιμήτως περινοστοῦσα, κατά τήν τῆς θείας μουσικῆς ἁρμονίαν ἐν διπλόῃ περιφορᾶς ἀντεπιφερομένης εὐμενῶς, πρός Θεόν ἑκατέρωθεν ἐπανέρχεται καί τηρεῖ τήν ἱεράν ταύτην καί οὐρανίαν στροφήν ἀεικίνητον˙ τήν δέ ῥέουσαν ταύτην καί τό κατώτερον ἀεί ζητοῦσαν, (οὕτω γάρ καί ῥυήσεται), καί διά τοῦτο πάντα χαριζομένην, φιλίας ἔκπτωσιν μᾶλλον ἤ φιλίαν ἐμοί καλεῖν ἔπεισι.

Ταῦτ᾽ ἄρα καί μακρούς νῦν ἀντεπεξάγω λόγους, ὁ μήτ᾽ ἐκμαθών, μήτ᾽ ἀρτίως μανθάνων καί, τό σύμπαν εἰπεῖν, ὁ μηδέν εἰδώς, καί τοῦτ᾽ αὐτό βίον ἐμαυτῷ σχεδόν θέμενος, πρός τόν μεμαθηκότα καί μανθάνοντα καί λέγειν ἄκρως εἰδότα καί τοῦτο πεποιημένον ἐμμελές βίου μέλημα. Κατέσχον δ᾽ ὅμως ὡς ἔσχον ἐμαυτόν˙ ἴσθι γάρ με μή κατά σχολήν ἤ σπουδήν, ἀλλ᾽ ἐκ τοῦ προχείρου τήν ἀπολογίαν πεποιημένον καί τά πλείῳ τῶν πρός ἐμέ τῷ Βαρλαάμ γραμμάτων καί λόγων μειζόνων ἀφορμάς καί λαβάς παρέχοντα καταλελοιπότα, τοῦτο μέν τῇ τῶν θείων αἰδοῖ, τοῦτο δέ τῇ τοῦ διώκοντος ἡμᾶς φειδοῖ˙ καί μήν ἔστιν ἅ καί σκέψεως ἐδεῖτο (σελ. 438) συντονωτέρας τε καί μακροτέρας ἤ κατά τόν ἀπό τοῦ διακομισθέντος γράμματος ἄχρι τοῦ καθ᾽ ὅν ἀντιγεγράφαμεν χρόνον˙ προσδόκιμος γάρ ἦν εὐθύς μετά τήν

ἀφ᾽ ὑμῶν ὡς ἡμᾶς ἐπάνοδον τοῦ σοφοῦ καί χρηστοτάτου Θετταλοῦ Νείλου ὁ τήν οἰκονομίαν αὐτοῦ διαδεξόμενος καί παρ᾽ ἡμῶν πρός ὑμᾶς ἐλευσόμενος˙ νῦν μέν οὖν πρό σου προθύμως ὅν λόγον ὁ βραχύς Καθ᾽ ἑλληνικῆς ἐποψίας καί τῶν ταύτην σεμνυνόντων ἐσχεδίασε χρόνος˙ τρίτον δ᾽ ἄν ἐπιστείλωμεν, μᾶλλον δέ ἀντεπιστείλωμεν, τοιοῦτος ἔσται, ὡς μηκέτι δεῖσθαι τετάρτου, ἤν κάι οἱ παρ᾽ ἡμῖν πατέρες ἐνδῶσι.

Σύ δέ τόν φιλόσοφον ἡμῖν παίδευε μή θρασύ τι καί παράβολον ᾄττειν τίκτοντα, τήν συμπεφυκυῖαν τῇ φιλοσοφίᾳ, καθάπερ τινά σκευήν, εὐλάβειαν ἀποδυόμενον (αὐτός τε γάρ ἐνασχημονεῖ καί τοῖς τόκοις λυμαίνεται καί ἡμᾶς πρός τούς ἀπό γνώμης εὖ ἴσθι τραχυτέρους ἐκβιάζεται λόγους), διά μακροῦ δέ νῦν ἐπαινέτην τε καί ζηλωτήν ἀναφανέντα πάντων τῶν πάλαι καθ᾽ Ἕλληνας σοφῶν καί σοφιστῶν, οὐ θαυμαστόν εἶναί τι καί αὐτόν καινόν καί κοινόν συμφόρημα τῶν ἑκατέροις καί ἐν ἑκατέροις διαφόρων˙ ᾧ δή κἀκείνων ὑπ᾽ ἀλλήλων ἀνατρεπομένων, αὐτός ὑφ᾽ ἑαυτοῦ τοῦτο πάσχων ἐξεληλεγμένος ἧττον ἴσως ἀχθεσθείη ἄν.

Εἰ μέν γάρ ἐφιέμενός τε καί ἀγωνιζόμενος μή μέγα δεῖξαι ὅν ἁμάρτημα τήν τῆς ἀρχῆς διπλόην, εἶτ᾽ οὐκ ἔχων τῶν κατ᾽ ἐπιθυμίαν ἀπορεῖν, καθ᾽ ἡμῶν ἐγείροι τόν θυμόν καί τούς ὁμογενεῖς ὑποκρινόμενος ἀντιλέγειν τοῖς ἡμετέροις ἐγχειροίη καί τήν καθ᾽ ἡμᾶς ἀπόδειξιν δεινῶς καί διά μακρῶν κακίζοι λόγων καί ἑαυτόν ἐξαίροι λίαν, ὡς ἐξευρόμενον καί ἐξειπόντα τό κατ᾽ Ἀριστοτέλην ὑπέρ ἀπόδειξιν ἐπί Θεοῦ, μηδέπω καί τήμερον ἐκπεφασμένον, εἰ μέχρι τούτων ἐξέβαινεν αὐτῷ ὁ λόγος, οὐκ ἄν ἠξιώθη παρ᾽ ἡμῶν ἀπολογίας˙ νῦν δ᾽ οὐκ οἶδ᾽ ὅ,τι παθών, τούς τε (σελ. 440) θεοφόρους πατέρας λεληθότως διασύρει καί τούς κατά Σωκράτην τε καί Πλάτωνα θεότας καί πεφωτισμένους ἀναγράφει, προβαλλόμενος καί ῥητά ἄττα τούτων, δι᾽ ὧν οὗτοι τοιοῦτοι μαρτυροῦνται. Τοῦτο τοίνυν πάντων μᾶλλον οὐκ ἀφῆκέ με πεδῆσαι τήν γλῶτταν σιωπῇ καί καταπροδοῦναι τούς κοινούς προστάτας καί ἀντεισοικίσασθαι τούς ἐκ παλαιοῦ ἐκβεβλημένους ὡς βεβηλωμένους˙ ἐπεί δ᾽ ἐπῆν ἀντειπεῖν ἀνάγκη, προαπολύσασθαι τῶν ἀκολούθων ἦν καί τά δι᾽ ἀπόδειξιν ἐγκλήματα καί πρό τούτων δεῖξαι ὡς οὐδέν προσεκρούσαμεν τῷ συκαοφαντικῶς ἐπιθεμένῳ, πρός δέ τούτοις καί τά νῦν αὖθις ἐν τοῖς ἐκείνου λόγοις ἥκιστα συμβαίνοντα τῇ τῆς εὐσεβείας ἀκριβείᾳ

πεπαρρησιασμένως ἐπελέγξαι˙ φιλίας γάρ ἤ δέους ἕνεκα τά τοιαῦτα σιωπᾶν οὐκ ἄμεινον.

Ἀλλά καί τά Λατίνων ἐν τῷ ὑποκρινομένῳ τἀκείνων ἀνελεῖν τῶν ἀναγκαιοτάτων ὅν εὐφυῶς ἐνήρμοσται τοῖς λόγοις˙ οὕτω γάρ καί τἀμά πρός ἐκείνους πρότερα διαδείκνυται ἀνώτερα τοῦ ἐπηρεάζειν ἐγχειροῦντος˙ οὐδέ γάρ τούς Λατίνους αὐτούς ἠλπίκαμεν τά παρ᾽ ἡμῶν οἴσειν σιωπῇ, ἀλλά προσδόκιμοι μέν ἡμῖν ἦσαν ἀντιλέξοντες, εὐπερίτρεπτα δ᾽ ὅμως, οἷα καί ὁ τούτους ὑποκρινόμενος αὐτός ἀρτίως, ᾧ δή καί χάριν ἴσμεν, ἅ δή ποτ᾽ ἔμελλον ἐκεῖνοι λέξειν, ἀφορμήν ἐν τούτῳ σχόντες ἀνατρέψαι νῦν. Ὡς μέν οὖν ἕκαστα ἐξείργασται, ὁ λόγος σε διδάξει.

Προκείσθω δέ μή πᾶσιν, εἰ μή καί τἀκείνου (κατ᾽ ἐκείνου γάρ φερόμενος, εἰ καί ἀναγκαίως˙ ἀλλά πίστευσον ὡς οὐ μετρίως παρά τοῦτο μ᾽ ἀνιᾷ), τοῖς φιλοῦσι δ᾽ ὅμως, καί μάλισθ᾽ ὅσοι κρίνειν διανοίας ἱκανῶς γε ἔχουσιν, ὡς οὐκ ἄν ὁ λόγος πάνυ τοι μεμπτέος εἴη, τάχα δέ οὐδέ πρός ὅν ἐστι˙ κοινά γάρ σχεδόν ταῦτα τοῖς περί λόγους ἄγαν φιλοτιμουμένοις τά προσκόμματα˙ δεῖ μέντοι πρός ἐπανόρθωσιν (σελ. 442) ἀεί συμβάλλεσθαί τι τούς τήν περί αὐτῶν φιλοτιμίαν καταλύσαντας. Τοῖς οὖν ταῦτα κρίνειν ἱκανοῖς πᾶσι πίστευσον τό σύγγραμμα˙ πολυειδοῦς γάρ πλάνης ἔλεγχός ἐστι σαφής καί κοινή τις εἰ χρή λέγειν ἀνακάθαρσις ἤ προφυλακή, τοῖς μέν ἔτι περί λόγους φιλοτίμως διατρίβουσι τῆς ἐκ λόγων παραλόγου δόξης προσγινομένης τῇ ψυχῇ, τοῖς δέ πρός τήν τοῦ λόγου κρείττω σπουδήν δι᾽ ἡσυχίας ἀποδυσαμένοις προτροπή τε καί ὀχύρωμα καί δεῖγμα τῆς ἀπατηλῆς εἰσόδου τοῦ πλανᾶν ἀεί ἐπιχειροῦντος. Πρός δέ τούτῳ, καί ὅθεν ἄν ἐγγένοιτο τό ἀπλανές δι᾽ ὀλίγων διαρκῶς ἐνδείκνυται καί μικροῦ διά βραχέων τούς ἑλληνικούς καί σατανικούς ὄγκους κατασπᾷ, τήν τε καθ᾽ Ἕλληνας ἀπόδειξιν καί τό κατ᾽ αὐτήν ὑπέρ ἀπόδειξιν ἠχρειωμένον ἐξελέγχει καί ἀνακαλύπτει τό βαρύ καί βαθύ σκότος τῶν νοερῶν κατ᾽ εἰκείνους φωτισμῶν.

## **Α’ ΠΡΟΣ ΒΑΡΛΑΑΜ (σελ. 444)**

### ***ΠΕΡΙ ΔΥΟ ΑΡΧΩΝ Η ΚΑΘ᾽ ΕΛΛΗΝΙΚΗΣ ΕΠΟΨΙΑΣ***

Ὡς θρέμμα τῆς ἀνωτάτω περί λόγους παιδείας καί τῆς φύσει σοφίας δῶρον παρά Θεοῦ δι᾽ αὐτῆς κεχαρισμένον ἡμῖν, ἐπίχαρι καί θυμῆρες κρᾶμμα ἐπιστήμης καί νοῦ, διδακτοῦ καί ἀδιδάκτου φωτός˙ σέ τῶν ἑτεροδόξων ἡμεῖς οὐκ ἔφθημεν εἰπόντες, ὡς αὐτός ἰσχυρίζῃ, καί μάρτυς ἡμῖν ὁ παρ᾽ ὑμῖν ἡμέτερος λόγος, δι᾽ ὅν εἰς ταύτην ἥκειν διατείνῃ τήν δόξαν˙ ἐν αὐτῷ γάρ φαμεν ἐπί λέξεως ὡς «ἀπεδεξάμεθά σου τάς πρός τούς κακοδόξους ἐκείνους ἀντιρρήσεις» καί ὡς διά τῆς εἰς ἄτοπον ἀπαγωγῆς «κακῷ τό κακόν ἰωμένους» τούς Λατίνους ἔδειξας. Τί δ᾽ ὅταν αὖθις ἐρωτῶντες προσεπάγωμεν ὅτι «τό ζητούμενον ἀκούσομεν καί μεθ᾽ ἡδονῆς δήπου, τί γάρ ποτ᾽ ἄν ἄλλο προσδόκιμον ἡμῖν εἴη παρ᾽ ἀνδρός ἀκριβοῦς εὐσεβείας πόθῳ τήν ἐνέγκουσαν ἀπολιπόντος», οὐ μετ᾽ ἐγκωμίων ἀναφερομένων εἰς τήν σήν εὐσέβειαν ἐδείξαμεν, μηδ᾽ ἐν ἐλπίσιν ἀποτρόπαιόν τι περί τῆς σῆς ἀνεχόμενοι σοφίας; Τό δέ πρός τόν παρά τοῦ πευσόμενον παρ᾽ ἡμῶν γραφόμενον ὡς «μετά τῆς γινομένης ἐπιεικείας τε καί παρρησίας, μᾶλλον δέ φιλομαθείας ἐρωτήσας, μάθε καί δίδαξον ἡμᾶς», μαθητιῶντος μᾶλλον ἐπιδείκνυται διάνοιαν ἤ μεμφομένου. Καίτοιγε ὡς ἐνῆν καταφορικῶς ἐθέλοντί μοι χρήσασθαι τῷ λόγῳ μή σμικρά τις ἀφορμή τήν σήν ἀγχίνοιαν ἥκιστα διαλέληθεν.

Ἐν δέ τοῖς περί ἀποδείξεως οὐ τό ἐμόν μόνον, ἀλλά καί τό σόν ὑγιῶς ἔχειν ἔδωκε νοεῖν τοῖς προσέχουσι τοῖς εἰρημένοις τόν νοῦν, εἰ καί αὐτός οὐκ οἶδ᾽ ὅπως, καθάπερ (σελ. 446) κηρῷ τά ὦτα φραττόμενος, ἀνήκοος ταῦτα παραλλάττεις. Ἐγώ μέν οὖν οὕτω τά πρός σέ˙ σύ δέ με τίσι τε καί ὅσοις ἐγκλήμασι περιβαλεῖν ἐσπούδακας οἶσθα, μηδέ δείξας ὅλως οἰόμενος μετρίως γοῦν ἡμᾶς πρός τάς καθ᾽ ἡμῶν ἐπαγωγάς, ἀπαγωγάς δ᾽ εἰπεῖν οἰκειότερον, ἀπολογήσασθαι δύνασθαι, καί πολεμουμένοις ἀνέβην ἤδη, καί σύν ἡμῖν ἑτέροις ἡμῶν γε ἕνεκα, μηδ᾽ ἡμῖν αὐτοῖς ἐπαμύνειν ἔχειν.

Ἐγώ δέ νικᾶν ἐν τοῖς τοιούτοις αἰσχύνομαι καί οὐκ ἄν ἀπελογησάμην, οὐδαμῶς γέ πως κατηγορούμενος, εἰ μή τήν ἐμφαινομένην ἐν τῷ πρός ἡμᾶς σοῦ γράμματι μεταποιῆσαι διενοούμην ἀπέχθειαν. Ἀλλά γάρ τί πάθω; Ἄλογον καταλλαγήν πρός οὕτως ἐλλογιμώτατον, οἷος εἶ σύ, πῶς ἀνέξομαι, καί συνεπηρεαζομένοις μοι τοῖς ὑπέρ Θεοῦ λογικοῖς τῶν πατέρων ἀγῶσι πῶς οὐχ ᾗ δυνάμεως ἔχω συλλήψομαι, καί σέ γε αὐτόν συγκινδυνεύοντά μοι, πρός ὅν ὁ λόγος, ὡς ὁ λόγος δείξει προϊών, πῶς σιωπῇ τόν φίλον καταπροήσομαι; Πεπαρρησιασμένος ἔλεγχος

εἰρήνης βραβευτής. Θέλεις οὐκοῦν σέ τοῖς σοῖς ἐπιστήσω γράμμασι κριτήν; Καί τί ποτ᾽ ἄρ᾽ ἥδιον φαίης ἄν δήπου, τόν ἐξενηνοχότα καί τῆς ψήφου καθῆσθαι κύριον;

Δύο τοίνυν ἀπό τοῦ αὐτοῦ περί τοῦ αὐτοῦ κατά τό αὐτός δεικομίσθη μοι γράμματα, ἐναντίως ἔχοντα πρός ἄλληλα˙ τό μέν γάρ τοῖς μή καλῶς ἔχειν δόξασιν ἀριστά γέ φησιν ἀντιτετάχθαί με καί ὡς ἄν τις ἔχοι κρίνειν ἀνεπιφθόνως, τό δ᾽ ἕτερον τοῖς αὐτοῖς αὖθις κάκιστα˙ διαβάλλει γάρ ἅπαντας τούς πρός ἐκεῖνά μοι λόγους. Οὕτως οὖν τῶν πρός ἡμᾶς σου γραμμάτων ἀντικειμένων καί δι᾽ ἀλήλων ἀναιρουμένων, ὅ ταῦτα συγγεγραφώς τίνα δόξαν τοῖς ἐντυγχάνουσι τοῦ ἤθους ἑαυτοῦ παράσχοιτ᾽ ἄν χάριν; Ἀλλά τοῦτ᾽ ἐατέον μή καί βλασφημίας γραφήν αὖθις ἀποφερώμεθα.

Τά γοῦν ὑπ᾽ ἀλλήλων συντριβέντα τί φῄς, ὡς ἀχρεῖα (σελ. 448) σκεύη κεραμεοῦντα ρίψωμεν ἄμφω; Καί πῶς ἄν τοῦτο σύ γ᾽ ἀποφήναιο περί τῶν σῶν διαιτητής προκαθήμενος, ἀλλ᾽ οὐχί βιάσῃ τάς ψήφους θάτερον γοῦν περισώσασθαί σοι τοῖν γραμμάτοιν ποθῶν, μᾶλλον δ᾽ ἵνα μή τι πάλιν τῶν οὐ καλῶν σοῦ πέρι φωραθῶμεν εἰπόντες, οὐ τό δίκαιον ἐκκλίνων καί παραλογιζόμενος, ἀλλ᾽ οἷά τις λογικός ἀετός ὑψιπετής τήν διάνοιαν θάτερον περιποιήσῃ τῶν γεννημάτων; Τί γάρ, εἰ μή καί λογική σοι φήνη παρείη, τοῦ περιφρονηθέντος ἐπίκουρος ἕτοιμος, οὐδέ τοῖς ἀετοῖς τούτου μέλει; Ποῖον δ᾽ ἆρά σοι τῶν γραμμάτων οἰκειώσῃ σαυτῷ; Τό γενναῖον δήπουθεν καί μέγα καί μάλιστ᾽ ἔχον ἀντιβλέπειν ἡμῖν ᾧ τά κάκιστα σύνεστι. Τοῦτο δή σοι συνεπικρίνειν ἀναγκαιότατον, ὡς ἐπεί τῷ παρερριμένῳ τῶν ἐναντίων ἀνεπιφθόνως, ὡς ἔφης, κρίνοντι τά ἄριστα ἡμῖν μεμαρτύρηται, τό συνεστηκός ἔτι σοι τοῦτο πρός φθόνον ἅπαν συντεταγμένον ἐστίν.

Οὐ μήν ἀλλά καί τοῦ ἀντιταγμένου διεζευγμένον καθ᾽ ἑαυτό τοῦτ᾽ αὖθις τοῦ δικάζοντος δεῖται, μή συμβαῖνον ἑαυτῷ, μηδ᾽ ἀκολούθως ἑαυτῷ προσαγόμενον, ἀλλά πρός ἑαυτό παλλαχοῦ τε καί πολυτρόπως καί ὑπέρ τῶν μεγίστων μαχόμενον. Ὁ γάρ ἐν αὐτῷ λέγων «μηδέν ἄν ἑαυτῷ διαφέρειν εἴ τις ἀπεκάλει τούς ἐπί Λατίνους οἰκείους λόγους ἅπαντας λῆρον», πρός τόν μηδέν μέν ἕτερον τῶν λαβήν ἐχόντων προαγαγεῖν εἰς τοὐμφανές ἐθελήσαντα καί τ᾽ ἄλλ᾽ ἅπαντα προσεπηνεκότα, πρός ἕν δέ καί τοῦτο μορίων σχεδόν τοὐλάχιστον οὐκ ἀντιτεταγμένον, ἀλλ᾽ ἠπορηκότα καί ἠρωτηκότα (τάς γάρ ἀντιθέσεις ἑτέροις ἀνεθέμεθα προσώποις) πρός τόν οὖν οὕτω μεθ᾽ ὅσης τῆς

ἐπιεικείας αἰτοῦντα τήν λύσιν τῆς ἀπορίας, μακρούς καί πικρούς ἀντεπεξήγαγες λόγους, καί ταῦθ᾽ ὡς αὐτός ἀνωμολογηκώς τυγχάνεις, ἀποξέσας σοι (σελ. 450) τῶν λόγων τό παρ᾽ ἡμῖν ἐν ἐκείνοις ἀμφισβητήσιμον ὡς ἀναμφισβητήτως οὐκ ἀγαθόν.

Εἰ γάρ οὐδέν σοι διαφέρει, ὦ χρηστέ, εἴ τις λῆρον ἀποκαλεῖ σου τούς λόγους καί πρός τήν παρ᾽ ἀνθρώπων δόξαν δεινῶς οὕτως ἔχεις ἀνεπιστρόφως, τίνος ἕνεκεν, ὡς αὐτός φῄς, ἐκβέβληκάς σου τῶν λόγων ἐκεῖνο, εἰ μή τήν χείρω καί αὐτός περί αὐτοῦ δόξαν εἴληφας; Τί δ᾽ εἰ καί "σκανδάλου", καθάπερ αὐτός εἶναι φῄς, "αἴτιον"; Ἆρα τοῦτο μικρόν; Οὐκ ἄρ᾽ ἐκβεβλῆσθαι δίκαιον μόνον, ἀλλά καί «εἰς κῦμα ριφῆναι πολυφλοίσβοιο θαλάσσης», μᾶλλον δ᾽ ἵν᾽ ὡς «μόλυβδος καταδύσῃ» μωσαϊκῶς εἰπεῖν «ἐν ὕδατι σφοδρῷ», εὐμεγέθει λίθῳ προσδεθέν πρότερον, ἔπειτα δοθῆναι τοῖς κύμασιν. Ἀλλ᾽ ὦ τήν σοφίαν εἴπερ τις περιττέ σύ, εἰ τοῦθ᾽ ὁπωσδηποτοῦν ἀφῄρηκάς σου τῶν λόγων ἐκείνων, τίς σοι χρεία τῆς ὑπέρ αὐτοῦ τοσαύτης ἔπειτα μακρηγορίας, ἀφ᾽ ἧς σοι συμβέβηκεν οὐκ ἔξω μόνον σκοποῦ κατά τήν παροιμίαν τοξεύειν, ἀλλ᾽ ἀσκόπως παντάπασιν; Ἤρθη γάρ, ὡς τούς πολυστίχους σοι λόγους τελευτῶν ἐξεκάλυψας μετά τά σκώμματα τῶν σκανδαλιζομένων καί τήν σήν διαπεπονημένην σκέψιν, πρός ὅ τείνουσιν ἐκ τοῦ μέσου παντάπασιν, ὡς ἀπερισκέπτως ἄρα πρότερον, οὕτως ὁ ἀσκόπως λογογραφῶν ματαιολογήσει.

Σύ δ᾽ οὐκ εἰς μάταια, μικρόν γάρ ἤδη σοι τοῦτο, ἀλλά καί πρός τἀναντία περιετράπης, οὐ μόνον ἐν τοῖς καθ᾽ ἡμῶν λόγοις, ἀλλά καί περί τῶν κρειττόνων διαλεγόμενος˙ τοῦτο δ᾽ ἔπαθες ἐκ τῆς ἀκαίρου πολυρρημοσύνης˙ οἱονεί γάρ τινι πολυταράχῳ πνεύματι ταύτῃ σεαυτόν παραδούς καί πολυκινήτως ὑπ᾽ αὐτῆς ἑκών ἄκων σαλευόμενος, πολλά φεῦ προσκόμματα καί συντρίμματα διακενῆς ἔπαθες. Ἀλλ᾽ ἵνα μή καί αὐτός τοῦτο πάθω (πρός γάρ ἕκαστα διαρκῶς ἀποκρινόμενος, οὐκ ἔσθ᾽ ὅπως τό πολύρρημον ἐκφύγοιμ᾽ ἄν (σελ. 452) «ἐκ δέ πολυλογίας» κατά τό γεγραμμένον «οὐκ ἐκφεύξεται ἁμαρτία) ἵν᾽ οὖν μή τοῦθ᾽ ὅπερ ἐγκαλῶ μᾶλλον αὐτός κινδυνεύσω παθεῖν, ταῦτα πάντα ἀφείς, τάς πεποιημένας σοι καθ᾽ ἡμῶν αἰτίας ἀπολύσομαι μόνον, καί τοῦθ᾽ ὡς ἄν οἷός τε ὦ διά βραχέων ποιήσομαι μηκύνειν ἥκιστα ἐθέλων. Ἄλλωστε, καί τοῦ ποιοῦντος τό σκάνδαλον ἐκ τοῦ μέσου γεγενημένου, περιττόν ἄν εἴη περί τούτου διαλέγεσθαι πάλιν˙ εἰ δ᾽ ἄρα τι συμπεσεῖται τοῖς καθ᾽ ἡμῶν εἰρημένοις τῶν μή καλῶς, ὥς γε ἡμεῖς ἄν νομίσαιμεν αὖθις, περί τῶν θείων

ἐκπεφασμένων σοι, σύγγνωθι σημάναι καί περί τούτου δεῖν οἰηθεῖσιν˙ ἴσως κἀκεῖνα δι᾽ ἡμᾶς τούς περί τό ὕψος σοι τῆς θεηγορίας φθάνειν οὐχ ἱκανούς ἀπαλείψεις, ἐπισκευάσας αὖθις καί τόν πρός ἡμᾶς σου τουτονί λόγον. Εἰ δέ μετά τό ἀπαλεῖψαι καθ᾽ ἡμῶν μακρά γράφεις, χαριῇ τά μέγιστα˙ τοῦτο δ᾽ ἡμεῖς μέν ὅμως οὔτ᾽ ἐπιτρέπομεν οὔτε κωλύομεν˙ σύ δ᾽ ὡς προπαρασκευασθείης μή χολᾶν εἴ τί σοι περιτραπείη τῶν σῶν, καί γάρ σόν.

Ἀλλά τίς ἡ πρώτη καί μέση καί τελευταία καθ᾽ ἡμῶν σοι λαβή; «Σύ σαυτόν» φησιν «ἐξαίρεις, ὡς τοῖς ὑπέρ ἡμᾶς ἐντυχών». Πόθεν τοῦτ᾽ ἔχεις δεῖξαι; «Παρά τῶν σῶν» φησι «λόγων, ἐξ ὧν ὑπεσημηνάμην εἰλῆφθαί μοι τό προοίμιον ἅπαν». Ἀνάγνωθι τό σον ἐκ τῶν ἡμετέρων μετειλημμένον καί ἡμᾶς, ὡς αὐτός φῄς, ἐξελέγχον προοίμιον, ἵν᾽ εἰδῶμεν˙ κἄν ἐκ τῶν ἡμετέρων ὑπάρχῃ τις μεγαληγορία, δικαίαν εἶναι τήν καθ᾽ ἡμῶν σου ταύτην κατηγορίαν ὁμολογήσομεν, εἰ δέ μή, σύ σαὐτοῦ καταψηφιῇ, πολυπλασίω περιτρέψας σαυτῷ τήν νέμεσιν. «Σύ μέν τήν ἀνωτάτω ποθήσας φιλοσοφίαν, μᾶλλον δέ παρά τῆς ἀνωτάτω φιλανθρωπίας ἐφελκυσθείς καί λόγων εἴδους παντοίου καί τῆς κατ᾽ αὐτά μελέτης ἀφέμενος καί τοῖς παραδείγμασιν ἤδη ἐντυχών, ἐπίσχες». Τό γάρ τοῖς παραδείγμασιν ἤδη (σελ. 454) ἐντυχεῖν οὐχ ἐπιγινώσκω, βέλτιστε, τῶν ἡμετέρων ὑπάρχον˙ ἐν τούτῳ δέ ἐστι τά τῆς καυχήσεως, ἥν διά παντός ἡμῖν σύ τοῦ λόγου προφέρεις˙ οὐ μόνον δ᾽ ἁπλῶς ἕτερον τοῦτο τῶν λόγων τῶν ἐμῶν, ἀλλά καί τῶν ἐπιεικῶς ὑπερεναντιουμένων ἐκείνοις.

Εἰ γάρ τοῦτο παράδειγμα ἐνταῦθα λέγεις, ὅ μύρον ἡμεῖς ἐκεῖ τροπικώτερον εἴπομεν, ἄκουσον νῦν γοῦν συνετῶς. «Ἡμεῖς τῶν μέν περί λόγους ἐπιστημῶν ἐπιλελήσμεθα σχεδόν παντάπασιν, τῆς δέ ἀληθινῆς σοφίας οὐδέν ἤ μικρόν κατειλήφαμεν, ἀλλ᾽ οἷον εἰς ὀσμήν μύρου τρέχομεν, αὐτό τό μύρον οὐκ ἐν χερσῖν ἔχοντές πω». Ἆρ᾽ οὐ ταῦτ᾽ ἐπί λέξεως ἐκεῖ κεῖται; Σαφῶς οὖν ἡμῶν καταψεύδῃ τῶν μήπω λεγόντων ἐντυχεῖν ὡς ἐντυχεῖν εἰπόντων. Εἰ δ᾽ ὡς ‘ἐποθήσαμεν’ εἰποῦσι ταύτην ἐπιτρίβεις τήν μέμψιν, ὅμοιόν τι ποιεῖ, ὥσπερ ἄν εἴ τις μέγα φρονεῖν ἐπί σοφίᾳ λέγῃ τόν ἐς διδασκάλου φάμενον φοιτῆσαι καί συχνόν τούτῳ χρόνον παρακαθίσαι διδάσκοντι, τῇ δ᾽ οἰκείᾳ δυσμαθείᾳ μηδέν σχεῖν παρακατασχεῖν τῶν διδαγμάτων ἐκείνων. Ἅ τοίνυν καθ᾽ ἡμῶν ἐκ τῆς σαυτοῦ προσθήκης συνήγαγες, τοῦτ᾽ ἐφ᾽ ὅν ἀρτίως μεταχωρήσει σοί σκοπεῖν ἀφίημι.

Καί τῆς τελευταίας δέ ἡμῶν οὐκ ἐπαΐεις εὐχῆς ὁ πᾶν ὅ τι τῶν ἀπευκτῶν ἐθελήσας καθ᾽ ἡμῶν εἰπεῖν, «ὁ τόν πόθον τοῦτον ἡμῖν ὑπερβολῇ φαλανθρωπίας ἐνθείς καί τέλος διά τούς οἰκτιρμούς αὐτοῦ παράσχοι»; Τέλος τοίνυν αἰτοῦντες πῶς οὐκ ἀτελεῖς ἑαυτούς ὄντας ἴσμεν κατ᾽ ἐκεῖνο οὗ τό τέλος αἰτοῦμεν; Τούς δ᾽ ἀτελεῖς ἡμᾶς αὐτούς εἶναι λέγοντας πῶς αὐτός ὡς ὑπερτελεῖς εἶναι λέγοντας ὀνειδίζεις; Ἡμεῖς δ᾽ , ὦγαθέ, τοσοῦτον ἀπέσχομεν τελείους ἑαυτούς ἤ νομίσαι ἤ προσειπεῖν, (σελ. 456) ὡς καί τό τήν ἀρχήν ὅλως προθυμηθῆναι τῆς πρός τό μυστικόν διδασκαλεῖον ἅψεσθαι φερούσης οὐχ ἡμῶν αὐτῶν φάναι, πρός δέ τήν ἄνω φιλανθρωπίαν ἅπαν ἀνενεγκεῖν˙ εἰ δ᾽ ἐκ τῆς ἄνω φιλανθρωπίας, οὐκ ἔτ᾽ ἔργον ἡμέτερον οὐδέ τοῦτο.

Τῶν οὖν προθυμηθέντων ἄρξασθαι μόνον καί μηδέ τήν ἀρχήν ταύτην οἴκοθεν οἰομένων, ὡς τό τέλειον ἑαυτοῖς προσμαρτυρούντων ἐσπουδασμένως οὕτω καταλογογραφεῖν, ἆρ᾽ οὐ συκοφαντίας περιφανοῦς; Τίς δέ σοι πιστεύσειεν ἔτι τῆς ἀληθείας φροντίζειν, περί τῶν κρειττόνων καί δυσθεωρήτων διεξιόντι, καταψευδομένῳ σαφῶς τῶν οὕτω σαφῶς ἀναγεγραμμένων; Πῶς δ᾽ ἄν καί τῆς ἀληθείας ἐφίκοιτο περί τῆς ὄντως ἀληθείας διαλεγόμενος ὁ μή τῆς ἀληθείας πολύν ποιούμενος λόγον; Ἀλλά γάρ δεκάκις τοῦτ᾽ ἐν ἑνί λόγῳ καθ᾽ ἡμῶν ψευδῶς προβαλόμενος, τοσαυτάκις δῆλος ἐγένου τοῖς πᾶσιν ὅθεν λαλεῖς, πρός δέ τό ἄληπτον τοῖς ἡμετέροις λόγοις καινῷ τρόπῳ προσεμαρτύρησας˙ εἰ γάρ εἶχες ἀληθῆ μέμψιν, ἅπαξ εἰς τούς κατηγόρους καταστήσας σαυτόν, τίς ἆρά σοι χρεία τῆς ψευδοῦς ταύτης ἦν καί τῆς ἀπό ταύτης ἐπιθέσεως πρώτης;

Ὅ δ᾽ μ᾽ ἔπειτα κακίζεις ὡς τῷ τέλει τοῦ παντός σοι λόγου φανερῷ τυγχάνοντι τήν ἐναντίαν αὐτός δόξαν περί σοῦ προσηκάμην, τοῦτο φανερῶς ἀδιεκεῖς˙ εἰ γάρ τοῦτ᾽ ἦν, οὐκ ἄν ἠρώτων, οὐκ ἄν ἠπόρουν, ἀλλά κατεψηφιζόμην ὡς ἑτερόφρονος. Ἀπορεῖν δέ τότ᾽ ἔπεισι πᾶσιν, ὅταν τοῖς φανεροῖς καί ἀνωμολογημένοις ᾖ τι τό μή συνᾷδον˙ τό τοίνυν ἀπορεῖν δεῖγμα τοῦ μηδέν σοῦ πέρι φρονεῖν ἐθέλειν ἀπώμοτον. Τό δέ «τήν ἑτέραν ὑπό τήν ἑτέραν» σε σαφῶς εἰπεῖν καί «ἡ διπλόη τῆς ἀρχῆς», τοῦθ᾽ ἡμᾶς πρός τοῖς ἄλλοις ἠνάγκασε πυνθάνεσθαι καί διαπορεῖν, τί ποτέ σοι βούλεται (σελ. 458) «ἡ ἐξ ἀρχῆς ἀρχή», ἥν δή καί νῦν αὖθις θατέρῳ θεραπείαν ἐπινοεῖς˙ τά γάρ ἄλλα παρατρέχειν ὑπέστην τήν ἀρχήν.

Ὅ τοίνυν ἐφεξῆς ἄρτι τῷ προτεθειμένῳ γέγραφας, ὅτι «κἄν τήν ἑτέραν καί ἐκ τῆς ἑτέρας καί ὑπό τήν ἑτέραν λέγω, ἀλλ᾽ ὡς ἡγούμενος

ἕκαστον ἐξ ἧς ἐστιν ὅπως ποτέ ἀρχῆς, ὑπό ταύτην καί ἀναφέρεσθαι», εἰ μέν ἕκαστον ἁπάντων λέγεις τῶν ἀφ᾽ ἡστινοσοῦν ἀρχῆς, τοῖς πᾶσι συντάττεις τά ὑπέρ ἅπαντα καί ἀπό τῶν κτιστῶν περί τῶν ἀκτίστων ἀξιοῖς ἡμᾶς πείθειν, ὅ πολύς ῥέων καθ᾽ ἡμῶν ἔμπροσθεν ἀπαγορεύεις παντάπασιν˙ εἰ δέ τό ἕκαστον τοῦτο πρός τήν ἐξ ἑτέρας ἑτέραν δημιουργικήν ἀρχήν ἐπιφέρει, πλεῖν ἤ δύο τά ἐξ ἐκείνης ἡμῖν σημαίνεις˙ τό γάρ "ἑκάτερον" ἐπί τῶν μή ὑπερβαινόντων τήν δυάδα λεγόμενον ἴσμεν, τριῶν δ᾽ "ἕκαστον" τοὐλάχιστον λέγομεν. Ἐπάφες δή σοι καί τούτῳ τήν πολυχεύμονα γλῶτταν, ἀλλά καί τό "ὑπό" τήν ἀρχήν ἀναφέρεσθαί τι˙ τό γάρ "εἰς" αὐτήν καί "πρός" αὐτήν τήν ἀρχήν ἑκατέραν τῶν θεαρχικῶν ὑποστάσεων ἀναφέρεσθαι καί παρελάβομεν καί κατέχομεν, τό δέ "ὑπό" τοῦτο τήν ἀναφοράν, ἵν᾽ οὕτως, εἴπω, καταφοράν ἀπεργάζεται καί τοὐναντίον παρίστησι τοῦ βουλήματος˙ οὐδέ γάρ τάς ἐν φιλοσόφοις μοι πάλιν διαιρέσεις προάξεις καί τά κατ᾽ ἐκείνας λεγόμενα, καίτοι κἀν ταύταις ἔχει τινά τοῦτο σημασίαν ὑφέσεως. Ἀλλ᾽ οὐ τοῦτο λέγω μόνον, ἀλλ᾽ ὅτι μάλισθ᾽ ὅτι πόρρω ταῦτα τῆς θεοπρεποῦς ἐκείνης ἀναφορᾶς τε καί προελεύσεως.

Ἐρεῖς κἀπί τούτων ἴσως «εἰς μόνην σοι τήν λέξειν τό ἁμάρτημα παρίστασθαι» καί παραιτήσεως ἥκιστα δεῖν. Ἀλλά τό τῆς λέξεως ἡμαρτημένον ἐν τοῖς τοιούτοις, ὦ σοφώτατ᾽ ἀνδρῶν, εἰς ἡμαρτημένην ἀπάγει τούς ἀκροωμένους διάνοιαν˙ ὡς οὖν ὁ γνούς καί μή σαφῶς διδάξας ἐν ἴσῳ καί (σελ. 460) εἰ μή ἐνεθυμήθη τοῖς ἀκούουσιν, οὕτως ὁ γνοῦς ὀρθῶς καί διημαρτημένως διδάξας ἐν ἴσῳ καί εἰ διημαρτημένως ἔγνωκεν. Εἰ δέ κἀνταῦθά σοι τό ἁμάρτημα περί τήν λέξιν ἐστίν, ἀλλ᾽ οὐ κἀκεῖ περί λέξιν, περί δέ λόγους καί λόγους πολλούς, οὕς σύ καλῶς ποιήσας ἐξελών κατέλεξον τούς ἀπαληλειμμένους, καί συνήσεις ὁπόσους. Οὐ μήν ἀλλ᾽ εἴπερ ἄρα καί εἰς λέξιν σοι περιίστατο, καθάπερ αὐτός φής, τό ἁμάρτημα, πόσην εἰδέναι σε χάριν ἡμῖν ἐχρῆν, οἵ διά τό πρός σέ σέβας καί τήν γιγνομένην ἡμῖν εὐλάβειαν οὐχί σέ ἁμαρτάνειν ἀπεφηνάμεθα, προβαλλόμενοι δέ ἀπορίαν σέ διδάσκαλον ἡμῖν αὐτοῖς ἐπεστήσαμεν, τό γε εἰς ἡμᾶς ἧκον; Σύ δ᾽ ἀντί τοῦ διδάσκειν ἐπεξέρχῃ καί χάριν ὀφείλων τῆς πρός σέ εὐλαβείας, ἀναίδειαν καί διαβολήν καί λοιδορίαν ἡμῖν ἀνταπέδωκας.

Ἥν δ᾽ ἀπολογίαν προτείνῃ, καίτοι ψυχράν οὖσαν καί τά πολλαχοῦ καί παρ᾽ ἡμῶν αὐτῶν ἐξεληλεγμένα τῶν Λατίνων ὡς ἐξεληλέγχθαι ἀδυνάτως ἔχοντα προβαλλομένην, ὅμως δεχόμεθα˙ τήν γάρ ἔλλειψιν

αὐτῆς τό δι᾽ ὅ γέγονεν ἐκβεβλημένον ἀναπληροῦν διαγέγονεν. Ἅ δέ κατηγορεῖς ἡμῶν ὡς τούς ὁμογενεῖς σοι διαβαλλόντων ἐπί τῶν δύο ἀρχῶν, σήν χάριν καί τοῦθ᾽ ἡμῖν γέγονε τόν ἀγνωμόνως διατεθέντα˙ τό γάρ ἡμαρτημένον, ἔστω δέ περί τήν λέξιν ὡς αὐτός φῄς, θέλων ἐξελέγξαι σαφῶς (σιωπᾶν γάρ οὐκ ἦν, περί Θεοῦ γάρ ἦν) ἵνα μή σοι προσάπτηται μέμψις, εἰς ἐκείνους δεῖν ἔγνων περιτρέψαι τούς λόγους. Ὅτι γάρ ἐκεῖνοι μή δύο ἀρχάς αὐτόθεν λέγουσιν εἰδέναι με, μαρτυρήσει παρ᾽ ὑμῖν ὤν ὁ πρῶτος πρός αὐτούς ἡμέτερος λόγος ἀπαντῶν πρός ἐκείνους οὕτως˙ «Ὑμεῖς δέ τί φατε οἱ τάς δύο λέγοντες ἐπί τῆς θεότητος ἀρχάς; Τί γάρ, εἰ μή φανερῶς τοῦτο λέγετε, ἀλλ᾽ ἐξ ὧν λέγετε τοῦτο συνάγεται»; Λέγων οὖν ἐκεῖ μή φανερῶς τοῦτο λέγειν αὐτούς, πῶς ἄν νῦν (σελ. 462) ὑπέρ τούτου πρός αὐτούς ἐποιούμην τόν λόγον, εἰ μή τό σόν βλάβος ὑπολογιζόμενος ὡς ἐνόν συσκιάσαι διενοούμην;

Ἀλλά μέν οὖν οὐδ᾽ ἔξω μοι λόγου παντελῶς οὗτος ὁ λόγος, οὐδέ διαβολή τελεία, ὥς γε ᾠήθης, εἰ καί αὐτόθεν πρός ἐκείνους ἐλέγετο˙ μή γάρ, ὡς ἀπό Λατίνων ὤν, ἀνεπιγνώμονας ἡμᾶς οἴου τῶν ἐκείνοις ἐσφαλμένων ρημάτων τε καί δογμάτων˙ ἀλλ᾽ εἰσί μέν οἵ καί νῦν τοῦτο λέγουσι σαφῶς αἱ δύο μία, ὅσοι τῶν πρός αὐτούς ἀπό τῶν ἡμετέρων ἀμελέτητοι συγγραμμάτων˙ πρός δέ χρόνον ἱκανῶν καί τοῖς ἐλλογιμωτάτοις αὐτῶν ἐπεχωρίαζε τοῦτο, καί μαρτυροῦσι τοῦτο τά παρ᾽ ἡμῖν ἐκείνων συγγράμματα δευτέραν λεγόντων ἀρχήν τόν Υἱόν τοῦ ἁγίου Πνεύματος˙ ὁ τοίνυν λέγων τόν Υἱόν οὐκ ἀρχήν μόνον, ἀλλά καί δευτέραν, ἆρ᾽ οὐ δύο λέγει φανερῶς ἀρχάς; Εἰ δέ νῦν τοῦτ᾽ ἀφῆκαν, χάρις τοῖς κατασιγάσασιν αὐτούς ἀντιρρητικοῖς τῶν ἡμετέρων λόγοις, ὥσπερ καί τῷ κατ᾽ ἐπωνυμίαν Νικηφόρῳ πρός αὐτούς πεφηνότι˙ μετά γάρ τούς ἐκείνου πρός αὐτούς λόγους, οὐκέτι τολμῶσιν οἷς αὐτῶν μέτεστί πως συνέσεως τῆς ἀπωλείας λέγειν ἡμᾶς, ὥσπερ ἡμεῖς ἐκείνους.

Τό δέ ἀπό τῶν ἐκείνοις συγχωρουμένων δεῖν ἡμᾶς πρός αὐτούς διαλέγεσθαι, σύμφημι καί αὐτός˙ μέχρι δ᾽ ἄν μίαν πηγήν ἀκούω, μίαν ἀρχήν, μίαν θεογόνον θεότητα, καί τούς λέγοντας ταῦτα καί παρά Λατίνοις σεπτούς, ἀπό τῶν συγκεχωρημένων Λατίνοις πρός αὐτούς διαλέγομαι˙ παρ᾽ ἑαυτοῖς γάρ ἔχουσι καί τιμῶσι ὡς θεηγόρους τούς ταῦτα λέγοντας περί τοῦ τῶν φώτων Πατρός. Εἰ δέ καί τόν Υἱόν θεογόνον ἐφ᾽ ἡμῶν ἐροῦσιν, ἡμεῖς ἐροῦμεν ἐκείνοις μή κατά τά συγκεχωρημένα σφίσι προάγειν τόν λόγον˙ ἡμῖν δ᾽ ἀπό τούτου

κατασκευάζουσιν οὐκ ἔξω τῶν κἀκείνοις συγκεχωρημένων ὁ λόγος ἔσται. Ἅ δέ σύ φῄς, ἐκείνους (σελ. 464) ὑποκρινόμενος κἀκείνους ὑπέρ ἡμᾶς δικαιῶσαι φιλονικῶν, ὡς ὁ Υἱός, εἰ καί πηγή, ἀλλ᾽ ἐκ πηγῆς, καί ὡς ἧττον πηγή καί ὡς πρός θάτερον μόνον πηγή, ταῦθ᾽ ἡμεῖς οὔτε σοί οὔτ᾽ ἐκείνοις συγχωρήσομεν ἀκολούθως ἑαυτόῖς οἰομένοις λέγειν, μέχρις ἄν διδασκάλῳ χρῶνται τῷ εἰπόντι «μόνη πηγή τῆς ὑπερουσίου θεότητος ὁ Πατήρ»˙ οὐδέ γάρ εἶπε «μόνη πηγή οὐκ "ἐκ πηγῆς", οὐδέ "μία μᾶλλον πηγή", οὐδέ "μόνη ἁπλῶς πάσης θεότητος πηγή". Ὥστε ἐκεῖνοι μέν τοῖς παρ᾽ ἑαυτῶν συγκεχωρημένοις οὐχ ἕπονται, ἡμεῖς δ᾽ ἀπό τῶν αὐτοῖς συγκεχωρημένων πρός αὐτούς τούς λόγους ποιούμεθα, μή συκοφαντικῶς, ὥς γε αὐτός οἴει, μηδέ παρά θύρας ἀπαντῶντες αὐτοῖς.

Τῷ δ᾽ ἡμῶν παραδείγματι συνεπιλαμβάνῃ πάντα τά τῶν πατέρων παραδειγματικῶς εἰρημένα περί Θεοῦ˙ τί γάρ πρός τήν ἀνείκαστον φύσιν ἐκείνην ἀφωμοιωμένον ἐξευρεθήσεται; Εἰ δ᾽ ἦν καί τυχεῖν, οὐδ᾽ οὕτως ἄν ἦν ἐκεῖνο παράδειγμα πάντα ἐξισάζον τῷ προκειμένῳ˙ ἄλλο μέν οὖν ἐστι τό παράδειγμα καί τό δι᾽ ὅ παράδειγμα γέγονεν, ἀλλ᾽ οὐχ ὅτι ἄλλο, οὐδέ παράδειγμα, ἀλλ᾽ εἰ μή ἄλλο οὐδέ παράδειγμα. Σύ δ᾽ ἀπό τῶν ἑτεροτήτων κρίνεις ἡμῖν τό παράδειγμα καί τούς Λατίνους αὖθις ὑποκρίνῃ πρός ἀπορίαν, ὥς γε αὐτός δοκεῖς, τήν μεγίστην καθιστῶντας ἡμᾶς, ὡς ἄν εἰ παρά τήν στροφήν σοι τῆς γλώττης ἦν, κακῶς ἤ μή κακῶς ἐκείνους θεολογεῖν˙ ἀλλά μή οὕτω νόμιζε˙ πολλοί γάρ καί πρό σοῦ καί ἐπί σοῦ καί σοῦ οἱαδήποτε λέγοντος κακοδόξους αὐτούς ἀπελέγξουσι.

Τί δ᾽ ὅταν ἡμεῖς μέν λέγωμεν ὡς, εἰ καί χωρίς ἑκάστη τῶν θεαρχικῶν ὑποστάσεων αἰτία καί ἀρχή λέγεται τῶν ὄντων, ἀλλ᾽ οὐδέν ἧττον μία ἐστίν ἡ αἰτία καί ἀρχή τῶν ὄντων, σύ δέ φῄς ἀληθές μέν εἶναι τοῦτο, τοῖς δέ Λατίνοις βοηθεῖν˙ ἆρ᾽ οὐχί τό ἀπερίτρεπτον τοῖς ἐκείνων (σελ. 466) δόγμασι λαθών ἐμαρτύρησας; Εἰ γάρ τό ἀληθές ἐκείνοις βοηθεῖ, τίς ὁ περιτρέψων τούς ὑπό τοῦ ἀληθοῦς βοηθουμένους; Εἰ μέν γάρ, δοκεῖ βοηθεῖν, ἔλεγες, εἶχεν ἄν τινα θεραπείαν ὁ λόγος˙ νῦν δέ σαφῶς οὑτωσί γράφεις, ὅτι καί ἀληθές ἐστι καί τῷ ἐκείνῳ δόγματι βοηθεῖ. Τί δ᾽ ὅτε πάλιν ἡμῶν λεγόντων ὡς «τοῦ Πατρός διά τοῦ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι προάγοντος τά πάντα μία πάντων ἡ ἀρχή ἐστιν», αὐτός αὖθις ἐπιφέρεις ὡς καί Λατῖνοι γ᾽ ἄν οὕτω φαῖεν, ὡς τοῦ Πατρός διά τοῦ Υἱοῦ ἐκπορεύοντος τό Πνεῦμα, μία λοιπόν ἐστιν ἡ ἀρχή τῆς θεότητος; Ἆρα τό σαθρόν τῶν κατ᾽ἐκείνους

δογμάτων ὅσον κατείληφας; Ἀλλά κατάθου τό φρόνημα καί μεταδιδαχθήσῃ τό ἀσφαλές, μᾶλλον δέ καί σύ παρά σαυτοῦ τοῦτ᾿εἴσῃ καλῶς· ἐπαινῶ γάρ τόν εἰπόντα τήν ταπείνωσιν ἀληθείας εἶναι ἐπίγνωσιν.

Ἀλλά πῶς οἱ μέν ἐκ Πατρός δι᾿ Υἱοῦ τά πάντα λέγοντες γενέσθαι, μίαν διά τοῦτο καλῶς δοξάζουσιν ἀρχήν τῶν πάντων, τοῖς δ᾿ ἐκ τοῦ Πατρός διά τοῦ Υἱοῦ λέγουσι τό Πνεῦμα, μίαν ἀρχήν ἥκιστα συγχωροῦμεν διά τοῦτο λέγειν; Ὅτι ἐκεῖ μέν ἡ δημιουργική δύναμις κοινή, ἐνταῦθα δέ οὐ κοινόν τό θεογόνον. Εἰ δ᾿ οἱ Λατῖνοι καί τοῦτ᾿ ἐροῦσι τῶν κοινῶς ἐπί τῆς ἀνωτάτω Τριάδος λεγομένων, ἀλλ᾿ ἡμεῖς ἀπελέγξομεν αὐτούς, τάς τε θεοπνεύστους προβαλλόμενοι Γραφάς καί προσέτι δύο Πνεύματα δεικνύντες ἐντεῦθεν δοξάζοντας αὐτούς, ἐν ᾧ τε καί ὅ, καί τετράδα ποιοῦντας τήν ἄκτιστον Τριάδα· αἱ μέν γάρ προηγμέναι τῶν ὑποστάσεων ἐκεῖ κτισταί, ἐνταῦθα δ᾿ ἐξ ἀνάγκης ἔσται καί τετάρτη ἄκτιστος ὑπόστασις· εἰ δέ μή, κτιστή πάλιν ἔσται ἡ τοῦ Πνεύματος, ὅ καί συγγενέστερον τοῖς τούτων λόγοις· ἐπί γάρ τήν κτίσιν ἦλθε διά μέσης ὁ Θεός θεότητος, ἀλλ᾿ οὐκ ἐπί τήν θεότητα τοῦ Πνεύματος. Ὅ δέ φῄς πάντων ἀτοπώτατον, λίαν ἐκτόπως ἐνόησας· παρηνέχθη δέ σου ἡ στερρότης τῷ τῆς μοναρχίας ὁμωνύμῳ· τρόπῳ γάρ ἕτερος δημιουργικῆς ἐστιν ἀρχῆς καί τῆς κατ᾿ αὐτήν μοναρχίας (σελ. 468) καί τῆς ἀρχῆς καί μοναρχίας ἐκείνης ἕτερος, ἥ τῆς θεογονίας ἐστίν ἐπώνυμον, ὅς καί σώζεται τῷ τόν Υἱόν καί τό Πνεῦμα τήν ὕπαρξιν ἔχειν ἐκ Πατρός, ὥσπερ ἐκεῖνος τῷ δι᾿ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι δημιουργόν εἶναι τόν Πατέρα, ὡς καί τῷ θεοσόφῳ Μαξίμῳ καί τοῖς ἄλλοις πατράσι συνδοκεῖ, οἷς αὐτός σύν ἡμῖν ἀπηρυθριασμένως ἀντιλέγων ἐγκαλύφθητι· καί γοῦν κατ᾿ οὐδέν ἅτερος θατέρῳ τρόπῳ λυμαίνεσθαι πέφυκεν.

Ὅτι δ᾿ οὐ σόν ἐστι περί Θεοῦ λέγειν ὡς «οἷον φῶς ἐστι, μᾶλλον δέ πηγή φωτός νοεροῦ τε καί ἀΰλου», τοῦτο ἀληθές εἴρηκας· ἀκούσεις δέ πῶς, συνήσεις δέ πῶς, πιστεύσεις δέ πῶς, ὅς γε τούς μέν ἔξω σοφούς θαυμασίους καί θεόπτας καί πεφωτισμένους ὀνομάζεις ἐν τῷ πρός ἡμᾶς σου λόγῳ καί τούς αὐτοῖς πιστεύοντας θαυμαστούς καί ζηλωτούς καί αἰδήμονας, διό οὐδ᾿ ἔξω, ἀλλά παλαιούς σοφούς ἀποκαλεῖς σεμνύνων, τούς δ᾿ ἐν ἡμῖν διά τῆς φυλακῆς τῶν θείων ἐντολῶν καί τῆς καθ᾿ ἡσυχίαν ἀκριβοῦς σχολῆς μακαριστῶς κεκαθαρμένους τήν καρδίαν διασύρεις, ἐμοί κατ᾿ ἐξουσίαν οἴκοθεν αὐτούς συντάττων, οὗπερ ἀκρατῶς κατηγορεῖς; Καί οὐ τούς περιόντας

μόνον, ἀλλά καί τούς πρός οὐρανόν ἐκ παλαιοῦ μεταχωρήσαντας καί ζῶντας τῷ Θεῷ, οὕς ὁ μέγας ἀγάλλει Διονύσιος, ὡς καί τάς νοεράς ἐπί γῆς ἔτ᾽ ὄντας ὑπεραναβεβηκότας ἐνεργείας, μετ᾽ ἐμοῦ σύ καί τάττεις καί σκώπτεις, τοῦ κατά σέ πλημμελοῦς καί ἄφρονος καί τόν ἀληθῆ λόγον οὐκ ὀρθοτομοῦντος.

«Διδάσκει γάρ με» φῄς, «ὁ μέγας Διονύσιος περί ὑμῶν τῶν θεωρητικῶν τά καί τά». Τίνος κατειρωνεύῃ, ὦ ἄνθρωπε; Φαίης ἄν ἐμοῦ; Ἀλλ᾽ οὐ περί ἐμοῦ Διονυσίῳ τῷ μεγάλῳ λόγος, ἀλλά περί τῶν καθ᾽ ἑαυτῶν ἀρίστων. Ἄλλως τε, εἰ μέν αὐτός ἐμαυτόν ἐκείνοις συνέταττον, ἦν ἄν ἴσως εὐπρόσωπος ἡ σκῆψις· νῦν δ᾽ οὐκ ἄν εὕροις, οὐδ᾽ ἄν τοῦτο πώποτ᾽ ἀληθῶς δείξαις, οὐδ᾽ ἄν ἰσαρίθμους τοῖς (σελ. 470) στίχοις τοῦ πολυστίχου σοι τοῦδε λόγους συγγράψῃς καθ᾽ ἡμῶν βίβλους. Τίς οὖν γένοιτ᾽ ἄν εὐπρεπής ἀπολογίᾳ τῷ τοῖς διαβαλλομένοις ἡμῖν τούς ἀξιεπαινενωτάτους συνδιαβάλλοντι; Τί τοῦτο πέπονθας, ἀδελφέ; Ποῦ κρημνῶν ἑκών ἀφῆκας σαυτόν; Πῶς δ᾽ ἐκτραχηλισθείς καί τῶν θείων οὕτω κεφαλῶν ἀποσεσαλευμένος ὅσον ἥκει πρός τούς σούς λόγους, οὐκ αἰσθάνῃ τῆς περιωδυνίας, οὐδέ μέγα θρηνεῖς; Πῶς δ᾽ ἄν ἄλλως μετεχειρίσω τόν λόγον, εἰ Διονύσιος ὁ μέγας οὐκ ἐξαίρειν, ἀλλά καθαιρεῖν αὐτούς ἐνόμιζεν;

«Ἐν δέ τοῖς περί ἀποδείξεως κινδυνεύομεν, ὦ φιλότης, καί ἀμφότεροι ὀρθῶς λέγειν»· οὗτος σός ἐστιν ὁ λόγος. Ἀμφοτέρων οὖν ἡμῶν ὀρθῶς λεγόντων κατά σέ, κινδυνεύεις σύ σαυτόν αὖθις ἀποφαίνεσθαι λέγειν οὐκ ὀρθῶς· ἡνίκ᾽ ἄν ἔπειτα τόν ὀρθόν τοῦτον λόγον διαβάλλῃς ἡμῶν, καί ἁπλῶς ὁ τοῖς τυφωνικοῖς ἐκείνοις πνεύμασι ἀναμίξ ραγδαῖος καί λαῦρος ὑετός ἅπας, ὅν ἔφθης καθ᾽ ἡμῶν ἀπό τῆς γλώττης ἀφείς, οὐδέν ἧττον ὅτι μή καί μᾶλλον σέ, τήν πηγήν τῆς καταιγίδος, κατέκλυσεν. Ἐμοί δέ (καί γάρ ἥκιστ᾽ ἐπί νοῦν ἔδοξε θέσθαι τίσιν ἑπόμενον ταῦτα λέγεις, οὕς νῦν αὐτός ἐξέφηνας ὕστερον), ἐμοί τοίνυν τοῦ μή τά σά διαλέξεώς τε πέρι καί ἀποδείξεως εἰρημένα πρός Λατίνους κακίζειν, πολλά τά μαρτύρια κἀν πολλοῖς ἐστιν ἑτέροις ἡμετέροις συγγράμμασι, καί μάλιστα πρός τούς ἀπό Θεσσαλονίκης πέρυσι τοῦτ᾽ ἠρωτηκότας αὐτό, πρός οὕς ἀντιγράφοντες ὁμολογεῖν ἀμφοτέροις ἀπεφηνάμεθα, καί δεῖγμα τοῦτ᾽ ἔφημεν εἶναι τῆς ὁμολογίας, τό προσεῖναι τοῖς παρ᾽ ἀμφοτέρων λόγοις τό εὐσεβές, τό κυρίως δ᾽ ἤ μή κυρίως, εἴπερ ἄρ᾽ ἀμφισβητήσιμον, ἔχειν· ἀλλά σύν νῦν ἀγωνίαν οὔ τοι σμικράν ἠγωνισμένος διετέλεσας δεῖξαι κατά τοῦτο ψευδομένους ἡμᾶς.

Τί τοίνυν, ἄν καί ἡμεῖς ἕκαστον τῶν διαλεκτικῶν σοι τουτωνί συλλογισμῶν, οὕς εὔχῃ κάλλιστά τε καί ὀρθότατα (σελ. 472) πεποιηκέναι, διακωδωνίσαντες, ἀπηχῆ τινα ἠχήν ἀναδιδόντας δείξωμεν, κακοτεχνίας ἔμπλεως, μᾶλλον δ᾽ ἀντί τέχνης ἥν αὐχεῖς, ἀτεχνίας ἀναπεφηνότας πλήρεις, καί τοσοῦτο δέοντας εἶναι διαλεκτικούς, ὡς μηδέ συλλογισμούς εἶναι, μηδέ γοῦν σοφιστικούς, μηδέ σχῆμα ὅλως σώζοντας συλλογισμοῦ; Ἀλλά γάρ, ἐπεί περί τῶν θείων σοι πεποίηνται, τῆς πρός ταῦτ᾽ ὀφειλομένης εὐλαβείας ἕνεκεν, οὐκ ἀναιδῶς καί ἀκρατῶς, ὡς αὐτός καθ᾽ ἡμῶν πεποίηκας, καίτοι πρότερον ἡμῖν τό ὀρθόν προσμαρτυρήσας, ἀλλά μετριώτερον καί κοινότερον καί ἐπιτομώτερον συνελών καί ὑποτεμών, ὥς οἷόν τε, τῷ περί τούτων χρήσομαι λόγῳ καί κατά τάς ὑπό σοῦ σχεδόν δεδομένας ἀφορμάς, ὅπως σοι λογίζηται καί τουτωνί τῶν λόγων τό αἴτιον.

Ὥς ἄν δέ καί πρό τῶν λόγων τούτων ταῦτα δοξάζοντας ἡμᾶς εἰδείης, ἐκεῖνο προθήσω τῶν ἐμῶν, ὅ καί αὐτός οὐκ οἶδ᾽ ὅτι παθών ἐπήνεσας, ὥστ᾽ οὐδέ τοῦτο ἁπλῶς ἐμόν˙ «Οὐδείς ἀγαθός, εἰ μή εἷς ὁ Θεός, ὁ μόνος δίκαιος, ὁ μόνος σοφός, ὁ μακάριος καί μόνος δυνάστης, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον˙ οὐδέν οὖν τῶν ἑπομένων τῷ Θεῷ ἐπί πλέον εἴη ἄν αὐτοῦ, καί αὐτῶν δ᾽ ἕκαστον μοναδικόν, καί ὅ,τι ἄν κατηγοροῖτο τούτων, οὐ καθόλου». Τό γάρ ὑπερούσιον καί ὑπεράγαθον καί ὑπέρσοφον καί ὑπέρφωτον τίνος γε ἄλλου ἤ τῆς ὑπερθέου οὐσίας καί σοφίας καί ἀγαθότητος καί τοῦ φωτός ἐκείνου; Πῶς οὖν ἐκ μοναδικῶν γένοιτ᾽ ἄν συλλογισμός, ἄνευ τοῦ καθόλου; Εἰ δέ συλλογισμός οὐκ ἄν γένοιτ᾽ διαλεκτικός, ὦ βέλτιστε, πῶς ἄν γένοιτο; Σοφιστικός δ᾽ ὅμως ἔσται, σχῆμα μόνον ἔχων καί φαινόμενος, ἀλλ᾽ οὐκ ὤν. Καί ἡ διαλεκτική σοι τοίνυν, ὡς χνοώδης διεκπεφύσηται, καί οἱ σοί ἅπαντες συλλογισμοί, εἰ ἄρα καί μή ἀφίενται τοῦ τῶν συλλογισμῶν (σελ. 474) ὀνόματος, σοφιστικοί εἰσιν, οὐκ ὄντες, ἀλλά φαινόμενοι, μᾶλλον δέ οὐδέ τοῦτο, δεδόσθω δ᾽ ὅμως˙ αἱ δ᾽ ἐκ τῶν ἡμῖν ἐνυπαρχόντων λόγων προστιθέμεναι προτάσεις, μή οὖσαι αἴτιοι τοῦ συμπεράσματος, πῶς ἄν εἶεν αἴτιοι τῆς πίστεως αὐτοῦ; Εἰ δέ συγχωρεῖ, τίς ὁ λόγος καθ᾽ ὅν διαλεκτικόν μέν θέλων ὀνομάζειν τόν αὐτοῦ συλλογισμόν, τά τε μή καθόλου λαμβάνει ὡς καθόλου καί τάς ἐν ἡμῖν ἐννοίας πίστιν παρέχειν τοῖς λογίοις τίθεται καί τόν συλλογισμόν πίστεως, ἀλλ᾽ οὐχί γνώσεως, αἴτιον ἡγεῖται καί ἁπλῶς πάντα συγχωρεῖ τά καί τῷ λόγῳ τῆς τέχνης μή

συμβαίνοντα, τοῖς δέ ἀποδεικτικόν καλοῦσιν, οὐδέν οἴεται συγχωρητέον;

Ἔτι, ἐπείπερ ἐν οἷς δοκεῖς ἡμᾶς ἐλέγχειν, τό μοναδικόν φῄς διττόν καί ὁμώνυμον παρ᾽ οὐδέν ἄλλο ἤ ὅτι ἄλλως ἐφ᾽ ἑκάστου τῶν παρ᾽ ἡμῖν αἰσθητῶν ἔχει καί ἄλλως ἐπί τοῦ Θεοῦ, μάθε ὡς πάντα τά ἐπί Θεοῦ λεγόμενα τοῦτον τόν τρόπον διττά καί ὁμώνυμα˙ οὐδέν γάρ τῶν ἐπ᾽ αὐτοῦ λεγομένων οὕτως ἔχει ὥσπερ ἐφ᾽ ἑκάστου τῶν παρ᾽ ἡμῖν, οὐχ ὅπως τῶν αἰσθητῶν ἀλλ᾽ οὐδέ τῶν νοητῶν, ὥστ᾽ ἐν ἅπασί σου τοῖς συλλογισμοῖς παρά τό διττόν τοῦτο τούς ἀκροωμένους ἐπιχειρεῖς παρακρούεσθαι˙ σοφιστικοί σοι ἄρ᾽ εἰσίν ἅπαντες, ἀλλ᾽ οὐ διαλεκτικοί. Ἔτι, εἰ μοναδικόν ἐστιν ὁ Θεός, καί τοιοῦτο μοναδικόν ὡς μή ἐκ πολλῶν ἕν, ἐπί δέ τούτου τοῦ ἑνός οὐκ ἔστι τόδε τι εἶναι καί ὑποκείμενον, τούτων δ᾽ ἄνευ πρότασις οὐκ ἔστι˙ προτάσεως μή οὔσης, οὐδέ συλλογισμός ἔσται, μή ὅτι διαλεκτικός, ἀλλ᾽ οὐδέ σοφιστικός. Τούς σούς τοίνυν διαλεκτικούς, οὕς αὐτός φῄς, συλλογισμούς, μήτε διαλεκτικούς, μήτε σοφιστικούς ἀναφανέντας, τί γε ὀνομάσωμεν; Ἀρρήτους, ἤ καί ἀδιανοήτους.

Αὐτίκα ὅν φῄς ἀκριβῆ σοι ἐς τά μάλιστα συλλογισμόν, «Πατρός καί Υἱοῦ μία ἐνέργεια, ὧν μία ἐνέργεια, μία δύναμις, ὧν μία δύναμις, οὐσία καί φύσης ἡ αὐτή, (σελ. 476) Πατρός ἄρα καί Υἱοῦ, οὐσία καί φύσις ἡ αὐτή»˙ τοῦτον δή προβαλλομένοις ἀπόκρισις πυνθανομένοις˙ ἄλλος μέν γάρ τις τοῦτον οὕτως ἐκτιθέμενος, οὐκ ἄν εὐθύνοιτο παρ᾽ ἡμῶν˙ ὡς δέ σόν, ἀπό τῶν σῶν ἐτάσομεν. Ὧν γάρ, τίνων λέγεις; Εἰ μέν γάρ ἁπάντων, μή καί λίαν πλημμελές; Τά γάρ ὑπεξῃρημένα πάσης πληθύος ταύτῃ δι᾽ αὐτοῦ συντάττεις καί ἀπό τῶν κτιστῶν περί τῆς ἀκτίστου φύσεως διδάσκειν ἀξιοῖς. Ἔτι δέ καί διά τοῦ διττοῦ τῆς ἐνεργείας τρόπου σοφιστικῶς ἡμᾶς ἐπιχειρεῖς παρακρούεσθαι˙ καί γάρ οὐδ᾽ αὐτός ἄν φαίης οὕτως εἶναι μίαν δύναμίν τε καί ἐνέργειαν Υἱοῦ τε καί Πατρός, ὡς ἐμοῦ τε καί σοῦ μία ἐστίν ἐνέργειά τε καί δύναμις. Εἰ δ᾽ οὐ πάντων, πῶς οὐκ ἀσυλλόγστος ὁ ἀκριβέστατος αὐτός σου συλλογισμός, ἐστερημένος τοῦ καθόλου; Πρός δέ τούτῳ καί τό ἐν ἀρχῇ αἰτεῖται διά ταὐτολογίας δυνάμει προαγόμενος.

Θέλεις ἔτι διαβασανίσωμεν τόν διαφερόντως τοῦτον ἠκριβωμένον σοι συλλογισμόν; Ἀλλ᾽ ὀκνῶ εὖ ἴσθι μακρηγορεῖν πρός οὐδέν κέρδος ἥκιστα ἐθέλων˙ ἀλλ᾽ εἴπερ ὁ πρός ἀκρίβειαν οὗτος λίαν ἐκπεπονημένος σοι συλλογισμός, καίτοι πρός ὀλίγον βεβασανισμένος ἐριστικός ἀναπέφηνε καί ἀσυλλόγιστος, τί γ᾽ ἄν ὑποσταῖεν οἱ μή πρός

τοῦτο σοι ἀκριβείας ἥκοντες, ἀκριβεῖ βασάνῳ παραδεδομένοι; Σήν δ᾽ ὅπως χάριν τό νῦν ἔχον ἀνεξέταστοι κείσθωσαν. Ὁρᾷς ὅσα σοι πάλιν ἐγώ τῷ ἀχαρίστῳ χαρίζομαι; Τό δέ συμπέρασμά σοι τοῦ παντός μᾶλλον ἠκριβωμένου τουτουί μικρόν ἔτι προσθεωρήσωμεν, ἵν᾽ ἐξελέγξω σε κατά σέ καί εἰς ἔργον ἐκβῇ τό σολομώντειον ἔπος˙ «ὁ ὀρύσσων βόθρον τῷ πλησίον ἐμπεσεῖται εἰς αὐτόν». Τί δή τό ἐκ τοῦ ἀκριβεστάτου τῶν συλλογισμῶν ἀκριβέστατον συμπέρασμα; «Πατρός καί Υἱοῦ μία φύσις καί οὐσία ἐστί»˙ τούτῳ δέ ταὐτόν (σελ. 478) εἰπεῖν˙ «εἷς Θεός ὁ Πατήρ καί ὁ Υἱός». Τοῦτο δέ τίς οὐκ οἶδεν, ὡς ἀπόφανσίς ἐστιν ὑπό τῶν ἁγίων Πατέρων ἡμῖν ἀποφανθεῖσα; Καί τοίνυν ἄκουσον τῶν σαυτοῦ κατά σαυτοῦ λόγων˙ «ὅπερ ἐστί τοῖς γεωμέτραις ἀρχή καί κοινή ἔννοια καί ἀξίωμα, τοῦθ᾽ ἡμῖν ὑπάρχει ἑκάστη τῶν ἀποφάνσεων, ὅσαι ἡμῖν τῶν θείων ὑπό τῶν ἁγίων ἀνδρῶν ἀπεφάνθησαν˙ οὐδεμίαν ἄρα χρή ἐκ συλλογσιμοῦ λαβεῖν». Ἰού, ἰού, καί ὁ μαθηματικώτατος ὡς ἀμαθής˙ ὁ γάρ ταῦτα λέγων σύ καί ἡμᾶς ὀνομάζων ἀφ᾽ ὧν ἀρτίως ἐκούεις τόν Πατέρα μόνον προβολέα Πνεύματος διά συλλογισμοῦ δεικνύντας, ὅτι ὁ Πατήρ καί ὁ Υἱός εἷς ἐστι Θεός, ὅ παντός μᾶλλον αὐτόθεν ἐστί πιστόν καί οἱ πατέρες ἀπεφήναντο, διά συλλογισμοῦ δεῖξαι ἐπειράθης καί τόν ἀκριβέστατον ἁπάντων τοῦτον σοι φῄς συλλογισμόν, καίτοι οὐδ᾽ ὑπό τῶν πατέρων πρώτων ἀπεφάνθη τοῦτο, ἀλλ᾽ ὑπ᾽ αὐτοῦ τοῦ ἑνός τῆς θεαρχικῆς Τριάδος καί Θεοῦ τῶν πατέρων Ἰησοῦ, ὅς φησιν, «ἐγώ καί ὁ Πατήρ ἕν ἐσμεν» καί «ὁ ἑωρακώς ἐμέ ἑώρακε τόν Πατέρα»˙ καί «εἰ ἐμέ ἐγνώκειτε, καί τόν Πατέρα μου ἐγνώκειτε ἄν» καί «ἐγώ ἐν τῷ Πατρί καί ὁ Πατήρ ἐν ἐμοί». Εἰ δ᾽ αἱ τῶν πατέρων ἀποφάνσεις αὐτόπιστοι, πόσῳ μᾶλλον αἱ τοῦ Κυρίου τῶν πατέρων˙ κατά τοσοῦτο τοίνυν, μᾶλλον διά συλλογισμοῦ πειρώμενος δεικνύειν ἀπαίδευτος, εἰ μή τι καί τῶν ἀπαιδεύτων πλέον.

Ἀλλά μή χαλέπαινε τάς σαυτοῦ γνωρίζων φωνάς οὐ παρ᾽ ἡμῶν ἀντιπροσαγομένας ἀνταποδιδόντων, ἀλλ᾽ ἐκ τῶν σῶν λόγων ἐκβαινούσας˙ ὅ γάρ τήν ἀρχήν εἶπον, κατ᾽ αὐτός σαυτοῦ γέγραφας, διά τοιούτων πειραθείς ἀνατρέπειν τά ἐμά, δι᾽ ὧν οὐδέν ἄν ἧττον καί τά σά τις ἀνατρέψειε πάντα, καί οὐ τά σά μόνον, ἵνα σοι καί τινα ψυχαγωγίαν (σελ. 480) ἐπινοήσωμεν, ἀλλά καί πάνθ᾽ ἁπλῶς ἅ ἄν δόξαι τά περί Θεοῦ καί τῶν θείων λογικῶς δεικνύμενα, καί πάντας τούς εἰπόντας καί τούς μέλλοντας ἐρεῖν. Ἀπό τῆς αὐτῆς σχεδόν παρασκευῆς καί οἱ ἔξω κατά τῶν ἡμετέρων ἐχώρησαν, οὐδαμῇ δ᾽

ὅμως ἴσχυσαν, ἀλλ' «ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν», θνητούς, ἵν' οὕτως εἴπω, κανόνας τοῖς περί τοῦ ἀθανάτου λόγοις προσάγοντες, ὧν σύ τούς προστάτας τῶν κατ' ἐκείνους δογμάτων ὡς «τήν θείαν «ὑπεροχήν κατανενοηκότας» ἄγασαι, τήν καί αὐτοῖς τοῖς διά τό περιόν τῆς νοήσεως πολυομμάτοις χερουβίμ ἀκατανόητον οὖσαν. Διά τοῦτο μοι καί νῦν ἀντιγράψαι τῶν ἀπαραιτήτων ἐφάνη καί λυσιτελεστάτων, ὡς ἄν καί σύ σεαυτοῦ γένοιο σοφώτερος ἐξ ἡμῶν τῶν ἀσόφων ἀφορμήν λαβών, καί τά σά συγκινδυνεύοντα τοῖς ἐμοῖς, εἴπερ ἄρα δυναίμην, ἐξέλωμαι τοῦ κινδύνου καί σέ πείσω τῇ τῶν πατέρων ἰδιωτείᾳ μᾶλλον ἤ Πλάτωνι καί τῷ Νικομάχου τόν νοῦν προσέχειν.

Ἐκεῖνοι μετά τῆς μωρίας τοῦ εὐαγγελίου τοῦ διδασκαλείου τῆς θεολογίας ἀσφαλεῖς προστάται, τοῦ τῆς ἀληθοῦς σοφίας Πνεύματος τοῖς πνεύμασι τούτων ἐφιζάνοντος καί «διδακτικούς Θεοῦ» ποιοῦντος τούς αὐτοῖς φοιτῶντας, οἵ κἄν τῶν θύραθεν οὐκ ἀπηχές ᾖ καί τοῦτ' εἰσποιοῦνται καί ἐναρμόζονται τῇ ἐμμελείᾳ τοῦ Πνεύματος. Ὧν εἰ θέλεις ἀκοῦσαι τίνα λέγουσιν ἀπόδειξιν θείαν, καί οὐχ ἁπλῶς ἀπόδειξιν ἀλλά συλλογιστικήν ἀπόδειξιν, ἀνά χεῖρας λάβε τήν Δογματικήν πανοπλίαν· ἐκεῖ γάρ ὄψει ταύτην ἐπιγεγραμμένην πολλαχοῦ καί τόν λόγον ὑπαναγνούς ὅς ἐνέχει τουτί τοὐπίγραμμα συλλογισμόν εὑρήσεις ἁπανταχοῦ ἐκεῖ καί συλλογιστικήν ἀποδειξιν ὅτι εἷς ἐστι Θεός ἀκούσῃ καί παύσῃ καταιτιώμενος ἡμᾶς εἰπόντας, εἰ μή ἄρα σύν αὐτοῖς, καίτοι τό «εἷς ἐστι Θεός» παντός (σελ. 482) μᾶλλον θεοπαράδοτός ἐστιν ἀπόφανσις, «Κύριος γάρ», ὁ Θεός σου, Κύριος εἷς ἐστιν»· εἰ γοῦν βουλομένοις ἦν αὐτοῖς τάς ἀποφάνσεις ἁπλῶς λέγειν ἀποδείξεις, τούτῳ ἄν τήν ἀπόδειξιν ἐπέγραφον, οὐ τοῖς ἐξ ὧν αὐτό συλλογιστικῶς συνήγαγον.

Ἐκεῖ τοίνυν μηδέ γάρ ἐπιτίθεσθαί σοι προθυμούμενος, καίτοι πολλαῖς ἀνάγκαις ἐκκαλεσαμένῳ νῦν εἰς τοῦτο πρός τό παιδαγωγεῖον τῶν πατέρων ἀναβιβάσαι σε διενοήθην· ἐκεῖ τοιγαροῦν εἴσῃ καί πῶς καί τίνα τά περί Θεόν καί τίνι τρόπῳ μή πάντα λέγειν θείας οὐσίας βιασθήσῃ, ὅ νῦν ἔπαθες, συβεβηκός ἐπί Θεοῦ ἐκφεύγειν λέγειν προαιρούμενος καί τήν τῆς ἀποφυγῆς ὁδόν μή ἐπιστάμενος· ἐκεῖ καί πίστιν εὑρήσεις διαφέρουσαν ἐπιστήμης καί γνῶσιν πίστεως ἕτερον τρόπον· ἐκεῖ καί γνωστόν γνώσῃ Θεοῦ ἥκιστ' ἐπί πίστεως ἐκλαμβανόμενον, ὡς καί Παῦλος ὁ μέγας καί τοῖς ἐκτός πίστεως πεφανερῶσθαι λέγει «τό γνωστόν τοῦ Θεοῦ», ὅ λεγόντων ἡμῶν, σύ τό

πιστεύειν λέγειν ᾠήθης ἐπίστασθαι. Ταῖς οὖν ἐκεῖ συνειλεγμέναις τῶν προτέρων φωναῖς οὐκ ἀνήσω καί φρονῶν καί λέγων συνῳδά· λέγουσι δ᾿ αὗται λίαν ἐνεργῶς ἐν τοῖς ἐπιγράμμασιν, ὡς ἔφημεν, εἰ μή ἄρα μετά προσδιορισμοῦ τινος οὐ τήν ἀπόφανσιν ὡς αὐτόπιστον ἀπόδειξιν, ἀλλά τόν συλλελογισμένως προαγόμενον λόγον, ὡς ἔχοντός τι τοῦ συλλογισμοῦ καί πρός τήν ἀπόδειξιν οἰκειότερον· εἰ γάρ μή τοῦτ᾿ ἦν, καί πᾶσαν ἀπόφανσιν ἀπόδειξιν ἄν ἐπέγραφον· ἀμεταπείστως γάρ καί πρός αὐτάς ἔχομεν οἱ τοῖς πατράσιν ἑπόμενοι.

Τό γοῦν θεῖον, ὦ θαυμάσιε, κρεῖττον παντός ὑπάρχον νοῦ καί λόγου, καί ὑπέρ τήν διαλεκτικήν ἐστιν, ὑπεροχικῶς γάρ ἐξῄρηται φαντασίας τε καί δόξης, κάι ὑπέρ τήν ἀποδεικτικήν· ἐπαφή γάρ αὐτοῦ οὐκ ἔστιν οὔτε ἐπιστήμη, καί ὅλως ὑπέρ τήν συλλογιστικήν πᾶσαν ἔφοδόν ἐστιν· ἀλλά συλλογίζεσθαι περί τῶν θείων ἔργῳ ὑπό τῶν πατέρων (σελ. 484) ἐδιδάχθημεν. Πῶς οὖν τούτους τούς συλλογισμούς προσαγορεύσωμεν; Ὡς οἱ διδάξαντες πάντως, εἰ μή ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις· ἀλλά θειωδῶς τά θεῖα μέτιμεν ἐκ τῆς πνευματοκινήτου τῶν θεολόγων δυνάμεως· ἀποδεικτικούς δ᾿ ὠνόμασαν ἐκεῖνοι, καθάπερ ἀνωτέρω δέδεικται. Τί τοιγαροῦν ἔκτοπον ἐργάζομαι, φίλος, εἰ τά φίλα τοῖς πατράσι προαιρούμενος πράττειν τόν βοηθοῦντα πανταχόθεν ὡς ἐνόν ἐρανίζομαι λόγον, οὐκ ἀγνοῶν ὡς Ἀριστοτέλει καί τῷ τοῦ Ἀρίστωνος οὐ συνδοκεῖ, ἀλλά προτιθείς τά τοῖς πατράσι δόξαντα τῆς ἐκείνων λογολεσχίας καί εἰδώς ὡς ἡ ἐν ἐκείνοις γνῶσις περί τῶν θείων οὐκ ἀσφαλής, εἰ καί σοί κακῶς εὖ ἴσθι μή τοῦτο συνδοκεῖ, καίτοι μεθ᾿ ἡμῶν τεταγμένῳ καί τῆς αὐτῆς ἀντεχομένῳ πίστεως;

Ἐν γάρ τοῖς πρός ἡμᾶς σου τουτοισί λόγοις ταῦτά σοι περί αὐτῶν διεξελθεῖν ἐπῆλθε· θαυμάσας γάρ αὐτούς ὡς «ἀπαγορεύσαντας τήν ἀπόδειξιν ἐπί τῶν θείων» καί ὡς «τήν θείαν ὑπεροχήν κατανενοηκότας» καί ὑπεραναβιβάσας αὐτγούς «τῆς μεριστῆς καί μεταβατικῆς πάσης ἐπιστήμης καί παντός τοῦ λογιζομένου τῆς ψυχῆς» καί τῶν κατ᾿ ἐκεῖνο συνεστώτων, ταὐτόν δ᾿ εἰπεῖν παντοίου λόγων εἴδους καί φιλοσοφίας πάσης, καί ὑψοῦ που θέμενος αὐτούς ἐν τοῖς ὑπέρ πᾶσαν αἴσθησιν καί νοῦν καί λόγον, ἐφεξῆς συνείρεις τούς ἐκείνων λόγους ἔχοντας οὕτως· «ἐπί δέ τῶν ὑπέρ ἡμᾶς θέαν δεῖν ἄνωθεν παραγενέσθαι καί φῶς ἀναλάμψαι νοερόν, δι᾿ οὗ ἔστι τοῖς θείοις συζυγεῖν, καί κρεῖττον ἤ κατά ἀπόδειξιν τάς συνεπτυγμένας καί ἁπλᾶς κάι ἀμερεῖς ἐκείνας ἔχειν θεωρίας»· τούς δέ παρά τοιούτων

ἀκηκοότας καί πιστεύσαντας, ἐπιστήμονας μέν οὐκ εἶναι, θαυμαστούς δέ καί ζηλωτούς ὑπάρχειν τῆς τε προαιρέσεως καί εὐπειθείας καί αἰδοῦς τῆς πρός τά θεῖα καί τούς θείους ἄνδρας τούτους· κἀπί τούτοις τήνσήν περί αὐτῶν ἔχεις (σελ. 486) γνώμην ἐκδιδάσκεις λέγων· «ὅταν τοῦτα ἀκούσω αὐτῶν λεγόντων, οὐ δύναμαι ὑπολαβεῖν μή καί αὐτούς ὑπό Θεοῦ πεφωτίσθαι καί ὑπέρ τούς πολλούς γεγονέναι».

Τί τοῦθ᾽ ὅ λέγεις, ὦ ἄνθρωπε; Νοεροῦ καί θείου φωτός ἐν μετουσίᾳ γεγόνασιν ἐκεῖνοι; Λαμπρότητα Θεοῦ κεί εἶδον καί ἔπαθον; Ὑπερ σοφίαν, ὑπέρ λόγον, ὑπέρ νοῦν ὡμίλησαν Θεῷ; Μᾶλλον δ᾽ ἵνα ἀπό τῶν αὐτῶν σοι τήν ἀρχήν ποιήσωμαι τῶν λόγων, καθαιρῶν οὕς αὐτός μάτην ἐξαίρειν ἐπεχείρησας ἤ, τό γε ἀληθέστερον εἰπεῖν, ἐκ παλαιοῦ καθηρημένους ὄντας ἐμφανίζων, οὕς ὡς ὑπεξηρημένους ἐξυμνεῖς οὐκ εἰς καιρόν αὐτός, οἱ λέγοντες «Θεόν εἰδέναι μέν χαλεπόν, φράσαι δέ ἀδύνατον», ἆρα κατενόησαν τήν τοῦ Θεοῦ ὑπεροχήν, οἵ μηδ᾽ ὅτι τήν ἀνθρωπίνην ὑπεροχήν νόησιν λέγουσιν, ὥστε καί ὅ φασιν ὑπέρ ἀπόδειξιν, διά τό τῆς φράσεως οὐχ ἱκανόν φασι, κατά δέ τήν ἐν ἑαυτοῖς θέαν ἐπιστήμονας τῶν θείων ἑαυτούς, ὡς καί αὐτός ἔφης, λέγουσιν; Ὥσθ᾽ ἡ λεγομένη παρ᾽ ἡμῶν ἀπόδειξις ἐπί τῶν θείων ἀσυγκρίτως ὑπερέχει τοῦ ὑπέρ ἀπόδειξιν ἐκείνων.

Εἰ δ᾽ ἦγον σχολήν, ἔδειξα ἄν σοι καί θέας αὐτῶν ἐκείνας, δι᾽ ὧν φασι «τοῖς θείοις συζυγεῖν», τῶν ὄντως θείων ἀποβουκολούσας καί τάς ἀνατατικάς αὐτῶν ἐκείνας ἐποψίας, ἐκβαινούσας μέν τῶν μέσων τῆς ψυχῆς λόγων καί πασῶν τῶν φυσικῶν ἀκροτήτων, ἐμπιπτούσας δ᾽ οὗ «βυθός αἰέν ἄπιστος ὑπεστόρεσται, ἀμφικνεφής ρυπόων ἀνόητος» καί τό ἀναλάμψαν νοερόν ἐκείνοις φῶς οὐκ εἰς ἀμφιφαῆ χῶρον ἀνασπῶν αὐτούς, ἀλλ᾽ ὑπό ζόφον αἰώνιον καταδικάζον καί δέλεαρ καί λόχον δεινόν ἐξευρημένον τῷ τοῦ σκότους ἄρχοντι, τοσοῦτο παριέργως κατ᾽ ἐπίκρυψιν ἐσκευασμένον ὡς καί δι᾽ ἀκοῆς παράγειν ἔχειν τούς μή πάνυ πρός διάκρισιν καλοῦ τε καί κακοῦ γεγυμνασμένους ὄντας· διά γάρ μιᾶς (σελ. 488) ταύτης ἀμηχάνως κακομηχάνου μηχανῆς τούς τε θεωρούς ἐκείνους πάσῃ περιέπειρεν ἀπάτῃ καί τούς ἀκροωμένους ἐκείνων ὡς πεφωτισμένων τῶν οἰκείων πολυπλόκων ἀρκύων ἐντός πεποίηται καί πρός τούς ἔπειτ᾽ ἐσομένους φθάνει τῷ τῆς κακουργίας περιόντι διά τῶν ἐκείνων συγγραμμάτων.

Εἰ γάρ αὐτός, αὐτόχρημα σκότος ὤν, ἄγγελον φωτός ὑποκρίνεται κατά τόν ἀπόστολον, τί θαυμαστόν εἰ καί τούς ἐκείνου

κατασεσοφισμένουςτῷ ἐνυποκρίτῳ φωτί καί σφάσιν αὐτοῖς ὅλον εἰσοικίσαντας αὐτόν καί δι᾽ αὐτοῦ λαλοῦντας τάς φωνάς ὑποκρίνεσθαι τῶν διακόνων τοῦ ἀληθινοῦ φωτός, δηλονότι τῶν ἐν τῷ Θεῷ πεφωτισμένων, ὥς ἄν «τά ἔργα τοῦ Πατρός αὐτῶν» ἐκτελῶσι καί αὐτοί, τῷ τῶν λόγων εὐπρεπεῖ τούς πολλούς παράγοντες; «Καί οἱ διάκονοι γάρ αὐτοῦ», φησίν, ὑποκρίνονται «ὡς διάκονοι δικαιοσύνης».

Πῶς δέ καί «ὁ κόσμος οὐκ ἔγνω διά τῆς σοφίας τόν Θεόν», εἰ θεογνωσίας τό ἀκρότατον θεοπτία, ταύτῃ δέ προσέβησαν Σωκράτεις καί Πλάτωνες καί οἱ κατ᾽ ἐκείνους σοφοί καί οἱ παρά τούτων ἀκηκοότες καί πιστεύσαντες, ἀξιάγαστοι τῆς προαιρέσεως καί αἰδοῦς ἕνεκα τῆς πρός τά θεῖα; Πῶς δέ καί σοφοί ὄντες ἐμωράνθησαν, εἴπερ ἐφωτίσθησαν, καί οὐκ αὐτοί μέν ἐμωράνθησαν, τῇ δέ σοφίᾳ τούτων μέτεστι συνέσεως; Ἀλλ᾽ «ἐμώρανεν ὁ Θεός τήν σοφίαν τοῦ κόσμου τούτου», διό καί νῦν εἴ τις οὕτω ταύτῃ προσέχει τόν νοῦν ὡς δι᾽ αὐτῆς πρός θεογνωσίαν ὁδηγεῖσθαι μέλλων, τοῦτ᾽ αὐτό πάσχει καί μωραίνεται, σοφός ὤν.

Τί δέ ἡ κενή δόξα καί ὁ ταύτης οἷαπερ ὑπεζευγμένος ἔφιππος τῦφος ὅν ἐγκαλοῦσιν οἱ πατέρες ἡμῶν αὐτοῖς; Ἔνι τούς τετυφωμένους εἶναι πεφωτισμένους; Οὐχ ὁ ἀπόστολος ἰδιαίτατόν τι κρίμα τοῦτον τοῦ διαβόλου φησίν; Οὐχ «ὁ Κύριος ὑπερηφάνοις ἀντιτάσσεται»; Πῶς οὖν (σελ. 490) οἷς ἀντιτάσσεται διά φωτός ἐπιφαίνεται; Πῶς ἡ διδομένη χάρις τοῖς ταπεινοῖς εἰς τούς ὑπεναντίους τούτοις εἰσοικισθήυσεται; Καί οὐχ οἱ πατέρες μέν ἡμῶν ἐκείνων τόν τῦφον καί τό κενόδοξον ἴσασιν, ἀλλήλοις δ᾽ οὐ συμμαρτυροῦσιν ἐκεῖνοι τοῦτο; «Τί τοῦτο Διόγενες; Καταπατῶ, φησίν ὁ Διογένης, τόν τῦφον τοῦ Πλάτωνος. Ἑτέρῳ τύφῳ, Διόγενες», ὁ Πλάτων ἀντεγκαλῶν ἀπεφήνατο. Εἶδες πῶς τόν τῦφον ἀλλήλοις προσεμαρτύρησαν; Πλάτωνι δέ ἄρα καί τοσοῦτο καλόν ἡ κενοδοξία δοκεῖ, ὥστε καί ταύτην αἰτίαν φάναι τῶν ἀρίστων ἔργων ἡμῖν καί συνεπιλαμβάνειν ἡμᾶς ταύτῃ τ᾽ ἄριστον.

Εἶδες μεμωραμένην σοφίαν καί οἷρα σκότος ἤ ψευδές φῶς, ἀκτινομοθετοῦσαν τῷ ἀληθινῷ φωτί λέγοντι, «μή ποιεῖτε πρός τό θεαθεῖναι τοῖς ἀνθρώποις»; Ἄρ᾽ ἔσχον διά φωτός ἐκεῖνοι «τόν βλέποντα ἐν τῷ κρυπτῷ» καί πρός τήν δόξαν τῶν ἀνθρώπων ἐπί τοσοῦτον ἐπτόηνται καί πρός αὐτήν αὐτοί τε πάντα καί λέγειν καί πράττειν ἀνέχονται καί τούς ἄλλους πείθουσιν; Ἄκουσον Παύλου, τοῦ ἀληθινοῦ θεόπτου καί θεορρήμονος, ἐφ᾽ ὅν ὡς ἀληθῶς θεία «θέα παραγέγονεν ἄνωθεν», ᾧ καί «φῶς» ἀληθινόν «ἐπέλαμψε νοερόν»,

ὑπερφυές οἷον, ἐν ᾧ καί καθάπερ ἐν ἑστίᾳ λίαν ἐπαναπέπαυται, διό καί «σκεῦος ἐκλογῆς» ἀκούει, δι᾽ οὗ καί τά θεῖα μεμύηται. Τί φησιν ἐκεῖνος; «Πάντα εἰς δόξαν Θεοῦ ποιεῖτε». Περί δέ ἑαυτοῦ τί; «Εἰ ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἄν ἤμην». Ἐπιγινώσκεις τῷ καρπῷ τό δένδρον; Τό τοίνυν τἀναντία καρποφοροῦν ἆρ᾽ οὐχί καί τῆς ἐναντίας ῥίζης ἐναργῶς ἀναπέφηνε; Τῷ δέ φωτί τί γε ἄλλο τοὐναντίον ἤ τό σκότος ἐστί, κἄν τό φῶς ὑποκρίνηται καί τούς τῷ ἀληθινῷ φωτί μήποτε πελάσαντας διαλέληθεν;

(σελ. 492) Οὐκοῦν ἀσφαλές ὁμιλεῖν περί Θεοῦ τούς μή ὁμιλεῖν εἰδότας Θεῷ, καί περί φωτός μή προσύλου κρίνειν τούς οὐχ ὑπέρ τό φῶς εἰδότας τουτί τό τυγχάνον ὑπ᾽ αἴσθησιν, μηδέ τό νοερόν τῆς ψυχῆς νοερῷ καί ἀληθεῖ τετελεσμένους φωτί καί «τήν ἐν Χριστῷ κεκρυμμένην ζωήν» ὡς ἀληθῶς εὑρομένους καί ἀναστάντας τήν πρώτην ἀνάστασιν. Οἱ δέ ταύτης εὐμοιρηκότες καί τήν καρδίαν οἷα λυδίαν ἔχουσιν, ἀπειλικρινημένην καί κριτικωτάτην οὖσαν, αἷς οὐκ ἄν λήσαις χαλκόν διηνθισμένον ἄνθει περιτακέντι χρυσοῦ προσάγων˙ ὧν καί τά αἰσθητήρια γεγυμνασμένα πρός διάκρισιν καλοῦ τε καί κακοῦ, καί τήν ἀκοήν οὐκ ἄν θέλξαις οὐδ᾽ ἄν κλέψαις οὐ᾽ ἄν πείσαις, κἄν πρός τό λίαν ἐπαγωγόν εὐπρεπῶς καί πιθανῶς εὖ μάλα συμφορήσῃς καί διαθῇς τά ὀνόματα˙ καί γάρ δεινοί καί διά τούτων φωράσαι τό ἀηδές καί ἀπρεπές καί φευκτόν τῆς ἐνδομυχούσης ἀπάτης, οἵ καί καλῶς ἄν φαῖεν τό συζυγεῖν ἐνηρμόσθαι τοῖς ἐν ἀβλεψίᾳ τούς ὁρῶντας ὑποκρινομένοις ἐκεῖ˙ καί γάρ ἔλαθον ἑαυτούς τήν σφετέραν ἀπάτην παραγυμνώσαντες.

Συνδεῖται γάρ, οὐχ ἑνοῦται τό πονηρόν πενῦμα ταῖς κακοδαίμοσιν ἐκείναις ψυχαῖς˙ διόπερ, ὥσπερ ἔξωθεν διά τέλους τό τῆς πλάνης παρυφιστάμενον ὁρᾶται φῶς, οὐ κατά τήν εἰς ἑαυτόν συνέλιξίν τε καί ἐπιστροφήν τοῦ νοῦ˙ (χειραγωγεῖ γάρ αὕτη πρός τό θεῖον ἀπλανῶς ἀεί), οὔκουν κατ᾽ αὐτήν, ἀλλά κατά τήν διά τῶν λογισμῶν ἤτοι νοημάτων διεξοδικήν ἐνέργειαν τά τῆς πλάνης ἐπιγίνεται, ὅταν τις ἄνευ νοητῆς σιγῆς ἐφίηται τοῦ τῆς ἐποψίας μυστηρίου. Συμμίκτους γάρ τάς ἐνεργείας ἐχούσης τότε τῆς ψυχῆς, καιρόν ἐν τοῖς μή προσεκτικωτάτοις καί τῇ ταπεινοφροσύνῃ μή κατησφαλισμένοις ἔχει παρεισδύεσθαι καί συναναμίγνυσθαι ταύταις τό τῆς πλάνης πνεῦμα, καί τήν εἴσοδον οὕτω κλέψαν, (σελ. 494) ἥν καί μετά ταύτην λάθῃ, παραμένει τῇ ψυχῇ, τἀγαθόν ἔστιν, ἐφ᾽ ὧν ὑποκρινόμενον καί δι᾽ αὐτῶν αὐτῇ συνδούμενον, ἀλλ᾽ οὐχ ἑνούμενον. Τοῦ γάρ ἀγαθοῦ

Πνεύματος μόνου δι᾿ ὅλων τε καί πάντων χωρεῖν «πνευμάτων νοερῶν καθαρῶν λεπτοτάτων», ὡς Σολομῶντι καί τῇ ἀληθείᾳ δοκεῖ.

Καί ἴσασιν οἱ μεμυημένοι καί λέγουσιν οὐ συζυγίαν ὀλίγοις μέρεσί τισιν ἤ δυνάμεσι τήν ἀλληλουχίαν παρεχομένην, ἀλλ᾿ οἷον ἀνάκρασιν εἶναι πρός ψυχήν τοῦ φωτός τῆς χάριτος τήν ἐνοίκησιν, θαυμαστήν οἵαν, ἄρρητον σχεδόν καί ἀνήκουστον. Τίς γάρ ἄν παραστήσαι λόγος πῶς καί διαφοιτᾷ πρός πᾶσαν καί καθ᾿ ἑαυτό ἀνεκφοιτήτως μένει καί τό πᾶν περιέχει κἀν τῷ μέρει ἀμερῶς χωρεῖται καί μεθεκτόν γίνεται καί οὐδεμίαν ἔχει πρός τό μετέχον συμμιγῆ κοινωνίαν καί ἄκρατόν ἐστι καί ἀναφές καί ἕν ἐν θεωρίᾳ Πνεῦμα μετά τῶν διά καθαρᾶς προσευχῆς ἐντυγχανόντων γίνεται κατά τήν πρός τόν ἴδιον πατέρα τοῦ κοινοῦ Πατρός ὑπέρ ἡμῶν εὐχήν˙ «δός γάρ αὐτοῖς» φησιν «ἵνα καθάπερ ἐγώ, Πάτερ, ἐν σοί καί σύ ἐν ἐμοί, καί αὐτοί ἐν ἡμῖν ἕν ὦσιν ἐν ἀληθείᾳ».

Καί τό ὑπερβάλλον δέ μέγεθος τῆς πρός ἡμᾶς ἀγάπης τοῦ Θεοῦ διά τῆς ἀνακράσεως ταύτης ἐναργές ὅτι μάλιστα παρίσταται. Τό γάρ ἕν ποιεῖν τά πλείω τῆς ἀγάπης τό ἰδιαίτατον˙ διαφόροις δέ τοῖς τρόποις συναγωγός γίνεται τῶν διεστώτων, ὧν οἱ πλείους δι᾿ ὁμοιότητος δοκοῦσι τήν ἕνωσιν ποιεῖσθαι, διό καί λόγος παλαιός ἐστιν ὁ καθωμιλημένος καί διατεθρυλλημένος οὗτος˙ «ὁμοιότης φιλότης». Ἡ δέ τοῦ γαμηλίου συναλλάγματος ἔχειν τι δοκεῖ τῶν ἄλλων πλέον, ἀλλ᾿ οὐδ᾿ ἐκεῖνο σύμφυσις οὐδ᾿ ἀνάκρασίς ἐστιν, ἀλλ᾿ ὁμιλίᾳ τινί καί προσκολλήσει κατά τήν γραφήν ἕν τά πλείω γίνεται˙ «καταλείψει» γάρ φησιν «ἄνθρωπος τόν πατέρα αὐτοῦ καί τήν μητέρα καί προσκολληθήσεται τῇ γυναικί (σελ. 496) αὐτοῦ καί ἔσονται οἱ δύο εἰς σάρκα μίαν»˙ καί σάρκα μόνην, ἀλλ᾿ οὐχί καί πνεῦμα ἕν. Ἡ δέ τοῦ Θεοῦ πρός τούς ἠξιωμένους ἕνωσις, ἑνώσεως πάντα τρόπον ὑπερβάλλουσα τῷ παντελής εἶναι, καί τοῦ χωροῦντος κρεῖττον ἤ λόγος δι᾿ ὅλων τῶν καθαρῶν πνευμάτων Πνεύματος, καί τήν τοῦ Θεοῦ ἀγάπην ὑπερβάλλουσαν καί μόνην ὄντως ταύτην ἀγάπην εἶναι παρίστησι˙ μόνη γάρ ὑπερκοσμίως συμπτύσσει καί εἰς ἕν ἀραρότως συνάγει τούς ἐραστάς. Τίνι δέ τρόπῳ καί πρός τό συνημμένον σῶμα τῇ καθαρᾷ ταύτῃ καί κεχαριτωμένῃ ψυχῇ ταύτην δι᾿ αὐτῆς διαπορθμεύει τήν χάριν, νῦν λέγειν οὐ καιρός. Ἀλλ᾿ οὐχί καί τό δαιμόνιον πνεῦμα δύναιτ᾿ ἄν ποτε δι᾿ ὅλης χωρῆσαι τῆς ψυχῆς οὕτως, ἀλλ᾿ ἐκπεσόν τῆς ἄνω συνοδίας ἀνακτᾶσθαι ταύτην, κακῶς μέν ἀλλ᾿ ὅμως δι᾿ ἐφέσεως καταλλήλου τῆς ἐκπτώσεως, ὡς ἐνόν αὐτῷ,

πειρᾶται τῇ τῶν ὑπ᾽ αὐτοῦ φενακιζομένων πρός αὐτό ἀφομοιώσει˙ τό δέ ποθοῦν ἐκτρέψαν τῆς ψυχῆς, ἑτέρας μέν πρός ἕτερον, πρός ἕν δ᾽ ὅμως, εἰς ἅ πάντ᾽ ἐκεῖνο παρετράπη, διά τούτου πρός αὐτούς εἴσοδόν τε καί ἀνάπαυσιν εὑρόμενον τοῖς ὑπ᾽ αὐτοῦ παρατετραμμένοις συζυγεῖ, οἱονεί ζυγόν ἕνα τόν πρός τό αὐτό φέροντα τέλος πόθον ὑπερχόμενον καί ὡς κράτος ἔχον αὐ τό τῆς ἀπωλείας καί οὐχ ἑκόντας εἶναι τούς ἀθλίους ἔστιν ὅτε διά τῆς συζυγίας ἐπισπώμενον πρός ταύτην˙ οὕτω τοῦτο συναγελάζεταί τε καί συνδιάζεται, τοιαύταις ἐπαφαῖς, τοιαύταις ἐπιπλοκαῖς ἤ ἐγγύς αὐτῶν˙ ἐπί τοῦ τοιούτου τοίνυν κατάλληλον τό συζυγεῖν.

Ἡ δ᾽ ἀληθής θεωρία πῶς ἄν εἴη συζυγία; Πῶς δέ καί τό φῶς τῆς ἐκείνων θεωρίας εἴη ἄν ἀληθῶς συνεπτυγμένον καί ἁπλοῦν καί ἀμερές, ὅ τῶν πολλῶν καί πονηρῶν δοξασμάτων οὔμενουν ἀπήλλαξεν αὐτούς, οὐδ᾽ εἰς μονοειδῆ καί ἀληθῆ συνήγαγε γνῶσιν τούς ὁρῶνας; Οὐ μήν ἀλλ᾽ ἐπεί πολυσχιδές τό κακόν καί τό ἀπό τῆς πονηρᾶς ῥίζης (σελ. 498) δένδρον πολυφορώτατον, ἡμεῖς δ᾽ οὐκ ἔχομεν διορατικῇ δυνάμει τῆς πιότητος διαρκῶς ἐφικέσθαι τῆς ῥίζης, φέρ᾽ ἴδωμεν ἀπό τῶν καρπῶν αὖθις, δηλονότι τῶν ἔργων, τόν Σωκράτους καί Πλάτωνος καί τῶν κατ᾽ αὐτούς φωτισμόν. Πόθεν οὖν τοῦτον ἀκριβῶς ἐπιγνῶμεν; Ἆρ᾽ ἐκ τῶν νόμων τῆς ἀθεμιτογαμίας ἤ τῶν ἔργων τῆς παιδεραστίας ἤ τῶν περί θεούς καί δαίμονας καί ἥρως δογμάτων ἤ τῆς τῶν ψυχῶν ἡμῶν κατακεχυμένης τερατολογίας ἐκείνης, ἥ προχεῖ ταύτας οὐρανόθεν καί μετεγχεῖ, πλαζομένας ἐν γῆς ἀπό σωμάτων εἰς σώματα μή κατάλληλα πρίν καταδῦναι ἤ ἀναδῦναι, ὡς ἑκάστη τούτων ῥοπῆς ἐδυστύχησεν ἤ εὐμοίρησεν;

Οὐδέ τό συμπαρομαρτοῦν τῷ Σωκράτει δαιμόνιον, ᾧ καί διετέλει διά βίου πειθόμενος, ὑπέφηνέ σοι τῷ καθ᾽ ἡμᾶς φιλοσόφῳ τίς ἐκείνων ὁ φωτισμός; Οὐδ᾽ ὑπό τοῦ φανέντος δράκοντος, τοῦ πλατωνικοῦ θνήσκοντος Πλωτίνου, συνιδεῖν ἐδυνήθης τίς ἐκείνων ὁ φωτισμός καί τί τό συνόν ἐκείνοις δαιμόνιον, ὅ θεῖον ἐκεῖνος καλῶν τό ἐν αὐτῷ καθάπερ αὐτός λέγει, θεῖον ἀνάγειν ἔσπευδε πρός ἐκεῖνο καί διά βίου καί τελευτῶν; Ἀλλ᾽ ἄκουσον Ἀπόλλωνος τοῦ Πυθοῖ καί μαθήσῃ πόθεν ἐκείνοις ὁ φωτισμός˙ ἐρομένου γάρ Ἀμελίου τοῦ Πλωτίνου ἑταίρου, ποῦ κεχώρηκεν ἀποβεβιωκότος ἡ τούτου ψυχή, Ἀπόλλων αὐτός «ἀμφ᾽ ἀγανοῖο φίλοιο μελίχρους ὕφηνε φωνάς», καί πρός αὐτήν ἐπεστραμμένος τήν Πλωτίνου ψυχήν πρός τοῖς ἄλλοις ἦσε καί ταῦτα˙ «πολλάκις σοῖο νόοιο βολάς λοξοῖσιν ἀταρποῖς ἱεμένας

φορέεσθαι ἐρωῆσι σφετέρῃσιν, ὀρθοπόρου ἀνά κύκλους, ἄμβροτον τ᾽ οἶμον ἄπειραν ἀθάνατοι θαμινήν φαέων ἀκτῖνα πορόντες˙ νῦν (σελ. 500) δ᾽ ὅτε σκῆνος μέν λύσαο, σῆμα˙ δ᾽ ἔλειψας ψυχῆς δαιμονίης, μαθ᾽ ὁμήγυριν ἔρχεαι ἤδη δαιμονίην».

Εἶδες πόθεν ἐκείνων τό φῶς καί τίσι συντάττει τάς ἐκείνων ψυχάς; Τί δέ θαυμαστόν εἰ παρά τῷ τοῦ ψεύδους πατρί τό μέν σκότος πρός ἀπάτην δείκνυται φῶς, μεταβάλλει δ᾽ ἐψευσμένως εἰς ἄλληλα μετά τῶν πραγμάτων καί τά ὀνόματα, τό λοξόν τε καί τό ὀρθόν; Σύ δ᾽ ὁ μετά τοῦ Ἀπόλλωνος πεφωτισμένους ἐκείνους ἀνακαλῶν, τάχα κάι πλατώνεια καί σωκράτεια πείσαις ἄγειν ἡμᾶς, ἐπεί Πρόκλου τοῦ Λυκείου ταῦτ᾽ ἐπετείως ἄγοντος φῶς ὠράθη ποτέ τοῖς συμμύσταις τήν κεφαλήν αὐτοῦ περιθέον˙ ἀλλά τοῦτ᾽ ἔδειξεν ἡμῖν τό φῶς αὖθις ὅθεν ὁ περί τήν αὐτήν αὐτοῦ κεφαλήν φανείς ἕρπων δράκων, ἤδη τελευτῶντος αὐτοῦ, καί αὐτός δέ οὐκ ἀπηξίωσεν ἔτι περιών ἐξειπεῖν ὅθεν τό φῶς ἀνέλαμψεν ἐπ᾽αὐτόν ἐκεῖνο. Καθαρμοῖς γάρ χαλδαϊκοῖς, ὡς αὐτός φησι, χρώμενος «ἑκατικοῖς φάσμασι φωτοειδέσιν αὐτοπτουμένοις ὡμίλησε»˙ «τῆς δέ Ἑκάτης σκοτεινά» φησιν ὁ ἀληθής θεολόγος «τά φάσματα». Ὁρᾷς τρανῶς, ὅπως τό φῶς ἐκεῖνο σκότος ἐστίν αὐτόχρημα;

Τοῦτ᾽ ἄρα τοῦ προτέρου σκανδάλου μεῖζον καί ἐναργέστερον. Εἰ γάρ θεόπτας καί θεοδιδάκτους καί ὑπό Θεοῦ πεφωτισμένους εἶναι Σωκράτεις καί Πλάτωνος καταδεξαίμεθα, καθάπερ δικαιοῖς αὐτός, καί τούς παρά τούτων ἀκηκοότας τάς θείας ἀποφάνσεις καί πιστεύσαντας θαυμαστούς καί ζηλωτούς τῆς προαιρέσεως ἕνεκα καί πειθοῦς καί αἰδοῦς τῆς πρός ἐκείνους, ζηλοῦν καί ἡμᾶς ἀνάγκη τούτους καί πιστεύειν ἐκείνοις ὡς εἰ μή τῶν ἐπιστημόνων, τῶν γοῦν θαυμασίων καί μακαριστῶν γενοίμεθα. Ταῦτ᾽ ἄρα μαντείαν μέν τοῖς ἀρίστοις ἐγκρινοῦμεν τῶν ἐπιτηδευομένων ἐν ἀνθρώποις, ἀρεστοί δ᾽ ἀποφανθείημεν τῷ μαντικωτάτῳ (σελ.502) Φοίβῳ, τήν ἀνάρρησιν τῆς καθ᾽ ἡμᾶς σοφίας καί τοῦ κατ᾽ αὐτήν πολλῶν ἤ πάντων διαφέρειν ἐκεῖθεν ἀναδεδομένην ἔχοντες βεβαίαν.

Καί τίς ἄν ἔτ᾽ ἰσχύσαι καταλέξαι λόγος τά ἄλλα τῆς ἀπάτης εἴδη καί τόν ὁρμαθόν τῶν κακοδόξων δογμάτων καί τόν συρφετόν τῶν αἰσχρῶν καί πονηρῶν παθημάτων καί τάς ἀποματτομένας ἐκ τούτων ἀνιέρους κηλῖδας τοῖς πεφωτισμένους ἐκείνους ἀξιοῦσι λαλεῖν; Οὐκ ἀκούεις τοῦ λέγοντος, «βάλλε μοι Πλάτωνος τάς ἰδέας», ἀνατυπώσεις δή τινας καί μελέτας πρό τῶν ἔργων ἐν διανοίᾳ, οὔτε ἄνευ πάθους

οὔσας καί πρεπούσας ἀνθρώποις μᾶλλον οἰκοδομοῦσι, δεδιόσι τήν ἐξ ἀπερισκέπτου τούτοις ἔσθ᾽ ὅτε προσγινομένην ἀποτυχίαν, ἤ τῷ Θεῷ, οὗπερ ἔργον καί τό ἐννόημα; Εἰ δ᾽ ἔργον καί τό ἐννόημα, καί πρό τούτου δεήσει παραδειγμάτων τε καί ἀνατυπώσεων ἄλλων, οὐκοῦν καί τῶν ἰδεῶν ἔσονται ἰδέαι, καί τοῦτο ἐπ᾽ ἄπειρον, εἰ μή τι καί πλέον ἐκεῖνος νέμει ταῖς εἰρημέναις ἰδέαις, καί πλέον κακῶς.

Ἀλλά τοῦτο μέν ἀφῶμεν˙ ἐγώ δ᾽ ἄν σοι προσθείην εἰπών ὡς 'βάλλε μή τάς ἰδέας μόνον, ἀλλά καί τάς θεωρίας καί τά ψευδώνυμα τούτου φῶτα, δι᾽ ὧν ἐκεῖνος τοῖς ἀπατηλοῖς δαίμοσι συνεζύγη καί δι᾽ ὧν ἐμυήθη, μή ὅτι κακούς ἀλλά καί ἀγαθούς εἶναι δαίμονας, καί ψυχήν αἰθέρος καί ψυχῶν περιόδους καί τούς ἐπ᾽ αὐτάς διά τῶν καλῶν σωμάτων οὐ καλούς ἔρωτας'. Τί δ᾽ οἱ πρῶτοι θεοί καί δεύτεροι καί τούτων ἔτι μείους τήν φύσιν τε καί τήν δύναμιν, ὧν οἱ μέν τό κυρτόν τῆς οὐρανίου σφαίρας ἐπιπορεύονται, οἱ δ᾽ ὑπό τό κοῖλον περινοστοῦσιν, οἱ δ᾽ ἔγγειοι καί ὑπόγειοι, μηκέθ᾽ οὗτοι θνητῶν, ἀλλά τεθνηκότων αὐτοκράτορες ὄντες; Τριχθά γάρ πάντα δέδασται κατ᾽ αὐτούς φάναι, τούς καί ποιητάς καί κληροδότας τῶν οἰκείων θεῶν. Τί δ᾽ αἱ (σελ. 504) περίεργοι θυσίαι, ψυχαγωγίαι τε καί θεαγωγίαι καί θεουργίαι καί ὁ τῶν μαινομένων ἔπαινος καί, τό σύμπαν εἰπεῖν, ὁ περί τά τοιαῦτα πλατύς λῆρος καί σαφής μᾶλλον ἤ μυστικός; Ταῦτ᾽ ἄρα περί τῶν διαπεπτωκότων ἄνωθεν καί τῶν ἀπό τούτων ἐλλαμπομένων, τουτέστι σκοτιζομένων τό τῆς ψυχῆς νοερόν, καί ἀπό τῆς κάτωθεν θέας παραγεγενημένης, ἤ περί τῶν ὑπέρ ἡμᾶς καί ἀπό τῆς ἄνωθεν.

Τί δ᾽ ἵνα πάλιν ἀπό τῆς ἀληθοῦς καί φερωνύμου καί ἱερᾶς καί γνησίας τῇ θεολογίᾳ φωνῆς τά ψευδώνυμα καί νόθα φαυλίσωμεν, «τί τοίνυν Ἀριστοτέλους ἡ μικρόλογος πρόνοια καί οἱ θνητοί περί ψυχῆς λόγοι καί τἀνθρωπικόν τῶν δογμάτων;». Ἆρα 'κατανενοηκότος τήν ὑπεροχήν τοῦ Θεοῦ˙ καί τήν ἀξίαν ἐξευρηκότος παντός μᾶλλον τῇ θείᾳ φύσει φωνήν τό ὑπέρ ἀπόδειξιν τοῦτο; Ἤ καί τοῦτο πλάνη σαφής ἀνθρωπίνης διανοίας τυγχάνον, καί ταύτης ἐσκοτισμένης καί ἀντιθέου καί θηρωμένης μέν δόξαν ὡς ἐφικνουμένης, πειρωμένης δέ διαφυγεῖν τοῦ ψεύδους τόν ἔλεγχον, ὡς ἀποδεῖξαι μή δυναμένης καί τοῖς ἄλλοις μεταδιδόναι τῆς ὑπερφυοῦς καί θαυμαστῆς ἐπιστήμης καί τῷ δοκεῖν ἐξαίρειν κατασπώσης τό ἀπερινόητον ὕψος ἐκεῖκνο καί ἀταπείνωτον; Εἰ δέ τῷ διδασκάλῳ τοῦθ᾽ ὑποκριναμένῳ μή συμβαίνειν τοῦτον τήν γνώμην δοίημεν, καίτοι τινά ἄν ἔχοι τουτί τόν λόγον,

δεδόσθω δ᾽ ὅμως˙ ἀλλά θεῶν πλῆθος σαφῶς καί αὐτός πρεσβεύει καί τῷ τῶν θεῶν, ὡς αὐτός φησι, πρώτῳ τῆς κυρείας ἥκιστα τό πᾶν δίδωσι, καί τάς δυνάμεις ἐπιχειρεῖ καταλέγειν, αἵ κινοῦσι τά θεῖα δοκοῦντά οἱ σώματα, καί τό δαιμόνιον φῦλον ὑπέρ ἡμᾶς ἅπαν τίθεται, καί τό ὑπέρσεμνον καί θεοπρεπές μόνον, τό ὑπέρ ἀπόδειξιν τοῦτο, τοῖς τοιούτοις θείοις δωρεῖται, καί παρά τοῦτο ταῦθ᾽ ὑπέρ ἡμᾶς λογίζεται.

Μέγα μέντ᾽ ἄν εἴημεν πεποιηκότες καί τοῖς ἡμετέρας μοίρας ὡς κοινόν τε καί χάριεν, εἰ κατ᾽ Ἀριστοτέλην (σελ. 506) καί τόν τούτου διδάσκαλον ὑπέρ ἀπόδειξιν τό θεῖον νομίσαιμεν, ὅπερ ἡ κατ᾽ αὐτούς ἐπιστήμη τε καί θεωρία καί τοῖς δαίμοσιν ἀποδίδωσι˙ καί σέ γε αὐτός οὐκ ἄν ἄλλως φαίης, ὥσπερ οὐδ᾽ ἡμεῖς, ἕως ἄν ὑπό διδασκάλοις Ἀριστοτέλεσί τε καί Πλάτωσι προαιροίμεθα ζῆν. Ἀλλ᾽ ἡ καθ᾽ ἡμᾶς ἀπόδειξις καί τῶν καθ᾽ ἡμᾶς διδασκάλων οὐ μόνον ἔκπτωτόν τε καί ἔσχατον καί πονηρόν τό δαιμόνιον ἅπαν ἀποδείκνυσι γένος, πονηρόν μέν διά τήν ἐκ τἀγαθοῦ φυγήν καί τήν εἰς ἡμᾶς συνεργίαν πρός ἔλλειψίν τε καί ἀπολίσθησιν τήν ἀπ᾽ αὐτοῦ, ἔσχατον δέ διά τό πορρωτάτω εἶναι τοῦ ἀνωτάτω, ἔκπτωτον δέ ὡς ὑπέρ ἡμᾶς ὄν πρότερον, εἶτ᾽ ἐπί τοσοῦτο τῆς ἀξίας ταύτης ἀπωσμένον καί οὕτω πρόσυλον μᾶλλον γεγονός ἡμῶν ὡς ἀνέλπιδα τήν εἰς ὑπερκόσμιον καί ἰσάγγελον τάξιν ἐπάνοδον παντάπασιν ἴσχειν, ἥτις ἡμῖν ἐπηγγελμένη καθέστηκεν, οὐ ταῦτα μόνον τουτί τό γένος δείκνυσιν ὄν, ἀλλά καί τοῖς ποσίν ἡμῶν ἐγκαλινδούμενον εἰς τό καταπατεῖσθαι παρ᾽ ἡμῶν˙ ἡ δ᾽ ἐπί τῶν ἐσχάτων καί κατωτάτω λογικῶν οὐσιῶν τήν ἀληθῆ θηρωμένη δόξαν, καί περί τῶν ἀνωτάτω καί ὑπέρ ἡμᾶς ἀψευδής διδάσκαλος ἔσται˙ τῶν γάρ ἐναντίων τήν αὐτήν ἐπιστήμην εἶναι, καί ἡ αἴσθησις ἄν διδάξειεν.

Εἶδες πόσον ἀπέχει τοῦ ὑπέρ ἀπόδειξιν ἐκείνου ἡ ἀπόδειξις αὕτη; Σχεδόν ὅσον ψεύδους ἀλήθεια καί γνῶσις ἀγνοίας καί τοῦ σκότους τό φῶς, εἴπερ ψευδοῦς μέν καί ἀνοήτου καί σκοτεινῆς διανοίας ὑπέρ ἡμᾶς τούς δαίμονας λέγειν τε καί λογίζεσθαι, γνώσεως δ᾽ ἀληθοῦς καί πεφωτισμένης εἰδέναι τήν δεδομένην ἡμῖν ἀξίαν «πατεῖν ἐπάνω ὄφεων καί σκορπίων καί ἐπί πᾶσαν τήν δύναμιν τοῦ ἐχθροῦ»˙ Τί δ᾽ ὅταν καί πρός τήν ἀσφαλῆ καί τρανήν καί ἀληθῆ δίξαν, τήν περί αὐτῆς τῆς αὐτοαληθείας, ἀναβιβάζῃ, τοῦ πρώτου καί μόνου καί ἀπολελυμένου τοῦ παντός καί ἁπλῶς καί ἀπεριορίστως καί αὐθυπερουσίως ὄντος; (σελ. 508) Τί τοίνυν ἡ ἀπόδειξις ἡμῖν αὕτη, ὅτε

καί τήν ἀπλανῆ περί τούτου χαρίζεται δόξαν; Τίς αὐτῆς προτιμῶν ἤ καί εἰς ἴσον ταύτῃ τιθείς τό κατ᾽ Ἀριστοτέλην, ὡς αὐτός φῄς, ὑπέρ ἀπόδειξιν, οὐ τόν οὐρανόν εἰς γῆν κλίνει καί τά ἅγια συντάττει τοῖς ἐναγέσιν;

Ὑπέρ ἀπόδεξιν μέν γάρ λέγειν σε τό θεῖον καί ἡμεῖς συγχωρήσομεν, οὐχ ἕως μέντοι κατ᾽ Ἀριστοτέλην τοῦτο λέγεις, ὡς νῦν τοῦτο φῄς λέγειν˙ χαμερπής γάρ, ὦ τάν, ἡ περί τῶν θείων τοῦ ἀνδρός δόξα καί ὡς εἰπεῖν ἄδοξος˙ πῶς γάρ οὔ, ὅς ἵνα κατά τό ἀποστολικόν εἴπω, γνούς τόν Θεόν, οὐχ ὡς Θεόν ἐδόξασεν ἤ ἐσεβάσθη, ματαιωθείς δ᾽ ἐν τοῖς οἰκείοις διαλογισμοῖς, δαίμοσι μέν ἐπεφήμισε τό θεῖον, κτίσμασι δ᾽ἔστιν οἷς προσεμαρτύρησε τό ἀγένητον, ψυχῶν δέ τῶν ἡμετέρων, τό γε εἰς αὐτόν ἧκον, ἀπεσύλησε τό ἀθάνατον; Ὁ γάρ θύραθεν νοῦς οὐδέν πρός ἡμᾶς˙ ὁ δέ δυνάμει τούτου χωρίς καί κατ᾽ ἐκεῖνον αὖθις οὐδέν.

Συνῆκας ἧ κακοῦ φέρει φιλότης, τό μή πάντα στοιχεῖν ταῖς θεοπνεύσταις Γραφαῖς, ἀλλά καί τούς ἐπ᾽ αὐτάς αὐταῖς χρωμένους ἐξελέγχειν ἐθέλειν αὐτόν δέ ζητεῖν τήν ὑπέρ τούς πατέρας εὐσέβειαν; Ἐντεῦθεν γάρ τούς μεμωραμένους σοφούς δεῖν οἴεσθαι πεφωτισμένους ἀναγράφην ἐπήρθης, οἵ καί τόν Θεόν ὑπό τήν σφῶν αὐτῶν πεποίηνται νόησιν, χαλεπόν εἶναι λέγοντες, ἀλλ᾽ οὐκ ἀδύνατον, νοῆσαι Θεόν˙ ταῦτ᾽ ἐμυήθησαν τά ἀπόρρητα ὑπό τοῦ διά φωτός ἐπιφανέντος αὐτοῖς. Ἀλλά γάρ ἔλαθον ὑπό τοῦ ζήλου καί τοῦ λόγου συναρπασθείς πρός τούς κατ᾽ αὐτῶν μακρούς λόγους παρά τήν ἡμετέραν ἀρτίως πρόθεσιν. Ἐπάνειμι τοίνυν, καί πολλά καί περί πολλῶν ἔτ᾽ ἔχων λέγειν καταλείψω τά πλείω˙ μικρά δέ προσειπών, ἔπειτα τῷ καλῷ τῆς ἀγάπης προσρήματι τόν λόγον ἐπισφραγίσομαι (σελ. 512) (ταύτῃ γάρ οἶδα καί σέ μετάμελον ἐσόμενον ἕξων), τοῦ λήγειν ἔτ᾽ ἐπί δυσφήμων ἀφέμενον.

Ἐκεῖνοι μέν οὖν, οὕς ἔξω σοφούς τῇ καθ᾽ ἡμᾶς ἐκκλησίᾳ νενομισμένον καλεῖν, ὡς ἔξω δηλαδή καθεστῶτας τῆς ἱερᾶς περί Θεοῦ γνώσεως, ἐκεῖνοι τοίνυν, οὐδ᾽ ὅτι τοῖς ἀνθρώποις ἀκατάληπτος ὁ Θεός ἐνενόησαν, δυσκατάληπτον εἰπόντες αὐτόν˙ ἡμεῖς δέ, μή ὅτι τῷ καθ᾽ ἡμᾶς νῷ, ἀλλά καί αὐτοῖς τοῖς ἀπεξῃρημένης πάσης περιπεζίας ὑφέσεως καί διά τό ὑπεναναβεβηκός τῶν ἐγγιζόντων καί λειτουργούντων τῇ θείᾳ μεγαλειότητι κτισμάτων νοῖς, θρόνοις ὀνομαζομένοις, ἀκατάληπτον ἴσμεν τόν Θεόν. Οὐ μή τῷ πάντων ὑπεξῃρῆσθαι τά θεῖα καί ἀποδείξεως τελέως ὑπεξῃρῆσθαι λέγομεν,

μᾶλλον μέν οὖν λέγομεν μέν, ἀλλ᾽ οὐ ταύτης ἧν σύ, καίτοι θέλων ἐς τά μάλιστα ἀποσεμνύνειν, ὅμως ἐπί τοσοῦτο λέγεις εὐπερίτρεπτον ὡς ὑφ᾽ ἑνός καί τοῦ τυχόντος ἀντιλεγομένην ἀνίστασθαι καί μηκέτ᾽ ἀπόδειξιν εἶναι δύνασθαι.

Ὁ γάρ ἀποδεικτικός, καθάπερ αὐτός φῄς, συλλογισμός «πᾶσιν ἁπλῶς δοκεῖ εἶναι ἀληθής καί ἀμφισβήτησις περί αὐτοῦ οὐδεμία συνίσταται». Καί οὐδ᾽ ἐκεῖνο ἐνεθυμήθης, ὡς, εἰ μηδέν ἄλλο, διά γοῦν τάς πυρωνείους ἐποχάς, ἀπόδειξις λοιπόν τοιαύτη παντάπασιν οὐκ ἔσται, καί δι᾽ ὧν καταδησάμενος τήν λογιστικήν ἁρμονικήν καί ἀστρῴαν ἐπιστήμην φέρεις, αἱ γεωμετρικαί ἀνάγκαι δηλαδή τῶν ἀραχνίων νημάτων ἀδρανέστεραι γενήσονται καί διαπεσοῦνταί σου λυθεῖσαι τῆς σῆς ἀποδεικτικωτάτης διανοίας· πῶς γάρ ἄν καί φύσει γνωρίμους σχοίης τάς προτάσεις, ἐπεί καί Σέξτῳ καί Πύρωναι καί τοῖς κατ᾽ ἐκείνους οὐκ ἔνι συνδοκεῖν;

Οὐ ταύτης οὖν ὑπερτέρα τά θεῖα, (οὐδέ γάρ τόν ἥλιον ἐρεῖ τις φανότερον πυγολαμπίδος), ἀλλά καί τῆς πατροπαραδότου, καί οὐδέ τοῦτ᾽ ἀπό τῆς ἐκείνων γνώμης, (σελ. 512) προσάγομεν δ᾽ ὅμως χρείας καλούσης τήν δυνατήν, καί ταύτης ἀρχήν ἔχοντες τήν πνευματοκίνητον δύναμιν, καθ᾽ ἥν ὑπέρ νοῦν τοῖς ὑπέρ νοῦν ὡμιληκότες οἱ θεόσοφοι θεολόγοι θεοχαρίστως τε ἐδιδάχθησαν καί θεομιμήτως ἡμᾶς ἐδίδαξαν. Ὡς γάρ, εἰ καί πάντων ὑπεξῄρηται τά θεῖα καί λόγου παντός, ὕμνου τε καί δόξης ἡστινοσοῦν, ἀλλά καί λόγον λαλοῦμεν περί Θεοῦ καί ὑμνοῦμεν καί δοξάζομεν κατά τό ἐγχωροῦν αὐτόν ἔργοις τε καί λόγοις καί πάθεσι, καί δόξαν Θεοῦ καλοῦμεν, καί ὕμνον Θεοῦ τήν παρ᾽ ἡμῶν αὐτῶν δοξολογίαν ἀναφερομένην λέγομεν, οὕτω καί συλλογιζόμεθα καί ἀποδείκνυμεν καί τόν ἐπί τά θεῖα συλλογισμόν ἀπόδειξιν καλοῦμεν, κἄν εἰς ὦτα ἀκουόντων λέγωμεν κἄν μή, ἐπεί μηδέ πᾶσα διάλεξις καί διαλεκτική· κἀκ τοῦ σεμνοτέρου δεῖν οἰόμεθα καλεῖν αὐτόν, οὐ τούς οἰκείους λόγους, ὡς ἄν τις οἰηθείη, σεμνύνοντες, ἀλλ᾽ ὅτι περί Θεοῦ σεμνοτέρως προσαγορεύοντες καί ταῖς τῶν πατέρων συνῳδά φωναῖς καί κατ᾽ οὐδέν ἀπό τρόπου τῶν θεοπαραδότων λογίων.

Εἶεν· ἐκεῖνό γε μήν ἀρτίως καταξίωσον ἐπί νοῦν λαβεῖν ὡς ἀπό τῶν αὐτῶν καί κατά σέ διελεξάμην πρός σέ, κἄν τι μή λίαν εὔφημον ἀγαπᾶν ὡς σόν· «ἑόν γάρ» φασι «κακόν, ἀγαπητόν». Μή δή πρός ἡμᾶς ἀπαχθῶς σχοίης, μηδ᾽ ἀνῇς φιλῶν ἤ πρότερον, καθάπερ δή καί ἡμεῖς· οὕτω γάρ, εἰ καί τά τῶν λόγων ἡμῖν οὕτω συμβάν ἀντιτέτακται,

ἀλλ᾽ ἐν τῷ φιλοῦντι τῆς ψυχῆς ἀδιαλώβητον ἕξομεν τό τῆς εἰρήνης καλόν˙ εἴη σοφώτατε ἀνδρῶν, οὐκ ὀκνήσαιμι δ᾽ ἄν εἰπεῖν καί φιλούντων τε καί φιλουμένων ἄριστε, καί ἰδεῖν ἡμᾶς ἀλλήλους καί περιχυθῆναι ἀλλήλοις καί δι᾽ ἀλλήλων ἀσπασμόν ἡμῖν γενέσθαι τόν αὐτόν ἐν ἁγίῳ φιλήματι.

**Β’ ΠΡΟΣ ΒΑΡΛΑΑΜ** (Σελ. 514)

*ΟΤΙ ΕΣΤΙΝ ΕΦ’ ΩΝ ΑΠΟΔΕΙΞΙΣ ΤΩΝ ΘΕΙΩΝ ΚΑΙ ΟΤΙ ΚΥΡΙΩΣ ΑΠΟΔΕΙΞΙΣ ΑΥΤΗ*

Τά μέν τῆς δυαρχίας ἐκ μέσου γέγονεν˙ ἐξεκόπη γάρ τῶν λόγων τοῦ φιλοσόφου καί καρπόν ἤνεγκεν ὁ ἡμέτερος λόγος τῷ τῆς μοναρχίας εὐσεβεῖ κηρύγματι συνιστάμενος˙ τό δέ κατ᾽ Ἀριστοτέλην ὑπέρ ἀπόδειξιν ἐπί τῶν θείων οὐκ ἐθέλει πω γενέσθω τῷ λόγῳ καταπειθές. Ὑπόθεσις οὐκοῦν ἡμῖν αὖθις λόγου τοῦτο γενέσθαι τόν φιλόσοφον. Πρῶτον μέν οὖν τοῦτο δεικτέον ὡς μάτην ἔγκειται τοῖς Πρός Λατίνους αὐτῷ λόγοις ὡς οὐκ ἔστιν ἀπόδειξις ἐπ᾽ οὐδενός τῶν θείων, καί ὁ πᾶς ἀγών αὐτῷ πρός οὐδέν ὅλως τείνει τέλος. Ἄν γάρ τοῦτο γένηται κατάδηλον, εἰ μηδέν ἄλλο, διά γοῦν τό μή θέλειν ματαιολογεῖν ἀφέξεται τῆς ἐνστάσεως˙ ἔσται δέ κατάδηλον εὐθύς ἄν παρ᾽ ἐκείνου μάθωμεν οὗπερ ἕνεκα πρός τήν ἀγωνίαν ἀπεδύσατο ταύτην, καί τοῦτ᾽ ἀχρεῖον ὄν φανῇ.

Φησί τοίνυν αὐτός ἐν τῇ προθεωρίᾳ κἀν τοῖς πρός ἡμᾶς λόγοις ὡς, «δεῖ νῦν εἰπεῖν πρός τί μοι τείνουσιν οἱ περί τούτων λόγοι˙ ἐσκεψάμην πῶς ἄν εἴη ἑνί λόγῳ ἅπαντας ἀνασκευάσαι καί δεῖξαι σοφίσματα τούς ὑπό Λατίνων γινομένους συλλογισμούς. Ἑώρων οὖν δυνατόν ὄν τούτου τυχεῖν εἴ τις οἷος τ᾽ εἴη δεῖξαι τούτους μήτε διαλεκτικούς ὄντας μήτε ἀποδεικτικούς˙ ἀλλά τό μέν μή εἶναι αὐτούς διαλεκτικούς προχειρότατον ἦν μοι δεῖξαι, δηλώσαντι μόνον ὡς ἅ λαμβάνουσιν ἐπίσης ἡμῖν ἀμφισβητεῖται τῷ συμπεράσματι˙ τό δέ μή εἶναι ἀποδεικτικούς ἀδύνατον ὅλως ἦν δεῖξαι (σελ. 518) συγχωρήσαντι δυνατόν εἶναι ἀποδεικτικῶς ἐπί τῶν θείων συλλογίσασθαι». Σκέψαι τί λέγεις, ὦ φιλόσοφε˙ προχειρότατον ἦν σοι δεῖξαι πάντας τούς ὑπό Λατίνων ὑπέρ τοῦ οἰκείου δόγματος συλλογιστικῶς προτεινομένους

λόγουσ τάς προτάσεις ἔχοντας ἐπίσης ἀμφισβητουμένας τῷ συμπεράσματι καί ἀγωνιᾷς μή τούς συλλογισμούς τούτους ἀφέμενοι τοῦ διαλεκτικούς καλεῖν ἀποδεικτικούς προσαγορεύσωσι καί εἰς ἀπορίαν τήν ἐσχάτην περιστήσωσί σε; Καί ἔστι ἀποδεικτικόν ἤ εἶναι ἤ δοκεῖν συλλογισμόν τόν τάς προτάσεις ἀμφισβητουμένας ἔχοντα, καί ταῦτα ἐπίσης τῷ συμπεράσματι;

Τί ποτε τῶν παιδείᾳ λόγων συντεθραμμένων ἤ καί τῶν μετρίως ἡμμένων ταύτης τοῦτ᾽ εἴποι; Σοφίσματα γάρ ἔδειξας, ὡς αὐτός ἐκεῖ λέγεις, τούς συλλογισμούς αὐτῶν ὄντας ἅπαντας˙ εἶτα δέδοικας μή τούς σοφιστικούς ὄντας ἐξεληλεγμένους ἀποδεικτικούς εἶναι φῶσι; Καί ἔστι τόν σοφιστικόν ἀποδεικτικόν ὅλως εἶναι; Ταὐτόν τι πέπονθας, ὦγαθέ, ὥσπερ ἄν τις, ὑπό γῆν ἡλίου καί σελήνης ὄντων, τό τοῦ χρόνου τοῦτο μέρος ἐν βαθεῖ σκότει διανύειν ἔλεγε τούς ὑπέρ γῆν, ὡς καί τοῦ τῆς σελήνης φωτός ἐστερημένους, εἶτ᾽ ἐδεδίει μή τό σταθερόν εἶναι τοῦτο τῆς ἡμέρας φῶσι καί οὕτω ψευδόμενον ἀπελέγξωσιν αὐτόν˙ συλλογισμόν γάρ μή διαλεκτικόν μέν δεικνύμενον, ὡς τούτου κρείττονα ἔστιν ἀποδεικτικόν ὑπολαβεῖν, ὡς δέ χείρω τοῦ διαλεκτικοῦ, τῶν ἀδυνάτων οἰηθῆναί ποτέ τινα τοῦτον ἀποδεικτικόν, ὥσπερ καί ἀέρα πανσελήνου μέν νυκτός φανότερον ἔστιν ὑπολαβεῖν ἡμέραν, σκοτεινότερον δ᾽ οὐκ ἔστι.

Τοῦτο τοίνυν πρός αὐτούς εἰπόντα σε χρῆν ἀπηλλάχθαι πραγμάτων˙ σύ δ᾽ ἐκ τῶν οὐχ ἧττον ἀσαφῶν, μᾶλλον δέ σαφῶς ψευδῶν, τά ψευδῆ συναγαγόντας ἀπελέγξας, εἶτα φοβηθείς μή ἐκ ψευδῶν ἀποδεικτικῶς δόξωσι συναγαγεῖν, (σελ. 518) εἰς τό μηδεμίαν ἀπόδειξιν ἐπί τῶν θείων εἶναι λέγειν εἰς ἀνάγκην ἦλθες καί ἡμῖν ἀντιλέγειν ἀκρατῶς λέγουσιν ὡς τά μέν τῶν θείων οὕτως ἐστίν ἐμφανῆ κατά τάς τῶν πατέρων παραδόσεις, ὡς καί ἐπαφήν εἶναι τούτων καί ἀπόδειξιν καί ἐπιστήμην, ἀλλά καί ὑπέρ τόν νοερῶς ὁρῶντα νοῦν καί ὑπέρ τόν καί αὐτάς τάς νοεράς ἐνεργείας ὑπεραναβάντα καί κατά ἀπόπαυσιν πάσης ἀντιληπτικῆς δυνάμεως χάριτι ἀρρήτῳ ὑπερηνωμένον τοῖς ἀπερινοήτοις.

Συμβαίνει τοίνυν ἐξ ὧν ὁ φιλόσοφος βίᾳ μέν, ὡς αὐτός φησιν, ὑπέστη δ᾽ ὅμως ἀνεπιλήπτους εἶναι τούς πρός αὐτόν παρά Λατίνων εἰρημένους ἅπαντας συλλογισμούς˙ συναιροῦνται γάρ τούτοις κατ᾽ αὐτόν αἱ πατερικαί παραδόσεις. Ἔοικε τοιγαροῦν ἑαυτοῦ καταγινώσκειν ὡς μή δυνηθέντος ἀπελέγξαι τούτους. Εἰ γάρ τοῦτο δυνηθείς ἠπίστατο, πῶς ἄν ἐφοβήθη μή ἀποδεικτικούς τούς

σοφιστικούς καλέσωσιν, εἶπεν ἄν τις τῶν ἀλλοτρίων˙ ἐγώ δ᾽ οὐ τοῦτο φαίην ἄν˙ μᾶλλον μέν οὖν καί ἀνιώμενος ὅτι τό κάλλος ἀμαυροῖ καί λωβᾶται «τῇ δυνάμει τῶν λόγων ἐκείνων, ὡς ἐκποδών γένοιτο καί τοῦτο τό σκῶλον τόν περί τούτου λόγον ἐποιησαίμην. Ὁ δέ, κατά τοῦ καθαίροντος ὡς καθαιροῦντος ὀργισθείς, προσκόπτων ἐπέδωκεν. Οὔκουν ἐκ τῆς τῶν ἀντιτεγμένων βιασθέντα δυνάμεως τοῦτο παθεῖν αὐτόν οἴομαι, κἄν αὐτός τοῦτο λέγῃ, ἀλλ᾽ ὡς τά θεῖα μή μεμυημένον ἀκριβῶς καί τῷ δοκεῖν ἔχειν ἐθέλειν τήν περί λόγους κατά παντός προεδρείαν ἀπό τοῦ διδασκαλείου τῆς ματαιότητος θεολογοῦντα καί τῶν Ἀριστοτέλους τεχνῶν τήν κακοτεχνίαν ἐν τοῖς τοιούτοις λόγοις ἐπιδεικνύμενον.

Ἐντεῦθεν Ἀριστοτέλην τε καί Πλάτωνα, Σωκράτην τε καί Πυθαγόραν καί ὅσοι κατ᾽ αὐτούς διά θαύματος ποιεῖται ὡς «τήν θείαν κατανενοηκότας ὑπεροχήν» καί προαγαγών αὐτούς εἰς μέσον διηγουμένους περί νοεροῦ φωτός (σελ. 520) καί θέας οὐρανίου καί θεωριῶν ἁπλῶν καί ἀμερῶν, αὐτός περί αὐτῶν ἅ οὐδείς που᾽ ἕτερος τῶν ἡμετέρων ἐπιψηφίζεται˙ «ταῦτα» γάρ, φησίν, «ἀκούων αὐτῶν λεγόντων, οὐ δύναμαι μή καί αὐτούς ὑπό Θεοῦ πεφωτίσθαι λέγειν»˙ ὧν ἕκαστον ἐν τῷ πρός αὐτόν μοι προτέρῳ Καθ᾽ ἑλληνικῆς νοερᾶς ἐποψίας διακρῶς ἐξελήλεγκται λόγῳ. Ἐντεῦθεν τούς Λατίνους οὐκ ἄλλως ἐξελέγχει ἤ ἀπό τοῦ λέγειν ὅτι οἱ συλλογισμοί αὐτῶν οὔτε διαλεκτικοί εἰσι κατά τάς Ἀριστοτέλους παραδόσεις οὔτε ἀποδεικτικοί, μή εἰδώς, ὡς ἔοικεν, ὅτι πάντες ἤ οἱ πλεῖστοι συλλογισμοί ἐπί τῶν θείων οὔτε διαλεκτικοί εἰσιν οὔτε ἀποδεικτικοί˙ πῶς γάρ οἵ γε οὐδέ συλλογισμοί εἰσι κατά τάς Ἀριστοτέλους παραδόσεις, ὡς ἐδείξαμεν ἐν τῷ προτέρῳ λόγῳ καί νῦν αὖθις, τοῦ λόγους προϊόντος καί τοῦ θεοῦ διδόντος, δείξομεν;

Ἐντεῦθεν τούς ἡμετέρους κατά Λατίνων λόγους παντί τρόπῳ πειρᾶται ἀκυροῦν, ὡς μή μόνον δοκοίη θεολόγος, ἀλλά καί μόνος ἀρτίως ἐπί γῆς. Περί μέν γάρ ἀποδείξεως ἴσως ἀφορμῆς ἐλάβετό τινος, περί δέ τῶν ἄλλων τίς αὐτῷ λόγος τοῖς τῷ εὐσεβεῖ συνηγοροῦσιν ἀντικείσθαι λόγοις; Ἀκούων γάρ ὁ σοφός οὗτος ἡμῶν λεγόντων, ὡς οὐ διά μέσης θεότητος ἐπί θεότητα ἦλθεν ὁ Θεός τήν φύσει, ἀλλά τήν θέσει τε καί χάριτι, καί ὡς, εἰ πρός τήν πρώτην αἰτίαν ὥσπερ τά τοῦ μονογενοῦς οὕτω καί τά τοῦ Πνεύματος ἀναφέρεται, τοιγαροῦν τό Πνεῦμα ἀμέσως ἀναφέρεται πρός τόν Πατέρα, εἰ δέ ἀμέσως ἀναφέρεται καί ἀμέσως ἐκπορεύεται, καί ὡς, εἰ γεννᾶται ὁ

Υἱός ἐκ μόνου τοῦ Πατρός, καί τό Πνεῦμα ἐκ μόνου τοῦ Πατρός ἐκπορεύεται, καί γάρ ὁμοίως ταῦτ᾿ ἐκ τοῦ Πατρός, πλήν τοῦ τρόπου τῆς ὑπάρξεως, πρός δέ κἀκ τῶν ὕστερον ὁμοίως τεθεολογημένων τά προαιωνίως κατά τοῦθ᾿ ὁμοίως ὑπάρχοντα δεικνύντων καί προαγαγόντων τούς εἰπόνας, ὅτι, «ὡς ὁ Υἱός ἐστιν ἐκ τοῦ Πατρός οὕτω καί τό Πνεῦμα ἐκ (σελ. 522) Πατρός, πλήν τοῦ τόν μέν εἶναι γεννητῶς, τό δέ ἐκπορευτῶς», καί αὖθις, «τί μή προσαγορεύεται τό Πνεῦμα ὧν ὁ Υἱός, πλήν γεννήσεως, καί πάντα ὅσα τοῦ Υἱοῦ, καί τοῦ Πνεύματος, πλήν τῆς υἱότητος, καί πάντα ὅσα ὁ Υἱός, καί τό Πνεῦμα, πλήν γεννήσεως», καί τοῦτο τηρητέον ἐν ἅπασι τοῖς ἐπ᾿ αὐτόν λεγομένοις, προσέτι, καί διά τῆς εἰς ἄτοπον ἀπαγωγῆς ἐξελεγχόντων τούς μή ἐκ μόνου τοῦ Πατρός ἐκπορευόμενον τό Πνεῦμα δογματίζοντας καί δεικνύντων ὡς οὐδέ ὁ Υἱός ἐκ μόνου τοῦ Πατρός ἄν εἴη, εἰ μή καί τό Πνεῦμα, ταῦθ᾿ ἅπαντα καί πλεῖσθ᾿ ἕτερα τῷ λόγῳ παντί περιηχούμενα παρ᾿ οὐδέν ἐκεῖνος θέμενος «τό ζητούμενόν» φησιν «ἀξιοῖς».

Πῶς ἀξιοῦμεν τό ζητούμενον διά πολλῶν καί πολλούς ἡμῖν δείξαντες συμμαρτυροῦντας ὅτι πλήν τοῦ τρόπου τῆς ὑπάρξεως, δηλαδή ἐκπορεύεσεώς τε καί γεννήσεως, ὡς ὁ Υἱός ἐστιν ἐκ τοῦ Πατρός οὕτω καί τό Πνεῦμα ἐκ Πατρός, καί οὕτω σαφές καί ἀνεξέλεγκτον προθέντες αἴτιον τοῦ συμπεράσματος; «Ἀλλ᾿ ἔδει», φησί, «δεῖξαι ὅτι οὐκ ἐκ τοῦ Υἱοῦ». Παρίημι τοίνυν δι᾿ ὅσων ὁ λόγος τοῦτο προϊών ἀπέδειξεν· ἀλλά τό «οὐκ ἐκ τοῦ Υἱοῦ» οὐ ταὐτόν τῷ «ἐκ μόνου τοῦ Πατρός»; Εἰ γάρ οὐκ ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα, ἐκ μόνου τοῦ τοῦ Πατρός, καί εἰ ἐκ μόνου τοῦ Πατρός, οὐχί καί ἐκ τοῦ Υἱοῦ, καί τοσοῦτον ἰσορρόπως ἔχουσι πρός ἄλληλα ὡς ἐν πᾶσι τοῖς λόγοις δι᾿ ὧν συνάγεται μή εἶναι καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα τό ἅγιον, εἴ τις ἀντί τούτου τό ἐκ μόνου τοῦ Πατρός εἶναι συμπέρασμα τιθείη, μηδέν ἄν διαφέρειν. Εἰ τοίνυν τοῦθ᾿ οὕτως ἔχει, ὥσπερ οὖν ἔχει, τοῦτ᾿ αὐτό ἐδείξαμεν ὅτι οὐχί καί ἐκ τοῦ Υἱοῦ τό Πνεῦμα τό ἅγιον, ἐκ μόνου δεδειχότες τοῦτο τοῦ Πατρός ἐκπροευόμενον· εἰ δ᾿ ἐπί τοῦ Υἱοῦ συννοεῖται εὐθύς τό “οὐκ ἐξ ἄλλου” διά τό σύνεγγες, ὡς καί αὐτός λέγεις, κἀπί τοῦ Πνεύματος (σελ. 524) οὖν ὁμοίως συννοεῖται, καί τό ζητούμενον ἔχομεν καί σέ ὑπό τῶν οἰκείων κἀνταῦθα ἐξεληλεγμένον λόγων καί τοῖς ἡμετέροις ἄκοντα συνηγοροῦντα λόγοις. Εἰ δέ καί αὐτόθεν εὕρηται τό δεῖγμα, θαυμάσαι ἔδει τῆς ἀληθείας τό ἐμφανές καί τοῦ συνηγόρου λόγου τήν δύναμιν.

Ὁ δέ μηδέν ἔχων ἐγκαλεῖν ὑπό τῆς ἐπί τῷ μόνος εἶναί τει δοκεῖν ἀκαίρου φιλοτιμίας τοῖς ἐκ τοῦ διδασκαλείου τῆς ματαιότητος καί καθ᾽ ἡμῶν ὥσπερ κατά τῶν ἑτεροδόξων χρῆται˙ (διαστέλλειν γάρ τῶν δυσσεβῶν τούς εὐσεβεῖς ὁ φθόνος οὐκ εἴωθε), διό καί τό φανερόν τἀληθοῦς συσκιάζειν πειρᾶται καί λαθεῖν οἴεται, τῆς τέχνης, μᾶλλον δέ τῆς κακοτεχνίας, τό μέλαν περιχεάμενος. Ἐντεῦθεν μηδ᾽ εἶναι ἀπόδειξιν ἐπ᾽ οὐδενός τῶν θείων ἄρτι πρῶτος τῶν ἐκ τοῦ παντός αἰῶνος θεολόγων καί ἐξεῦρε καί ἀπεφήνατο. Διατί, ὦ φιλόσοφε; Ἀλλ᾽ εἶπεν ἄν, εἰ παρῆν, ἐπισκώψας ἡμᾶς πρότερον τῆς ἀμαθίας ἕνεκεν, ὥσπερ εἴωθε, μᾶλλον δέ τῆς δυσμαθείας, ὡς «ἐπεί τό θεῖον ὑπέρ ἐπιστήμην τέ ἐστι καί νοῦν καί δόξαν, αἴσθησίν τε πᾶσαν καί διάνοιαν καί ἐπαφήν καί γνῶσιν, καί τοῦτο δεικνύς ἔναγχος, κατά ποταμούς τῷ λόγῳ ρέων τούς μή οὕτω κατέκλυσα φρονοῦντας».

Εὖγε˙ ἀλλ᾽ ἀνάσχου προσερωτώμενος ὑπό τῶν δυσμαθῶν ἡμῶν, καί τοῦτο γάρ οὐκ ἀπό φιλοσοφίας˙ «οὗ τοίνυν ἐπιστήμη τέ ἐστι καί νόησις καί δόξα, φαντασία τε καί αἴσθησις, τούτου ἔστιν εἶναι ἀπόδειξις»; Πάνυ γε ἄν εἶπεν, ἐπεί καί τοῦτ᾽ ἔνεστι κἀν τοῖς ἐκείνου λόγοις. Ἐπειδή ταὖθ᾽ οὕτω προδιωμολόγηται, ἄκουσον, ὦ φιλόσοφε, τοῦ ὑπερανῳκισμένου τῶν σῶν κατακλυσμῶν, Διονυσίου τοῦ μεγάλου λέγω, τοῦ τῶν θείων ὀνομάτων ὑμνῳδοῦ, ὅς φησι τήν αὐτοσοφίαν ἐξυμνῶν ὡς «ὁ Θεός καί διά γνώσεως (σελ. 526) γινώσκεται καί δι᾽ ἀγνωσίας, καί ἔστιν αὐτοῦ καί νόησις καί λόγος καί ἐπιστήμη καί ἐπαφή καί αἴσθησις καί δόξα καί φαντασία καί ὄνομα καί τἄλλα πάντα». Οὐκοῦν καί ἀπόδειξίς ἐστιν αὐτοῦ, τοῦτο μέν καί κατά τά σοί προδιωμολογημένα, ἔχει γάρ καί τά τῶν ἀποδεικτῶν ἅπαντα, τοῦτο δέ καί διά τόν ὕστερον ἐπενηνεγμένον τῷ ἁγίῳ συμπεριληπτικώτατον λόγον˙ «ἔστι γάρ φησι «τοῦ Θεοῦ καί τἄλλα πάντα», ἕν δέ τῶν πάντων καί ἡ ἀπόδειξις, ὥστε καί ἀπόδειξίς ἐστιν αὐτοῦ.

Πρός δέ τούτοις καί αἱ ἐναντίαι θέσεις τῶν ὄντων ἐπί Θεοῦ λεγόμεναι ἀλλήλαις οὐκ ἐναντιοῦνται καί αἱ ἀφαιρέσεις οὐκ ἀνατρέπουσι τάς θέσεις˙ τά γάρ ἀντικείμενα κατά μίαν καί ἑνικήν ταὐτότητος αἰτίαν ἅμα προέχει καί περιέχει, καί κατά τουτονί τοιγαροῦν τόν λόγον, εἰ μή ἔστιν ἐπί τῶν θείων ἀπόδειξις καί ἔστιν, ἐπ᾽ οὐδενός ἄρ᾽ εἶναι φάναι τῶν θείων ἀπόδειξιν ἤ παντός οὐκ ἀληθές, ἀλλ᾽ εἶναι μέν ἐπί τινων, οὐκ εἶναι δ᾽ ἐφ᾽ ἑτέρων. Τί γάρ ἐφεξῆς καί ὁ θεορρήμων οὗτος λέγει προϊών; «Οὔτε νοεῖται τό θεῖον,

οὔτε λέγεται, οὔτε ὀνομάζεται, καί οὐκ ἔστι τι τῶν ὄντων, οὐδέ ἔν τινι τῶν ὄντων γινώσκεται; Τί οὖν; Κατά τόν αὐτόν τρόπον ἔστι τε νόησις αὐτοῦ καί «ἄλλα, καί οὔτε νοεῖται, οὔτε ἔν τινι τῶν ὄντων γινέσκεται». Πάντως καθ᾽ ἕτερον˙ τοῦτο οὖν ἐστιν, ὅ ἡμεῖς φαμεν, ὅτι τά μέν τῶν θείων γνωστά ἐστι καί ἀποδεικτά, τά δ᾽ ἄγνωστά τε καί ἀναπόδεικτα.

Σύ δ᾽ ἥκιστα μεμυημένος ταῦθ᾽ ὡς ἔοικεν οὐδενός φῄς εἶναι τῶν θείων γνῶσιν οὐδέ ἀπόδειξιν, ἀλλά πίστιν μόνην, καί οὐδέ τοῦ μεγάλου Παύλου ἀκούεις, ὅς τοῖς ἀπίστοις Ἕλλησι λέγει «φανερόν εἶναι τό γνωστόν τοῦ Θεοῦ» καί ὅτι «γνόντες τόν Θεόν, οὐχ ὡς Θεόν ἐδόξασαν ἤ ἐσεβάσθησαν», οὐδέ τήν τοῖς πιστοῖς καί ἔργῳ τήν πίστιν ἐπιδεικνυομένοις ἐγγινομένην ἀληθῆ Θεοῦ θεωρίαν, ἥν ἐν (σελ. 528) εὐαγγελίοις μακαρίζει ὁ Κύριος, ἤ πέπονθας ἤ πεπίστευκας, ὅς τῇ πίστει μεγαλαυχῶν, καίτοι τῆς πίστεως οὖσαν τέλος ἤ βραβεῖον ἤ βραβείου ἀρραβῶνα διά τῆς ἀγάπης ἐνεργούμενον˙ εἰ γάρ πίστις ἐπί τῶν θείων μόνη, οὐδ᾽ ἡ θεωρία αὕτη ἀληθής. Εἰ δ᾽ ἀληθής, ὥσπερ οὖν ἐστιν, ἀληθές δέ κἀκεῖνο, ὅτι «Θεόν οὐδείς ἑώρακε πώποτε», τοῦτ᾽ ἔστιν ὑπέρ ἔφημεν ἡμ εἴς, ὅτι τά μέν τῶν θείων θεωρητά ἐστι, τά δ᾽ οὐ.

Σύ δέ οὐδέ τό θελογικόν ἐκεῖνό ποτ᾽ ἀναγνούς ἐπέγνως, «εἷς Θεός, ὁ ἐπί πάντων καί διά πάντων καί ἐν πᾶσι», τό μέν ἄρτι καταλαμβανόμενος, τό δέ ζητούμενος, ποτέ δέ ὅσον ἐστί τυχόν καταληφθησόμενος˙ «ἔθετο μέν γάρ σκότος ἀποκρυφήν αὐτοῦ», καθά φησιν ὁ ψαλμῳδός, ἀλλά καί «ἔφαναν αἱ ἀστραπαί αὐτοῦ τῇ οἰκουμένῃ», καί οὐδείς ἀνεπιγνώμων ἐστί τοῦ Θεοῦ, εἰ καί τινες ἐθελοκακοῦντες μή εἰδέναι προσποιοῦνται. Καί γάρ «ἥλιός ἐστι δικαιοσύνης» πᾶσι δαψιλῶς ἐπιλάμπων «πονηροῖς τε καί ἀγαθοῖς»˙ ἀλλ᾽ οἱ μέν διαίροντες τά βλέφαρα, τῆς ζωαρχικῆς ἀκτῖνος ἐμφοροῦνται, οἱ δέ πονηροί μύοντες τάς ὄψεις, μηδ᾽ ἀμωσγέπως εἰδέναι προσποιοῦνται καί τῇ ἐπί πλεῖστον ἀνομιλησίᾳ τοῦ φωτός εἰς τήν κατά διάνοιαν πήρωσιν ἐκπίπτουσιν, ὅ κἀπί τῶν σωματικῶν ὄψεων συμβαίνειν πέφυκεν. Ἐκεῖνος μέντοι τῇ περιουσίᾳ τῆς λαμπρότητος οὔτε προσιδεῖν ὅλως συγχωρεῖ τινα, διό καί ὑπέρ ἔννοιάν ἐστι, καί ταύτῃ αὖθις τῇ περιουσίᾳ καί μέχρι τῶν ἀμυδρῶς ὁρώντων φθάνει καί τοῖς ζητοῦσιν ἐπιφαίνεται καί αὐτοῖς τοῖς τῶν λογικῶν ἐσχάτοις, ὥσπερ καί ὁ αἰσθητός ἥλιος κἀπί τάς ἀμβλείας ὄψεις ἐνεργεῖ, καίτοι διά τό ὑπερβάλλον τῆς λαμπρότητος μηδέ προσατενίζειν ὅλως συγχωρῶν τήν αἴσθησιν.

Καί μήν εἰ μέν καταφατικῶς μόνον ἦν ἀποδεικνύειν, εἶχεν ἄν τινα λόγον ἴσως ἐπ᾽ οὐδενός τῶν θείων εἶναι (σελ. 530) ἀπόδειξιν˙ ἐκεῖ δέ καί ἀποφατικῶς ἀποδεικνύειν ἔνι, τί φῄς; Οὐκ ἀποδείξομεν τόν πάντων κτίστην μηδέν εἶναι τῶν κτιστῶν; Οὐκ ἀποδείξομεν τό ἀγαθόν μηδενός αἴτιον κακοῦ; Πρός δέ, εἰ μέν μηδέν ἦν τῶν κτισμάτων ὑπέρ ἀπόδειξιν, καλῶς ἄν εἰπών πάντα τά θεῖα ὑπέρ ἀπόδειξιν, μέγα τι φρονεῖς ὡς ὑπέρ τούς ἄλλους μεγαλύνων τόν Θεόν˙ ἐπεί δέ πολλά καί τῶν ἐπί γῆς ὄντων καί ἡμῖν ἐφικτῶν ὑπέρ ἀπόδειξιν ὄντα φαίνεται, πῶς ἐντεῦθεν ἔκφανσις ἔσται τῆς θείας ὑπεροχῆς; Τῆς γάρ ἀποδείξεως ἴσμεν βεβαιοτέραν φύσει τήν ἐμπειρίαν οὖσαν, ὥστε καί αὕτη ὑπέρ ἀπόδειξιν, καίτοι πᾶσα καί τέχνη καί ἐπιστήμη παρ᾽ αὐτῆς ἔχει τάς ἀρχάς˙ συνηθροισμένη μέν ἀπό τῶν ἐν γενέσει καί φθορᾷ πραγμάτων ἡ τέχνη, ἐπιστήμη δέ παρά τῶν ἀεί λεγομένων ὡσαύτως ἔχειν.Ἐπεί τοίνυν τοσαῦτα τῶν ὄντων ὑπέρ ἀπόδειξιν πῶς γό ὑπέρ ἆν ὄν μεγαλύνεις ᾠήθης ὑπέρ τούς ἄλλους καί ὑπέρ ἀπόδειξιν ἀποφηνάμενος τοῦτο; Τίς γάρ μεγαλειότης τοῖς ὑπερκοσμίοις ἀγγέλοις ὑπέρ τούς λέοντας δεδεῖχθαι τήν φύσιν καί τούς ἐλέφαντας; Καί ἡμεῖς γάρ τήν φύσιν ὑπέρ αὐτούς οἱ ἐγκόσμιοι καί τοσοῦτον ἀποδέοντες τῶν ἀγγέλων ἐκείνων˙ οὕτω τοίνυν οὐδέ μεγαλειότητα ἄν τις δεῖξαι Θεοῦ τῷ δεῖξαι τοῦτον ὑπέρ ἀπόδειξιν.

Νῷ γάρ ἄληπτον τό θεῖον καί ὑπέρ τά νῷ ληπτά˙ πολλά δέ τῶν ὄντων καί νῷ ληπτῶν ἐστιν ὑπέρ ἀπόδειξιν, ὥστε τό θεῖον καί τοῦ ὑπέρ ἀπόδειξιν, οὗ σύ φῄς, ὑπερβάλλει ἀπαραβλήτοις καί ἀξυμλήτοις ὑπεροχαῖς, καί ὁ μεγαλύνειν ἄγαν οἰόμενος τῷ ὑπέρ τήν ἀριστοτελικήν ἀπόδειξιν τά θεῖα λέγειν ἔλαθεν ἑαυτόν πρός τἀναντία χωρῶν. Διόπερ ἡμεῖς διά τῆς τῶν πατέρων ποδηγίας ἀπόδειξιν τοῦ ὑπέρ ἀπόδειξιν εὑρόμενοι τούτου κρείττοντα, ταύτῃ τε μή πάνθ᾽ ἁπλῶς, ἀλλ᾽ ἔστιν ἅ τῶν θείων θηρώμενοι καί ὑπέρ ταύτην (σελ. 532) τἄλλο δοξάζοντες, πολλαπλασίως τοῦ κατ᾽ Ἀριστοτέλην ὑπό τῆς σῆς σοφίας λεγομένου ὑπέρ ἀπόδειξιν τό θεῖον ὑπερτιθέαμεν. Ὁρᾷς ὅσῳ τῶν σῶν θεοπρεπέστερα τά ἡμέτερα;

Τί δ᾽ ἡ σή διαλεκτική ἥν μόνην ἐπιβάλλειν οἴει τοῖς θείοις; Οὐ τήν ἐν συλλογισμοῖς μείζω πρότασιν ἀεί καθόλου ἔχει; Ἡ δέ τῶν καθόλου γνῶσις οὐ δι᾽ αἰσθημάτων ἡμῖν ἐγγίνεται; Πῶς οὖν ἐπί τῶν ὑπέρ αἴσθησιν εἴη ἄν διαλεκτικός συλλογισμός; Εἰ δέ τις ἐνδοίη δι᾽ ἐπαφῶ νοητῶν συνάγεσθαι τήν γνῶσιν, ἀλλά τά θεῖα καί ὑπέρ νοῦν ἐστι˙

πῶς οὖν τῶν ὑπέρ νοῦν εἴη ἄν διαλεκτικός συλλογισμός; «Ἀλλά τῷ διαλεκτικῷ», φησί, «συλλογισμῷ ἀδιορίστως πάντα ὑπόκειται, περί πάντα καταγινομένῳ»˙ τοῦτό ἐστι δι᾽ ὅ διαλεκτικούς ἡμᾶς ἀντί πιστῶν καταστῆναι ἀξιοῖ, καίτοι τοῦ τῆς ἀποδείξεως ὀνόματος φυγάς διά τοῦτ᾽ αὖθις γεγονώς. Ἀλλά ποῖα πάντα, ὦ βέλτιστε; Τά ὄντα πάντως πάντα˙ τό δ᾽ ὑπέρ τό ὄν πῶς ἄν ἔχοι ὑποκείμενον; Πρός μέν γάρ πάσας τάς μεθόδους ὁδόν ἔχειν τοῦτόν φησιν Ἀριστοτέλης˙ μέθοδος δέ τῶν ἀκαταλήπτων πῶς, εἴπερ ἡ μέθοδος σύστημα ἐκ καταλήψεων; Οὐ τό ὑποκείμενον δέ μόνον ἀόριστον ἔχει, ἀλλά καί τό ζητούμενον ἐφ᾽ ἑκάστου προβλήματος καί αὐτάς γε τάς προτάσεις ἥ γε κυρίως, ὡς ἄν αὐτός φαίης, διαλεκτική, ὁ δέ ἀληθής θεολόγος, ὡρισμένα ἅπαντα σχεδόν, τό μέν ζητούμενον ἀεί καί ἅπαν, προτάσεων δέ τάς πλείστας, εἰ μή πάσας, ἀμφότερα δέ ἐκ τῶν θεοπνεύστων ἤ καί θεοπαραδότων, ὑπέρ ὧν καί ἐνίσταται, δι᾽ ἅ καί τήν οἰκείαν ὑπόληψιν βεβαιοτάτην ἔχει καί ἀμετάπειστον.

Ἔτι, εἰ διά μέν τοῦ διαλεκτικοῦ συλλογισμοῦ καί τήν τῶν θείων γνῶσιν θηρώμεθα, διά δέ τοῦ ἀποδεικτικοῦ μόνην, ὡς σύ λέγεις, τήν τοῦ κόσμου, κρείττων ἄν εἴη (σελ. 534) ὁ διαλεκτικός τοῦ ἀποδεικτικοῦ˙ τοῦτο δ᾽ ὁ σός Ἀριστοτέλης οὐκ ἄν ποτε συγχωρήσειεν˙ οὗ γάρ τό ὑποκείμενον κρεῖττον καί αὐτό κρεῖττον˙ εἰ δέ καί προσθήκην τοῦτ᾽ ἔχει, καί ταῦθ᾽ οὕτω μέγα καί ὑπέρ τό μέγα, καί ἡ προσθήκη τῆς βελτιώσεως ὅσον. Καί μέν δή περί τίνα καταγίνεται ἡ διαλεκτική καί τίνα ἅ ζητεῖ; Οὐχ ὡς ἐν κεφαλαίῳ τέτταρα τά πάντα, γένος, ὅρον, εἶδος καί τό συμβεβηκός; Τό μέν οὖν συμβεβηκός οὐδ᾽ αὐτός ἐπί τῶν θείων δέχῃ˙ ὅρος δέ πᾶν ἄν εἴη, οὗ μηδέ τό τί ἐστι ζητεῖται; Τοῦ δ᾽ ἀνειδέου εἶδος τί; Γένος δέ ποῖον οὗ μή εἶδος, καί μάλισθ᾽ ὅτι ὄντως ὤν καί μόνος οὐδεμιᾶς οὐσιώδους διαφορᾶς δεῖται πρός τό εἶναι; Τῆς γ αρ πληθύος διαστολῆς δεομένων ταῦθ᾽ ἅπαντά ἐστιν, ἀλλ᾽ ὡς οὐδέν τούτων ὑπάρχον δείξει τό θεῖον˙ ἀλλ᾽ οὐχ ὡς ὑπέρ ὄν, ἀλλ᾽ ὡς μηδαμῇ μηδαμῶς ὄν˙ τῆς γάρ τετρακτύος ταύτης ὑπεραῖρον οὔτ᾽ οἶδεν οὔτε παραδίδωσιν˙ εἰ δ᾽ ὅλως συγχωρήσει τις, τῇ ἀποδείξει τοῦτο δώσει, δι᾽ αὐτῆς γάρ λέγεται μόνης ὑπόληψις ἀμετάπειστος ἐγγίνεσθαι, ἥν ἡμεῖς ἔχομεν ἐπί τῶν θείων.

Ἀλλ᾽ «ἠνάγκασμαι» φησι «τοῖς ἀντιλογικωτάτοις Λατίνοις ἀντιλέγων». Ὅτι μέν οὖν οὐδεμία τις ἐπῆν ἀνάγκη, παντάπασι δέ μάτην τό «μηδαμῶς ἐπ᾽ οὐδενός τῶν θείων εἶναι δύνασθαι ἀπόδειξιν» ἐκεῖ κεῖται, πρότερον ἐδείξαμεν˙ εἰ δ᾽ ἄρα καί ἀνάγκη τις ἐπῆν,

σιωπᾶν μᾶλλον ἔδει καί ζητεῖν καί παρ᾽ αὐτῶν τῶν ἐν ἡμῖν ἰδιωτῶν, εἰ καί μή τήν γνῶσιν, ἀλλά μή κακοῖς ἀπερισκέπτως ἰᾶσθαι τά κακά, καί κινεῖν μέν ἀπό τοῦ καμπύλου, ἀλλ᾽ ἐπί τό κεκλασμένον αὖθις ἄγειν, καί διορθοῦν τοῖς ἐνδιαστρόφοις τά ἐνδιάστροφα, νῦν μέν δύο λέγοντα ἀρχάς, νῦν δέ τήν ἐπί Θεοῦ ἐνδεχομένην ἀναιροῦντα γνῶσιν, νῦν δέ, ἀλλά μηδέν γε περαιτέρω. Σύ δή τῶν δύο τούτων θάτερον μέν ἐκκόψας σου τῶν λόγων, (σελ. 536) μετά τά παρ᾽ ἄλλων σκώμματα καί τήν σήν διαπεπονημένην σκέψιν ὡς αὐτός λέγεις, οὐδ᾽ οὕτως παραιτῇ˙ μαχόμενος δ᾽ ὑπέρ ἀμφοτέρων ἐν ὑποκρίσει τῶν ἑτεροφρόνων, χωρεῖς κατά τῶν ὁμοφρόνων καί τάς πατρικάς φωνάς παρ᾽ ἡμῶν προτεινομένας, οὐκ οἶδ᾽ ὅπως, ἀναιρεῖν ἐπιχειρεῖς καί πολλοῖς ἄν δοίης δεδιέναι μή καί τά πρός Λατίνους ὑποκρινόμενος ἡμᾶς προτείνεις. Ἀλλ᾽ ἀναλαβόντες σαφέστερον προεκθώμεθα, τί λεγόντων ἡμῶν τόν φιλόσοφον πράως ἐνεγκεῖν τῶν ἀπεικότων ἦν.

Τῶν θείων τά μέν γινώσκεται, τά δέ ζητεῖται, ἔστι δ᾽ ἅ καί ἀποδείκνυται, ἕτερα δέ ἐστιν ἀνεξερεύνητα πάντη καί ἀνεξιχνίαστα, μηδαμῶς ἐμφαινομένου τινός ἴχνους τῶν ἐπί τό κρύφιον ἐκεῖνο διαβεβηκότων. Ταῦτα βαρέως ἤνεγκεν ὁ φιλόσοφος, καί συναγαγών ἑαυτόν ὡς οἷόν τε καθ᾽ ἡμῶν χρῆται τῇ δυνάμει τῶν λόγων, οὐδέν γνωστόν οὐδέ ἀποδεικτόν τῶν θείων ἀποφαινόμενος˙ ἀλλ᾽ ὡς μέν καί τοῖς πατρᾶσιν συνδοκεῖ τά παρ᾽ ἡμῶν εἰρημένα καί τά προειρημένα ἱκανά δηλῶσαι, τό δέ καί τῶν ἐκείνων θεολογιῶν ἔστιν ἅς ἐπίγραμμα φέρειν τήν ἀπόδειξιν, τοῦτ᾽ οὐκ οἶμαί τινα τῶν ταύτας στεργόντων ἀγνοεῖν, ὥσθ᾽ ὁ λέγων μή εἶναι ἀπόδειξιν ἐπ᾽ οὐδενός τῶν θείων τοῖς πατρᾶσι μᾶλλον ἤ ἡμῖν ἀντιλέγειν ἐγχειρεῖν. Μεταξύ γάρ τό τῆς ἀποδείξεως τοῦτο κείμενον ἔνι δηλοῦν ἑτέραν δεῖξιν˙ ἐπιγεγραμμένον δέ πῶς ἄν εἴη, εἰ μή κυρίως ἀπόδειξις εἴη τό ὑπογεγραμμένον;

Εἰ δέ καί τήν τελείαν καί βεβαίαν δεῖξιν ἀπόδειξις δηλοῖ, μεθ᾽ ἥν οὐκ ἔστιν ἀληθείας εὕρεσις τελεωτέρα, καθάπερ ἐπί τῶν δικαστηρίων ἡ ἀπόφασις, τί τελεώτερον καί βεβαιότερον τῶν πατρικῶν ἀποδείξεων ἡμῖν, ὥστε τοῦθ᾽ ἡμῖν κυρίως ἀπόδειξις, διό καί ὁ ἱερός καί θεῖος φερώνυμος Ἱερόθεος ὑπέρ τούς πολλούς μαρτυρεῖται τῶν ἱερῶν (σελ. 538) διδασκάλων οὐ «καθαρότητι νοῦ μόνον καί ταῖς ἄλλαις ἱερολογίαις, ἀλλά καί τῇ τῶν ἀποδείξεων ἀκριβείᾳ»˙ καί αὐτός δέ ὁ τά τοιαῦτα τούτῳ μαρτυρῶν καί τό συνεπτυγμένον καί ὑψηλόν τῆς ἐκείνου θεολογίας ὑψηλῶς ἀναπτύξας διττήν σαφῶς εἶναι διδάσκει τήν θεολογίαν˙ «τήν μέν μυστικήν, τελεστικήν, ἀπόρρητον, ἄρρητον,

ἥ δρᾷ καί ἐνιδρύει τῷ Θεῷ ταῖς ἀδιδάκτοις μυσταγωγίαις, τήν δέ ἐμφανῆ καί φιλόσοφον καί ἀποδεικτικήν, ἥ πείθει καί καταδεῖται τῶν λεγομένων τήν ἀλήθειαν». Πῶς οὖν οὐ διαλετικήν ταύτην, ἀλλ᾽ ἀποδεικτικήν ὠνόμασεν, ὦ φιλόσοφε, καίτοι μή πρός τούς πιστούς ἁπλῶς οὖσαν, οὐδέ γάρ πειθοῦς οὗτοι δέονται;

Οὐ μήν ἀλλ᾽ εἰ καί μή σαφῶς οὕτω παρ᾽ αὐτῶν ἐγγεγραμμένον τε καί ἐπιγεγραμμένον ἦν, τά γοῦν τῆς ἀντιρρήσεως καί οὕτω πρός ἐκείνους ἀναφέρεται σαφῶς. Ὡς γάρ εἴ τις τῷ ταὐτόν καί ἕτερον καί μέγα καί μικρόν εἰπόντων τόν Θεόν κἀπί τῶν παραπλησίων εὐσεβῶν ἐκ τῶν ἐναντίων συντιθέντι τάς θεωνυμίας ἀντιλέγειν ἐγχειροίη, λέγων «ὁ ἐν πᾶσι πάντα διά τήν σωτηρίαν ἑκάστου γινόμενος, καί τοῖς πρός αὐτόν ἐπιστρέφουσι πολυτρόπως τε καί καταλλήλως ἐπιδιδούς ἑαυτόν καί πολυειδῶς ἐν χερσί τῶν προφητῶν ὁμοιούμενος, πῶς ὁ αὐτός ἄν εἴη, καί αὖθις ὁ ἀπήλικος, ὁ ἐν πᾶσι χωρῶν, ὁ παντός ἐκβεβηκώς ὄγκου πῶς μέγας;»˙ ὥσπερ οὖν ὁ ταῦτα λέγων οὐχ ἁπλῶς ἐρίζει πρός τόν ταὐτόν ἤ μέγαν τόν Θεόν εἰπόντα ἀλλά τήν ἱεράν ἀνίστησι Γραφήν αὐτήν καθ᾽ ἑαυτῆς (καί τό ἕτερον γάρ ἐπί Θεοῦ καί τό μικρόν παρ᾽ αὐτῆς λεγόμενον πάλιν τόν αὐτόν ἀνατραπήσεται τρόπον˙ τό γάρ πάντα ὑπερβάλλον καί πάντων ὑπερεκτεινόμενον τῷ λέγοντι ὡς τά μέν τῶν θείων ἀποδεικτά ἐστι, τά δ᾽ οὔ, καί λέγων ὡς οὐδέν ἀποδεικτόν (σελ. 540) τῶν θείων, ἐπαφή γάρ αὐτοῦ οὐκ ἔστιν οὔτε ἐπιστήμη, τῇ θείᾳ Γραφῇ καθ᾽ ἑαυτῆς χρῆται, τά ἐν αὐτῇ κατ᾽ ἀλλήλων ἐκπεπολεμωμένα δι᾽ ἀλλήλων δείξας˙ εἰ γάρ ὅτι οὐκ ἔστιν ἐπαφή Θεοῦ καί ἐπιστήμη, οὐδέ ἀπόδειξις, καί ὅτι ἔστι ταῦτα, καί ἀπόδειξις ἔσται.

Τί δή τό ἐκ τούτων συναγόμενον καί τό ἄμαχόν τε καί ὁμόλογον τῇ Γραφῇ προσμαρτυροῦν; Ὅρτι καί ἔστι καί οὐκ ἔστι, καθ᾽ ἕτερον ἕτερον τρόπον˙ τοῦτο δέ ἐστιν ὅ ἡμεῖς εἰρήκαμεν, ὅτι τά μέν τῶν θείων γινώσκεταί τε καί ἀποδείκνυται, τά δ᾽ ἀπερινόητά ἐστι καί ἀνεξιχνίαστα˙ πλημμελές ἄρα τό λέγειν ὡς οὐκ ἔστιν ἀπόδειξις ἐπ᾽ οὐδενός τῶν θείων˙ ἔστι γάρ ἐφ᾽ ὧν, καί ἔστιν ὡς. Ὡς γάρ ἡ ἐνανθρώπησις τοῦ Κυρίου ὑπέρ φύσιν τέ ἐστι καί κατά φύσιν, καί λεγομένη ἄρρητος μένει καί νοουμένη ἄγνωστος, ἐπεί τά μέν ὑπέρ φύσιν, ὡς ἡ τῆς παρθένου κύησις, τά δέ κατά φύσιν, ὡς ὁ τῆς νηδύος ὄγκος μετά σύλληψιν, οὕτω καί τό θεῖον ἀποδεικτόν τέ ἐστι καί οὐκ ἀποδεικτόν˙ ἀμερίστως μέντοι μεριζόμενον τῇ διαφορᾷ τῶν τρόπων, ἐπεί «καί διά γνώσεως γινώσκεται καί δι᾽ ἀγνωσίας»˙ ὅτι μέν γάρ ἔστι

καί ὅτι ἕν ἐστι καί γινώσκεται καί ἀποδείκνυται, τί δέ ἐστι καί τί γε ἕν ἀπερινόητον ἐστι παντάπασιν.

Ἀλλ᾽ ὁ φιλόσοφος ἀκούων Διονυσίου τοῦ μεγάλου λέγοντος ὡς «ἡ θεότης καί μονάς καί Τριάς ὑμνουμένη οὐκ ἔστι οὐδέ μονάς οὐδέ τριάς ὑπό τινος τῶν ὄντων διεγνωσμένην οὕτω πως ὡς ἔοικεν ἐνόησεν ὡς ὑπ᾽ οὐδενός ὅτι ἔστι μονάς ἐγνώσθη˙ ὁ δέ μέγας ἐκεῖνος οὐ τοῦτό φησιν, ἀλλ᾽ ὅτι μέν ἔστι μονάς γνώσκεταί τε καί ὑμνεῖται, ἀλλ᾽ οὐ τῶν συνεγνωσμένων ἐν τοῖς οὖσιν ἐναρίθμων μονάδων, αἵ γε οὐδέ μονάδες ἄν κυρίως εἶεν, εἴ γε ἡ μονάς οὐκ ἀριθμός, ὥστε διά τοῦτο ἐκεῖνο μᾶλλον ἔγνωσται μονάς καί μόνον, (σελ. 542) ὅ,τι μή δι᾽ ἀριθμοῦ τε καί ἐν ἀριθμοῖς γνωρίζεται˙ ἡ γάρ κυρίως οὐκ ἀριθμός˙ μονάς οὖν ἡ θεότης, ἀλλ᾽ οὐ τῶν ἐν τοῖς οὖσι διεγνωσμένη, καθάπερ καί Γρηγόριος ὁ θεολόγος εἰπών «τήν τοῦ Θεοῦ φύσιν ἄληπτόν τε καί ἀπερίληπτον» εὐθύς ἐπάγει, τῆς τοῦ ρητοῦ διανοίας ἑρμηνεύς γινόμενος˙ «λέγω δέ οὐχ ὅτι ἐστίν, ἀλλ᾽ ἥτις ἐστίν». Ὁ δέ φιλόσοφος οὗτος ἄληπτον ἐπίσης καί ἀναπόδεικτον τίθεται καί τό τί ἐστι καί τό ὅτι ἐστί, καί ἡ σεμνή πρόφασις αὐτῷ τό δι᾽ τἀποδείξεως δεικνύειν ὅτι πάντα τά θεῖα ὑπέρ ἀπόδειξιν. Ἐγώ δέ μικρόν τι περί τούτου πρός αὐτόν εἰπών ἐπί τά προτεθειμένα μετοίσω τόν λόγον.

Οὐ σύ γε αὐτός εἶ ὁ λέγων ἐπ᾽ οὐδενός εἶναι τῶν θείων ἀπόδειξιν; Εἰ τοίνυν ἀποδέδεικταί σοι τό ὑπέρ ἀπόδειξιν, οὐ θεῖον˙ εἰ δέ πρέπον ἐστί τῷ Θεῷ τό πρόσρημα, ἀπόδειξιν οὐκ ἐπιδέξαιτ᾽ἄν˙ σύ δ᾽ οὐκ οἶδ᾽ ὅπως ἄλλοτε ἄλλα λέγεις καί τἀντανία πρός ἄλληλα, οὐ μόνον ἐπί τοῦ ἀποδεδειγμένου θείου, ὡς αὐτός λέγεις, ὑπέρ ἀπόδειξιν, ἀλλά καί ὁπηνίκα τῆς ἐγγινομένης ἀπό τῶν κτισμάτων ἐπί τόν δημιουργόν ἀνόδου μέμνησαι. Τίς γάρ, οὐδέ ἀπό τῶν δημιουργημάτων ἔσται ἀπόδειξις ὅτι ἐστί δημιουργός; Οὐδέ γνωστά ἐστί τινα τῶν ἀοράτων ἀπό τῶν ὁρωμένων; Οὐδέ τόν θεῖον Παῦλον δέξῃ μαρτυροῦντα ὅτι «τά ἀόρατα τοῦ Θεοῦ ἀπό κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται», ἀλλ᾽ ὑπέρ πᾶσαν ἐπαφήν καί γνῶσιν πάντ᾽ ἐρεῖς τά θεῖα;

«Ναί» φησιν, «ἀλλ᾽ ἐμοί περί ὧν ἑκάστου συντίθεμεν συλλογισμῶν κατά τόν ἔξω λόγον ὁ λόγος˙ τά τοιαῦτα δ᾽ ἕκαστος καθ᾽ ἑαυτόν διανοεῖται». Τί οὖν, ἅπερ ἕκαστος καθ᾽ ἑαυτόν διανοεῖται, ταῦτ᾽ οὐχί καί προφέρειν ἔχει διά γλώττης ἤ χειρός διά τοῦ ἔξω λόγου ποιούμενος τήν ὁμιλίαν ἤ συγγράμματα συντάττων, ὥσπερ κἀπί τῶν ἀμέσων καί καθόλου γίνεται προτάσεων; Τούτων γάρ ἡ (σελ. 544) γνῶσις δι᾽ ἐπαγωγῆς διανοητικῶς ἐπισυναγομένη τῇ ψυχῇ πέφυκεν

ἐγγίνεσθαι, ἀλλά καί πρός τόν ἔξω λόγον φέρεται δι᾽ ἐπαγωγῆς γνωριζομένη πάλιν. Σύ δ᾽ ὅμως καί τοῦτ᾽ ἄν ἡμῖν ἐκφήναις, ὁ κτά πᾶσαν ἐξουσίαν ὅ,τι ἄν ἐθέλοις λέγων, καί μάρτυρα ἡμῖν σοι παρέξεις θαυμαστόν λέγοντα˙ «Θεόν νοῆσαι μέν χαλεπόν, φράσαι δέ ἀδύνατον». Ἀλλ᾽ εἰ τοῦθ᾽ οὕτω σοι δοκεῖ, τί τε ἐκεῖνο ὅπερ οὐκ οἶδ᾽ ἤ τοι περί σαυτοῦ ἤ κατά σαυτοῦ προοιμιαζόμενος πρός τούς Λατίνου γράφεις, ὅτι «πλείω λέγεις ἤ νοεῖς»; Ἐγώ δέ οὐ μόνον ὅτι ἔστι δημιουργός κατανοῶ ἐκ τῶν δημιουργημάτων, ἀλλά καί ὅτι εἷς ἐστι καί νοῶ καί ἀποδείκνυμι˙ πάντα γάρ ὁρῶ μιᾶς καί τῆς αὐτῆς βουλήσεως καί σοφίας καί δυνάμεως δεόμενα γενέσθαι ἐκ μή ὄντων˙ μία δέ βούλησις ἅμα καί σοφία καί δύναμις μιᾶς φύσεώς ἐστιν˙ εἷς ἄρα τῇ φύσει ὁ δημιουργός Θεός ἡμῶν.

Πάλιν ἀνάλαβέ σου τά ἀμυντήρια, προβαλοῦ τούς Ἀριστοτέλους τοῦ σοῦ κανόνας, ἐρώτα τάς πεύσεις τάς ἀμφικρήμνους, μικρόν δ᾽ ὅμως μεῖνον καί ταῦτά σοι προθήσομεν εἰς ἐξέτασιν. Νῦν δ᾽ ἴδωμεν διά τίνων κατασκευάζει μηδαμῶς εὔλογον εἶναι τόν Θεόν ἕνα λέγεσθαι. «Κατά μετοχή» φησιν «οὐκ ἔστι, καθ᾽ ὕπαρξιν οὐκ ἔστι, κατ᾽ αἰτίαν οὐκ ἔστιν ἕν˙ κατ᾽ οὐδένα ἄρα τρόπον ἔστιν ὁ Θεός ἕν». Τήν μέν οὖν μετοχήν καί ὕπαρξιν παρεῖναί μοι δοκῶ˙ τό μέν γάρ οὐδείς ἠγνόησεν ὅτι μή κατά μετοχήν ἔστι τι Θεῷ, τό δέ οὐδείς ἐζήτησε τί ἐστι καθ᾽ ὕπαρξιν Θεός. Κατ᾽ αἰτίαν δέ πῶς οὐκ εὔλογον ἕνα τόν Θεόν λέγεσθαι οὐκ ἔχω συνιδεῖν, οὐ μόνον ὅπως οὐκ εὔλογον, ἀλλ᾽ οὐδ᾽ ὅπως ἐτόλμησεν εἰπεῖν, σαφῶς τοῦτο τῶν ἁγίων διαγορευόντων. Ἀλλ᾽ εἰ κατ᾽ αἰτίαν τόν Θεόν ἕν οὐκ εὔλογον εἰπεῖν, οὐδέ τοῦ ἑνός αἴτιος ἔσται, καί γάρ ὧν ἐστιν αἴτιος, ἀπό τούτων ἔχει τάς προσηγορίας˙ εἰ δέ τοῦ ἑνός οὐκ ἔστιν ὁ Θεός αἴτιος, οὐδενός τῶν ὄντων ἐστίν αἴτιος˙ τῷ γάρ εἶναι τό (σελ. 546) ἕν, πάντα ἐστί τά ὄντα, καί τῶν ὄντων ἕκαστον ἕν ἐστιν ἤ γένει ἤ εἴδει ἤ ἀριθμῷ, καί οὐδ᾽ ἄν πολλά ἕκαστον αὖθις τούτων εἴη τῇ κατ᾽ αὐτά διαφορᾷ, εἰ μή τό ἕν εἴη˙ τό γάρ ἕν ἐστι στοιχειωτικόν καί συνεκτικόν καί συστατικόν ἁπάντων. Ὥσθ᾽ ὁ τοῦ ἑνός μή ὤν αἴτιος οὐδενός ἐστιν αἴτιος.

«Ἀλλ᾽ εἰ ὡς αἰτιός» φησι «τοῦ ἑνός ἕν ἐστιν ὁ Θεός, οὐ μᾶλλον ἕν ἤ πολλά, καί γάρ καί τῶν πολλῶν αἴτιος». Παρίημι τοίνυν λέγειν ὡς τοῖς μέν πολλοῖς οὐ συναιρεῖται τό ἕν, τῷ δέ ἑνί τά πολλά, καί ὡς ὁ Θεός ἐν τῷ ἑνί μένων καί τά πολλά προάγει, καί οὐ προάγει μόνον, ἀλλά καί γινώσκει, τοῦ ἑνιαίου μή πληθυνομένου τάς ἐν τοῖς πλήθεσι διαφορᾶς˙ ἀλλ᾽ εἰ μή μᾶλλον ὁ Θεός ἕν ἤ πολλά, διατί εἷς μέν Θεός

λέγομεν, πολλοί δέ οὐ λέγομεν; Διατί δέ πολυώνυμον αὐτόν καλοῦμεν, ἀλλ᾽ οὐ τοῖς ὀνόμασι συνδιαιροῦμεν; «Ἀλλ᾽ οὐκ εἶπόν» φησιν «οὐ μᾶλλον ἕν ἤ πολλά, ἀλλ᾽ οὐ μᾶλλον ἕν ἤ οὐχ ἕν». Εἰ οὖν ἔστιν, οὐχ ἕν δέ ἐστι, πολλά ἄν εἴη.

«Πῶς οὖν», φησί, «Διονύσιος ὁ μέγας περί τοῦ Θεοῦ φησιν ὡς οὔτε ἕν ἐστιν»; Ἀλλ᾽ οὐκ ἐπ᾽ ἀναιρέσει τοῦ ἑνός, ὦ βέλτιστε· παράγγελμα γάρ ἐστιν αὐτοῦ μή οἴεσθαι τάς ἀποφάσεις ἀντικειμένας εἶναι ταῖς καταφάσεσιν ἐπί Θεοῦ. Σύ δ᾽ ἐπ᾽ ἀναιρέσει τοῦ ἑνός προφέρεις τό οὐχ ἕν, τήν ἀσυνείκαστον ἐκείνην αἰτίαν προστιθείς ὡς εἰ κατ᾽ αἰτίαν ἔστιν ἕν, καθ᾽ ὕπαρξιν οὐκ ἔσται ἕν, ὥστε φησίν «οὐ μᾶλλον ἕν ἤ οὐχ ἕν». Τί δή σοι βούλεται τό καθ᾽ ὕπαρξιν τοῦτο, ὦ διαλεκτικέ σύ καί ἄφυκτε; Εἰ μέν γάρ τό ἁπλῶς εἶναι, πῶς τό κατ᾽ αἰτίαν ἕν οὐκ ἔσται αὖθις οὐδαμῶς ἕν; Αὐτῷ γάρ τῷ εἶναι ὁ Θεός ἕν ὑπέρ τό ἐν τοῖς οὖσιν ἕν καί τοῦ ἐν τοῖς οὖσιν ἑνός αἴτιος καθίσταται, ἀκλίτως ἵν᾽ οὕτως εἴπω ἑαυτόν ἐπιδιδούς καί τῆς οἰκείας ἑνότητος ἀγαθότητι μεταδιδούς καί ἀμεθέκτως μετεχόμενος. Εἰ δέ τό καθ᾽ ὕπαρξιν τοῦτό σοι βούλεται ὅτι οὐκ ἔστιν οὐσία τοῦ Θεοῦ τό (σελ. 548) ἕν καί διά τοῦτο οὐκ εὔλογον ἕνα λέγειν τόν Θεόν, οὐδ᾽ ὁ ἥλιος λοιπόν εἷς ἐστιν, ἐπεί οὐκ ἔστιν αὐτοῦ τό ἕν οὐσία· εἰ δέ κατά μετοχήν τοῦ αὐτοενός εἷς ἐστιν ὁ ἥλιος, οὐ μᾶλλον εἷς ἤ οὐχ εἷς, ἐπεί καθ᾽ ὕπαρξιν οὐκ ἔστιν εἷς.

Τό αὐτό δέ καί ἐπί πάντων ὅσα τοῦ ἑνός μετέχει, καί μάλα γε εἰκότως. Εἰ γάρ τό αὐτοέν οὐ μᾶλλον ἕν ἤ οὐχ ἕν κατά τήν σήν σοφίαν, πολλῷ μᾶλλον ὅσα τῷ μετέχειν τούτου ἕν ἐστιν· οὐκ ἐπί τοῦ ἑνός δέ μόνον, ἀλλά κἀπί τῶν δύο ἤ τριῶν καί παντός ἀριθμητοῦ· τοῦ γάρ ποσοῦ μηδέποτε οὐσίας ὄντος, τά δύο οὐ μᾶλλον δύο ἤ μή δύο· καί γάρ εἰ κατ᾽ ἀριθμόν δύο, ἀλλά καθ᾽ ὕπαρξιν οὐ δύο πάντως. Ὥστε οὐ τόν Θεόν οὐχ ἕν ἀπέδειξεν ὁ φιλόσοφος, ἀλλά τό ἕν οὐκ ὄν, εἴπερ οὐ μᾶλλον ἕν ἤ οὐχ ἕν, καί ἁπλῶς πάντα ἀριθμόν ἀνεῖλε. Τοῦτο δέ ἐστιν, ἵνα κατά τήν αὐτοῦ φῶμεν ἐπιστήμην, παραλογισμός, ὁ παρά τήν τοῦ ἐλέγχου ἄγνοιαν, ᾧ καί θεολογῶν ὁ γεννάδας χρῆται, δι᾽ οὗ καί σοφισάμενος, πάντα ἀριθμόν ἀνεῖλε (οὐ γάρ κατά τό αὐτό ἕν τε καί οὐχ ἕν), ῥᾳδίως δ᾽ ἄν οὕτω τις καί ἕκαστον τῶν ὄντων μή μᾶλλον ὄν ἤ μή ὄν ἐλέγξειεν.

Οὐ μήν ἀλλ᾽ εἰ καί τῶν ἄλλων πάντων κατεψεύσατο, εἷς γάρ ἐπιλάμπει ἥλιος ἡμᾶς, πλείου δέ φωστῆρες, πλεῖστοι δέ ἀστέρες, ἀλλ᾽ ἑαυτόῦ γε ἕνεκα οὐκ ἔψευσται· εἷς γάρ ὤν, οὐχ εἷς ἐστι ταῖς διαλέξεσιν, ἀλλ᾽ ἄλλος καί ἐναντίος ἑαυτῷ. Ὁ γάρ ἐνταῦθα μή καθ᾽

ὕπαρξιν ἕν εἶναι τόν Θεόν ἰσχυριζόμενος, ἀκούσατε τί λέγει ἀνωτέρω˙ «ἅ ἐστι ταῖς ἄλλαις οὐσίαις τά καθ᾽ αὐτό αὐταῖς λεγόμενα, ταῦτα καί τῷ Θεῷ τά περί αὐτόν λεγόμενα ὑπάρχει˙ οὐ γάρ ἐνδέχεται εἶναί τε καί μή˙ εἴ τις οὖν ἔροιτό σε», φησί, «ταῦτα ἅ φῄς περί Θεόν εἶναι ἀνυπόστατά ἐστιν ἤ μετέχει τινός ὑπάρξεως; καί εἰ τοῦτο, οὐσίαι εἰσίν (σελ. 550) ἤ συμβεβηκότα; πῶς ἐκφεύξῃ τό καί μή οὐσίαν θείαν ἀποδεικτήν λέγειν»;

Τί οὖν ἐστιν ὅ φησιν; Ἐπειδή πᾶν ἤ οὐσία ἤ συμβεβηκός, τά δέ περί Θεόν συμβεβηκότα οὔκ εἰσιν, οὐσίαι ἄρα τοῦ Θεοῦ εἰσιν˙ εἰ οὖν τούτων τί τις φαίη γινώσκειν, καί τήν οὐσίαν ἄρα λέγει τοῦ Θεοῦ γνωστήν εἶναι καί ἀποδεκτήν. Ὁ γοῦν μηδέν εἶναι λέγων τόν Θεόν καθ᾽ ὕπαρξιν, πάντα νῦν αὖθις λέγει τοῦτο εἶναι καθ᾽ ὕπαρξιν τῷ συμπεριληπτικῷ τῆς διαιρέσεως ἀναγκαίως πρός τοῦτο συνωθῶν ἡμᾶς ὥς γ᾽ οἴεται. Ἐνῆν μέν οὖν δεῖξαι ὡς οὐδέ τά ὄντα πάντα τῇ διαιρέσει ταύτῃ συμπερικλείεται˙ εἰ δέ καί συμπεριβάλλεται, οὐδ᾽ οὕτως ἀνάγκη τό ὑπέρ τό ὄν συμπεριειλῆφθαι τῇ τῶν ὄντων διαιρέσει˙ ὑποστάτης γάρ κατά τόν μέγα Διονύσιον τούτων ἐστίν ὁ Θεός, ἀλλ᾽ οὐχ ὑπό τούτων συνέστηκεν αὐτός, οὐδέ τι συντελοῦσι τά περί Θεόν εἰς τό εἶναι τό Θεόν, οὐδέ γνωστή ἐστιν αὐτοῦ ἡ φύσις, ἵνα καί διαφοράν οὐσιώδη σχοίη, καθά καί Βασίλειος ὁ μέγας λέγει. Κυρίως γάρ ὤν καί προών καί μόνος ὤν καί ἁπλῶς καί ἑνιαίως ὤν, διαφορᾶς οὐδεμιᾶς δεῖται εἰς τό εἶναι˙ τοῖς γάρ μετ᾽ ἐκεῖνον πολλοῖς οὖσι δεῖ διαστολῆς˙ οὔκου οὐσίαι Θεοῦ τά περί τόν Θεόν, ἀλλ᾽ αὐτός ἐστιν οὐσία τῶν περί αὐτόν.

Ἧ μέν ἐστιν αὐτός οὐσία, ἄρρητός τε καί ἀπερινόητος, ᾗ δέ ἐστιν οὐσία τῶν ὄντων, καί ζωή τῶν ζώντων καί σοφία τῶν σοφιζομένων καί ἁπλῶς πάντων τῶν τοῦ εἶναι καί τοῦ εὖ εἶναι μετεχόντων ὀντότης, ἵν᾽ οὕτως εἴπω, καί δύναμις καλλοποιός, καί νοεῖται καί λέγεται καί ἀποδείκνυται, εἰ καί μή ἐφ᾽ ὅσον ἐστίν. Εἰ δέ καί ὑπάρξεώς τινος μετέχει τά περί Θεόν, οὐχ ὡς οὐσίαι, οὐδ᾽ ὡς ἀνυπόστατα, καθάπερ δικαιοῖς αὐτός, ἀλλ᾽ ὡς ἐνέργειαι οὖσαι τοῦ Θεοῦ˙ εἰ δέ τά τῶν ἐνεργειῶν ἀποτελέσματά τις εἴποι, καί τούτων οὐσίαι μέν ἔστιν ἅ, θεῖαι δ᾽ οὔμενουν. Οὐ μή, (σελ. 552) ἀλλ᾽ ἵνα τό πλῆθος ἀφῶ τῶνπαρ᾽ αὐτοῦ θείων οὐσιῶν λεγομένων, ὡς μή καί αὐτός πλήθει περιπέσω λόγων, εἰ τά περί Θεόν λεγόμενα τοῦ Θεοῦ ἐστιν οὐσίαι, περί Θεόν δέ λέγεται καί τά κτίσματα, ὡς πολλαχοῦ τῆς ἱερᾶς εὕροι τις ἄν Γραφῆς, κτιστή ἔσται κατ᾽ αὐτόν ἡ οὐσία τοῦ Θεοῦ.

Καί μήν τό σοφόν καί ἀγαθόν καί τό φῶς καί ἡ ζωή καί ὅσα σχεδόν λέγεται περί αὐτόν δι᾽ ὀνομάτων προαγόμενα, πῶς ἄν οὐσία εἴη, τῶν ὀνομάτων, εἴ τις ἐξετάσειε, μηδ᾽ ἐφ᾽ ἡμῶν οὐσιῶν ἀλλ᾽ ἐνεργειῶν δηλωτικῶν γε ὄντων; Πῶς ἄν οὖν ἐπί Θεοῦ τά ὀνόματα οὐσίαν φαίη τις, ὅπου γε οὐδ᾽ ἄν λόγος εὑρεθείη σημαντικός τῆς ὑπερουσιότητος ἐκείνης; Ὅσοι γάρ τῆς ὄντως ἀληθείας εἰσίν ἐρασταί οὐ θεμιτόν οἴονται ὑμνεῖν τήν ὑπερουσιότητα τήν θεαρχικήν οὔτε ὡς λόγον ἤ δύναμιν ἤ ζωήν ἤ οὐσίαν ἤ ἀγαθότητα, ἀλλ᾽ ὡς παντός ὀνόματός τε καί πράγματος ὑπεροχικῶς ἀφειμένην· ἀλλ᾽ ἐπεδήπερ αὕτη πάντων ἐστίν αἰτία, ἐκ πάντων τῶν αἰτιατῶν αὐτήν ὑμνητέον, ἐπεί καί περί αὐτήν πάντα καί αὐτῆς ἕνεκεν, ὡς Διονυσίῳ τε τῷ μεγάλῳ καί τῇ ἀληθείᾳ δοκεῖ καί πᾶσι τοῖς ἐξ αἰῶνος ὑμνολόγοις αὐτῆς. Ἐπεί τοίνυν περί αὐτήν πάντα τήν θεαρχικήν ὑπερουσιότητα, τά δέ περί αὐτήν οὐσίαι θεῖαι κατά σέ, πάντα ἄρα θεῖαι οὐσίαι κατά σέ εἰσιν.

Ἔτι, ἐπεί μή μόνον αἱ θέσεις, ἀλλά καί ἀφαιρέσεις τῶν περί Θεόν εἰσιν, ἔσονται καί αὗται θεῖαι οὐσίαι κατά σέ, καίτοι μή πεφυκυῖαι δηλοῦν ὅ ἐστιν, ἀλλ᾽ ὅ μή ἐστιν. Ἀλλ᾽ εἰ μή αὗται, καίτοι μᾶλλον τῶν περί Θεόν θέσεων ἁρμόττουσαι Θεοῷ, πῶς ἄρ᾽ αἱ θέσεις εἶεν ἄν οὐσίαι θεῖαι; Πῶς δέ καί ἅ ταῖς ἄλλαις οὐσίαις τά καθ᾽ αὑτό, ταῦτα Θεῷ τά περί αὐτόν ἐστιν; «Ἐπεί» φησί «μή ἔστιν εἶναί τε καί μή». Τίς ἡ νέα αὕτη καί παράδοξος θεογνωσία; Τό γάρ καθ᾽ αὑτό τινι ὑπάρχον οὐκ ἔνι (σελ. 554) κατ᾽ ἔνι κατ᾽ οὐδένα τρόπον μή εἶναι τοῦτο ἐκεῖνο. Οἷον τί λέγω; Καθ᾽ αὑτό ὑπάρχει τῷ ἀνθρώπῳ τό εἶναι λογικόν· οὐκ ἔνι γοῦν τόν ἄνθρωπον μή εἶναι λογικόν. Τῶν δέ περί Θεόν λεγομένων, ζωή τε καί οὐσία καί δύναμις, ἀλλά καί πάντων τούτων ὑπερεξῃρημένος ὑπάρχει ὁ Θεός καθ᾽ ὑπεροχήν μή εἶναι ταῦτα λέγεται, καί τοῦ εἶναι ταῦτα τό μή εἶναι θεοπρεστέστερόν τε καί ἀληθέστερον· οὐκ ἄρα τῷ Θεῷ τά περί αὐτόν ἅ ταῖς ἄλλαις οὐσίαις τά καθ᾽ αὑτό. Οὐ μόνον δέ τά ἀντιφατικῶς ἀντικείμενα λέγεται ἅμα ἐπί τοῦ Θεοῦ ἀλλά καί τἀναντία· «φῶς γάρ ὡς ἱμάτιον» λέγεται περιβλῆσθαι καί «φῶς οἰκεῖν ἀπρόσιτον», ἀλλά καί «ἔθετο σκότος ἀποκρυφήν αὐτοῦ» καί «γνόφος ὑπό τούς πόδας αὐτοῦ»· ταῖς δέ ἄλλαις οὐσίαις οὐκ ἔνι καθ᾽ αὑτό τά ἐναντία εἶναι· τῶν ἀδυνάτων ἄρ᾽ εἶναι τῷ Θεῷ τά περί αὐτόν ἅ τά καθ᾽ αὑτό τοῖς ἄλλοις.

Ἔτι τῶν περί τόν Θεόν τά μέν μᾶλλον λέγεται, τά δ᾽ ἧττον, καί ἐπί τῶν θέσεων, μᾶλλον γάρ ζωή ἤ αὔρα, καί ἐπί τῶν ἀφαιρέσεων, εἰ καί ἀντεστραμμένως, μᾶλλον γάρ οὐκ αὔρα ἤ οὐχί ζωή· καί αἱ ἀφαιρέσεις

δέ πᾶσαι τῶν θέσεων πασῶν μᾶλλον προσήκουσι Θεῷ. Τῶν δέ καθ᾽ αὐτό ταῖς ἄλλαις οὐσίαις οὐδέν μᾶλλον καί ἧττον πρόσεστιν αὐταῖς, οὐδέ γάρ μᾶλλον ὁ ἄνθρωπος ζῶον ἤ λογικόν˙ ἐπεί γάρ οὐδ᾽ οὐσία μᾶλλον οὐσίας οὐδ᾽ οὐσιῶδες ἕτερον ἑτέρου μᾶλλον. Καί μέν δή τετραχῶς τοῦ καθ᾽ αὐτό λεγομένου, καί οὐδένα τρόπον τά περί Θεόν ἄν εἴη καθ᾽ αὐτό˙ οὔτε γάρ δι᾽ αὐτά τό θεῖον, καί γάρ ἀναίτιον, οὔτε ἐν τῷ λόγῳ ταῦτα τῷ τί ἐστι Θεός, δεικνύντι, καί γάρ οὐδ᾽ ἐφεῖται ζητεῖν ὅλως τί ἐστι Θεός, ἀλλ᾽ οὐδέ τό θεῖον ἐν τῷ λόγῳ ἄν αὐτῶν ληφθείη, καί γάρ ὑπέρ ἔννοιαν τό θεῖον. (σελ. 556) Αὐθυπόστατα δέ πῶς ἄν εἴη, μέχρις ἄν καθ᾽ ὑποκειμένου πως λέγοιτο καί τό εἶναι περί τι μή ἀποβάλλοι; Διατί δέ καί μή καθ᾽ αὐτό αὐτά φαμεν Θεῷ ἀλλά περί Θεόν; Ἐπεί δέ καί Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος οὐκ ἐκ τῶν κατ᾽ αὐτόν, ἀλλ᾽ ἐκ τῶν περί αὐτῶν φησι γινώσκειν τόν Θεόν ἡμᾶς, συμβήσεται κατά τόν τοῦ φιλοσόφου λόγον οὕτω γινώσκειν ἡμᾶς τόν Θεόν, ὡς καί τάς ἄλλας οὐσίας γινώσκομεν˙ ἐκ γάρ τῶν καθ᾽ αὐτό αὐταῖς ὑπαρχόντων γινώσκομεν αὐτάς, ταῦτα δέ Θεῷ τά περί αὐτόν ἐστι λεγόμενα ἐξ ὧν αὐτόν γινώσκομεν.

Ἔτι, εἰ ὁ Θεός γινώσκει ἑαυτόν ᾗ ἐστι, τά δέ περί Θεόν αὐτῷ ἐστιν ἅ ταῖς ἄλλαις οὐσίαις τό καθ᾽ αὐτό, ἡμεῖς δ᾽ ἐκ τῶν περί αὐτόν γινώσκομεν αὐτόν ᾗ ἐστι, καί ἡμεῖς αὐτόν γινώσκομεν, ὡς αὐτός γινώσκει ἑαυτόν˙ οὕτως ὁ φιλόσοφος ἀπό τῦ ὑπερανιδρυμένου τοῦ παντός καί ἀλήπτου καί ἀφθέγκτου τῆς θεαρχικῆς ὑπερουσιότητος εἰς ἀφασίαν ἡμᾶς περικλεῖσαι φιλονεικῶν, ἔλαθεν ἑαυτόν ταῖς κάτω ταύτην οὐσίαις συντεταχώς.

Καιρών δ᾽ ἄν εἴη καί τούς ἀποδεικτούς αὐτῷ κανόνας, αὐτήν τήν ἀπόδειξιν, μᾶλλον δέ τήν αὐτοαπόδειξιν, ἥν ἐκ τῆς Ἀριστοτέλους σοφίας κατά τῶν ἡμετέρων λόγων προεχειρίσατο παραγαγεῖν εἰς μέσον καί διασκέψασθαι˙ τάχα γάρ ἄν καί αὕτη τῶν τερεττισμάτων φανείη, ὅ τάς πλατωνικάς ἰδέας ὁ Ἀριστοτέλης αὐτός τά ἐκείνου παιδεύματα ἐπισκώπτων ὠνόμασεν. Εἰ δέ τῶν ἐν ταύτῃ τι χρήσιμον ἡμῖν, θαυμαστόν οὐδέν˙ καί παρά τῶν ὄφεων γάρ ἔστι τι χρηστόν φάρμακον ἡμῖν, ἀλλ᾽ ἀνελοῦσι καί διελοῦσι καί συσκευασμένοις καί χρησαμένοις σύν λόγῳ κατά τῶν ἐκείνων δηγμάτων. Πρός μέν οὖν Πλάτωνα καί τήν κατ᾽ ἐκεῖνον ἀπόδειξιν Ἀροστοτέλης ἡμῖν ἀρκέσει˙ καί γάρ φησιν˙ εἰ τό καθόλου πρό τῶν πολλῶν, ὡς ὁ Πλάτων ἔλεγεν, ἀπόδειξις (σελ. 558) λοιπόν οὐ κ ἔσται, οὐδέ γάρ δυνατόν κατηγορεῖσθαι τῶν πολλῶν τό ἑνιαίως ὑφεστώς καί ταῦτα πρό τῶν

ἄλλων πάντων, κατηγορουμένου δέ χωρίς ἀπόδειξις οὐκ ἔστιν˙ ἀλλ᾽ οὐδέ μέσος ἔσται ὅρος, ὑποκείσεται γάρ τῷ πρό τῶν ἄλλων, ἀλλά τοῦτ᾽ ἀδύνατον, μέσου δέ χωρίς ἀπόδειξις οὐκ ἔσται.

Πλάτωνι μέν οὖν ἀντιστήσωμεν κἀκείνου παιδεύματα, ἑκουσίως ἀντιτεταγμένον, τῷ δ᾽ Ἀριστοτέλει τά οἰκεῖα, τόν φιλόσοφον δηλαδή τοῦτον, εἰ καί μή ἑκόντα εἶναι. Πρῶτον δ᾽ ἴδωμεν πῶς αὐτός τούς ἡμῶν περί τῶν θείων λόγους μηδαμῶς εἶναι ἀπόδειξιν ἀποδεικνύειν οἴεται, καί πρῶτον τό πρῶτον, ὡς τῶν ἄλλων κράτιστον καί οἷον ἀνυπόστατόν τε καί ἄμαχον προβεβλημένον ἀνέδην καί τῇ σφοδρᾷ φορᾷ καθάπερ ροῖζον ἔχον ὑπηχοῦντα τήν λοιδορίαν˙ «ὅπερ τοῖς γεωμέρταις ἀρχή καί ἀξίωμα, τοῦθ᾽ ἡμῖν» φησιν «αἱ τῶν πατέρων ἀποφάνσεις˙ οὐδεμίαν ἄρα χρή ἐκ συλλογισμοῦ λαβεῖν», ὥσπερ οὐδ᾽ οἱ γεωμέτραι τάς τῆς οἰκείας ἕξεως ἀρχάς˙ «ὁ δέ τοῦτο ποιῶν ἀμαθής καί ἀπαίδευτος». Εὖγε, ὁ πεπαιδευμένος οὐ καί αὖθις ἐξυβρίζων τῇ περιουσίᾳ τῆς παιδείας. Ἀλλ᾽ ἐπειδήπερ ὡς γεωμετρικάς ἀρχάς καί κατά σέ τάς τῶν πατέρων ἀποφάνσεις ἔχομεν, τό ἐκ τούτων συναγόμενον ἀπόδειξίς ἐστιν ἡμῖν, ὥσπερ καί τό ἐκ γεωμετρικῶν ἀρχῶν τοῖς γεωμέτραις.

Ποῦ δή ἐκεῖνο ὡς ἐπί τῶν θείων ἀπόδειξιν οὐκ ἔνι λέγειν οὐδαμῶς ὑπέρ οὗ σοι πᾶς ὁ λόγος; Ἀλλ᾽ ὁ μή ἐκ τούτων τῶν ἀρχῶν συλλογισμός γινόμενος οὐ θεολογικός, ὥσπερ οὐδέ γεωμετρικός ὁ μή ἐκ γεωμετρικῶν ἀρχῶν. Οὐκοῦν θεολογικός συλλογισμός διαλεκτικός οὐδέποτε, ὥσπερ οὐδέ γεωμετρικός˙ ὁρᾷς πῶς ἔλαθες συνηγορῶν ἡμῖν; Τῆς γάρ σῆς προθέσεως ἅπαν τοὐναντίον ἐξ αὐτῶν τῶν σῶν ὑπέρ αὐτῆς ταύτης τῆς προθέσεως ἐκβαῖνον ἀποδέδεικται (σελ. 560) λόγων˙ οὕτω πᾶν τό μή τῇ ἀληθείᾳ συμβαῖνον καί ἑαυτῷ ἀνακόλουθον. Ἀλλά γεωμετρικάς μέν ἀρχάς δείξομεν ἐξ οὐ γεωμετρικῶν ἀρχῶν, τάς δέ θεολογικάς ἐξ οὐ θεολογικῶν, οὔ; Καί γάρ τούτων ἐκτός οὐδέν ἀξιόπιστον περί Θεοῦ τῷ πληρώματι τῆς ἐκκλησίας κρίνεται, καί εἰσέρχεσθαι δεῖ πρός ταύτην διά τῆς αὐλῆς, τουτέστι τῆς Γραφῆς˙ ἐκ τῶν ὁμοίων ἄρα καί αὐτάς δείξομεν πιστάς, καί αὐτοῖς τοῖς ἀντιλέγουσιν αἱρετικοῖς εἰκότως, ὅτι ὁ μέν περί γεωμετρικῶν ἀρχῶν ζητῶν τοῖς γεωμέτραις ἀπιστεῖ, οἱ δέ περί θεολογικῶν, καί μάλιστα πρός οὕς ἡμῖν ὁ λόγος, πιστεύειν μέν φασι τοῖς μεμαρτυρημένοις θεολόγοις, ἀμφιγνοῦσι δέ τινα τῶν παρ᾽ ἐκείνων εἰρημένων˙ ἄν οὖν ἀπό τῶν φανερῶς αὐτοῖς ἐκπεφασμένων καί τούτοις συνωμολογημένων ἀκολούθως τό ζητούμενον

συναγάγωμεν, ἐλύσαμεν τήν ἀμφιστήτησιν καί διά τοῦτο θεολογικῶς καί αἱ ἀρχαί τῆς θεολογίας δείκνυνται, εἰ μή ἄρα πρός Ἕλληνας ἡμῖν ὁ λόγος εἴη.

Κἀπί τούτων δέ ἐπ᾽ ὀλίγον τά εἰκότα καταλλήλως αὐτοῖς προχειρισάμενοι, τάς τῶν θαυμάτων ἔπειτα προδείξομεν ἀνάγκας, ἀφ᾽ ὧν ὅ,τι ἄν συμπερανθείη θεολογικῶς ἔσται ἀποδεδειγμένον. Ἅ δή σύ περί τῶν θείων διατελεῖς συλλογιστικῶς δεικνύων, εἰ μέν ἐκ τῶν θεολογικῶν ἀρχῶν, ἀπόδειξις ἄρα τό δειχθέν, ἐκ γάρ ἀποδεικτικῶν καί κατά σέ δέδεικται ἀρχῶν, εἰ δέ μή ἐκ τῶν τοῖς πατράσιν εἰρημένων, οὐδαμόθεν ἕξει τό πιστόν. Ὥστ᾽ οὐχ ὅπως οὐκ ἀποδεικτικῶς δεικνύεις, ἀλλ᾽ οὐδέ διαλεκτικῶς˙ σοφιστικῶς οὖν εἴπερ συλλογιστικῶς˙ οὕτω κατ᾽ αὐτός σαυτοῦ ἠγωνισμένος ἔχεις.

Ἅ δή τοὐντεῦθεν αὐχεῖς σαυτόν ἐξαίρων ταῖς μαγαληγορίαις ὡς τό ἐν λόγοις κράτος ἔχοντα, παρεῖναί μοι δοκῶ. Καί γάρ ὥσπερ ἀνωτέρω τἀναντία τῆς οἰκείας (σελ. 562) θέσεως ἔλαθεν παθών, οὕτω δή κἀνταῦθα ἀποδεικτικώτατον ἅμα καί θεολογικώτατον θέλων δεῖξαι σεαυτόν, τῶν περί τά τοιαῦτ᾽ ἀμυήτων εἷς ἐφάνης˙ τήν τε γάρ ἀντιστροφήν, ἥν ἐξ ἀνάγκης αἱ πλείους προτάσεις ἔχουσι τῶν θεολογικῶν συλλογισμῶν, ἔστιν ὧν ἐξισαζόντων ὅρων διά τό μοναδικώτατον τοῦ προκειμένου, καί αὖθις τῶν ἐν ταῖς ἀποδείξεσιν αἰτίων ὅσα ἅμα, εἰ καί τρόπον ἕτερον, ἀγνοῶν παντάπασιν ἐδείχθης, καί ὅτι τά ἐλάττω τῶν αἰτημάτων οὐκ ἐλάττω, ὅταν μή καί δυνάμει ᾖ ἐλάττω, καί ὅτι οὐχ ἁπλῶς ἡ ἐξ ἐλαττόνων αἰτημάτων ἀπόδειξις φέρεται τό κρεῖττον, ἀλλά βελτίων αὐτῆς ἡ ἐκ πλειόνων, ὅταιν γνωριμωτέρας ἔχῃ τάς προτάσεις. Ταῦτα μέν οὖν καί ὅσα μεταξύ τούτων ἐν οὐ παικτοῖς παίζεις κατά σεαυτοῦ παρήσω˙ κλέψειεν γάρ ἄν οὐδεμίαν, ὡς οἶμαι, ἀκοήν, κἄν κλέψωσιν, οὐδείς μοι λόγος.

Δι᾽ ὅδε τί δόξειας ἄν λέγειν; «Διά μέσου δείκνυσιν ὁ ἀποδεικτικός, καί τούτου αἰτίου˙ πλημμελές δέ λίαν αἴτιον εἶναι οἴεσθαί τι, δι᾽ ὅ τό Πνεῦμα ἐκ μόνου τοῦ Πατρός˙ πῶς οὖν σύ τό φύσει ἐξ αὐτοῦ εἶναι ὡς αἴτιον ἄν θείης»; Οὗτος μέν οὖν ὁ λόγος οὐ τήν ἀπόδειξιν μόνον, ἀλλά καί τούς σούς, ὦ φιλόσοφε, καί πάντας ἁπλῶς τούς τε ὄντας τούς τε ἐσομένους περί Θεοῦ συλλογισμούς ἀσυλλογίστους δείκνυσι καί πλεμμελεῖς˙ χωρίς γάρ μέσου, καί τούτου τοῦ συμπεράσματος αἰτίου, συλλογισμός οὐκ ἔστιν ἀσφαλής˙ ἄν δέ τό μέσον φερωνύμως ἔχῃ μέσον, κατά σέ λίαν ἔσται περί τό θεῖον πλημμελής.

Ἀλλά τοῦτο μέν ἀφῶμεν. Ἐρωτῶ δέ σε τόν μόνον ἀσφαλῆ θεορρήμονα˙ ἐκ Θεοῦ καί ἡμεῖς («τά γάρ πάντα» φησιν «ἐκ Θεοῦ»), ἐκ Θεοῦ καί ὁ μονογενής˙ υἱοί Θεοῦ καί ἡμεῖς («εἶπα γάρ» φησι «θεοί ἐστε καί υἱοί ὑψίστου πάντες») Υἱός Θεοῦ καί ὁ μονογενής˙ ἀλλ᾽ ἡμεῖς μέν ἐκ (σελ. 564) Θεοῦ τε καί υἱοί Θεοῦ Πατρός, Υἱοῦ καί Πνεύματος˙ ἐν γάρ τοῖς τρισί τούτοις ὁ ὕψιστος ἡμῖν ἐγνώσθη˙ καί τοίνυν ἐκ τούτων μέν ἡμεῖς, ὁ δέ Υἱός ἐκ μόνου τοῦ Πατρός˙ ἔστι δή τι αἴτιον δι᾽ ὅ ἡμεῖς μέν ἐκ τῆς τρισυποστάτου θεότητος, ὁ δέ Υἱός ἐκ μόνου τοῦ Πατρός; Εἰ μέν οὐκ ἔστι, καί ἡμεῖς λοιπόν ἀναιτίως ἐκ Θεοῦ, εἰ δέ δι᾽ αἰτίαν, τήν ἀγαθότητα τήν θείαν δι᾽ ἥν ἡ κτίσις καί ἡ ἐν τοῖς κτίσμασι χάρις˙ ταῦτα δέ κοινά Πατρός, Υἱοῦ καί Πνεύματος˙ τό τε γάρ εἶναι καί τό εὖ εἶναι πᾶσιν ἐκ Πατρός δι᾽ Υἱοῦ ἐν ἁγίῳ Πνεύματι˙ εἰ τοίνυν χάριτι Θεοῦ ἡμεῖς ἐκ τοῦ Θεοῦ, τό μή κατά χάριν, ὄν δέ ἐκ τοῦ Θεοῦ ἡμεῖς ἐκ τοῦ θεοῦ, τό μή κατά χάριν, ὄν δέ ἐκ τοῦ Θεοῦ, πῶς ἄλλως γε ἤ φύσει; Τό δέ φύσει τοῦτο οὐδέν ἕτερόν τι δείκνυσιν ἤ τόν Πατέρα μόνον αἴτιον τῶν ἀχρόνως ἐξ αὐτοῦ προβαλλομένων˙ πῶς οὖν τοῦτο λέγειν πλημμελές; Ἀλλ᾽ εἰ καί τό φύσει τοῦτο αἴτιόν τις εἴποι, οὐδέ τοῦτο πλημμελές˙ τῷ τε γάρ Πατρί συναπτόμενον, ἐκεῖνον αὐτόν δείκνυσι τό αἴτιον, τῷ τε Υἱῷ καί τῷ ἁγίῳ Πνεύματι, ταῦτ᾽ αὐτά αἰτιατά˙ οἷον “διατί ὁ Πατήρ, Πατήρ κυρίως τοῦ Υἱοῦ; διότι φύσει ἐστί Πατήρ ἐκείνου”. Ἐπί τοῦ Υἱοῦ καί τοῦ Πνεύματος ὁμοίως.

Ἔπειτα οὐδ᾽ ὁ τρόπος τῆς ὑπάρξεως, ἀλλ᾽ ὁ τῆς οἰκειότητος ἐντεῦθεν δεικνύμενός ἐστιν. Οὔκουν πλημελές ἐνταῦθ᾽ αἴτιον «τό τήν οἰκειότητα δηλοῦν» εἰπεῖν, «τοῦ τρόπου τῆς ὑπάρξεως ἀρρήτου φυλαττομένου», καθάπερ καί ὁ μέγας Βασίλειος πρός Σεραπίωνα τόν θεῖον γράφει, διευκρινῶν αὐτῷ πῶς ἐκ Θεοῦ λέγεται τό Πνεῦμα τό ἅγιον˙ οὕτω τοῖς ἐν Πνεύματι λαλοῦσι περί Πνεύματος ἀκριβῶς ὁμολογεῖ τά ἡμέτερα. Ταύτῃ μέν οὖν ταῦτ᾽ ἐχέτω.

Περί δέ ἁφῆς καί ἐπιστήμης, ὅπως ἐπί τῶν θείων γίνεται, εἰρήκαμεν ἀρχόμενοι˙ τοῦ δέ μεγάλου Διονυσίου καταψεύδεται σαφῶς λέγων αὐτόν λέγειν «μηδέ τῇ σκιᾷ τῆς τοῦ Θεοῦ σκιᾶς ἐντυχεῖν» (σελ. 566) ἐντυχεῖν τούς θεόπτας τῶν πατέρων, τούτοις τε κἀκείνῳ οἷά τις ψευδομάρτυς ἀναιδῶς ἐπανιστάμενος καί δι᾽ ἐκείνων πολεμῶν ἡμῖν, μᾶλλον δ᾽ ἵν᾽ ἀληθέστερον εἴπων, σύν ἐκείνοις˙ αὐτός γάρ ὁ μέγας Διονύσιος καί τό πῦρ καί τόν ἀέρα καί τό ὕδωρ καί τήν γῆν ἐμφανεῖς τύπους ἔχειν λέγει τῆς θεαρχικῆς ἰδιότητος, καί ὁ μέν μείζων τῶν μεγάλων τούτων Παῦλος «τά ἀόρατά» φησι «τοῦ Θεοῦ,

ἀπό κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενα καθορᾶται, ἥ τε ἀΐδιος αὐτοῦ δύναμις καί θειότης». Εἰ δέ μή χαρακτῆρά τινα τοῦθ᾽ ἐκεῖθεν ἴσχει, πῶς ἄν ὁρῷτο τοῖς ποιήμασιν ἐκεῖνα; Καί αὐτά μέν οὖν τά τῶν κτισμάτων ἄψυχα ἐμφανεῖς τύπους ἔχει τοῦ Θεοῦ˙ τῶν δ᾽ ἐν αὐτοῖς λογικήν ψυχήν νοεράν ἐχόντων οἱ τούς ὁμοφυεῖς πάντας τῇ θεωρίᾳ ὑπερακοντίσαντες οὐδέ ‘σκιάν σκιᾶς’ ἔχουσι Θεοῦ;

Καί ὁ μέν νόμος σκιάν εἶχε τῶν μελλόντων ἀγαθῶν, ὅτε δ᾽ ἡ χάρις ἐπέφανε καί ἡ ἀλήθεια ἦλθε, τῶν εὐδοκιμησάντων κατ᾽ αὐτήν ἡ θεοπτία οὐδέ σκιά σκιᾶς ἐστι; Καί ὁ μέν ἀπόστολος κοινῇ πᾶσιν «ἤ οὐκ ἐπιγινώσκετέ» φησιν «ὅτι Χριστός οἰκεῖ ἐν ὑμῖν, εἰ μή τι ἄρα ἀδόκιμοί ἐστε;», σύ δέ φῄς ὡς οἱ τῇ θεωρίᾳ ὑπεραναβεβηκότες οὐδέ σκιᾷ σκιᾶς ἐντυχάνουσι; Καί τό μέν Πνεῦμα τοῦ Θεοῦ κράζει ἐν ταῖς καρδίαις τῶν διά καθαρότητα ἠξιωμένων «ἀββᾶ ὁ Πατήρ», σύ δέ ταύτην τήν «ἐπίγνωσιν» καί τήν ἐνοίκησιν καί τήν οἰκείωσιν οὐδέ γοῦν σκιάν σκιᾶς εἶναι δίδως; Καί ὁ μέν Κύριος μακαρίζει τούς καθαρούς τῇ καρδίᾳ ὡς τόν Θεόν ὀψομένους˙ πότε; ὅτε καί ἡ κάθαρσις. Καί αὐτός περί ἑαυτοῦ φησιν ὅτι «ἐγώ ἐμφανίσω αὐτῷ ἐμαυτόν», καί αὖθις «ὁ ἀγαπῶν με τάς ἐντολάς μου πληρώσει, καί ἐγώ καί ὁ Πατήρ ἐλευσόμεθα καί μονήν παρ᾽ αὐτῷ (σελ. 568) ποιήσομεν». Τοιαῦτα μέν οὖν τοσαῦτα καί πλείω τούτων ἡ τῶν λογίων φησίν ἀλήθεια, σύ δ᾽ οὐδέ σκιάν σκιᾶς ἔχειν οἴει τούς καί τάς νοεράς ἐνεργείας ὑπεραναβεβηκότας καί ταῖς παμφαέσιν ἑνωθέντας ἀκτῖσι, καίτοι τό μή σκιάν σκιᾶς ἔχον τοῦ Θεοῦ, οὐδέ θεῖον εἶναι δύναται; Πῶς οὖν οὐ τοιοῦτοι οἵ γε θεοειδεῖς καί μή γνόντες μόνον, ἀλλά καί παθόντες τά θεῖα;

Καί τί λέγω ὡς οὐδέ θεῖον τό μηδέ σκιάν σκιᾶς ἔχον τοῦ Θεοῦ; Καί γάρ οὐδ᾽ ἐν τοῖς οὖσιν ὅλως εἶναι δυνατόν˙ ἔστι γάρ ὄν οὐδέν ὅ τῆς τοῦ καλοῦ παντάπασι μετουσίας ἐστέρηται˙ τό δέ μηδέ σκιάν σκιᾶς ἔχον, πῶς οὐκ ἄν τ᾽ ἀγαθοῦ παντάπασιν ἐστερημένον εἴη; Τί οὖν; Ὁ μέν καί τῆς χειρίστης ἐφιέμενος ζωῆς, ἐμπαθοῦς τε ὁρμῆς, ἀπερισκέπτου τε καί προσύλου προσπαθείας ἀνάπλεως, κατ᾽ αὐτόν τόν ὑπό τῆς σῆς φιλοσοφίας συκοφαντούμενον, μετέχει τ᾽ ἀγαθοῦ κατ᾽ ἀμυδρόν ἀπήχημα, οἱ δέ τῆς ἀρίστης πολιτείας μή μόνον ἐπιθυμήσαντες, ἀλλά καί εὐμοιρήσαντες καί πρός τήν ἀπαθῆ θεωρίαν ἀναδραμόντες διά τῆς πρός τό ὄντως ἀγαθόν ὁλικῆς ἀνατάσεως, οὐδέ σκιάν σκιᾶς ἔχουσι τοῦ ἀγαθοῦ;

Καί πᾶς μέν ἄνθρωπος κατ᾽ εἰκόνα ἐστί τοῦ Θεοῦ, ἴσως καί ὁμοίωσιν· οἱ δέ τῷ προσανέχειν διά βίου τῷ Θεῷ τῇ ἀΰλῳ καί ἀπειλικρινημένῃ καί ἀδιαλείπτῳ προσευχῇ καί διά τῆς ἀνεπιστρόφου πρός Θεόν ἀνανεύσεως πρός ἀγγελικήν ἤδη μετασκευασθέντες ἀξίαν οὐδέ σκιάν σκιᾶς ἔχουσι Θεοῦ; Καλῶς ἄρα διά τῆς Ἀποκαλύψεως Ἰωάννης ἀπεκάλυψεν ἡμῖν ὅτι «τά ἐν τῇ ψήφῳ τῇ λευκῇ οὐδείς δύναται γνῶναι, εἰ μή ὁ λαβών· μή ὅτι γάρ οὐ γνῶναι δύναται, ἀλλ᾽ εἰ μή πιστόν ὑπέχει οὖς, οὐδ᾽ εἶναι ὅλως οἴεταί τι, τήν ὄντως οὖσαν θεωρίαν ἀβλεψίαν λογιζόμενος, οὐχ ὡς ὑπέρ αἴσθησιν καί γνῶσιν, οἷόν τινα γνόφον ἱερόν, ἀλλ᾽ ὡς μηδαμῇ οὖσαν μηδαμῶς.

(σελ. 570) Ταῦτα ἄρα καί ὁ φιλόσοφος, ψυχικός ἄντικρυς ὤν καί μή δεχόμενος τά τοῦ Πνεύματος, τούς τε δι᾽ αἰῶνος θεόπτας ἀναπεφηνότας οὐδέ σκιάν γοῦν σκιᾶς ἰδεῖν ἀπεφήνατο Θεοῦ, καί τῶν περιόντων ἔστιν ὧν μαθητής γενόμενος, διά τῆς ψευδωνύμου γνώσεως καί τῆς ἀπεδεδοκιμασμένης σοφίας ὡς μή γνούσης τόν Θεόν ἐπεστράτευσε τοῖς διδασκάλοις. Ἐπεί γάρ πρός αὐτόν ἔλεγον ἐκεῖνοι κατά πατροπαράδοτον ὑφήγησιν τοῖς ἀρχομένοις τόν νοῦν εἰς ἑαυτόν, ἅτε δυσχερῶς ἀπαλλαττόμενον τῶν ἔξω, μηχαναῖς τισιν ἐπιστρέφειν βιάζεσθαι τῶν εἰθισμένων εἶναι καί οὕτω πρός ἑαυτούς βλέπειν καί κατά τόν ἔξω ἄνθρωπον, αὐτός διά τοῦτο κατά τῶν διδασκόντων ἐχώρησεν. Ἀλλά τί λέγω τούς ἄρτι πρός τόν ἀγῶνα τοῦτον ἀποδυσαμένους πρός ἑαυτούς καί κατά τόν ἔξω ἄνθρωπον στρέφειν; Καί τῶν τελεωτέρων γάρ εἰσιν οἵ τούτῳ χρησάμενοι τῷ σχήματι κατά τήν προσευχήν, εὐήκοον τό θεῖον ἔσχον. Καί αὐτός ὁ τήν θεοπτίαν τελεώτατος Ἠλίας, τήν κεφαλήν τοῖς γόνασιν ἐρείσας καί οὕτω τόν νοῦν εἰς ἑαυτόν καί τόν Θεόν φιλοπονώτερον συναγαγών, τόν πολυειδῆ ἐκεῖνον ἔλυσεν αὐχμόν.

Ἀλλ᾽ ἐπεί καί τῷ γεννάδᾳ τούτῳ τόν τοῦ Κάιν τρόμον ὑφισταμένῳ κατά νοῦν, τήν τε ἀναπνοήν μικρόν ἐπέχειν συνεβούλευον οἱ καθ᾽ ἡμᾶς, ὡς καί τήν διάνοιαν πρός βραχύ γοῦν συνεπισχοίη, τόν τε ὀφθαλμόν μή ὧδε κἀκεῖσε περιάγειν, ἀλλ᾽ οἷον ἐρείσματί τινι τῷ οἰκείῳ στήθει ἤ τῷ ὀμφαλῷ τοῦτον προσερείδειν καί τήν δι᾽ ὄψεως ἔξω χεομένην δύναμιν τοῦ νοῦ τῆς καρδίας εἴσω πέμπειν αὖθις διά τοῦ τοιούτου σχήματος τοῦ σώματος (ὡς γάρ τῶν μεγάλων περί ταὐτά τίς φησι «τοῖς ἔξω σχήμασιν εἴωθεν ὁ ἔσω ἄνθρωπος συνεξομοιοῦσθαι μετά τήν παράβασιν»)· ἐπεί ταῦτ᾽ ἐκεῖνοι τούτῳ ὑπετίθεντο, μετά βραχύ λίαν ἀφηνιάσας, οὐ μέχρι τοῦ λειποταξίου ἔστη, ἀλλά καί

πικρός αὐτοῖς ἐπί συνόδου κατέστη κατήγορος, ‘ὀμφαλοψύχους’ (σελ. 572) ὀνομάζων αὐτούς. Τάχα καί τόν εἰπόντα πρός Θεόν «ἡ κοιλία μου ἠχήσει ὡς κιθάρα καί τά ἐντός μου ὡσεί τεῖχος χαλκοῦν ὅ ἐνεκαίνισας» καί τόν εἰπόντα ὡς «ὁ νόμος τοῦ Θεοῦ ἐν μέσῳ τῆς κοιλίας μου» ‘κοιλιοψύχους’ ἄν οὗτος ἤ ‘κοιλιονόμους’ προσαγορεύσειε καί τόν γράφοντα «μνήμη Θεοῦ κολληθήτω τῇ πνοῇ σου» παραπλησίαν ἐπιθείη τήν ἐπωνυμίαν˙ καί διαβαλεῖ πάντας τούς διά σωματικῶν συμβόλων τά νοερά καί θεῖα καί πνευματικά καί τυποῦντας καί ὀνομάζοντας καί ἀνιχνεύοντας. Ἀλλ᾽ ἐκείνους μέν παρά τοῦτο βλάψει γε οὐδέν, αὐτός δέ καί τῶν ἱερῶν παραπετασμάτων ἔξω μενεῖ καί οὐδέ καί πρός τάς σκιάς ἀτενίζειν ἕξει τῆς ἀληθείας.

Καί οὐ δυσχερανεῖς πάντως ταῦτα παρ᾽ ἡμῶν ἀκούων˙ ἐγγυτέρω γάρ σε Θεοῦ ποιοῦμεν ἤ σύ τούς ἡνωμένους Θεῷ˙ τῶν γάρ σκιῶν ἡμεῖς σε ἐκβάλλομεν, σύ δ᾽ ἐκείνους καί τῆς σκιᾶς τῶν σκιῶν. «Ἀλλά νῦν», φησίν, «ἐν ἐσόπτρῳ βλέπομεν» ὁ μέγας Παῦλός φησι. Τί οὖν τό ἔσοπτρον; Οὐδέ σκιάν σκιᾶς ἔχει τήν ἐμφαινομένην, κἄν ἧττον διειδές καί λεῖον ᾖ; Καί πῶς ἄν δεικνύοι τι καί πῶς ἄν ἔσοπτρον εἴη καί πῶς βλέπομεν ἐν αὐτῷ τι μηδέ γοῦν σκιάν σκιᾶς ἔχοντι; Ὅταν δέ καί αὐτός τις ἑαυτόν ἔσοπτρον ἀκραιφνές κατασκευάσῃ Θεοῦ καί τοῦ Θεοῦ τυχόν ἵλεω τοῦτον ἐν ἑαυτῷ ἔχῃ καί τούτῳ νοερῶς ἐντυγχάνῃ, φῶς ὑπέρ φῶς ὑπερφυῶς ἐν φωτί θεώμενος, τόν ὁρῶντα μηδαμῶς ὁρίζον ὀφθαλμόν, πῶς κἄν οὐδέ σκιάν ἔχοι τῆς τοῦ Θεοῦ σκιᾶς; Ὅταν καί νοῦς ᾖ τό ἔσοπτρον, καί νοῦς κεκαθαρμένος καί ἀκηλίδωτος, φύσις ἄϋλος, φῶς συγγενές, εἰ χρή λέγειν, τῷ ἀνωτάτῳ καί πρώτῳ φωτί, πῶς ὑπ᾽ αὐτοῦ τοῦ πρώτου καταλαμπόμενος φωτός οὐκ αὐτό φαίνοιτ᾽ ἄν μέθεξιν ὅ τό ἀρχέτυπον κατ᾽ αἰτίαν ἐστί; (σελ. 574) Πῶς δ᾽ οὐκ δι᾽ ἑαυτοῦ φαίνοι τοῦ κρυφίου κάλλους ἐκείνου τήν ὡραιότητα, καθά καί ὁ προφήτης λέγει ὅτι «ἡ λαμπρότης τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς»; Πῶς δέ τοιοῦτος ὤν τε καί φαινόμενος, εὐωδία Χριστοῦ, τῶν ἀρετῶν αὐτοῦ ἄγγελος, οὐδέ σκιάν σκιᾶς σχοίη τοῦ Θεοῦ; Πόθεν εἰς τούτους τούς ὄντως ἀφωτίστους καί πολυσκίους λόγους ἐλήλυθας, ὦ φιλόσοφε; Τῶν γάρ σκιῶν τούτων πόρρω τά Διονυσίου τοῦ μεγάλου συγγράμματα˙ τοσοῦτο δέ αὐτός μέγα τι χρῆμα δείκνυσιν οἰόμενος τήν τῶν θεοφόρων ἀληθῆ καί μυστικήν ἐποψίαν, ὡς καί τῆς κατά νοῦν αὐτῶν θεωρητικῆς ἀποπληρώσεως ἀπεικονίσματα λέγειν τάς

τῶν ἱερῶν Γραφῶν διεξοδικάς μαθητείας. Πόθεν οὖν τοῦτο προπετῶς φαντασθείς ἐξεῖπεν, ἐροῦμεν ἡμεῖς.

Ἕτερός τις τῶν ἀληθινῶν θεολόγων, τούς θρασεῖς θεολόγους ἐπιστομίζων, σκιάν μέν λέγει τήν ἐμφαινομένην τῷ κόσμῳ τοῦ Θεοῦ γνῶσιν, καί τήν σκιάν ἔχειν ταύτης τῆς σκιᾶς τούς ἐν τοῖς ὁρωμένοις φιλοσοφοῦντας τῷ μηδέ τῆς κτίσεως τήν ἀκριβῆ κατάληψιν ἔχειν. Οὗτος δέ ὁ μή πνευματικός καί τούς πνευματικούς ἀνακρίνων, μή εἰδώς ὅτι διαφέρει θεοπτία θεολογίας, καί τῆς ἀπό ὁρωμένων ἐς τά μάλιστα, μετήνεγκεν ἀπ᾽ ἐκείνης ἐπί ταύτην τῆς σκιᾶς τήν διπλόην, μᾶλλον δέ οὐδέ ταύτην τοῖς τῶν ἀοράτων θεωροῖς συγχωρεῖ˙ τούτους δέ διά τούτων ἀγεράστους δείξας τῶν λόγων, τούς ἔξω σοφούς «οὐκ ἔχει» φησίν, «ὅπως μή θαυμασίους ἡγήσεται, γενναίως», ὡς αὐτός περί αὐτῶν λέγει, «τήν θείαν κατανενοηκότας ὑπεροχήν καί δεὶν ἰσχυριζομένους ἐπί τῶν ὑπέρ ἡμᾶς θέαν ἄνωθεν παραγενέσθαι καί φῶς ἀναλάμψαι νοερόν, δι᾽ οὗ ἐστι τοῖς θείοις συζυγεῖν καί κρεῖττον ἤ κατά ἀπόδειξιν τάς ἁπλᾶς ἔχειν θεωρίας. Ταῦτα δέ ἀκούων λεγόντων, μή δύνασθαί» φησι «μή καί αὐτούς ὑπό Θεοῦ πεφωτίσθαι λέγειν». Τίνα τόν φωτισμόν; Ὅν πάντως ὑφηγοῦνται. Τοῦτο τοίνυν ἄντικρύς (σελ. 576) φησιν, ὡς οὐ δύναται μή θεοσεβεῖς τε καί θεόπτας διαφέροντας τῶν ἄλλων ἡγεῖσθαι καί προσαγορεύειν. Ἀλλ᾽ ὡς μέν τό ὑπ᾽ ἐκείνων φῶς λεγόμενον βαθύ καί δεινόν σκότος ἐστί, καί ἡ ἄνωθεν θέα κάτωθεν καί δαιμόνιος τρανῶς ἐν τῷ προτέρῳ πρός αὐτόν ἀποδέδεικται λόγῳ, καί τήν προσευχήν ἥν διδόται τῷ Θεῷ καί ταύτην εἰς μέσον παραγαγόντες ἄθεον γνώμην ἀπεδείξαμεν οὖσαν˙ οὐ χεῖρον δ᾽ ἴσως κἀνταῦθα φάναι βραχύ τι περί αὐτῆς τοῖς προτέροις ἐκείνοις σύμφωνον καί ὁμόλογον.

Ὁ μέν οὖν Δαυίδ εἶπεν ὅτι «θεοί οἵ τόν οὐρανόν καί τήν γῆν οὐκ ἐποίησαν ἀπολέσθωσαν»˙ ἐγώ δ᾽ ἄν φαίην προσθείς ὡς συναπόλοιτο τοῖς θεοῖς τούτοις ὑπεροχή Θεοῦ, ἡ μηδέ τῆς ἀνειδέου κατ᾽ ἐκείνους ὕλης προτέρα μηδ᾽ ἐκ μή ὄντων προαγαγοῦσα τά ὄντα μηδέ τῶν ἐν ἡμῖν ὁπωσδηποτοῦν φαινομένων ἀσυγκρίτως ὑπερανέχουσα μηδέ τῇδε καί καθ᾽ ἡμᾶς πρόνοιαν ποιουμένη. Ταῦτα γάρ τά δόγματα Σωκράτους καί Ἀριστοτέλους καί Πλάτωνος, οὕς οὗτος ὁ μαθητής ἐκείνων ὡς τήν θείαν ὑπεροχήν κατανενοηκότας ἐθαύμασεν. Ὁ δέ Πυθαγόρας ἐν τοῖς ἀχρήστοις πλέον ἤ χρυσοῖς ἔπεσι ποιοῦτό φησιν εἶναι διηνεκῶς τό θεῖον, οἷος γένοιτ᾽ ἄν ποτ᾽ ἄνθρωπος σχολάσας˙ οὕτω κατενόησε τήν ὑπεροχήν τοῦ Θεοῦ. Καί μη εἰ καί τήν ὑπεροχήν

κατανενοηκότες ἦσαν, οὐδ᾽ οὕτως ἄν ἦσαν πεφωτισμένοι˙ καί γάρ οὐχ ὡς Θεόν ἐδόξασαν ὅν ὡς Θεόν κατενόησαν, εἴ γε καί κατενόησαν˙ καί οἱ δαίμονες γάρ Θεόν ὕψιστον ἴσασι τόν Χριστόν, ὡς τό πνεῦμα τοῦ Πύθωνος ἔλεγε περί Σίλα καί Παύλου, «οὗτοι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν», ἀλλ᾽ οὐ διά τοῦτο πεφωτισμένους ὑπό Θεοῦ ἐροῦμεν τούς δαίμονας, καίτοι τοῦ ὑψίστου ὑψηλότερον οὐδέν οὐδ᾽ ἴσον.

Τοῦ δέ ὑπέρ ἀπόδειξιν, ὅπερ Ἑλλήνων οἱ σοφοί καί ὁ τούτοις ἑπόμενος οὗτος οἴονταί τι μέγα, τά τε φύσει (σελ. 578) νοητά πάντα καί τῶν μή φύσει νοητῶν, ὑφ᾽ ἡμῶν δέ καί τῆς ἡμετέρας διανοίας γενομένων, ὑπερανέχει πολλά, καθάπερ καί πρότερον ἐδείξαμεν˙ εἰ δέ καί ἡ κατ᾽ ἐκείνους ἀπόδειξις τῶν μηδαμῇ μηδαμῶς ὄντων ἐξελεγχθείη, καί τό ὑπέρ ἀπόδειξιν τοῦτο τήν κυνῆν πάντως Ἅδου περιβαλόμενον οἰχήσεται. Τί οὖν τό τέλος τῆς ἀποδείξεως; Ἡ τῆς ἀλθείας εὕρεσις. Τί τό μέσον; Τό αἴτιον ὅ οὕτως ἔχει καί οὐκ ἄλλως. Τίς ἡ ἀρχή; Κοιναί ἔννοιαι καί ἀξιώματα τά φύσει γνώριμα καί πᾶσιν ἀνωμολογημένα.

Ἀρξώμεθα δή ἀπό τῆς ἀρχῆς. Οὐδέν εὑρίσκεται πᾶσιν συνωμολογημένον τε καί ἀνωμολογημένον˙ εἰσί δ᾽ ἐφεκτικοί τινες οἵ καί κοινῇ πᾶσιν ἀντιλέγουσι. Καί μήν ἐκ μηδαμῇ μηδαμῶς γίνεσθαί τι κοινῇ πᾶσιν ἔννοια τῷ Ἀριστοτέλει δέδοκται καί τό ὑλικόν αἴτιον ἀεί τοῦ εἰδικοῦ προεῖναι καί πλεῖσθ᾽ ἕτερα τοιαῦτα τοῦτον ἔχοντα τόν τρόπον˙ ἀλλ᾽ ἡμῖν οὐ συνδοκεῖ˙ πᾶν δέ τοὐναντίον περί αὐτῶν δοξάζομεν σοφοί τε καί ἰδιῶται, γεγενῆσθαι μέν γάρ ἐκ μή ὄντων ἅπανθ᾽ ὑπό τοῦ Θεοῦ, προϋποστῆναι δέ τό φῶς ἀστέρων, εἶδος ὄν αὐτῶν. Εἰ τοίνυν τά μή πᾶσι συνομολογούμενα μηδέ φύσει γνώριμα, πᾶσι δέ συνομολογούμενον οὐδέν, κατά σέ τε καί ἐκείνους οὐδέν τῇ φύσει γνώριμον˙ τῶν δέ φύσει γνωρίμων ὑμᾶς ἐπιλιπόντων συνεπιλείψει πάντως καί ἡ ἀπόδειξις˙ πᾶσαν γάρ ἀποδεικτικήν ἀρχήν καί πρότασιν φύσει γνώριμον εἶναι δεῖν καί αὐτός ἐν τοῖς πρός ἡμᾶς σου γράμμασι διαγορεύεις.

Ἀρξώμεθα δή ἀπό τῆς ἀρχῆς. Οὐδέν εὑρίσκεται πᾶσιν συνωμολογημένον τε καί ἀνωμολογημένον˙ εἰσί δ᾽ ἐφεκτικοί τινες οἵ καί κοινῇ πᾶσιν ἀντιλέγουσι. Καί μήν ἐκ μηδαμῇ μηδαμῶς γίνεσθαί τι κοινῇ πᾶσιν ἔννοια τῷ Ἀριστοτέλει δέδοκται καί τό ὑλικόν αἴτιον ἀεί τοῦ εἰδικοῦ προεῖναι καί πλεῖσθ᾽ ἕτερα τοιαῦτα τοῦτον ἔχοντα τόν τρόπον˙ ἀλλ᾽ ἡμῖν οὐ συνδοκεῖ˙ πᾶν δέ τοὐναντίον περί αὐτῶν δοξάζομεν σοφοί τε καί ἰδιῶται, γεγενῆσθαι μέν γάρ ἐκ μή ὄντων

ἅπανθ᾽ ὑπό τοῦ Θεοῦ, προϋποστῆναι δέ τό φῶς ἀστέρων, εἶδος ὄν αὐτῶν. Εἰ τοίνυν τά μή πᾶσι συνομολογούμενα μηδέ φύσει γνώριμα, πᾶσι δέ συνομολογούμενον οὐδέν, κατά σέ τε καί ἐκείνους οὐδέν τῇ φύσει γνώριμον˙ τῶν δέ φύσει γνωρίμων ὑμᾶς ἐπιλιπόντων συνεπιλείψει πάντως καί ἡ ἀπόδειξις˙ πᾶσαν γάρ ἀποδεικτικήν ἀρχήν καί πρότασιν φύσει γνώριμον εἶναι δεῖν καί αὐτός ἐν τοῖς πρός ἡμᾶς σου γράμμασι διαγορεύεις.

Ἔτι, τό ἀναγκαῖον δεῖ ἔχειν τάς προτάσεις, ἐπεί καί ἡ κυρίως ἀπόδειξις κατ᾽ Ἀριστοτέλην ἐπί τῶν ἀναγκαίων τε καί ἀϊδίων, τουτέστι τῶν ἀεί ὄντων, ἅ δή κἀκ τῶν ἀεί ὄντων λαμβάνουσι τάς ἀποδείξεις˙ τοιαῦτα γάρ τά ὄντως ἀναγκαῖα˙ τό δ᾽ ἀεί ὄν ἄναρχόν ἐστι (σελ. 580) καί ἀτελεύτητον˙ ὅ γάρ ἦν τότε οὐκ ἦν καί ἔσται ὅτι οὐκ ἔσται, πῶς ἀεί ὄν; πῶς δ᾽ ἀναγκαῖον εἶναι; Τοιοῦτον δέ τῶν ὄντων καί κτιστῶν οὐδέν. Οὐδέ ἀπόδειξις ἄρ᾽ ἐπ᾽ οὐδενός ἐστιν, ἐπεί καί Ἀριστοτέλης ἐπί λέξεως φησι, «τῶν φθαρτῶν ἀπόδειξις οὐκ ἔστι», καί τό συμπέρασμα τῆς ἀποδείξεως δεῖ εἶναι ἄφθαρτον καί ἀΐδιον.

Ἔτι, ἐπεί τῆς ἀμέσου καί πρώτης προτάσεως οὐδέν ἀρχοειδέστερον, πόθεν αὐτῆς ἔχει τήν ἐπιστήμην ὁ ἀποδεικτικός; Οὐκ ἀπό τῆς ἐμπειρίας; παντί που δῆλον. Ἀλλ᾽ ἡ πεῖρα σφαλερά. Εἰ τοίνυν κρείττων ἀποδείξεως ἐπιστήμη, καί γάρ ἡ τῶν ἀρχῶν κρείττων, σφαλερά δ᾽ αὕτη, πῶς ἡ ἀπόδειξις οὐ σφαλερά; Μᾶλλον δέ πῶς ἀπόδειξις ἥν ὑμεῖς ἀπόδειξίν φατε; Εἰ γάρ ἡ κατ᾽ Ἀριστοτέλην ἀπόδειξις ὑπόληψις βεβαία, ταύτης δέ τυχεῖν ἀμήχανον, ἡ κατ᾽ Ἀριστοτέλην ἄρ᾽ ἀπόδειξις οὐκ ἐν τοῖς οὖσιν.

Ἔτι, τά καθόλου, ἅ εἰσιν ἀρχαί τῆς ἀποδείξεως, δι᾽ ἐπαγωγῆς ἔχουσι τήν πίστιν˙ ἐπαγωγή δέ ἐστιν ἐν τῷ πάντα τά μερικά ἐπαγαγεῖν καί μηδέν ἀφεῖναι˙ τά δέ μερικά ἀδιεξίτητα˙ τῶν ἀδυνάτων ἄρ᾽ ἐπαγωγήν γενέσθαι καί τά καθόλου ἄρα ἄπιστα καί ἀνεπίστητα καί ὅτι γε καθόλου. Καί οὐ μόνον οὐκ ἐπιστάμεθα αὐτά κρεῖττον ἤ κατά ἀπόδειξιν, ἀλλ᾽ οὐδέ δόξαν βεβαίαν ἔχομεν περί αὐτῶν˙ ἐκ δέ τῶν τοιούτων ἀρχῶν πῶς ἄν γένοιτο ἀπόδειξις, ἥτις ἐστίν ὑπόληψις ἀμετάπειστος;

Φέρε δή προθῶμέν τινα τῶν τοῖς φιλοσόφοις οὕτω πως συναγομένων καί ἀποδεικνυμένων. Ὁ ἥλιος ἀεικίνητος, ἡ γάρ κύκλῳ τῶν οὐρανίων σωμάτων κίνησις συνεχής καί ἀδιάκοπος. Ὁ ἥλιος ὑπό τῆς οὐρανίου περιφορᾶς ἀπ᾽ ἀνατολῶν ἐπί δυσμάς ἀεί φέρεται, καί γάρ ταύτῃ συμπεριφέρεται. Ὁ ἥλιος ἐν τῷ ὑπέρ ἡμᾶς ἡμισφαιρίῳ

φερόμενος (σελ. 582) αἰθρίας οὔσης, εἰ ἐλλιπής τόν κύκλον φαίνοιτο, τό τῆς σελήνης ὑποτρέχον ἔχει σῶμα κατά κάθετον οὔσης˙ καί γάρ ὑπ᾽ ἄλλου σώματος αἰθρίας οὔσης οὐδέ ποτε διατειχίζεται. Ταῦτα καί περί σελήνης μικρόν ὑπαλλάξαντες ἐροῦσιν. "Ἀλλά πόθεν τοῦτο τό ἀεί ἐπίστασθε καί τό καθόλου;" Πρός αὐτούς ἡμεῖς ἐροῦμεν. "Ἐξ ἐπαγωγῆς" φησιν "ἡ γνῶσις αὕτη ταῖς ψυχαῖς ἐντεθησαυρισμένη, τῶν ἀποδείξεων γίνεται ἀρχή". "Πῶς ἐξ ἐπαγωγῆς, σαφέστερον εἰπέ". "Εἶδον" φησι "τήν τοῦ ἡλίου ἔκλειψιν ἐν συνόδῳ γενομένην καί τήν μετ᾽ ἐκείνην καί μάλα ἄλλην καί ἄλλην, καί διά τῆς ἐν ἐμοί δυνάμεως, ἥτις ἀεί πέφυκε τά ὅμοια ἐπισυνάπτειν, τήν καθόλου γνῶσιν ἔλαβον˙ πάλιν ἐκ τῆς όσημέραι συνεχοῦς τοῦ οὐρανοῦ κινήσεως, ἐκ πολλῶν τῶν αἰσθημάτων τό καθόλου μοι συνῆκται".

Τί οὖν, ὦ φιλόσοφε; καί τῶν πρό τοῦ γεννηθῆναί σε ἡμερῶν καί περιόδων καί ἐκλείψεων γεγενημένων ᾔσθου καί τῶν μετά σέ γενησομένων ἁπασῶν; Πάντως οὐ˙ πλείους δέ τίνες, ὧν ᾔσθου ἤ ὧν οὔπω; Πάντως οὐδ᾽ ἀριθμῷ περιλαβεῖν ἐστι τό πλεονάζον τῆς ἀναισθησίας. Πῶς οὖν ἐπισυνῆψας τό καθόλου ἐξ ἐπαγωγῆς, μή πάντα συμπεριλαβών τά μερικά; Λόγος γάρ οὗτος ὑμέτερος καί ἀληθής ὡς, εἰ μέλλει τις τήν δι᾽ ἐπαγωγῆς γνῶσιν ἀκριβῆ λαβεῖν, πάντων ἐπαφήν σχεῖν τῶν μερικῶν ἀνάγκη τῷ ἐν ἡμῖν πρός ἕκαστον καταλλήλῳ κριτηρίῳ, καί τῶν μέν ἀκουστῶν ἀκοῦσαι ἕκαστον, τά δέ ὁρατά ἰδεῖν. Σύ δέ τάς πλείστας μή ἑωρακώς ἡμέρας καί περιόδους καί ἐκλείψεις, περί πασῶν ἀποφαινόμενος, οἴει κρεῖττον ἤ κατά ἀπόδειξιν ἐπίστασθαι καί, διά τῆς ἐπιστήμης ταύτης ἐπί τήν ἀπόδειξιν ἐρχόμενος, ὑπόληψιν ἀληθῆ τε καί βεβαίαν ἔχειν τήν λίαν οὖσαν ψευδῆ καί σφαλεράν;

Διεκόπη μέν γάρ ἐπί Ἰησοῦ τοῦ Ναυῆ ἡ συνεχής ἡλίου κίνησις, ἐπί τοῦ Ἐζεκίου δέ εἰς τοὔμπαλιν ἐχώρησε (σελ. 584) καί τήν ἐντεθησαυρισμένην τοῦ καθόλου γνῶσιν ἐξεφόρησέ σου τῆς ψυχῆς. Τό δέ τήν Αἴγυπτον κολάσαν σκότος τί, καί ταῦτα πολυήμερον; Ἆρ᾽ ἔστι τρεῖς ἐφεξῆς ἡμέρας συνελθεῖν ἡλίῳ τήν σελήνην; Ἡ δ᾽ ἐπί τοῦ σωτηρίου πάθους τοῦ Κυρίου ἔκλειψις γεγενημένη, οὐ τεσσαρεσκαιδεκαταίας οὔσης τῆς σελήνης γέγονεν, ἡνίκα τῷ ἡλίῳ τήν σελήνην καί κάθετον εἶναι τῶν πάντη ἀδυνάτων ἦν; Ἵνα δέ σοι καί περί μελλόντων εἴπωμεν, πῶς πεσοῦνται τά ἄστρα τοῦ οὐρανοῦ, εἰ ἀδιάκοπος ἡ κύκλῳ κίνησις; Πῶς ὁ οὐρανός ὡς βίβλος είλιθήσεται;

Πῶς εἰς αἷμα τοῦ ἡλίου μεταστρεφομένου ἡ σελήνη οὐ δώσει τό φέγγος αὐτῆς; Εἶδες ἔκλειψιν σελήνην ἄνευ διαφράξεως τῆς γῆς;

Εἰ γοῦν ἐπισυνηγμένον μέν τό καθόλου ἀπό τῶν περί γένεσιν ἀρχή τέχνης γίνεται, τῶν δ᾿ ἀεί ὡσαύτως ἐχόντων ἀρχή τῆς ἀποδείξεως καί ἐπιστήμη ἀποδεικτική ἐκ ταύτης, ἀεί δ᾿ ὡσαύτως ἔχον τῶν ὄντων οὐδέν, οὐ γάρ ἀδιάκοπον, καί ἡ ἀρχή ἄρα τῆς ἀποδείξεως οὐκ ἔστι˙ τῆς ἀρχῆς δέ μή οὔσης καί τό τέλος οἴχεται. Τῆς οὖν ἀριστοτελικῆς ἀποδείξεως μή ὄν φανείσης, πῶς ὑπέρ αὐτήν λέγοντες τό θεῖον συμνυνοῦμεν; Ἀλλ᾿ Ἀριστοτέλης οὐ πιστεύει τοῖς περί τῶν οὐρανίων γεγραμμένοις, γεγενημένοις τε καί μέλλουσιν; Ἀλλά σύ πιστεύειν φῄς˙ πίστιν δ᾿ ὅμως κἀκεῖνος τίνα ἄν παράσχοι, ἐφ᾿ ὧν γεγενημένων οὔπω ἦν γεγεννημένος; Ἡμεῖς οὖν τοῖς ἑωρακόσι πιστεύοντες τά ἐκείνου καταργοῦμεν. Τίνα δέ τήν ἀλήθειαν Ἀριστοτέλης δι᾿ ὀργάνου τῆς ἀποδείξεως ἐξεῦρε καί πῶς τοῦ μέσου καί αἰτίου κατατυγχάνει, τουτέστιν οὐδαμῶς, ἐνῆν μέν εἰπεῖν, παρεῖναι δέ μοι νῦν δοκῶ. Τοῦ δέ φιλοσόφου βοηθεῖν ἐπιχειρήσαντος τῷ διδασκάλῳ καί ταῦτα προσεροῦμεν˙ ἕν δέ προσειπόντες ἐπί πολλά τόν λόγον ὡρμημένον στήσομεν.

(σελ. 586) «Ἡ ἀπόδειξις», φησίν, «οὐκ ἀντιλέγεται, καί τό ἀντιλεγόμενον ἀπόδειξις οὐκ ἔστιν». Ἐπεί τοίνυν ἀντιλέγουσι τοῖς ἡμετέροις οἱ κακόδοξοι, τῶν ἀδυνάτων ἀπόδειξιν εἶναι τά ἡμέτερα. Τί οὖν; οὐ «λόγῳ παλαίει πᾶς λόγος», δηλαδή καί ἀντιπαλαίεται, λόγος δέ ἡ ἀπόδειξις; Σύ τοίνυν τήν σήν ἥν φῄς ἀπόδειξιν ἤ ἀλογίαν εἶναι δέξαι ἤ λόγον καί μή ἀπόδειξιν˙ καί γάρ πᾶς λόγος ἀντιλέγεται. Τό μή ὄν οὐκοῦν τοῖς οὖσι μή παράβαλλε, τῇ καθ᾿ ἡμᾶς ἐπί τῶν θείων ἐκ τῶν τῆς ἀληθείας λογίων ἀποδείξει τήν κατ᾿ Ἀριστοτέλην ἀπόδειξιν καί τό ὑπέρ αὐτήν.

## Γ' ΠΡΟΣ ΑΚΙΝΔΥΝΟΝ (Σελ. 588)

Τό διθεΐτας ἡμᾶς τόν κακόφρονα Βαρλαάμ λέγειν σύντομός ἐστιν ἀπόδειξις τῆς ἡμῶν εὐσεβείας καί τῆς ἐκείνου κακοδοξίας, ἐπεί καί ὁ μέγας Βασίλειος τριθεΐτης ἤκουσε παρά τῶν βλασφημούντων εἰς τόν Υἱόν καί τό Πνεῦμα τό ἅγιον. Ἆρ᾿ οὖν οὐ μέγα τοῦτο δεῖγμα τῆς ἀσφαλοῦς τοῦ μεγάλου θεολογίας ὅτι τρία ταῖς ὑποστάσεσειν ἔλεγε τόν ἕνα Θεόν; Τί δ᾿ ἄν εἴη μεῖζον τῆς κακοδοξίας τεκμήριον τῶν διά τοῦτο ἐκεῖνον τριθεΐτην λεγόντων; Ἐπί δέ τόν τῆς θεολογίας

ἐπώνυμον Γρηγόριον οἱ τῆς Ἀπολιναρίου συμμορίας καί λίθους ἔβαλον καί πρός τό δικαστήριον εἷλκον διθεΐτην ἀποκαλοῦντες αὐτόν, ὡς τέλειον καί κατ᾽ ἄμφω φρονοῦντα τόν θεάνθρωπον λόγον. Μαξίμου δέ τοῦ τά θεῖα σοφοῦ καί τήν χεῖρα καί τήν γλῶτταν οἱ κατά Σέργιον καί Πύρρον ἀφειδῶς ἀπέτεμον, διθεΐας ἔγκλημα τούτῳ καί πολυθεΐας προσάπτοντες ὡς διττάς ἐπί Χριστοῦ κηρύττοντι θελήσεις καί ἐνεργείας, κτιστάς δηλαδή καί ἀκτίστους, καταλλήλως ταῖς φύσεσιν, ἀκτίστου κατ᾽ αὐτόν οὔσης οὐ τῆς θείας φύσεως φυσικῶν ἐνεργειῶν, αἵ φύσεις οὐκ εἰσίν, ἀλλά κινήσεις θεοπρεπεῖς, ὡς πολλαχοῦ τῶν λόγων αὐτός παρίστησι. Τοῦτό ἐστι καθ᾽ ὅ καί ἡμεῖς διαβαλλόμεθα νῦν.

Ἀλλ᾽ ὅπερ ἔφην, μέγα μέν τό κατηγόρημα τοῦτο γνώρισμα τῆς ἀσφαλοῦς τῶν ἁγίων θεολογίας, οὐδέν δ᾽ ἧττον τῆς κακοδοξίας ἐναργής παράστασις τῶν διά τοῦτο (σελ. 590) ἐκείνους πολυθέους λεγόντων. Οὕτω τοίνυν καί πρός τούς ἀρτίως κατατεμόντας ἀθέσμως εἰς κτιστά καί ἄκτιστα τήν μίαν θεότητα καί τήν μέν θείαν μόνην οὐσίαν ἄκτιστον εἶναι λέγοντας θεότητα καί πᾶν ἄκτιστον τῆς θείας οὐσίας παντάπασιν ἀδιάφορον, κτιστήν δέ πᾶσαν δύναμιν καί ἐνέργειαν ἥ ταύτης ὁπωσδήποτε διενήνοχε, ἄκτιστον ἡμῶν καί κατ᾽ αὐτάς εἰρηκότων καί πολλά ταῖς ἐνεργείαις ὡς παντοδύναμον τόν ἕνα κατ᾽ οὐσίαν Θεόν˙ ("πληθύνεσθαι" γάρ ὁ Θεός λέγεται κατά τόν θεῖον Μάξιμον, τῷ καθ᾽ ἕκαστον εἰς παραγωγήν τῶν ὄντων βουλήματι προνοητικαῖς προόδοις πολλαπλασιαζόμενος καί κατ᾽ οὐσίαν μέν ἄγνωστον παντάπασι, κατ᾽ ἐκείνας δέ γνωστόν, αἵ εἰσιν ἡ ἀγαθότης, ἡ σοφία, ἡ δύναμις, ἡ θειότης ἤτοι μεγαλειότης καί ἁπλῶς πάντα τά περί τήν οὐσίαν, ὡς καί ὁ Χρυσόστομος ἐπί λέξεώς φησι πατήρ)˙ οὕτω τοίνυν ταῦτα πρός τούς τοιούτους ἡμῶν λεγόντων, ὁ διθεΐαν κατηγορῶν δῆλός ἐστιν αὐτός οὐ τόν πάντων ποιητήν προσκυνῶν, ἀλλά Θεόν τινα ἀνενέργητον. Οὐ γάρ ἔτι δύναιτ᾽ ἄν αὐτόν εἰπεῖν δημιουργόν ἤ θεουργόν ἤ ὅλως ἐνεργόν, σαφῶς ἀποφηναμένου τοῦ σεπτοῦ Μαξίμου ὡς οὐκ ἔστιν ἐνεργεῖν χωρίς ἐνεργείας καταλλήλου δήπουθεν, ὥσπερ οὐδέ ὑπάρχειν χωρίς ὑπάρξεως. Ἀλλ᾽ οὐδέ ἄκτιστον ἐρεῖ τοῦτον ὅν φησιν ὁ Βαρλαάμ Θεόν˙ ἐκ γάρ τῆς ἀκτίστου ἐνεργείας, κατά τόν αὐτόν πάλιν θεολόγον, ἡ ἄκτιστος φύσις χαρακτηρίζεται˙ τό δέ χαρακτηρίζον τοῦ χαρακτηριζομένου διενήνοχεν.

Εἰ τοίνυν μή ἔχει δαφέρουσαν ἑαυτῆς ἡ θεία φύσις ἐνέργειαν, ἄκτιστον καί ταύτην οὖσαν καί γνωστήν ἡμῖν ἐκ τῶν ἐνεργημάτων,

ἐκείνη πάσης καταλήψεως ὑπερανιδρυμένη, πῶς εἴσεταί τις τῶν ἁπάντων ὡς ἔστι τις φύσις ἄκτιστος, ἀπερινόητος οὖσα καθ᾽ ἑαυτήν ἐκ δέ τῶν περί αὐτήν γινωσκομένη, ὧν ἐστι κατά μέγαν Ἀθανάσιον καί ἡ ταύτης δύναμις καί ἡ ἐνέργεια; Τί δ᾽ ὅμως ταῦτα (σελ. 592) μηκύνω λέγων, καί ταῦτα τῶν ἁγίων διδασκόντων ἐπί λέξεως ὅτι φύσις Θεοῦ καί ἐνέργεια οὐ ταὐτόν; Τῆς μέν γάρ φύσεώς ἐστι τό γεννᾶν, τῆς δέ ἐνεργείας τό ποιεῖν· καί ἄλλο ἡ οὐσία τοῦ Θεοῦ καί ἕτερον ἡ οὐσιώδης τοῦ Θεοῦ ἐνέργεια· καί ἄλλο μέν ἡ οὐσία τοῦ Θεοῦ, ἑτέρα δέ τῶν περί αὐτήν ὀνομάτων ἡ σημασία. Τί τοίνυν ταῦτα μηκύνω λέγων; Ὁ γάρ Βαρλαάμ, δι᾽ ὧν φησιν, ἀνύπαρκτον ἡμῖν εἰσάγει θεόν. Τό γάρ μηδεμίαν ἔχον δύναμιν ἤ ἐνέργειαν φυσικήν οὔτε ἔστιν οὔτε τί ἐστιν οὔτε ἔστι παντελῶς αὐτοῦ θέσις οὐδέ ἀφαίρεσις κατά τούς θεολόγους.

Εἶπεν οὖν ὁ ἄφρων οὗτος τῆς ἡμῶν εὐσεβείας κατήγορος ὅτι οὐκ ἔστι ἐν τῇ καρδίᾳ αὐτοῦ, εἰ καί τοῖς χείλεσιν εἶναι δῆθεν θεόν ἰσχυρίζεται. «Ἀλλ᾽ ἔχει», φησίν, «ἐνεργείας ὁ Θεός κτιστάς δέ· πᾶσα γάρ ἐνέργεια Θεοῦ χωρίς τῆς τά πάντα ἐνεργούσης οὐσίας κτιστή, καί ἕν ἄναρχον καί ἀτελεύτητον ἡ θεία φύσις, καί αὕτη ἐστί τό μόνον ἄκτιστον φῶς καί ἡ ἄκτιστος δόξα τοῦ Θεοῦ». Τῆς δυσσεβείας, οἰκειότερον δ᾽ εἰπεῖν τῆς ἀθεΐας καί τελεωτάτης ἀσεβείας. Ἤ γάρ οὐκ ἔχει φυσικάς καί οὐσιώδεις ἐνεργείας ὁ Θεός, καί ἄθεός ἐστιν ὁ τοῦτο λέγων (τοῦτο γάρ πάλιν ἄντικρύς φησιν ὅτι οὐκ ἔστι Θεός· οἱ γάρ ἅγιοι φανερῶς λέγουσιν ὅτι φυσικῆς καί οὐσιώδους ἐνεργείας μή οὔσης οὔτε Θεός ἔσται οὔτε ἄνθρωπος ὁ ἐν δυσί ταῖς τοιαύταις ἐνεργείαις καί δυσί ταῖς φύσεσι προσκυνούμενος Χριστός) ἤ, εἴπερ εἰσίν ἐνέργειαι Θεοῦ φυσικαί καί οὐσιώδεις, κτισταί δέ εἰσιν αὗται, κτιστή ἔσται καί ἡ ταύτας ἔχουσα οὐσία τοῦ Θεοῦ· ἧς γάρ οὐσίας τε καί φύσεως αἱ φυσικαί καί οὐσιώδεις ἐνέργειαι κτισταί, ἄκτιστος αὐτή οὐκ ἔστιν. Ἀλλά καί ἡ θεία πρόνοια καί ἡ θεατική δύναμις καί ἡ τοῦ Θεοῦ λαμπρότης, ἡ καί κατά τό Θαβώριον ἐπιφανεῖσα Μωσεῖ καί Ἠλιού καί τοῖς συναναβᾶσιν ἐπί τό ὄρος τῷ Χριστῷ, τήν οἰκείαν ἐκφαίνοντι θεότητα καί βασιλείαν, καί αὗται τοίνυν κτίσματά εἰσιν, εἴπερ ἡ φύσις μόνη (σελ. 594) ἄναρχός ἐστι καί ἀτελεύτητος καί αὕτη μόνη ἐστί τό ἄκτιστον φῶς καί ἡ ἄκτιστος δόξα τοῦ Θεοῦ, καί οὕτω μία ἀκτιστος θεότης ὡς μόνης ἀκτίστου τῆς θείας οὐσίας ὑπαρχούσης.

Ἥ τε γάρ πρόνοια σχέσις ἐστί τοῦ Θεοῦ πρός τά τῆς παρ᾽ αὐτοῦ προμηθείας ἀπολαύοντα καί ἡ θεατική δύναμις πρός τά ὁρώμενα καί

ἡ λαμπρότης πρός τά θείως λαμπρυνόμενα˙ ἡ δέ θεία φύσις σχέσις οὐκ ἔστι, πάντη πάντων ἀπολελυμένη τε καί ὑπερανιδρυμένη. Καί τῆς μέν θεατικῆς ἐνεργείας τό δημιουργεῖν οὐκ ἔστιν˙ ἐθεᾶτο γάρ τά πάντα ὁ Θεός καί πρό γενέσεως, οὐκ ἐδημιούργει δέ αὐτά καί πρό γενέσεως. Μή οὖσα τοιγαροῦν ἡ πάντα ἐνεργοῦσα φύσις αὕτη, κτιστή ἔσται κἀντεῦθεν κατά τόν Βαρλαάμ ἡ θεατική ἐνέργεια τοῦ Πνεύματος. Ἡ δέ θεία πρόνοια μετέχεται παρά τῶν ἐπιτυγχανόντων ταύτης˙ «πάντα γάρ», φησί, «τά ὄντα μετέχει προνοίας, παρά τῆς παναιτίου θεότητος ἐκβλυζομένης»˙ κατ᾽ οὐσίαν δέ ὁ Θεός ἀμέθεκτός ἐστι κατά τόν θεῖον Μάξιμον καθ᾽ ἥν μόνην ἄκτιστός ἐστι κατά τόν Βαρλαάμ. Οὐκοῦν κατ᾽ αὐτόν κἀντεῦθεν καί ἡ θεία πρόνοια κτιστή. Ἡ δέ τοῦ Θεοῦ λαμπρότης καί μετέχεται καί μερίζεται˙ «ἀμυδρά» γάρ, φησίν, «αὐτήν παρεγύμνωσεν ὁ Κύριος ἐπ᾽ ὄρους» οἵ τε μύσται ταύτην εἶδον οὐχ ὁλόκληρον «ἵνα μή σύν τῇ ὁράσει καί τό ζῆν ἀπολέσωσιν». Τό δέ μερίζεσθαι τῆς ἐνεργείας ἀλλ᾽ οὐ τῆς οὐσίας ὁ Χρυσόστομος ἀποφαίνεται πατήρ. Ἀλλά καί «ἡ λαμπρότης τοῦ Θεοῦ ἡμῶν ἔστω ἐφ᾽ ἡμᾶς», φησίν ὁ ψαλψῳδός προφήτης˙ καί «εἰς τοῦτό με φέρει τό μέτριον ἐνταῦθα φέγγος, λαμπρότητα Θεοῦ ἰδεῖν καί παθεῖν, φησίν ὁ θεολόγος Γρηγόριος˙ καί ὁ ἀπαστράπτων τό ἀληθινόν καί ἀδιάδοχον φῶς, κατά τόν μέγαν Βασίλειον, τούς αὐτοῦ μετέχοντας ἄλλους (σελ. 596) ἡλίους ἀπεργάζεται θείους˙ «λάμψουσι γάρ καί οἱ δίκαιοι ὡς ὁ ἥλιος». Ἡ δέ θεία φύσις ὑπέρ πᾶσαν μέθεξίν ἐστιν, ἥν μόνην ἄκτιστον φῶς ὁ Βαρλαάμ ἀπεφήνατο. Κατ᾽ αὐτόν οὖν κτιστόν ἐστι καί τό θειότατον φῶς, ἐπεί καί ὀνομάζεταί πως τοῦτο˙ ἡ δέ θεία φύσις παντάπασιν ἀνώνυμός ἐστιν ὡς ὑπερώνυμος.

Ταῦτα καί τά τοιαῦτα λεγόντων ἡμῶν πρός τά τοῦ Βαρλαάμ δυσσεβῆ συγγράμματά τε καί κηρύγματα, δέον ἐντεῦθεν ἐκεῖνον τἀληθές καταμαθόντα τήν δυσσεβῆ γνώμην ἀποθέσθαι. Μεθ᾽ ἱλαρότητος γάρ πόσης, ἄν εἴπῃς! Καί πρό τῶν ἐλέγχων πολύν ὑπεμείναμεν εὖ ἴσθι χρόνον, τοῦτον ἐνάγοντες πρός τήν εὐσέβειαν. Ὁ δέ μηδέ τοῖς ἐλέγχοις εἴξας, καθάπερ οὐδέ πρότερον τοῖς προτρεπτικοῖς καί παρακλητικοῖς τῶν λόγων, ἔτι μᾶλλον, ὡς ᾤετο, κτιστόν ἀποφαίνων τό θειότατον φῶς καί πᾶσαν θείαν δύναμιν καί ἐνέργειαν, ἐκ τῶν παρ᾽ ἡμῶν προτεινομένων ὑπέρ τούτων πατερικῶν ῥημάτων συνήγαγε καί συνέθηκε καθ᾽ ἡμῶν, μᾶλλον δέ κατ᾽ αὐτῶν τῶν ἱερῶν πατέρων, τήν «ὑπερκειμένην καί ὑφειμένην θεότητα, καί ταύτην περιαγγέλλων, ἅμα τε τούς ἀνεξετάστως ἀκούοντας ἡμῶν ἐπεγείρει

καί τό δῆθεν ἄτοπον φεύγοντας πείθει κτιστόν λέγειν ἐκεῖνο τό φῶς καί πᾶσαν δύναμιν Θεοῦ καί ἐνέργειαν τῆς θείας οὐσίας ὁπωσδήποτε διαφέρουσαν, ἵνα μή τῇ τοιαύτῃ διθεΐᾳ καί αὐτοί περιπέσωσιν. «Εἰ γάρ καί τό φῶς», φησίν, «ἄκτιστον, τό αἰτιατόν καί μεθεκτόν καί ὁρατόν ἐπ᾽ ὄρους γεγονός, ὁπωσδήποτε θεότης προσαγορευόμενον, καί ἡ ὑπέρ πᾶσαν αἰτίαν καί μέθεξιν, ὅρασίν τε καί κατάληψιν, ἐπωνυμίαν τε καί ἔκφανσιν φύσις τοῦ Θεοῦ, πῶς μία ἔσται, ἀλλ᾽ οὐχί δύο ἄκτιστοι θεότητες, ὑπερκειμένη καί ὑφειμένη»; Μή συνορῶν ὁ τάλας ὡς εἴπερ εἴη τό θεῖον φῶς κτίσμα καί πᾶσα θεία ἐνέργεια ἤ τῆς θείας διενήνοχεν οὐσίας, καθά φησιν αὐτός, οὕτω μᾶλλον ἀδύνατον μίαν εἶναι θεότητα. Οὐδεμία γάρ (σελ. 598) ἔσται ἄκτιστος θεότης· κτιστή γάρ ἐστι καί ἡ φύσις ἧς ἡ ἐνέργεια κτιστή.

Ἀλλ᾽ οὐδέ δυνατόν συνελθεῖν εἰς μίαν θεότητα τό ἄκτιστον καί τά κτιστά. Ἐξ᾽ ὧν οὖν αὐτός φησι, δύο τοῦ Θεοῦ κυρίως γίνονται θεότητες, ἡ μέν ὑπερκειμένη κατά πάντα τρόπον καί ἀεί, ὡς ἄκτιστος ὑπάρχουσα θεότης, ἡ δέ ὑφειμένη καί διῃρημένη κατά πάντα τρόπον καί ἀεί ὡς κτιστή ὑπάρχουσα θεότης. Ἐν ἀκτίστῳ δέ οὐσίᾳ καί φυσικῇ δυνάμει καί θελήσει καί λαμπρότητι καί ἐνεργείᾳ μία ἐστί θεότης, αὐτόθεν τῶν φυσικῶν πρός τήν κατάλληλον φύσιν τήν ἀδιάσπαστον ἕνωσιν ἐχόντων καί κατά τό ἄκτιστον ἕν ὄντων καί ἴσον καί ἁπλοῦν. Τό γάρ μή φυσικήν ἔχον δύναμιν καί ἐνέργειαν οὐχ ἁπλοῦν ἐστιν, ἀλλά μή ὄν· καί τό κατά τό αἴτιον καί αἰτιατόν, μεθεκτόν τε καί ἀμέθεκτον, χαρακτηρίζον τε καί χαρακτηριζόμενον καί τά τοιαῦτα ὑπερκείμενον καί ὑποβεβηκός, οὐδέν ἐμποδίζει πρός τό ἕνα εἶναι καί ἁπλοῦν τόν Θεόν, μίαν ἔχοντα καί ἴσην καί ἁπλῆν θεότητα.

Καί ὁ Πατήρ γάρ τοῦ Υἱοῦ μείζων τῷ αἰτίῳ καί διά τό τοῦ Υἱοῦ ἀνθρώπινον, καί κατά τόν μέγαν Βασίλειον καί τόν θεῖον Κύριλλον τό Πνεῦμα τῇ τάξει καί τῷ κατ᾽ αὐτήν ἀξιώματι τόν Υἱόν ὑποβέβηκεν, ὡς δι᾽ αὐτοῦ χορηγούμενον, φύσει δέ οὐ δεύτερόν ἐστιν, ὡς ὁ Εὐνόμιος πρῶτος ἐλήρησεν, ἀλλ᾽ ἴσον· ὥσπερ γάρ ὁ Υἱός Κύριος, οὕτω καί τό Πνεῦμα Κύριον, ἀλλά ταῦτα εἷς Θεός ἐν μιᾷ θεότητα ἁπλῇ καί ἴσῃ. Οὐδ᾽ ἐπί τῆς οὐσίας τοίνυν καί δυνάμεως καί ἐνεργείας καί θελήσεως καί τῶν τοιούτων, ἀκτίστων ἁπασῶν οὐσιῶν, τό κατά τήν τάξιν καί τό αἴτιον καί τά τοιαῦτα ὑπερέχον πρός τό μίαν εἶναι προσίσταται θεότητα. Ταῦτα γάρ ἐστιν ἡ μία θεότης τῶν τριῶν προσκυνητῶν προσώπων, ἡ οὐσία, ἡ θέλησις, ἡ δύναμις, ἡ ἐνέργεια καί τά τοιαῦτα, οὐχ ὡς ἕν ὄντα καί παντάπασιν ἀδιάφορα πρός ἄλληλα καί οὐσίαν

μόνον πάντα (τοῦτο γάρ τῆς τοῦ Βαρλαάμ ἐστι παραφροσύνης), (σελ. 600) ἀλλ᾽ ὡς ἑνιαίως ἀπαραλλάκτως ἐν Πατρί καί Υἱῷ καί ἁγίῳ Πνεύματι θεωρούμενα.

Διό καί ὁ μέγας Ἀθανάσιος τά περί τήν οὐσίαν πάντα συλλαβών καί ἀπαριθμησάμενος «οὐχ ἕκαστον τούτων», φησίν, «οὐσία λέγεται, ἀλλά περί τήν οὐσίαν, ἅ καί ἄθροισμα καί πλήρωμα λέγεται θεότητος κατά τήν Γραφήν, καθ᾽ ἑκάστην τῶν ἁγίων ὑποστάσεων ἐπίσης θεωρούμενα καί θεολογούμενα». Ταῦτά ἐστιν ἡ παρά τῶν εὐσεβῶν πρεσβευομένη μία καί ἁπλῆ καί μόνη ἄκτιστος θεότης. Ὁ δέ λέγων μόνην ἄκτιστον θεότητα τήν οὐσίαν τοῦ Θεοῦ ἀκρωτηριάζει τήν θεότητα, μᾶλλον δ᾽ ὡς προαποδέδεικται καί ἀναιρεῖ τελέως. Ὁ δέ ἀδιάφορα παντάπασι διατελεῖν οὐσίαν καί δύναμιν καί θέλησιν καί ἐνέργειαν ἄκτιστον ἰσχυριζόμενος τοῦ ἀκρωτηριάζοντος καί ἀναιροῦντος διενήνοχεν οὐδέν διά τῆς ἀσεβοῦς συναλοιφῆς αὐτό τοῦτ᾽ ἀπεργαζόμενος˙ εἰς ἄλληλα γάρ μεταχωροῦντα δι᾽ ἀλλήλων πάντα τά τοιαῦτα χωρεῖ πρός τό μή ὄν. Ὁ δέ τήν οὐσίαν ἄκτιστον εἶναι μόνην διαβεβαιούμενος, τήν δέ ταύτης οὕτω διενηνοχυῖαν δύναμιν καί θέλησιν καί ἐνέργειαν κτιστήν, εἰς κτιστά καί ἄκτιστα διχοτομεῖ τήν μίαν θεότητα, διχοτομούμενος αὐτός καί ἀποτεμνόμενος τῆς θείας χάριτος καί τελέως ἀπορρηγνύμενος τῶν εὐσεβῶν, Ἀρείου καί Εὐνομίου καί Μακεδονίου μηδέν ἧττον, ὅτι μή καί μᾶλλον. Δεῖ τοιγαροῦν τοῖς ὀρθοτομεῖν αἱρουμένοις τόν λόγον τῆς ἀληθείας μετά συνέσεως καί τήν ὑπεροχήν στέργειν τῆς θείας οὐσίας πρός τάς θείας ἐνεργείας, ὡς ἐντεῦθεν δεικνυμένης τῆς πρός ἄλληλα διαφορᾶς, καί τό ἄκτιστον τῶν θείων ἐνεργειῶν, εἰ καί τῆς οὐσίας διενηνόχασιν, ὡς ἐντεῦθεν δεικνυμένου τοῦ ἑνιαίου τῆς θεότητος˙ ἐκτός γάρ τοῦ ἑνός Θεοῦ ἄκτιστον οὐδέν.

Δεῖ δέ προθεῖναι νῦν ἐκ πολλῶν ὀλίγας τῶν ἁγίων φωνάς, παρ᾽ ὧν ἡ τῆς ἀκτίστου οὐσίας πρός τήν ἄκτιστον ἐνέργειαν ὑπεροχή λίαν εὐσεβῶς διαδείκνυται, καί μάλιστα τῶν τοῦ μεγάλου Διονυσίου, παρ᾽ οὗ σχεδόν πρώτου καί (σελ. 592) αὐτά τά στοιχεῖα τῆς θεολογίας ἡ ἐκκλησία μεμύηται. Τήν δή τοῦ ὄντως ὄντος ἐκφαντορικήν οὐσιωνυμίαν ἐξυμνεῖν ὁ μέγας ἐπιβαλλόμενος, «τοσοῦτον», φησίν, «ὑπομνήσωμεν ὅτι τῷ λόγῳ σκοπός οὐ τήν ὑπερούσιον οὐσίαν ᾗ ὑπερούσιος ἐκφαίνειν (ἄρρητον γάρ τοῦτο καί ἄγνωστόν ἐστι καί παντελῶς ἀνέκφαντον καί αὐτήν ὑπεραῖρον τήν ἕνωσιν), ἀλλά τήν οὐσιοποιόν εἰς τά ὄντα πάντα τῆς θεαρχικῆς οὐσιαρχίας πρόοδον

ὑμνῆσαι». Ἡ μέν οὖν ἕνωσις, ἧς μετά θαύματος ἐμνήσθη νῦν ὁ θεοφάντωρ, θέωσίς ἐστι καθ᾽ ἥν, ὡς αὐτός φησιν ἀρχόμενος τῆς Περί τῶν θείων ὀνομάτων πραγματείας, «τοῖς ἀφθέκτοις καί ἀγνώστοις ἀφθέγκτως καί ἀγνώστως συναπτόμεθα κατά τήν κρείττονα τῆς καθ᾽ ἡμᾶς οὐσίας τε καί ἐνεργείας ἕνωσιν». Περί ταύτης τοίνυν δῆλον ἔσται προϊόντος τοῦ λόγου. Ἐνταῦθα δέ κατάδηλον ὡς οὐ μόνον ἡ μετά τῶν ἄλλων πάντων καί τῆς οὐσιοποιοῦ προόδου ὑπερέχουσα οὐσία τοῦ Θεοῦ, ἀλλά καί ἡ ὑπερεχομένη πρόοδος αὕτη τοῦ Θεοῦ, οὐσιοποιός οὖσα, ἄκτιστός ἐστι˙ τό γάρ ποιητικόν τε καί δημιουργικόν καί ταῦτα πάντων ἁπαξαπλῶς τῶν ὄντων, πῶς ἄν εἴη δεδημιουργημένον καί πεποιημένον καί τῶν οὕτως ὄντων ἕν;

Μετ᾽ ὀλίγα δέ πάλιν ὁ αὐτός φησιν, «οὐκ ἐκφράσαι τήν αὐτοϋπερούσιον ἀγαθότητα καί οὐσίαν καί ζωήν καί σοφίαν τῆς αὐτοϋπερουσίου θεότητος ὁ λόγος ἐπαγγέλλεται, τήν ὑπέρ πᾶσαν ἀγαθότητα καί θεότητα καί οὐσίαν καί σοφίαν καί ζωήν ἐν ἀποκρύφοις, ὡς τά λόγιά φησιν, ὑπεριδρυμένην, ἀλλά τήν ἐκπεφασμένην ἀγαθοποιόν πρόνοιαν»˙ εἰς ταύτην δέ τήν πρόνοιαν κἀνταῦθα θεοπρεπεστάτους ὕμνους ἀνατίθησιν. Ἐν δέ τῷ ἑνδεκάτῳ κεφαλαίῳ καί θεότητα ταύτην ὀνομάζει γράφων˙ «θεότητά φαμεν ἀρχικῶς μέν καί θεϊκῶς καί αἰτιατῶς τήν μίαν πάντων ὑπεράρχιον καί ὑπερούσιον ἀρχήν καί αἰτίαν˙ μεθεκτῶς δέ τήν ἐκδιδομένην ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προνοητικήν δύναμιν, τήν αὐτοθέωσιν, ἧς τά μετέχοντα ἔνθεά ἐστί τε καί λέγεται». (σελ. 604) Ἆρ᾽ οὖν ἡ ἀνέκφραστος καί ὑπεράρχιος οὐσία τοῦ Θεοῦ, ἡ κατά τό ἄφραστον καί ἀμέθεκτον καί ἀνέκφαντον καί ἀναίτιον ὑπερέχουσα ταύτης τῆς προνοίας, μόνη ἄκτιστός ἐστιν; Ἤ καί ἡ ὑπερεχομένη παρά τῆς οὐσίας ἐκείνης ὡς αἰτίας πρόνοια, θεότης καί αὕτη ὀνομαζομένη ὡς οὐκ ἐκτός οὖσα τοῦ πληρώματος τῆς μιᾶς θεότητος, ἄκτιστός ἐστιν; Τῶν ἀριδηλοτάτων ὅτι καί αὕτη ἄκτιστός ἐστιν˙ ἔνθεα γάρ ποιεῖ τά δεκτικά θεώσεως, ὡς αὕτη μή ἐκτός οὖσα τοῦ ἑνός Θεοῦ, καί τῷ μετέχειν αὐτά ταύτης ἔνθεα τελεῖται, ὡς μή μετοχῇ ταύτης ἐχούσης τό τελεῖν θείας, ἐπεί καί αὐτοθέωσίς ἐστιν.

Ἀλλά καί ἐν τῷ δωδεκάτῳ κεφαλαίῳ, «θεότης ἐστίν» εἰπών «ἡ πάντα θεωμένη πρόνοια» καί ταύτην κἀνταῦθα θείως ἐξυμνήσας, εἶτά φησιν «ἐκ τῆς ὑπερεχούσης καί ὑπερκειμένης καί ἁπλουστάτης ἁγιότητος καί κυριότητος καί βασιλείας καί θεότητος εἶναι πᾶσαν ἀγαθήν πρόνοιαν, θεωρόν καί συνοχικήν τῶν προνοουμένων, ἑαυτήν

ἀγαθοπρεπῶς ἐπιδιδοῦσαν πρός ἐκθέωσιν τῶν ἐπεστραμμένων». Ἡ τοίνυν ἐκ τῆς ὑπερκειμένης καί ὑπερεχούσης καί ἁπλουστάτης ἁγιότητος καί κυριότητος καί βασιλείας καί θεότητος (δηλαδή τῆς οὐσίας τοῦ Θεοῦ˙ ἐκείνη γάρ ἁπλουστάτη τέ ἐστιν, ὡς παντάπασιν ἀμέριστος, καί διά τό καθ᾽ ἑαυτήν ὑπερώνυμος εἶναι καί ἀνώνυμος μεθ᾽ ὑπεροχῆς ἐκ πασῶν καλεῖται τῶν οἰκείων ἐνεργειῶν), ἡ γοῦν ἐξ ἐκείνης ἀγαθή πρόνοια καί θεότης ὀνομαζομένη ὡς πάντων ἔφορος καί πάντων θεωρός, τί ἄλλο ἤ τοῦ Θεοῦ ἐνέργειά ἐστιν, ἀλλ᾽ οὐκ οὐσία, τῷ ἐξ ἐκείνης εἶναι τῆς οὐσίας ἐκείνης διαφέρουσα καί ὑπερεχομένη παρ᾽ ἐκείνης ὡς αἰτίας οὔσης καί ὑπερωνύμου; Πῶς οὖν οὐκ ἄκτιστος ἡ ἐξ ἐκείνης αὕτη πρόνοια, θεωρός οὖσα καί συνοχική τῶν προνοουμένων, καί ταῦτα ἑαυτήν ἀγαθοπρεπῶς ἐπιδιδοῦσα πρός ἐκθέωσιν τῶν ἐπεστραμμένων;

Ἀλλά γάρ δείξας καί μεθεκτήν ταὐτό δ᾽ εἰπεῖν μετοχήν, οὖσαν ταύτην, ὡς καί αὐτός πολλαχοῦ τῶν λόγων ὀνομάζει ταύτην ( «ἑαυτήν» γάρ φησιν «ἀγαθοπρεπῶς ἐπιδιδοῦσαν»), ἐφεξῆς εὐθύς ἐπήγαγεν˙ ἐπεί δέ ὑπερπλήρης ἐστίν ὁ πάντων αἴτιος, κατά μίαν τῶν πάντων ὑπερέχουσαν ὑπερβολήν ἅγιος ἁγίων «ὑμνεῖται, κατά ὑπερβλύζουσαν αἰτίαν καί ἐξῃρημένην ὑπεροχήν, ὡς ἄν τις φαίη, καθ᾽ ὅσον ὑπερέχουσι τῶν οὐκ ὄντων τά ὄντα ἅγια ἤ κύρια ἤ θεῖα ἤ βασιλικά, καί αὖ τῶν μετεχόντων αἱ αὐτομετοχαί, κατά τοσοῦτον ὑπερίδρυται πάντων καί τῶν μετεχόντων καί τῶν μετοχῶν ὁ ἀμέθεκτος αἴτιος», κατ᾽ οὐσίαν δηλονότι. Ἆρ᾽ οὖν αἱ ὑπερεχόμεναι αὐτομετοχαί αὗται παρά τοῦ ἀμεθέκτου αἰτίου, ὧν ἐστι καί πᾶσα ἀγαθή πρόνοια ὡς συνεκτική καί θεωρός οὖσα τῶν προνοουμένων καί ἐκθεωτική τῶν πρός αὐτήν ἐπεστραμμένων, θεότης ὀνομαζομένη, κτίσματά ἐστι, διότι ὑπερέχονται παρά τοῦ ἀμεθέκτου αἰτίου, καθάπερ ἡμᾶς ἐδίδαξεν ὁ οὐρανόφρων οὗτος, οὐ τῶν μετεχόντων μόνων εἰπών, δηλονότι τῶν τε ἄλλων καί τῶν τεθωμένων, ὑπεριδρῦσθαι τῶν ἀμέθεκτον αἴτιον, ἀλλά καί τῶν μετοχῶν τουτέστι καί αὐτῆς τῆς ἐκθεωτικῆς προνοίας καί τῶν παραπλησίων, κατά ὑπερβλύζουσαν αἰτίαν καί ἐξῃρημένην ὑπεροχήν; Καί πῶς ἔσται κτιστά τά μή μετοχῇ τό εἶναι ἔχοντα καί τῶν μετεχόντων πάντων ὑπερέχοντα;

Ὅτι δέ οὐδεμία τῶν ἀκτίστων καί θείων ἐνεργειῶν τούτων οὐσία ἐστίν, ὁ αὐτός θεοφάντωρ ἐν τῷ πρό τούτου κεφαλαίῳ φανερῶς ὑπέδειξεν εἰπών˙ «οὐκ οὐσίαν τινά θείαν ἤ ἀγγελικήν εἶναί φαμεν τό

αὐτονοεῖναι, ἀλλ᾽ αὐτονοεῖναι καί αὐτοζωήν καί αὐτοθεότητά φαμεν καί αὐτάς τάς τοῦ Θεοῦ δυνάμεις, τήν αὐτουσίαν, αὐτοζώωσιν, αὐτοθέωσιν». Τήν γε μήν ἐξῃρημένην ταύτην καί ὑπερβάλλουσαν κατ᾽ οὐσίαν τοῦ Θεοῦ ὑπεροχήν καί πρός αὐτάς τάς ἀκτίστους ἐνεργείας, ὁ τά πάντα πολύς καί ὑψηλός Διονύσιος καί μηδέν ἧττον ἠκριβωμένος ἤ πολύς τά θεῖα, διά πάσης ὑμνεῖ τῆς Περί τῶν θείων (σελ. 608) ὀνομάτων πραγματείας, πρός τῇ κατά τάς θείας ἐνεργείας διακρίσεις τοῦ Θεοῦ καί τοῦτ᾽ αὐτό τῶν λόγων ὑπόθεσιν ποιούμενος. Ἀλλά καί τῷ θεραπευτῇ Γαΐῳ γράφων, ἐρωτήσαντι πῶς ὁ πάντων ἐπέκεινα καί ὑπέρ θεαρχίαν ἐστί καί ὑπέρ ἀγαθαρχίαν, «εἰ θεότητά» φησιν «καί ἀγαθότητα νοήσαις αὐτό τό χρῆμα τοῦ ἀγαθοποιοῦ καί θεοποιοῦ δώρου τῆς οὕτω λεγομένης θεότητος, ὡς θεαρχίας καί ἀγαθαρχίας ὁ πάσης ἀρχῆς ὑπεράρχιός ἐστιν ἐπέκεινα». Κἀν τῷ περί θείας εἰρήνης κεφαλαίῳ τελευτῶν πάντας τούς θείους ἡμῶν ἱεροδιδασκάλους τοῦτ᾽ αὐτό προάγει φάσκοντας.

Ἔστιν ἄρα θεότης ὑφειμένη κατά τούς θεοσόφους θεολόγους, ὡς κἀνταῦθ᾽ εἶπεν ὁ μέγας Διονύσιος, ἡ θέωσις, δῶρον οὖσα τῆς ὑπερκειμένης οὐσίας τοῦ Θεοῦ. Καί μάτην νῦν ὁ Βαρλαάμ τήν διθεΐαν περιαγγέλλει δῆθεν καθ᾽ ἡμῶν˙ εἰς γάρ διαβολήν τῶν ἀλήπτων θεολόγων δῆλός ἐστι τοῦτο διαβόητον ποιούμενος, κτιστόν αὐτός εἶναι διατεινόμενος τό θεῖον τοῦτο δῶρον καί οὕτω μίαν ἄκτιστον θεότητα, τήν οὐσίαν τοῦ Θεοῦ. Κατατεμών τοίνυν ἐντεῦθεν τόν Θεόν εἰς κτιστά καί ἄκτιστα, εἶτα τοῖς εὐσεβῶς καί κατ᾽ ἐνέργειαν ἄκτιστον αὐτόν φρονοῦσι λοιδορεῖται. Τό γάρ τοῦ Θεοῦ θεοποιόν δῶρον ἐνέργεια αὐτοῦ ἐστιν, ἥν θεότητα καί ὁ μέγας Διονύσιος καί οἱ ἄλλοι πάντες θεολόγοι πολλαχοῦ φασι, τῆς θείας ἐνεργείας μᾶλλον ἤ τῆς θείας οὐσίας εἶναι τοὔνομα τῆς θεότητος ἰσχυριζόμενοι˙ καί τάς ἐνεργείας γάρ τοῦ Πνεύματος πνεύματα φίλον τῷ Ἠσαΐᾳ καλεῖν κατά τόν θεολόγον Γρηγόριον. Ὡς οὖν ὁ προφήτης τάς ἐνεργείας τοῦ Πνεύματος ἑπτά πνεύματα καλέσας τῷ ἑνιαίῳ τοῦ Πνεύματος οὐκ ἐλυμήνατο, οὕτω καί τῇ τῆς θεότητος ἐπωνυμίᾳ, καθάπερ ἀνωτέρω δέδεικται, καί ἡ πρόνοια καλεῖται παρά τῶν ἁγίων, ἐνέργεια οὖσα τοῦ Θεοῦ, καί ἡ θεατική δύναμις καί ἡ θεοποιός χάρις τοῦ Θεοῦ, δηλαδή ἡ θέωσις, καί τό ἑνιαῖον τῆς θεότητος οὐκ ἀναιρεῖται. Αἱ δέ τοῦ Θεοῦ δυνάμεις (σελ. 610) καί αἱ ἐνέργειαι, ὡς καί τοῦτ᾽ ἀνωτέρω δέδεικται, ἄκτιστοί εἰσι˙ τοιγαροῦν ἡ θεοποιός χάρις τοῦ Θεοῦ οὐ θεότης καλεῖται μόνον, ἀλλά καί ἄκτιστός ἐστι κατά τούς θεοσόφους

θεολόγους. Εἰ γάρ καί σχέσιν αὐτήν προϊών ὁ μέγας προσηγόρευσεν, ἀλλά σχέσιν Θεοῦ πρός τούς τεθεωμένους· τοιαύτη γάρ καί ἡ θεία πρόνοια καί ἡ θεατική δύναμίς ἐστι. Μίμημα δέ ταύτην προσειπών, τό ἀμίμητον προέθηκε καί ἀρχήν εἶναι τῶν θεουμένων ταύτην ἔφη καί θεαρχίαν καί ἀγαθαρχίαν, ὅ ἐστι μόνου τοῦ Θεοῦ, καί θεοποιόν αὐτήν προσείρηκεν, ἀλλ᾿ οὐ θεοπεποιμένην, ἵνα δείξῃ ἄκτιστον διατελοῦσαν.

Ὅτι δέ ἡ θεοποιός χάρις, αὐτή ἡ θέωσις, ἄκτιστός ἐστι, καί ὁ θεῖος παρρησίᾳ Μάξιμος ἀπαγγελεῖ γράφων· «τοῦτό ἐστι τό τοῦ Θεοῦ Εὐαγγέλιον πρεσβεία Θεοῦ πρός ἀνθρώπους δι᾿ Υἱοῦ σαρκωθέντος καί μισθόν δωρουμένου τοῖς αὐτῷ πειθομένοις τήν ἀγέννητον θέωσιν». Καί πάλιν, «ἡ θεία χάρις μένει κἀν τῇ μεθέξει τῶν ἀπολαυόντων αὐτῆς ἀκατάληπτος, ὅτι κατά φύσιν ὡς ἀγέννητος ἔχει τήν ἀπειρίαν». Καί πάλιν, «πάσχομεν ὡς ὑπέρ φύσιν οὖσαν κατά χάριν, ἀλλ᾿ οὐ ποιοῦμεν τήν θέωσιν». Καί πάλιν, «μόνης τῆς θείας χάριτος ἴδιον τοῦτο πέφυκεν εἶναι τό ἀναλόγως τοῖς οὖσι χαρίζεσθαι θέωσιν, λαμπρυνούσης τήν φύσιν τῷ ὑπέρ φύσιν φωτί καί τῶν οἰκείων ὅρων αὐτήν ὑπεράνω κατά τήν ὑπερβολήν τῆς δόξης ποιουμένης». Διό καί ὁ μέγας φησί Βασίλειος· «Τό Πνεῦμα τό ἅγιον ἐξέχεεν ἐφ᾿ ἡμᾶς ὁ Θεός πλουσίως διά Ἰησοῦ Χριστοῦ, ἐξέχεεν, οὐκ ἔκτισεν, ἐχαρίσατο, οὐκ ἐδημιούργησεν, ἔδωκεν, οὐκ ἐποίησεν». Τί οὖν ἐξέχεε καί ἐχαρίσατο καί ἔδωκεν ἡμῖν ὁ Θεός διά τοῦ Ἰησοῦ Χριστοῦ; Ἆρα τήν οὐσίαν ἤ τήν χάριν τοῦ ἁγίου Πνεύματος; Τήν θεοποιόν πάντως χάριν, καθάπερ καί ὁ χρυσόστομος θεολόγος Ἰωάννης φησίν ὅτι «οὐχ ὁ Θεός, (σελ. 812) ἀλλ᾿ ἡ φύσις ἐκχεῖται»· διά ταύτης γάρ καί ἡ τοῦ Πνεύματος φύσις ἄκτιστος οὖσα καί γνωρίζεται καί δείκνυται, μηδεμίαν ἔκφανσιν ἔχουσα καθ᾿ ἑαυτήν. Σαφῶς οὖν ἄκτιστος ἡ χάρις αὕτη, καί τοσοῦτο σαφῶς, ὡς καί τό ταύτης ἀποτέλεσμα, τῶν κεχαριτωμένων θείως καί τεθεωμένων ἕκαστον, φημί ἄναρχον, ἀΐδιον, ἀτελεύτητον, ταὐτό δ᾿ εἰπεῖν ἄκτιστον καλεῖσθαι κατ᾿ αὐτήν. Κατά γάρ τό θεῖον πάλιν Μάξιμον «ὁ τοῦ ἀεί εὖ εἶναι λόγος κατά χάριν τοῖς ἀξίοις παραγίνεται τόν Θεόν ἐπιφερόμενος τόν πάσης ἀρχῆς καί τέλους κατά φύσιν ἀνώτερον, ποιοῦντα τούς ἀρχήν ἔχοντας κατά φύσιν καί τέλος ἀνάρχους κατά χάριν καί ἀτελευτήτους», ἐπεί καί ὁ μέγας Παῦλος, τήν χρονικήν μηκέτι ζῶν ζωήν, ἀλλά «τήν τοῦ ἐνοικήσαντος λόγου θείαν καί ἀΐδιον», ἄναρχος γέγονε καί ἀτελεύτητος χάριτι, καί Μελχισεδέκ «οὔτε ἀρχήν ἡμερῶν, οὔτε ζωῆς

τέλος ἔσχεν», οὐ διά τήν φύσιν τήν κτιστήν, δι᾽ ἥν τοῦ εἶναι ἤρξατο καί ἔληξεν, ἀλλά διά τήν χάριν τήν θείαν καί ἄκτιστον καί ἀεί οὖσαν ὑπέρ πᾶσαν φύσιν καί χρόνον ἐκ τοῦ ἀεί ὄντος Θεοῦ. Κτιστός οὖν ἦν ὁ Παῦλος μόνον μέχρις ἄν ἔζη τήν προστάγματι Θεοῦ ἐξ οὐκ ὄντων γεγονυῖαν ζωήν˙ ὅτε δέ μή ταύτην ἔζη, ἀλλά τήν ἐνοικήσει τοῦ Θεοῦ προσγενομένην, ἄκτιστος γέγονε τῇ χάριτι, καθά καί ὁ Μελχεσεδέκ καί πᾶς ὁ ζῶντα καί ἐνεργοῦντα μόνον τόν τοῦ Θεοῦ λόγον ἐν ἑαυτῷ κτησάμενος.

Ταῦτα ἄρα καί ὁ μέγας φησί Βασίλειος ὅτι «τό κινηθέν ὑπό Πνεύματος ἁγίου κίνησιν ἀΐδιον ζῶον ἅγιον ἐγένετο˙ ἔσχε δέ ἀξίαν ἄνθρωπος, Πνεύματος εἰσοικισθέντος ἐν αὐτῷ, προφήτου, ἀποστόλου, ἀγγέλου, Θεοῦ, ὤν πρότερον γῆ καί σποδός». Καί πάλίν, «διά πνεύματος ἁγίου κοινωνόν γενέσθαι τῆς χάριτος τοῦ Χριστοῦ, τέκνον φωτός χρηματίζειν, δόξης ἀϊδίου μετέχειν». Ὁ δέ Νύσσης θεῖος Γρηγόριος «ἐκβαίνει» φησί «τήν ἑαυτοῦ φύσιν ὁ ἄνθρωπος (σελ. 614) ἀθάνατος ἐκ θνητοῦ καί ἐξ ἐπικήρου ἀκήρατος καί ἐξ ἐφημέρου ἀΐδιος καί τό ὅλον Θεός ἐξ ἀνθρώπου γινόμενος˙ ὁ γάρ Θεοῦ Υἱός γενέσθαι καταξιωθείς ἕξει πάντως ἐν ἑαυτῷ τοῦ Πατρός τό ἀξίωμα». Τοιοῦτοι μέν οὖν οἱ θεοειδεῖς πάντες κατά τήν χάριν ὥσπερ καί θεοί. Αὐτή δ᾽ ἡ χάρις ἄκτιστος οὐ κατά χάριν (ἔσται γάρ χάρις χάριτος καί ταύτης πάλιν ἄλλη καί τοῦτ᾽ ἐπ᾽ ἄπειρον οὐ στήσεται προβαῖνον˙ ἄκτιστος οὖν ὡς ἀληθῶς ἡ χάρις. Τόν γάρ κενόφρονα ληρεῖν ἐᾶν, μίμησιν φυσικήν εἶναι λέγοντα τήν χάριν ταύτην, ἐπεί πολλαί τε καί δειναί καί ἀπό τούτου τίκτονται αἱρέσεις καί κατά τόν θεῖον πάλιν Μάξιμον «θεώσεως οὐδέν γενητόν κατά φύσιν ἐστί ποιητικόν, καί τῆς κατά φύσιν δυνάμεως οὐδαμῶς ἡ θέωσις ὑπάρχει κατόρθωμα». Σύ δή φύλαττέ μοι τήν καλήν ταύτην τῶν πατέρων παρακαταθήκην ὅτι ἄκτιστος ἡ θεία χάρις ὡς φύσεως ἐνέργεια Θεοῦ καί κατά τόν ἅγιον Ἰσαάκ «ὡς δόξα τῆς φύσεως αὐτοῦ». Μόνον δέ ἄκτιστον εἰπών τις τόν Θεόν, καί τάς αὐτοῦ φυσικάς ἐνεργείας συμπεριείληφεν ἁπάσας. Τί οὖν ἔτι δεῖ ζητεῖν καί διαιρεῖν;

Ἀλλ᾽ ὁ κενόφρων οὗτος, τά βαθέα τοῦ Σατανᾶ μεμυημένος καί κτιστάς δυσσεβῶς δοξάζων τάς θείας ἐνεργείας, μίαν ἄκτιστον δολίως κηρύττει θεότητα μόνην, τήν θείαν φύσιν, ὡς εὐπαράδεκτος εἴη τοῖς μή καλῶς εἰδύσι τάς φραφάς κτιστάς ἀποφαινόμενος τάς θείας ἐνεργείας, μάλιστα δέ τήν θεοποιόν χάριν τοῦ παναγίου Πνεύματος κακῶς διαιρῶν τῆς ὑπερουσίου φύσεως ἐκείνης. Μή ἀγνοήσαντες οὖν

ἡμεῖς τήν τοιαύτην πανουργίαν ἥκιστα συνεθέμεθα τοῖς ὑπ᾽ αὐτοῦ προτεινομένοις, μᾶλλον δέ οὐδέ φάναι τι πρό τῆς ἀκριβοῦς ἐρεύνης ἠξιώσαμεν˙ προὐκαλεσάμεθα δέ αὐτός εἰς λόγους, ἵνα φανερά γένηται ἡ εὐσεβής διάνοια. Ὁ δέ ὑπέπτηξε καί οὐδέ γρύξαι, πίστευσον, ἐτόλμησε, πολλῶν παρόντων. Εἰ δέ νῦν πονηρά διά τοῦτο κηρύττει (σελ. 616) καθ᾽ ἡμῶν αὐτόσε, χαρᾶς ἡμῖν πρόξενος γίνεται καί μισθοῦ πολλοῦ τοῦ ἐν τοῖς οὐρανοῖς. Διό καί τῷ ἐπαγγειλαμένῳ ταῦτα λέγομεν 'Κύριε, μή στήσῃς αὐτῷ τήν ἁμαρτίαν ταύτην', εἰ καί διά τούς βλαπτομένους ὀδυνώμεθα. Τοῦθ᾽ οὕτως ἔχειν σχεδόν πάντες οἱ ἐνταῦθα συμμαρτυρήσουσι.

Μετά μέντοι τήν πρός τό ἅγον ὄρος ἡμῶν ἀποδημίαν ἐν ᾧ καί Τόμον ἐν ἑπτά κεφαλαίοις πρός τά παρ᾽ αὐτοῦ κατά τῶν ὀρθοδόξων γεγραμμένα πεποιήκαμεν ὑπογεγραμμένον παρά τε τοῦ ὁσιωτάτου πρώτου καί τῶν ἡγουμένων καί τῶν λογάδων γερόντων καί τοῦ ἱερωτάτου ἐπισκόπου Ἱερισσοῦ, συμφωνούτων πάντων ἡμῖν καί ἀποφηναμένων μή παραδέξασθαι εἰς κοινωνίαν τόν μή συμφωνοῦντα, ὅστις ἄν ᾖ, μετά τοῦτο τοίνυν, ἐνῆν ἡμῖν εὐθύ τῆς Κωνσταντίνου χωρεῖν˙ ἀλλά πρῶτον μέν ἐπί νοῦν ἐβαλόμην ὡς ὁ τῶν πατέρων Θεός ἐγερεῖ κἀκεῖ τούς ὑπέρ αὐτῶν λαλήσοντας, ἔπειτα καί τοῦτ᾽ ἔλεγονἐπ᾽ ἐμαυτοῦ˙ "δῶμεν ἐκείνῳ τῷ ταλαιπώρῳ ταῖς γοῦν κεναῖς ἐλπίσιν ἀναπνεῦσαι μικρόν, μή καί αὐτόχειρ γένηται". Καί γάρ λέγοντος ἤκουσα παρόντος ἐνταυθοῖ διά στόματος, ὡς πολλάκις ἐκινδύνευσε διαρραγῆναι τῇ ἀμηχανίᾳ δήπου καί τῷ θυμῷ. Ἡνίκα καί πρός αὐτόν, αὐτόν ἐλεήσας, εἶπον μηδέν ἕτερον εἶναι τό βιαζόμενον ἡμᾶς σφοδρῶς ἀντιλέγειν ἤ ὅτι αἱρετικούς λέγει τούς μοναχούς, κἄν τοῦτο μέν ἀφῇ καί τά ἐπί τούτῳ συγγράμματα, φῇ δέ μή πληροφορεῖσθαι πρός τά ἐκείνων, στήσεται τά τοῖς ἀντιλογίας˙ αὐτοῦ γάρ βραχύς ἡμῖν ὁ λόγος. Τοῦτο μέν ἐγώ πρός αὐτόν εἶπον. Ὁ δ᾽ ἐπῄνεσε καί ὑπέσχετο πράξειν. Ἐπί δέ τοῦ μεγάλου διοικητοῦ, συνόντος ἐπίτηδες ἡμῖν, καί διετείνατο μεταποιῆσαι μέν τά κατά τῶν μοναχῶν συγγράμματα, πρώτῳ δέ πάντων εν σχεδίοις ὑποδεικνύειν ἐμοί τά μετασκευασμένα, κἄν ἔτι μοι δοκῶσι δεῖσθαί τινος μεταποιήσεως, ὥστε μηδένα πλήττειν, (σελ. 618) πείθεσθαι καί μεταπλάττειν. (Οὔπω γάρ τότε φανερός ἦν καί κατ᾽ ἐμοῦ μεμηνώς), ἀλλ᾽ ὑπέστη μέν ταῦτα, γέγραφε δέ οἷα βλέπεις˙ ἐξ ἐκείνου γάρ ὅλος ἰδίως ἐρρύη κατ᾽ ἐμοῦ˙ ταῦτα δέ καί ἡμεῖς παρ᾽ ἡμῖν αὐτοῖς ἔχομέν τε καί ἀνετάζομεν, καθάπερ ἀλλοφύλων τέκνα ζωγρήσαντες. Ἐπιλείψει

δέ με ὁ χρόνος τό μεταξύ διηγούμενον, καί ὅπως τάς ἐμάς διαδράναι χεῖρας οὐκ ἴσχυσεν. Ἔργῳ τοίνυν ἀναπέφηνε νῦν ὡς ἐκεῖνος ποιήσει μέγα ἔλεος μετ᾽ αὐτοῦ, ὅς σφοδροτέρᾳ χρησάμενος ἀντιθέσει τά πονηρά ταυτί συγγράμματα διασπάσει τελέως˙ οὐ γάρ ἠρεμήσει νυττόμενος ὑπ᾽ἐκείνων καί προσδοκῶν τινας διαθήσειν κακῶς.

Κάτεχέ μοι τοίνυν αὐτοῦ τήν πονηράν δέλτον καί τόν ταύτης πατέρα˙ πρός γάρ φυγήν χωρήσει πυθόμενος ἥξοντα˙ ἥξω δ᾽ ἤν ἐθέλῃ Θεός μετά τοῦ κρατίστου καί ἁγίου ἡμῶν αὐτοκράτορος ὡς ἄν πατάξωμεν τόν ἄνδρα τοῖς λόγοις καί ἰασώμεθα. Παντός μέντοι μᾶλλον ἔπεισί μοι θαυμάζειν ἀρτίως πῶς ἐξηπάτησεν ὑμᾶς˙ ὡς καινοῦ τινος νῦν γραφέντος ἤ λεχθέντος αὐτός ἐπιλαβόμενος τό τῆς διθεΐας ἔγκλημα συνεστήσατο˙ τοῦτο γάρ αὐτό ἐστιν, εὖ ἴσθι, ὅπερ ἐξ ἀρχῆς καί πρίν ἐντυχεῖν ἡμῖν καί μέχρι τέλους λέγει ὡς, «ἐπειδή τινα τῶν νῦν ἤ τῶν πώποτε ἐν φωτί φατε Θεόν ἰδεῖν, ἔστι δέ ὁ Θεός ἀόρατος, δύο ἄρα θεοί καί θεότητες, ὁρατός καί ἀόρατος, ὑφειμένος καί ὑπερκείμενος». Τότε δ᾽ οἴεται καλῶς ἡμᾶς ἐρεῖν ἡνίκ᾽ ἄν φαῖμεν τό περιαστράψαν ἐν Θαβώρ τούς ἀποστόλους φῶς καί τήν τοιαύτην ἔλλαμψιν καί χάριν ἤ κτιστόν φάσμα δι᾽ ἀέρος ὁρώμενον ἤ πλάσμα φαντασιωδῶς πλαττόμενον, νοήματός τε χεῖρον καί ἀλυσιτελές πάντῃ λογικῇ ψυχῇ, ὡς φαντασίᾳ προσῆκον ἤ αἰσθήσει, σύμβολόν τε, οὐχ οἷον ἄν τις εἴποι καί τι τῶν ὑφεστηκότων ἤ τῶν περί τι θεωρουμένων, ἀλλ᾽ ἔστι μέν (σελ. 620) ὅτε φαίνεσθαι δοκοῦν, ὄν δέ οὐδέποτε, ὡς ἀνύπαρκτον τελέως.

Ἡμεῖς δέ οὐχ οὕτως ἐδιδάχθημεν. Τοῦτο δέ φαμεν, ὡς, εἴ τις ἐν τοῖς ἡμετέροις γράμμασιν ἡμᾶς καινοτομοῦντας δείξει καί παρά τά τοῖς πατράσιν εἰρημένα τε καί ἐγνωσμένα γράφοντάς τι ἤ φρονοῦντας, τοῦτον ἡμεῖς ὡς διορθωτήν ἡμῶν ἀκουσίως σφαλλομένων ἀποδεξόμεθα καί εἴξομεν αὐτῷ πῶς ἄν εἴποις ἄσμενοι, συμφωνοῦντες δέ τοῖς ἁγίοις, εἴ τις ἐθέλει κακῶς τι λέγειν ἤ κακῶς διατιθέναι, καί τοῦτ᾽ οἴσομεν προθύμως ἵνα καί τῆς εὐλογίας καί τῆς ἐν Θεῷ εὐπαθείας τοῖς ἁγίοις κονωνήσωμεν. Ἀνεῖναι δέ πρός τόν κατήγορον αὐτῶν ἀντιλέγοντες οὐκ ἀνεξόμεθα. Πρός τούς ἁγίους γάρ ἴσθι καί τόν πόλεμον ἐνεγηγερμένον καί τήν ὕβριν τῆς διθεΐας ἀναφερομένην˙ καί γάρ ἐκ τῶν παρ᾽ αὐτῶν εἰρημένων ταύτην ἐκβαίνειν ὁ κενόφρων οἴεται˙ λανθάνειν δέ τούς ἀκούοντας βουλόμενος, ποτέ μέν ἀνωνύμως, ποτέ δ᾽ ἡμῶν ἕνα, ποτέ δέ τινα τῶν πάλαι ποτέ αἱρετικῶν ἐκείνων προφασίζεται. Μηδείς τοίνυν ὑποδειλιάσας ἑαυτόν ἐκτός

ποιείτω τοῦ δοκοῦντος ἐγκλήματος· αὐτός τε γάρ ζημιωθήσεται τῆς συμφωνίας ἐκείνης καί τοῦ θείου χοροῦ τῶν ἁγίων περιγράψας ἑαυτόν, καί ζημιώσει τόν ἀφρόνως διασπᾶν προῃρημένον τόν χορόν ἐκεῖνον καί τήν θαυμαστήν συμφωνίαν ἀμαυροῦν, θάρσος ἐμποιήσας οὐ μικρόν αὐτῷ.

# *Άγιος Γρηγόριος ο Παλαμάς*

**(Τόμος 2ος)**

## ΠΕΡΙΕΧΟΜΕΝΑ


ΠΕΡΙΕΧΟΜΕΝΑ....193
ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΠΑΛΑΜΑ ΤΟΜΟΣ Β' ....195
ΥΠΕΡ ΗΣΥΧΑΖΟΝΤΩΝ. (Σελ. 56)....195
ΕΡΩΤΗΣΙΣ ΠΡΩΤΗ ....195
ΑΠΟΚΡΙΣΙΣ ΠΡΩΤΗ....195
ΛΟΓΟΣ ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ ....196
ΚΑΤΑ ΤΙ ΚΑΙ ΜΕΧΡΙ ΤΙΝΟΣ ΛΥΣΙΤΕΛΗΣ....196
Η ΠΕΡΙ ΛΟΓΟΥΣ ΤΡΙΒΗ. (Σελ. 60)....196
ΕΡΩΤΗΣΙΣ ΔΕΥΤΕΡΑ (Σελ. 116)....214
ΑΠΟΚΡΙΣΙΣ ΔΕΥΤΕΡΑ (Σελ. 120) ....215
ΛΟΓΟΣ ....215
ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ ....215
ΤΩΝ ΠΡΟΤΕΡΩΝ Ο ΔΕΥΤΕΡΟΣ ....215
ΟΤΙ ΤΟΙ ΠΡΟΗΡΗΜΕΝΟΙΣ ΕΝ ΗΣΥΧΙΑ ΠΡΟΣΕΧΕΙΝ ....215
ΕΑΥΤΟΙΣ ΟΥΚ ΑΣΥΝΤΕΛΕΣ ΕΝΔΟΝ ΤΟΥ ΣΩΜΑΤΟΣ....215
ΠΕΙΡΑΣΘΑΙ ΚΑΤΕΧΕΙΝ ΤΟΝ ΟΙΚΕΙΟΝ ΝΟΥΝ....215
ΕΡΩΤΗΣΙΣ ΤΡΙΤΗ (Σελ. 146)....224
ΑΠΟΚΡΙΣΙΣ ΤΡΙΤΗ....225
ΛΟΓΟΣ ....225
ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ ....225
ΤΩΝ ΠΡΟΤΕΡΩΝ Ο ΤΡΙΤΟΣ ....225
ΠΕΡΙ ΦΩΤΟΣ ΚΑΙ ΦΩΤΙΣΜΟΥ ΘΕΙΟΥ ΚΑΙ ΙΕΡΑΣ ΕΥΔΑΙΜΟΝΙΑΣ.225
ΚΑΙ ΤΗΣ ΕΝ ΧΡΙΣΤΩ ΤΕΛΕΙΟΤΗΤΟΣ....226
ΛΟΓΟΣ ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ ....266
ΤΩΝ ΥΣΤΕΡΩΝ Ο ΠΡΩΤΟΣ (Σελ. 260) ....266
ΔΙΗΓΗΣΙΣ ΚΑΙ ΑΝΑΤΡΟΠΗ ΤΩΝ ΥΠΟ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ....266

ΒΑΡΛΑΑΜ ΣΥΓΓΡΑΦΕΝΤΩΝ ΚΑΤΑ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ266
ΤΙΣ Η ΟΝΤΩΣ ΣΩΤΗΡΙΟΣ ΓΝΩΣΙΣ ΚΑΙ ΤΟΙΣ ΟΝΤΩΣ ........................266
ΜΟΝΑΧΟΙΣ ΠΕΡΙΣΠΟΥΔΑΣΤΟΣ Η ΚΑΤΑ ΤΩΝ ΛΕΓΟΝΤΩΝ...........266
ΤΗΝ ΕΚ ΤΗΣ ΕΞΩ ΠΑΙΔΕΙΑΣ ΓΝΩΣΙΝ ΟΝΤΩΣ ΣΩΤΗΡΙΟΝ ............266
ΛΟΓΟΣ ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ ..........................................298
ΤΩΝ ΥΣΤΕΡΩΝ Ο ΔΕΥΤΕΡΟΣ (Σελ. 348) .................................................298
ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ........................................................................................298
ΛΟΓΟΣ ................................................................................................................322
ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ ..........................................................322
ΤΩΝ ΥΣΤΕΡΩΝ Ο ΤΡΙΤΟΣ. Σελ. (410) ........................................................322
ΠΕΡΙ ΦΩΤΟΣ ΙΕΡΟΥ .........................................................................................322
ΛΟΓΟΣ ΠΡΩΤΟΣ ΚΑΤΑ ΤΩΝ ΔΕΥΤΕΡΩΝ (Σελ. 568) ............................380
ΕΛΕΓΧΟΣ ΤΩΝ ΣΥΜΒΑΙΝΟΝΤΩΝ ΑΤΟΠΩΝ ........................................380
ΕΚ ΤΩΝ ΔΕΥΤΕΡΩΝ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΒΑΡΛΑΑΜ ΣΥΓΓΡΑΜΜΑΤΩΝ Ἤ ΠΕΡΙ ΘΕΩΣΕΩΣ ...............................................380
ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ ΚΑΤΑ ΤΩΝ ΔΕΥΤΕΡΩΝ (σελ. 646) ........................409
ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΚΒΑΙΝΟΝΤΩΝ ΑΤΟΠΩΝ .....................................409
ΕΚ ΤΩΝ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΒΑΡΛΑΑΜ ΠΡΟΤΑΣΕΩΝ ........................409
ΚΑΤΑ ΤΩΝ ΔΕΥΤΕΡΩΝ Ο ΤΡΙΤΟΣ (Σελ. 694)..........................................427
ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΚΒΑΙΝΟΝΤΩΝ ΑΤΟΠΩΝ .....................................427
ΕΚ ΤΩΝ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΒΑΡΛΑΑΜ ΣΥΜΠΕΡΑΣΜΑΤΩΝ..........427

## ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΠΑΛΑΜΑ ΤΟΜΟΣ Β’

**ΥΠΕΡ ΗΣΥΧΑΖΟΝΤΩΝ. (Σελ. 56)**
**ΕΡΩΤΗΣΙΣ ΠΡΩΤΗ**

Ἐπειδή τινων ἤκουσα λεγόντων δεῖν μεταδιώκειν τήν ἔξω σοφίαν καί τούς μονάζοντας, ὡς ἄνευ ταύτης οὐκ ἐνόν ἀγνοίας καί ψευδῶν ἀπαλλαγῆναι δοξασμάτων, κἄν εἰς ἀπάθειαν ἀφίκηταί τις ἄκραν, οὐδέ τελειότητός τε καί ἁγιότητος ἐπιλαβέσθαι, εἰ μή πανταχόθεν τό εἰδέναι συλλέξει, μάλιστα δέ τῆς καθ᾽ Ἕλληνας παιδείας, θεοῦ γάρ καί αὕτη δῶρον τῶν προφήταις καί ἀποστόλοις δι᾽ ἀποκαλύψεως δεδομένων ὁμοίως, καί γνῶσις δι᾽ αὐτῆς τῶν ὄντων τῇ ψυχῇ προσγίνεται καί τό γνωστικόν κρεῖττον ὄν ἁπασῶν τῶν τῆς ψυχῆς δυνάμεων κοσμεῖ, πᾶσάν τε ἄλλην κακίαν ἐξορίζει τῆς ψυχῆς, καί γάρ πᾶν πάθος ἐξ ἀγνοίας φύεταί τε καί κρατύνεται, ἀλλά καί εἰς τήν τοῦ Θεοῦ γνῶσιν ποδηγεῖ τόν ἄνθρωπον˙ ἄλλως γάρ οὐκ ἔνι γνῶναι τόν Θεόν, εἰ μή διά τῶν αὐτοῦ κτισμάτων ἐπειδή ταῦτ᾽ ἤκουσα λεγόντων, ἥκιστα μέν ἐπείσθην, τῆς μικρᾶς ἐν τῇ μοναχικῇ πολιτείᾳ μοι πείρας πᾶν τοὐναντίον προδειξάσης, ἀπολογήσασθαι δέ πρός αὐτούς οὐκ ἠδυνήθην, ἐπεί καί λόγον ὑψηλότερόν τινά φασιν, ὡς «οὐχ ἁπλῶς τῆς τε φύσεως πολυπραγμονοῦμεν τά μυστήρια καί τόν οὐρανοῦ καταμετροῦμεν κύκλον καί τάς ἀντιτεταγμένας τῶν ἄστρων κινήσεις ἐρευνώμεθα, συνόδους τε καί ἀποστάσεις καί ἐπιτολάς τάς τούτων καί τά ἐκ τούτων συμβαίνοντα θηρώμεθα καί μέγα φρονοῦμεν ἐπί τούτοις, ἀλλ᾽ ἐπεί τούτων μέν οἱ λόγοι ἐν τῷ θείῳ καί πρώτῳ καί δημιουργικῷ νῷ, τῶν δ᾽ ἐν ἐκείνῳ (σελ. 58) λόγων αἱ εἰκόνες ἔνεισι τῇ καθ᾽ ἡμᾶς ψυχῇ˙ τούτων οὖν ἐν ἐπιγνώσει σπεύδομεν γενέσθαι καί διαιρετικαῖς καί συλλογιστικαῖς καί ἀναλυτικαῖς μεθόδοις τῶν τῆς ἀγνοίας ἑαυτούς τύπων ἀπαλλάξαι καί οὕτω καθ᾽ ὁμοίωσιν, ζῶντές τε καί μετά θάνατον, εἶναι τοῦ ποιήσαντος». Ἐπεί οὖν πρός ταῦτα οὐχ ἱκανός εἶναι ἀντιπεῖν ἐνόμισα, σιωπήσας πρός ἐκείνους τότε, παρά σοῦ νῦν ἀξιῶ, πάτερ, διδαχθῆναι τούς ὑπέρ τῆς ἀληθείας λόγους, ὡς ἕτοιμος γενοίμην κατά τόν ἀπόστολον «λόγον διδόναι περί τῆς ἐν ἡμῖν ἐλπίδος».

***ΑΠΟΚΡΙΣΙΣ ΠΡΩΤΗ***

## *ΛΟΓΟΣ ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ ΚΑΤΑ ΤΙ ΚΑΙ ΜΕΧΡΙ ΤΙΝΟΣ ΛΥΣΙΤΕΛΗΣ Η ΠΕΡΙ ΛΟΓΟΥΣ ΤΡΙΒΗ. (Σελ. 60)*

Ἀδελφέ, «καλόν χάριτι βεβαιοῦσθαι τήν καρδίαν», ἀποστολικῶς εἰπεῖν˙ λόγῳ δέ πῶς ἄν ἐνδείξατό τις τό ὑπέρ λόγον ἀγαθόν; Χρή τοίνυν καί κατά τοῦτό σε χάριτας ὁμολογεῖν Θεῷ χάριν παρασχόντι τοιαύτην, ἥ τοῖς τά πάντα οἰομένοις εἰδέναι περιουσίᾳ σοφίας οὐδ᾽ ἐπί νοῦν ἔρχεται, Κἄν μή τούτοις ἀντιλέγειν ἔχῃς, καίτοι τῆς ἀληθείας μή καταστοχαζομένους εἰδώς, δυσχεραίνειν οὐ δεῖ. Σύ μέν γάρ ἔργῳ πεπεισμένος, πάντῃ τε καί πάντως εἰς τό διηνεκές ἐστηριγμένος ἔσῃ καί ἀπερίτρεπτος, μόνιμον ἔχων παρά σεαυτῷ τήν τῆς ἀληθείας ἵδρυσιν. Οἱ δέ λογικαῖς ἀποδείξεσιν ἐπερειδόμενοι περιτραπήσονται πάντως κἄν μή νῦν ὑπό σοῦ˙ καί γάρ «λόγῳ παλαίει πᾶς λόγος», δηλαδή καί ἀντιπαλαίεται, καί τόν νικῶντα λόγον διά τέλους εὑρεῖν ἀμήχανον, ὡς εἶναι τῆς οἰκείας ἥττης ἀνέλπιδα˙ καί τοῦτ᾽ ἔδειξαν Ἑλλήνων παῖδες καί οἱ κατ᾽ ἐκείνους σοφοί, κρείττονι τῷ δοκεῖν δείξει λόγου διηνεκῶς ἀλλήλους ἀνατρέποντες καί ὑπ᾽ ἀλλήλων ἀνατρεπόμενοι.

Πρός οὖν τούς ἐκείνοις προσέχοντας διά βίου καί θηρωμένους γνῶσιν ἐκ τῆς ἔξω παιδείας καί ταύτην ἐπί τοσοῦτον ἐγκωμιάζοντας ταῦτ᾽ εἰπών, ἀποχρώντως τε καί πρεπόντως, ἐμοί γε δοκεῖν, ἐρεῖς, ὡς «οὐ μᾶλλον γνῶσιν (σελ. 62) ἤ ἀγνωσίαν ἐκ τούτων ὑμῖν αὐτοῖς περιποιεῖσθε, ὦ βέλτιστοι». Καθάπερ γάρ οἱ τῆς παρ᾽ ἀνθρώπων ἐφιέμενοι δόξης καί πάνθ᾽ ὑπέρ αὐτῆς πράττοντες ἀδοξίας μᾶλλον ἤ δόξης ἐπιτυγχάνουσιν, ἐπείπερ ἄλλοις ἄλλα ἀρέσκει, τόν αὐτόν τρόπον καί οἱ παρά τῶν ἔξω σοφῶν τήν γνῶσιν θηρώμενοι μᾶλλον ἀγνωσίαν κατ᾽ αὐτούς ἐκείνους ἤ γνῶσιν καρποῦνται˙ διαφέρουσι γάρ ἀλλήλων αἱ δόξαι καί διαφέρονται πρός ἀλλήλας καί οἱ ἀντικείμενοι πλείους τῶν ὁμολογούντων ἑκάστῃ. Τό δέ πιστεύειν εἰρηκέναι τινά τούτων δυνηθῆναι τούς ἐν τῷ δημιουργικῷ νῷ λόγους, μή καί λίαν πλημμελές ᾖ˙ «τίς γάρ ἔγνω νοῦν Κυρίου;» φησίν ὁ ἀπόστολος˙ εἰ δέ μή τούτους, οὐδέ τάς ἐν τῇ ψυχῇ τούτων εἰκόνας ἐκ τῆς ἔξω σοφίας συνιδεῖν ἐστι. Ψευδογνωσία τοίνυν ἐστίν ἡ ἐκ ταύτης τῆς σοφίας τό κατ᾽ εἰκόνα θεῖαν θηρωμένη γνῶσις. Οὔκουν, οὐκ ἔσται δι᾽ αὐτήν τῇ αὐτοαληθείᾳ ἐμφερής ἡ ταύτην ἔχουσα ψυχή, ἀλλ᾽ οὐδέ ποδηγοῖτο ἄν πρός τήν ἀλήθειαν ἐκ ταύτης˙ καί ἡ καύχησις λοιπόν

ματαία τῶν ἐπ᾽ αὐτῇ τούτου γε ἕνεκα σεμνυνομένων. Ἀκουέτωσαν Παύλου σαρκικήν σοφίαν καλοῦντος τήν θύραθεν, ὅς καί «νοῦν σαρκός» λέγει τήν «φυσιοῦσαν γνῶσιν». Ἡ τοίνυν τῆς σαρκός σοφία πῶς τῇ ψυχῇ τό κατ᾽ εἰκόνα παρέξεται; «Βλέπετε», φησί, «τήν κλῆσιν ἡμῶν˙ οὐ πολλοί σοφοί κατά σάρκα, οὐ πολλοί δυνατοί, οὐ πολλοί εὐγενεῖς». Ὡς οὖν ἡ τῆς σαρκός εὐγένειά τε καί δύναμις τήν ψυχήν οὐκ ἐνδυναμώσειεν ἄν οὐδ᾽ ἐξευγενίσειεν, οὕτως οὐδ᾽ ἡ τῆς σαρκός (σελ. 64) σοφία σοφήν ἀπεργάσεται τήν διάνοιαν. Καί ὄντως ἀρχή σοφίας γνῶναι σοφίαν, ὥστε διελέσθαι καί προελέσθαι τῆς χαμερποῦς καί γηΐνης καί ἀνονήτου τήν μεγαλωφελῆ καί οὐρανίαν καί πνευματικήν καί παρά Θεοῦ καί πρός Θεόν ἐρχομένην καί Θεῷ τούς κτησαμένους συμμόρφους ἀποδεικνῦσαν.

Οὐ μήν, ἀλλ᾽ ἐπεί, καθάπερ κἀκεῖνοι λέγουσι, τῶν ἐν τῇ δημιουργικῷ νῷ λόγων αἱ εἰκόνες ἐν ἡμῖν εἰσι, τί τό ταύτας τήν ἀρχήν ἀχρειῶσαν τάς εἰκόνας; Οὐχ ἡ ἁμαρτία καί ἡ τοῦ πρακτέου εἴτε ἄγνοια εἴτε περιφρόνησις; Διατί μή ἀδιδάκτως ἐνορῶμεν ταύτας, ἐν ἡμῖν αὐτοῖς οὔσας ἐντετυπωμένας; Οὐχ ὅτι τό παθητικόν μέρος τῆς ψυχῆς κακῶς ἐπαναστάν αὐτάς τε διέστρεψε καί τό διορατικόν αὐτῆς συνέχεε καί μακράν ἐποίησε τῆς ἀρχετύπου καλλονῆς; Οὐκοῦν τούτου παντός μᾶλλον ἐπιμελητέον καί τῆς ἁμαρτίας ἀφεκτέον καί τόν νόμον τῶν ἐντολῶν διά πράξεως ἀναγνωστέον καί ἀρετῆς πάσης ἀνθεκτέον καί δι᾽ εὐχῆς καί θεωρίας ἀληθοῦς ἐπανιτέον πρός Θεόν, τόν βουλόμενον τό τε κατ᾽ εἰκόνα σῶν καί τήν ἀληθογνωσίαν σχεῖν. Καθαρότητος γάρ ἄνευ, κἄν μάθῃς τήν ἀπό Ἀδάμ μέχρι συντελείας φυσικήν φιλοσοφίαν, μωρός οὐδέν ἧττον, ὅτι μή καί μᾶλλον, ἔσῃ ἤ σοφός˙ ἐκείνης δέ ἄνευ, καθαρθείς καί τῶν πονηρῶν ἠθῶν καί δογμάτων ἀπαλλάξας τήν ψυχήν, τήν νικῶσαν τόν κόσμον τοῦ Θεοῦ σοφίαν κτήσῃ καί «τῷ μόνῳ σοφῷ Θεῷ» συνδιαιωνίσεις ἀγαλλόμενος. Δογμάτων δέ λέγω, οὐ τῶν περί μεγέθους κινήσεως οὐρανοῦ καί τῶν κατ᾽ οὐρανόν σωμάτων καί ὅσα διά ταῦτα γίνεται, οὐδέ γῆς καί τῶν περί γῆν καί τῶν ἐντεθησαυρισμένων ταύτῃ μετάλλων καί λίθων διαυγῶν, (σελ. 66) οὐδέ τῶν ἐκ τῆς διπλῆς ἀναθυμίασεως κατά τόν ἀέρα συμβαινόντων. Πρός γάρ ἐπιστήμην τῶν τοιούτων βλέποντες πᾶσαν ἀπαυθύνειν σπουδήν τε καί ζήτησιν αἵρεσίς ἐστιν ἑλληνική˙ οἱ γάρ Στωϊκοί πάντες τέλος τῆς θεωρίας τήν ἐπιστήμην ὁρίζονται.σ

Νῦν δή τινες, ὡς σύ φῄς, τοῦ τοῖς χριστιανοῖς προκειμένου τέλους, τῶν ἐπηγγελμένων ἡμῖν ἐπί τοῦ μέλλοντος αἰῶνος ἀρρήτων ἀγαθῶν,

ὡς ἐλαχίστου περιφρονήσαντες καί τήν ἐπιστήμην εἰς γνῶσιν μεταλαβόντες, τῇ τῶν κατά Χριστόν φιλοσοφούντων ἐπεισάγουσιν ἐκκλησίᾳ. Τούς γάρ οὐκ εἰδότας τάς μαθηματικάς ἐπιστήμας ἀνάγνους ἀποφαίνονται καί ἀτελεῖς˙ ἐντεῦθεν δ᾽ ἀνάγκη πάντας τῶν μέν ἑλληνικῶν ἀπρίξ ἀντέχεσθαι μαθημάτων, τῶν δ᾽ εὐαγγελικῶν κατολιγωρεῖν διδαγμάτων (παρ᾽ αὐτῶν γάρ οὐδέποτε γένοιτ᾽ ἄν τῆς τῶν κατ᾽ αὐτούς ἐπιστημῶν ἀγνοίας ἀπαλλαγή) καί τοῦ λέγοντος «γίνεσθι τέλειοι» καί «εἴ τις ἐν Χριστῷ τέλειος» καί «ἡμεῖς δέ λαλοῦμεν ἐν τοῖς τελείοις» καταμωκωμένους ἀναχωρεῖν, ὡς ἀπείρου πεντάπασιν ἐπιστήμης τοιαύτης. Οὐ ταύτης οὖν ἐγώ τῆς ἀγνοίας ἀπαλλαγήν ὑποτιθέμενος, καθαρότητα σωτήριον ἐκάλεσα ταύτην (οἶδα γάρ καί ἀνέγκλητον ἄγνοιαν καί γνῶσιν ἐγκεκλημένην) ˙ οὔκουν ταύτης, ἀλλά τῆς περί Θεοῦ καί τῶν θείων δογμάτων ἀγνοίας ἀπαλλαγείς, ὅσην οἱ καθ᾽ ἡμᾶς ἀπηγόρευσαν θεολόγοι, καί πᾶν ἦθος κατά τάς αὐτῶν βελτιώσας ὑποθήκας, γενήσῃ Θεοῦ σοφίας ἀνάπλεως, εἰκών ὄντως καί ὁμοίωμα Θεοῦ, διά μόνης τῆς τῶν εὐαγγελικῶν ἐντολῶν τηρήσεως τετελεσμένος. Ὅ καί ὁ τῆς Ἐκκλησιαστικῆς ἱεραρχίας ὑποφήτης Διονύσιος κατ᾽ αὐτήν ἀπεφήνατο σαφῶς˙ «ἡ γάρ πρός τόν Θεόν ἀφομοίωσίς τε καί ἕνωσις, ὡς τά θεῖα», φησί, «διδάσκει λόγια, ταῖς τῶν σεβασμιωτάτων ἐντολῶν ἀγαπήσεσι καί ἱερουργίαις μόνως τελεῖται». (σελ. 68) Εἰ δ᾽ οὐκ ἀληθής ὁ λόγος οὗτος, ἀλλ᾽ ἐκ τῆς ἔξω παιδείας τό κατ᾽ εἰκόνα τόν ἄνθρωπον εὑρεῖν καί ἰδεῖν ἐστιν, ὡς τούς χαρακτῆρας ἐπί τό κρεῖττον μεταρρυθμιζούσης καί τό σκότος τῆς ἀγνοίας ἐξαιρούσης τῆς ψυχῆς, οἱ καθ᾽ Ἕλληνας σοφοί θεοειδέστεροι ἄν εἶεν καί θεοπτικώτεροι τῶν πρό νόμου πατέρων καί τῶν ἐν τῷ νόμῳ προφητευσάντων, ὧν οἱ πλείους ἐξ ἀγροικικοῦ βίου πρός ταύτην τήν ἀξίαν ἐκλήθησαν. Ἰωάννης δέ, ἡ τῶν προφητῶν ὑστάτη κορωνίς, οὐκ ἐξ ἁπαλῶν ὀνύχων ἐπ᾽ ἐρημίας διετέλει τόν βίον ἀνύων; Οὐ τοίνυν πρός αὐτόν ὡς πρός ἀρχέτυπον ἀφορῶσιν ἕκαστος ὅπως ἔχει δυνάμεως τῶν ἀποταττομένων τῷ κόσμῳ; Παντί που δῆλον. Ποῦ τοίνυν ἐν ἐρημίᾳ διδασκαλεῖα τῆς ματαίας ὡς δ᾽ αὐτοί λέγουσι, σωτηρίαν φιλοσοφίας; Ποῦ πολύπτυχοι βίβλοι καί οἱ ταύταις διά βίου προστετηκότες καί τούς ἄλλους πείθοντες; Ποῦ δέ τῶν βιβλίων τούτων ὑπουῆκαι βίων τοιούτων ἐρημικῶν τε καί παρθενικῶν καί ἀγών ἀνάγραπτος, πρός μίμησιν ἐπαίρων τούς ἐντυγχάνοντας;

Καί ἵνα τοῦτον ἀφῶ τόν ἐν γεννητοῖς γυναικῶν ὑψηλότερον, ᾧ πρός τοσοῦτον ὕψος ἀναβεβηκότι τῆς, ὡς αὐτοί φασιν, ὁδηγούσης πρός Θεόν παιδείας οὐδέν ἐμέλησε (καί γάρ οὐδ᾽ ἱεραῖς οὗτος ἐντετύχηκε βίβλοις)˙ ἵνα τοίνυν τοῦτον ἀφῶμεν, ὁ πρό τῶν αἰώνων ὤν καί μετ᾽ αὐτῶν φανείς καί διά τοῦτο ἐλθών εἰς τόν κόσμον, ἵνα μαρτυρήσῃ τῇ ἀληθείᾳ καί ἀνακαινίσῃ τό κατ᾽ εἰκόνα καί πρός τό ἀρχέτυπον ἐπαναγάγῃ, πῶς οὐ παρέσχε ταύτην τήν διά τῶν ἔξω μεθόδων ἄνοδον; Πῶς δ᾽ οὐκ εἶπεν, « "εἰ θέλεις τέλειος εἶναι, τῆς ἔξω παιδείας ἐπιλαβοῦ, σπεῦσον πρός τήν τῶν μαθημάτων ἀνάληψην, (σελ. 70) περιποιῆσαι σεαυτῷ τήν ἐπιστήμην τῶν ὄντων" », ἀλλά «τά ὑπάρχοντα πώλησον, διάδος πτωχοῖς, τόν σταυρόν ἄρον, ἀκολουθεῖν ἐμοί προθυμήθητι»; Πῶς δ᾽ οὐκ ἐδίδαξεν καί σχηματισμούς καί ποσότητας καί τάς πολυπλανεῖς τῶν πλανητῶν ἀποστάσεις τε καί συνόδους, καί τῶν φυσικῶν προβλημάτων τάς ἀπορίας διέλυσεν, ὡς ἄν ἀπό τῆς ἡμετέρας ψυχῆς τό τῆς ἀγνοίας σκότος ἐξέληται; Τί δέ καί μαθητάς ἁλιεῖς, ἀγραμμάτους, ἀγροίκους, ἀλλά μή σοφούς, συνεκάλει, καί ταῦθ᾽ ἵνα καταισχύνῃ τούς ἔξω σοφούς, ὡς ὁ Παῦλός φησι; Πῶς οὖν καταισχύνει τούς πρός αὐτόν, ὡς οὗτοι λέγουσιν, ὁδηγοῦντας; Διατί δέ καί τήν σοφίαν αὐτῶν ἐμώρανε; Τίνος δέ χάριν καί διά τῆς μωρίας τοῦ κηρύγματος εὐδόκησε σῶσαι τούς πιστεύοντας; Οὐκ ἐπειδή διά τῆς σοφίας ὁ κόσμος οὐκ ἔγνω τόν Θεόν; Τί δέ καί μαθόντες οὕς φῄς; Λόγου Θεοῦ σωματικῶς ἐνδημήσαντος, ὅς ἐγενήθη ἡμῖν σοφία ἀπό Θεοῦ, καί τοῦ φωτός ἀνασχόντος, ὅ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τόν κόσμον, ἡμέρας τε διαυγασάσης καί φωσφόρου ἀνατείλαντος ἐν ταῖς καρδίαις ἡμῶν τῶν πιστῶν, κατά τό τῶν ἀποστόλων κορυφαῖον, αὐτοί τε δέονται θρυαλλίδος ἐπισκευαστῆς, τῆς ἀπό τῶν ἔξω φιλοσόφων γνώσεως πρός θεογνωσίαν ὁδηγούσης, καί τούς ἄλλους παραινοῦσιν, ἀφεμένοις τοῦ καθ᾽ ἡσυχίαν διά τῆς τῶν λογισμῶν ἐπιστασίας καθαίρειν ἑαυτούς καί δι᾽ ἀδιαλείπτου προσευχῆς προσανέχειν τῷ Θεῷ, καταγηρᾶν μάτην, λύχνῳ τυφομένῳ παρακαθημένους.

Ἆρ᾽ οὐδ᾽ ἐκεῖνο ποτ᾽ ἐπῆλθεν ἐπί νοῦν αὐτοῖς, ὡς ἐφέσει τε καί μεταλήψει τοῦ φυτοῦ τῆς γνώσεως ἐκπεπτώκαμεν ἐκείνου τοῦ θείου χωρίου τῆς τρυφῆς; Ἐργάζεσθαι γάρ αὐτό καί φυλάττειν κατά τήν ἐντολήν οὐκ ἐθελήσαντες, (σελ. 72) εἴξαμεν τῷ πονηρῷ συμβούλῳ τήν εἴσοδον κλέψαντι καί τῷ κάλλει θέλξαντι τῆς γώσεως τοῦ καλοῦ καί τοῦ πονηροῦ. Τάχα δή καί νῦν οὗτος τοῖς μή βουλομένοις ἐργάζεσθαι

καί φυλάττειν τήν ἑαυτῶν καρδίαν, κατά τήν τῶν πατέρων ὑφήγησιν, οὐρανίων σφαιρῶν τε καί τῶν κατ᾽ αὐτάς ἀκριβῆ γνῶσιν ἐπαγγέλλεται, πολυκινήτων τε καί ἀντιρρόπων, γνῶσιν οὖσαν καλοῦ καί πονηροῦ, τῷ μή ἐν τῇ ἑαυτῆς φύσει κεκτῆσθαι τό καλόν, ἀλλ᾽ ἐν τῇ τῶν χρωμένων προαιρέσει, συμμεταβάλλουσαν ταύτῃ πρός ἑκάτερον. Πρό δέ τούτων, μικροῦ καί διά ταῦτ᾽ ἴσως, ἐμπειρίας τε καί χάριτας πολυγλώσσων διαλέκτων, δύναμιν ρητορείας, εἴδησιν ἱστορίας, μυστηρίων φύσεως εὕρεσιν, πολυειδεῖς μεθόδους λογικῆς πραγματείας, πολυμερεῖς σκέψεις λογιστικῆς ἐπιστήμης, σχηματισμόν ἀύλων πολυσχήμονας ἀναμετρήσεις, ἅ πάντα καλά τε καί πονρά φαίην ἄν ἔγωγε, μή μόνον πρός τό δοκοῦν τοῖς χρωμένοις μεταγινόμενα καί συμμεταμορφούμενα ῥαδίως τῷ σκοπῷ τῶν ἐχόντων, ἀλλ᾽ ὅτι καί καλόν μέν ἡ πρός ταῦτα σχολή, γνμνάζουσα πρός ὀξυωπίαν τόν τῆς ψυχῆς ὀφθαλμόν˙ παραμένειν δ᾽ ἄχρι γήρως ταύτῃ προσανέχοντα πονηρόν, πρός ἀγαθοῦ δ᾽ ἄν εἴη μετρίως ἐκγυμνασάμενον πρός τά μακρῷ κρείττω καί μονιμώτερα μετασκεύασασθαι τόν ἀγῶνα, πολλήν αὐτῷ καί τῆς τῶν λόγων περιφρονήσεως φερούσης τήν ἐκ Θεοῦ ἀμοιβήν. Διό φησιν ὁ θεολόγος ὁ δεύτερος περί Ἀθανασίου τοῦ πάνυ τοῦτ᾽ ἐκ τῶν ἔξω κερδῆσαι λόγων, τό συνιδεῖν ὧν ὑπεριδεῖν ἐδοκίμασεν˙ αὐτός τε τούτων, ὡς αὐτός (σελ. 74) αὖθις λέγει, τοῦτ᾽ ἀπήλαυσε μόνον, τό παριδεῖν καί ἐσχηκέναι ὧν Χριστόν προετίμησεν.

Ἀλλ᾽ ὁ πονηρός, πονηρῶς ὑποσπᾶν ἡμᾶς τῶν κρειττόνων ἀεί γλιχόμενος, ἴυγγας ἐντίκτει ταῖς ἡμετέραις ψυχαῖς καί δεσμοῖς ἀγαπωμένοις τοῖς ἀνοήτοις σχεδόν ἀδιαλύτως συνδεῖ, τό πολύ τε καί μακρόν ὑποτίθεται μῆκος καί πλῆθος τούτων τῶν γνώσεων, ὥσπερ ἑτέροις πλοῦτον ἤ δόξαν ἄδοξον καί σαρκικάς ἡδονάς, ὡς ἄν, τῇ τούτων ζητήσει διά βίου παντός ἀπασχολήσαντες ἑαυτούς, ἀπρίξ ἐπιλαβέσθαι τῆς καθαιρούσης τήν ψυχήν παιδείας οὐκ ἐξισχύσωμεν, ἧς ἀρχή μέν ὁ φόβος τοῦ Θεοῦ, παρ᾽ οὗ δέησις ἐν κατανύξει συνεχής πρός τόν Θεόν γεννᾶται καί ἡ τῶν εὐαγγελικῶν θεσπισμάτων φυλακή, διά τούτων δέ καταλλαγῆς γεγονυίας πρός θεόν, ὁ φόβος εἰς ἀγάπην μεταβάλλει καί τό τῆς εὐχῆς ὀδυνηρόν εἰς τερπνόν μετενεχθέν τοῦ φωτισμοῦ τό ἄνθος ἀνατέλλει˙ τούτου δ᾽ οἷον ὀσμή διαδιδομένη πρός τόν φέροντα ἡ τῶν τοῦ Θεοῦ γνῶσις μυστηρίων. Αὕτη παιδεία καί γνῶσις ἀληθής, ἧς οὐδέ τήν ἀρχήν, τόν τοῦ Θεοῦ φόβον δηλαδή, δύναται χωρῆσαί τις ἐνεσχημένος τῇ τῆς ματαίας

ἀγάπῃ φιλοσοφίας καί ταῖς στροφαῖς αὐτῆς καί θεωρίαις ἐνειλούμενός τε καί συστρεφόμενος. Πῶς γάρ ἄν εἰς ψυχήν ὅλως εἰσέλθοι, πῶς δ᾽ εἰσελθών παραμεῖναι δυνηθείη, προκατειλημμένην καί ἐνηδυνομένην καί οἷον στενοχωρουμένην παντοδαποῖς καί πολυτρόποις διαλογισμοῖς, εἰ μή πᾶσι χαίρειν εἰποῦσα τῆς κατά Θεόν ὅλη γένοιτο σχολῆς, ἵνα καί τῆς ἀγάπης ὅλη τούτου γένηται κατά τήν ἐντολήν; Διά τοῦτο γάρ τῆς θείας σοφίας καί θεωρίας ἀρχή ἐστι τούτου ὁ φόβος, ἐπεί μεθ᾽ ἑτέρων παραμένειν οὐκ ἔχω, πάντων ἀπαλλάξας (σελ. 76) τήν ψυχήν καί τῇ προσευχῇ καταλεάνας, ἐπιτήδειον οἷον πυξίον ποιεῖ πρός καταγραφήν τῶν χαρισμάτων τοῦ πνεύματος.

Ταῦτ᾽ ἄρα καί ὁ μέγας Βασίλειος, προθείς τό τοῦ Φαραώ πρός τόν Ἰσραήλ ὅτι «σχολάζετε, σχολασταί ἐστε, λέγετε Κυρίῳ τῷ Θεῷ ἡμῶν προσευξώμεθα, ἐπιφέρει˙ «αὕτη μέν οὖν ἡ ἀγαθή σχολή καί ὠφέλιμος τῷ σχολάζοντι˙ πονηρά δέ σχολή ἡ τῶν Ἀθηναίων, οἵ εἰς οὐδέν ἄλλο εὐκαίρουν ἤ λέγειν τι καί ἀκούειν καινότερον, ἥν καί νῦν τινες μιμοῦνται τῇ τοῦ βίου σχολῇ, φίλην οὖσαν πονηροῖς πνεύμασιν». Ὡς ἄν δέ μή τις εἴπῃ πρός τάς ῥητορικάς μόνας λογολεσχίας ἀποτεινόμενον ταῦτα λέγειν τόν μέγαν, ἐκεῖνο προσθήσομεν, ὅ φησιν αὖθις αὐτός, διευκρινῶν τό σολομώντειον ἐκεῖνο παράγγελμα, «γνῶναι σοφίαν καί παιδείαν καί νοῆσαι λόγους φρονήσεως»˙ «ἤδη γάρ τινες», φησί, «γεωμετρίᾳ σχολάζοντες ἥν ἐξεῦρον Αἰγύπτιοι ἤ ἀστρολογίᾳ τῇ παρά τῶν Χαλδαίων τετιμημένῃ ἤ ὅλως περί σχήματα καί σκιάς καί μετεωρολογίαν ἔχοντες, τῆς τῶν θείων λογίων παιδεύσεως ὑπερεῖδον˙ ἐπειδή οὖν πολλοί τῇ περί ταῦτα σπουδῇ κατεγήρασαν ἐν τῇ τῶν ματαίων ἐρεύνῃ, διά τοῦτο ἀναγκαία ἡ τῆς παιδείας ἐπίγνωσις πρός τε τήν αἵρεσιν τῆς ὠφελίμου παιδείας καί πρός ἀποταγήν τῆς ἀνοήτου καί βλαβερᾶς». Ὁρᾷς πῶς ματαίαν, βλαβεράν, ἀνόνητον, τήν ἔξω παιδείαν καί αὐτήν τήν τῶν μαθημάτων καί τήν ἐξ αὐτῶν προσαγορεύει γνῶσιν, ἥν τινες, ὡς σύ φής, τέλος θεωρίας καί σωτήριον ἀποφαίνωνται; Ἐκεῖνος δέ καί τήν οἰκείαν ἀπολοφύρεται ζωήν, πρός τόν Σεβαστείας Εὐστάθιον γράφων, ὅσην τῇ περί τά μαθήματα ταῦτα μελέτῃ τόν νοῦν προσέχων διήνυσεν˙ «ἐγώ» γάρ, φησί, «πολύν χρόνον προσαναλώσας τῇ ματαιότητι (σελ. 78) καί πᾶσαν σχεδόν τήν ἐμαυτοῦ νεότητα ἐναφανίσας τῇ ματαιοπονίᾳ, ἥν εἶχον προσδιατρίβων τῇ ἀναλήψει τῶν μαθημάτων τῆς παρά τοῦ Θεοῦ μωρανθείσης σοφίας, ἐπειδή

ποτε, ὥσπερ ἐξ ὕπνου βαθέος διαναστάς, κατεῖδον τό ἄχρηστον τῆς σοφίας τῶν ἀρχόντων τοῦ αἰῶνος τῶν καταργουμένων, πολλά τήν ἐλεεινήν μου ζωήν ἀπολαύσας, εὐχόμην δοθῆναί μοί τινα χειραγωγίαν». Ἤκουσας τίνα τῆς παιδείας καί τῆς γνώσεως, ἥν νῦν ἐξαίρειν μάτην σπεύδουσί τινες, τά προσρήματα; Ματαιότης, ματαιοπονία κατανομάζεται, σοφία μωρανεῖσα, σοφία καταργουμένη, σοφία τοῦ αἰῶνος τούτου καί τῶν ἀρχόντων αὐτοῦ, σοφία τῆς κατά Θεόν ζωῆς τε καί πολιτείας ἀφανιστική. Διό καί ὁ τῆς ἀληθινῆς σοφίας ἐραστής πολύν μετάμελον ἔσχεν ἐνδιατρίψας αὐτῇ καί μηδεμίαν χειραγωγίαν πρός τήν ἀληθινήν σοφίαν εὑρόμενος.

Νῦν δ᾽ εἰσίν, ἀπηρυθριασμένως οὐκ οἶδ᾽ὅπως, οἵ λέγουσιν, ὡς αὐτός λέγεις, μηδέν ἐμπόδιον εἶναι πρός τελειότητα βίου τό διά βίου τήν ἑλληνικήν παιδείαν ἐκμελετᾶν, μηδέ τῶν τοῦ Κυρίου λόγων ἀκούοντες ἄντικρυς πρός αὐτούς λεγομένων, «ὑποκριταί, τά μέν σημεῖα τοῦ οὐρανοῦ οἴδατε διακρίνειν, τόν δέ καιρόν τῆς βασιλείας πῶς οὐ διακρίνετε;». Τοῦ γάρ καιροῦ τῆς αἰωνίου βασιλείας ἐπιστάντος καί τοῦ διδόντος αὐτήν Θεοῦ ἐπιδεδημηκότος, πῶς, εἴγε ἀληθῶς ἐφίενται τῆς τοῦ νοῦ ἀνακαινίσεως, οὐ δι᾽ εὐχῆς αὐτῷ προσέρχονται τό τῆς ἐλευθερίας ἀρχαῖον ἀξίωμα ληψόμενοι, ἀλλά πρός τούς μηδέ ἑαυτούς ἐλευθερῶσαι δυνηθέντας τρέχουσι, καί ταῦτα τοῦ ἀδελφοθέου τρανῶς περιαγγέλλοντος, «εἴ τις λείπεται σοφίας, αἰτείτω παρά τοῦ διδόντος Θεοῦ καί λήψεται»; Πῶς δέ καί ἡ παρά τῆς ἔξω σοφίας γνῶσις κακία πᾶσαν ὡς ἐξ ἀγνοίας τικτομένην ἐξορίζει τῆς ψυχῆς, (σελ. 80) μηδ᾽ αὐτῆς τῆς ἀπό τῆς εὐαγγελικῆς διδασκαλίας γνώσεως μόνης ποιῆσαι τοῦτο δυναμένης; Οὐ γάρ οἱ ἀκροαταί τοῦ νόμου σωθήσονται, φησίν ὁ Παῦλος, ἀλλ᾽ οἱ ποιηταί αὐτοῦ, τόν δέ γνόντα τό θέλημα τοῦ Θεοῦ καί μή ποιήσαντα δαρρήσεσθαί φησιν ὁ Κύριος πολλά καί τοῦ μή εἰδότος πλέον. Ὁρᾷς ὡς οὐδένα ὀνίνησιν ἡ γνῶσις μόνη; Καί τί λέγω τήν περί τά πρακτέα ἤ τήν τοῦ ὁρατοῦ κόσμου ἤ τήν τοῦ ἀοράτου; Οὐδ᾽ αὐτή ἡ γνῶσις τοῦ κτίσαντος αὐτά Θεοῦ δυνήσεταί τινα ὀνῖναι μόνη. «Τί γάρ ὄφελος δογμάτων, θεοφιλοῦς ἀπόντος βίου», ὅν ἦλθε φυτεῦσαι ἐπί γῆς ὁ Κύριος, ὁ χρυσοῦς θεολόγος Ἰωάννης φησί. Μᾶλλον δέ οὐ μόνον οὐκ ἔστι ταύτης ὄφελος, ἀλλά καί μεγίστη βλάβη, ἥν καί οὗτοι πεπόνθασι, παρ᾽ ὧν ἤκουσας οὕς ἀνήγγελάς μοι λόγους. Τί γάρ, ὁ μή καθ᾽ ὑπεροχήν ἐλθών λόγου, ἵνα μή κενωθῇ τό μυστήριον τοῦ σταυροῦ, ὁ μή «ἐν πειθοῖς λαλῶν ἀνθρωπίνης σοφίας λόγοις», ὁ μηδέν εἰδώς εἰ

μή Κύριον Ἰησοῦν, καί τοῦτον ἐσταυρωμένον, - τί οὖν οὗτος γράφει πρός τούς Κορινθίους; «Ἡ γνῶσις φυσιοῖ». Εἶδες τόν κολοφῶνα τῆς κακίας, τό ἰδιαίτατον τοῦ διαβόλου κρῖμα, τόν τῦφον ἐκ τῆς γνώσεως τικτόμενον; Πῶς οὖν πᾶν πάθος ἐξ ἀγνοίας φύεται; Πῶς δ᾽ ἡ γνῶσις καθαίρει τήν ψυχήν; «Ἡ γνῶσις οὖν φυσιοῖ», φησίν, «ἡ δέ ἀγάπη οἰκοδομεῖ». Εἶδες ὅ τί ἐστι χωρίς ἀγάπης γνῶσις, μηδαμῶς καθαίρουσα τήν ψυχήν, ἀγάπης τῆς κορυφῆς καί τῆς ρίζης καί μεσότητος πάσης ἀρετῆς; Πῶς οὖν ἡ μηδέν ἀγαθόν οἰκοδομοῦσα γνῶσις – τῆς γάρ ἀγάπης τοῦτο – πῶς οὖν ἡ γνῶσις αὕτη τό κατ᾽ εἰκόνα παρέξεται τοῦ ἀγαθοῦ; Καίτοι τό εἶδος τοῦτο τῆς γνώσεως τό κατά τόν τοῦ ἀποστόλου λόγον φυσιοῦν, οὐ τῆς φύσεως ἀλλά τῆς πίστεώς ἐστιν˙ (σελ. 62) εἰ δέ αὕτη φυσιοῖ, πόσῳ μᾶλλον ἐκείνη, περί ἧς ἡμῖν ὁ λόγος˙ φυσική γάρ ἐστιν αὕτη καί τοῦ παλαιοῦ ἀνθρώπου. Τῇ γάρ φυσικῇ ταύτῃ ἡ ἔξω παιδείᾳ βοηθεῖ, πνευματική δ᾽ οὔποτε γένοιτ᾽ ἄν, εἰ μή μετά τῆς πίστεως καί τῇ τοῦ Θεοῦ συγγένοιτο ἀγάπῃ, μᾶλλον δέ εἰ μή πρός τῆς ἀγάπης καί τῆς ἐξ αὐτῆς ἐγγινομένης χάριτος ἀναγεννηθείη καί ἄλλη παρά τήν προτέραν γένοιτο, καινή τε καί θεοειδής, ἁγνή, εἰρηνική, ἐπιεικής, εὐπειθής, μεστή τε λόγων τούς ἀκούοντας οἰκοδομούντων καί καρπῶν ἀγαθῶν, ἥτις δή καί ἄνωθεν σοφία καί Θεοῦ σοφία κατονομάζεται, καί ὡς πνευματική πως, ἅτε τῇ τοῦ πνεύματος ὑποτεταγμένη σοφίᾳ, τά τοῦ πνεύματος χαρίσματα καί γινώσκει καί ἀποδέχεται. Ἡ δέ μή τοιαύτη, κάτωθεν, ψυχική, δαιμονιώδης, καθάπερ ὁ τῶν ἀποστόλων ἀδελφόθεος λέγει, διό καί τά τοῦ Πνεύματος οὐ προσίεται κατά τό γεγραμμένον, «ψυχικός δέ ἄνθρωπος οὐ δέχεται τά τοῦ Πνεύματος», ἀλλά μωρίαν αὐτά καί πλάνην καί ψευδοδοξίαν λογίζεται, καί τά πλείω μέν τούτων τελέως ἀνατρέπειν πειρᾶται καί φανερόν ἀγῶνα ποιεῖται διαστρέφειν τε καί μεταδιδάσκειν ὁπόση δύναμις, ἔστι δ᾽ ἅ καί πανούργως προσίεται, συγχρωμένη τούτοις, οἷά περ φαρμακοί τοῖς γλυκέσι τῶν ἐδωδίμων.

Οὕτως οὐκ ἄλλη μόνον ἡ παρά τῆς ἔξω παιδείας γνῶσις, ἀλλά καί ἐναντίως πρός τήν ἀληθῆ καί πνευματικήν διάκειται γνῶσιν, εἰ καί τινες αὐτοί τε παρ᾽ αὐτῆς ὡς ἔοικε παρηγμένοι καί τούς αὐτῶν ἀκροωμένους παράγειν ἐγχειροῦντες, ὡς περί μιᾶς καί τῆς αὐτῆς διαλέγονται, τέλος τῆς θεωρίας ἀποφαινόμενοι ταύτην. Ἵνα δέ καί τι τοῦ δεινοῦ βάθους τῆς τῶν ἔξω φιλοσόφων πονηρίας ἀνακαλύψω σοι, κέκλοφε μέν ὁ πονηρός καί οἱ παρ᾽ αὐτοῦ πονηρῶς σοφισθέντες ἐκεῖνοι (σελ. 84) παράγγελμά τι τῶν ἡμετέρων λυσιτελέστατον καί

καθάπερ τι πονηρόν προβάλλονται δέλεαρ τῇ τῶν ρημάτων ταυτότητι, τό «σαυτῷ πρόσεχε» καί «γνῶθι σαυτόν», ἀλλ᾿ ἄν ζητήσῃς τι τό τέλος ἐκείνοις τούτου τοῦ παραγγέλματος, κακοδοξίας εὑρήσεις χάρυβδιν˙ μετεμψυχώσεις γάρ δογματίζοντες, τότ᾿ οἴονταί τινα σχεῖν ἑαυτόν γνῶναι καί τοῦ παραγγέλματος ἱκανῶς ἐφικέσθαι, ἡνίκ᾿ ἄν τινι προσυνῆπτο σώματι γνοίη καί ποῦ ποτε ἦν οἰκῶν καί τί πράττων καί τίς ἤκουε˙ μανθάνει δέ ταῦτα, πειθήνιον ἑαυτόν παρασχών τῷ τά τοιαῦθ᾿ ὑποψιθυρίσαντι δολίως πονηρῷ πνεύματι. Πρός τοῦτο τοίνυν ἐνάγοντες διά τοῦ γνῶθι σαυτόν τοῖς οὐχ ἱκανῶς ἔχουσιν ἐπαΐειν τοῦ δόλου συνῳδά τοῖς ἡμετέροις πατράσι λέγειν νομίζονται. Διό Παῦλος καί Βαρνάβας, τά τοῦ πονηροῦ νοήματα μή ἀγνοοῦντες καί τῶν ἐπ᾿ ἐκείνου μεμυημένων, τήν λέγουσαν περί αὐτῶν ὡς «οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν» ἥκιστα παρεδέξαντο, καίτοι τί τούτου τοῦ ρήματος εὐσεβέστερον εἴποι τις ἄν; Ἀλλ᾿ ᾔδεισαν ἐκεῖνοι τόν εἰς ἄγγελον φωτός μετασχηματιζόμενον καί τούς διακόνους αὐτοῦ δικαιοσύνης διακόνους ὑποκρινομένους˙ ὡς οὖν οὐκ ἐμπρέπουσαν τῷ ψευδηγόρῳ στόματι παραιτοῦνται τήν ἀληθινήν φωνήν.

Ταῦτ᾿ ἄρα καί ἡμεῖς θεοσεβοῦς ρήματα παρ᾿ Ἑλλήλων ἀκούοντες, οὔτ᾿ οἰόμεθα θεοσεβεῖς ἐκείνους, οὔτε ἐν διδασκάλων τάττομεν αὐτούς μοίρᾳ˙ καί γάρ ἴσμεν ἐκ τῶν (σελ. 86) ἡμετέρων μέν ὑφελπομένους αὐτά (διό καί τις ἐκείνων περί Πλάτωνος ἔφη, «τί γάρ ἐστι Πλάτων ἤ Μωσῆς ἀττικίζων»;)˙ ἴσμεν μέν οὖν, εἴ τι χρηστόν αὐτοῖς, ἐκεῖθεν ἐκ παρακρουσμάτων μετειλημμένον, ἀλλά καί συνήκαμεν ἐπισκεψάμενοι μή πρός τήν ὁμοίαν διάνοιαν ἐξειλημμένον. Κἄν τις τῶν πατέρων τά αὐτά τοῖς ἔξω φθέγγηται, ἀλλ᾿ ἐπί τῶν ρημάτων μόνον˙ ἐπί δέ τῶν νοημάτων, πολύ τό μεταξύ˙ νοῦν γάρ οὗτοι, κατά Παῦλον, ἔχουσι Χριστοῦ, ἐκεῖνοι δέ, εἰ μή τι καί χεῖρον, ἐξ ἀνθρωπίνης διανοίας φθέγγονται. «Καθόσον δέ ἀπέχει ὁ οὐρανός ἀπό τῆς γῆς, κατά τοσοῦτον ἀπέχει ἡ διάνοιά μου ἀπό τῶν διανοιῶν ὑμῶν», λέγει Κύριος. Οὐ μήν ἀλλ᾿ εἰ καί τῆς διανοίας ἔστιν οὐ κοινωνεῖεν ἐκεῖνοι Μωϋσεῖ τε καί Σολομῶντι καί τοῖς κατ᾿ αὐτούς, τί τούτοις ἐκ τούτου τό ὄφελος ἤ τίς αὐτούς παρά τοῦ Θεοῦ δεδιδάχθαι ταῦτ᾿ εἴποι νοῦν ἔχων ὑγιᾶ καί μεθ᾿ ἡμῶν τεταγμένος, εἰ μή καί τούς μετά Χριστόν κακοδόξους θεοδιδάκτους φαίη τις, ἐπεί παρά τῆς ἐκκλησίας ἀκηκοότες μή πᾶσαν παρεσάλευσαν τήν ἀλήθειαν; «Πᾶν δώρημα τέλειον ἄνωθεν εἶναι παρά τοῦ πατρός τῶν φώτων», ὁ τοῦ

φωτός ἀπεφήνατο μαθητής· κολοβά δ᾽ εἰ μή ἐκεῖνος ζῶα δῶρα προσίεται, πῶς ἄν αὐτός παράσχοι; Καίτοι ζῶον κολοβόν οὐδέν ἧττον ζῶόν ἐστι. Θεός δέ, ὅς οὐκ ἐκ μή ὄντων δημιουργεῖ, μηδέ τῶν ἡμετέρων προϋπῆρχε ψυχῶν, μηδέ τῆς κατ᾽ ἐκείνους ἀνειδέου ὕλης, μᾶλλον δέ καί τῆς οἴκοθεν ταλαντευομένης εἰδοπεποιημένης, ἀκόσμου δ᾽ ὅμως, πῶς ἄν εἴη Θεός; Καί ἵνα κατά τό προφητικόν μικρόν προσθείς εἴπω, «θεοί οἵ τόν οὐρανόν (σελ. 88) καί τήν γῆν» ἐκ μή ὄντων «οὐκ ἐποίησαν ἀπολέσθωσαν» καί πρός τούτοις οἱ τούτους θεολογήσαντες. Περί δέ τῶν τούτους θεολόγους καί τοῖς παρ᾽ ἡμῖν θεολόγοις ὁμοφώνους ἤ καί διδασκάλους λεγόντων, οἰομένων παρ᾽ ἐκείνων τάς θεολογικάς παρειληφέναι φωνάς, τί χρή λεγειν, ἤ δεῖσθαι τοῦ φωτός τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τόν κόσμον ἀπαλλάξαι καί αὐτούς τοῦ δεινοῦ τούτου τῆς ἀγνοίας σκότους καί φωτίσαι συνιδεῖν, ὡς καί παρά τῶν ὄφεών ἐστί τι χρήσιμον ἡμῖν, ἀλλ᾽ ἀνελοῦσι καί διελοῦσι καί συσκευασαμένοις καί χρησαμένοις σύν λόγῳ κατά τῶν ἐκείνων δογμάτων; Εἰς τοῦτο τοίνυν χρήσιμα τἀκείνων ἡμῖν, ὡς κατ᾽ ἐκείνων χρῆσθαι καθαιροῦντας, οἱονεί τῇ ἑαυτοῦ ῥομφαίᾳ Γολιάθ ἄλλον, ἐπανιστάμενον καί ἀνθιστάμενον καί «ὀνειδίζοντα παράταξιν Θεοῦ ζῶντος» ἐξ ἁλιέων καί ἀγραμμάτων τά θεῖα πεπαιδευμένην.

Ταῦτ᾽ ἄρα καί τήν ἔξω παιδείαν μετιέναι τούς βουλομένους τῶν μή τόν μονήρην βίον ἐπανελομένων οὐκ ἄν ἀπείρξαμεν, διά τέλους δέ ταύτῃ προσεσχηκέναι παραινοῦμεν ἥκιστα τῶν ἁπάντων οὐδέν. Προσδοκᾶν δέ τι τῶν θείων ἀκριβῶς παρ᾽ αὐτῆς εἴσεσθαι καί τελέως ἀπαγορεύομεν· οὐ γάρ ἐστιν ἐξ αὐτῆς διδαχθῆναί τι περί Θεοῦ ἀσφαλές. «Ἐμώρανε γάρ αὐτήν ὁ Θεός», οὐκ αὐτός τοιαύτην ποιήσας (πῶς γάρ ἄν σκοτίσαι τό φῶς;), ἀλλά μωράν οὖσαν ἀπελέγξας, οὐ πρός τήν αὐτοῦ παραβληθεῖσαν, ἄπαγε· εἰ γάρ τις τοῦτ᾽ εἴποι, καί τόν διά Μωσέως δεδομένον νόμον καταργηθῆναί τε καί μωρανθῆναι φήσει, τοῦ νόμου φανερωθέντος (σελ. 90) τῆς χάριτος· εἰ δέ μή τοῦτον (καί γάρ ἐκ θεοῦ), κατά τοῦτο πάντως ἡ τῶν Ἑλλήνων ἐμωράνθη σοφία, καθότι οὐκ ἐκ Θεοῦ· πᾶν δ᾽ ὅ μή θεόθεν, οὐκ ὄν· διά τοῦτο ἡ σοφία τῶν Ἑλλήνων ψευδώνυμος. Ὁ μέν γάρ ταύτην εὑρηκώς νοῦς, ᾗ νοῦς, ἐκ Θεοῦ· ταύτην δέ τοῦ προσήκοντος τέλους τῆς θεογνωσίας ἐκπεσοῦσαν, ἔκπτωσιν σοφίας καί σοφίαν ἠλογημένην, ταὐτόν δ᾽ εἰπεῖν μεμωραμένην, δικαιότερον ἄν τις ἤ σοφίαν προσείποι. Διό καί ὁ ἀπόστολος οὐχ ὡς συγκρινομένην εἶπε μωραίνεσθαι, ἀλλ᾽ ὡς τά τοῦ

αἰῶνος τούτου ζητοῦσαν καί τόν προαιώνιον Θεόν μή γνοῦσαν μηδέ γνῶναι βουλομένην· εἰπών γάρ ποῦ συζητητής τοῦ αἰῶνος τούτου;», εὐθύς ἐπήγαγεν ὅτι «ἐμώρανε ὁ Θεός τήν σοφίαν τοῦ κόσμου τούτου», τουτέστιν ἐφανέρωσε φανείς τῆς ἀληθινῆς γνώσεως ἐκπεπτωκυῖαν καί μή οὖσαν σοφίαν, ἀλλά καλουμένην μόνον. Εἰ δ᾽ ἦν σοφία, πῶς ἄν ἐγένετο μωρία καί ταῦθ᾽ ὑπό Θεοῦ καί τῆς αὐτοῦ σοφίας ἐπί γῆς φανερωθείσης; Κατά γάρ τόν μέγαν Διονύσιον καλῷ καλόν οὐκ ἐναντιοῦται, τῷ ἥττονι τό κρεῖττον, ἐγώ δ᾽ ἄν φαίην ὡς οὐδέ ἀμβλύνεταί ποθ᾽ ὑπ᾽ ἀλλήλων τά γε νοητά, προσθείην δ᾽ ἄν ὅτι καί τῆς ἑαυτοῦ καλλονῆς ἕκαστον ἐπίδοσιν λαμβάνει τῇ τοῦ κρείττονος ἐπιφανείᾳ. Τί δ᾽ ἄν εἴποι τις, αὐτῆς τῆς καλλοποιοῦ δυνέμως ἐπιφανείσης; Οὐδέ γάρ τά «δεύτερα φῶτα», τάς ὑπερκοσμίους λέγω φύσεις, ὑπό τοῦ πρώτου φωτός ἀχρειοῦσθαι φαίη τις ἐπιλάμποντος αὐτοῖς· οὐδέ τό πολύ τούτων ἀποδέον, φῶς δ᾽ ὅμως ὄν, τό καθ᾽ ἡμᾶς λέγω λογικόν καί νοερόν, σκότος γέγονε, τοῦ θείου φωτός ἐπιφανέντος, καί ταῦτ᾽ εἰς τό φωτίσαι πάντα ἄνθρωπον ἐρχόμενον, εἰς τόν κόσμον. Ὁ δ᾽ ἀντιταττόμενος τούτῳ, (σελ. 92) εἴτ᾽ ἄγγελος, εἴτ᾽ ἄνθρωπος, ὡς ἑαυτόν ἑκών στερήσας τοῦ φωτός, ἐγκαταλειφθείς σκότος ἀναπέφηνεν.

Οὕτω τοίνυν καί ἡ σοφία ἐκείνη, ἀντιταξαμένη τῇ σοφίᾳ τοῦ Θεοῦ, μωρία γέγονεν. Εἰ δ᾽ ἦν διορατική καί ἐξαγγελτική τῆς τοῦ Θεοῦ ἐν τοῖς κτίσμασι σοφίας, φανέρωσις οὖσα τοῦ ἀφανοῦς, ὄργανον ἀληθείας ἀφανιστικόν ἀγνοίας, ἐκεῖνο κατά μέθεξιν ὅ κατ᾽ αἰτίαν τό ἀγγελλόμενον, πῶς ἄν ἐμωράνθη, καί ταῦθ᾽ ὑπό τοῦ τήν σοφίαν ταύτην ἐκβαλλόντος τῇ κτίσει; Πῶς δ᾽ οὐκ ἄν εἰς αὐτήν τήν ἐμφαινομένην τῷ παντί τοῦ Θεοῦ σοφίαν τό βλάβος ἀναφέρετο τοῦτο; Πῶς δ᾽ ἄν οὐχ ἑαυτῷ μάχοιτο σαφῶς ὁ τῆς εἰρήνης τῆς τε ὅλης καί τῆς καθ᾽ ἕκαστον ὑποστάτης, διά μέν τῆς ἐγκαταβληθείσης τῷ κόσμῳ σοφίας διδούς σοφίαν, διά δέ τῆς ἑαυτοῦ παρουσίας τούς τε εἰληφότας καί τήν δεδομένην ταύτην μωραίνων σοφίαν; Ἔδει δέ καί ταύτην, οὐκ εἰς τό μωράναι, ἀλλ᾽ εἰς τό πληρῶσαι παραγενέσθαι, καθάπερ εἰς τόν πάλαι νόμον, περί οὗ ὁ Παῦλος βοᾷ, «νόμον οὖν καταργοῦμεν; μή γένοιτο, ἀλλά νόμον ἱστῶμεν», ὅν καί ὁ Κύριος ἐρευνᾶν προτρέπεται, ὡς ἀντεθησαυρισμένην ἔχοντα τήν ζωήν τήν αἰώνιον, καί πάλιν «εἰ ἐπιστεύετε» φησί, «Μωσῇ, ἐπιστεύετε ἄν ἐμοί». Βλέπεις ὑπερβάλλουσαν ὁμολογίαν τοῦ νόμου καί τῆς χάριτος; Διά τοῦτο, τοῦ ἀληθινοῦ φωτός ἐπιφανέντος, βελτίων ἑαυτοῦ γέγονεν ὁ νόμος,

τρανωθέντος αὐτῷ τοῦ ἀποθέτου κάλλους, ἀλλ᾽ οὐχ ἡ καθ᾽ Ἕλληνας σοφία˙ μωρίαν δ᾽ ὑποκαθεζομένην ἔχουσα κομψείᾳ τινί καί εὐεπείᾳ καί πιθανότητι λόγων, τοῦ αἴσχους ἀνακαλυφθέντος αἰσχίων ἐγένετο καί τῆς μωρίας δικαίως ἐπώνυμος, οὐ τῆς καθ᾽ ὑπεροχήν, ὡς ὑπέρ ἔννοιαν οὖσα (τοῦτο γάρ ἐπωνυμία τῆς τοῦ Θεοῦ σοφίας ἀπόρρητος), ἀλλά τῆς κατ᾽ ἔλλειψιν ἀληθείας ἐχομένης (σελ. 94) γνώσεως, ὡς καί τοῦ προσήκοντος ἀπολειφθεῖσα τῇ κατ᾽ ἄνθρωπον σοφίᾳ τέλους, οὐκ ἀπολειφθεῖσα καί τοῦ μέν ψεύδους ὡς ἀληθείας ἀντεχομένη, τῆς δ᾽ ἀληθείας ὡς ψεύδους καταψεύδεσθαι πειρωμένη, καί ἐπανιστᾶσα τήν κτίσιν κατά τοῦ κτίσαντος, ἧσπερ καί νῦν ἔργον ἐπανιστάναι κατά τε τοῦ Πνεύματος καί τῶν πνευματικῶν ἔργων καί ἀνδρῶν τάς τοῦ Πνεύματος γραφάς.σ

Οὔκουν διορατική καί ἐξαγγελτική ἐστι τῆς τοῦ Θεοῦ σοφίας ἡ τῶν ἔξω σοφῶν μεμωραμένη φιλοσοφία. Πῶς γάρ, δι᾽ ἧς οὐκ ἔγνω ὁ κόσμος τόν Θεόν; Εἰ δ᾽ ἀλλαχοῦ φησιν ὁ Παῦλος ὅτι «γνόντες τόν Θεόν, οὐχ ὡς Θεόν ἐδόξασαν», οὐχ ἑαυτῷ μάχεται ὁ τῆς εἰρήνης μαθητής, τῆς δ᾽ ἐν ἡμῖν αὐτοῖς παρά Χριστοῦ μόνου διδομένης ὑπερκοσμίου εἰρήνης κληρονόμος. Ἀλλ᾽ ἦλθον μέν, φησίν, εἰς ἔννοιαν Θεοῦ, ἀλλ᾽ οὐχί τήν πρέπουσαν Θεῷ˙ οὐδέ γάρ πανουργόν, οὐ παντοδύναμον, οὐ παντεπίσκοπον, οὐ μόνον ἄναρχόν τε καί ἄκτιστον ἐδόξασαν αὐτόν. Διόπερ ἀπό τῶν κατ᾽ αὐτούς ἐκείνων χρόνων ἐγκαταλειφθέντες ὑπό τοῦ Θεοῦ, ὡς καί τοῦτ᾽ ἔδειξεν ὁ Παῦλος, εἰς ἀδόκιμον οἱ σοφοί παρεδόθησαν νοῦν, λατρεύοντες τῇ κτίσει παρά τόν κτίσαντα καί τῷ βορβόρῳ τῶν αἰσχρῶν καί πονηρῶν ἐγκαλινδούμενοι παθῶν˙ οὐ μόνον δέ, ἀλλά καί νόμους ἔθεντο καί λόγους συνεγράψαντο (φεῦ τοῦ πάθους, φεῦ τῆς ἀπάτης) ὁμολόγους τοῖς δαίμοσι καί συνηγόρους τοῖς πάθεσιν. Ὁρᾷς ὡς ἀρχῆθεν ἔχει καί αὐτόθεν τήν μωρίαν ἡ φιλοσοφία τῶν κοσμικῶν φιλοσόφων, ἀλλ᾽ οὐχ ὑπό συγκρίσεως ἔλαβεν αὐτήν; Ὁ τοίνυν ἀποδοκιμάσας αὐτήν ἐξ οὐρανοῦ τότε, τῆς ἀληθείας διαπεσοῦσαν, καί νῦν ἐλθών εἰς τήν γῆν, ὡς τῇ τοῦ εὐαγγελικοῦ κηρύγματος ἀντιταττομένη ἁπλότητι δικαίως ἐμώρανε˙ διόπερ εἴ τις αὖθις ταύτῃ προσέχει τόν νοῦν, (σελ. 96) ὡς παρ᾽ αὐτῆς θεογνωσίαν ὁδηγεῖσθαι μέλλων ἤ ψυχῆς σχήσειν κάθαρσιν, τοῦτ᾽ αὐτό πάσχει καί μωραίνεται σοφός ὤν. Καί τοῦ παθεῖν τουτο δεῖγμα σαφές, ἕν μέν καί πρῶτον, τό μή προσίεσθαι πίστει τάς παραδόσεις ἅς παρά τῶν ἁγίων πατέρων ἐν ἁπλότητι παρειλήφαμεν, εἰδότες κρείττους οὔσας καί σοφωτέρας ἤ κατ᾽

ἀνθρωπίνην ἔτασιν καί ἐπίνοιαν, καί δι᾽ ἔργων φανερουμένας, ἀλλ᾽ οὐχί διά λόγων ἀποδεικνυμένας˙ καί τοῦτ᾽ ἴσασι καί συμμαρτυρήσουσι πάντες, οἱ μή προσέμενοι μόνον, ἀλλά καί πείρᾳ καρπωσάμενοι τήν ἐκ τούτων ὠφέλειαν καί παρ᾽ ἑαυτῶν ἔργῳ γνόντες ὅτι τό «μωρόν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστίν». σ

Ἀλλ᾽ ἕν μέν δή τοῦτο καί πρῶτον ἱκανόν τεκμήριον τῶν μεμωραμένων σοφῶν. Δεύτερον δέ καί μεῖζον, κατά τῶν ἐν ἀφελότητι καρδίας παραδεχομένων ἐκείνας ἐπιστρατεύειν τοῦ μεμωραμένου καί κατηλογημένου λόγου τήν δύναμιν καί κατά τούς παραθεωρήσαντας ἐκείνους καί τῷ κτίστῃ τήν κτίσιν ἐπαναστήσαντας παραθεωρεῖν τά τοῦ Πνεύματος λόγια καί ταῖς μυστικαῖς τοῦ Πνεύματος ἐνεργείας, κρεῖττον ἤ λόγος ἐν τοῖς κατά πνεῦμα ζῶσιν ἐνεργουμέναις δι᾽ αὐτῶν ἐπιτίθεσθαι. Τρίτον δέ καί σαφέστερον, ἐκ θεοῦ καθάπερ καί τούς προφήτας σεσοφίσθαι λέγειν τούς ἀσόφους ἐκείνους σοφούς, καίτοι σαφῶς ὁ Πλάτων, τούς κατ᾽ αὐτούς διαφέροντας ἐπαινῶν, ἐν ἐγκωμίου μεγίστῃ μοίρᾳ τίθεται δεῖξαι μεμηνότας αὐτούς. «Καί ὅς ἄν», φησίν, «ἄνευ δαιμόνων ἐπιπνοίας ἐπί ποιητικούς λόγους ἀφίκηται, ἀτελής αὐτός τε καί ἡ ποίησις, καί ὑπό τῆς τῶν μαινομένων ἡ τοῦ σωφρονοῦντος ἠφανίσθη». Καί αὐτός δέ διά Τιμαίου μέλλων περί κόσμου φύσεως φιλοσοφεῖν, εὔχεται μηδέν εἰπεῖν ὅ τι μή τοῖς θεοῖς φίλον. Ἡ δέ τοῖς δαίμοσι φίλη φιλοσοφία, πῶς ἄν εἴη Θεοῦ (σελ. 98) τε καί ἐκ Θεοῦ; Τῷ δέ Σωκράτει συνῆν δαιμόνιον, ᾧ δήπου καί μεμύηται, τάχα δέ καί τήν σοφίαν ἄριστος ὑπ᾽ αὐτοῦ μεμαρτύρηται. Θεόν δ᾽ Ὅμηρος ᾄδειν δι᾽ αὐτοῦ τήν Ἀχιλλέως ἀνδροφόνον μῆνιν προτρέπεται, παρέχων ἑαυτόν ὡς ὀργάνῳ χρῆσθαι τῷ δαίμονι καί τῆς αὐτοῦ σοφίας καί εὐεπείας τήν αἰτίαν ἐπ᾽ αὐτήν ἀναφέρων. Ἡσιόδῳ δ᾽ οὐκ ἀπέχρησεν ὑφ᾽ ἑνός ἐνεργεῖσθαι δαίμονος, ἅτε τῆς θεογνωσίας ὄντι ποιητῇ, διόπερ ἐννέα κατά ταὐτό πρός ἑαυτόν ἐπισπᾶται, νῦν μέν ἐκ Πιερίας νῦν δ᾽ ἐξ Ἑλικῶνος, δικαιότατα˙ καί γάρ ὑπ᾽ αὐτῶν αὐτῷ δοθείσης, ὕας βόσκοντι κατ᾽ οὖρος, δάφνης φαγών ἑλικωνίτιδος, σοφίης ἐμπέπλησto παντοίης. Ἄλλῳ δ᾽ ἄλλος θεῶν «ἑῆς ἐνεκάρπισεν ἀλκῆς». Ἕτερος δ᾽ ἑαυτοῦ μάρτυς γίνεται, «πάντ᾽ ἐδάην» λέγων «μούσᾳ θεόφραδι». Ἄλλος δ᾽ ἐπί τῆς ἑαυτοῦ ψυχῆς, πάντα φεῦ χορεῦσαι τόν μουσῶν ἐπεύχεται χορόν, ὡς ὑπό μέν Ἑπταπόρης τάχα τῆς Πιέρου τάς ἑπτά μάθοι ζώνας καί τούς ἑπτά ἀστέρας τούς πλανήτας καί ὅσα κατ᾽ αὐτούς, ὑπό δ᾽ Οὐρανίας τῆς Διός τήν ἄλλην

πᾶσαν ἀστρολογίαν, ὑπό δέ τῶν ὑπολοίπων καί κατ᾿ αὐτούς ἐφόρων τῶν κάτω τά ἐπί γῆς.

Τί δή φῄς, σοφίαν ἐροῦμεν ἔχειν Θεοῦ τούς τοιαῦτα περί σφῶν αὐτῶν λέγοντας ἀριδήλως; Οὐχ, ἕως ἄν ἡμῶν αὐτῶν ὦμεν καί τῆς ὄντως σοφίας θεραπευταί, ἥτις εἰς κακότεχνον καί δαίμοσι φίλην οὐκ εἰσέρχεται ψυχήν˙ κἄν εἰσελθοῦσα φθάσῃ, μεταβαλούσης ἐπί τό χεῖρον ἀφίπταται. «Πνεῦμα γάρ ἅγιον παιδείας ἐπαναστήσεται ἀπό λογισμῶν ἀσυνέτων», κατά Σολομῶντα τόν Θεοῦ σοφίας εὐμοιρηκότα καί (σελ. 100) καί περί αὐτῆς συγγραψάμενον. Τί δέ ἀσυνετώτερον τῶν μέγα φρονούντων ἐπί τῷ δαίμοσι τελεῖσθαι καί προσμαρτυρούντων ἐκείνοις τήν χορηγίαν τῆς σφετέρας σοφίας; Οὐ γάρ περί φιλοσοφίας ἡμεῖς ἁπλῶς λέγομεν ἅττα λέγομεν νῦν, ἀλλά περί τῆς τῶν τοιούτων φιλοσοφίας. Εἰ γάρ καί κατά Παῦλον οὐ δύναταί τις «ποτήριον Κυρίου πίνειν καί ποτήριον δαιμονίων», πῶς ἄν δυνηθείη τις Θεοῦ σοφίαν ἔχειν καί ὑπό δαιμόνων ἐμπνεῖσθαι; Οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν. Εἰ γάρ καί Παῦλος ἔστιν οὗ φησιν ὡς «ἐν σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος τόν Θεόν», οὐ τήν ἐν τοῖς ἀσόφοις ἐκείνοις ἐγγεγενημένην σοφοῖς «Θεοῦ σοφίαν» ἐκάλεσεν, ἄπαγε, τήν δ᾿ ἐγκαταβεβλημένην ὑπό τοῦ κτίστου τοῖς κτίσμασιν, ἥν ὁ γνούς ἄγγελον οὖσαν Θεοῦ, Θεόν ἐπέγνω τόν δι᾿ αὐτῆς ἀγγελλόμενον καί γνῶσιν ἔχει τῶν ὄντων ἀληθῆ καί Θεοῦ σοφίαν τρόπον ἕτερον, Θεοῦ σοφίας ἐπιγνώμων γενόμενος. «Ἐχρῆν γάρ», φησίν ὁ μέγας Διονύσιος, «διά τῆς γνώσεως τῶν ὄντων πρός τόν αἴτιον τῶν ὄντων ἀνάγεσθαι τούς γε ἀληθεῖς φιλοσόφους».

Εἰ γοῦν ὁ ἀληθής φιλόσοφος ἀνάγεται πρός τόν αἴτιον, ὁ μή ἀναγόμενος οὐκ ἀληθής, οὐδ᾿ ἔχων σοφίαν, ἀλλ᾿ οἷον σοφίας ἀληθινῆς ἀπατηλόν εἴδωλον καί στέρησιν σοφίας, ἀλλ᾿ οὐ σοφίαν. Τήν γοῦν τῆς σοφίας στέρησιν, πῶς ἄν εἴη «Θεοῦ σοφίαν» προσεπεῖν; Ἄλλως τε καί ὁ δαιμόνιος νοῦς, ᾗ νοῦς, καλόν, ᾗ δ᾿ ἑαυτῷ κακῶς χρῆται, πονηρόν˙ καίτοι μέτρα κόσμου, διεξόδους τε καί συνόδους καί διορισμούς τῶν κινουμένων κρεῖττον οἶδεν ἤ καθ᾿ ἡμᾶς, μή θεοφιλῶς δέ τῇ γνώσει χρώμενος, νοῦς ἐστιν ἄνους καί ἐσκοτισμένος. Τόν ἴσον ἄρα τρόπον καί ἡ καθ᾿ Ἕλληνας σοφία διά τῆς ἐν τοῖς (σελ. 102) κτίσμασι Θεοῦ σοφίας, καθ᾿ ἥν τήν ἑτέρου φθοράν γένεσιν ἐποίησεν ἑτέρου, πειρωμένη δεῖξαι τόν Θεόν οὐ τῶν ὅλων Κύριον, οὐδέ κτίστην τοῦ παντός, τῷ μή συνορᾶν μηδέν ἐκ μηδαμῇ μηδαμῶς γινόμενον καί οὕτω τό τοῦ ὄντως Θεοῦ ἀποσαμένη σέβας καί τοῖς θείοις οὐχ ὁσίως,

κατ᾽ αὐτόν τόν μέγαν Διονύσιον ἐπί τά θεῖα χρησαμένη καί παρά τοῦτο μωρά καί ἄσοφος γεγονυῖα, πῶς ἄν εἴη Θεοῦ σοφία. Διό καί ὁ Παῦλος διττόν ἡμῖν ἐνταυθοῖ δεικνύς τό τῆς σοφίας εἶδος, «ἐν σοφίᾳ», φησί, «Θεοῦ, διά τῆς σοφίας οὐκ ἔγνω ὁ κόσμος τόν Θεόν». Ὁρᾷς ὅτι τήν μέν σοφίαν εἶπε τοῦ Θεοῦ, τήν δέ ψιλήν σοφίαν καί αἰτίαν τοῦ μή γνῶναι τόν Θεόν; Αὕτη δέ ἐστιν ἡ τοῖς Ἕλλησιν ἐξευρημένη, παρά τήν τοῦ Θεοῦ ἑτέρα, τῷ διπλασιασμῷ τοῦ τῆς «σοφίας» ὀνόματος φανερωθεῖσα. Τί γάρ καί προϊών φησιν οὗτος ὁ θεόσοφος; «Ἡμεῖς δέ λαλοῦμεν Θεοῦ σοφίαν»˙ ἆρ᾽ οὖν ἤ ἐκεῖνοι κατά τοῦτον ἤ οὗτος κατ᾽ αὐτούς; Οὐμενοῦν˙ διό καί αὐτός τοῦτ᾽ ἀπαγορεύων, «σοφίαν» φησίν, «Θεοῦ λαλοῦμεν ἐν τοῖς τελείος, σοφίαν δέ οὐ τοῦ αἰῶνος τούτου, οὐδέ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων» καί «ἥν οὐδείς τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου ἔγνωκεν». Αὕτη δ᾽ ἡ σοφία ἐν ἡμῖν ἐστινἐν Χριστῷ Ἰησοῦ, «ὅς ἐγενήθη ἡμῖν σοφία ἀπό Θεοῦ». Ἐκείνη δ᾽ ἐν ἐκείνοις οὐκ ἦν, ἀλλ᾽ ἐν τοῖς ὑπ᾽ ἐκείνων ἐρευνωμένοις κτίσμασιν, ὧν τούς λόγους ἐζητηκότες διά βίου, ἦλθον μέν πως εἰς ἔννοιαν Θεοῦ, τῆς μέν φύσεως καί τῆς κτίσεως ἀφορμάς χορηγούσης οὐ μικράς, τῶν δέ δαιμόνων δαιμονίως οὐκ ἀπειργόντων˙ πῶς γάρ ἄν θεοί ἐνομίσθησαν μηδαμῶς Θεοῦ ἐννοίας τήν ἀνθρωπίνην εἰσελθούσης διάνοιαν;

Οὐκοῦν ἦλθον μέν εἰς ἔννοιαν ἐκεῖνοι Θεοῦ τήν τῶν αἰσθητῶν φύσιν ἐξητακότες, ἀλλ᾽ οὐχί τήν ἀξίαν καί τῇ (σελ. 104) μακαρίᾳ φύσει προσήκουσαν˙ «ἐσκοτίσθη γάρ ἡ ἀσύνετος αὐτῶν καρδία» ὑπό τῶν κακομηχάνως μυούντων πονηρῶν δαιμόνων˙ πῶς γάρ ἄν οὗτοι θεοί ἐνομίσθησαν, πῶς δ᾽ ἄν ἐπιστεύθησαν πολυθεΐαν διδάσκοντες, ἀξίας Θεοῦ ἐννοίας ἐπιφαινομένης τῇ διανοίᾳ; Διά τοῦτο οἱ τῆς ἀνοήτου καί μωρᾶς σοφίας ἐκείνης καί ἀπαιδεύτου παιδείας ἐπειλημμένοι καί Θεοῦ καί φύσεως κατεψεύσαντο, τήν μέν εἰς δεσποτείαν ἀναγαγόντες, τόν δέ τῆς δεσποτείας, τό γε εἰς αὐτούς ἧκον, κατενεγκόντες, δαίμοσί τε τό θεῖον ἐπιφημίσαντες ὄνομα καί τήν τῶν ὄντων γνῶσιν εὑρεῖν, ὅ προὔργου καί διά σπουδῆς ἦν αὐτοῖς, τοσούτου δεήσαντες, ὡς ἔμψυχα μέν εἰπεῖν τά ἄψυχα, πρός δέ καί κρείττονος ἤ τῆς καθ᾽ ἡμᾶς μετειληχέναι ψυχῆς, λογικά δέ τά ἄλογα, τῆς γάρ ἀνθρωπίνης δεκτικά ψυχῆς, κρείττους δ᾽ ἤ καθ᾽ ἡμᾶς τούς δαίμονας καί κτίστας, ὤ τῆς ἀσεβείας ἡμῶν, συναΐδια δέ τῷ Θεῷ καί ἄκτιστά τε καί ἄναρχα, οὐ τήν ὕλην μόνον καί τήν τοῦ κόσμου παντός, ὡς αὐτοί λέγουσι, ψυχήν, καί τά τῶν νοερῶν μή ἐνημμένα

πάχος σώματος, ἀλλά καί αὐτάς τάς ἡμετέρας ψυχάς. Τί οὖν; Θεοῦ σοφίαν ἔχειν τούς ταῦτα τύτῃ φιλοσοφήσαντας ἐροῦμεν; Ἤ σοφίαν ὅλως ἀνθρωπίνην γοῦν; Μή ποθ᾽ οὕτω μανείη τις τῶν καθ᾽ ἡμᾶς. «Δένδρον γάρ ἀγαθόν καρπούς πονηρούς οὐ ποιεῖ», κατά τόν τοῦ Κυρίου λόγον. Ἐγώ γάρ ἐπ᾽ ἐμαυτοῦ λογιζόμενος, οὐδ᾽ ἀνθρωπίνην δικαίαν εἶναι προσειρῆσθαι νομίζω τήν σοφίαν ἐκείνην, ἐπί τοσοῦτον οὖσαν ἑαυτῇ ἀνακόλουθον ὡς τά αὐτά λέγειν ἔμψυχά τε καί ἄψυχα, λογικά τε καί ἄλογα καί τά μηδέ πρός αἴσθησιν ὁπωσοῦν πεφυκότα, μηδ᾽ ὄργανον ὅλως ἐσχηκότα τοιαύτης δυνάμεως, χωρητικά λέγειν τῶν ἡμετέρων ψυχῶν. Εἰ δέ ὁ Παῦλος ἀνθρωπίνην σοφίαν ἔστιν οὗ λέγει ταύτην («τό γάρ κήρυγμά μου», φησίν, «οὐκ ἐν πειθοῖς ἀνθρωπίνης˙ σοφίας λόγοις», καί πάλιν «λαλοῦμεν οὐκ ἐν διδακτοῖς (σελ. 106) ἀνθρωπίνης σοφίας λόγοις») ἀλλά καί σοφούς κατά σάρκα, μωρανθέντας, συζητητάς τοῦ αἰῶνος τούτου τούς κεκτημένους ταύτην ἀξιοῖ καλεῖν καί τήν σοφίαν αὐτῶν παραπλησίως τῶν προσρημάτων, σοφίαν γάρ καί ταύτην μεμωραμένην, σοφίαν καταργουμένην καί κενήν ἀπάτην, σοφίαν τοῦ αἰῶνος τούτου καί τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων.

Ἐγώ δέ καί τοῦ λέγοντος ἀκούω πατρός «οὐαί σώματι, ὅταν μή τήν ἔξωθεν προσενέγκηται τροφήν, καί οὐαί ψυχῇ, ὅταν μή τῆς ἄνωθεν ἐπιδέξηται χάριν». Εἰκότως. Τό μέν γάρ εἰς τά ἄψυχα μεταχωρῆσαν οἰχήσεται, ἡ δέ τοῦ καθήκοντος παρατραπεῖσα ταῖς δαιμονικαῖς καί ζωαῖς καί φρονήμασι συναπαχθήσεται. Εἰ δέ τις τῷ φυσικήν εἶναι τήν φιλοσοφίαν ἐκ Θεοῦ δεδόσθαι λέγει ταύτην, ἀληθῆ μέν λέγει καί ἡμῖν οὐκ ἀντιλέγει καί τούς κακῶς ταύτῃ χρησαμένους καί πρός τό παρά φύσιν τέλος καταστήσαντας οὐκ ἐξαιρεῖται τῆς αἰτίας ἴστω δέ καί τήν καταδίκην τούτων ἐπί μᾶλλον αὔξων, ὅτι τοῖς ἐκ Θεοῦ θεοφιλῶς οὐκ ἐχρήσαντο. Ἄλλως τε καί ὁ δαιμόνιος νοῦς ἐκ Θεοῦ πεποιημένος φυσικῶς ἔχει τό φρονεῖν, ἀλλά τήν αὐτοῦ ἐνέργειαν οὐκ ἐροῦμεν ἐκ Θεοῦ, εἰ καί τό δύνασθαι ἐνεργεῖν ἔχει ἐκ Θεοῦ˙ διό καί παραφροσύνη μᾶλλον ἤ φρόνησις αὕτη δικαίως ἄν προσρηθείη. Οὕτω τοίνυν καί ὁ τῶν ἔξω φιλοσόφων νοῦς δόμα θεῖον, ἔμφυτον ἔχων τήν ἔμφρονα σοφίαν, παρατραπείς δέ τοῖς ὑποβολαῖς τοῦ πονηροῦ εἰς μωράν καί πονηράν καί ἄνουν ὡς προϊσταμένην τοιοούτων δογμάτων, μετεποίησε σοφίαν. Εἰ δέ τις αὖθις φαίη μηδέ τήν τῶν δαιμόνων ἔφεσιν καί γνῶσιν εἶναι παντάπασι κακόν, ἐφίενται γάρ τοῦ εἶναι καί ζῆν καί νοεῖν πρῶτον μέν (σελ. 108) ἐκεῖνο δικαίως παρ᾽ ἡμῶν αὖθις

ἀντακούσεται μή δικαίως δυσχεραίνειν δαιμονιώδη μετά τοῦ ἀδελφοθέου, ὡς ἔριδος γέμουσαν καί πᾶν σχεδόν φαῦλον δόγμα περιέχουσαν, τήν ἐν τοῖς Ἕλλησι σοφίαν ἡμῶν ἀποκαλούντων, ἅτε δή καί τοῦ οἰκείου τέλους ἔκπτωτον, τῆς θεογνωσίας δηλαδή˙ μεθέξει γάρ καί οὕτω τοῦ ἀγαθοῦ κατ᾿ ἔσχατον καί ἀμυδρόν ἀπήχημα. Ἔπειτα καί τοῦτο διανοεῖσθαι τοῦτον ἀξιοῦμεν, ὡς οὐδέν κακόν, ᾗ ἐστι, κακόν ἐστι, ἀλλ᾿ ἡ τῆς καταλλήλου τε καί προσηκούσης ἐνεργείας καί τοῦ τῆς ἐνεργείας τέλους ἀποπέπτωκε.

Τί τοίνυν ἔργον τε καί τέλος τῶν ζητούντων τήν ἐν τοῖς κτίσμασι Θεοῦ σοφίαν; Οὐχ ἡ τῆς ἀληθείας ἐμπορία καί ἡ πρός τόν κτίσαντα δοξολογία; Παντί που δῆλον. Ἀλλ᾿ ἀμφοτέρων διαπέπτωκεν ἡ τῶν ἔξω φιλοσόφων γνῶσις. Ἀλλ᾿ ἔνεστι καί τι χρήσιμον ἡμῖν ἐν ταύτῃ; Πάνυ γε. Καί γάρ ἐν τοῖς τῶν ὀφείων σαρκῶν ἀπειλημμένοις πολύ τό δραστικόν καί θεραπευτικόν καί ἰατρῶν παῖδες ἀντιδότων ἀρίστην καί χρησιμωτάτην τήν ἐκ τούτων συνεσκευασμένην ἥγηνται˙ κἄν τοῖς πρός ἀπάτην συνεσκευασμένοις τῶν δηλητηρίων τῶν ἐδωδίμων τά ἥδιστα παραλαμβάνεται, συγκαλύψαι δυνάμενα τήν περίεργον κατασκευήν. Ἔστι τοίνυν χρήσιμον ἐν τούτοις καί πολύ γ᾿ ἴσως ὡς μέλι κωνείῳ παραμιχθέν˙ ἀλλά καί πολύ τό δέος μή διακρίνουσιν ἐκεῖθεν λάθῃ τι συναποληφθέν λείψανον θανατηγόρον. Κἄν ἐξετάσῃς, ἴδοις ἄν πάσας ἤ τάς πλείστας τῶν δεινῶν αἱρέσεων ἐντεῦθεν λαβούσας τάς ἀρχάς, καί τούς εἰκονογνώστας τούτους, οἵ φασιν ἐκ τῆς γνώσεως τό κατ᾿ εἰκόνα τόν ἄνθρωπον λαμβάνειν καί δι᾿ αὐτῆς κατά Θεόν μορφοῦσθαι τήν ψυχήν. Κατά γάρ τό πρός τόν (σελ. 110) Κάϊν εἰρημένην «οὐκ ἄν ὀρθῶς προσενέγκοις, ὀρθῶς δέ μή διέλῃς». Τό δέ διελεῖν ὀρθῶς ἐπιεικῶς ὀλίγων, κἀκείνων μόνων, ὅσοι τά αἰσθητήρια τῆς ψυχῆς ἔχουσι γεγυμνασμένα πρός διάκρισιν καλοῦ τε καί κακοῦ. Τίς τοίνυν χρεία παρακινδυνεύειν μάτην, καί ταῦτ᾿ ἐνόν οὐχ ὅπως ἀκινδύνως, ἀλλά καί λυσιτελῶς, τήν ἐν τοῖς κτίσμασι Θεοῦ σοφίαν κατιδεῖν; Ἄφροντις γάρ βίος διά τήν εἰς Θεόν ἐλπίδα φυσικῶς κινεῖ τήν ψυχήν πρός κατανόησιν τῶν κτισμάτων τοῦ Θεοῦ˙ ἐκπλήττεταί τε ταύτῃ προσανέχουσα καί ἐμβαθύνουσα, καί παραμένει δοξάζουσα τόν κτίστην, καί διά τοῦ θαύματος τούτου χειραγωγεῖται πρός τά μείζω˙ κατά γάρ τόν ἅγιον Ἰσαάκ θησαυροῖς ἐντυγχάνει διά γλώττης φρασθῆναι μή δυναμένοις καί οἷά τινι κλείθρῳ χρησαμένη τῇ εὐχῇ, δι᾿ αὐτῆς εἰσδύεται πρός τά μυστήρια ἐκεῖνα «ἅ ὀφθαλμός οὐκ οἶδε, καί οὖς οὐκ ἤκουσε, καί ἐπί καρδίαν

ἀνθρώπου οὐκ ἀνέβη», διά μόνου τοῦ Πνεύματος, καθά φησιν ὁ Παῦλος, φανερούμενα τοῖς ἀξίοις.

Ὁρᾷς ἐπιτομωτάτην καί πολυωφελῆ καί ἀκίνδυνον ὁδόν πρός αὐτούς φέρουσαν τούς ὑπερφυεῖς καί οὐρανίους θησαυρούς; Ἐπί δέ τῆς θύραθεν σοφίας, δεῖ μέν πρῶτον τόν ὄφιν ἀποκτεῖναι, καθελόντα σε τό παρ᾽ αὐτῆς προσγενόμενόν σοι φύσημα (πόσης δέ τοῦτο δυσχερείας˙ «ταπεινώσει» γάρ, φασίν, «ἔκφυλον τό τῆς φιλοσοφίας φρύαγμα)˙ καθελόντα δ᾽ ὅμως, ἔπειτα διελεῖν καί διαρρῖψαι κεφαλήν τε καί οὐράν, ὡς ἄκρα καί ἄκρατα κακά, τήν περί τῶν νοερῶν καί θείων καί ἀρχῶν δηλαδή σαφῶς πεπλανημένην δόξαν καί τήν ἐν τοῖς κτίσμασι μυθολογίαν. Τό δέ μεταξύ, τούς περί φύσεως τουτέστι λόγους, ὡς οἱ φαρμακοποιοί πυρί καί ὕδατι τάς τῶν ὄφεων σάρκας ἀποκαθαίρουσιν ἕψοντες, οὕτω δέ τῷ τῆς ψυχῆς ἐξεταστικῷ καί θεωρητικῷ τῶν βλαβερῶν (σελ. 112) διακρῖναι νοημάτων. Οὐ μήν ἀλλ᾽ εἰ καί ταῦθ᾽ ἅπαντα ποιήσεις καί καλῶς χρήσῃ τῷ καλῶς διακριθέντι (ὅσον δέ καί τοῦτ᾽ ἔργον καί ὅσης δεῖται διακρίσεως), ὅμως εἰ καί καλῶς χρήσῃ τῷ καλῶς ἀπειλημμένῳ μορίῳ τῆς ἔξωθεν σοφίας, κακόν μέν οὐκ ἄν εἴη τοῦτο, καί γάρ ὄργανον πέφυκε γίνεσθαι πρός τι καλόν˙ ἀλλ᾽ οὐδ᾽ οὕτως ἄν κληθείη Θεοῦ κυρίως δῶρον καί πνευματικόν, ἅτε φυσικόν καί μή ἄνωθεν καταπεμφθέν. Διό καί ὁ σοφός εἴπερ τις τά θεῖα Παῦλος σαρκικόν αὐτό καλεῖ, «βλέπετε, λέγων, τήν κλῆσιν ἡμῶν, ὡς οὐ πολλοί σοφοί κατά σάρκα». Καίτοι τίς ἄν χρήσαιτο κάλλιον τῇ σοφίᾳ ταύτῃ τῶν ὑπό Παύλου κεκλημένων ἔξωθεν σοφῶν; Ἀλλ᾽ ὅμως κατά σάρκα τούτους, τό γε εἰς ταύτην ἧκον, ὀνομάζει σοφούς˙ εἰκότως.

Ὡς γάρ ἡ ἐπί παιδοποιΐᾳ κατά τούς νομίμους τῶν γάμων ἡδονή θεῖον Θεοῦ δῶρον, ἥκιστ᾽ ἄν κληθείη, σαρκικόν γάρ καί φύσεως, ἀλλ᾽ οὐ χάριτος δῶρον, καίτοι τήν φύσιν ὁ Θεός ἐποίησεν˙ οὕτω καί ἡ παρά τῆς ἔξω παιδείας γνῶσις, εἰ καί καλῶς τις ταύτῃ χρῷτο, φύσεώς ἐστιν, ἀλλ᾽ οὐ χάριτος τό δόμα, διά τῆς φύσεως παρά Θεοῦ κοινῇ πᾶσι δεδομένον καί μελέτῃ πρός ἐπίδοσιν ἀγόμενον˙ ὅ καί τοῦτο τεκμήριον ἐναργές ὡς φυσικόν ἀλλ᾽ οὐ πνευματικόν ἄρα δῶρον, τό μή σπουδῆς καί μελέτης ἄνευ μηδενί τῶν ἁπάντων παραγίνεσθαι. Θεοῦ γάρ κυρίως δῶρον, ἀλλ᾽ οὐ φυσικόν, ἡ καθ᾽ ἡμᾶς θεοσοφία, ἥ κἄν ἁλιεῦσιν ἄνωθεν ἐπιπτῇ βροντῆς υἱούς, κατά τόν θεολόγον Γρηγόριον, ἀπεργάζεται, περιηχοῦντας, τῷ λόγῳ τῆς οἰκουμένης τά πέρατα, κἄν τελώναις, ψυχῶν ἐμπόρους δημιουργεῖ, κἄν διώκταις θερμοῖς τόν

ζῆλον, μετατίθησι καί ποιεῖ Παύλους ἀντί Σαύλων, ἀπό γῆς μέχρι οὐρανοῦ τρίτου φθάνοντας καί ἀκούοντας ἄρρητα· δι᾽ αὐτῆς τοίνυν ἔνι καί ἡμᾶς κατ᾽ εἰκόνα Θεοῦ γενέσθαι τε καί μετά θά εἶναι. (σελ. 114) Τῆς δέ φυσικῆς σοφίας καί τῷ Ἀδάμ εἴπερ τινι τῶν μετ᾽ αὐτόν περιεῖναι λέγεται, καίτοι τό κατ᾽ εἰκόνα πρώτῳ πάντων μή φυλάξαντι. Καί ἡ ταύτῃ δ᾽ αὖθις βοηθοῦσα τῶν ἔξω φιλοσοφία πρό τοῦ κατελθεῖν τόν δι᾽ ἑαυτοῦ πρός τό ἀρχαῖον κάλλος τήν ψυχήν ἐπανακαλεσάμενον εὕρηται. Πῶς οὖν οὐ πρό Χριστοῦ δι᾽ αὐτῆς ἀνεκαινίσθημεν, ἀλλ᾽ ἐδεήθημεν ἐκεῖνοί τε καί πάντες, οὐ τοῦ διδάσκοντος φιλοσοφίαν, τέχνην τῷ αἰῶνι τούτῳ συγκαταλυομένην, διό καί τοῦ αἰῶνος τούτου λέγεται, ἀλλ᾽ αὐτοῦ τοῦ τήν ἁμαρτίαν αἴροντος τοῦ κόσμου καί παρέχοντος σοφίαν ἀληθῆ τε καί διαιωνίζουσαν, εἰ καί μωρία τοῖς προσκαίροις καί ἀπολλυμένοις ἐστί σοφοῖς, οὐ δοκοῦσα μόνον, ἀλλά καί μωραίνουσα τῇ ἑαυτῆς ἀπουσίᾳ τούς μή ταύτῃ προσέχοντας τόν νοῦν; Ὁρᾶς σαφῶς ὡς οὐχ ἡ τῆς ἔξω παιδείας μάθησίς ἐστιν ἡ σώζουσα καί τό τῆς ψυχῆς γνωστικόν καθαίρουσα καί πρός τό θεῖον ἀρχέτυπον ἀφομοιοῦσα;

Τοιγαροῦν τοῖς περί αὐτῆς λόγοις προσῆκον ἐποίσω τέλος. Εἴ τις πρός τάς νομικάς παρατηρήσεις ὡς καταρθησόμενος ἐκ τούτων ἐπιστρέφεται, Χριστός αὐτόν οὐδέν ὠφελήσει, καίτοι παρά τοῦ Θεοῦ ποτε νενομοθέτηνται σαφῶς ἐκεῖναι, ἀλλ᾽ οὐχί καί ἡ τῶν ἔξω μαθημάτων ἀνάληψις· ᾧ δή καί πολλῷ μᾶλλον, εἴ τις πρός τήν ἀποδεδοκιμασμένην τῶν ἔξω φιλοσοφίαν ὡς ἐξ αὐτῆς τήν ψυχήν καθαρθησόμενος αὖθις ἐπιστρέφει, Χριστός αὐτόν οὐδέν ὠφελήσει. Τό τοῦ Χριστοῦ στόμα Παῦλός ἐστιν ὁ λέγων ἐκεῖ καί ἡμῖν ἐνταυθοῖ συμμαρτυρῶν.

Ταῦτα πρός τούς τήν ἔξω σοφίαν πλέον ἤ δέον ἐξαίροντας, ἀδελφέ, εἰπέ. Καί πρός τούτοις δεῖξον αὐτοῖς διά τῶν ὑπογεγραμμένων κεφαλαίων, πῶς ματαία καί περιφρονητέα τοῖς ἁγίοις ἡμῶν πατράσιν ἐνομίσθη καί μάλιστα τοῖς ἐν πείρᾳ γεγονόσιν αὐτῆς.

***ΕΡΩΤΗΣΙΣ ΔΕΥΤΕΡΑ (Σελ. 116)***

Καλῶς ἐποίησας, Πάτερ, καί τούς τῶν ἁγίων περί τοῦ ζητηθέντος μοι λόγους προθέμενος. Σοῦ γάρ ἀκούων λύοντός μοι τά διηπορημένα, ἐθαύμαζον μέν τῆς ἀληθείας τό ἐμφανές, ἐκεῖνο δέ μου ὑπεισήει τήν διάνοιαν, ὡς ἐπείπερ «λόγῳ παλαίει πᾶς λόγος», ὡς καί

αὐτός εἴρηκας, μή καί τοῖς ὑπό σοῦ λεγομένοις αὖθις εἴη τις ἀντιλογία. Ἐπεί δέ τήν διά τῶν ἔργων μαρτυρίαν μόνην ἔγνων οὖσαν ἀναμφίλεκτον καί τούς ἁγίους τά αὐτά σοι λέγοντας ἀκήκοα, οὐδέν τοιοῦτον ἔτι δέδοικα. Ὁ γάρ τούτοις μή πειθόμενος, πῶς ἄν αὐτός ἀξιόπιστος εἴη; Πῶς δ᾽ οὐκ ἄν ἀθετοίη τόν τῶν ἁγίων Θεόν; Αὐτοῦ γάρ ἐστι λόγος πρός τούς ἀποστόλους καί δι᾽ αὐτῶν πρός τούς μετ᾽ αὐτούς ἁγίους εἰρημένος, ὅτι «ὁ ἀθετῶν ὑμᾶς ἐμέ ἀθετεῖ», ταὐτόν δ᾽ εἰπεῖν, αὐτήν τήν ἀλήθειαν. Πῶς οὖν ἄν ἀποδεχθείη παρά τῶν ζητούντων τήν ἀλήθειαν ὁ ἀντικείμενος τῇ ἀληθείᾳ; Διό παρακαλῶ σε, πάτερ, ἀκοῦσαί μοι καί τῶν ἄλλων ἕκαστον διεξιόντος, ὧν παρά τῶν διά βίου τήν ἑλληνικήν παιδείαν μετιόντων ἀνδρῶν ἀκήκοα ἐκείνων καί εἰπεῖν μέν μοι καί τι τῶν δοκούντων παρά σεαυτοῦ πρός ταῦτα, προσθεῖναι δέ καί τάς τῶν ἁγίων περί τούτων δόξας. Λέγουσι γάρ ἡμᾶς κακῶς ποιεῖν ἔνδον τοῦ σώματος σπεύδοντας τόν ἡμέτερον ἐμπερικλείειν νοῦν˙ ἔξω γάρ τοῦ σώματός φασι μᾶλλον χρῆναι παντί τρόπῳ τοῦτον ἐξωθεῖν. Διό καί διασύρουσι σφόδρα τινάς τῶν ἡμετέρων, κατ᾽ αὐτῶν γράφοντες, ὡς τοῖς ἀρχαρίοις παραινοῦντας ἐφ᾽ ἑαυτούς βλέπειν καί διά τῆς ἀναπνοῆς εἴσω πέμπειν τόν οἰκεῖον νοῦν, (σελ. 118) φάσκοντες μή κεχωρισμένον εἶναι τῆς ψυχῆς τόν νοῦν. Τόν οὖν μή κεχωρισμένον, ἀλλ᾽ ἐνόντα, πῶς ἄν αὖθις εἴσω πέμποι τις; Φασί δέ καί τήν θείαν χάριν διά τῶν μυκτήρων εἰσοικίζειν λέγειν. Ἀλλ᾽ εἰδώς ἐγώ συκοφαντικῶς τοῦτο λέγοντας αὐτούς, παρ᾽ οὐδενός γάρ τοῦτ᾽ ἤκουσα τῶν ἡμετέρων, ἐκ τούτου καί τοῖς ἄλλοις ὑπενόησα κακούργως ἐπιτίθεσθαι˙ τῶν γάρ αὐτῶν ἐστι τά τε μή ὄντα κατ᾽ ἀνθρώπων πλάττειν καί τά ὄντα κακουργεῖν. Σύ δέ δίδαξόν με, πάτερ, πῶς εἴσω πέμπειν σπουδῇ πάσῃ προαιρούμεθα καί μή κακόν οἰόμεθα τῷ σώματι καί τόν νοῦν ἐμπερικλείειν.

***ΑΠΟΚΡΙΣΙΣ ΔΕΥΤΕΡΑ (Σελ. 120)***
***ΛΟΓΟΣ***
***ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ***
***ΤΩΝ ΠΡΟΤΕΡΩΝ Ο ΔΕΥΤΕΡΟΣ***

***ΟΤΙ ΤΟΙ ΠΡΟΗΡΗΜΕΝΟΙΣ ΕΝ ΗΣΥΧΙΑ ΠΡΟΣΕΧΕΙΝ***
***ΕΑΥΤΟΙΣ ΟΥΚ ΑΣΥΝΤΕΛΕΣ ΕΝΔΟΝ ΤΟΥ ΣΩΜΑΤΟΣ***
***ΠΕΙΡΑΣΘΑΙ ΚΑΤΕΧΕΙΝ ΤΟΝ ΟΙΚΕΙΟΝ ΝΟΥΝ.***

Ἀδελφέ, οὐκ ἀκούεις τοῦ ἀποστόλου λέγοντος ὅτι «τά σώματα ἡμῶν ναός τοῦ ἐν ἡμῖν ἁγίου Πνεύματός ἐστι», καί πάλιν ὅτι «οἶκος τοῦ Θεοῦ ἡμεῖς ἐσμεν», ὡς καί ὁ Θεός λέγει, ὅτι «ἐνοικήσω ἐν αὐτοῖς καί ἐμπεριπατήσω καί ἔσομαι αὐτῶν Θεός»; Ὅ τοίνυν οἰκητήριον πέφυκε γίνεσθαι Θεοῦ, πῶς ἄν ἀναξιοπαθήσαι τις νοῦν ἔχων ἐνοικίσαι τόν οἰκεῖον νοῦν αὐτῷ; Πῶς δέ καί ὁ Θεός τήν ἀρχήν ἐνῴκισε τῷ σώματι τόν νοῦν; Ἆρα καί αὐτός κακῶς ἐποίησε; Τούς τοιούτους λόγους, ἀδελφέ, τοῖς αἱρετικοῖς ἁρμόσει λέγειν, οἵ πονηρόν καί τοῦ πονηροῦ πλάσμα τό σῶμα λέγουσιν. Ἡμεῖς δέ ἐν τοῖς σωματικοῖς φρονήμασιν εἶναι τόν νοῦν οἰόμεθα κακόν, ἐν τῷ σώματι δέ οὐχί κακόν, ἐπεί μηδέ τό σῶμα πονηρόν. Διό μετά τοῦ Δαβίδ τῶν διά βίου τῷ Θεῷ προσανεχόντων ἕκαστος βοᾷ πρός τόν Θεόν˙ «ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου» καί «ἡ καρδία μου καί ἡ σάρξ ἠγαλλιάσαντο ἐπί Θεόν ζῶντα»˙ καί μετά τοῦ Ἠσαΐου, «ἡ κοιλίαν μου ἠχήσει ὡς κιθάρα καί τά ἐντός μου ὡσεί τεῖχος χαλκοῦν, ὅ ἐνεκαίνισας» καί «διά τόν φόβον σου, Κύριε, ἐν γαστρί ἐλάβομεν Πνεῦμα σωτηρίου σου», ᾧ θαρροῦντες οὐ πεσούμεθα, ἀλλά πεσοῦνται οἱ ἀπό τῆς γῆς φωνοῦντες καί ὡς γηΐνων τῶν ἐπουρανίων ρημάτων καί πολιτειῶν καταψευδόμενοι.

(σελ. 122) Εἰ γάρ καί ὁ ἀπόστολος θάνατον τό σῶμα λέγει, «τίς γάρ με», φησί, «ρύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;», ἀλλ᾽ ὡς τοῦ προσύλου καί σωματικοῦ φρονήματος σωματοειδοῦς ὄντος ἀτεχνῶς˙ διό, πρός τό πνευματικόν καί θεῖον παραβάλλων τοῦτο, σῶμα δικαίως ἐκάλεσε, καί οὐχ ἁπλῶς σῶμα, ἀλλά θάνατον σώματος, καί τοῦτο μικρόν ἀνωτέρω τρανότερον δηλῶν ὡς οὐχί τήν σάρκα αἰτιᾶται, ἀλά τήν ἐπεισελθοῦσαν ἁμαρτητικήν ὁρμήν ἐκ παραβάσεως˙ πεπραμένος», φησίν, «εἰμί ὑπό τήν ἁμαρτίαν»˙ ὁ πεπραμένος δέ οὐ φύσει δοῦλος. Καί πάλιν˙ «οἶδα ὅτι οὐκ οἰκεῖ ἐν ἐμοί, τουτέστιν ἐν τῇ σαρκί μου, ἀγαθόν». Ὁρᾷς ὅτι οὐ τήν σάρκα ἀλλά τό ἐνοικοῦν αὐτῇ φησί κακόν; τοῦτον τοίνυν, τόν ὄντα ἐν τοῖς μέλεσιν ἡμῶν καί τῷ νόμῳ τοῦ νοός ἀντιστρατευόμενον νόμον, ἐνοικεῖν τῷ σώματι κακόν, ἀλλ᾽ οὐχί τόν νοῦν.

Διά τοῦθ᾽ ἡμεῖς, ἀντιπαρατατόμενοι τούτῳ τῷ νόμῳ τῆς ἁμαρτίας, ἐξοικίζομεν αὐτόν τοῦ σώματος καί ἐνοικίζομεν τήν ἐπισκοπήν τοῦ νοῦ καί νομοθετοῦμεν δι᾽ αὐτῆς ἑκάστῃ τε δυνάμει τῆς ψυχῆς καί τοῖς τοῦ σώματος μέλεσιν ἑκάστῳ τό προσῆκον˙ ταῖς μέν αἰσθήσεσιν, ὧν τε καί ἐφ᾽ ὅσον ἐστίν ἀντιληπτέον, τό ἔργον δέ τοῦ

νόμου τοῦτο προσαγορεύεται ἐγκράτεια· τῷ δέ παθητικῷ μέρει τῆς ψυχῆς τήν ἀρίστην ἐμποιοῦμεν ἕξιν, ἀγάπην δ᾽ ἔσχεν αὕτη τήν ἐπωνυμίαν· ἀλλά καί τό λογιστικόν διά τούτου βελτιοῦμεν, ἀποπεμπόμενοι πᾶν ὅ τι προσίσταται τῇ διανοίᾳ πρός τήν εἰς Θεόν ἀνάνευσιν, καλοῦμεν δέ τουτί τό μόριον τοῦ νόμου τούτου νῆψιν. Ἐγκρατείᾳ δέ τις τό σῶμα καθάρας ἑαυτοῦ, θυμόν τε καί ἐπιθυμίαν ἀφορμήν ἀρετῶν δι᾽ ἀγάπης θείας ποιησάμενος καί νοῦν ἀπειλικρινημένον δι᾽ εὐχῆς παραστήσας τῷ Θεῷ, κτᾶται καί ὁρᾷ ἐν ἑαυτῷ τήν ἐπηγγελμένην χάριν τοῖς κεκαθαρμένοις τήν καρδίαν. Καί τότ᾽ ἄν δυνηθείη καί τοῦτο μετά Παύλου λέγειν, ὅτι «ὁ Θεός ὁ εἰπών ἐκ σκότους φῶς λάμψαι, (σελ. 124) ὅς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρός φωτισμόν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ, ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ· «ἔχομεν δέ», φησί, «τόν θησαυρόν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν». Τό γοῦν πατρικόν φῶς, ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ, εἰς τό γνῶναι τήν δόξαν τοῦ ἁγίου Πνεύματος ἔχοντες ἡμεῖς ὡς ἐν ὀστρακίνοις σκεύεσι, τοῖς σώμασιν, εἰς τόν νοῦν ἡμῶν αὐτῶν ἔνδον τοῦ σώματος καθέξομεν, ἀναξίως τῆς μεγαλοφυΐας πράξομεν τοῦ νοῦ; Καί τίς ἄν τοῦτ᾽ εἴποι, μή ὅτι πνευματικός, ἀλλά καί νοῦν γεγυμνωμένον θείας χάριτος, ἀνθρώπου δ᾽ ὅμως ἔχων;

Ἐπεί δέ καί ἔνεστι πολυδύναμον πρᾶγμα ἡ καθ᾽ ἡμᾶς ψυχή, χρῆται δ᾽ ὡς ὀργάνῳ τῷ ζῆν κατ᾽ αὐτήν πεφυκότι σώματι, τίσιν ὡς ὀργάνοις χρωμένη ἐνεργεῖ ἡ δύναμις αὐτῆς αὕτη, ἥν καλοῦμεν νοῦν; Ἀλλά γάρ οὐδείς ποθ᾽ ὑπενόησεν, οὔτε ἐπί τοῖς ὄνυξιν, οὔτ᾽ ἐν τοῖς βλεφάροις, οὐδέ μενοῦν ἐν τοῖς μυκτῆρσιν ἤ τοῖς χείλεσιν ἐνῳκισμένην εἶναι τήν διάνοιαν· ἐντός δ᾽ ἡμῖν ἐνεῖναι πᾶσιν αὕτη συνδοκεῖ, διηνέχθησαν δέ τινες, τίνι πρώτῳ ὡς ὀργάνῳ χρῆται τῶν ἐντός. Οἱ μέν γάρ ὡς ἐπ᾽ ἀκροπόλει τινί τῷ ἐγκεφάλῳ ταύτην ἐνιδρύουσιν, οἱ δέ τῆς καρδίας τό μεσαίτατον καί τό κατ᾽ αὐτό τοῦ ψυχικοῦ πνεύματος ἐπειλικρινημένον ὄχημα διδόασιν αὐτῇ. Ἡμεῖς δέ καί αὐτοί, εἰ καί μήτε ἔνδον ὡς ἐν ἀγγείῳ, καί γάρ ἀσώματον, μήτε ἔξω, καί γάρ συνημμένον, ἀλλ᾽ ἐν τῇ καρδίᾳ ὡς ἐν ὀργάνῳ τό λογιστικόν ἡμῶν εἶναι ἐπιστάμεθ᾽ ἀκριβῶς, οὐ παρ᾽ ἀνθρώπου τοῦτο διδαχθέντες, ἀλλά παρ᾽ αὐτοῦ τοῦ πλάσαντος τόν ἄνθρωπον, ὅς, δεικνύς ὅπως «οὐ τά εἰσερχόμενα, ἀλλά τά ἐξερχόμενα διά τοῦ στόματος κοινοῖ τόν ἄνθρωπον», «ἐκ γάρ τῆς καρδίας ἐξέρχονται», φησίν, «οἱ λογισμοί». Ταῦτ᾽ ἄρα καί ὁ μέγας Μακάριος, (σελ. 126) «ἡ καρδία», φησίν, «ἡγεμονεύει ὅλου τοῦ ὀργάνου καί, ἐπάν κατάσχῃ τάς νομάς τῆς

καρδίας ἡ χάρις, βασιλεύει ὅλων τῶν λογισμῶν καί τῶν μελῶν˙ ἐκεῖ γάρ ἐστιν ὁ νοῦς καί πάντες οἱ λογισμοί τῆς ψυχῆς». Οὐκοῦν ἡ καρδία ἡμῶν ἐστι τό τοῦ λογιστικοῦ ταμεῖον καί πρῶτον σαρκικόν ὄργανον λογιστικόν. Τό τοίνυν λογιστικόν ἡμῶν ἐν ἀκριβεῖ νήψει σπεύδοντες ἐπισκέπτεσθαι καί διορθοῦν, τίνι γ᾽ ἄν ἐπισκεψαίμεθα, εἰ μή τόν ἐγκεχυμένον διά τῶν αἰσθήσεων νοῦν ἡμῶν ἔξωθεν συναγαγόντες πρός τά ἐντός ἐπαναγάγοιμεν καί πρός αὐτήν ταύτην τήν καρδίαν, τό τῶν λογισμῶν ταμεῖον; Διά τοῦτο καί ὁ φερώνυμος Μακάριος ἐφεξῆς τοῖς ἀνωτέρω μικρόν εἰρημένοις παρ᾽ αὐτοῦ φησιν˙ «ἐκεῖ τοίνυν δεῖ σκοπεῖν, εἰ ἐνέγραψεν ἡ χάρις τούς τοῦ Πνεύματος νόμους». Ἐκεῖ ποῦ; Ἐν τῷ ἡγεμονικῷ ὀργάνῳ, ἐν τῷ τῆς χάριτος θρόνῳ, ὅπου ὁ νοῦς καί οἱ λογισμοί πάντες τῆς ψυχῆς, ἐν τῇ καρδίᾳ δηλαδή. Ὁρᾷς πῶς ἀναγκαιότατον τοῖς προῃρημένοις ἐν ἡσυχίᾳ προσέχειν ἑαυτοῖς ἐπανάγειν καί ἐμπερικλείειν τῷ σώματι τόν νοῦν, καί μάλιστα τῷ ἐν τῷ σώματι ἐνδοτάτῳ σώματι, ὅ καρδίαν ὀνομάζομεν;

Εἰ δέ καί κατά τόν ψαλμῳδόν «πᾶσα ἡ δόξα τῆς θυγατρός τοῦ βασιλέως ἔσωθεν», πῶς ἡμεῖς αὐτήν ἔξω που ζητήσομεν; Εἰ δέ καί κατά τόν ἀπόστολον ὁ Θεός ἔδωκεν αὐτοῦ τό Πνεῦμα κρᾶζον ἐν ταῖς καρδίαις ἡμῶν, ἀββᾶ ὁ πατήρ, πῶς ἡμεῖς οὐκ ἐν αὐταῖς συνευξόμεθα τῷ Πνεύματι; Εἰ δέ καί κατά τόν προφητῶν καί ἀπόστολον Κύριον «ἡ βασιλεία τῶν οὐρανῶν ἐντός ἡμῶν ἐστι», πῶς οὐκ ἔξω καί τῆς οὐρανῶν βασιλείας γένοιτ᾽ ἄν ὁ τῶν ἐντός ἑαυτοῦ τόν νοῦν ἐξάγειν διά σπουδῆς ποιούμενος; «Καρδία ὀρθή», φησίν ὁ Σολομών, «ζητεῖ αἴσθησιν», ἥν ὁ αὐτός νοεράν καί θείαν ἀλλαχοῦ προσείρηκε, πρός ἥν οἱ πατέρες πάντας (σελ. 128) προτρεπόμενοι, «νοῦς, φασί, νοερός πάντως καί νοεράν αἴσθησιν περιβέβληται, ἥν ἐν ἡμῖν καί οὐκ ἐν ἡμῖν οὖσαν ἐκζητοῦντες μή παυσώμεθα». Ὁρᾷς ὅτι κἄν πρός τήν ἁμαρτίαν ἀντικαταστῆναί τις προθυμηθῇ, κἄν τήν ἀρετήν προσκτήσασθαι, κἄν τοῦ κατ᾽ ἀρετήν ἄθλου τό βραβεῖον, μᾶλλον δέ τόν ἀρραβῶνα τοῦ κατ᾽ἀρετήν βραβείου, τήν αἴσθησιν τήν νοεράν εὑρεῖν, ἐντός τοῦ τε σώματος καί ἑαυτοῦ τόν νοῦν ἐπαναγαγεῖν ἀνάγκη; Τό δ᾽ἔξω τόν νοῦν, οὐ τοῦ σωματικοῦ φρονήματος, ἀλλ᾽ αὐτοῦ τοῦ σώματος ποιεῖν, ὡς ἐκεῖ νοεροῖς θεάμασιν ἐντύχοι, τῆς ἑλληνικῆς ἐστι πλάνης αὐτό τό κράτιστον καί πάσης κακοδοξίας ῥίζα καί πηγή, δαιμόνων εὕρημα καί παίδευμα, γεννητικόν ἀνοίας καί γέννημα τῆς ἀπονοίας. Διό καί οἱ λαλοῦντες ἐκ τῆς τῶν δαιμόνων ἐπιπνοίας ἐξεστηκότες ἑαυτῶν εἰσι, μηδ᾽ αὐτό τοῦτο συνιέντες ὅ τι λέγουσιν. Ἡμεῖς δέ, μή μόνον εἴσω τοῦ

σώματος καί τῆς καρδίας, ἀλλά καί τόν αὐτόν αὐτοῦ πάλιν εἴσω πέμπομεν τόν νοῦν.

Κατηγορείτωσαν οὐκοῦν οἱ λέγοντες, «μή κεχωρισμένον, ἀλλ᾽ ἐνόντα τῇ ψυχῇ, πῶς ἄν αὖθις εἴσω πέμποι τις τόν νοῦν;». Ἀγνοοῦσι γάρ, ὡς ἔοικεν, ὅτι ἄλλο μέν οὐσία νοῦ, ἄλλο δέ ἐνέργεια, μᾶλλον δέ εἰδότες τοῖς ἀπατεῶσιν ἑαυτούς συνέταξαν ἑκόντες, διά τῆς ὁμωνυμίας σοφιζόμενοι. «Μή καταδεχόμενοι γάρ τό τῆς πνευματικῆς διδασκαλίας ἁπλοῦν, οἱ ἐκ τῆς διαλεκτικῆς πρός τάς ἀντιλογίας ἠκονημένοι», κατά τόν μέγαν Βασίλειον, «περιτρέπουσι τήν ἰσχύν τῆς ἀληθείας ἐκ τῶν ἀντιθέσεων τῆς ψευδωνύμου γνώσεως τῇ πιθανολογίᾳ τῶν σοφισμάτων. Τοιούτους γάρ δεῖ εἶναι τούς μή πνευματικούς καί τά πνευματικά κρίνειν καί διδάσκειν ἀξιοῦντας ἑαυτούς. Οὐ γάρ δή τοῦτο λέλεθεν αὐτούς, ὅτι οὐχ ὡς ἡ ὄψις τἆλλα μέν ὁρᾷ τῶν ὁρατῶν, ἑαυτήν δέ οὐχ ὁρᾷ, οὕτω καί ὁ νοῦς, ἀλλ᾽ ἐνεργεῖ μέν καί τἆλλα, ὧν ἄν δέοιτο (σελ. 130) περισκοπῶν, ὅ φησι κατ᾽ εὐθείαν κίνησιν τοῦ νοῦ Διονύσιος ὁ μέγας, εἰς ἑαυτόν δ᾽ ἐπάνεισι καί ἐνεργεῖ καθ᾽ ἑαυτόν, ὅταν ἑαυτόν ὁ νοῦς ὁρᾷ˙ τοῦτο δ᾽ αὖθις κυκλικήν εἶναι κίνησιν ὁ αὐτός αὐτοῦ φησιν. Αὕτη δ᾽ ἡ τοῦ νοῦ ἐστιν ἐνέργεια κρείττων καί ἰδιαιτάτη, δι᾽ ἧς καί ὑπέρ ἑαυτόν γινόμενος ἔσθ᾽ ὅτε τῷ Θεῷ συγγίνεται. «Νοῦς γάρ», φησί, «μή σκεδαννύμενος ἐπί τά ἔξω» (ὁρᾷς ὅτι ἔξεισι; ἐξιών οὖν, ἐπανόδου δεῖται˙ διό φησιν) «ἐπάνεισι πρός ἑαυτόν, δι᾽ ἑαυτοῦ δέ πρός τόν Θεόν» ὡς δι᾽ ἀπλανοῦς ἀναβαίνει τῆς ὁδοῦ. Τήν τοιαύτην γάρ κίνησιν τοῦ νοῦ καί ὁ τῶν νοερῶν ἀπλανής ἐπόπτης ἐκεῖνος Διονύσις ἀδύνατον εἶναί φησι πλάνῃ τινί περιπεσεῖν.

Ταύτης οὖν ἀπάγειν ὁ τῆς πλάνης πατήρ ἐπιθυμῶν ἀεί τόν ἄνθρωπον καί πρός τήν χωροῦσαν αὐτοῦ τάς πλάνας ἄγειν, οὐδέπω καί τήμερον, ὅσα γε ἡμεῖς ἴσμεν, εὗρε συνεργόν διά χρηστολογίας ἀγωνιζόμενον ἐφελκύσασθαι πρός ταύτην. Νῦν δ᾽ ὡς ἔοικεν εὗρε τούς συλλαμβανομένους, εἴπερ, ὡς αὐτός εἶπες, εἰσίν οἵ καί λόγους συντιθέασιν ἐνάγοντας πρός ταῦτα καί τούς πολλούς πείθειν ἐγχειροῦσιν ὡς κάλλιον ἔξω κατέχειν τοῦ σώματος προσευχόμενον τόν νοῦν καί αὐτούς τούς τόν ὑπεραναβεβηκότα καί ἡσύχιον ἀσπαζομένους βίον, μηδ᾽ ἐκεῖνο αἰδεσθέντς ὅπερ Ἰωάννης, ὁ τήν πρός οὐρανόν φέρουσαν κλίμακα διά λόγων τεκτηνάμενος ἡμῖν, ὁριστικῶς καί ἀποφαντικῶς ἐξεῖπεν ὡς «ἡσυχαστής ἐστιν ὁ τῶν ἀσώματον ἐν σώματι περιορίζειν σπεύδων», ᾧ συνωδᾷ καί οἱ πνμευματικοί πατέρς

ἡμῶν ἐδίδαξαν ἡμᾶς. Εἰκότως εἰ γάρ μή ἔνδον τοῦ σώματος περιορίσειε, πῶς ἄν ἑαυτῷ ποιήσειε τόν τό σῶμα ἐνημμένον καί ὡς εἶδος φυσικόν διά πάσης χωροῦντα τῆς μεμορφωμένης ὕλης, ἧς τό ἔξω καί διωρισμένον (σελ. 132) οὐκ ἄν ἐπιδείξαιτο οὐσίαν νοῦ, μέχρις ἄν ἐκείνη ζώη ζωῆς εἶδος κατάλληλος τῇ συναφείᾳ σπῶσα;

Βλέπεις, ἀδελφέ, πῶς οὐ πνευματικῶς μόνον ἀλλά καί ἀνθρωπίνως ἐξετάζουσιν, εἴσω τοῦ σώματος πέμπειν ἤ κατέχειν τόν νοῦν ἀναπέφηνεν ἀναγκαιότατον τούς προῃρημένους ἑαυτῶν ὡς ἀληθῶς γενέσθαι καί κατά τόν ἔσω ἄνθρωπον φερωνύμως μοναχούς; Τό δ᾽ εἰς ἑαυτούς μάλιστα τούς εἰσαγομένους βλέπειν εἰσηγεῖσθαι καί διά τῆς ἀναπνοῆς εἴσω πέμπειν τόν οἰκεῖον νοῦν οὐκ ἀπό τρόπου. Τόν γάρ μήπω θεωρηττικόν ἑαυτοῦ μηχανοῖς τισι πρός ἑαυτόν ἐπισυνάγειν νοῦν οὐκ ἀποτρέψειέ τις εὖ φρονῶν. Ἐπεί οὖν τοῖς ἄρτι πρός τόν ἀγῶνα τοῦτον ἀποδυσαμένοις καί συναγόμενος συνεχῶς ἀποπηδᾷ, δεῖ δέ καί συνεχῶς αὐτούς αὖθις τοῦτον ἐπανάγειν, λανθάνει δ᾽ ἀγυμνάστους ὄντας δυσθεωρητότατος καί εὐκινητότατος ἁπάντων ὤν, διά τοῦτο τῇ πυκνά διαχεομένῃ καί ἐπαναγομένῃ εἰσπνοῇ προσέχειν εἰσίν οἵ παραινοῦσι καί ἐπέχειν τι μικρόν, ὡς κἀκεῖνον συνεπίσχοιεν τηροῦντες ἐν αὐτῇ μέχρις ἄν σύν Θεῷ ἐπί τό κρεῖττον προϊόντες, ἀπρόσιτον πρός τά περί αὐτόν καί ἀμιγῆ τόν οἰκεῖον νοῦν ποιήσαντες δυνηθῶσιν ἀκριβῶς εἰς «ἑνοειδῆ συνέλιξιν» συναγαγεῖν. Τοῦτο δ᾽ ἴσοι τις ἄν καί αὐτομάτως ἑπόμενον τῇ προσοχῇ τοῦ νοῦ. Ἠρέμα γάρ εἴσεσί τε καί ἔξεισι τουτί τό Πνεῦμα κἀπί πάσης ἐναγωνίου σκέψεως, μάλιστα δέ ἐπί τῶν ἡσυχαζόντων σώματι καί διανοίᾳ. Πνευματικῶς γάρ οὗτοι σαββατίζοντες καί ἀπό πάντων τῶν οἰκείων ἔργων καταπαύοντες, ὡς ἐφικτόν, πᾶν μέν τό μεταβατικόν καί διεξοδικόν καί πεποικιλμένον περί τάς γνώσεις τῶν ψυχικῶν δυνάμεων περιαιροῦσιν ἔργον καί τάς αἰσθητικάς πάσας ἀντιλήψεις καί πᾶσαν ἁπλῶς σώματος ἐνέργειαν, ἥτις ἐφ᾽ ἡμῖν, ἥ δ᾽ οὐκ ἐφ᾽ ἡμῖν τελέως ὥσπερ καί τό ἀναπνεῖν, ἐφ᾽ ὅσον ἐφ᾽ ἡμῖν.

(σελ. 134) Ταῦτα δέ πάντα τοῖς προκόψασι καθ᾽ ἡσυχίαν ἀπόνως καί ἀπεριμερίμνως ἕπεται˙ τῇ γάρ τελέα πρός ἑαυτήν εἰσόδῳ τῆς ψυχῆς αὐτόματα ταὐτί πάντα ἐπιγίνεσθαι ἀνάγκη. Τοῖς δ᾽ ἀρχομένοις ἕν οὐδέν τῶν εἰρημένων ἴδοις ἄν ἀμογητί περιγινόμενον. Ὡς οὖν τῇ ἀγάπῃ ἕπεται τό ὑπομένειν («ἡ γάρ ἀγάπη πάντα στέγει», ἡμεῖς δέ διδασκόμεθα κατορθοῦν βίᾳ τήν ὑπομονήν, ὡς δ᾽ αὐτῆς πρός τήν ἀγάπην φθάσωμεν), οὕτω κἀπί τούτων ἔχει. Καί τί δεῖ πλείω περί

τούτων λέγειν; Πάντες γάρ οἱ πεπειραμένοι γελῶσι τούς ἐξ ἀπειρίας ἀντινομοθετοῦντας˙ τῶν γάρ τοιούτων οὐ λόγος ἀλλά πόνος καί ἡ διά πόνων πεῖρα διδάσκαλος, αὐτή τε καρπουμένη τό συμφέρον καί τῶν φιλονείκων τε καί φιλενδείκτων τούς ἀκάρπους ἀποστρεφομένη. Ἐπεί δέ καί, καθάπερ τις τῶν μεγάλων περί ταῦτα λέγει, τοῖς ἔξω σχήμασι πέφυκεν ὁ ἔσω ἄνθρωπος συνεξομοιοῦσθαι μετά τήν παράβασιν, πῶς οὐκ ἄν συντελέσειέ τι μέγα τῷ σπεύδοντι συστρέφειν τόν νοῦν εἰς ἑαυτόν, ὡς μή τήν κατ᾽ εὐθεῖαν ἀλλά τήν κυκλικήν καί ἀπλανῆ κινεῖσθαι κίνησιν, τῷ μή τόν ὀφθαλμόν ὧδε κἀκεῖσε περιάγειν, ἀλλ᾽ οἷον ἐρείσματί τινι τοῦτον προσερείδειν τῷ οἰκείῳ στήθει ἤ τῷ ὀμφαλῷ; Πρός γάρ τῷ εἰς κύκλον ὥσπερ ἔξωθεν, ἐφ᾽ ὅσον ἐφικτόν, συνελίττειν ἑαυτόν, παραπλησίως τῇ σπουδαζομένῃ ἐν αὐτῷ τοῦ νοῦ κινήσει καί τήν δι᾽ ὄψεως ἔξω χεομένην δύναμιν τοῦ νοῦ τῆς καρδίας εἴσω πέμψει διά τοῦ τοιούτου σχήματος τοῦ σώματος. Εἰ δέ καί ἡ τοῦ νοητοῦ θηρός δύναμις ἐπ᾽ ὀμφαλοῦ γαστρός, ὡς τοῦ νόμου τῆς ἁμαρτίας ἐκεῖ τό κράτος ἔχοντος καί νομήν αὐτῷ διδόντος, διατί μή τῶν ἀντιστρατευόμενον ἐκείνῳ τοῦ νοῦ νόμον, αὐτοῦ δι᾽ εὐχῆς ὡπλισμένον ἐπιστήσομεν, ὡς ἄν μή τό διά τοῦ λουτροῦ τῆς παλιγγενεσίας πνεῦμα πονηρόν ἀπελαθέν, μεθ᾽ ἑτέρων ἑπτά (σελ.136) πονηροτέρων πνευμάτων ἐπιστρέψαν, αὖθις ἐγκατοικισθῇ καί γένηται τά ἔσχατα χείρονα τῶν πρώτων;

«Πρόσεχε σεαυτῷ», φησίν ὁ Μωϋσῆς˙ παντί δηλονότι, οὐ τινί μέν τῶν σῶν, τινί δ᾽ οὔ. Διά τίνος; Τοῦ νοῦ πάντως. Οὐδενί γάρ ἄλλῳ δυνατόν προσέχειν ἑαυτῷ παντί. Ταύτην οὖν ἐπίστησιν καί ψυχῇ σώματι τήν φυλακήν˙ δι᾽ αὐτῆς γάρ καί σωματικῶν καί ψυχικῶν πονηρῶν παθημάτων ἀπαλλαγήσῃ ῥᾳδίως. Σεαυτοῦ τοίνυν πρόστηθι, σεαυτῷ ἐπίστηθι, σεαυτόν ἐπίσκεψαι, μᾶλλον δέ προΐστασο καί ἐπισκέπτου καί ἔταζε˙ καί γάρ οὕτω τήν σάρκα ἀφηνιάζουσαν ὑποτάξεις τῷ πνεύματι καί «ῥῆμα κρυπτόν ἐν τῇ καρδίᾳ σου οὐ μήποτε γένηται». Ἐάν πνεῦμα τοῦ ἐξουσιάζοντος», τῶν πονηρῶν δηλονότι καί πνευμάτων καί παθημάτων, «ἀναβῇ ἐπί σέ», φησίν ὁ Ἐκκλησιαστής, «τόπον σου μή ἀφῇς», τουτέστι μή ψυχῆς μέρος, μή μέλος σώματος ἀνεπίσκοπον ἐάσῃς. Οὕτω γάρ καί τῶν κάτωθεν ἐπηρεαζόντων πνευμάτων ἀνώτερον διαγενήσῃ καί «τῷ ἐτάζοντι καρδίας καί νεφρούς», ὡς αὐτός ταῦτα προετάσας, ἀνεξετάστως παραστήσῃ μετά παρρησίας. «Εἰ γάρ ἑαυτούς ἐκρίνομεν, οὐκ ἄν ἐκρινόμεθα». Παῦλός ἐστιν ὁ λέγων. Καί τό τοῦ Δαυίδ παθών

μακάριον ἐκεῖνο πάθος, καί αὐτός πρός τόν Θεόν ἐρεῖς ὅτι «σκότος οὐ σκοτισθήσεται ἀπό σοῦ καί νύξ ὡς ἡμέρα φωτισθήσεταί μοι ὅτι σύ ἐκτήσω τούς νεφρούς μου». Οὐ τό τῆς ἐμῆς, φησί, ψυχῆς μόνον ἐπιθυμητικόν ὅλον σόν εἰργάσω, ἀλλά καί εἴ τι ἐν τῷ σώματι ταύτης τῆς ἐπιθυμίας ζώπυρον πρός τήν ἐμποιοῦσαν ἐπιστρέψαν, δι᾽ αὐτῆς πρός σέ ἀνέπτη καί σοῦ ἐξήρτηται καί σοί κολλᾶται. Ὡς γάρ τοῖς τῶν αἰσθητῶν καί φθαρτῶν ἡδονῶν ἀνεχομένοις τό τῆς ψυχῆς ἐπιθυμοῦν ὅλον κενοῦται πρός τήν σάρκα καί διά τοῦτο ὅλοι σάρκες γίνονται καί τό Πνεῦμα (σελ. 138) τοῦ Θεοῦ κατά τό γεγραμμένον οὐκ ἔνι καταμένειν ἐν αὐτοῖς, οὕτω τοῖς ἀνυψώσασι τόν νοῦν πρός τόν Θεόν καί τοῦ θείου πόθου τήν ψυχήν ἐξηρτημένοις, καί ἡ σάρξ μετασκευαζομένη συνανυψοῦταί τε καί συναπολαύει τῆς θείας κοινωνίας καί κτῆμα καί αὐτή γίνεται καί οἴκημα Θεοῦ, μηκέτ᾽ ἐνοικουροῦσαν ἔχουσα τήν πρός Θεόν ἔχθραν, μηδέ κατά τοῦ πνεύματος ἐπιθυμοῦσα.

Τίς δέ καί ὁ μᾶλλον ἐπιτήδειος τόπος τῷ κάτωθεν ἐφ᾽ ἡμᾶς ἀνιόντι πνεύματι σαρκός καί νοῦ; Οὐχ ἡ σάρξ, ἐν ᾗ καί ὁ ἀπόστολός φησι μηδέν ἀγαθόν πρό τοῦ ἐγκατοικισθῆναι τόν νόμον τῆς ζωῆς οἰκεῖν; Ταύτην οὐκοῦν καί μᾶλλον δεῖ μηδέποτ᾽ ἀφεῖσθαι προσοχῆς. Πῶς γάρ ἄν ἡμῶν εἴη, πῶς δ᾽ ἄν μή ἀφῶμεν ταύτην, πῶς δ᾽ ἄν ἀποκρουσαίμεθα τήν πρός αὐτήν ἄνοδον τοῦ πονηροῦ, καί μάλισθ᾽ οἱ μήπω πνευματικῶς εἰδότες ἀντεπιέναι τοῖς πνευματικοῖς τῆς πονηρίας, εἰ μή καί διά τοῦ ἔξω σχήματος ἡμᾶς αὐτούς παιδεύσομεν προσέχειν ἑαυτοῖς; Καί τί λέγω τούς ἄρτι ἐπιβαλλομένους, ὅτε καί τῶν τελεωτέρων εἰσιν οἵ τούτῳ χρησάμενοι τῷ σχήματι κατά τήν προσευχήν εὐήκοον τό θεῖον ἔσχον, οὐ μόνον τῶν μετά Χριστόν, ἀλλά καί τῶν πρό τῆς αὐτοῦ πρός ἡμᾶς ἐπιδημίας. Καί αὐτός γάρ ὁ τήν θεοπτίαν τελεώτατος Ἠλίας, τήν κεφαλήν τοῖς γόνασιν ἐρείσας καί οὕτω τόν νοῦν εἰς ἑαυτόν καί τόν Θεόν φιλοπονώτερον συναγαγών, τόν πολυετῆ ἐκεῖνον ἔλυσεν αὐχμόν. Οὗτοι δέ μοι δοκοῦσιν, ἀδελφέ, παρ᾽ ὧν ἀκηκοέναι ταῦτα λέγεις, νοσεῖν τήν τῶν φαρισαίων νόσον, διό καί τό ἔσωθεν τοῦ ποτηρίου, δηλαδή τήν ἑαυτῶν καρδίαν, ἐπισκέπτεσθαι καί καθαίρειν οὐκ ἐθέλωσι καί ταῖς πατερικαῖς μή στοιχοῦντες παραδόσεσι σπεύδουσιν αὐτοί προκαθῆσθαι πάντων ὡς κοινοί νομοδιδάσκαλοι˙ τό τε σχῆμα τῆς δεδικαιωμένης τελωνικῆς εὐχῆς ἐκείνης αὐτοί τε ἀπαξιοῦσι καί τούς (σελ. 140) ἄλλους τῶν εὐχομένων παραινοῦσι μή προσίεσθαι. Καθάπερ γάρ ἐν εὐαγγελίοις

φησίν ὁ Κύριος, «ἐκεῖνος οὐκ ἤθελεν οὐδέ τούς ὀφθαλμούς εἰς τόν οὐρανόν ἆραι»˙ τοῦτον δή ζηλοῦσι οἱ ἑαυτοῖς ἐν τῷ εὔχεσθαι προσέχοντες τήν ὄψιν.

Οἱ δ᾽ ὀμφαλοψύχους τούτους ὀνομάζοντες, πρός τῷ συκοφαντεῖν σαφῶς ὧν κατηγοροῦσι (τίς γάρ ποτε τούτων ἐπ᾽ ὀμφαλοῦ λέγειν τήν ψυχήν;) πρός γοῦν τῷ γενέσθαι δήλους συκοφαντικῶς ἐπιθεμένους, καί ὑβριστάς τῶν ἐπαινουμένων σφᾶς αὐτούς ἔδειξαν ὄντας, ἀλλ᾽ οὐ διορθωτάς τῶν σφαλλομένων, οὐδ᾽ ἡσυχίους ἕνεκεν καί ἀληθείας, ἀλλά κενοδοξίας χάριν γράφοντας, οὐδ᾽ ἵνα πρός νῆψιν ἐναγάγωσιν, ἀλλ᾽ ἵνα τῆς νήψεως ἐπαγάγωσιν. Αὐτό γάρ τό ἔργον καί τούς ἐμμελῶς ἐπειλημμένους τούτου παντί τρόπῳ σπεύδουσιν ἐξ αὐτῆς τῆς καταλλήλου πράξεως ἐξουθενεῖν. Οἱ τοιοῦτοι δέ ῥαδίως καί τόν εἰπόντα ὡς «ὁ νόμος τοῦ Θεοῦ ἐν μέσῳ κοιλίας μου» καί τόν εἰρηκότα πρός Θεόν ὅτι «ἡ κοιλία μου ἠχήσει ὡς κιθάρα καί τά ἐντός μου ὡσεί τεῖχος χαλκοῦν ὅ ἐνεκαίνισας» κοιλιοψύχους ἄν προσαγορεύσεται καί κοινῇ πάντας διαβάλοιεν τούς διά σωματικῶν συμβόλων τά νοερά καί θεῖα καί πνευματικά τυποῦντας καί καλοῦντας καί ἀνιχνεύοντας. Ἀλλ᾽ ἐκείνοις μέν παρά τοῦτο βλάβος ἐποίσουσιν οὐδέν, μᾶλλον μέν οὖν καί μακαρισμῶν πρόξενοι γενήσονται καί μείζονος προσθήκης τῶν ἐν οὐρανοῖς στεφάνων, αὐτοί δέ καί τῶν ἱερῶν παραπετασμάτων ἔξω μένουσι καί οὐδέ πρός τάς σκιάς ἕξουσιν ἀτενίζειν τῆς ἀληθείας, πολύ δέ τό δέος μή καί δίκην τίσωσιν αἰώνιον, οὐκ ἀποδιαστείλαντες μόνον ἑαυτούς τῶν ἁγίων, ἀλλά καί κατ᾽ αὐτῶν τῷ λόγῳ χωρήσαντες.

(σελ. 142) Συμεῶνος γάρ τοῦ νέου θεολόγου τόν βίον οἶσθα θαῦμά τε ὄντα πάντα σχεδόν καί δι᾽ ὑπερφυῶν θαυμάτων ὑπό Θεοῦ δεδοξασμένον, τά τε συγγράμματα αὐτοῦ συγγράμματα ζωῆς εἰπών τις, οὐκ ἄν ἁμάρτοι τοῦ προσήκοντος, καί Νικηφόρον δέ τόν ὅσιον ἐκεῖνον ὅς, πολυετῆ χρόνον ἐν ἠρεμίᾳ καί ἡσυχίᾳ διενεγκών, ἔπειτα τοῖς ἐρημικωτέροις μέρεσι τοῦ Ἁγίου Ὄρους ἐμφιλοχωρήσας καί ἀπασχολήσας ἑαυτόν, ἐκ πασῶν τῶν πατερικῶν φωνῶν συνειλοχώς, τήν νηπτικήν ἡμῖν αὐτῶν παραδέδωκε πρᾶξιν. Οὗτοι τοίνυν τοὔθ᾽ ὅπερ ἀνατρέπειν φής τινας σαφῶς τοῖς προαιρουμένοις εἰσηγοῦνται. Καί τί λέγω τούς παλαιούς τῶν ἁγίων; Ἄνδρες γάρ μικρῷ πρό ἡμῶν μεμαρτυρημένοι καί ἀποδεδειγμένοι ἐν δυνάμει πνεύματος ἁγίου τοὔθ᾽ ἡμῖν διά στόματος οἰκείου παρέδωκαν, τόν τε θεολόγον τοῦτον ὡς ἀληθῶς θεολόγον καί τῆς ἀληθείας τοῦ Θεοῦ μυστηρίων ἐπόπτην ἀσφαλέστατον ἐφ᾽ ἡμῶν ἀνεκήρυττον τόν φερωνύμως Θεόληπτον

ἐκεῖνον ἀκούεις, τόν Φιλαδελφείας πρόεδρον, μᾶλλον δ᾽ ἀπό ταύτης ὡς ἀπό λυχνίας τόν κόσμον φωτίσαντα, τόν Ἀθανάσιον ἐκεῖνον, ὅς ἐπ᾽ ἐνιαυτούς οὐκ ὀλίγους τόν πατριαρχικόν ἐκόσμησε θρόνον, οὗ καί τήν σορόν ὁ Θεός ἐτίμησε, Νεῖλον ἐκεῖνον τόν ἐξ Ἰταλῶν, τόν τοῦ μεγάλου ζηλωτήν Νείλου, τόν Σελιώτην καί τόν Ἡλίαν, τούς μηδέν ἀποδέοντας ἐκείνου, Γαβριήλ καί Ἀθανάσιον, τούς καί προφητικοῦ χαρίσματος ἠξιωμένους. Τούτους πάντας πάντως ἀκούεις καί πολλούς ἄλλους πρό αὐτῶν τε καί σύν αὐτοῖς καί μετ᾽ αὐτούς γεγονότας, ἐπαινοῦντας καί παραινοῦντας, κατέχειν τούς βουλομένους τήν παράδοσιν ταύτην, ἥν οἱ νέοι διδάσκαλοι τῆς ἡσυχίας, οἱ μηδ᾽ ἴχνος ἡσυχίας εἰδότες, μηδ᾽ ἀπό πείρας, ἀλλ᾽ ἀπό λογολεσχίας νουθετοῦντες, ἀθετεῖν καί μεταδιδάσκειν καί ἐξουθενεῖν πειρῶνται, πρός οὐδέν χρήσιμον τῶν ἀκουόντων. Ἡμεῖς δέ καί τῶν ἁγίων ἐκείνων ἔστιν οἷς αὐτοπροσώπως ὡμιλήσαμεν (σελ. 144) καί διδασκάλοις ἐχρησάμεθα. Πῶς οὖν, τούτους παρ᾽ οὐδέν θέμενοι, τούς καί πείρᾳ καί χάριτι δεδιδαγμένους, τοῖς ἀπό τύφου καί λογομαχίας ἐπί τό διδάσκειν χωρήσασιν εἴξομεν; Οὐκ ἔσται τοῦτο, οὐκ ἔσται.

Καί σύ τοίνυν τούς τοιούτους ἀποτρέπου μετά τοῦ Δαυίδ συνετῶς σεαυτῷ προσλαλῶν «εὐλόγει ἡ ψυχή μου τόν Κύριον καί πάντα τά ἐντός μου τό ὄνομα τό ἅγιον αὐτοῦ»˙ σεαυτόν τε πειθήνιον παρέχω τοῖς πατράσιν, ἄκουε πῶς εἴσω πέμπειν ἀεί τόν νοῦν προτρέπονται.

***ΕΡΩΤΗΣΙΣ ΤΡΙΤΗ (Σελ. 146)***

Ἄρτι, πάτερ, ἀκριβέστερον ἔγνων μή μόνον τήν ἀπό τῶν ἔργων οὐκ ἔχοντας εἴδησιν, μηδέ τῆς ἀπό τοῦ βίου πείρας, ἥ καί μόνη βεβαία καί ἀνεξέλεγκτος ἀνεπιγνώμονας ὄντας τούς κατά τῶν ἡσυχαζόντων γράφοντας, ἀλλά καί τῶν πατερικῶν λόγων ἀνηκόους παντάπασιν. Εἰκῆ δή φυσιούμενοι, κατά τόν ἀπόστολον, καί ἅ μή ἑωράκασιν ἐμβατεύοντες, ὑπό τοῦ νοός τῆς σαρκός αὐτῶν, εἰς τοσοῦτον ἐξετράπησαν τῆς εὐθείας, ὡς ἐκείνους μέν συκοφαντεῖν φανερῶς, ἑαυτοῖς δέ μηδ᾽ ὁπωσοῦν συμφωνεῖν˙ διό καί περί φωτισμοῦ λέγειν ἐπιχειροῦντες ἀπαγορεύουσι μέν ὡς πλάνην πάντα φωτισμόν αἰσθήσει ληπτόν, οἱ αὐτοί δέ καί πάντα φωτισμόν θεῖον αἰσθήσει λέγουσι ληπτόν, συμβολικούς μέν φάσκοντες τούς ἐν τῷ πάλαι νόμῳ πρό τῆς Χριστοῦ παρουσίας ἐν Ἰουδαίοις καί τοῖς ἐξ αὐτῶν προφήταις γενομένους, αἰσθητόν δέ σαφῶς τόν ἐν Θαβωρίῳ ἐπί τῇ μεταμορφώσει τοῦ Σωτῆρος καί τόν ἐπί τῆς τοῦ ἁγίου Πνεύματος

καθόδου καί ὅσοι κατ᾽ αὐτούς. Ὑπέρ αἴσθησιν δέ φωτισμόν τήν γνῶσιν μόνην λέγουσι, διό καί ταύτην κρείττω τοῦ φωτός καί τέλος πάσης ἀποφαίνονται θεωρίας. Ἅ δέ φασι παρά τινων ἀκοῦσαι, νῦν ὡς ἐν βραχεῖ σοι διηγήσομαι. Παρακαλῶ δ᾽ ἀνέχεσθαί μου καί διανοεῖσθαι ὡς, παρ᾽ οὐδενός ἐγώ ποτε τοιαῦτ᾽ ἀκούσας τῶν ἡσυχαζόντων, οὐ δύναμαι πείθειν ἐμαυτόν ὡς ἐκεῖνοι τοιοῦτό τι παρά τινος ἀκηκόασιν τῶν ἡμετέρων. Λέγουσι δ᾽ ὅμως (σελ. 148) ὑποκριθῆναι μέν μαθητιῶντας, ἀλλ᾽ οὐκ εὐμαθεῖς, διό γραφῇ διδόναι τά παρά τῶν διδασκάλων πρός αὐτούς λεγόμενα λιπαρῆσαί τε καί πεῖσαι. Γράφουσιν τοίνυν φάναι τούς διδάσκοντας αὐτούς πάσης μέν Γραφῆς ἱερᾶς ὡς πονηρᾶς ἀφεῖσθαι, προσανέχειν δέ μόνῃ τῇ εὐχῇ, δι᾽ ἧς ἀπελαύνεσθαι μέν τά πονηρά πνεύματα, συνουσιωμένα ὄντα τοῖς ἀνθρώποις, ἐκπυροῦσθαι δέ τούς αὐτούς αἰσθητῶς καί σκιρτᾶν καί ἥδεσθαι, μηδέν ἀλλοιουμένης τῆς ψυχῆς, βλέπειν δέ φῶτα τούτους αἰσθητά σημεῖον δ᾽ ἡγεῖσθαι τῶν μέν θείων τήν ἐπικεχρωσμένην λευκότητα, τῶν δέ πονηρῶν τό οἷον πυρῶδες καί ξανθόν. Τούς μέν οὖν διδάσκοντας αὐτούς φάναι ταῦτα γράφουσιν, αὐτοί δέ δαιμονιώδη τοῦτ᾽ εἶναι πάντα ἀποφαίνονται˙ κἄν τις ἐπί τινος τῶν εἰρημένων ἀντιλέγῃ τούτοις, σημεῖον μέ τοῦτο τίθενται τῆς ἐμπαθείας, τήν δ᾽ αὖθις δεῖγμα τίθενται τῆς πλάνης˙ καί διά πολλῶν ἄν τις ἐπισκέψαιτο περιπίπτονας οἷς κατηγοροῦσι καί μάλιστα τό πολυέλικτον καί δολερόν τοῦ ὄφεως ἐν τοῖς ἑαυτῶν μιμουμένους γράμμασι, πολλάς τε στροφάς στρεφομένους καί πολλάς ἐξελίττοντας πλοκάς καί ἄλλοτε ἄλλως καί ἐναντίως τά σφῶν αὐτῶν ἐξηγουμένους. Τό γάρ ἑδραῖον καί ἁπλοῦν οὐκ ἔχοντες τῆς ἀληθείας εὐεπίτρεπτοί εἰσιν εἰς τἀναντία, καί τῷ ἐλέγχῳ τοῦ οἰκείου συνειδότος αἰσχυνόμενοι κρύπτειν ἑαυτούς ὡς καί ὁ Ἀδάμ ἐπιχειροῦσι τῷ ποικίλῳ καί γραφοειδεῖ καί ἀμφιρρεπεῖ πρός διάφορα νοήματα τῶν λόγων. Σέ δ᾽ ὅπως ἡμεῖς ἔχομεν δόξης περί τῶν ὑπ᾽ἐκείνων εἰρημένων ἀξιῶ, πάτερ, σαφηνίσαι.

***ΑΠΟΚΡΙΣΙΣ ΤΡΙΤΗ***
***ΛΟΓΟΣ***
***ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ***
***ΤΩΝ ΠΡΟΤΕΡΩΝ Ο ΤΡΙΤΟΣ***

**ΠΕΡΙ ΦΩΤΟΣ ΚΑΙ ΦΩΤΙΣΜΟΥ ΘΕΙΟΥ ΚΑΙ ΙΕΡΑΣ ΕΥΔΑΙΜΟΝΙΑΣ**

Οὐκ ἄρα μόνον ταῖς ἀρεταῖς αἱ κακίαι παραπεπήγασιν, ἀλλά καί τοῖς εὐσεβέσι λόγοις ἐπί τοσοῦτον οἱ δυσσεβεῖς ἐν γειτόνων εἶναι δοκοῦσιν, ὡς διά μικρᾶς πάνυ προσθήκης ἤ ἀφαιρέσεως μεταβάλλειν εἰς ἀλλήλους ῥᾳδίως καί πρός πᾶν τοὐναντίον μεταχωρεῖν τήν τῶν ῥημάτων διάνοιαν· ἐντεῦθεν ψευδοδοξία σχεδόν πᾶσα προσωπεῖον φέρει τῆς ἀληθείας τοῖς μή τήν μικράν ἔλλειψιν ἤ προσθήκην συνορᾶν δυναμένοις. Τέχνη δέ καί τοῦτο δεινή τοῦ πρός ἀπάτην εὐμηχάνου πονηροῦ δαίμονος. Μή μακράν γάρ ἀποστήσας τό ψεῦδος τῆς ἀληθείας διπλῆν συνεσκεάσατο τήν ἀπάτην· τῇ γάρ βραχύτητι τῆς διαφορᾶς τούς πολλούς λανθανούσης, ἤ τό ψεῦδος ἡγήσεταί τις ἀλήθειαν ἤ καί τήν ἀλήθειαν, ὡς παραπλησίαν τῷ ψεύδει, ψεῦδος· ἑκατέρωθεν δέ πάντως ἐκπεσεῖται τῆς ἀληθείας. Ταύτην μυηθέντας τήν τέχνην οἱ τά Ἀρείου πρεσβεύοντες, τήν ἐν Νίκῃ τῇ πόλει πίστιν ἀντί τῆς ἐν Νικαίᾳ προὐβάλλοντο, τόν ὀρθοτομοῦντα τῆς ἀληθείας λυμαινόμενοι λόγον. Ταύτῃ κεχρημένος αὐτός Ἄρειος τῇ ἀπάτῃ, μικροῦ κοινωνούς ἄν ἔσχε καί συλλειτουργούς τούς αὐτόν ἐπ᾽ ἐκκλησίας ἀποκηρύξαντας, εἰ μή, τόν δόλιον φωρᾶσαι μέν δυνηθείς, ἀλλ᾽ οὐκ ἐξελέγξαι σαφῶς ὁ μέγας Ἀλέξανδρος, Θεῷ δι᾽ εὐχῆς προσέδραμε καί δι᾽ αὐτῆς μυσαρῷ θανάτῳ δικαίως τόν μυσαρόν ἐκεῖνον καί φερωνύμως μεμηνότα παρέπεμψε.

(σελ. 152) Ταύτῃ καί νῦν, ἀδελφέ, χρῆσθαι διά πάντων μοι δοκοῦσιν οἱ λέγοντες ἅ διήγησαι. Ἀφεῖσθαι μέν γάρ τούς ἀρχομένους ἡσυχάζειν μακρᾶς ἀναγνώσεως καί προσανέχειν τῇ μονολογίστῳ προσευχῇ, μέχρις ἄν ἕξιν τινά σχοῖεν τοῦ ταύτης ἀδιαλείπτως ἔχεσθαι κατά διάνοιαν, κἄν ἄλλο τι τό σῶμα πράττῃ, ὅ τε ἅγιος Διάδοχος καί Φιλήμων ὁ μέγας καί ὁ πολύς τά θεῖα Νεῖλος καί ὁ τῆς Κλίμακος Ἰωάννης καί πολλοί τῶν ζώντων εἰσηγοῦνται πατέρων, ἀλλ᾽ οὐχ ὡς ἀνονήτου καί πονηρᾶς· προστιθέντες δ᾽ οὗτοι τό «πονηρᾶς», πονηράς ἐποίησαν τάς ἀγαθάς εἰσηγήσεις. Καί τῶν πονηρῶν δέ πνευμάτων καί παθημάτων εἶναι τήν προσευχήν ἐλάτειραν τούς ἁγίους πάντας σχεδόν ἔργῳ τε καί λόγῳ δείξαντας γινώσκομεν, καί πᾶς τις εὖ φρονῶν οὕτω καί δοξάζει καί διδάσκει· συνουσιωμένα δέ ταῦθ᾽ ἡμῖν οὐδείς· τοῦτο δέ προσθέντες οὕς φῄς παρ᾽ ἑαυτῶν, φευκτόν ἐποίησαν τό διωκτόν. Σκιρτᾶν δέ τήν καρδίαν οἱονεί πηδῶσαν τῷ ἐνθουσιασμῷ τῆς ἀγάπης τοῦ ἀγαθοῦ καί ὁ μέγας εἴρηκε Βασίλειος, καί ὁ μέγας

Ἀθανάσιος σημεῖον τοῦτο τίθεται τῆς χάριτος˙ ἐξέρχεσθαί τε ἀπό τῆς εὐχῆς οἱονεί πεπυρωμένον, ὅταν ἀνεπιθολότῳ νῷ τήν πρός τόν Θεόν ἔντευξιν ποιήσεταί τις, ἥ τε πεῖρα καί ὁ τῆς Κλίμακος σαφῶς διδάσκει, τούτου τε χωρίς καί τῆς κατά τήν εὐχήν ἐπιδημίας τοῦ φωτός καί τῆς ἐξ αὐτῆς ἐγγινομένης τῇ ψυχῇ πρᾳότητος, σωματικήν ἤ καί ἰουδαϊκήν τήν προσευχήν ἡγεῖται˙ ἡδονῆς τε ἔμφασιν ἐγγίνεσθαι τῷ τῶν εὐχομένων στόματι οὐκ ἀπό τῆς προσευχῆς μόνον, ἀλλά καί τῆς ἐν συνέσει ψαλμῳδίας, πολλοί τε ἄλλοι καί ὁ ἅγιος Ἰσαάκ δείκνυσι σαφῶς. Ἀλλά ταῦτα πάντα τήν τῆς λογικῆς ψυχῆς βελτίωσιν ἔχουσιν ἀρχήν. Τοῦτο δέ νῦν οἱ συκοφάνται τῶν (σελ. 154) ἁγίων οὕς λέγεις ἀφελόντες, τά ἀξιέπαινα μεμπτέα πεποιήκεσαν καί τοῦ ἱεροῦ καί θείου φωτισμοῦ τἄλλα μέν περικόψαντες ὅσαπερ ἀσφαλῆ τεκμήρια, μικρόν δέ τι καί τοῦτο τό χωροῦν τάς διαβολάς αὐτῶν προσθέντες, δαιμονιῶδες φεῦ τό θεῖον ἡγεῖσθαι πείθειν ἐπιχειροῦσι τούς ἀπείρους. Τό δέ τό μεῖζον ὅτι τόν μέν ὑπό ζόφον αἰώνιον τετηρημένον φωτίζειν πείθονται, εἰ καί ἀπατηλῶς, τόν δ᾽ ὑπερφαῆ καί ἀρχίφωτον καί πᾶσαν λογικήν φύσιν ἐπιτηδείως πρός κατάλληλον φωτοληψίαν ἔχουσαν ἐμπιπλῶντα νοεροῦ φωτός Θεόν φωτίζειν νοητῶς οὐκ οἴονται.

Ἐγώ δέ καί τήν γνῶσιν ἥν φῄς φωτισμόν μόνον λέγειν νοητόν αὐτούς, διά τοῦτ᾽ οἴομαι φῶς αὐτήν καλεῖσθαι, διότι τῷ φωτί ἐκείνῳ χορηγεῖται, καθά καί ὁ μέγας λέγει Παῦλος˙ «ὁ Θεός ὁ εἰπών ἐκ σκότους φῶς λάμψαι, ὅς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρός φωτισμόν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ». Συνῳδά δέ τούτῳ καί ὁ μέγας Διονύσιος, «ἡ τοῦ νοητοῦ», φησί, «φωτός παρουσία ἑνωτική τῶν φωτιζομένων ἐστίν εἰς μίαν καί ἀληθῆ συνάγουσα γνῶσιν». Ὁρᾷς τό τῆς γνώσεως φῶς ὑπό τῆς παρουσίας τοῦ φωτός τῆς χάριτος χορηγούμενον καί τῆς διαιρετικῆς ἀγνοίας ἀπαλλάττον; Οὗτος μέν οὖν νοητόν αὐτό προεῖπεν, ὁ δέ μέγας Μακάριος, ἐντρέπων ἀριδήλως τούς γνῶσιν οἰομένους τό τῆς χάριτος φῶς, νοερόν προσηγόρευσεν αὐτό˙ «εἴσῃ» γάρ, φησίν «ἐκ τῶν ἐνεργημάτων τό ἐλλαμφθέν ἐν τῇ ψυχῇ σου νοερόν φῶς, εἴτε τοῦ Θεοῦ, εἴτε τοῦ σατανᾶ πέφυκεν ὄν». Ἀλλαχοῦ δέ τήν ἐπί τοῦ προσώπου Μωϋσέως δόξαν ἀθανασίαν προσειπών, εἰ καί τῷ θνητῷ περιήστραψε προσώπῳ τότε, καί δεικνύς ὅπως ταῖς ψυχαῖς ἀρτίως ἐμφανίζεται τῶν ἐν ἀληθείᾳ τόν Θεόν ἠγαπηκότων, «ὡς οἱ τῆς αἰσθητῆς», φησίν, «ὄψεως ὀφθαλμοί ὁρῶσι τόν αἰσθητόν ἥλιον οὕτως ἐκεῖνοι διά τῶν τῆς ψυχῆς ὀφθαλμῶν τό νοερόν ὁρῶσι φῶς, ὅ κατά τόν (σελ. 156) καιρόν τῆς ἀναστάσεως

προκύψαν καί ἐπιχυθέν τοῖς σώμασιν ὡραϊσμένα καί ταῦτα δείξει τῷ αἰνίῳ φωτί». Τό γοῦν φῶς τῆς γνώσεως νοερόν οὐδέποτ᾽ ἄν τις φαίη, τό δέ φῶς ἐκεῖνο καί ὡς νοερόν ἔστιν ὅτε ἐνεργεῖ καί ὡς νοητόν διά νοερᾶς αἰσθήσεως ὑπό τοῦ νοῦ ὁρᾶται καί ταῖς λογικαῖς ἐγγινόμενον ψυχαῖς τῆς κατά διάθεσιν ἀγνοίας ἀπαλλάττει ταύτας, εἰς μονοειδῆ γνῶσιν ἀπό τῶν πολλῶν ἐπιστρέφον δοξασμάτων. Διό καί ὁ τῶν θείων ὀνομάτων ὑμνῳδός ἐκεῖνος, τήν τοῦ ἀγαθοῦ φωτωνυμικήν ἐπωνυμίαν ἐπιβαλλόμενος ὑμνεῖν, ρητέον, φησίν, ὅτι «φῶς νοητόν ὁ ἀγαθός λέγεται διά τό πάντα μέν ὑπερουράνιον νοῦν ἐμπιπλάναι νοητοῦ φωτός, πᾶσαν δέ ἀγνοίαν καί πλάνην ἐλαύνειν ἐκ πασῶν αἷς ἄν ἐγγένηται ψυχαῖς». Οὐκοῦν ἄλλο μέν ἡ γνῶσις, ἡ καί τῆς ἀγνοίας ἀπελαυνομένης ἐπιγινομένη, ἄλλο δέ τό νοητόν φῶς, ὅ παρεκτικόν ἐστιν αὐτῆς. Διό καί τό μέν νοητόν φῶς τῷ ὑπερουρανίῳ νῷ ἐμφανῶς ἐγγίνεται τουτέστι τῷ ὑπεραναβάντι ἑαυτόν. Πῶς δ᾽ ἄν κληθείη γνῶσις, εἰ μή μεταφορικῶς, τό ὑπερουράνιον καί ὑπέρ νοῦν ἐκεῖνο φῶς; Ἡ δέ τῆς κατά διάθεσιν ἀγνοίας ἀποκάθαρσις, ἥν ἄγνοιαν καί πλάνην ὠνόμασεν ὁ μέγας οὗτος, ἐπί μόνης τῆς λογικῆς ψυχῆς τελεῖσθαι πέφυκεν.

Ὑπεραναβαίνει δέ ἑαυτόν οὐκ ἀγγέλων μόνον, ἀλλά καί ἀνθρώπινος νοῦς, ἀγγελοειδής δι᾽ ἀπαθείας γεγονώς˙ οὐκοῦν καί τοῦ φωτός ἐκείνου τεύξεται καί θεοφανείας ὑπερφυοῦς ἀξιωθήσεται, τήν μέν τοῦ Θεοῦ οὐσίαν οὐχ ὁρῶν, Θεόν δέ ὁρῶν διά θεοπρεποῦς ἐκφαντορίας ἀναλόγου ἑαυτῷ˙ κατά ἀπόφασιν μέν, οὐ (ὁρᾷ γάρ τι) κρεῖττον δ᾽ ἤ κατά ἀπόφασιν, τοῦ Θεοῦ μή μόνον ὑπέρ γνῶσιν ἀλλά καί ὑπεραγνώστου ὄντος καί ὡς ἀληθῶς κρύφιον καί τήν ἔκφανσιν (σελ. 158) ἔχοντος, τό θειότατον καί πάντων καινότατον, ἐπεί καί αἱ θεοειδεῖς ὄψεις, κἄν συμβολικαί ὦσιν, ὑπεροχικῶς ἔχουσι τό ἄγνωστον˙ ἑτέρῳ γάρ παρά τήν φύσιν τήν τε θείαν καί ἀνθρωπίνην θεσμῷ διαφαίνονται καί, ὡς εἰπεῖν, καθ᾽ ἡμᾶς ὑπέρ ἡμᾶς, ὡς μηδέ ὄνομα δηλωτικόν αὐτῶν κυρίως εἶναι. Καί τοῦτ᾽ ἔδειξεν ὁ τῷ Μανωέ πυθομένῳ τί τό ὄνομά σου; Φάμενος ὅτι καί αὐτό θαυμαστόν, ὡς καί τῆς ὁράσεως οὐχ ἧττον οὔσης θαυμαστῆς καί πρός τῷ ἀλήπτῳ καί τό ἀνώνυμον ἐχούσης.

Οὐ μήν ἀλλ᾽ εἰ καί ἡ ὅρασις κρεῖττον ἤ κατά ἀπόφασιν, ἀλλ᾽ ὁ ἑρμηνεύς ἐκείνης λόγος ἀποδεῖ τῆς κατά ἀπόφασιν ἀνόδου, παραδειγματικῶς ἤ κατά ἀναλογίαν προαγόμενος, διό καί τό ὡς, ὁμοιωματικήν φέρον σημασίαν, συνηρμένον ὡς ἐπί τό πλεῖστον ἔχει

τοῖς ὀνόμασιν, ὡς ἀρρήτου καί ὑπερωνύμου τῆς ὁράσεως οὔσης. Ὅταν δ᾽ ἐν ἑαυτοῖς οἱ ἱεροί ἄνδρες τό θεοπρεπές ἐκεῖνο θεωρῶσι φῶς, ὁρῶσι δ᾽ ἡνίκα τύχωσι τῆς θεουργοῦ κοινωνίας τοῦ πνεύματος κατά τήν ἀπόρρητον τῶν τελεσιουργῶν ἐλλάμψεων ἐπιφοίτησιν, τό τῆς θέσεως αὐτῶν ὁρῶσιν ἔνδυμα, τοῦ νοῦ δοξαζομένου καί τῆς ὑπερκάλου πληρουμένου ἀγλαΐας ὑπό τῆς τοῦ λόγου χάριτος, καθάπερ ὑπό τῆς τοῦ λόγου θεότητος θεοπρεπεῖ φωτί τό συνημμένον ἐπί τοῦ ὄρους ἐδοξάσθη σῶμα. Τήν γάρ δόξαν ἥν ὁ πατήρ ἔδωκεν αὐτῷ δέδωκεν αὐτός τοῖς ὑπηκόοις, κατά τόν ἐν εὐαγγελίοις λόγον, καί ἠθέλησεν ἵνα ὦσιν οὗτοι μετ᾽ αὐτοῦ καί θεωρῶσι τήν δόξαν αὐτοῦ. Τοῦτο δέ πῶς ἄν γίγνοιτο σωματικῶς, μηκέτι σωματικῶς αὐτοῦ παρόντος μετά τήν εἰς οὐρανούς ἀνάληψιν; Τελεῖται τοίνυν κατά πᾶσαν ἀνάγκην νοερῶς, ὁπηνίκα γεγονώς ὁ νοῦς ἐπουράνιος καί οἷον ὀπαδός χρηματίσας τοῦ ὑπεραναβεβηκότος δι᾽ ἡμᾶς τούς οὐρανούς, ἐμφανῶς καί ἀπορρήτως ἑνωθείη τῷ (σελ. 160) Θεῷ ἐκεῖ καί τῶν ὑπερφυῶν καί ἀπορρήτων ἐπιτυγχάνοι θεαμάτων, πάσης ἀΰλου γνώσεως ὑψηλοτέρου φωτός ἀναπιμπλάμενος, οὐχ ὡς αἰσθητῶν συμβόλων ἱερῶν θεωρός, οὐδ᾽ ὡς ἱερογραφικῆς ποικιλίας ἐπιγνώμων, ἀλλ᾽ ὡς τῷ καλοποιῷ καί ἀρχικῷ καλλωπιζόμενος κάλλει καί τῇ τοῦ Θεοῦ λαμπρυνόμενος λαμπρότητι. Τόν αὐτόν γάρ τρόπον καί αἱ ἀνωτάτω τάξεις τῶν ὑπερκοσμίων νόων ἀναλόγως ἑαυταῖς, κατά τόν οὐρανοφάντορα καί ὑποφήτην τῆς κατ᾽ αὐτάς Ἱεραρχίας, οὐ μόνον πρωτοδότου γνώσεως καίἐπικστήμης, ἀλλά καί πρώτου φωτός, πρός τῆς ἀνωτάτω τριαδικῆς τελεταρχίας ἱεραρχούμεναι πληροῦνται καί οὐχί τῆς τριαδικῆς μόνης δόξης μέτοχοι γίνονται καί θεωροί, ἀλλά καί τῆς Ἰησοῦ φωτοφανείας, ἥ καί τοῖς μαθηταῖς ἐν Θαβώρ ἀπεκαλύφθη. Μυοῦνται γάρ τῆς θεωρίας κατηξιωμέναι ταύτης, θεωργόν φῶς ὄντα καί αὐτόν, ὡς ἀληθῶς αὐτῷ πλησιάζουσαι καί τῶν θεουργικῶν αὐτοῦ φώτων ἐν πρώτῃ μετουσίᾳ γινόμεναι. Διό καί ὁ φερώνυμος Μακάριος βρῶμα τῶν ἐπουρανίων τουτί καλεῖ τό φῶς. Ἕτερος δέ τις τῶν θεολόγων, «τοῦτο», φησί, «πᾶσα τῶν ὑπερκοσμίων ἡ νοητή διακόσμησις ἀΰλως ἑστιωμένη τεκμήριον ἐναργέστατον τίθεται τῆς περί ἡμᾶς τοῦ λόγου φιλανθρωπίας». Ταῦτ᾽ ἄρα καί ὁ μέγας Παῦλος, τοῖς ἀοράτοις καί ἐπουρανίοις ἐν αὐτῷ θεάμασι μέλλων ἐντυγχάνειν, ἁρπαγείς γέγονεν ὑπερουράνιος, οὐχ ὡς τοπικῶς ὑπεραναβῆναι δεομένου τοῦ νοῦ τούς οὐρανούς, εἰ καί μυστήριον ἄλλο τι ἡ ἁρπαγή δηλοῖ, μόνοις τοῖς παθοῦσιν ἐγνωσμένον, περί οὗ νῦν λέγειν οὐκ ἐπάναγκες, ἅ παρά τῶν

πεπειραμένων πατέρων ἐσμέν ἀκηκοότες, μή καί ταῦτα προθώμεθα πρός κακουργίαν. Ὡς δ᾽ ἔστι φωτισμός νοερός τοῖς κεκαθαρμένοις τήν καρδίαν ἐνορώμενος, ἄλλος παντάπασι παρά τήν γνῶσιν, ὅς καί παρεκτικός ἐστιν αὐτῆς καί ἀπ᾽ αὐτῶν τῶν εἰρημένων τοῖς μή πειθομένοις εὐχερέστατά γε δείξομεν.

(σελ. 162) Φασί γάρ, ὡς αὐτός εἶπες, συμβολικούς εἶναι τούς ἐν τῷ πάλαι νόμῳ φωτισμούς. Ἐκεῖνοι τοίνυν τοῦτ᾽ αὐτό δεικνύουσιν ὡς ἔστιν ἱερός φωτισμός οὗ γεγόνασιν αὐτοί σύμβολον. Ὅτι δέ τούτου ἦσαν οἱ πλείους ἐκείνων σύμβολα καί παρά τοῦ ἁγίου μεμαθήκαμεν Νείλου λέγοντος, «ὅταν ὁ νοῦς, τόν παλαιόν ἄνθρωπος ἀποδυσάμενος, τόν ἐκ τῆς χάριτος ἐπενδύσηται, τότε καί τήν ἑαυτοῦ κατάστασιν ὄψεται κατά τόν καιρόν τῆς προσευχῆς σαπφείρῳ ἤ οὐρανίῳ χρώματι παρεμφερῆ, ἥντινα καί τόπον Θεοῦ ἡ Γραφή ὀνομάζει, ὑπό τῶν πρεσβυτέρων ὀφθέντα ὑπό τό ὄρος Σινᾶ». Ὡσαύτως δέ καί τοῦ ἁγίου Ἰσαάκ ἀκούομεν λέγοντος˙ «κατά τόν καιρόν τῆς προσευχῆς ὁρᾶν τήν ἑαυτοῦ καθαρότητα τόν κεχαριτωμένον νοῦν, ὁμοίαν τῇ ἐπουρανίῳ χροιᾷ, ἥτις Θεοῦ ὑπό τῆς γερουσίας τοῦ Ἰσραήλ ὠνόμασται τόπος, ἡνίκα ὤφθη αὐτοῖς ἐν τῷ ὄρει». Βλέπεις πῶς τῶν ἐν ταῖς καθαραῖς καρδίαις ἀρτίως τελουμένων ἐκεῖνα σύμβολα; Ἰωάννης δέ ὁ χρυσοῦς καί τήν γλῶτταν καί τήν διάνοιαν, τό ἀποστολικόν ἐκεῖνο διευκρινῶν, «ὁ Θεός ὁ εἰπών ἐκ σκότους φῶς λάμψαι, ὅς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν», «δείνυσι», φησί, «μετά προσθήκης τήν Μωσέως δόξαν ἐν ἡμῖν ἀστράπτουσαν˙ καθάπερ γάρ εἰς τό πρόσωπον Μωσέως, οὕτως εἰς τάς ἡμετέρας καρδίας ἔλαμψε», καί παρακατιών, «ἐν ἀρχῇ μέν», φησί, «τῆς κτίσεως εἶπε, καί ἐγένετο φῶς˙ νῦν δέ οὐκ εἶπεν, ἀλλ᾽ αὐτός ἡμῖν γέγονεν φῶς. Εἰ μέν οὖν τό φῶς ἐν ἀρχῇ τῆς κτίσεως ἤ τό ἐν τῷ προσώπῳ Μωσέως γνῶσις ἦν μετρί καί ἡ ἐν ταῖς καρδίαις ἡμῶν ἔλλαμψις γνῶσις ἄν ἦν ὑψηλοτέρα, ὡς προσθήκην δεξαμένη. Ἐπεί δ᾽ἐκείνη οὐ γνῶσις ἦν, ἀλλά λαμπρότης ἐπιφαινομένη τῷ προσώπῳ καί ἡ ἐν ὑμῖν ἔλλαμψις οὐ γνῶσις ἀλλά λαμπρότης ἐστί ψυχῆς, ἐπιφαινομένη τῷ κεκαθαρμένῳ νῷ. Ἐκείνην μέν οὖν αἰσθητοῖς ὀφθαλμοῖς ὑποκειμένην αἰσθητήν ἀνάγκη λέγειν, (σελ. 164) καθάπερ ταύτην νοητήν, νοητοῖς ὑποκειμένην ὄμμασι καί ἐντός ἡμῶν ἐνεργουμένην.

Ἀλλ᾽ οὐδ᾽ ἐκείνη αἰσθητή ἁπλῶς ὑπῆρχεν, εἰ καί τῷ προφητικῷ ἐπεφαίνετο προσώπῳ, εἴπερ τήν δόξαν τοῦ φωτός τοῦ προσώπου Μωϋσέως νῦν ἐν τῇ ψυχῇ, κατά τόν ἅγιον Μακάριον, δέχονται οἱ

ἅγιοι. Τό αὐτό δ᾿ οὗτος καί δόξαν τοῦ Χριστοῦ καλεῖ καί ὑπέρ αἴσθησιν ἡγεῖται, εἰ καί κατ᾿ αἴσθησιν ἐφάνη, τό ἀποστολικόν ἐκεῖνο προβαλλόμενος μετά μικρᾶς προσθήκης˙ «"ἡμεῖς δέ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τήν δόξαν Κυρίου"», τουτέστι τό νοερόν φῶς αὐτοῦ, " κατοπριζόμεθα τήν αὐτήν εἰκόνα μεταμορφούμενοι ἀπό δόξης εἰς δόξαν", τῇ περιουσίᾳ δηλαδή τῆς ἐν ἡμῖν λαμπρότητος, ὑπό τοῦ θεϊκοῦ φωτός προϊούσης ἐπί τό τηλαυγέστερον ἀεί». Τί γάρ καί ὁ ἅγιος Διάδοχος λέγει; «Οὐ δεῖ ἀμφιβάλλειν ὡς, ὅταν ὁ νοῦς ἄρξηται πυκνῶς ὑπό τοῦ θείου φωτός ἐνεργεῖσθαι, διαφανής τις ὅλος γίνεται, ὥστε τό ἑαυτοῦ φῶς αὐτόν πλουσίως ὁρᾶν˙ τοῦτο γάρ ὅλως γίνεται, ὅταν ἡ δύναμις τῆς ψυχῆς κατακυριεύσῃ τῶν παθῶν». Τί δ᾿ αὖθις ὁ θεῖος Μάξιμος; «Οὐκ ἄν τοσοῦτον ἴσχυσεν ἀναδραμεῖν ἀνθρώπινος νοῦς ὡς ἀντιλαβέσθαι θείας ἐλλάμψεως, εἰ μή αὐτός ὁ Θεός ἀνέσπασεν αὐτόν καί ταῖς θείαις αὐγαῖς κατεφώτισε». Τί δ᾿ αὖθις σύν τῷ μεγάλῳ Βασιλείῳ Νεῖλος ὁ περιβόητος τῆς ἀληθείας φησίν ὁ στῦλος; «Ὁ καππαδόκης Βασίλειος, φησί, τήν μέν ἀνθρωπίνην γνῶσιν μελέτη καί γυμνασία κρατύνει, τήν δέ ἐκ Θεοῦ χάριτος ἐγγινομένην, δικαιοσύνη καί ἔλεος˙ καί τήν μέν προτέραν δυνατόν καί τούς ἐμπαθεῖς ὑποδέξασθαι, τῆς δέ δευτέρας οἱ ἀπαθεῖς μόνοι εἰσί δεκτικοί, οἵ καί παρά τόν καιρόν τῆς προσευχῆς τό οἰκεῖον φέγγος τοῦ νοῦ περιλάμπον αὐτούς θεωροῦσι». Συνῆκας, ἀδελφέ, σαφῶς ὅτι νοῦς παθῶν ἀπαλλαγείς ὡς φῶς αὐτός ἑαυτόν κατά τήν προσευχήν ὁρᾷ καί θείῳ περιλάμπεται φωτί; Νῦν οὖν πειθήνιον ὑπέχων οὖς αὖθις ἄκουε καί (σελ. 166) τοῦ φερωνύμως Μακαρίου, ὅν σκεῦος ἐκλογῆς ὁ πολύς τά θεῖα Νεῖλος προσηγόρευσεν, ὅς φησιν ἐν τοῖς ὑπό τοῦ Μεταφραστοῦ μεταφρασθεῖσι Κεφαλαίοις˙ «ἡ τελεία τοῦ πνεύματος ἔλλαμψις οὐχ οἷον νοημάτων μόνον ἀποκάλυψίς ἐστιν, ἀλλ᾿ ὑποστατικοῦ φωτός ἐν ταῖς ψυχαῖς βεβαία καί διηνεκής ἔλλαμψις˙ τό γάρ, "ὁ εἰπών ἐκ σκότους φῶς λάμψαι, ὅς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν", καί τό, " φώτισον τούς ὀφθαλμούς μου μήποτε ὑπνώσω εἰς θάνατον", καί τό, "ἐξαπόστειλον τό φῶς σου καί τήν ἀλήθειάν σου, αὐτά με ὁδηγήσουσιν εἰς ὄρος ἅγιόν σου", καί τό ἐσημειώθη ἐφ᾿ ἡμᾶς τό φῶς τοῦ προσώπου σου", καί πάνθ᾿ ὅσα τούτοις παραπλήσια, τό αὐτό παρίστησιν». Ὑποστατικόν δέ εἶπεν, ἵν᾿ ἐμφράξῃ τά στόματα τῶν τήν γνῶσιν μόνον οἰομένων φωτισμόν καί περιτρεπόντων τήν τῶν πολλῶν διάνοιαν, καί πρό τῶν ἄλλων τήν οἰκείαν, τῷ μεταλαμβάνειν εἰς τήν γνῶσιν παρεξηγουμένους πᾶν ὅ,τιπερ ἄν εἴποι

τις περί ἐκείνου τοῦ φωτός. Ἐγώ δέ καί τήν γνῶσιν παρωνύμως ἀπ᾽ ἐκείνου λεγομένην οἶδα φῶς, ὡς ὑπ᾽ αὐτοῦ χορηγουμένην, ὅ καί ἀνωτέρω εἶπον.

Διόπερ οὐδέ τήν ἀπό τῶν αἰσθήσεων προσγινομένην εἴδησιν, καίτοι γνῶσιν οὖσαν ἔστιν ὅπου καί ἀσφαλεστάτην, φῶς πώποτέ τις προσηγόρευσεν, ἀλλά μόνην τήν ἀπό τοῦ νοῦ καί λογικήν. Οὐδέν γάρ ὁρῶμεν λόγου δύναμιν ἔχον, ὅ μή νοερόν ἐστι φῶς. Οἵ τε γάρ ἄγγελοι, πῦρ οἷον ἄυλον καί ἀσώματον˙ τί δ᾽ ἄλλο τοῦτό ἐστιν ἤ φῶς νοερόν; Ὅ τε νοῦς αὐτός ἑαυτόν ὁρῶν, ὡς φῶς ὁρᾷ˙ τί τοίνυν καί οὗτος, εἰ μή νοερόν ἑαυτόν βλέπει φῶς; Καί αὐτός δέ ὁ παντός νοεροῦ φωτός ἐπέκεινα Θεός καί πάσης οὐσίας ὑπερουσίως ἐκβεβηκώς, πῦρ παρά τῶν ἱερῶν θεολόγων ὠνομασμένος, ἔχει μέν, ὡς κατά τήν τοῦ πυρός ἀμυδράν ἐν αἰσθητοῖς εἰκόνα, τό κρύφιόν τε καί ἀθεώρητον καθ᾽ ἑαυτόν, μή προκειμένης ὕλης (σελ. 168) τῆς χωρούσης τήν θείαν ἐμφάνειαν˙ ἡνίκα δ᾽ ἄν ἐπιτηδείας ὕλης ἀπερικαλύπτως ἐχούσης ἐπιλάβηται, τοιαύτη δέ ἐστι πᾶσα νοερά κεκαθαρμένη φύσις, τό τῆς κακίας οὐκ ἐπιφερομένη κάλυμμα, τηνικαῦτα καί αὐτός ὡς φῶς ὁρᾶται νοερόν, ὡς δι᾽ αὐτῶν τῶν καί παθόντων καί ἰδόντων λαμπρότητα Θεοῦ ἐδείξαμέν τε καί δείξομεν ἁγίων.

Ὥσπερ δέ τό πῦρ, ἄν ἐπικαλυφθῇ δι᾽ ὕλης οὐ διαφανοῦς, θερμαίνειν μέν αὐτήν δύναται, φωτίζει δέ οὐχί, οὕτω καί ὁ νοῦς, ὅταν ἐπικείμενον ἔχῃ τό ζοφῶδες κάλυμμα τῶν πονηρῶν παθῶν, γνῶσιν μέν παρέχειν δύναιτ᾽ ἄν, ἀλλ᾽ οὐχί καί φῶς. Ἐπεί δέ μή μόνον φῶς ἐστιν ὁ νοῦς νῷ θεωρητόν, εἰ καί ἔσχατον τῶν τοῦτον τόν τρόπον ὁρωμένων, ἀλλά καί θεωρητικόν, οἷον ὀφθαλμός ὑπάρχων τῆς ψυχῆς, «ὄψις» γάρ, φησί, «τῇ ψυχῇ ὁ συμφυής αὐτῇ νοῦς», ὥσπερ ἡ κατ᾽ αἴσθησιν ὄψις οὐκ ἄν ἐνεργείᾳ γίγνοιτο, μή ἔξωθεν ἐπιλάμψαντος αὐτῇ φωτός, οὕτω καί ὁ νοῦς οὐκ ἄν ᾖ νοεράν ἔχων αἴσθησιν ὁρῴη καί καθ᾽ ἑαυτόν ἐνεργείᾳ γίγνοιτο, μή τοῦ θείου περιλάμψαντος αὐτόν φωτός. Ὥσπερ δέ ἡ ὄψις, ὅταν ἐνεργῇ, φῶς αὐτή τε γίνεται καί μετά τοῦ φωτός συγγίνεται καί τοῦτ᾽ αὐτό πρῶτον ὁρᾷ πᾶσι τοῖς ὁρωμένοις περικεχυμένον, τόν αὐτόν τρόπον καί ὁ νοῦς, ἡνίκ᾽ ἄν εἰς ἐντελέχειαν ἀφίκοιτο τῆς νοερᾶς αἰσθήσεως, αὐτόν ὅλος οἷον φῶς ἐστι καί μετά τοῦ φωτός ἐστι καί σύν τῷ φωτί γνωστῶς ὁρᾷ τό φῶς, οὐχ ὑπέρ τάς σωματικάς αἰσθήσεις μόνον, ἀλλά καί ὑπέρ πᾶν ὅ τι τῶν ἡμῖν γνωρίμων καί ἁπλῶς τῶν ὄντων πάντων. Θεόν γάρ ὁρῶσιν οἱ κεκαθαρμένοι τήν καρδίαν, κατά τόν ὑπό τοῦ Κυρίου ἀψευδῆ

μακαρισμόν, ὅς φῶς ὤν, κατά τήν θεολογικωτάτην Ἰωάννου τοῦ τῆς βροντῆς υἱοῦ φωνήν, οἰκίζει τε καί ἐμφανίζει ἑαυτόν τοῖς ἀγαπῶσιν αὐτόν καί ἀγαπηθεῖσιν ὑπ᾽ αὐτοῦ κατά τήν πρός αὐτούς ἑαυτοῦ ἐπαγγελίαν· ἐμφανίζει δέ ὡς ἐν ἐσόπτρῳ τῷ κεκαθαρμένῳ νῷ, τό καθ᾽ ἑαυτόν ἀόρατος ὑπάρχων. Τοιοῦτον γάρ ἡ ἐν (σελ. 170) ἐσόπτρῳ μορφή· φαινομένη οὐχ ὁρᾶται καί σχεδόν ἀδύνατόν ἐστιν ὁρᾶν τε ἐν ἐσόπτρῳ καί αὐτό κατά ταὐτό τό μορφοῦν τό ἔσοπτρον ὁρᾶν.

Νῦν μέν οὕτω τοῖς ἐν ἀγάπῃ καθαρθεῖσιν ὁ Θεός ὁρᾶται, τότε δέ, φησί, «πρόσωπον πρός πρόσωπον». Οἱ δέ τῷ μή παθεῖν τά θεῖα μηδ᾽ ἰδεῖν μηδαμῶς πιστεύοντες ὡς φῶς ὑπέρ φῶς ὁρᾶσθαι τόν Θεόν, ἀλλά λογικῶς μόνον θεωρεῖσθαι, τυφλοῖς ἐοίκασιν, οἵ τῆς τοῦ ἡλίου θέρμης μόνης ἀντιλαμβανόμενοι τοῖς ὁρῶσιν ἀπιστοῦσιν ὅτι καί φαιδρός ἐστιν ὁ ἥλιος. Εἰ δέ καί τούς ὁρῶντας οἱ τυφλοί μεταδιδάσκειν ἐγχειροῦσιν, ὡς οὐ φῶς ἐστιν ὁ ἐν αἰσθητοῖς φανότατος ἁπάντων ἥλιος, καταγέλαστοι μέν οὗτοι τοῖς αἰσθητῶς ὁρῶσιν ἔσονται. Ἐκεῖνοι δ᾽ οἱ τά παραπλήσια πάσχοντες περί τόν τοῦ παντός ὑπερανιδρυμένον τῆς δικαιοσύνης ἥλιον, οὐ παρά τῶν νοερῶς ὡς ἀληθῶς ὁρώντων μόνον, ἀλλά καί παρά τῶν πιστευόντων τοῖς ὁρῶσι θρηνηθήσονται, μή μόνον ὅτι τοῦ Θεοῦ δι᾽ ὑπερβολήν τῆς περί ἡμᾶς ἀγαθότητος, ἐκ τοῦ πάντων ἐξῃρημένου καί ἀλήπτου καί ἀφθέγκτου, πρό τό νῷ μεθεκτόν τε καί θεωρητόν ἀοράτως συγκαταβαίνοντος καθ᾽ ὑπερούσιον ἑαυτοῦ δύναμιν ἀνεκφοίτητον, αὐτοί μένουσιν ἀνέραστοι πρός τόν αὐτοπτικόν καί αὐτονόητον ἐκεῖνον ἔρωτα, ἀλλ᾽ ὅτι καί τοῖς πρός τό φῶς ἐκεῖνο χειραγωγοῦσι διά τῶν λόγων ὑπό φιλανθρωπίας ἁγίοις οὐκ ἐθέλοντες ἕπεσθαι, κατά κρημνῶν φέρουσιν ἑαυτούς καί συγκατασπᾶν ἐπιχειροῦσι τούς πειθομένους, ὡς ἄν δήπου κοινωνούς σχοῖεν ὅταν «ὡς πῦρ ἴδωσι» κατά τόν θεολόγον Γρηγόριον «ὅν ὡς φῶς οὐκ ἐγνώρισαν», οὐδέ ἐπίστευσαν. Ἀλλά γάρ καί τό πῦρ ἐκεῖνο σκοτεινόν, μᾶλλον δέ τῷ ἠπειλημένῳ σκότει ταὐτόν. Ταῦτα δέ τῷ διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ (σελ. 172) προητοίμασται κατά τόν τοῦ Κυρίου λόγον. Οὐκοῦν οὔτε αἰσθητόν ἁπλῶς, ἀμοιροῦσι γάρ αἰσθήσεως προητοίμασται τοῖς πονηροῖς ἀγγέλοις, οὔθ᾽ ἁπλῶς ἄγνοια τουτί τό σκότος, οὐ γάρ ἀγνοήσουσι τότε μᾶλλον τόν Θεόν ἤ νῦν οἱ νῦν τοῖς κληρονόμοις τοῦ σκότους ἐκείνου πεπεισμένοι, μᾶλλον μέν οὖν καί βέλτιον εἴσονται· «πᾶσα» γάρ, φησί, «σάρξ ἐξομολογήσεται ὅτι Κύριος Ἰησοῦς Χριστός εἰς δόξαν Θεοῦ Πατρός», ἀμήν. Οὐκ ἄρ᾽ οὐδέ τό φῶς ἐκεῖνο αἰσθητόν

κυρίως, οὐδέ μέν οὖν γνῶσις, εἴπερ μηδέ ἄγνοια τό ἀντιδιαστελλόμενον πρός τοῦτο σκότος. Εἰ δέ μή τό φῶς ἐκεῖνο γνῶσις, παρεκτικόν δέ μᾶλλον τῆς μυστικῆς καί ἀπορρήτου γνώσεως τῶν μυστηρίων τοῦ Θεοῦ, καί ὁ ἀρραβών νῦν τοῖς κεκαθαρμένοις τήν καρδίαν ἐνορώμενος, οὐ γνῶσίς ἐστιν ἁπλῶς, ἀλλ᾽ ἀναλόγου μέν γνώσεως χορηγός, αὐτός δέ φῶς νοητόν καί νοερόν μᾶλλον δέ πνευματικόν, πνευματικῶς ἐγγινόμενός τε καί ὁρώμενος, ὑπεροχικῶς ἐξῃρημένος πάσης γνώσεως καί ἀρετῆς καί τῆς ἐνταῦθα κατά χριστιανούς τελειότητος παρεκτικός μονώτατος, οὐκ ἀπό μιμήσεως ἤ φρονήσεως προσγινομένης, ἀλλ᾽ ἀποκαλύψει καί χάριτι τοῦ Πνεύματος.

Διό φησιν ὁ μέγας Μακάριος, συνεπιμαρτυροῦντά τε καί συμφθεγγόμενον ἔχων Συμεώνην τόν ἀκούειν ἥδιστον ἐν ἑρμηνεῦσιν˙ «Ὁ θεῖος ἀπόστολος Παῦλος ἀκριβέστερόν τε καί τηλαυγέστερον τό ἐντελές τοῦ χριστιανισμοῦ μυστήριον ἑκάστῃ ψυχῇ δεδήλωκεν, ὅπερ ἐστίν ἡ τοῦ ἐπουρανίου φωτός ἐν ἀποκαλύψει καί δυνάμει τοῦ Πνεύματος ἔλλαμψις, ἵνα μή τις, τόν διά γνώσεως νοημάτων φωτισμόν μόνον τοῦ Πνεύματος εἶναι νομίσας κινδυνεύσῃ δι᾽ ἄγνοιάν τε καί ῥᾳθυμίαν τοῦ τελείου τῆς χάριτος ἀποτυχεῖν μυστηρίου. Διά τοῦτο καί τό ὑπόδειγμα τῆς τῷ προσώπῳ Μωϋσέως περικειμένης τοῦ Πνεύματος δόξης εἰς παράστασιν ὡμολογημένης προήνεγκεν (" εἰ γάρ τό καταργούμενον, φησί, διά δόξης, πολλῶν μᾶλλον τό μένον ἐν δόξῃ" ), (σελ. 174) καταργούμενον εἰρηκώς διά τό θνητῷ σώματι Μωϋσέως περικεῖσθαι τήν δόξαν˙ ἔδειξε δέ τήν ἀθάνατον ἐκείνην τοῦ Πνεύματος ἐν ἀποκαλύψει δόξαν νῦν ἐν τῷ ἀθανάτῳ τοῦ ἔσω ἀνθρώπου προσώπῳ τοῖς ἀξίοις ἀκαταργήτως ἐλλάμπεσθαι. Φησί γοῦν˙ "ἡμεῖς δέ πάντες, τουτέστιν οἱ κατά τελείαν πίστιν ἐκ τοῦ Πνεύματος γεννηθέντες, ἀνακεκαλυμμένῳ προσώπῳ τήν δόξαν Κυρίου κατοπτριζόμεθα, τήν αὐτήν εἰκόνα μεταμορφούμενοι ἀπό δόξης εἰς δόξαν, καθάπερ ἀπό Κυρίου Πνεύματος"˙ἀνακεκαλυμμένῳ προσώπῳ, τῷ τῆς ψυχῆς δηλαδή, καί γάρ ἡνίκ᾽ ἄν ἐπιστρέψῃ τις πρός Κύριον, "περιαιρεῖται, φησί, τό κάλυμμα", "ὁ δέ Κύριος τό Πνεῦμά ἐστι". Φανερῶς οὖν διά τούτων ἔδειξε κάλυμμα σκότους ἐπιβεβλῆσθαι τήν ψυχήν, ὅπερ ἀπό τῆς τοῦ Ἀδάμ παραβάσεως χώραν ἔσχεν εἰς τήν ἀνθρωπότητα παραδῦναι, νυνί δέ, ἀπό τῆς ἐλλάμψεως τοῦ Πνεύματος, περιαιρεῖσθαι τοῦτο τῶν πιστῶν τε καί ἀξίων τῷ ὄντι ψυχῶν, δι᾽ ἥν αἰτίαν καί ἡ ἔλευσις ἡ τοῦ Χριστοῦ γεγένηται».

Βλέπεις, ἀδελφέ, πῶς τόν ἐν ταῖς ψυχαῖς τῶν ἔργῳ καί ἀληθείᾳ πιστευόντων εἰς Χριστόν φωτισμόν τοῦ Πνεύματος οἱ ἐν τῷ παλαιῷ προϋπέγραψαν αἰσθητοί ἐκεῖνοι φωτισμοί; Τούς οὖν αἰσθητούς καί συμβολικούς ἐκείνους λέγοντας ἐχρῆν δι᾽ ἐκείνων πρός τήν τούτου πίστιν τε καί ζήτησιν ἐνάγεσθαι. Οὗτοι δέ καί τούς πιστεύοντας, μᾶλλον δέ εἰ δυνατόν καί τούς τῆς χάριτος ἐμφανῶς εὐμοιρηκότας καί ἄληστον τήν ἐπί ταύτη γνῶσιν ἐσχηκότας, πρός ἀπιστίαν ἐκκαλέσασθαι πάντα τρόπον σπεύδουσι, μεταδιδάσκειν τολμηρῶς καί ἀνοήτως ἐγχειροῦντες τούς ὑπό τοῦ Θεοῦ καί τῆς αὐτοῦ μυστικῆς ἐμφανείας τε καί ἐνεργείας τά ἀπόρρητα δεδιδαγμένους, οὐδ᾽ ὑπό τοῦ μεγάλου Παύλου ἐντρεπόμενοι, ὅς φησιν ὅτι «ὁ μέν πνευματικός ἀνακρίνει πάντα, αὐτός δέ ὑπ᾽ οὐδενός ἀνακρίνεται, νοῦν γάρ ἔχει Χριστοῦ˙ τίς δέ ἔγνω νοῦν Κυρίου, (σελ. 176) ὅς συμβιβάσει αὐτόν» τουτέστι πιστά ποιήσει, λογισμοῖς ἀνακρίνων, τά τοῦ Πνεύματος; Καί γάρ οὐδέ γνῶναι ὅλως ἤ πιστεῦσαι δύναται τά τοῦ πνευματικοῦ ἀνθρώπου ὁ τοῖς οἰκείοις λογισμοῖς καί ταῖς δι᾽ αὐτῶν συζητήσεσι πιστεύων, διαιρέσεσί τε καί συλλογισμοῖς καί ἀναλύσεσι πᾶσαν ἀλήθειαν εὑρίσκεσθαι οἰόμενος˙ ψυχικός γάρ ἐστιν ὁ τοιοῦτος, «ὁ δέ ψυχικός», φησίν, «οὐ δέχεται τά τοῦ Πνεύματος», οὐδέ δύναται˙ ὁ γοῦν μή γινώσκων μηδέ πιστεύων, πῶς τοῖς ἄλλοις συμβιβάσας γνωστά τε καί πιστά ποιήσειε; Διά τοῦτο εἴ τις ἄνευ ἡσυχίας τε καί νήψεως τῆς κατά νοῦν καί τῆς ἐν αὐτῇ πνευματικῶς καί ἀπορρήτως τελουμένων πείρας περί νήψεως διδάσκει, στοιχῶν τοῖς οἰκείοις διαλογισμοῖς καί διά λόγου δεῖξαι ζητῶν τό ὑπέρ λόγον ἀγαθόν, εἰς ἔσχατον ἀπονοίας δῆλός ἐστι κατενεχθείς καί τήν σοφίαν ὄντως μωρανθείς, ὅτι ἀφρόνως ὑπενόησε φυσικῇ γνώσει τά ὑπέρ φύσιν κατοπτεῦσαι καί τά βάθη τοῦ Θεοῦ, ἅ γνωστά μόνῳ τῷ Πνεύματι, καί τά χαρίσματα τοῦ Πνεύματος, ἅ γνωστά μόνοις τοῖς πνευματικοῖς καί νῦν ἔχουσι Χριστοῦ, φυσικῇ διανοίᾳ καί σαρκικῇ φιλοσοφίᾳ ἐρευνῆσαί τε καί δεῖξαι˙ πρός δέ τῇ ἀφροσύνῃ, καί θεομάχος εὑρεθήσεται, παραγνωρίζων εἰς τήν τοῦ Βελίαρ, ὤ τῆς συμφορᾶς, τήν τοῦ ἀγαθοῦ Πνεύματος ἐνέργειαν καί χάριν καί ἀντιταττόμενος τοῖς λαβοῦσι τό ἐκ Θεοῦ Πνεῦμα, ἵνα δι᾽ αὐτοῦ εἰδῶσι τά ἐκ Θεοῦ χαρισθέντα ἡμῖν, ἀλλά καί τοῦ «οὐαί» ἔσται κληρονόμος διά τήν τῶν ἀκουόντων βλάβην˙ «οὐαί» γάρ, φησίν ὁ προφήτης, «τῷ ποτίζοντι τόν ἀδελφόν αὐτοῦ ἀνατροπήν θολεράν».

Δέον οὖν τοῖς πάντα ἀνακρίνειν δυναμένοις, δηλονότι τοῖς πνευματικοῖς («ὁ γάρ πνευματικός πάντα ἀνακρίνει» κατά τόν ἀπόστολον), δέον οὖν τούτοις τούς μή τοιούτους φέροντας ὑποτάσσειν ἑαυτούς, ὡς τῇ τούτων ἀνακρίσει καί τά (σελ. 178) καθ᾽ ἑαυτούς εἰσομένους ἀσφαλῶς, αὐτοί τούς ὑπ᾽ οὐδενός τούτους ἀνακρινομένους («ὁ γάρ πνευματικός» κατά τόν αὐτόν ἀπόστολον «ὑπ᾽ οὐδενός ἀνακρίνεται») κρίνειν καί διορθοῦν ἐπιχειροῦσι πρός καταστροφήν ἑαυτῶν τε καί τῶν τούτοις πειθομένων. Φασί γάρ μηδένα δυνατόν εἶναι τελειότητός τε καί ἁγιότητος μετέχειν τήν ἀληθῆ περί τῶν ὄντων οὐχ εὑρηκότα δόξαν, εὑρηκέναι δέ αὐτήν ἄνευ διαρέσεως καί συλλογισμοῦ καί ἀναλύσεως ἀδύνατον ὑπάρχειν. Οὐκοῦν τόν ἐπειλῆφθαι τελειότητος καί ἁγιότητος ἐπιθυμοῦντα τάς διαιρετικάς καί συλλογιστικάς καί ἀναλυτικάς μεθόδους ἀναγκαιότατον παρά τῆς ἔξω παιδείας διδαχθῆναί τε καί μετιέναι συμπεραίνειν οἴονται καί διά τοιούτων λόγων τήν καταργηθεῖσαν πάλιν ἐνεργόν αὐτοί δεῖξαι σπεύδουσι σοφίαν. Εἰ δέ παρά τῶν πάντα ἀνακρίνειν δυναμένων ἐν ταπεινώσει προσελθόντες ἠθέλησαν τήν ἀλήθειαν μαθεῖν, ἤκουσαν ἄν ὡς τοῦτο τό δόγμα φρονήματός ἐστιν ἑλληνικοῦ. Στωικῶν τε καί Πυθαγορείων αἵρεσις, οἵ τήν ἐπιστήμην τέλος λέγουσι τῆς θεωρίας προσγινομένην διά τῆς τῶν μαθημάτων ἀναλήψεως. Ἡμεῖς δέ οὐ τήν διά λόγων καί συλλογισμῶν εὑρισκομένην γνῶσιν δόξαν ἀληθῆ νομίζομεν, ἀλλά τήν δι᾽ ἔργων τε καί βίου ἀποδεικνυμένη ἤ καί μή μόνον ἀληθής, ἀλλά καί ἀσφαλής ἐστι καί ἀπερίτρεπτος. «Λόγῳ» γάρ, φησί, «παλαίει πᾶς λόγος», βίῳ δέ τίς; Καί μήν οὐδέ ἑαυτόν γνῶναι δυνηθῆναί τινα οἰόμεθα διαιρετικαῖς καί συλλογιστικαῖς καί ἀναλυτικαῖς μεθόδοις, ἄν μή δι᾽ ἐπιπόνου μετανοίας καί ἀσκήσεως συντόνου, ἄτυφον καί ἀπόνηρον ποιήσῃ τόν οἰκεῖον νοῦν. Ὁ γάρ μή τοιοῦτον καί οὕτω τόν ἑαυτοῦ κατασκεύσας νοῦν, οὐδέ τήν οἰκείαν κατά γνῶσιν εἴσεται πενίαν, ὅ τοῦ γνῶναί τινα ἑαυτόν ἐστιν ἀρχή λυσιτελής.

Ἀλλ᾽ οὐδέ πᾶσαν ἀγνωσίαν ὑπ᾽ ἔγκλημα θοῖτ᾽ ἄν τις εὖ φρονῶν, οὐδέ πᾶσαν γνῶσιν οἰόμεθα μακαριστόν. Πῶς οὖν πρός αὐτήν ὡς πρός τέλος ἀφορῶντες πάντα πράξομεν; (σελ. 180) Διπλοῦν δέ φησι καί ὁ μέγας Βασίλειος τό εἶδος τῆς ἀληθείας, ὧν τό μέν ἔχειν τε καί παρέχειν ἀναγκαιότατον, ὡς συνεργόν τῆς σωτηρίας ὑπάρχον˙ περί δέ γῆς καί θαλάσσης, οὐρανοῦ τε καί τῶν κατ᾽ οὐρανόν, ἐάν μή εἰδῶμεν τήν ἐν τοῖς τοιούτοις ἀλήθειαν, οὐδέν ἡμῖν ἐμποδίσει πρός

τήν ἐν ἐπαγγελίαις μακαριότητα. Καί τέλος δέ τό προκείμενον ἡμῖν, αἱ παρά τοῦ Θεοῦ ἐπαγγελίαι τῶν μελλόντων ἀγαθῶν, ἡ υἱοθεσία, ἡ ἐκθέωσις, ἡ τῶν οὐρανίων θησαυρῶν ἀποκάλυψις καί κτῆσις καί ἀπόλαυσις· τήν δ᾽ ἐκ τῆς ἔξω παιδείας γνῶσιν τῷ αἰῶνι τούτῳ συναπαρτιζομένην ἴσμεν. Εἰ γάρ αἰσθητοί λόγοι ἐν τῷ μέλλοντι παριστῶσι τά πράγματα, οἱ σοφοί τοῦ αἰῶνος τούτου γένοιτ᾽ ἄν κληρονόμοι τῆς τῶν οὐρανῶν βασιλείας· «εἰ δέ καθαρότης ψυχῆς ὁρᾷ, μακράν οἱ σοφοί γενήσονται τῆς γνώσεως τοῦ Θεοῦ», κατά τόν ἀληθῆ φιλόσοφον Μάξιμον. Τίς οὖν ἡμῖν χρεία γνώσεως τῆς μή ἐγγιζούσης Θεῷ; Πῶς δέ χωρίς αὐτῆς τελειότητος καί ἁγιότητος μεταλαχεῖν οὐκ ἔνι;

Καί ἵνα τἆλλα νῦν παρῶ τῶν οἰομένων εἶναί τε καί φρεναπατώντων ἑαυτούς ἐπί τοσοῦτον, ὡς καί τάς γραφάς τοῦ πνεύματος κατά τῶν πνευματικῶν παρεξηγουμένους ἔργων χρῆσθαι καί ἀνδρῶν, ἐκεῖνα δή προθήσω, ἅ καί νῦν ὑπόθεσις ἡμῖν ἐστι τοῦ ἀνά χεῖρας λόγου. Φασί γάρ ἀόρατον εἶναι τόν Θεόν καί ἀπερινόητον· «Θεόν γοῦν οὐδείς ἑώρακε πώποτε· ὁ μονογενής Υἱός τοῦ Θεοῦ, ὁ ὤν εἰς τόν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο». Πῶς οὖν, φασίν, οὐχί σαφῶς πλανῶνται οἱ τόν Θεόν ὡς φῶς νεορῶς ἐν ἑαυτοῖς ὁρᾶν ἰσχυριζόμενοι; Κἄν τις αὐτῶν αὖθις τόν μονογενῆ τοῦ Θεοῦ λόγον προσενέγκῃ λέγοντα ὅτι «οἱ καθαροί τῇ καρδίᾳ τόν Θεόν ὄψονται» καί «ἐγώ ἐμφανίσω αὐτοῖς ἐμαυτόν, μετά τοῦ Πατρός τούτοις ἐνσκηνώσας», εὐθύς θεωρίαν τήν γνῶσιν (σελ. 182) λέγουσι καί οὐκ ἴσασιν ἑαυτοῖς ἀνακόλουθα λέγοντες· ὡς γάρ ἀόρατον, οὕτω καί ἀπερινόητον τό θεῖον. Τούς γοῦν τήν ἐν φωτί νοεράν ὅρασιν Θεοῦ διά τό τοῦ Θεοῦ ἀόρατον φαντασίαν ἐψευσμένην καί δαιμονικήν δογματίζοντας ἐνέργειαν ἔδει καί τήν γνῶσιν διά τό τοῦ Θεοῦ ἀπερινόητον πρός τάς ὁμοίας κατασπᾶν ἐρεσχελίας. Ἀλλ᾽ ἡμεῖς περί μέν τῆς γνώσεως οὐδέν ἀντιπεῖν πρός αὐτούς αἱρούμεθα· συνῳδά γάρ λέγουσιν ἡμῖν, εἰ καί μή συντᾶσιν ὅ τι λέγουσιν. Ἔστι γάρ καί ἡ περί Θεοῦ καί τῶν κατ᾽ αὐτόν δογμάτων γνῶσις, θεωρία, ὅ θεολογίαν ὀνομάζομεν, καί ἡ τῶν τῆς ψυχῆς δυνάμεων καί τῶν τοῦ σώματος μελῶν κατά φύσιν χρῆσίς τε καί κίνησις ἀναμόρφωσιν ποιεῖται τῆς λογικῆς εἰκόνος· ἀλλ᾽ οὐ τοῦτό ἐστιν ἡ τελεία τῆς ἄνωθεν ἡμῖν εὐγενείας εὐπρέπεια καί ἡ πρός τό ὑπερφαές φῶς ὑπερφυής ἕνωσις, παρ᾽ ἧς μόνης ἐγγίνεται καί τό θεολογεῖν ἀσφαλῶς καί τό κατά φύσιν ἑστάναι τε καί κινεῖσθαι τάς ἐν ἡμῖν δυνάμεις τῆς ψυχῆς καί τοῦ

σώματος˙ ταύτην οὖν ἀναιροῦντες συνανεῖλον πᾶσαν ἀρετήν καί ἀλήθειαν.

Περί τοῦ μή εἶναι τοίνυν τῆς γνώσεως ἧς αὐτοί λέγουσι μυστικωτέραν καί ὑψηλοτέραν θεωρίαν, μηδ᾽ εἶναι ὅλως τοιαύτην θεωρίαν τοῦ Θεοῦ διά τό τοῦ Θεοῦ ἀόρατον, παρά τῶν ἐν ἀληθεῖ θεωρίᾳ γεγονότων μυηθέντες, ἐρωτήσομεν αὐτούς˙ τί ἡμῖν δοκεῖ, οὐδέ τό Πνεῦμα τό ἅγιον ὁρᾷ τά τοῦ Θεοῦ; Ἀλλά μήν αὐτό «ἐρευνᾷ καί τά βάθη τοῦ Θεοῦ». Εἰ μέν οὖν χωρίς Πνεύματος ἁγίου ὁρᾶν ἔλεγέ τις τό ἀκήρατον φῶς, καλῶς ἄν ἀντιπίπτοντες ἐλέγετε˙ «πῶς ἄν ὁραθείη ὁ ἀόρατος»; Εἰ δέ τις ἀποθέμενος τό πνεῦμα τοῦ κόσμου (ὅ σκότος νοητόν ἐπικείμενον ταῖς μή κεκαθαρμέναις καρδίαις οἱ πατέρες ὀνομάζουσιν) εἴ τις οὖν ἀποθέμενος τοῦτο καί καθαρεύσας παντός οἰκείου θελήματος καί ἀπαναστάς πάσης παραδόσεως ἀνθρωπίνης καί πρός ὀλίγον ἀναβολήν (σελ. 184) ἐμποιούσης τῇ ὀφειλομένῃ σπουδῇ, κἄν εὐπρόσωπος ᾖ κατά τόν μέγαν Βασίλειον, καί τάς τῆς ψυχῆς δυνάμεις ὡς ἑνόν συναθροίσας καί νηφάλιον ἐπιστήσας τήν τῆς διανοίας ἐπισκοπήν, πρῶτον μέν ἐν τοῖς κατά φύσιν καί θεαρέστοις διαζῇ κατά νοῦν θεωρήμασιν, εἶθ᾽ ἑαυτόν ὑπεραναβάς ἐν ἑαυτῷ λάβοι τό ἐκ Θεοῦ Πνεῦμα, ὅ οἶδε τά τοῦ Θεοῦ ὡς τό πνεῦμα τοῦ ἀνθρώπου τά ἐν αὐτῷ καί ταῦτα διά τοῦτο λαβών, καθάπερ ὁ μέγας κηρύττει Παῦλος, ἵν᾽ εἰδῇ τά ὑπό τοῦ Θεοῦ χαρισθέντα μυστικῶς αὐτῷ, «ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη», πῶς οὐκ ἄν ὁρῴη οὗτος διά τοῦ πνεύματος τό ἀόρατον φῶς; Πῶς δ᾽ οὐκ ἄν εἴη πάλιν ἀόρατον καί ἀνήκουστον καί ἀπερινόητον τοῦτο, καίπερ ὁρώμενον, τό φῶς; Ὁρᾶται γάρ ὑπό τῶν βλεπόντων «ἅ ὀφαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη». Πνευματικούς γάρ λαμβάνουσιν οὗτοι ὀφθαλμούς καί νοῦν ἔχουσι Χριστοῦ, δι᾽ ὧν καί βλέπουσι τόν ἀόρατον καί νοοῦσι τόν ἀπερινόητον˙ οὐ γάρ ἑαυτῷ ἀόρατός ἐστιν, ἀλλά τοῖς διά κτιστῶν καί φυσικῶν ὀφθαλμῶν καί λογισμῶν νοοῦσι καί ὁρῶσιν. Οἷς δ᾽ ὁ Θεός ἑαυτόν ἐνήρμοσεν ὡς μέλος ἡγεμονικόν, πῶς οὐχί δι᾽ ἑαυτοῦ καί τήν τῆς χάριτος ἐμφανῶς παράσχοι θεωρίαν;

Πῶς δ᾽ οὐκ ἄν τῶν τῆς ἀσματικῆς θεολογίας ἀξιώσαι προσρημάτων, ἐγκωμιάζων τήν ἐγγεγενημένην πνευματικήν δύναμιν τοῖς ὄμμασιν αὐτῶν, «ἰδού εἰ καλή», λέγων πρός αὐτούς, «ἡ πλησίον μου˙ ὀφθαλμοί σου περιστεραί»; δι᾽ ὧν καί αὐτοί, τῆς ὡραιότητος αἰσθόμενοι τοῦ νοητοῦ νυμφίου, δαψιλῆ τόν τῶν ἐγκωμίων

ἀντιδιδόασι λόγον. Οὐκ ἄδηλον δ᾽ ἄρα τοῖς μεμυημένοις τίς αὕτη ἡ περιστερά ἦν ἡ νύμφη σχοῦσα ἐν τοῖς ὄμμασι καί αὐτή τῷ τοῦ νυμφίου Θεοῦ τότε πρῶτον τρανῶς ἐνατενίζει κάλλει καί εἰς ἐπήκοον τῶν (σελ. 186) πιστῶς περιεστώτων ἀφηγεῖται διεξοδικώτερον τήν καλοποιόν εὐπρέπειαν ἐκείνην. Ὡς γάρ ἡ ἐν ὀφθαλμοῖς αὐγή, ἑνωθεῖσα ταῖς ἡλιακαῖς αὐγαῖς, φῶς ἐντελεχείᾳ γίνεται καί οὕτως ὁρᾷ τά αἰσθητά, τόν αὐτόν τρόπον καί ὁ νοῦς, ἕν Πνεῦμα μετά τοῦ Κυρίου γεγονώς, οὕτω τά πενυματικά τρανῶς ὁρᾷ. Μένει δ᾽ ὅμως καί ἐκεῖ τρόπον ἕτερον, ὑψηλότερον ἤ κατά τούς χαμερπεῖς λογισμούς τῶν τοῖς πνευματικοῖς ἀνδράσιν ἀντιλέγειν ἐγχειρούντων, ἀόρατος ὁ δεσπότης˙ οὐ γάρ ἑώρακέ ποτέ τις τό πᾶν τῆς καλλονῆς ἐκείνης, διό καί κατά τόν Νύσσης Γρηγόριον «ὀφθαλμός τοὐθ᾽ ἑώρακεν οὐδείς, εἰ καί ἀεί βλέπει»˙ οὐδέ γάρ ὅσον ἐστίν ἐκεῖνο, ἀλλά καθόσον ἑαυτόν ἐποίησε δεκτικόν τῆς τοῦ θείου Πνεύματος δυνάμεως, κατά τοσοῦτον βλέπει. Πρός δέ τῇ ἀκαταληψίᾳ ταύτῃ, καί ἥν ἔχουσι κατάληψιν ἀκαταλήπτως ἔχουσι, τό θειότατον ἁπάντων καί καινότατον˙ οὐ γάρ ᾧ ταῦτα βέπουσι τοῦτ᾽ ἴσασιν οἱ βλέποντες, οὐδ᾽ᾧ ἀκούουσί τε καί μυοῦνται, ἤ τήν τῶν μήπω γεγονότων γνῶσιν ἤ τήν τῶν ἀεί ὄντων ἐπιστήμην, διά τό ἀκατάληπτον τοῦ Πνεύματος, δι᾽ οὗ ὁρῶσι˙ «κατά γάρ ἀπόπαυσιν πάσης νοερᾶς ἐνεργείας ἡ τοιάδε γίνεται τῶν ἐκθεουμένων πρός τό ὑπερθεν φῶς ἕνωσις», ὡς ὁ μέγας λέγει Διονύσιος, κατ᾽ αἰτίαν μέν οὐκ οὖσα ἤ κατά ἀναλογίαν, ἐπεί ταῦτα κατ᾽ ἐνέργειάν ἐστι τοῦ νοῦ, κατά δέ ἀφαίρεσιν οὖσα, ἀλλ᾽ οὐκ αὐτό τοῦτο οὖσα ἀφαίρεσις˙ εἰ γάρ ἀφαίρεσις ἦν μόνον, ἐφ᾽ ἡμῖν ἄν ἦν - ἀλλά τοῦτο τῶν Μασσαλιανῶν ἐστι τό δόγμα -, ἡνίκ᾽ ἄν τις ἐθελήσῃ ἀνέρχεσθαι εἰς τά τοῦ Θεοῦ ἀπόρρητα μυστήρια, καθάπερ καί ὁ ἅγιος Ἰσαάκ περί αὐτῶν φησιν. Οὔκουν ἀφαίρεσις καί ἀπόφασις μόνη ἐστίν ἡ θεωρία, ἀλλ᾽ ἕνωσις καί ἐκθέωσις, μετά τήν ἀφαίρεσιν πάντων τῶν κάτωθεν τυπούντων τόν νοῦν, μυστικῶς καί ἀπορρήτως χάριτι γινομένη τοῦ Θεοῦ, μᾶλλον δέ μετά τήν ἀπόπαυσιν ἥ μεῖζόν ἐστι τῆς ἀφαιρέσεως˙ ἀπεικόνισμα γάρ ἐστιν ἡ (σελ. 188) ἀφαίρεσις τῆς ἀποπαύσεως ἐκείνης. Διό καί τό χωρίζειν πάντων τῶν κτισμάτων τόν Θεόν παντός ἐστι πιστοῦ˙ ἡ δέ νοερᾶς ἐνεργείας ἀπόπαυσις καί ἡ μετ᾽ αὐτήν πρός τό ὑπερθεν φῶς ἕνωσις, οἷόν τε πάθος οὖσα καί τέλος θεουργόν, μόνων ἐστί τῶν κεκαθαρμένων καί κεχαριτωμένων τήν καρδίαν. Καί τί λέγω τήν ἕνωσιν, ὅτε καί ἡ πρός βραχύ θέα τῶν ἐκκρίτων τέως ἐδεῖτο μαθητῶν, καί τούτων κατ᾽ ἔκστασιν γεγονότων

πάσης αἰσθητῆς καί νοερᾶς ἀντιλήψεως καί τῷ μηδόλως ὁρᾶν τό ὄντως ὁρᾶν εἰσδεδεγμένων καί τῷ πάσχειν ἀγνώστως τῶν ὑπέρ φύσιν τήν αἴσθησιν προσιεμένων; Ἀλλ᾽ ὅτι μέν οὗτοι καί εἶδον καί οὐχί κατ᾽ αἴσθησιν ἤ νοῦν κυρίως εἶδον, σύν Θεῷ προϊόντος τοῦ λόγου δείξομεν.

Νῦν δ᾽ ἆρα συνορᾷς ὅτι τό ἀκατάληπτον ἀντί νοῦ καί ὀφθαλμοῦ καί ὤτων εὐμοιροῦσι πνεῦμα, δι᾽ οὗ ὁρῶσι καί ἀκούουσι καί συνιᾶσι; Νοερᾶς γάρ πάσης καταπαυσαμένης ἐνεργείας, τίνι ὁρῶσιν ἄγγελοί τε καί ἄνθρωποι ἰσάγγελοι Θεόν, εἰ μή τῇ τοῦ Πνεύματος δυνάμει; Διό καί ἡ ὅρασις αὐτοῖς αὕτη αἴσθησις μέν οὐκ ἔστιν, ἐπεί μή διά τῶν αἰσθητηρίων αὐτῆς ἀντιλαμβάνονται, νόησις δέ οὐκ ἔστιν, ἐπεί μή διά λογισμῶν ἤ τῆς δι᾽ αὐτῶν γνώσεως, ἀλλά κατά ἀπόπαυσιν πάσης νοερᾶς ἐνεργείας εὑρίσκουσιν αὐτήν˙ οὔκουν, οὐδέ φαντασία ἐστίν, οὐδέ διάνοια, οὐδέ δόξα, οὐθ᾽ οἷον συμπέρασμα συλλογισμῶν˙ οὐδέ διά τῆς κατά ἀπόφασιν ἀνόδου μόνης ὁ νοῦς ἐπιτυγχάνει ταύτης. Πᾶσα μέν γάρ θεία ἐντολή καί πᾶς νόμος ἱερός μέχρι τῆς καθαρότητος τῆς καρδίας ὁρίζεται, κατά τόν λόγον τῶν πατέρων, καί πᾶς τρόπος καί πᾶν εἶδος προσευχῆς μέχρι τῆς καθαρᾶς λήγει προσευχῆς, καί πᾶς λόγος κάτωθεν ἀνιών εἰς τόν ὑπερανιδρυμένον καί ἀπολελυμένον τοῦ παντός μέχρι τῆς ἀφαιρέσεως τῶν ὄτων πάντων ἵσταται. Οὐ μή διά τοῦτο μετά τάς θείας ἐντολάς οὐδέν ἐστιν ἄλλο πλήν ἡ τῆς καρδίας καθαρότης, ἀλλ᾽ εἰσί καί πλεῖστά εἰσιν˙ ὁ κατά τόν νοῦν νῦν αἰῶνα τῶν ἐπηγγελμένων ἀρραβών καί τά τοῦ μέλλοντος αἰῶνος ἀγαθά (σελ. 190) δι᾽ αὐτῆς ὁρώμενά τε καί τρυφώμενα˙ οὕτω καί μετά τήν προσευχήν, θέα ἀνεκλάλητος καί ἔκστασις ἐν τῇ θέᾳ καί ἀπόρρητα μυστήρια˙ τόν αὐτόν τρόπον καί μετά τήν ἀφαίρεσιν τῶν ὄντων, μᾶλλον δέ καί μετά τήν ἀπόπαυσιν, οὐ λόγος μόνον, ἀλλά καί ἔργοις τελουμένην ἐν ἡμῖν, καί μετά ταύτην τοίνυν, εἰ καί ἀγνωσία ἐστίν, ἀλλ᾽ ὑπέρ γνῶσιν, καί εἰ γνόφος ἐστίν, ἀλλ᾽ ὑπερφαής˙ καί ἐν τῷ ὑπερφαεῖ ἐκείνῳ γνόφῳ δοτά γίνεται, κατά τόν μέγαν Διονύσιον, τά θεῖα τοῖς ἁγίοις. Ὥστε οὐκ ἀφαίρεσίς ἐστιν ἁπλῶς ἡ περί Θεοῦ καί τῶν θείων τελεωτάτη θεωρία, ἀλλ᾽ ἡ μετά τήν ἀφαίρεσιν μέθεξις τῶν θείων καί δόσις τε καί λῆψις μᾶλλον ἤ ἀφαίρεσις. Ἄρρητα δέ ἐστι τά λήμματα καί τά δόματα ἐκεῖνα, διό κἄν λέγωσι περί αὐτῶν, ἀλλά παραδειγματικῶς καί κατά ἀναλογίαν, οὐχ ὡς ὁρωμένων ἐκείνοις τούτων οὕτως, ἀλλ᾽ ὡς μή πεφυκότων ἄλλως δειχθῆναι τῶν ἐκείνοις ὁρωμένων. Οἱ τοίνυν τῶν παραδειγματικῶς οὕτω τούτων λεγομένων μή μετ᾽ εὐλαβείας ὡς ἀρρήτων ἐπαΐοντες

μωρίαν ἡγοῦνται τήν ὑπέρσοφον γνῶσιν καί τούς νοητούς τῷ διασύρειν καταπατοῦντες μαργαρίτας, τούς ὡς ἔνεστι προδείξαντας αὐτούς τῇ λογομαχίᾳ διαρρήσουσιν.

Ἐκεῖνοι δ᾿ ὅμως ὑπό φιλανθρωπίας κατά τό ἐγχωροῦν, ὡς ἔφην, λέγουσι τά ἄρρητα, τήν πλάνην ἀφαιροῦντες τῶν μετά τήν ἀφαίρεσιν τῶν ὄντων ἀργίαν εἶναι τελείαν ἀμυήτως οἰομένων, ἀλλ᾿ οὐχ ὑπέρ ἐνέργειαν ἀργίαν. Ἀλλ᾿ ἐκεῖνα πάλιν ἄρρητα τῇ ἑαυτῶν φύσει διαμένει. Διά τοῦτο ὁ μέγας Διονύσιος μετά τήν ἀφαίρεσιν τῶν ὄντων οὐκ εἶναί φησι λόγον ἀλλά ἀλογίαν καί μετά πᾶσαν ἄνοδον ἑνωθησόμεθα, φησί, τῷ ἀφθέγκτῳ. Ἀλλ᾿ οὐχ, ὅτι ἄφθεγκτα, δι᾿ ἀποφάσεως μόνης ἐπιτεύξεται ὁ νοῦς τῶν ὑπέρ νοῦν· καί ἡ τοιαύτη γάρ ἄνοδος νόησίς τίς ἐστι τῶν ἀπεμφαινόντων τῷ Θεῷ καί εἰκόνα μέν φέρει τῆς ἀνειδέου ἐκείνης θεωρίας (σελ. 192) καί τῆς κατά νοῦν θεωρητικῆς ἀποπληρώσεως, ἀλλ᾿ οὐκ αὐτή ἐστιν ἐκείνη. Δι᾿ αὐτῆς δέ τῆς πάντων ἀφαιρέσεως ὑμνοῦσιν ἐκεῖνο τό φῶς οἱ τούτῳ ἀγγελομιμήτως ἑνωθέντες, ἀπό τῆς πρός αὐτό μυστικῆς ἑνώσεως μεμυημένοι, ὅτι πάντων ἐστίν ὑπερουσίως ἐξῃρημένον. Καί ὅσοι περ ἄν ἀπό τῶν τοιούτων δι᾿ ἀκοῆς πιστῆς καί εὐγνώμονος παραδέξασθαι καταξιωθῶσι τό μυστήριον, δύνανται μέν καί οὗτοι ἐκ τῆς τῶν πάντων ἀφαιρέσεως ὑμνεῖν τό θεῖον καί ἀπερινόητον ἐκεῖνο φῶς· ἑνοῦσθαι δέ αὐτῷ καί ὁρᾶν οὐ δύνανται, ἄν μή, διά τῆς τῶν ἐντολῶν φυλακῆς ἑαυτούς καθάραντες, τῇ ἀπειλικρινημένῃ καί ἀΰλῳ προσευχῇ τόν νοῦν ἀπασχολήσαντες, τήν ὑπερφυᾶ δύναμιν τῆς θεωρίας δέξωνται.

Πῶς οὖν ταύτην, ἥ μήτ᾿ αἴσθησίς ἐστι μηδ᾿ ὅλως νόησις, ἡμεῖς καλέσομεν; Πάντως οὐκ ἄλλως ἤ ὡς ὁ ὑπέρ πάντας τούς πρό αὐτοῦ σεσοφισμένος Σολομών, αἴσθησιν δηλονότι νοεράν καί θείαν. Τῇ γάρ ἀμφοτέρων συζυγίᾳ πείθει τόν ἀκούοντα μηδέτερον νομίσαι ταύτην, μήτ᾿ αἴσθησιν, μήτε νόησιν· οὔτε γάρ ἡ νόησις αἴσθησίς ποτε, οὔθ᾿ ἡ αἴσθησις νόησις· οὐκοῦν ἡ νοερά αἴσθησις ἄλλο παρ᾿ ἑκάτερον αὐτῶν. Ἤ οὖν οὕτω προσρητέον ταύτην, ἤ, ὡς ὁ μέγας Διονύσιος, ἕνωσιν ἀλλ᾿ οὐχί γνῶσιν. «Δέον» γάρ, φησίν, «εἰδέναι τόν καθ᾿ ἡμᾶς νοῦν, τήν μέν ἔχειν δύναμιν εἰς τό νοεῖν, δι᾿ ἧς τά νοητά βλέπει, τήν δέ ἕνωσιν ὑπεραίρουσαν τήν τοῦ νοῦ φύσιν, δι᾿ ἧς συνάπτεται πρός τά ἐπέκεινα ἑαυτοῦ»· καί πάλιν, «περιτταί μετά τῶν αἰσθήσεων καί αἱ νοεραί δυνάμεις, ὅταν ἡ ψυχή θεοειδής γενομένη δι᾿ ἑνώσεως ἀγνώστου ταῖς τοῦ ἀπροσίτου φωτός ἀκτῖσιν ἐπιβάλλῃ ταῖς

ἀνομμάτοις ἐπιβολαῖς», καθ᾽ ἥν καί, κατά τόν πολύν τά θεῖα Μάξιμον, «τό φῶς τῆς ἀφανοῦς καί ὑπεραρρήτου δόξης οἱ ἅγιοι ἐποπτεύοντες, τῆς μακαρίας μετά τῶν ἄνω δυνάμεων καί αὐτοί δεκτικοί γίνονται καθαρότητος».

(σελ. 194) Καί μή τις ὑπολάβῃ τήν διά τῶν ἀποφάσεων ἄνοδον ἐνταῦθα λέγειν τούς μεγάλους. Ἐκείνη γάρ παντός ἐστι τοῦ βουλομένου καί τήν ψυχήν οὐ μετατάττει πρός τήν τῶν ἀγγέλων ἀξίαν καί χωρίζει μέν ἀπό τῶν ἄλλων τήν διάνοιαν, ἕνωσιν δέ οὐ δύναται μόνη πρός τά ἐπέκεινα ποιεῖν. Ἡ δέ καθαρότης τοῦ παθητικοῦ μέρους τῆς ψυχῆς, πάντων διά τῆς ἀπαθείας ἐνεργῶς χωρίσασα τόν νοῦν, ἑνοῖ διά τῆς προσευχῆς τῇ τοῦ Πνεύματος χάριτι, δι᾽ ἧς ἐν ἀπολαύσει γίνεται τῶν θείων μαρμαρυγῶν, ἐξ ὧν ἀγγελοειδής τε καί θεοειδής καθίσταται. Διό οἱ μετά τόν μέγαν Διονύσιον πατέρες αἴσθησιν πνευματικήν προσηγόρευσαν αὐτήν, ὅ καί αὐτό κατάλληλόν ἐστι καί ἐμφανικώτερόν πως τῆς μυστικῆς ἐκείνης καί ἀπορρήτου θεωρίας. Τότε γάρ ὡς ἀληθῶς ὁ ἄνθρωπος πνεύματι, ἀλλ᾽ οὐχί νῷ, οὐδέ σώματι ὁρᾶ. Καί ὅτι μέν ὁρᾷ φῶς ὑπέρ φῶς ὑπερφυῶς οἶδεν ἀκριβῶς˙ τίνι δέ τοῦθ᾽ ὁρᾷ, οὐκ οἶδε τότε, ἀλλ᾽ οὐδ᾽ ἐξετάζειν δύναται τήν τούτου φύσιν, διά τό ἀνεξιχνίαστον τοῦ πνεύματος δι᾽ οὗ ὁρᾷ. Καί τοῦτό ἐστιν ὅ καί Παῦλος εἶπεν, ἡνίκα ἤκουε τά ἄρρητα καί ἑώρα τά ἀόρατα˙ «ἑώρων» γάρ, φησίν, «εἴτε ἐκτός τοῦ σώματος οὐκ οἶδα, εἴτε ἐντός τοῦ σώματος οὐκ οἶδα»˙ τουτέστιν οὐκ ᾔδειν εἴτε νοῦς ἦν, εἴτε σῶμα τό ὁρῶν. Ὁρᾷ γάρ, οὐκ αἰσθήσει μέν, ὡς ἡ αἴσθησις δέ, τά αἰσθητά τρανῶς καί τρανότερον ἤ αὕτη. Ὁρᾷ δ᾽ ἑαυτόν ὑπό τῆς τοῦ ὁρωμένου γλυκυθυμίας ἀπορρήτου ἐκστάντα τε καί ἁρπαγέντα οὐ μόνον παντός πράγματός τε καί νοήματος πραγμάτων, ἀλλά καί ἑαυτοῦ. Καί αὐτῆς ὑπό τῆς ἐκστάσεως ἐπιλανθάνεται τῆς πρός Θεόν δεήσεως˙ καί τοῦτό ἐστιν ὅ εἶπεν ὁ ἅγιος Ἰσαάκ, συνεπιμαρτυροῦντα τόν μέγας καί θεῖον ἔχων Γρηγόριον, ὅτι «προσευχή ἐστι καθαρότης νοός, ἥτις μόνη ἐκ τοῦ φωτός τῆς ἁγίας Τριάδος μετ᾽ ἐκπλήξεως τέμνεται˙ καί πάλιν, «καθαρότης ἐστί νοός ἐφ᾽ ᾗ διαυγάζει ἐν τῷ καιρῷ τῆς προσευχῆς τό φῶς τῆς ἁγίας Τριάδος, καί τότε ὁ νοῦς ὑπεράνω τῆς προσευχῆς γίνεται, (σελ. 196) καί οὐ δεῖ καλεῖν ταύτην προσευχήν, ἀλλά τοκετόν τῆς καθαρᾶς προσευχῆς, τῆς διά τοῦ Πνεύματος καταπεμπομένης˙ οὐδέ προσευχῇ τότε προσεύχεται ὁ νοῦς, ἀλλ᾽ ἐν ἐκστάσει γίνεται ἐν τοῖς ἀκαταλήπτοις πράγμασι˙ καί αὕτη ἐστίν ἡ ἄγνοια ἡ ὑπερτέρα τῆς

γνώσεως». Τό γοῦν ἁρπάσαν ἐκεῖνο καί τόν νοῦν ἐκστῆσαν πάντων καί πρός ἑαυτό ὅλον ἐπιστρέψαν θυμηρέστατόν τι χρῆμα, φῶς οἷον ὁρᾷ, ἀποκαλυπτικόν μέν, ἀλλ᾽ οὐκ αἰσθητῶν σωμάτων, μήτε μέντοι πρός τά κάτω περαινόμενον, μήτε πρός τά ἄνω, μήτ᾽ ἐπί τά πλάγια, καί πέρας ὅλως οὐχ ὁρᾷ τοῦ ὁρωμένου καί περιλάμποντος αὐτόν φωτός, ἀλλ᾽ ὥσπερ ἄν εἴ τις ἦν ἥλιος ἀπειροπλασίως λαμπρότερός τε καί μείζων τοῦ παντός˙ μέσον δ᾽ ἕστηκεν αὐτός, ὤν ὅλος ὀφθαλμός˙ τοιοῦτόν τί ἐστιν ἐκεῖνο.

Διό ἄπειρον μέν ὁ μέγας Μακάριος καί ὑπερουράνιον τουτί φησι τό φῶς. Πάντα δέ τά ὄντα, ὥσπερ ὑπό μίαν τινά περιεχόμενα ἀκτῖνα τοῦ νοητοῦ ἡλίου τούτου, τῶν τελεωτέρων τις ἕτερος ἑώρακε ἁγίων, καίτοι κἀκεῖνος, οὐχ ὅπερ καί ὅσον ἐστίν ἐκεῖνο, ἀλλ᾽ ὅσον ἑαυτόν ἐκείνου δεκτικόν ἐποίησεν ἰδών, καί μαθών ἀπό τῆς θεωρίας ταύτης καί τῆς πρός αὐτό ὑπέρ νοῦν ἑνώσεως, οὐχ ὅπερ ἐστίν αὐτό τήν φύσιν, ἀλλ᾽ ὅ,τι ἐστίν ὡς ἀληθῶς, καί ὑπερφυές καί ὑπερούσιόν ἐστιν, ἄλλο τι παρά τά ὄντα πάντα ὄν, ὄν δέ κυρίως τε καί μόνον καί πᾶν ὄν ἀπορρήτως ἐν ἑαυτῷ συνειληφός. Πάντοτε δ᾽ ἐνί ἤ πᾶσι τό ἄπειρον τοῦτο οὐχ ὁρᾶται. Ὁ δέ μή ὁρῶν συνίησιν ὡς αὐτός ὁρᾶν ἀδυνατεῖ μή τελείως δι᾽ ἐντελεστέρας καθαρότητος ἐναρμοσθείς τῷ πνεύματι, ἀλλ᾽ οὐχί τό ὁρώμενον λαμβάνει πέρας. Ὅτε τοίνυν τά τῆς θεωρίας ὑποβέβηκεν, ἐκ τῆς πηγαζομένης ὁμοίας ἀπαθοῦς τῷ ὁρῶντι θυμηδίας καί γαλήνης νοερᾶς καί τοῦ ἀνακαιομένου πυρός τῆς πρός τόν Θεόν ἀγάπης, ἀκριβῶς οἶδεν ὁ ὁρῶν ὅτι (σελ. 198) τοῦτό ἐστιν ἐκεῖνο τό φῶς, εἰ καί ἀμυδρότερον ὁρᾷ˙ καί κατ᾽ ἀναλογίαν δέ τῆς θεαρέστου πράξεως, τῆς τε τῶν ἄλλων πάντων ἀποχῆς καί τῆς προσοχῆς τῆς προσευχῆς καί τῆς πρός τόν Θεόν ἐκ ψυχῆς ὅλης ἀνανεύσεως ἐπί τά πρόσω φερόμενος ἀεί καί διαυγεστέρας πειρώμενος τῆς θεωρίας, κἀντεῦθεν τό ἄπειρον συνίησι τοῦ ὁρωμένου ὅτι ἄπειρον καί τῆς μέν λαμπρότητος ἐκείνου πέρας οὐχ ὁρᾷ, τῆς δ᾽ ἑαυτοῦ πρός φωτοληψίαν ἐπιτηδειότητος ἐπί μᾶλλον ὁρᾷ τό ἀδρανές.

Ἀλλ᾽ οὐδέ αὐτό οἴεται εἶναι ἁπλῶς τήν φύσιν τοῦ Θεοῦ, ὅ κατηξιώθη βλέπειν, ἀλλ᾽ ὥσπερ ὑπό τῆς ψυχῆς ἡ ζωή ἐγγίνεται τῷ ἐμψύχῳ σώματι, λέγομεν δέ καί τήν ζωήν αὐτήν ψυχήν, ἀλλ᾽ ἴσμεν ἄλλο τι παρά ταύτην οὖσαν τήν ἐν ἡμεῖν οὖσαν καί παρεκτικήν ζωῆς ψυχήν, οὕτω καί τῇ θεοφόρῳ ψυχῇ ὑπό τοῦ ἐνοικοῦντος Θεοῦ ἐγγίνεται τό φῶς. Ἀλλά καί ὑπέρ τοῦτό ἐστιν ἡ τοῦ παναιτίου Θεοῦ πρός τούς ἠξιωμένους ἕνωσις, καθ᾽ ὑπερούσιον δύναμιν καί ὅλου

μένοντος ἐν ἑαυτῷ καί ὁλικῶς οἰκοῦντος ἐν ἡμῖν καί μεταδιδόντος ἡμῖν οὐ τῆς οἰκείας φύσεως, ἀλλά τῆς οἰκείας δόξης τε καί λαμπρότητος. Θεῖον οὖν ἐστι τουτί τό φῶς καί θεότης ὑπό τῶν ἁγίων ὀνομάζεται δικαίως, θεοποιεῖ γάρ˙ οὐκοῦν οὐ τοῦτο μόνον, ἀλλά καί αὐτοθέωσις καί θεαρχία, καί «δοκεῖ μέν εἶναι τοῦ ἑνός Θεοῦ διάκρισις καί πολυπλασιασμός, ἔστι δέ οὐδέν ἧττον ὁ ἀρχίθεος καί ὑπέρθεος καί ὑπεράρχιος», εἷς ἐν μιᾷ Θεότητι, καί διά τοῦτο ἀρχίθεος καί ὑπέρθεος καί ὑπεράρχιος, ἐπειδή ταύτης τῆς θεότητός ἐστιν ὑποστάτης, ὡς οἱ τῆς ἐκκλησίας διδάσκαλοι κατά τόν ἀρεοπαγίτην μέγαν Διονύσιον ἔφασαν, θεότητα λέγοντες τήν θεοποιόν ἐκ Θεοῦ προεληλυθυῖαν δωρεάν. Καί τοίνυν ὁ αὐτός Γαΐῳ γράφων, πῶς ὑπέρ θεαρχίαν ὁ Θεός ἐστιν ἐρωτήσαντι, «εἰ θεότητα», φησί, «νοήσας τό χρῆμα τοῦ θεοποιοῦ δώρου καθ᾽ ὅ θεούμεθα καί εἰ τοῦτο γίνεται ἀρχή τοῦ θεοῦσθαι, τῆς οὕτω λεγομένης θεότητος ὁ πάσης ἀρχῆς ὑπεράρχιός ἐστιν ἐπέκεινα». (σελ. 200) Θεολογεῖται τοιγαροῦν ὑπό τῶν πατέρων ἡ θεία χάρις τοῦ ὑπέρ αἴσθησιν φωτός, ἀλλ᾽ οὐ τοῦθ᾽ ἁπλῶς ἐστι τήν φύσιν ὁ Θεός, οὐ φωτίζειν μόνον καί θεοῦν δυνάμενος τόν νοῦν, ἀλλά καί παράγειν ἐκ μή ὄντων πᾶσαν νοεράν οὐσίαν.

Εἶδες πῶς καί ὁρῶντες αὐτόν ἀόρατον ἡγοῦνται κρεῖττον ἤ κατά τούς τήν ἔξω σοφίαν περιττούς; Ἴσασι μέν οὖν οἱ πρός τοῦτο θεωρίας ἀναβεβηκότες ὅτι φῶς ὁρῶσιν αἰσθήσει νοερᾷ καί ὅτι τό φῶς τοῦτο ὁ Θεός ἐστι, τῇ ἑνώσει χάριτι λαμπρύνων ἀπορρήτως τούς μετέχοντας. Ἄν δ᾽ ἐρωτᾷς αὐτούς πῶς ὁ ἀόρατος ὁρᾶται, ἀποκριθήσονταί σοι˙ «οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ᾽ ἐν διδακτοῖς Πνεύματος ἁγίου». Ἀνενδεεῖς γάρ εἰσι καί τῆς ἀνθρωπίνης σοφίας οὐ δέονται, τήν διδασκαλίαν ἔχοντες τοῦ Πνεύματος καί μετά τοῦ ἀποστόλου ταύτην ἔχοντες τήν καύχησιν «ὅτι ἐν ἁπλότητι καί εἰλικρινείᾳ καί χάριτι Θεοῦ, ἀλλ᾽ οὐκ ἐν σοφίᾳ σαρκικῇ ἀνεστράφησαν ἐν τῷ κόσμῳ». Ἀποκριθήσονταί σοι τοίνυν εὐλαβῶς ὡς «οὐκ ἐν τῇ καθ᾽ ἡμᾶς γνώσει περιγράφεται τά θεῖα, ὦ ἄνθρωπε, πολλά δέ τῶν ὑφ᾽ ἡμῶν ἀγνοουμένων αἰτίας ἔχει θεοπρεπεῖς˙ πνευματικοῖς οὖν πνευματικά συγκρίνοντες, κατά τόν αὐτόν ἀπόστολον, ἐκ τῆς παλαιᾶς διαθήκης τάς τῆς καινῆς βεβαιωσόμεθα χάριτας». Διά τοῦτο δέ σύγκρισιν τήν ἐκ τῶν παλαιῶν ἀπόδειξιν ὁ ἀπόστολος ὠνόμασεν, ἐπεί μετά τῆς ἐκεῖθεν βεβαιώσεως καί μείζω δείκνυται τῶν νομικῶν τά τῆς χάριτος δόματα. Καί τοίνυν ἐροῦσιν οἱ πνεύματι καί ζῶντες καί ὁρῶντες πρός τούς ἐρωτῶντας πῶς ὁρᾶται τό ἀόρατον φῶς˙ «ὡς καί ὁ θεόπτης ἐκεῖνος

ἑώρακεν Ἠλίας˙ ὅτι γάρ οὐκ αἰσθητῶς ἐκεῖνος εἶδεν ἔδειξεν ἡ ἐπιτεθειμένη τῷ προσώπῳ μηλωτή˙ ὅτι δέ τόν Θεόν ἑώρακε, τῇ μηλωτῇ τούς αἰσθητούς ἐπηλυγάσας ὀφθαλμούς, μάρτυς τε καί κῆρυξ ἀξιόλογος τό παρά πᾶσι τούτου τῆς ἐπωνυμίας γνώρισμα˙ θεόπτης γάρ, μᾶλλον δέ καί μεθ᾽ ὑπερβολῆς θεοπτικώτατος, ἀκούει παρά πάντων».

(σελ. 202) Κἄν αὖθις ἔρηταί τις τούς τοιούτους, «τί δ᾽ ὅ φατε μυστικῶς ἐνηχεῖν ἡμῖν τήν εὐχήν ἐν τοῖς ἐγκάτοις καί τί τό τήν καρδίαν συγκινοῦν», τόν αὐτοῦ πάλιν τοῦ Ἠλιού προβαλοῦνται συσσεισμόν, προοίμιον ὄντα τῆς ἐμφανοῦς νοερᾶς Θεοῦ ἐπιφανείας, καί τήν ἠχοῦσαν κοιλίαν Ἠσΐου. Τῷ δέ προσερομένῳ, «τίς δέ καί ἡ ἀπό τῆς εὐχῆς ἐγγινομένη θέρμη», τό πῦρ ὑποδείξουσιν, ὅ φησιν αὐτός αὖθις ὁ Ἠλίας, σημεῖον μέν Θεοῦ, ὅσον οὔπω ἐμφανιζομένου, δεόμενον δ᾽ ἔτι τῆς πρός αὔραν λεπτήν μεταποιήσεως, εἰ μέλλει ἐν ἑαυτῷ τήν θείαν δεξάμενον ἀκτῖνα τῷ προσορῶντι δείξειν τόν ἀόρατον, καί αὐτόν δέ τόν Ἠλίαν ὡς πῦρ τε ὄντα καί φαινόμενον καί πύρινον ἀναβαίνοντα ἅρμα μετά σώματος, ἀλλά καί τόν ὡς ὑπό πυρός καιόμενον τά σπλάγχνα ἕτερον προφήτην, καί ταῦτα τοῦ λόγου τοῦ Θεοῦ ὡς πῦρ γενομένου ἐν αὐτῷ. Κἄν ἄλλο τι τῶν ἐν αὐτοῖς μυστικῶς ἐνεργουμένων ἐξετάζῃς, ἐκεῖνοι τοῖς ὁμοίοις πνευματικοῖς συγκρίνοντες, ὡς ἔφημεν, τά παραπλήσιά σοι δείξουσι καί κοινῇ πρός πάντα φήσουσι˙ οὐκ ἀκούεις, ἄνθρωπε, ὅτι «ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος»; Οὐκ ἀκούεις τοῦ Κυρίου λέγοντος ὅτι δώσει Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν ἡμέρας καί νυκτός; Τίς οὖν ὁ τῶν ἀγγέλων ἄρτος; Οὐ τό θεῖον καί ὑπερουράνιον φῶς ᾧ εἴτε κατ᾽ ἐπιβολήν εἴτε κατά παραδοχήν ὑπέρ νοῦν οἱ νόες ἑνοῦνται, κατά τόν μέγαν Διονύσιον; Τούτου τοίνυν τοῦ φωτός τήν εἰς ἀνθρώπους ἔλλαμψιν προϋπέγραψεν μέν ὁ Θεός ἐπί τεσσαρακονταετῆ χρόνον ἄνωθεν τό μάννα καθιείς, ἐπλήρωσε δέ ὁ Χριστός, τοῖς βεβαίως εἰς αὐτόν πιστεύουσι καί δι᾽ ἔργων τήν πίστιν ἐπιδεικνυμένοις ἐνιείς τόν φωτισμόν τοῦ Πνεύματος καί τό φωτιστικόν αὐτοῦ σῶμα προτιθέμενος εἰς βρῶσιν˙ καί τοῦτο γάρ ἀρραβών ἐστι τῆς ἀπορρήτου κατά τό μέλλον Ἰησοῦ κοινωνίας. Εἰ δέ καί ἄλλο τι τῶν ἡμῖν ἀπό Χριστοῦ δεδωρημένων προϋπέγραψαν ἐκεῖνα, θαυμαστόν (σελ. 204) οὐδέν. Ἀλλ᾽ ὁρᾷς ὅτι καί ἀπό τῶν συμβολικῶν ἐκείνων φωτισμῶν ἀναφαίνεται φωτισμός τις νοερός καί μυστήρια ἕτερα παρά τήν γνῶσιν;

Ἐπεί δέ αἰσθητόν ἔφης λέγειν φῶς τό φανέν ἐν Θαβωρίῳ τούς τό θεῖον τῆς χάριτος ἀπωθουμένους φῶς, πρῶτον μέν ἐρωτήσομεν αὐτούς εἰ θεολογοῦσι τό περιαστράψαν τηνικαῦτα φῶς ἐν Θαβορίῳ τούς τῶν μαθητῶν ἐκκρίτους. Εἰ γάρ μή θεολογοῦσιν, ἐλέγξει μέν αὐτούς ὁ Πέτρος, ἐν μέν τῷ ὄρει κατά Μάρκον διαγρηγορήσας καί ἰδών τήν δόξαν Χριστοῦ, ἐν δέ τῇ δευτέρᾳ τῶν ἐπιστολῶν αὐτός γράφων ἐποπτεῦσαι τήν μεγαλειότητα αὐτοῦ, σύν αὐτῷ ὢν ἐν τῷ ὄρει τῷ ἁγίῳ˙ ἐπιστομίσει δέ αὐτούς λαμπρῶς ὁ χρυσῇ γλώττῃ τά εὐαγγελικά κηρύγματα διασαφῶν˙ φησί γάρ, «λαμπρότερος ἑαυτοῦ ἐφαίνετο ὁ Κύριος, Τοῦ μέν σώματος μένοντος ἐπί τοῦ σχήματος, τῆς δέ θεότητος παραδειξάσης τάς ἀκτῖνας αὐτῆς»˙ ἐμφράξει δέ αὐτῶν τελέως τά στόματα Διονύσιος ὁ μέγας, θεοφάνειαν αὐτό καί θεοπτίαν σαφῶς ἀποκαλῶν, πρός δέ καί Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος, «φῶς» λέγων «ἡ παραδειχθεῖσα θεότης ἐπί τοῦ ὄρους τοῖς μαθηταῖς», σύν πολλοῖς δέ ἑτέροις καί Συμεών, ὁ τάς πολιτείας πάντως σχεδόν ἁγίων καλλιπείᾳ κοσμήσας, γράφων τόν διαφερόντως ἠγαπημένον τῷ Χριστῷ θεολόγον «αὐτήν τήν τοῦ λόγου θεότητα παραγυμνωθεῖσαν» ἐπ᾽ ὄρους «ἰδεῖν». Εἰ δέ τῇ ἀληθείᾳ καί τοῖς τῆς ἀληθείας ὑποφήταις συνῳδά θεῖον καί Θεοῦ φῶς προσαγορεύουσι τό ὀφθέν ἐκεῖνο φῶς, συνομολογήσουσιν ἐξ ἀνάγκης ὡς φῶς εἶναι τήν τοῦ Θεοῦ τελεωτάτην θέαν. Διό καί Μωϋσῆς οὕτως ἑώρακεν αὐτόν καί μικροῦ τῶν προφητῶν ἁπάντων ἕκαστος, καί μάλιστα οἷς ὕπαρ ἀλλ᾽ οὐκ ὄναρ ὤφθη. Συμβολικά δ᾽ ὅμως ἅπαντ᾽ ἔστω τά ἱερά θεάματα ἐκείνων καί τοιαῦτα οἷά περ βούλοιντ᾽ ἄν οἱ ἀντιλέγοντες ἡμῖν˙ ἀλλ᾽ οὐχί καί ἡ τοῖς ἀποστόλοις ἐν (σελ. 206) Θαβώρ ἀποκαλυφθεῖσα ὄψις τοιοῦτο συμβολικόν ὑπῆρχε φῶς, ὡς γίνεσθαι καί ἀπογίνεσθαι˙ τῆς γάρ μελλούσης δευτέρας τοῦ Χριστοῦ Παρουσίας ἔχει τό ἀξίωμα καί τοῦτ᾽ αὐτό περιαυγάζον διηνεκῶς ἔσται τούς ἀξίους κατά τόν ἄληκτον αἰῶνα, ὡς ὁ θεσπέσιος ἔφη Διονύσιος, διό καί προοίμιον ἐκείνης ταύτην ὁ μέγας εἴρηκε Βασίλειος, ὁ δέ Κύριος βασιλείαν ταύτην ἐν εὐαγγελίοις ὀνομάζει τοῦ Θεοῦ.

Τί τοίνυν ἐγκαλοῦσι τοῖς λέγουσιν ὅτι ὡς φῶς ἀπορρήτως ὁρῶσι τόν Θεόν οἱ ἅγιοι, εἰ ὡς φῶς ἡ θέα αὐτοῦ καί νῦν κἄν τῷ μέλλοντι αἰῶνι; Ἆρ᾽ ὅτι μή αἰσθητόν τοῦτο λέγουσιν, ἀλλά νοερόν, ὡς καί Σολομών τό ἅγιον ὀνομάζει Πνεῦμα; Καί μήν αὐτοί εἰσιν οἱ συκοφαντοῦντες λέγειν τούς τοιούτους αἰσθητόν φῶς κατά τήν προσευχήν θεᾶσθαι καί κατηγοροῦντες πάντων τῶν αἰσθητῶν τι τῶν

θείων λεγόντων χαρισμάτων. Πῶς οὖν, ἑαυτῶν ἐπιλαθόμενοι, τούς μή αἰσθητόν τό φῶς τό θεῖον λέγοντας κατηγορεῖσθαι οἴονται ἀξίους; Ὁρᾷς τό ἀβέβαιον καί εὐπερίστατον αὐτῶν; Δεινοί γάρ εἰσιν ὡς ἔοικε κακῶς λέγειν, ἀλλ᾽ οὐχί καλόν τι συνορᾶν. Οὐ μήν ἀλλά τοῦτ᾽ εἰπόντων οἱ τῆς παλαιᾶς καί κοινῆς φωτοφανείας ἀκριβεῖς ἐξηγηταί, εἰ ζῶον ἄλογον ἐτύγχανε τότε παρόν ἐπί τοῦ ὄρους, ἆρ᾽ ἄν ᾔσθετο τοῦ τόν ἥλιον ὑπερλάμψαντος ἐκείνου φέγγους; Οὐκ ἔγωγε οἶμαι˙ καί γάρ οὐδέ τῆς περιλαμψάσης δόξης Κυρίου τούς ποιμένας ἐπί τῇ τοῦ Χριστοῦ γεννήσει αἰσθέσθαι γέγραπται τά ποίμνια. Πῶς τοίνυν αἰσθητόν φῶς ὅ τοῖς τά αἰσθητά ὁρῶσι τῶν ἀλόγων ζώων οὐχ ὁρᾶται ὄμμασι, παροῦσι καί ἀνεῳγμένους ἐπιλάμπον; Εἰ δέ τοῖς ἀνθρωπίνοις αἰσθητοῖς ὄμμασιν ὡράθη, κατά τοῦτ᾽ ἄρ᾽ ἑωράκασιν αὐτό, καθ᾽ ὅ τῶν ἀλόγων ὄψεων διενηνόχασι. Τί δή τοῦτό ἐστι; Τί γε ἄλλο ἤ τό δι᾽ ἀνθρωπίνων ὄψεων τον νοῦν ὁρᾶν; Εἰ δέ μή τῇ αἰσθητικῇ δυνάμει, τάχα γάρ ἄν καί τά ἄλογα ἑώρων, ἀλλά τῇ διά τῆς αἰσθήσεως (σελ. 208) ἀντιλαμβανομένῃ νοητικῇ δυνάμει, μᾶλλον δέ οὐδέ ταύτῃ, πᾶς γάρ ἄν εἶδεν ὀφθαλμός, μάλιστα οἱ πλησιόχωροι, λάμψαν ὑπέρ ἥλιον. Εἰ τοίνυν μηδέ ταύτῃ κυρίως τό φῶς ἐκεῖνο εἶδον, οὐκ ἄρ᾽ οὐδέ τό φῶς τοῦτο κυρίως αἰσθητόν. Καί μήν οὐδέν αἰσθητόν ἀΐδιον˙ τό δέ τῆς θεότητος φῶς, ὅ καί δόξα τοῦ Θεοῦ καλεῖται πολλαχοῦ, προαιώνιόν τε καί ἀτελεύτητόν ἐστιν. Οὐκ ἄρα αἰσθητόν.

Εἰ δέ μή αἰσθητόν, εἰ καί ὀφθαλμός λαβεῖν αὐτό οἱ ἀπόστολοι κατηξιώθησαν, ἀλλ᾽ ἑτέρᾳ τινί δυνάμει, καί οὐχί τῇ αἰσθητικῇ˙ διό καί τήν λαμπρότητα τοῦ προσώπου Ἰησοῦ ἄρρητον καί ἀπρόσιτον καί ἄχρονον οἱ θεολόγοι πάντες λέγουσιν, ὡς ἀπόρρητόν τι οὖσαν, ἀλλ᾽ οὐκ αἰσθητήν κυρίως, ὥσπερ καί τό φῶς, ὁ καί τῶν ἁγίων ἐστί τόπος μετά τήν ἐνθένδε ἐκδημίαν κατά τάς ἐν οὐρανῷ λήξεις, ὅπου τό φῶς, οὗ καί προοίμιον αὕτη ἡ λαμπρότης ἦν καί ἐν ἀρραβῶνος μέρει τοῖς ἁγίοις δέδοται ἐνταῦθα. Εἰ γάρ καί φωτωνυμικῶς καλεῖται ταῦτα πάντα καί δοκεῖ αἰσθήσει ὑποπίπτειν παραδόξως ἔστιν ὅτε, ἀλλά καί νοῦ ὑψηλότερά ἐστι καί τῆς καθ᾽ ἑαυτά ἀληθείας ἀποδεούσας ἔχει τάς ἐπωνυμίας, πῶς οὖν αἰσθητά κυρίως; Καί μή, ὑπέρ τῶν κεκοιμημένων εὐχάς ἱεράς ποιούμενοι, «κατάταξον αὐτῶν τάς ψυχάς» πρός τήν θεαρχικήν ἐκτενῶς βοῶμεν ἀγαθότητα «ἐν τόπῳ φωτεινῷ». Τίς οὖν χρεία ταῖς ψυχαῖς τοῦ αἰσθητοῦ φωτός; Τίς δ᾽ ἆρ᾽ ἀνία ταύταις κἀκ τοῦ ἐναντίου μέν, αἰσθητοῦ δ᾽ ὁμοίως σκότους; Ὁρᾷς ὡς οὐδέν τῶν τοιούτων κυρίως αἰσθητόν; Ὅτι δ᾽ οὐδέ ἁπλῶς ἄγνοια ἡ γνῶσις ταῦτα,

πρότερον ἐδείξαμεν, ἡνίκα καί περί τοῦ ἡτοιμασμένου σκοτεινοῦ πυρός τῷ δαιμονίῳ φύλῳ ὑπεμνήσαμεν. Ἐχρῆν οὖν καί περί τῆς ἐν Θαβώρ ἀπορρήτου Ἰησοῦ φωτοφανείας, μή λογισμοῖς δειλοῖς, ἀνθρωπίνοις δηλονότι, καί ἐπισφαλέσιν ἐπινοίαις ἀποφαίνεσθαι, ἀλλά πειθαρχεῖν ταῖς πατερικαῖς φωναῖς καί τήν ἐν καθαρότητι (σελ. 210) καρδίας ἀκριβῆ διά τῆς πείρας ἀναμένειν εἴδησιν. Αὕτη γάρ τήν πρός τό φῶς ἐκεῖνον ἕνωσιν ἱερουργοῦσα, μυστικῶς ἐκδιδάσκει τούς εὐμοιρηκότας ὅτι τό φῶς τοῦτο τῶν ὄντων ἐστίν οὐδέν, ὡς τά ὄντα πάντα ὑπερέχον. Πῶς οὖν τό ὑπέρ τά ὄντα πάντα αἰσθητόν; Τί δέ τῶν αἰσθητῶν οὐ κτίσμα; Πῶς δέ τό κτίσμα ἡ λαμπρότης τοῦ Θεοῦ; Οὐκ ἄρα αἰσθητή κυρίως.

Ὁ μέγας Μακάριος, «ὅταν ἡ ψυχή», φησί, «φόβῳ καί ἀγάπῃ καί αἰσχύνῃ, ὡς καί ὁ ἄσωτος υἱός, ἐπιστρέψῃ πρός τόν ἴδιον δεσπότην καί Πατέρα καί Θεόν, προσδέχεται αὐτήν, μή λογιζόμενος τά παραπτώματα αὐτῆς, καί δίδωσιν αὐτῇ σχολήν δόξης, τοῦ φωτός τοῦ Χριστοῦ». Τίς δ᾽ ἄλλη δόξα καί φῶς ἐστι Χριστοῦ ἤ ἥνπερ διαγρηγορήσας εἶδεν ὁ Πέτρος «σύν αὐτῷ ὤν ἐν τῷ ὄρει τῷ ἁγίῳ»; Πῶς οὖν στολή ψυχῆς τοῦτο γένοιτ᾽ ἄν, εἴπερ αἰσθητόν; Ἀλλαχοῦ δ᾽ ὁ αὐτός θεολόγος «ἐπουράνιόν» φησι «τουτί τό φῶς». Τί τοίνυν ἐπουράνιον τῶν αἰσθητῶν; Ἀλλαχοῦ δ᾽ αὖ «τό φύραμα τῆς ἀνθρωπίνης φύσεως, ὅπερ ὁ Κύριος ἀνέλαβεν, ἐκάθησε», φησίν, «ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν οὐρανοῖς, πλῆρες δόξης, οὐκέτι μόνῳ τῷ προσώπῳ, ὡς ὁ Μωϋσῆς, ἀλλ᾽ ὅλῳ τό σώματι». Ἆρ᾽ οὖν ἐκεῖ μάτην φαίνει, μηδενός ἀντιλαμβανομένου τοῦ φωτός ἐκείνου; Μάτην γάρ, εἴπερ αἰσθητόν. Ἤ τοῦτό ἐστιν ὡς ἀληθῶς ἡ τῶν πνευμάτων τροφή, τῶν τε ἀγγέλων καί τῶν δικαίων; Διό καί προσευχόμενοί φαμεν ὑπέρ τῶν κεκοιμημένων πρός Χριστόν κατατάξαι τάς ψυχάς αὐτῶν ἔνθα ἐπισκοπεῖ τό φῶς τοῦ προσώπου αὐτοῦ. Πῶς οὖν ἀπολαύσονται ψυχαί, πῶς δέ καί ὅλως ἐνσκηνώσουσιν αἰσθητῶς ἐπιλάμποντι φωτεῖ; Ὁ δέ μέγας Βασίλειος τούς τηνικαῦτα καθαρούς τήν καρδίαν, κατά τήν διά σαρκός δεσποτικήν (σελ. 212) ἐπιφάνειαν, ὁρᾶν φησι διηνεκῶς τήν δύναμιν ταύτην ἐκ τοῦ προσκυνητοῦ διαυγάζουσαν σώματος. Πῶς οὖν αἰσθητόν φῶς, τό διά καθαρότητος τῆς καρδίας ὁρώμενον; «Χριστός δ᾽ ἐνί σκοπιῇ σέλας ἄπλετον εἴδεος ἧκεν», κατά τόν θεῖον ᾠδικόν Κοσμᾶν. Πῶς οὖν ἄπλετον εἴπερ αἰσθητόν;

Στέφανος δέ ὁ μετά Χριστόν ὑπέρ Χριστοῦ μαρτυρήσας ἀτενίσας εἶδε τούς οὐρανούς ἀνεῳγμένους καί δόξαν ἐν αὐτοῖς Θεοῦ καί τόν

Χριστόν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ. Ἔστι τοίνυν αἰσθητικήν δύναμιν μέχρις αὐτῶν φθάνειν τῶν ὑπερουρανίων; Ἀλλά μήν οὗτος κάτωθεν ἐκεῖσε ἀπό γῆς ἑώρα, καί τό μεῖζον ὡς οὐ τόν Χριστόν μόνον, ἀλλά καί τόν αὐτοῦ Πατέρα. Πῶς γάρ ἄν ἐκ δεξιῶν αὐτοῦ ἑώρα τόν υἱόν, εἰ μή καί αὐτόν ἐκεῖνον ἔβλεπεν; Ὁρᾷς ὅτι ὁρᾶται ὁ ἀόρατος ὑπό τῶν κεκαθαρμένων τήν καρδίαν, ἀλλ᾽ οὐκ αἰσθητῶς, οὐδέ νοητῶς, οὐδέ ἀφαιρεματικῶς, ἀλλ᾽ ἀρρήτῳ τινί δυνάμει; Τό μέν γάρ τοῦ ὕψους ὑπερβάλλον καί ἡ δόξα τοῦ Πατρός οὐδαμῶς προσίεται τήν αἴσθησιν. Συμβολική δ᾽ ἡ στάσις ἦν, ἀλλ᾽ οὐχ ἡ ὅρασις. Ἀλλά καί αὐτή ἡ ἐκ δεξιῶν στάσις, καίτοι σύμβολον οὖσα τοῦ παγίου καί ἀναλλοιώτου καί τῆς μονιμωτάτης τῆς θείας φύσεως ἱδρύσεως, ὅ ἦν ἐκείνη, τοῦτο καί ἀρρήτως ἑωρᾶτο. Οὐ γάρ ὑπεκρίνετο τήν ἐκ δεξιῶν στάσιν ὁ μονογενής, ἵνα τι δείξῃ διά τούτου ἕτερον, ἀλλ᾽ ἀεί ὤν τοῦ πατρός ἐκ δεξιῶν, τήν οἰκείαν δόξαν εὐδόκησεν, ἔτι ὄντι ἐν σαρκί, τῷ καί τήν ψυχήν αὐτοῦ ὑπέρ τῆς ἐκείνου δόξης προεμένῳ. Ἀφαιρεματικῶς δέ οὐκ ἔνι τι ὁρᾶν, οὐδέ νοεῖν˙ ἐκεῖνος δέ ἑώρα δόξαν Θεοῦ. Νοητή δ᾽ εἴπερ ἦν ἡ ὅρασις ἐκείνη, ἤ κατ᾽ αἰτίαν ἤ κατά ἀναλογίαν, καί ἡμεῖς λοιπόν ὁμοίως βλέπομεν ἐκείνῳ, καί γάρ καί ἡμεῖς ἀναλογιζόμεθα τήν ἐν οὐρανοῖς ἐκ δεξιῶν τῆς μεγαλειότητος στάσιν καί καθέδραν τοῦ ἐνανθρωπήσαντος Θεοῦ. Πῶς δέ καί μή πρότερον καί ἀεί διενοεῖτο τοῦτο ὁ τοῦ εὐαγγελίου μαθητής, ἀλλά τότ᾽ ἐνόησεν αὐτό; «Ἰδού φάρ, φησί, «βλέπω τούς οὐρανούς ἀνεῳγότας καί τόν υἱόν τοῦ ἀνθρώπου (σελ. 214) ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ». Τίς δέ καί χρεία ἦν αὐτόν τε ἀτενίσαι εἰς τόν οὐρανόν καί τούς οὐρανούς διανοιγῆναι, εἰ γνῶσις ἦν ἡ ὅρασις μόνη, νοητῶς προσγινομένη;

Πῶς οὖν ἑώρακε τοῦθ᾽ ὁ πρωτομάρτυς ἐκεῖνος, εἰ μήτε νοητῶς εἶδε, μήτε αἰσθητῶς, μήτ᾽ ἐξ ἀποφάσεως, μήτε κατ᾽ αἰτίαν ἤ ἀναλογίαν διανοούμενος τά θεῖα; Ἐγώ σοι παρρησίᾳ ἐρῶ˙ πνευματικῶς, ὡς καί τούς τό ἀκήρατον φῶς δι᾽ ἀποκαλύψεως ὁρῶντας εἶπον, ὅ καί πολλοί τῶν πατέρων πρότερον ἐξεῖπον. Τοῦτο γοῦν καί αὐτός ὁ θεῖος ἐδίδαξε Λουκᾶς εἰπών˙ «ὑπάρχων δέ Στέφανος πλήρης πίστεως καί Πνεύματος ἁγίου, ἀτενίσας εἰς τούς οὐρανούς εἶδε δόξαν Θεοῦ». Καί σύ τοίνυν, ἄν πλήρης πίστεως καί Πνεύματος ἁγίου καταστῇς, τά καί νῷ ἀόρατα πνευματικῶς θεάσῃ˙ εἰ δέ κενός εἶ παντάπασι τῆς πίστεως, οὐδέ τοῖς μαρτυροῦσιν ὅ ἑωράκασι πιστεύσεις. Πίστιν γάρ ἔχων μετρίαν γοῦν, εὐλαβῶς ἀκούσῃ τῶν διηγουμένων κατά τό ἐκχωροῦν ἐκ τῆς πείρας τά ἀπόρρητα, μήτε

πρός τά αἰσθητά ταῦτα κατασπῶν ἤ τά νοητά, εἰ καί ὁμωνύμως λέγονται, καί οὕτω κατά τῆς ἀληθείας ἀγωνιζόμενος ὡς πλάνης, μήτε τήν ἡμῖν δεδομένην ἀθετῶν ἀπόρρητον χάριν τοῦ Θεοῦ.

Τοιοῦτον γάρ τί ἐστι καί ἡ ἐξαιρέτως ἀληθής ὑπό τῶν πατέρων ὀνομαζομένη θεωρία καί ἡ τῆς εὐχῆς ἐγκάρδιος ἐνέργεια καί ἡ ἐξ αὐτῆς πνευματική θέρμη τε καί ἡδονή κάι τό ἐκ τῆς χάριτος θυμῆρες δάκρυον. Τά γάρ τούτων αἴτια νοερᾷ κυρίως καταλαμβάνεται αἰσθήσει. Λέγω δέ αἰσθήσει, διά τό τρανόν καί ἐναργές καί ἀπλανές πάντῃ καί ἀφάνταστον τῆς καταλήψεως, καί πρός τούτοις ὅτι καί τό σῶμα μεταλαμβάνει πως τῆς κατά νοῦν ἐνεργουμένης χάριτος καί μεταρρυθμίζεται πρός ταύτην καί λαμβάνει τινά συναίσθησιν αὐτό τοῦ κατά ψυχήν ἀπορρήτου μυστηρίου, καί τοῖς κεκτημένους αἴσθησίν τινα παρέχει τῶν ἐν αὐτοῖς ἐνεργουμένων, ἔξωθεν αἰσθητῶς κατά τόν καιρόν ἐκεῖνον βλέπουσι τούς κε-. Οὕτως Μωσέως ἔλαμψε τό πρόσωπον, τῆς ἐντός λαμπρότητος (σελ. 216) τοῦ νοῦ κἀπί τό σῶμα περικεχυμένης, καί τοσοῦτον ἔλαμψεν ὡς μηδέ τούς αἰσθητῶς προσβλέποντας αὐτῷ πρός τήν περιουσίαν τῆς αὐγῆς ἐκείνης ἀτενίζειν ἔχειν. Οὕτως ὤφθη τό αἰσθητόν πρόσωπον Στεφάνου ὡσεί πρόσωπον ἀγγέλου˙ καί γάρ ἔνδοθεν αὐτῷ ὁ νοῦς ἀγγελομιμήτως καί ἀγγελοπρεπῶς, εἴτε κατ᾽ ἐπιβολήν εἴτε κατά παραδοχήν, ἑνούμενος τῷ ὑπερανῳκισμένῳ τοῦ παντός φωτί κατά μέθεξιν ἀπόρρητον, ἀγγελοειδής ἐγίγνετο. Οὕτως ἡ αἰγυπτία, μᾶλλον δ᾽ οὐρανία, Μαρία μετέωρος γέγονε καί τό σῶμα εὐχομένη τοπικῶς καί αἰσθητῶς, καί γάρ, ὑψουμένου τοῦ νοῦ, συνανυψώθη καί τό σῶμα καί τῆς γῆς ἀπαναστάν ὤφθην ἐναέριον.

Οὕτω τῆς ψυχῆς ἐνθουσιώσης καί οἱονεί συγκινουμένης τῷ ἀσχέτῳ ἔρωτι τοῦ μόνου ἐφετοῦ, καί ἡ καρδία συγκινεῖται, σκιρτήμασι πνευματικοῖς τήν κοινωνίαν τῆς χάριτος ἐνδεικνυμένη καί ὥσπερ ἐνθένδε ὁρμωμένη πρός τήν μετά σώματος ἐν νεφέλαις κατά τό ἐπηγγελμένον τοῦ Κυρίου ὑπαντήν. Οὕτως ἐν τῇ συντόνῳ προσευχῇ, τοῦ νοητοῦ πυρός ἀναφανέντος καί τῆς νοητῆς λαμπάδος ἀναφθείσης καί εἰς μετέωρον φλόγα διά πνευματικῆς θεωρίας τοῦ νοῦ τόν πόθον ἀνεγείραντος, καί τό σῶμα παραδόξως κουφίζεταί τε καί διαθερμαίνεται, ὡς ἀπό πυρός αἰσθητῆς καμίνου τοῖς ὁρῶσιν ἐξιέναι δοκεῖν, κατά τόν συγγραφέα τῆς πνευματικῆς ἀναβάσεως. Ἐμέ δέ καί ὁ κατά τήν προσευχήν ἱδρώς Χριστοῦ τήν ἐγγινομένην αἰσθητήν τῷ σώματι διδάσκει θέρμην ἐκ μόνης τῆς ἐκτενοῦς πρός τόν Θεόν

δεήσεως. Τί δή πρός ταύτην φήσουσιν οἱ δαιμονιώδη τήν ἐκ προσευχῆς ἀποφαινόμενοι θέρμην; Ἤ καί τοῦτο διδάξουσι, μή ἐναγωνίως, μηδ᾽ ἐκτενῶς προσεύχεσθαι, ἵνα μή, κατά λόγον τοῦ κατά ψυχήν ἀγῶνος, καί τό σῶμα τήν ἀπηγορευμένην αὐτοῖς ἐπιδέξηται (σελ. 218) θέρμην; Ἀλλ᾽ οὗτοι μέν ἔστωσαν διδάσκαλοι τῆς μή πρός Θεόν ἤ τό θεομίμητον φερούσης, μηδέ μετασκευαζούσης πρός τό κρεῖττον τόν ἄνθρωπον εὐχῆς. Ἡμεῖς δ᾽ ἴσμεν ὡς καί τήν ἡδονήν, πρός ἥν φεῦ ηὐτομολήσαμεν τῆς ἐντολῆς ἀφηνιάσαντες διά τῆς ἑκουσίου κατά τήν ἐγκράτειαν ὀδύνης ἀπωθούμενοι, κατά τήν προσευχήν αἰσθήσει νοερᾷ γευόμεθα τῆς θείας καί ἀμιγοῦς ὀδύνης ἡδονῆς, ἧς θαυμασίως καί τό σῶμα πρός τόν ἀπαθῆ καί θεῖον ἔρωτα μετασκευασαμένης ὁ ἐν πείρᾳ γεγονώς βοᾷ πρός τόν Θεόν «ὡς γλυκέα τῷ λάρυγγί μου τά λόγιά σου, ὑπέρ μέλι τῷ στόματί μου» καί «ὡς ἐκ στέατος καί πιότητος ἐμπλησθείη ἡ ψυχή μου καί χείλει ἀγαλλιάσεως αἰνέσει τό στόμα μου». Μεθ᾽ ἥν καί δι᾽ ἧς οἱ ἀναβάσεις ἐν καρδίᾳ διατιθέμενοι τῆς θεοειδοῦς ῥᾳστώνης καί ἀγγελικῆς εὐπαθείας ἐν μεθέξει γίνονται, «κατά τάς θεουργούς τῶν θείων ἐλλάμψεων ἐποφοιτήσεις» ὡς Διονύσιος ὁ μέγας εἶπεν.

Εἰ δέ καί τό κατά Θεόν καθάρσιον πένθος οὐκ ἐπί τήν ψυχήν μόνον τελεῖται τῶν ἀγωνιζομένων, ἀλλ᾽ ἀπό ταύτης καί ἐπί τό σῶμα καί τήν κατά σῶμα διαβαίνει αἴσθησιν (καί δεῖγμα τούτου ἐναργές τό κατώδυνον τοῖς ἐφ᾽ ἁμαρτήσασι πενθοῦσι δάκρυον), διατί μή καί τά γῆς κατά πνεῦμα θείας ἡδονῆς τεκμήρια, ταῖς χωρούσαις τοῦ σώματος αἰσθήσεσιν ἐνσημαινόμενα, εὐλαβῶς παραδεξαίμεθα; Τί δέ καί ὁ Κύριος, οὐ διά τοῦτο μακαρίζει τούς πενθοῦντας, ἐπειδή παρακληθήσονται, τουτέστι τήν χαράν, τόν καρπόν ἐν ἑαυτοῖς ἕξουσι τοῦ πνεύματος; Ἀλλά τῆς παρακλήσεως ταύτης καί τό σῶμα μεταλαγχάνει πολυτρόπως. Ὧν τούς μέν ἴσασιν οἱ ἐν πείρᾳ γεγονότες, οἱ δέ καί τοῖς ἔξωθεν ὁρῶσι δῆλοι, τό προσηνές ἦθος, τό γλυκύ δάκρυον, ἡ χαρίτων γέμουσα τοῖς προσιοῦσιν ἔντευξις, κατά τόν ἐν Ἄσμασιν εἰπόντα, (σελ. 220) «κηρία μέλιτος ἀπό στόματός σου στάζουσι, νύμφη». Λαμβάνει γάρ οὐχ ἡ ψυχή μόνον τόν ἀρραβῶνα τῶν μελλόντων ἀγαθῶν, ἀλλά καί τό σῶμα τό συνδιανύον τόν πρός ταῦτα τοῦ εὐαγγελίου δρόμον. Ὁ δέ μή τοῦτο λέγων, καί τήν ἐν τῷ μέλλοντι αἰῶνι συμμεθέξει τότε τῶν ἀπορρήτων ἐκείνων ἀγαθῶν, καί νῦν δήπου συμμεθέξει καταλλήλως ἑαυτῷ τῆς ἐνδιδομένης πρός Θεοῦ χάριτος τῷ νῷ. Διά ταῦτα γοῦν αἰσθήσει καταλαμβάνεσθαι φαμέν

αὐτά, προστίθεμεν δέ «τό νοερᾷ» διά τε τό ὑπέρ αἴσθησιν εἶναι ταῦτα φυσικήν καί διά τό πρώτως τόν νοῦν εἶναι τούτων δεκτικόν καί διά τήν πρός τόν πρῶτον νοῦν ἀνάτασιν τοῦ ἡμετέρου νοῦ, οὐ κατά τό ἐγχωροῦν μεταλαγχάνων θείως, αὐτός τε καί δι᾽ αὐτοῦ τό συνημμένον σῶμα πρός τό θειότερον μετασκευάζεται, δεικνύς ἐντεῦθεν καί προοιμιαζόμενος τήν ὑπό τοῦ πνεύματος ἐπί τοῦ μέλλοντος αἰῶνος τῆς σαρκός κατάποσιν. Οὐ γάρ οἱ ὀφθαλμοί τοῦ σώματος, ἀλλ᾽ οἱ τῆς ψυχῆς τήν ὁρῶσαν ταῦτα δύναμιν τοῦ πνεύματος λαμβάνουσι˙ διά ταῦτα νοεράν αὐτήν καλοῦμεν, ὑπέρ νοεράν οὖσαν.

Πρός δέ τούτοις, ὡς ἄν καί τῶν ἀκουόντων τήν διάνοιαν ἀπείρξωμεν τοῦ μή προσύλους καί σωματικάς οἴεσθαι τάς πνευματικάς καί ἀπορρήτους ἐνεργείας ταύτας, ὅπερ καί οὗτοι πεπόνθασιν ἀρτίως, οἵ βεβήλοις καί ἀντέροις ἀκοαῖς καί διανοίᾳ πιστεύειν οὐκ εἰδυίᾳ καί στοιχεῖν ταῖς πατερικαῖς φωναῖς ἀνοσίως τά τῶν ὁσίων ἐκλαβόμενοι, κατεπάτησάν τε ταῦτα καί τούς ταῦτα τούτοις προδείξαντας διέρρηξαν, οὐ πειθόμενοι τῷ μεγάλῳ Μακαρίῳ, ἴσως δέ μηδέ πυθόμενοι αὐτοῦ λέγοντος˙ «ἄψαυστά ἐστι τοῖς ἀπείροις τά πνευματικά˙ ψυχῇ δέ ἁγίᾳ καί πιστῇ πρός κατάληψιν ἔρχεται ἡ τοῦ ἁγίου Πνεύματος κοινωνία, καί οἱ ἐπουράνιοι τοῦ Πνεύματος θησαυροί τῷ πείρᾳ παραλαβόντι μόνῳ γίνονται καταφανεῖς, (σελ. 222) ἀμυήτῳ δέ οὐδέ ἐννοῆσαι δυνατόν τό παράπαν». Εὐλαβῶς τοίνυν περί αὐτῶν˙ ἄκουε, μέχρις ἄν καί σοί γένοιτο πιστεύοντι καταξιωθῆναι τούτων τυχεῖν˙ τότε γάρ εἴσῃ αὐτῇ πείρᾳ τῶν τῆς ψυχῆς ὀφθαλμῶν οἵων ἀγαθῶν καί μυστηρίων ψυχαί χριστιανῶν κἀνταῦθα κοινωνεῖν δύνανται. Ὀφαλμούς δέ ψυχῆς ἀκούων αὐτῇ πείρᾳ γινώσκοντας τούς ἐπουρανίους θησαυρούς, μή τήν διάνοιαν νομίσῃς. Αὕτη γάρ καί τά αἰσθητά καί τά νοερά ἐπίσης διανοητά δι᾽ ἑαυτῆς ποιεῖ. Καθάπερ δέ ἥν οὔπω εἶδες πόλιν, εἰ διανοῇ περί αὐτῆς, οὐ τῷ διανοεῖσθαι ταύτην ἐν πείρᾳ γέγονας αὐτῆς, οὕτω καί περί Θεοῦ καί τῶν θείων, οὐ τῷ διανοεῖσθαι ταῦτα καί θεολογεῖν ἐν πείρᾳ τούτων γίνῃ. Καί καθάπερ χρυσόν, εἰ μή αἰσθητῶς κτήσῃ καί αἰσθητῶς ἔχεις ταῖς χεροῖν καί αἰσθητῶς ὁρᾷς, κἄν μυριάκις νόημα χρυσοῦ ἐν διανοίᾳ λάβῃς, ἥκιστα κατέχεις ἤ ὁρᾷς ἤ κέκτησαι χρυσόν, οὕτω κἄν μυριάκις περί τῶν θείων θησαυρῶν διανοήσῃ, μή πάθῃς δέ τά θεῖα, μηδέ ἴδῃς τοῖς νοεροῖς καί ὑπεράνω τῆς διανοίας ὀφθαλμοῖς, οὔτε ὁρᾷς, οὔτε ἔχεις οὔτε κέκτησαί τι τῶν θείων ἀληθῶς. Νοεροῖς δέ εἶπον

ὀφθαλμοῖς, ὡς αὐτοῖς ἐγγινομένης τῆς τοῦ Πνεύματος δυνάμεως, δι᾿ ἧς ὁρᾶται ταῦτα, ἐπεί καί ὑπέρ τούς νοερούς ὀφθαλμούς ἐστι τό πανίερον ἐκεῖνο θέαμα τοῦ θειοτάτου καί ὑπερφαοῦς φωτός.

Διό καί ὁ Κύριος οὐ πάντας, ἀλλά τούς ἐκκρίτους πρός τήν ἐν Θαβώρ γεγεννημένην ἄρρητον καί ἀόρατον αἰσθητικῇ δυνάμει πνευματικήν ἐκείνην συνεκάλεσεν ὄψιν. Εἰ γάρ καί ὁ ἐξ Ἀρείου Πάγου Διονύσιος ὁ μέγας ἐν τῷ μέλλοντι αἰῶνι «τῇ μέν ὁρατῇ» φησι «Χριστοῦ θεοφανείᾳ» περιαυγάζεσθαι ἡμᾶς, «ὡς τούς μαθητάς ἐν τῇ μεταμορφώσει, τῆς δέ νοητῆς φωτοδοσίας ἐν ἀπαθεῖ καί ἀΰλῳ τῷ νῷ μετέχειν, καί τῆς ὑπέρ νοῦν ἑνώσεως ἐν θειοτέρᾳ μιμήσει τῶν ὑπερουρανίων νόων», ἀλλ᾿ οὐδ᾿ οὕτως ἡμεῖς οὕτως αἰσθητήν (σελ. 224) ὑποληψόμεθα τήν ἐκ τοῦ προσκυνητοῦ ἐκείνου σώματος ἀπαστράπτουσαν αὐγήν ὡς αἰσθητηρίοις ἀντιληπτήν εἶναι μή δυνάμει λογικῆς ψυχῆς ἀντιλαμβανομένοις, ᾗ μόνη δύναμις δεκτική ἐστι τῆς τοῦ Πνεύματος δυνάμεως, δι᾿ ἧς τό φῶς τῆς χάριτος ὁρᾶται. Ἡ δέ μή διά τοιούτων αἰσθητηρίων αἰσθητή, οὐδέ αἰσθητή κυρίως˙ καί αὐτός δέ ὁ ἅγιος τοῦτ᾿ ἐκεῖ τοῖς νοῦν ἔχουσιν ὑπέδειξεν. Ἐπεί γάρ ἐν τῷ μέλλοντι αἰῶνι περιαυγάζεσθαί φησιν ἡμᾶς τούτῳ τῷ φωτί, ὅπου μήτε φωτός μήτ᾿ ἀέρος μήτε τινός ἑτέρου χρεία τῶν κατά τόν παρόντα βίον, ὡς ἐκ τῶν θεοπνεύστων διδασκόμεθα Γραφῶν, «ἔσται γάρ τότε ὁ Θεός τά πάντα ἐν πᾶσι» κατά τόν ἀπόστολον, οὐδέ γοῦν αἰσθητοῦ τότ᾿ ἄρα δεησόμεθα φωτός˙ εἰ γάρ πάνθ᾿ ἡμῖν ἔσται τότε ὁ Θεός, θεῖον ἄρα καί τό φῶς ἐκεῖνο. Πῶς οὖν αἰσθητόν κυρίως; Ἀλλά καί τό κατά τήν τῶν ἀγγέλων θειοτέραν μίμησιν προσκείμενον καί κατά τῶν τριῶν τρόπων λέγεσθαι δυνάμενον, καί τούς ἀγγέλους δείκνυσιν ἐκείνου τοῦ φωτός ἀντιλαμβανομένους. Πῶς οὖν, εἴπερ αἰσθητόν; Καί μήν, εἴπερ αἰσθητόν, δι᾿ἀέρος ὁρατόν˙ οὐκοῦν οὐ κατά τό μέτρον ἕκαστος τῆς οἰκείας ἀρετῆς καί τῆς ἀπό ταύτης καθαρότητος, ἀλλά κατά τό μέτρον τῆς περί τόν ἀέρα καθαρότητος, τηλαυγέστερον ἤ ἀμυδρότερον ὄψονται τό φῶς. Εἰ δέ καί «οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος», ἀναλόγως καί τούτων ἕκαστος, ταῖς μέν ἀγαθοεργίαις οὔ, τῇ δέ τοῦ περιέχοντος ἀέρος καθαρότητι, λαμπρότερος ἤ ἀμαυρότερος φανεῖται. Πρός δέ καί ὀφθαλμοῖς αἰσθητοῖς ἔσται ληπτά νῦν καί εἰς ἔπειτα τά τοῦ μέλλοντος αἰῶνος, ἅ μή μόνον «ὀφθαλμός οὐκ εἶδεν οὐδέ οὖς ἤκουσεν», ἀλλ᾿ οὐδ᾿ «ἐπί καρδίαν ἀναβέβηκεν ἀνθρώπου», λογισμῶν ἐφόδοις τοῖς ἀκαταλήπτοις ἐμβατεύοντος. Πῶς δέ καί τοῖς ἁμαρτωλοῖς ἀόρατον, εἴπερ αἰσθητόν; Ἤ καί τό διαφράττον ἔσται

τότε καί σκιαί καί κῶνοι, τούτοις ἑπομένως ἐκλειπτικοί τε σύνδεσμοι καί φωτισμῶν κύκλοι πολυσχήμονες, ὡς καί τῆς πολυασχόλου δεῖν τῶν ἀστρολόγων καταιότητος κατά τήν ἐνθεωρουμένην τῷ ἀκαταλήκτῳ τῶν αἰώνων ζωήν;

(σελ. 226) Ἀλλά πῶς αἴσθησις σωματική φωτός ἀντιλήψεται μή κυρίως αἰσθητοῦ; Τῇ τοῦ παντοδυνάμου Πνεύματος δυνάμει, καθ᾽ ἥν καί οἱ πρόκριτοι τῶν ἀποστόλων τοῦτο κατεῖδον ἐν Θαβώρ, οὐκ ἀπό τῆς ἐν ἑαυτῇ φερούσης τόν υἱόν σαρκός μόνον ἀποστράπτον, ἀλλά καί ἀπό τῆς ἐν ἑαυτῇ φερούσης τόν Πατέρα τοῦ Χριστοῦ νεφέλης. Ἄλλως τε καί τό σῶμα τότε πνευματικόν, ἀλλ᾽ οὐ ψυχικόν ἔσται, κατά τόν ἀπόστολον˙ «σπείρεται» γάρ, φησί, «σῶμα ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν˙ πνευματικόν δ᾽ ὄν καί πνευματικῶς ὁρῶν τῆς θείας εἰκότως ἀντιλήψεται αὐγῆς. Καί ὥσπερ νῦν ἔργον ἐστίν ἰδεῖν ὡς ἔχομεν νοεράν ψυχήν, καθ᾽ ἑαυτήν ὑφεστάναι δυναμένην διά τήν παχεῖαν ταύτην σάρκα καί θνητήν καί ἀντίτυπον ἐπηλυγάζουσαν καί κατασπῶσαν, σωματοειδῆ τε καί φανταστικήν μάλιστα καθιστῶσαν τήν ψυχήν, διό καί τήν κατά νοῦν νοεράν ἀγνοοῦμεν αἴσθησιν, οὕτως ἐν τῇ τοῦ μέλλοντος αἰῶνος ἐκείνῃ μακαριωτάτῃ διαγωγῇ τοῖς υἱοῖς τῆς ἀναστάσεως ὡσανεί τό σῶμα κρυβήσεται εἰς ἀγγέλων κατά τό εὐαγγέλιον τοῦ Χριστοῦ μεταποιηθεῖσιν ἀξίαν˙ διαλεπτυνθήσεται γάρ, ὡς μηδ᾽ ὕλην ὅλως εἶναι δοκεῖν, μηδ᾽ ἐπιπροσθεῖν ταῖς νοεραῖς ἐνεργείαις, ἐκνικήσαντος τοῦ νοῦ. Διά τοῦτο καί σωματικαῖς αἰσθήσεσιν ἀπολαύσονται τοῦ θεϊκοῦ φωτός.

Καί τί λέγω τό συγγενές πρός τήν νοεράν φύσιν τοῦ τότε σώματος; Ὁ γάρ ἅγιος Μάξιμος, «ἡ ψυχή», φησί, «γίνεται Θεός τῇ μεθέξει τῆς θεϊκῆς χάριτος, πασῶν τῶν κατά νοῦν τε καί αἴσθησιν αὐτή τε παυσαμένη καί τάς τοῦ σώματος συναποπαύσασα φυσικάς ἐνεργείας, συνθεωθέντος αὐτῇ κατά τήν ἀναλογοῦσαν αὐτῷ μεθέξιν τῆς θεώσεως, ὥστε μόνον τόν Θεόν διά τε τῆς ψυχῆς καί τοῦ σώματος τότε φαίνεσθαι, νικηθέντων αὐτῶν τῇ ὑπερβολῇ τῆς δόξης τῶν φυσικῶν (σελ. 228) γνωρισμάτων». Ἐπεί τοίνυν, ὅ καί τήν ἀρχήν εἶπον, τοῖς κτιστοῖς ἀόρατος ὁ Θεός, ἑαυτῷ δέ οὐκ ἀόρατος, τότε δέ οὐ μόνον διά τῆς καθ᾽ ἡμᾶς ψυχῆς ἀλλά καί διά τοῦ σώματος, ὤ τοῦ θαύματος, ὁ Θεός ὁ βλέπων ἔσται, διά τοῦτο καί διά σωματικῶν ὀργάνων τότε τό θεϊκόν καί ἀπρόσιτον φῶς τηλαυγῶς ὀψόμεθα καί τῆς ἐσομένης εἰς ἡμᾶς μεγαλοδωρεᾶς ταύτης τοῦ Θεοῦ τόν ἀρραβῶνα καί τό προοίμιον ἐν Θαβώρ τοῖς ἀποστόλοις ὁ Χριστός ὑπέδειξε ἀρρήτως. Ἡ γοῦν ὑπέρ

πάντα λόγον καί πᾶσαν ὅρασιν τῆς θεότητος ἀκτίς, πῶς ἄν εἴη αἰσθητή; Συνῆκας ὅτι τό περιαστράψαν φῶς ἐν Θαβώρ τούς ἀποστόλους οὐκ αἰσθητόν κυρίως ἦν;

Οὐ μήν ἀλλ᾽ εἴπερ αἰσθητοῖς ὤφθη ὀφθαλμοῖς τό θεῖον καί ὑπέρ πᾶσαν αἴσθησιν ὑπάρχον φῶς (ὥσπερ οὖν καί ὤφθη, καθάπερ καί οἱ τοῖς πνευματικοῖς ἐκείνοις ἀνδράσιν ἀντιλέγοντές φασι, κατά τοῦτ᾽ ἐκείνοις καί ἡμῖν ὁμολογοῦντες)˙ εἴπερ οὖν τό φῶς τό θεῖον σωματικοῖς ὤφθη ὀφθαλμοῖς, διατί μή καί νοεροῖς ὀφθαλμοῖς ὀφθήσεται; Ἤ πονηρόν τι πρᾶγμα ἡ ψυχή καί ἀσυνδύαστον τῷ ἀγαθῷ καί ἀνεπαίσθητον αὐτοῦ, ὅ μηδέ τῶν παντόλμων κακοδόξων πώποτέ τις εἴρηκεν; Ἤ καλόν μέν, κρεῖττον δέ τό σῶμα ταύτης; Πῶς γάρ οὐχ ἧττον ἡ ψυχή τοῦ σώματος εἴπερ τό μέν σῶμα μεταληπτικόν καί ἀντιληπτικόν ἐστι φωτός Θεοῦ, ἡ ψυχή δ᾽ οὐχί; Πῶς δ᾽ οὐ τῆς ψυχῆς συγγενέστερόν τε καί προσεχέστερον καί μᾶλλον ἐγγίζον Θεῷ τό σῶμα τουτί τό ὑλικόν τε καί θνητόν, εἴπερ δι᾽ αὐτοῦ μέν αὕτη μεσιτεύοντος ἐν φωτί Θεόν ὁρᾷ, ἀλλ᾽ οὐχί τοῦτο δι᾽ αὐτῆς; Εἰ δέ καί προοίμιον τῆς ἐν δόξῃ μελλούσης ὁρατῆς Θεοῦ θεοφανείας ἡ ἐν Θαβωρίῳ τοῦ Κυρίου μεταμόρφωσις, καί ταύτην οἱ ἀπόστολοι ὀφαλμοῖς σώματος λαβεῖν κατηξιώθησαν, διατί μή καί τό προοίμιον καί τόν ἀρραβῶνα τῆς κατά νοῦν αὐτοῦ θεοφανείας ὀφθαλμοῖς νῦν λήψονται ψυχῆς οἱ κεκαθαρμένοι τήν καρδίαν; Ἐπεί δέ μή μόνον τήν ἑαυτοῦ θεϊκήν ὑπόστασιν ὁ τοῦ Θεοῦ Υἱός, βαβαί τῆς ἀνεικάστου φιλανθρωπίας, ἥνωσε τῇ καθ᾽ ἡμᾶς φύσει, καί σῶμα λαβών ἔμψυχον καί (σελ. 230) ψυχήν ἔννουν «ἐπί γῆς ὤφθη καί τοῖς ἀνθρώποις συνανεστράφη», ἀλλ᾽ ὤ θαύματος οὐδεμίαν ἀπολείποντος ὑπερβολήν, καί αὐταῖς ταῖς ἀνθρωπίναις ὑποστάσεσιν ἑνοῦται, τῶν πιστευόντων ἑκάστῳ συνανακιρνῶν ἑαυτόν διά τῆς τοῦ ἁγίου σώματος αὐτοῦ μεταλήψεως, καί σύσσωμος ἡμῖν γίνεται καί ναόν τῆς ὅλης θεότητος ἡμᾶς ἀπεργάζεται (καί γάρ ἐν αὐτῷ τῷ τοῦ Χριστοῦ σώματι «κατοικεῖ πᾶν τό πλήρωμα τῆς θεότητος σωματικῶς» πῶς οὐχί διά τῆς θεϊκῆς αὐγῆς τοῦ ἐν ἡμῖν σώματος αὐτοῦ τάς ψυχάς περιαστράψας φωτίσει τῶν ἀξίως μετεχόντων, ὡς τῶν μαθητῶν ἐν Θαβώρ καί τά σώματα ἐφώτισε; Τότε γάρ μήπω φυραθέν ἡμῶν τοῖς σώμασι τό τήν πηγήν ἔχον τοῦ φωτός τῆς χάριτος ἐκεῖνο σῶμα τῶν ἐγγιζόντων τούς ἀξίους ἔξωθεν ἐφώτιζε καί διά τῶν αἰσθητῶν ὀμμάτων ἐπί τήν ψυχήν εἰσέπεμπε τόν φωτισμόν˙ νῦν δ᾽ ἀνακραθέν ἡμῖν καί ἐν ἡμῖν ὑπάρχον εἰκότως ἔνδοθεν περιαυγάζει τήν ψυχήν.

Τί δέ; Οὐ πρόσωπον πρός πρόσωπον ἐπί τοῦ μέλλοντος αἰῶνος ὀψόμεθα τόν ἀόρατον κατά τό γεγραμμένον; Οὐκοῦν καί νῦν τούτου λαμβάνοντες τόν ἀρραβῶνά τε καί τό προοίμιον οἱ κεκαθαρμένοι τήν καρδίαν ὁρῶσι τήν αὐτοῖς ἐγγινομένην νοεράν αὐτοῦ καί ἀόρατον αἰσθήσει μόρφωσιν. Φύσις γάρ ὢν ἄϋλος ὁ νοῦς καί φῶς συγγενές, εἰ χρή λέγειν τῷ πρώτῳ καί ἀνωτάτῳ καί μεθεκτῷ πᾶσι καί ἀπολελυμένῳ τοῦ παντός φωτί, καί διά τῆς πρός τό ὄντως φῶς ὁλικῆς ἀνατάσεως, τῇ ἀΰλῳ καί ἀδιαλείπτῳ καί ἀπειλικρινημένῃ προσευχῇ, πρός αὐτόν τόν Θεόν ἀνεπιστρόφως ἀνανεύσας καί οὕτω πρός ἀγγελικήν ἤδη μετασκευασθείς ἀξίαν, ἀγγελοπρεπῶς ὑπ᾽ αὐτοῦ τοῦ πρώτου φωτός καταλαμφθείς, αὐτό φαίνεται κατά μέθεξιν, ὅ τό ἀρχέτυπον κατ᾽ αἰτίαν ἐστί, καί δι᾽ ἑαυτοῦ φαίνει τοῦ κρυφίου κάλλους ἐκείνου τήν ὡραιότητα καί τήν φανοτάτην καί ἀπρόσιτον αὐγήν, ἥν καί ὁ θεῖος ᾠδικός Δαυίδ (σελ. 232) νοερῶς αἰσθόμενος ἐν ἑαυτῷ, γηθόμενος τούς πιστούς τό μέγα τοῦτο χρῆμα καί ἀπόρρητον ἐδίδασκε λέγων˙ «ἡ λαμπρότης τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς». Τίς γάρ μή λαμπρότητα Θεοῦ ἐν ἑαυτῷ παθών τε καί ἰδών, εἶτα διαιρέσεσι καί συλλογισμοῖς καί ἀναλύσεσιν αὐτήν ζητῶν, ἀλλά μή ἐν ἁπλότητι καρδίας πιστεύων τοῖς πατράσιν, ἀκοῇ γοῦν ἀνάσχοιτό ποτε παραδέξασθαι λαμπρότητα Θεοῦ σχεῖν τινα ἀνθρώπων; Καλῶς ἄρα Ἰωάννης διά τῆς Ἀποκαλύψεως ἀπεκάλυψεν ἡμῖν ὅτι τά ἐν τῇ ψήφῳ τῇ λευκῇ, ἥν ὁ νικῶν παρά Θεοῦ λαμβάνει, γνῶναι δύναται οὐδείς, εἰ μή ὁ λαβών, μή ὅτι γάρ ὁ μή ἐσχηκώς αὐτήν οὐδέ γνῶναι δύναται αὐτήν, ἀλλ᾽ εἰ μή πιστόν ὑπέχοι τοῖς εὐμοιρηκόσιν οὖς, οὐδ᾽ εἶναι ὅλως οἴεταί τι, τήν ὄντως οὖσαν θεωρίαν ἀβλεψίαν λογιζόμενος, οὐχ ὡς ὑπέρ αἴσθησιν καί γνῶσιν οὖσαν, οἷόν τινα γνόφον ἱερόν, ἀλλ᾽ ὡς μηδαμῇ οὖσαν μηδαμῶς. Εἰ δέ πρός τῇ ἀπειρίᾳ τε καί ἀπιστίᾳ καί δεινός ᾖ κακουργεῖν, περιέργου γέμων φρονήματος, πάντολμός τις καί καταφρονητής τῶν σεβασμιωτάτων, οὐηκ ἀνυπαρξίαν μόνον αὐτῆς καταψηφίζεται, ἀλλά καί πρός δαιμονιώδη φαντασίαν, φεῦ, τήν θεϊκήν λαμπρότητα παραγνωρίζει, ὅ καί νῦν τινας λέγεις, ἀδελφέ, παθεῖν.

Καί ἡ τελευταία πρόφασις αὐτοῖς ὅτι ὁ μέν Θεός ἀόρατος, ἄγγελον δέ φωτός ὑποκρίνεται ὁ διάβολος˙ οὐδέ ταῦτο συνιέντες, ὅτι πάσης ὑποκρίσεως προϋφέστηκεν ἡ ἀλήθεια. Εἰ τοίνυν τήν οὖσαν ἀλήθειαν ὑποκρινόμενος ὁ διάβολος ἄγγελον ὑποκρίνεται φωτός, λοιπόν ἔστιν ἐν ἀληθείᾳ φωτός ἄγγελος, ὁ ἀγαθός ἄγγελος. Ποῖον δέ φῶς

ἐξαγγέλλων ἄγγελός ἐστι φωτός, εἰ μή τό τοῦ Θεοῦ, οὗ καί ἔστιν ἄγγελος; Φῶς ἄρα ὁ Θεός, οὗ φωτός ἄγγελός ἐστιν ὁ τοῦ Θεοῦ ἄγγελος˙ οὐ γάρ εἶπεν «ὑποκρίνεται τόν ὄντα φῶς ἄγγελον», ἀλλά «τόν φωτός ἄγγελον». Εἰ μέν οὖν γνῶσιν μόνην ἤ ἀρετήν ὁ πονηρός ἄγγελος ὑπεκρίνετο, ἦν ἄν ἐκ τοῦ συνιδεῖν ὡς καί (σελ. 234) ὁ παρά τοῦ Θεοῦ φωτισμός ἐγγινόμενος ἡμῖν γνῶσιν μόνην παρέχει καί ἀρετήν˙ ἐπεί δέ καί φῶς φαντασιῶδες παρέχει παρά τήν ἀρετήν καί τήν γνῶσιν ἕτερον, ἔστιν ἄρα καί φῶς νοερόν ἀληθές θεϊκόν παρά τήν ἀρετήν καί τήν γνῶσιν ἕτερον. Κἀκεῖνο μέν τό φανταδιῶδες φῶς αὐτός ἐστιν ὁ πονηρός, ὅς σκότος ὤν τό φῶς ὑποκρίνεται˙ τό δέ φωτιστικόν πρός ἀλήθειαν τοῦτο φῶς ἀγγέλων καί ἰσαγγέλων ἀνθρώπων αὐτός ἐστιν ὁ Θεός, ὅς, φῶς ὤν ἀληθῶς ἀπόρρητον, καί ὡς φῶς ὁρᾶται καί φῶς ποιεῖ τούς καθαρούς τήν καρδίαν, διό καί φῶς καλεῖται, μή μόνον ὡς τοῦ σκότους τῆς ἀγνοίας διώκτης, ἀλλά καί ὡς λαμπρότης ψυχῶν κατά τόν ἅγιον Μάξιμον καί τόν θεολόγον Γρηγόριον. Ὅτι δέ ἡ λαμπρότης αὕτη οὐ γνῶσις ἁπλῶς οὐδ᾽ ἀρετή, πάσης δέ ἀνθρωπίνης ἀρετῆς καί γνώσεως ἐπέκεινα, παρά τοῦ ἁγίου Νείλου μαθήσῃ σαφῶς˙ «εἰς ἑαυτόν» γάρ, φησίν, «ὁ νοῦς συναγόμενος, οὐδέν οὔτε τῶν κατ᾽ αἴσθησιν οὔτε τῶν κατά λογισμόν θεωρεῖ, γυμνούς δέ νόας καί θείας αὐγάς, βλυζούσας εἰρήνην τε καί χαράν». Εἶδες τήν ὑπερανῳκισμένην ἔργον τε καί ἤθους καί λογισμοῦ παντός θεωρίαν; Ἤκουσας τοῦ πρότερον εἰπόντος ὑφ᾽ ἑαυτοῦ θεωρεῖσθαι τόν νοῦν οὐρανίῳ χρώματι περεμφερῆ, νῦν αὐγῇ θείᾳ καταυγαζόμενον φανερῶς σοι τοῦτο δείξαντος; Τούτῳ πείθου καί διδάσκοντι τήν πρός μακαριστόν τοῦτο πάθος τε καί θέαμα φέρουσαν ὁδόν˙ «προσευχή» γάρ, φησί, «προσοχήν ἐπιζητοῦσα, προσευχήν εὑρήσει, ἐφ᾽ ἥν σπουδαστέον νηφόντως»˙ ὁ γάρ ὄντως προσευξάμενος τῷ συνάψαι τόν νοῦν τῇ θείᾳ προσευχῇ, οὗτος πεφώτισται τῇ αἴγλῃ τοῦ Θεοῦ. Θέλεις πυθέσθαι καί Μαξίμου τοῦ θείου πάλιν; «Ὁ τήν καρδίαν», φησίν, «καθαράν ἐργασάμενος οὐ μόνον τῶν ὑποβεβηκότων καί μετά Θεόν γνώσεται τούς λόγους, ἀλλά καί αὐτόν ἐνορᾷ τόν Θεόν».

Ποῦ εἰσιν οἱ διά τῆς ἔξω καί μωρανθείσης σοφίας (σελ. 236) τήν γνῶσιν τῶν ὄντων καί τήν πρός Θεόν ἄνοδον δογματίζοντες; «Ἐν γοῦν τῇ καρδίᾳ ταύτῃ γεγονώς», φησίν, «ὁ Θεός ἀξιοῖ τά ἴδια γράμματα διά τοῦ πνεύματος ἐγχαράττεσθαι, καθάπερ τισί μωσαϊκαῖς πλαξί». Ποῦ εἰσιν οἱ τήν ἐντός καρδίαν ἀνεπίδεκτον Θεοῦ

λογιζόμενοι, καί ταῦτα Παύλου πρό τῶν ἄλλων δέξασθαι λέγοντος τόν τῆς χάριτος νόμον, «οὐκ ἐν πλαξί λιθίναις, ἀλλ᾽ἐν πλαξί καρδίας σαρκίναις»; Καθά φησι καί ὁ μέγας Μακάριος, ὅτι «ἡ καρδία ἡγεμονεύει ὅλου τοῦ ὀργάνου, καί, ἐπάν κατάσχῃ τάς νομάς τῆς καρδίας ἡ χάρις, βασιλεύει ὅλων τῶνλογισμῶν καί τῶν μελῶν˙ ἐκεῖ γάρ ἐστιν ὁ νοῦς καί πάντες οἱ λογισμοί τῆς ψυχῆς˙ ἐκεῖ τοίνυν δεῖ σκοπεῖν, εἰ ἐνέγραψεν ἡ χάρις τούς τοῦ Πνεύματος νόμους». Ἀλλ᾽ αὖθις ἀκουστέον τοῦ καί κατά γνῶσιν καί ὑπέρ γνῶσιν διά καθαρότητα πεφωτισμένου Μαξίμου˙ «καρδία καθαρά», φησίν, «ἐστίν ἡ παντάπασιν ἀνείδεον παραστήσεται τόν νοῦν τῷ Θεῷ καί μόνοις τοῖς αὐτοῦ ἕτοιμον ἐνσημαίνεσθαι τύποις, δι᾽ ὧν ἐμφανής πέφυκε γίνεσθαι». Ποῦ εἰσιν οἱ διά μόνης τῆς τῶν ὄντων γνώσεως τόν Θεόν ἰσχυριζόμενοι γινώσκεσθαι, τήν δ᾽ ἀπό τῆς ἑνώσεως ἐμφάνειαν μήτ᾽ εἰδότες μήτε προσιέμενοι, καί ταῦτα τοῦ Θεοῦ διά τινος τῶν θεοφόρων λέγοντος, «μάθετε οὐκ ἀπ᾽ ἀνθρώπου, οὐκ ἀπό δέλτου, ἀλλ᾽ ἀπ᾽ αὐτῆς τῆς ἐμῆς ἐν ὑμῖν ἐλλάμψεως καί ἡλιοβολίας»; Πῶς γάρ ὁ ἀνείδεος νοῦς, ὁ καί τοῖς θείοις ἐνσημαινάμενος τύποις, οὐχ ὑπεράνω τῆς ἀπό τῶν ὄντων γνώσεως;

Ἀλλά καί τῆς δι᾽ ἀποφάσεων πρός Θεόν ἀνόδου τῆς διανοίας τό θείοις καί ἀπορρήτοις τόν νοῦν ἐνσημαίνεσθαι τοῦ πνεύματος τύποις κατά πολύ διενήνοχε. Θεολογία δέ τοσοῦτο τῆς ἐν φωτί θεοπτίας ταύτης ἀπέχει καί τοσοῦτο τῆς πρός Θεόν ὁμιλίας κεχώρισται, καθ᾽ ὅσον καί τό εἰδέναι τοῦ (σελ. 238) κεκτῆσθαι διώρισται˙ περί Θεοῦ γάρ τι λέγειν καί Θεῷ συντυγχάνειν οὐχί ταὐτόν. Ἐκεῖνο μέν γάρ καί λόγου δεῖται, τούτου τοῦ προφερομένου δηλαδή, ἴσως δέ καί τῆς κατά τοῦτον τέχνης, εἰ μή μέλλει τις ἔχειν μόνον, ἀλλά καί χρῆσθαι καί διαδιδόναι τήν εἴδησιν, ἔτι δέ συλλογισμῶν παντοδαπῆς ὕλης καί τῶν ἐξ ἀποδείξεως ἀναγκῶν καί τῶν κατά κόσμον παραδειγμάτων, ὧν ἐκ τοῦ ὁρᾶν καί ἀκούειν τό πᾶν ἤ πλεῖστον ἀθροίζεται καί σχεδόν τῶν ἐν τῷ κόσμῳ τούτῳ στρεφομένων ἐστί καί γένοιτ᾽ ἄν δήπου καί τοῖς τοῦ αἰῶνος τούτου σοφοῖς, κἄν μή κεκαθαρμένοι τόν βίον ὦσι καί τήν ψυχήν. Θεόν δ᾽ ἐν ἑαυτῷ κτήσασθαι καί Θεῷ καθαρῶς συγγενέσθαι καί τῷ ἀκραιφνεστάτῳ φωτί κραθῆναι, καθ᾽ ὅσον ἐφικτόν ἀνθρωπίνῃ φύσει, τῶν ἀδυνάτων ἐστίν, εἰ μή πρός τῇ δι᾽ ἀρετῆςκαθάρσει καί ἡμῶν αὐτῶν ἔξω, μᾶλλον δέ ὑπεράνω, γενοίμεθα, καταλιπόντες μέν πᾶν ὅ τι τῶν αἰσθητῶν μετά τῆς αἰσθήσεως, ὑπεραρθέντες λογισμῶν καί διανοιῶν καί τῆς διά τούτων γνώσεως, ὅλοι δέ γενόμενοι τῆς

ἀϋλου καί νοερᾶς κατά τήν προσευχήν ἐνεργείας καί τυχόντες ὑπέρ τήν γνῶσιν ἀγνοίας καί πλησθέντες ἐν αὐτῇ τῇ τοῦ πνεύματος ὑπερφαοῦς ἀγλαΐας, ὡς ἀθανάτου κόσμου γέρα φύσεως ἀοράτως καθορᾶν. Συνορᾷς οὗ κατελείφθη κάτω τά τῆς πολυθρυλήτου τῶν λόγων φιλοσοφίας, εἴπερ ἐκείνη μέν ἐξ αἰσθήσεως ἔχει τάς ἀρχάς, τέλος δέ τῶν διαφορωτάτων ταύτης εἰδῶν ἡ γνῶσίς ἐστι, καί γνῶσις μή διά καθαρότητος εὑρημένη, μηδέ καθαίρουσα παθῶν; Τῆς δέ πνευματικῆς θεωρίας ἀρχή μέν τἀγαθόν, διά καθαρότητος βίου πεπορισμένον, καί γῶσις τῶν ὄντων ἀληθής καί γνησία τῶν ἐχόντων, ἅτε μή ἐκ παθημάτων ἀλλ᾽ ἐκ καθαρότητος ἀναφανεῖσα, μόνη δυναμένη διακρίνειν τί τό ὡς ἀληθῶς καλόν τε καί λυσιτελές καί τί τό μή τοιοῦτον, τέλος δέ ὁ ἀρραβών τοῦ μέλλοντος αἰῶνος, ἡ ὑπέρ γνώσιν ἄγνοια καί ὑπέρ ἔννοιαν γνῶσις, ἡ κρυφία τοῦ κρυφίου μετουσία καί ὅρασις ἀνέκφραστος (σελ. 240) ἡ μυστική καί ἀπόρρητος τοῦ αἰωνίου φωτός θεωρία τε καί γεῦσις.

Ὅτι δέ τοῦτό ἐστι τό τοῦ μέλλοντος αἰῶνος φῶς καί ὡς αὐτό τό τούς μαθητάς περιαστράψαν ἐν τῇ τοῦ Χριστοῦ μεταμορφώσει φῶς καί τόν δι᾽ ἀρετῆς καί προσευχῆς κεκαθαρμένον ἀρτίως καταυγάζει νοῦν, συνετῶς ἀκούων εἴσῃ. Διονυσίῳ μέν γάρ τῷ Ἀρεοπαγίτῃ τῷ ἐν Θαβωρίῳ φανέντι τοῦ Χριστοῦ φωτί τά σώματα τῶν ἁγίων ἐπί τοῦ μέλλοντος αἰῶνος κοσμεῖσθαί τε καί περιαστράπτεσθαι σαφῶς εἴρηται. Μακάριος δέ ὁ μέγας «ἡ τῷ τῆς ἐπουρανίου», φησίν, «εἰκόνος ἑνωθεῖσα φωτί ψυχή, καί νῦν μέν μυστηρίων γνῶσιν ἐν ὑποστάσει μυεῖται, ἐν δέ τῇ μεγάλῃ τῆς ἀναστάσεως ἡμέρᾳ τῇ αὐτῇ ἐπουρανίῳ τῆς δόξης εἰκόνι καί τό σῶμα ταύτης καταυγασθήσεται»˙ «ἐν ὑποστάσει» δέ εἶπεν, ὡς ἄν μή τις νομίσῃ διά γνώσεως καί νοημάτων εἶναι τοῦτον τόν φωτισμόν. Ἄλλως τε καί ὁ πνευματικός ἄνθρωπος ἐκ τριῶν ὑφέστηκε˙ χάριτος Πνεύματος ἐπουρανίου, ψυχῆς λογικῆς καί γηΐνου σώματος. Ἄκουε δή πάλιν τοῦ αὐτοῦ˙ «ἡ θεοειδής τοῦ Πνεύματος εἰκών νῦν ἔνδον ὥσπερ ἐντυπωθεῖσα, καί τό σῶμα θεοειδής ἔξω τότε καί οὐράνιον ἀπεργάσεται». Καί πάλιν˙ «τῇ ἀνθρωπότητι καταλλαγείς ὁ Θεός, ἀποκαθίστησι τήν πιστεύσασαν ἐν ἀληθείᾳ ψυχήν, ἐν σαρκί οὖσαν ἔτι, εἰς τήν τῶν οὐρανίων φώτων ἀπόλαυσιν καί τά νοερά αὐτῆς αἰσθητήρια τῷ θείῳ πάλιν φωτί τῆς χάριτος ὀμματοῖ, ὕστερον δέ καί αὐτῷ σώματι περιβαλεῖ τῇ δόξῃ». Καί πάλιν˙ «οἵων ἀγαθῶν καί μυστηρίων ψυχαί χριστιανῶν ἐνταῦθα κοινωνεῖν δύνανται, τῷ πείρᾳ παραλαβόντι μόνῳ τοῖς τῆς ψυχῆς

ὀφθαλμοῖς καταφανές γίνεται· ἐν δέ τῇ ἀναστάσει καί αὐτῷ τῷ σώματι τοιούτων πάρεστι τυχεῖν, βλέπειν τε αὐτά καί οἱονεί κρατεῖν, ὁπόταν καί αὐτό πνεῦμα γένηται». (σελ. 242) Ἆρ᾿ οὐ γέγονε καταφανές ὡς ἕν καί τό αὐτό ἐστι τό θεῖον φῶς, τό τε τοῖς ἀποστόλοις ἐν Θαβώρ ἑωραμένον καί ταῖς κεκαθαρμέναις νῦν ἐνορώμενον ψυχαῖς καί ἡ τῶν μελλόντων αἰωνίων ἀγαθῶν ὑπόστασις; Διό καί ὁ μέγας Βασίλειος προοίμιον εἶπε τῆς ἐν τῇ δευτέρᾳ παρουσίᾳ τοῦ Χριστοῦ δόξης τό ἐν Θαβωρίῳ λάμψαν ἐν τῇ μεταμορφώσει τοῦ Κυρίου φῶς, ὅς ἀλλαχοῦ φησι σαφῶς ὅτι «διαφαίνετο οἷόν τι φῶς θεῖον διά ὑελίνων ὑμένων, τουτέστι διά τῆς ἐξ ἡμῶν σαρκός τοῦ Κυρίου, ἡ θεία δύναμις αὐτοῦ διαυγάζουσα τοῖς ἔχουσι τούς ὀφθαλμούς τῆς καρδίας κεκαθαρμένους». Ἆρ᾿ οὐ τοῦτό ἐστιν ἐκεῖνο, τό φανότερον ἐν Θαβωρίῳ διαυγάσαν, ὡς καί ὀφθαλμοῖς σώματος ληπτόν γενέσθαι, ὡς ἠθέλησεν, ὅ καί τοῖς τήν καρδίαν ἔχουσι τότε κεκαθαρμένην πᾶσι δι᾿ αὐτῆς ἐβλέπετο, τοῦ προσκυνητοῦ σώματος ὡς ἀπό δίσκου τινός φρικτῶς ἐξαστράπτον καί τήν καρδίαν αὐτῶν περιαστράπτον; Μετά τούτων εἴθε καί ἡμεῖς εὑρθείημεν, ἀνακεκαλυμένῳ προσώπῳ τήν δόξαν Κυρίου κατοπτριζόμενοι». Καλόν γάρ, ἐπευξαμένῳ τοῦτο ἐκεῖ τῷ μεγάλῳ, καί ἡμᾶς συνεύξασθαι τούς πιστεύοντας.

Ἀλλά τότε μέν ἐν σαρκί τό μέγα φῶς ἐπιδημῆσαν πρός ἡμᾶς, οὕτω φαῖνον ἀπό τῆς σαρκός ἐκείνης τοῖς κεκαθαρμένοις ἑωρᾶτο· νῦν δέ πῶς αὐτοῖς ὁρᾶται καί πῶς ἔνεστιν ἰδεῖν αὐτό, πορευθείς, εἰ ποθεῖς, μάθε παρά τῶν ὁρώντων· ὧν κἀγώ πυθόμενος ἐπίστευσα, τό τοῦ Δαβίδ εἰπεῖν, διό ἐλάλησα· δεῖ δέ καί προσθεῖναι τό τοῦ ἀποστόλου· «καί ἡμεῖς πιστεύομεν, διό καί λαλοῦμεν». Ὁ τῇ τῶν χρημάτων κτήσει καί τῇ τῶν ἀνθρώπων δόξῃ καί τῇ τῶν σωμάτων ἡδονῇ διά τήν εὐαγγελικήν ἀποταξάμενος ζωήν καί δι᾿ ὑποταγῆς τῶν ἐν τῇ κατά Χριστόν ἡλικίᾳ προηκόντων τήν ἀποταγήν ταύτην βεβαιώσας, ὁρᾷ ἐν ἑαυτῷ σφοδρότερον ἀνακαιόμενον τόν ἀπαθῆ καί ἱερόν καί θεῖον ἔρωτα καί Θεόν (σελ. 244) ὑπερφυῶς ποθεῖ καί τήν ὑπερκόσμιον πρός τοῦτο ἕνωσιν. Κατ᾿ ἄκρας τοίνυν τούτῳ τῷ ἔρωτι ἁλούς, διερευνᾶσθαι καί περισκοπεῖν ἀναπείθεται τάς σωματικάς ἐνεργείας καί τάς ψυχικάς δυνάμεις, εἴ που περιτύχοι, δι᾿ οὗ συνουσίας ἐπιτύχοι Θεοῦ· ὡς οὖν τάς μέν ἀλόγους παντάπασιν εὑρίσκει ἤ μυεῖται τῶν ἐμπείρων πυνθανόμενος, τάς δ᾿ εἰ καί σύν λόγῳ πράξεις, ἀλλά πρός ὀλίγον τῶν αἰσθητῶν ἀνανευούσας, δόξαν δέ καί τήν διάνοιαν, εἰ καί λογικάς

δυνάμεις, ἀλλ᾽ οὐχί τοῦ ταμιείου τῶν αἰσθήσεων ἀπεζευγμένας, δηλαδή τῆς φαντασίας, ἔτι δέ καί διά τοῦ ψυχικοῦ πνεύματος ὡς ὀργάνου τελουμένας, νουνεχῶς συνιείς, ὅ καί ὁ ἀπόστολος ἐξεῖπεν, ὡς «ψυχικός ἄνθρωπος οὐ δέχεται τά τοῦ Πνεύματος», τήν ὑπέρ ταῦτα καί ὄντως νοεράν ζητεῖ καί τῶν κάτω ἀμιγῆ ζωήν, ἀκούων καί τοῦ σοφοῦ τά θεῖα Νείλου λέγοντος˙ «κἄν ὑπέρ τήν σωματικήν θεωρίαν ὁ νοῦς γένηται, οὔπω τέλεον τόν τοῦ Θεοῦ τόπον ἐθεάσατο˙ δύναται γάρ ἐν τῇ τῶν νοημάτων εἶναι γνώσει καί ποικίλλεσθαι πρός αὐτήν»˙ καί πάλιν, «καί ἐν ψιλοῖς νοήμασιν ὁ νοῦς ὤν μακράν ἀπέχει ἀπό τοῦ Θεοῦ».

Μαθών δέ καί παρά τοῦ μεγάλου Διονυσίου καί Μαξίμου τοῦ πάνυ, «τόν καθ᾽ ἡμᾶς νοῦν, τήν μέν ἔχειν δύναμιν εἰς τό νοεῖν, δι᾽ ἧς τά νοητά βλέπει, τήν δέ ἕνωσιν ὑπερσίρουσαν τήν τοῦ νοῦ φύσιν, δι᾽ ἧς συνάπτεται πρός τά ἐπέκεινα ἑαυτοῦ», τοῦτο δή ζητεῖ τό ἀκρότατον τῶν ἐν ἡμῖν, τήν μόνην τελείαν καί ἑνιαίαν καί πάνῃ ἀμερῆ τῶν καθ᾽ ἡμᾶς, ἤ καί τούς κατά διάνοιαν ἀνελιγμούς, ἐν οἷς καί τά τῶν ἐπιστημῶν ἔχει τήν ἀσφάλειαν, σχεδόν κατά τά ἑρπυστικά τῶν ζώων ἐν συναγωγῇ καί διαιρέσει προϊόντας, καί ὁρίζει καί ἑνοποιεῖ, ἅτε εἶδος οὖσα τῶν εἰδῶν. Εἰ γάρ καί πρός αὐτούς καί δι᾽ αὐτῶν πρός τήν πολυμερῆ κάτειοι ζωήν ὁ νοῦς, προϊσχόμενος τάς ἐνεργείας πᾶσιν, ἀλλ᾽ ἔχει δήπου καί τινα ἑτέραν κρείττονα ἐνέργειαν, ἥν αὐτός ἄν ἐνεργοίη καί καθ᾽ ἑαυτόν, ἅτε (σελ. 246) μένειν καί καθ᾽ ἑαυτόν δυνάμενος, ἐπειδάν μερισθῇ τῆς ποικιλοτρόπου ταύτης καί πολυειδοῦς καί χαμερποῦς διαίτης, ὥσπερ δῆτα καί ὁ ἔφιππος ἔχει τινά ἐνέργειαν τοῦ ἡνιοχεῖν διαφερόντως κρείττω, καί οὐχ ἡνίκ᾽ ἄν ἀποβαίη μόνον, ἀλλά καί ἐφ᾽ ἵππου ὤν καί ἅρματος, ἐνεργήσειεν ἄν καθ᾽ ἑαυτόν αὐτήν, εἰ μή ὅλον ἑαυτόν ἑκών ποιοίη τῆς τοῦ ἡνιοχεῖν ἐπιμελείας. Καί νοῦς τοίνυν, εἰ μή ὅλος καί ἀεί περί τά κάτω στρέφοιτο, γένοιτ᾽ ἄν καί τῆς κρείττονός τε καί ὑψηλοτέρας ἐνεργείας, εἰ καί μακρῷ δυσχερέστερον ἐφίππου, ἅτε φύσει τήν μετά σώματος ἔχων συμπλοκήν καί ταῖς σωματοειδέσι γνώσεσι συμπεφυρμένος καί τοῖς ἐκ τοῦ τῇδε βίου πολυτρόποις καί δυσαποβλήτοις σχέσεσι. Τῆς οὖν καθ᾽ ἑαυτόν ἐνεργείας γενόμενος ὁ νοῦς, ἥτις ἐστίν ἡ πρός ἑαυτόν στροφή καί τήρησις, δι᾽ αὐτῆς ὑπεραναβαίνων ἑαυτόν, καί Θεῷ συγγένοιτ᾽ ἄν.

Διά τοῦτο τοίνυν τόν ὑπαίτιον φεύγει βίον ὁ τῆς τοῦ Θεοῦ συνουσίας ἐραστής καί τήν μοναχικήν καί ἀσυνδύαστον αἱρεῖται

πολιτείαν καί τοῖς τῆς ἡσυχίας ἀδύτοις ἀπραγμόνως τε καί ἀπεριμερίμνως ἐνδιαιτᾶσθαι προθυμεῖται, πάσης σχέσεως ἀπηλλαγμένος, ἐν οἷς προσύλου παντός δεσμοῦ, καθ᾽ ὅσον ἐφικτόν, λύσας τήν ψυχήν, συνάπτει τόν νοῦν τῇ ἀδιαλείπτῳ πρός Θεόν εὐχῇ, καί δι᾽ αὐτῆς ἑαυτοῦ ὅλος γεγονώς καινήν καί ἀπόρρητον ἄνοδον εἰς οὐρανούς εὑρίσκει, τόν ἀναφῆ τῆς κρυφιομύστου σιγῆς, ὡς ἄν τις εἴποι, γνόφον καί τούτῳ μεθ᾽ ἡδονῆς ἀπορρήτου προσέχων ἀκριβῶς τόν νοῦν ἐν ἁπλουστάτῃ καί παντελεῖ καί γλυκερᾷ γαλήνῃ καί ὄντως ἡσυχίᾳ τε καί ἀφθεγξίᾳ πάντων ὑπερίπταται κτιστῶν. Ὅλος δ᾽ οὕτως ἐκστάς καί ὅλος γενόμενος Θεοῦ, δόξαν ὁρᾷ Θεοῦ καί φῶς ἐποπτεύει θεῖον, ἥκιστα αἰσθήσει ᾗ αἰσθήσει ὑποπίπτον, ψυχῶν δέ καί νόων ἀσπίλων εὔχαρι καί ἱερόν θέαμα, οὗ χωρίς οὐδ᾽ ἄν νοῦς ᾗ νοεράν ἔχων αἴσθησιν (σελ. 248) ὁρῴη τοῖς ὑπέρ ἑαυτόν ἑνούμενος, καθάπερ οὐδέ ὀφθαλμός σώματος τοῦ κατ᾽ αἴσθησιν φωτός χωρίς.

Ὁ μέν οὖν ἡμέτερος νοῦς ἔξω ἑαυτοῦ γίνεται καί οὕτως ἑνοῦται τῷ Θεῷ, ἀλλ᾽ ὑπέρ ἑαυτόν γινόμενος. Ὁ δέ Θεός καί αὐτός ἔξω ἑαυτοῦ γίνεται καί οὕτω τῷ καθ᾽ ἡμᾶς «ἑνοῦται νῷ, ἀλλά συγκαταβάσει χρώμενος˙ ὥσπερ γάρ ἔρωτι καί ἀγαπήσει θελγόμενος καί δι᾽ ὑπερβολήν ἀγαθότητος ἐκ τοῦ ὑπέρ πάντα καί πάντων ἐξῃρημένου ἔξω ἑαυτοῦ ἀνεκφοιτήτως γινόμενος, καί κατ᾽ αὐτήν τήν ὑπέρ νοῦν ἕνωσιν ἡμῖν ἑνοῦται. Ὅτι δέ οὐχ ἡμῖν μόνον, ἀλλά καί τοῖς ἐπουρανίοις ἀγγέλοις συγκαταβαίνων ἑνοῦται Θεός, ὁ ἅγιος Μακάριος πάλιν ἡμᾶς διδάξει, «διά χρηστότητα», λέγων, «ἄπειρον συσμικρύνει ἑαυτόν ὁ μέγας καί ὑπερούσιος, τοῦ δυνηθῆναι τοῖς νοεροῖς αὐτοῦ κτίσμασι συγκραθῆναι, ψυχαῖς ἁγίων φημί καί ἀγγέλοις, ἵνα καί αὐτοῖς γένοιτο ζωῆς ἀθανάτου τῇ αὐτοῦ θεότητι μετασχεῖν». Πῶς δ᾽ οὐκ ἄν μέχρι τύτου συγκαταβαίη, ὁ μέχρι σαρκός συγκαταβάς, καί σαρκός θανάτου καί θανάτου σταυροῦ, ἵνα περιέλῃ τό ἐπιπεσόν ἐκ παραβάσεως τῇ ψυχῇ κάλυμμα τοῦ σκότους καί τοῦ οἰκείου μεταδῷ φωτός, ὡς ὁ αὐτός ἅγιος ἐν τῷ τήν ἀρχήν εἰρημένῳ κεφαλαίῳ ἐδίδαξεν;

Φρίξατε τοίνυν οἱ ἀπιστοῦντες καί πρός ἀπιστίαν τούς ἄλλους ἐνάγοντες, οἱ τυφλοί καί τούς τυφλούς ὁδηγεῖν προθυμούμενοι, οἱ πορρωτέρω Θεοῦ χωροῦντες καί τούς ἄλλους ἐπάγοντες, οἱ τῷ μή βλέπειν μηδέ φῶς εἶναι τόν Θεόν δογματίζοντες, οἱ μή μόνον αὐτοί τάς ὄψεις τοῦ φωτός ἀποστρέφοντες καί τῷ σκότει προστρέχοντες, ἀλλά καί τό φῶς σκότος λέγοντες καί τοσαύτην Θεοῦ συγκατάβασιν

ἄπρακτον τό γε εἰς ὑμᾶς ἧκον ἀποτελοῦντες, οὐκ ἄν τοῦτο παθόντες, εἰ τοῖς τῶν πατέρων ἐπιστεύετε λόγοις˙ οἱ γάρ τούτοις (σελ. 250) πειθόμενοι, μή ὅτι πρός τά τῶν χαρισμάτων ὑπερφυᾶ, ἀλλά καί πρός τά τούτων ἀμφισβητήσιμα πολλήν τήν εὐλάβειαν ἐπιδείκνυνται. «Ἔστι» φάρ, φησίν ὁ ἅγιος Μάρκος, «χάρις τῷ νηπίῳ ἀγνοουμένη, ἥν οὔτε ἀναθεματίζειν δεῖ διά τήν ἀλήθειαν οὔτε προσδέχεσθαι διά τήν πλάνην». Ὁρᾷς ὡς ἔστι χάρις ἀληθής, ἑτέρα παρά τήν τῶν δογμάτων ἀλήθειαν; Τί γάρ τῆς ἀληθείας τῶν δογμάτων ἀμφισβητήσιμον; Ἔστιν οὖν ὑπέρ γνῶσιν ἐνεργός χάρις ἐναργής, δι᾽ ἥν καί τήν μήπω δοκιμασθεῖσαν πλάνην λέγειν οὐκ εὐλαβές. Διό καί ὁ θεῖος Νεῖλος παρά Θεοῦ τήν δήλωσιν ἐπί τῶν τοιούτων ἐξαιτεῖν εἰσηγεῖται, «εὔχου», λέγων, «τηνικαῦτα συντόνως, ἵνα, εἰ μέν ἐκ Θεοῦ ἐστι τό ὅραμα, αὐτός σε φωτίσῃ, εἰ δέ μή, θᾶττον τήν πλάνην ἐκδιώξῃ ἀπό σοῦ». Καί μήν οὐδέ τοῦτο οἱ πατέρες ἠνέσχοντο μή ἐξειπεῖν ἡμῖν, τίνα τά τῆς πλάνης καί τίνα τά τῆς ἀληθείας γνωρίσματα. «Ἡ γάρ πλάνη, κἄν τό τοῦ ἀγαθοῦ πρόσωπον ὑποκρίνηται κἄν ὁράσεις λαμπράς περιβάλληται, ἐνέργειαν ἀγαθήν παρασχεῖν οὐ δυνήσεται˙ οὐ γάρ κόσμου μῖσος, οὐ περιφρόνησιν ἀνθρώπων δόξης, οὐκ ἐπιθυμίαν τῶν οὐρανίων, οὐ κατάστασιν λογισμῶν, οὐκ ἀνάπαυσιν πνευματικήν, οὐ χαράν, οὐκ εἰρήνην, οὐ ταπείνωσιν, οὐ κατάπαυσιν ἡδονῶν τε καί παθῶν, οὐ διάθεσιν ψυχῆς ἀρίστην˙ ταῦτα γάρ εἰσι τά τῆς χάριτος ἐνεργήματα, ὧν τἀναντία εἰσί τά τῆς πλάνης γεννήματα». Ἤδη δέ τινες ἐκ πολλῆς πείρας καί τῆς νοερᾶς θέας αὐτῆς εἰρήκασιν ἰδιότητας, ὡς ἄν ἔχοι τις καί πρό τῶν ἐνεργημάτων τεκμηριώσασθαι. «Καί τοίνυν εἴσῃ», φησίν, «ἐκ τῶν ἐνεργημάτων τό ἐλαμφθέν ἐν τῇ ψυχῇ σου νοερόν φῶς, πότερον τοῦ Θεοῦ ἤ τοῦ σατανᾶ πέφυκεν ὄν, ἵνα μήτε τόν τῆς πλάνης ἀναιρέτην πλάνον εἶναι νομίσῃς μήτε τήν πλάνην ἀλήθειαν».

Ἀλλ᾽ οὐχί τό ἀπλανές φῶς τό ἄτρεπτον ἐν τῷ αἰῶνι τούτῳ χαρίζεται˙ «τοῦτο γάρ ὁ λέγων», καθάπερ τις ἔφη τῶν πατέρων, «τοῦ μέρους τῶν λύκων ἐστί». Σκοπείτωσαν (σελ. 252) δή πόσον τῆς ἀληθείας ἀποπλανῶνται οἱ ἐκ τῶν ἀνθρωπίνων ἔν τισιν ἐλλείψεων τούς κεχαριτωμένους πεπλανημένους ἀποφαινόμενοι, μηδέ τοῦ τῆς Κλίμακος ἀκούοντες λέγοντος˙ «οὐκ ἀνθρώπου, ἀλλ᾽ ἀγγέλου τό μή κλέπτεσθαι ἐφ᾽ ἁμαρτήμασιν εἶναι»˙ καί πάλιν, «τινές ἐξ ἐλλείψεως ἑαυτούς εὐτελίζουσι καί ἐκ πταισμάτων τήν τῶν χαρισμάτων μητέρα ᾠκειώσαντο». Ἀπάθεια γοῦν ἐν ἀνθρώποις οὐκ ἀγγέλων ἀλλ᾽

ἀνθρωπίνη ζητεῖται, ἥν γνώση καί οὐκ ἀπατηθήση ἐν σεαυτῷ οὖσαν κατά τόν αὐτόν ἅγιον ἐν πλήθει φωτός ἀρρήτου καί προσευχῆς ἔρωτι ἀμυθήτῳ˙ καί πάλιν, «ψυχή προλήψεως ἐλευθερωθεῖσα πάντως θεῖον φῶς ἐθεάσατο˙ γνῶσιν δέ δογμάτων θείων, πόσοι μετάποληρήψεων ἔχουσι;»˙ καί πάλιν, «ἐξ ἄλλων μέν οἱ τῇ ψυχῇ ἀσθενεῖς γνωρίζουσι τήν πρός ἑαυτούς τοῦ Κυρίου ἐπίσκεψιν, οἱ δέ τέλειοι ἐκ τῆς τοῦ Πνεύματος παρουσίας»˙ καί πάλιν, «ἐν μέν τοῖς εἰσαγωγικοῖς πληροφορία τοῦ κατά Θεόν εἶναι αὐτῶν τά διαβήματα ἡ τῆς ταπεινώσεώς ἐστι προσθήκη˙ ἐν δέ τοῖς μέσοις, ἡ τῶν πολέμων ἀναχώρησις˙ ἐν δέ τοῖς τελείοις, ἡ τοῦ θείου φωτός προσθήκη καί περιουσία».

Εἰ τοίνυν μή νοερόν τουτί τό φῶς καί γνώσες παρεκτικόν, καθάπερ οἱ πατέρες λέγουσιν, ἀλλά γνῶσίς ἐστιν, ἡ ταύτης δέ περιουσία δεῖγμα θεοφιλοῦς τελειότητος. Σολομῶντος ὁ βίος τελεώτερός τε καί θεοφιλέστερος ἄν ἦν τῶν ἀπ᾽ αἰῶνος ἁγίων, ἵνα μή λέγω καί τῶν ἐπί σοφίας περιουσίᾳ θαυματομένων Ἑλλήνων. Ἐπεί δέ καί τῶν εἰσαγωγικῶν ἔστιν οἷς καί ὅτε, ἀλλ᾽ ἀμυδρότερον, τό τοιοῦτον ἐπιλάμπερι φῶς καί τοῖς τελείοις γίνεται προσθήκη ταπεινώσεως, ἀλλ᾽ ἑτέρα τῷ εἴδει παρά τήν τῶν εἰσαγομένων, διά τοῦτο ἐπιφέρει λέγων ὁ αὐτός˙ «τά μέν μικρά παρά τοῖς τελείοις οὐ μικρά, τά δέ μεγάλα παρά τοῖς μικροῖς οὐ πάντως τέλεια». (σελ. 254) Ὅτι δέ καί τούτοις ἡ θεία χάρις ἐπιφαίνεται φιλανθρώπως, εἴση σαφῶς, εἴ πείση Διαδόχῳ τῷ θαυμασίῳ˙ «ἡ χάρις γάρ», «τήν ἀρχήν ἐν αἰσθήσει πολλῇ, τήν ψυχήν τῷ οἰκείῳ εἴωθε περιαυγάζειν φωτί˙ περί δέ τά μέσα τῶν ἀγώνων ἀγνώστως τά πολλά ἐνεργεῖ». «Τό γάρ ἅγιον Πνεῦμα», κατά τόν ἐν Πνεύματι λαλοῦντα Νεῖλον, «συμπάσχον τῇ ἡμετέρᾳ ἀσθενείᾳ, καί ἀκαθάρτοις οὖσιν ἡμῖν ἐπιφοιτᾷ καί, εἴπερ εὑρήσει τόν νοῦν μόνον φιλαλήθως αὐτῷ προσευχόμενον, ἐπιβαίνει αὐτῷ καί πᾶσαν τήν κυκλοῦσαν αὐτόν τῶν λογισμῶν ἤ νοημάτων φάλαγγα ἐξαφανίζει». Ὁ δέ ἅγιος Μακάριος, «ἀγαθός ὤν ὁ Θεός», φησίν, «ὀρέγει τοῖς αἰτοῦσι φιλανθρωπότερον τά αἰτήματα˙ τῷ τοίνυν εἰς προσευχήν ἑαυτόν ἐκπονοῦντι, κἄν εἰ ἡ πρός τάς ἄλλας τῶν ἀρετῶν τόν αὐτόν τρόπον ἐπιδείκνυται τήν σπουδήν, ἐνίοτε μέν αὐτῷ ἡ θεία χάρις ἐπιφοιτᾷ, καί δίδοται τούτῳ χάριτος ἐκ μέρους ἐν εὐφροσύνῃ κατά τήν αὐτοῦ πρός τόν Θεόν ζήτησιν εὐχή, ἀλλ᾽ ἔρημος οὗτος τῶν ἄλλων πάντων μένει καλῶν˙ δεῖ δή μή ὀλιγώρως ἔχειν πρός τἄλλα, ἀλλά τριβῇ καί γυμνασίᾳ τήν καρδίαν ἀντερίζουσαν ἐνδοτικήν καί

πειθήνιον τῷ Θεῷ ποιεῖν τήν σπουδήν τε καί κτῆσιν ἁπάσης ἀρετῆς˙ οὕτω γάρ καί τό δοθέν ὑπό τοῦ Πνεύματος τῆς εὐχῆς χάρισμα πρός ἐπίδοσιν ἥξει, συνεπαγόμενον ταπεινοφροσύνην ἀληθῆ καί ἀγάπην ἀψευδῆ καί πάντα τόν τῶν ἀρετῶν κατάλογον, ὅν καί προβιασάμενος ἐξεζήτησεν».

Ὁρᾷς τῆς πατερικῆς νουθεσίας τοὐπίσημον; Προσεποικοδομεῖ γάρ τό λεῖπον, ἀλλ᾽ οὐκ ἐξορύττει τούς θεμελίους διά τό μήπω τούς τοίχους ἐπεγερθῆναι, οὐδέ καθαιρεῖ τούτους διά τό μή τούτοις ἐπικεῖσθαι τόν ὄροφον. Καί γάρ οἶδε, τῇ πείρᾳ συνείς, ὡς κόκκον μέν συνάπεως σπειρομένην τήν ἐν ἡμῖν τῶν οὐρανῶν βασιλείαν, ὅ μικρότερον πάντων τῶν σπερμάτων ἐστίν, ὕστερον δ᾽ ἐπί τοσοῦτον αὐξομένην καί τάς (σελ. 256) τῆς ψυχῆς πάσας ὑπεραναβαίνουσαν δυνάμεις, ὡς καί τῶν οὐρανίων πτηνῶν ἐπιτερπές εἶναι σκήνωμα. Οὗτοι δ᾽ οὕς φῄς, ὑπ᾽ ἀκρισίας εἰς τό κρίνειν χωροῦντες, ὑπ᾽ ἀπειρίας ἀφαιροῦνται, κἄν τι προσῇ τοῖς ἀδελφοῖς λυσιτελεῖν δυνάμενον, καί τήν τοῦ Θεοῦ κρίσιν ὑπ᾽ ἀναιδείας ἁρπάζοντες, τόν μέν ἄξιον ἀποφαίνονται χάριτος, ὅς ἄν δήπου τούτοις δοκῇ, τόν δ᾽ οὔ˙ Θεοῦ γάρ μόνον τούς ἀξίους οἰκείας χάριτος κρίνειν. Εἴ τοίνυν αὐτός τινα προσελάβετο, «σύ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;» φησίν ὁ ἀπόστολος. Ἀλλ᾽ ἡμεῖς ἐπανελθόντες ὅθεν ἐξέβημεν καί μικρά προσειπόντες ἐπίσχωμεν τό νῦν ἔχον τόν λόγον εἰς πολύ μῆκος ἀποτεινόμενον.

Ὁ τοῦτο τό μέγα τῆς καινῆς χάριτος μή πιστεύων μυστήριον, μηδέ πρός τήν ἐλπίδα τῆς θεώσεως βλέπων, οὐδέ σαρκός ἡδονῆς καί χρημάτων καί κτημάτων καί τῆς πρός ἀνθρώπων δόξης καταφρονεῖν δύναιτ᾽ ἄν. Εἰ δ᾽ ἄρα καί δυνηθείη κἄν πρός βραχύ, φυσίωσις αὐτόν ὡς τό τέλειον ἤδη κτησάμενον διαδέχεται, δι᾽ ἧς αὖθις πρός τόν τῶν ἀκαθάρτων ἤδη κτησάμενον διαδέχεται, δι᾽ ἧς αὖθις πρός τόν τῶν ἀκαθάρτων κατασπᾶται κατάλογον. Ὁ δέ πρός ἐκεῖνο βλέπων, κἄν ἅπαν ἔργον ἀγαθόν κτήσηται, προκείμενον ἔχων τήν ὑπερτελῆ καί ἀτέλεστον τελειότητα, ἑαυτόν οὔπω λογίζεται κατειληφέναι τι καί οὕτω τῇ ταπεινώσει προστίθησι˙ διανοούμενος δέ τοῦτο μέν τήν τῶν προωδευκότων ἁγίων ὑπεροχήν, τοῦτο δέ τήν τῆς θείας φιλανθρωπίας ὑπερβολήν, πενθῶν, τό τοῦ Ἠσαΐου βοᾷ, «οἴμοι ὅτι ἀκάθαρτος ὤν καί ἀκάθαρτα χείλη ἔχων, Κύριον Σαβαώθ εἶδον τοῖς ὀφθαλμοῖς μου». Τό δέ πένθος τοῦτο τῇ καθάρσει προστίθησιν˙ ἐπιδαψιλεύεται δέ ταύτῃ παράκλησίν τε καί ἔλλαμψιν ὁ τῆς χάριτος

Κύριος. Ἔνθεν τοι καί ὁ τῇ πείρᾳ διδάσκων Ἰωάννης φησίν˙ «ἄβυσσος μέν πένθους παράκλησιν ἐθεάσατο˙ καθαρότης δέ καρδίας ἐδέξατο ἔλλαμψιν. Δεκτική τοίνυν τῆς ἐλλάμψεως ταύτης καρδία κεκαθαρμένη˙ ὅσα δέ περί θεοῦ λέγεται (σελ. 258) καί γινώσκεται, καί καρδία ἀκάθαρτος δέχεται. Φανερόν τοίνυν ὡς ὑπέρ λόγον τε καί γνῶσιν αὕτη ἡ ἔλλαμψις. Κἄν γνῶσίν τις ταύτην εἴποι καί νόησιν, ὡς τῷ νῷ χορηγουμένην ὑπό τοῦ Πνεύματος, ἕτερον εἶδος λέγει νοήσεως, πνευματικόν τι καί αὐταῖς ταῖς πισταῖς καρδίαις, εἰ μή δι᾽ ἔργων καθαρθεῖεν, ἀχώρητον. Διό καί τό παρέχον τό ὁρᾶν καί ὁρώμενον, ταυτό δ᾽ εἰπεῖν τό καθαρᾶς καρδίας φῶς, ὁ Θεός, «μακάριοί» φησιν «οἱ καθαροί τῇ καρδίᾳ, ὅτι αὐτοί τόν Θεόν ὄψονται». Πῶς οὖν οὗτοι διά τοῦτο μακάριοι, εἴπερ ἡ ὅρασις αὕτη γνῶσις, τήν δέ καί ἡμεῖς ἔχομεν οἱ ἀκάθαρτοι; Καλῶς ἄρ᾽ εἶπεν ὁ ἐλλαμφθείς καί τήν ἔλλαμψιν ὁριζόμενος ὅτι ἔλλαμψίς ἐστιν οὐ γνῶσις ἀλλ᾽ «ἄρρητος ἐνέργεια ὁρωμένη ἀοράτως», οὐ γάρ αἰσθητῶς, καί «νοουμένη ἀγνώστως», οὐ γάρ λογιστικῶς.

Ἦν μέν οὖν προσθεῖναι κάι ἕτερα˙ δέδοικα δέ μή καί ταῦτα μάτην προέθηκα. Κατά γάρ τόν αὐτόν ἅγιον «ὁ ἐλλάμψεως Θεοῦ αἴσθησιν καί ἐνέργειαν τοῖς ἀγεύστοις διά λόγου διηγεῖσθαι βουλόμενος, ὅμοιός ἐστι τῷ τοῖς μή γευσαμένοις μέλιτος τήν αὐτοῦ γλυκύτητα διά λόγων διδάσκειν ἐθέλοντι». Πρός σέ δ᾽ ὅμως ἡμῖν οἱ λόγοι γεγόνασιν, ὡς ἄν καί σύ τἀληθές ἀκριβῶς εἰδείης καί ἡμᾶς ὁμολογοῦντας ταῖς τῶν πατέρων φωναῖς, ὧν τάς ὑπολοίπους ὑπογεγραμμένας οὖσας, διέξιθι.

## *ΛΟΓΟΣ ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ ΤΩΝ ΥΣΤΕΡΩΝ Ο ΠΡΩΤΟΣ (Σελ. 260)*

## ΔΙΗΓΗΣΙΣ ΚΑΙ ΑΝΑΤΡΟΠΗ ΤΩΝ ΥΠΟ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΒΑΡΛΑΑΜ ΣΥΓΓΡΑΦΕΝΤΩΝ ΚΑΤΑ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ ΤΙΣ Η ΟΝΤΩΣ ΣΩΤΗΡΙΟΣ ΓΝΩΣΙΣ ΚΑΙ ΤΟΙΣ ΟΝΤΩΣ ΜΟΝΑΧΟΙΣ ΠΕΡΙΣΠΟΥΔΑΣΤΟΣ Η ΚΑΤΑ ΤΩΝ ΛΕΓΟΝΤΩΝ ΤΗΝ ΕΚ ΤΗΣ ΕΞΩ ΠΑΙΔΕΙΑΣ ΓΝΩΣΙΝ ΟΝΤΩΣ ΣΩΤΗΡΙΟΝ

Οὐδέν ψεύδους δεινότερον, οὐδέν συκοφαντίας ἄχθους βαρύτερον τοῖς ἐνεργοῦσιν ἀλλ᾽ οὐ τοῖς πάσχουσιν. Οἱ μέν γάρ ἔσθ᾽ ὅτε καί

δοκιμώτεροι γίνονται καί δι᾽ ὑπομονῆς τῶν οὐρανίων βραβείων ἐπιτυγχάνουσιν, «ἀπολεῖ δέ Κύριος πάντας τούς λαλοῦντας τό ψεῦδος». Εἰ δέ καί ἀποστερητής τις ὤν, ὡς ἀποστερηθείς βοᾷ, καί ὁ συκοφάντης ὡς συκοφαντηθείς κατά τοῦ πεπονθότος καί μηδέν εἰργασμένου δεινόν ἀποδύρεται, τίνα καταλείπει κακίας ὑπερβολήν; Τίνος δέ καταδίκης οὐκ ἄξιος; Εἰ δέ καί μή ταύτυης πειρῷτο νῦν, ἀλλ᾽ «ἑαυτῷ θησαυρίζει τήν ὀργήν ἐν ἡμέρᾳ δικαιοκρισίας καί ἀποκαλύψεως Θεοῦ». Ταῦτ᾽ ἆρ᾽ ἐγώ τόν ἐκ Σικελίας ἥκοντα καί φιλοσοφεῖν τήν ἔξω παιδείαν ἐπαγγελλόμενον ἐπί νοῦν λαμβάνων θρηνῶ. Τοῦτον γάρ κατά μοναχούς ἐσταλμένον ὁρῶν, ἔχαιρον ἐπ᾽ ἐμαυτοῦ λογιζόμενος ὡς καί τά θεῖα προϊὼν σοφός ἔσται, συνελθών τοῖς ἐκκρίτοις τῶν παρ᾽ ἡμῖν μοναχῶν, οἵ τοῖς ἄλλοις πᾶσι χαίρειν εἰπόντες, διά βίου μεθ᾽ ἡσυχίας τῷ Θεῷ προσανέχουσι. Γένοιτο γάρ ἄν ἡμῖν, οὕτως ἔλεγον, γραμματεύς ὅμοιος θησαυρῷ, κατά τόν τοῦ Κυρίου λόγον, ἐκφέροντι παλαιά τε καί νέα. Νῦν δ᾽ ἅπαν τοὐναντίον ἐξέβη καί δι᾽ ὅν ἐπ᾽ ἐλπίσιν ἀγαθοῖς ἔχαιρον, πένθος ἀρτίως καθίκετό μου τῆς ψυχῆς ὑπέρ τῆς ἐκείνου ψυχῆς. Προσῆλθε μέν γάρ τισι τῶν ἡμετέρων, καί τούτων τοῖς (σελ. 262) ἁπλουστέροις, τόν μαθητιῶντα ὑποκρινόμενος, ἀπέστη δ᾽ ἐπί τοσούτῳ κατεγνωκέναι δείξας αὐτῶν, ὡς καί συγγράμματα κατ᾽ αὐτῶν οὐδέν μικρόν οὐδέ μέτριον ἐπικαλοῦντα συνθεῖναι καί μετά τῶν συγγραμμάτων τούτων παρρησιάζεσθαι κατ᾽ αὐτῶν, ἀλλ᾽ ἐπί τῶν φοιτώντων αὐτῷ καί περιβομβούντων μειρακίων, καί τούτων ἔπειθεν ἐκείνους ὅσοι μή πρεσβυτικόν ἐπαγγέλλονται φρόνημα καί μοναχῶν τούς μή πεῖραν ἐσχηκότας ἡσυχίου διαγωγῆς. Ἤρξατο δή διαδίδοσθαι πᾶσιν ὁ λόγος ὡς ἀποτροπαίου φρονήματος ὑπό τῶν ἡσυχαζόντων πρεσβευομένου˙ καί ὄνομα γάρ αὐτοῖς περιέθηκε τῶν φαυλοτάτων, «ὀμφαλοψύχους» προσαγορεύσας, καί τήν ἥν αὐτός ἔλεγεν αἵρεσιν «ὀμφαλοψυχίαν» προσειρηκώς˙ ὀνομαστί δέ μηδένα προβαλλόμενος τῶν παρ᾽ αὐτοῦ κατεγνωσμένων ἐκείνων, τοῖς κρείττοσί τε τῶν ἡμετέρων ἐντετυχηκέναι λέγων, πάντας οὕτω σαφῶς ἐποιεῖτο τοῖς ἐγκλήμασιν ὑπευθύνους.

Ἐζήτουν τοίνυν καί αὐτός παρ᾽ ἐκείνου ταυτί τά γράμματα. Διά τοσαύτης δ᾽ ἐκεῖνος ἐποιεῖτο σπουδῆς μηδενί ταῦτα τῶν καθ᾽ ἡμᾶς εἰς ὄψιν ἐλθεῖν, ὡς καί τοῖς πρό ὀλίγου ὡμιληκόσιν ἡμῖν καί ἅπαξ ποτέ τεθεαμένοις ἡμᾶς οὐ παρεῖχε, μή πρότερον ἐξορκίσας μηδενί δεῖξαι τῶν τήν ἡσυχίαν ἀσπαζομένων. Πλανώμενα δ᾽ οὕτως ἐν σκότει καί τό

φῶς φεύγοντα τῆς παρρησίας τάς ἐμάς ὅμως χεῖρας εἰς τέλος οὐ διαπέφευγε. Λαβών οὖν καί αὐτός ἔστιν ἅ διῆλθον καί εἶδον ὡς ἔπος οὐδέν ὑγιές, ἀλλά πάντα ψεῦδος καί συκοφαντίαν δεινήν. Ἔλεγε γάρ ὡς ἐδιδάχθη παρ᾽ ἐκείνων ὧν κατηγόρει, τήν μέν θείαν πᾶσαν Γραφήν ἀνωφελῆ πᾶσι παντάπασιν εἶναι, πονηράν δέ τήν τῶν ὄντων γνῶσιν, τήν τε τοῦ (σελ. 264) τοῦ Θεοῦ οὐσίαν αἰσθητῶς εἶναι θεωρητήν καί πρός ταύτην ἄγειν τήν θεωρίαν ἕτερά τινα αἰσθητά τηρήματά τε καί ἐνεργήματα καί ἐπιτηδεύματα. Ταῦτα δέ ἅπαντα ὀμφαλοψυχίαν οὐκ οἶδ᾽ ὅπως καλέσας καί δαιμονιώδη ἀπελέγξας, ὡς αὐτός ᾤετο, καί καταστήσας ἑαυτόν μόνον ἀσφαλῆ διδάσκαλον, τοὐντεῦθεν περί προσευχῆς νοερᾶς καί φωτός ἱεροῦ διεξῄει, καί ἀναβάσεις καί μέτρα προετίθει θεωρημάτων καί γνώσεων, καί τό πλεῖστον τῆς ἐν αὐταῖς τελειότητος ἐμαρτυρεῖτο οἱ προσγίνεσθαι παρά τῆς ἔξω παιδείας καί τῆς περί ταύτην σπουδῆς, δῶρον οὖσαν Θεοῦ, τῶν προφήταις καί ἀποστόλοις δεδομένων ὁμοίως.

Εἶχε μέν οὕτω τά τῶν συγγραμμάτων αὐτῷ, καί τούτων οὐ μικρῷ χείρω διενοεῖτο καί συνεσκεύαζε, μέχρις οὗ πυθόμενος τάς ἡμετέρας πρός αὐτόν ἀντιρρήσεις ἐπί τοσοῦτον ἀπεδειλίασεν, ὡς τά γράμματα οἱ ταῦτα συγκλεῖσαι σκόπει καί ὡς σκανδάλων αἴτια καταλιπεῖν τε καί ἀφανίσαι παντάπασιν ἐπ᾽ ἐκκλησίας ὁμολογῆσαι. Ὡς δέ διά τούς λόγους τούτους ἀφείθη καταδίκης δικαίας, ἐνέτυχε δέ καί τισι τῶν ἀντιλεγόντων ἡμετέρων βιβλίων πρός τά τοιαῦτα καί τό ἄφυκτον κατενόησε τῶν ἐλέγχων, τήν αἰσχύνην οὐ φέρων, καθίσας αὖθις, τά μέν ἀπαλείφει τῶν οἰκείων γραμμάτων, τά δέ ἀμείβει, καί τό μέν τῆς ὀμφαλοψυχίας ὄνομα ἐξαλείφει παντάπασιν, ὄνομα μόνον ἐξεληλεγμένον, πράγματος ἐστερημένον καί κατά μηδενός ὑποκειμένου λέγεσθαι δυνάμενον, ὥσπερ ὁ τραγέλαφος καί ἱππάνθρωπος καί ὅσα τῆς ψιλῆς ἐπινοίας ἐστίν. Ἅ δέ δαιμονιώδη πρότερον ἀπεφαίνετο, φυσικά προσαγορεύει νῦν, οὐκ οἶδα καί τοῦτο πῶς. Οἷς δ᾽ ἐνέτυχε τῶν ἐμῶν, τά μέν ὡς μηδ᾽ ἰδών παραλείπει, μηδ᾽ ἀντιβλέψαι πρός ἐκεῖνα τολμῶν, ἔστι δ᾽ ἅ συκοφαντικῶς ἀμείψας, ἔπειτα κατ᾽ ἐκείνων χωρεῖ, καί τοῦθ᾽ οὕτω πράττων, αὐτός ὡς συκοφαντούμενος ἀποδύρεται. (σελ. 266) Πιστεύει δέ ταῦτα οὐδέ τοῖς φίλοις ἑταίροις ἑαυτοῦ πᾶσιν, ἀλλ᾽ ὀλίγοις πάνυ τῶν οἰκειοτάτων, ὧν εἷς ὡς ἐμέ, διακομίσαι ταῦτα δίκαιον ἔγνω, παρ᾽ ἑαυτοῦ τήν ἀπάτην φωράσας κἀμέ ἱκετεύσας ἐμαυτῷ καί τοῖς λόγοις χρήσασθαι, πρός ἕκαστον ἐν μέρει τῶν ὀχυρωμάτων τοῦ ψεύδους ἀντικαθισταμένῳ καί

τό τῆς ἀληθείας φέγγος νόθοις διδασκαλίαις ἀνεπισκόπητον, ἐφ᾽ ὅσον ἄρα δυναίμην, κατασκευάζοντι. Δεῖν οὖν κρίνας ὑπακοῦσαι τῇ καλῇ ἀξιώσει καί συνήγορον ἐμαυτόν αὖθις τῆς ἀληθείας ποιῆσαι πρός δύναμιν, ἄρξομαι καί νῦν ἀπό τοῦ Περί λόγων ἐκείνῳ λόγου, καθάπερ καί πρότερον.

Ἔστι δή αὐτῷ τό προοίμιον τοῦτο˙ «Ὥσπερ ἐπί τῆς ὑγείας οὕτως ἔχει καί ἐπί τῆς φιλοσοφίας˙ αὐτόθεν μέν γάρ δίδοται παρά Θεοῦ καί δι᾽ ἐπιμελείας εὑρίσκεται˙ καί ὥσπερ οὐκ ἄλλο μέν εἶδος ὑγείας δίδοται παρά τοῦ Θεοῦ, ἄλλο δέ διά τῆς ἰατρικῆς παραγίνεται, ἀλλά τό αὐτό, οὕτω κἀπί τῆς σοφίας˙ δίδωσι δέ ἡμῖν ταύτην προφήταις καί ἀποστόλοις Θεός, δέδωκε δέ ἡμῖν τά τε διά τῶν θεουργῶν λόγια καί τά κατά φιλοσοφίαν μαθήματα, δι᾽ ὧν πάλιν τήν σοφίαν ζητοῦντες εὑρίσκομεν». Οὔπω ταῦτα πάνυ δεινά, καίπερ ἐξισάζοντος τά μακρῷ πάνυ καί ὅσον οὐκ ἄν εἴποι τις διαφέροντα˙ καί τά ἀνίατα γάρ ἰᾶται Θεός καί νεκρούς ἐκ τάφων ἀνίστησι καί σοφία προφήταις καί ἀποστόλοις αὐτός ἐστιν ὁ τοῦ Πατρός Λόγος, ἡ πρό αἰώνων σοφία, ὡς καί Παῦλος περί αὐτοῦ λέγει˙ «ὅς ἐγενήθη ἡμῖν σοφία ἀπό Θεοῦ». Ἡ δ᾽ ἐκ τῶν ἔξω μαθημάτων σοφία καί ἡ παρ᾽ ἰατρῶν προσγινομένη ὑγίεια, παρά τοσοῦτον οὐκ ἔστιν ἐκείναις ταὐτό, παρ᾽ ὅσον Ἑλλήνων προφῆται διενηνόχασι, καί Γαληνῶν καί Ἱπποκρατῶν οἱ τοῦ Χριστοῦ μαθηταί, εἰ δέ βούλει καί Χριστός αὐτός, ὁ Ἰησοῦς δι᾽ ἡμᾶς κληθῆναι καταδεξάμενος. Ἴσον τοίνυν ἔμοιγε δοκεῖ ταὐτά τε λέγειν ταὐτά καί πυγολαμπίδι παραπλήσιον εἶναι τόν ἥλιον, ἐπειδήπερ ἄμφω φῶς ἐπ᾽ ἀέρος δεικνύουσιν.

(σελ. 268) Ἀλλά «τά τῶν θεουργῶν», φησί, «λόγις καί ἡ ἐν τούτοις σοφία τῇ παρά τῶν ἔξω μαθημάτων φιλοσοφίᾳ πρός ἕνα σκοπόν ὁρᾷ καί τό αὐτό κέκτηται τέλος, τήν τῆς ἀληθείας εὕρεσιν. Μία γάρ ἡ διά πάντων ἀλήθεια, τοῖς μέν ἀποστόλοις ἀμέσως ἐκ Θεοῦ δοθεῖσα τήν ἀρχήν, παρ᾽ ἡμῶν δέ δι᾽ ἐπιμελείας εὑρισκομένη˙ πρός δή ταύτην τήν θεόθεν τοῖς ἀποστόλοις δεδομένην ἀλήθειαν καί παρ᾽ ἑαυτῶν πέφυκε τά κατά φιλοσοφίαν μαθήματα κἀπί τάς ἀΰλους ἀρχετυπίας ἀνάγεσθαι τῶν ἱερῶν συμβόλων ἀπλανῶς τά μέγιστα συμβάλλεται». Τίς ταῦτ᾽ ἀκούων οὐ νεμεσήσει τῶν εὖ φρονούντων καί τό διάφορον αὐτῶν ὅσον ἐπισταμένων, ὅτι καί συντάττεται γοῦν ὅλως ἡ θεουργική σοφία τοῦ Πνεύματος τῇ παρά τῶν ἔξω μαθημάτων φιλοσοφίᾳ, καί ταῦτα παρά τῶν ταὐτά φρονεῖν δοκούντων ἡμῖν καί τάς ἀντιρρήσεις αἰτιωμένων ὡς πρός ὁμόφρονας; Οὐχ ἡ μέν «ἄγονός τε καί ἄκαρπος»,

κατά τόν Νύσσης θεηγόρον Γρηγόριον, μηδέν δοῦσα τῶν μακρῶν ὠδίων καρπόν, μηδ᾽ εἰς τό φῶς τῆς θεογνωσίας προάγουσα, ἡ δέ τοῦ Πνεύματος γονιμωτάτη τε καί πολύτεκνος, οὐ σύνδυο καί σύντρεις, κατά τά πολυτόκα τῶν ζώων, πεφυκυῖα τίκτειν, ἀλλ᾽ ὅλας χιλιάδας εἰσάπαξ ἀναγεννῶσα κἀκ τοῦ δεινοῦ σκότους, εἰς τό θαυμαστόν τοῦ Θεοῦ μετατιθεῖσα φῶς, ὡς ἐκ τῶν Ἀποστολικῶν πράξεως ἐδιδάχθημεν; Ὅ καί ὁ προφήτης προϊδών καί τοῦ θαύματος γεγονώς ὅλος ἔλεγεν˙ «εἰ ὤδινεν ἡ γῆ αἴφνης, εἰ ἐτέχθη ἔθνος εἰσάπαξ;». Οὐχί τῇ μέν ἀμφισβητήσιμον ἔνεστι τἀληθές καί τῷ ψεύδει συμμιγές, διό καί ἀεί ἐντιλέγεσθαι πέφυκεν, ὡς καί οἱ καθηγεμόνες αὐτῆς συμμαρτυρήσαιεν ἄν, τῇ δέ οὐδείς, κατά τήν θεσπεσίαν τοῦ εὐαγγελίου φωνήν, ἀντιστῆναι δύναται, σαφές καί τοῦ ἐναντίου παντάπασιν ἄμικτον προβαλλομένῃ τό ἀληθές; Οὐχί ταύτης μέν τῆς τῶν θείων λογίων σοφίας τό (σελ. 270) ἀληθές ἀναγκαῖον ἡμῖν ἐστι καί λυσιτελές καί σωτήριον, ἐκείνης δέ τῆς ἔξωθεν προσγινομένης οὐκ ἀναγκαῖον, οὐδέ σωτήριον; Ὅθεν δείκνυται καί διπλοῦν εἶναι τό εἶδος τῆς ἀληθείας, ὧν τό μέν τέλος ἐστί τῆς θεοπνεύστου διδασκαλίας, τό δέ μή ἀναγκαῖον μηδέ σωτήριον ζητεῖ μέν ἡ ἔξω φιλοσοφία, ἐπιτυγχάνει δέ ἧττον. Πῶς οὖν δι᾽ ἀμφοτέρων τούτων μίαν εὑρίσκομεν τήν ἀλήθειαν;

Ἀλλά καί ἡμεῖς ἐπί τήν τῶν ἀναγκαίων ζήτησιν τό ἐξεταστικόν μεταφέροντες τῆς τῶν ἔξω μαθημάτων φιλοσοφίας καί πρός τήν τῶν λογίων σαφήνειαν ἔστιν οἷς τῆς ἐκεῖθεν παιδείας χρώμενοι ῥᾷστ᾽ ἄν ἐκτραπείημεν τοῦ ὀρθοῦ, μή τήν μόνην οὖσαν κλεῖν τῶν ἱερῶν γραφῶν ἔχοντες, τήν χάριν τοῦ Πνεύματος, καί αὐτοῖς τοῖς θεοπνεύστοις λογίοις μή ποδηγούμενοι. Δῆλον γοῦν ὡς ἐντεῦθεν κἀκεῖνα πρός τό λυσιτελοῦν μεταποιεῖταί τε καί μετατάττεται˙ ἀνενδεής μέν γάρ ἡ σοφία τοῦ Πνεύματος, ἐν δέ τῷ ὄντως ἀγαθῷ καί τό μή ὄντως ἀγαθόν ἀγαθύνεται, κατά τήν τοῦ πυρός τε καί φωτός φύσιν, ὡς ἐν ἀμυδρῷ τύπῳ, πυρώδη καί φωτοειδῆ δεικνῦσαν τά πλησιάσαντα. Πῶς οὖν ἕν εἶδος σοφίας ἐκ τῶν ἱερῶν διδαγμάτων καί τῶν ἑλληνικῶν μαθημάτων ἡμῖν προσγενήσεται καί τῇ ἀποστολικῇ σοφίᾳ ταὐτόν, ἥτις ἐν βραχεῖ διαλάμψασα τότε, περιέσχε τῆς οἰκουμένης τά πέρατα, τούς μέν ἔξω σοφούς ἀσόφους ἐλέγξασα, τούς δέ ἰδιώτας τῆς ἰδιωτείας ἐκείνης οὐκ ἀπαλλάξασα, σοφούς δέ καί ἰδιώτας ἐκ τῆς ἀθέου πλάνης μεταθεῖσα πρός τήν εὐσέβειαν; Πῶς οὖν μία ἡ διά τούτων ἀλήθεια; Γνοίη δ᾽ ἄν τις σαφῶς τήν ἀτοπίαν τῶν

τοιούτων ρημάτων, εἰ καί κατά τούς πατέρας τά μαθήματα ταῦτα προσαγορεύσας, εἶτα πειρῷτο συνάπτειν τῇ διδασκαλίᾳ τοῦ Πνεύματος καί τῷ καταλόγῳ τῶν κατά ταύτην θείων δώρων ἐγκρίνειν, φάσκων «ἐδωρήσατο ἡμῖν ὁ Θεός τήν θεόπνευστον διδασκαλίαν καί τήν (σελ. 272) πολυάσχολον ματαιότητα, ἵνα διά τούτων τήν τῶν προφητῶν καί ἀποστόλων σοφίαν κτησώμεθα». Τίς κοινωνία θεοπνεύστῳ διδασκαλίᾳ πρός ματαιότητας; Τί δέ μέλει τῇ θεουργικῇ σοφίᾳ πάσης τῆς ἐν ἀστράσιν ἀληθείας; Καίτοι ὁ φιλόσοφος, οὐ ταύτην τήν ἀλήθειαν ἀπολεξάμενος εἶτα τοῖς πνευματικοῖς καί θείοις ὄντως συνῆψε δώροις, ἀλλά τά κατά φιλοσοφίαν μαθήματα, περιττήν τήν τῶν πονηρῶν δογμάτων ἀκροβυστίαν, ὡς εἰπεῖν, περικείμενα.

Τό μέντοι πρός τήν τῶν ὄντων γνῶσιν εἰσάγειν αὐτόθεν τήν ἔξω φιλοσοφίαν ἴσως οὐ τελέως ψευδές, ὑπό τι γάρ ἄν εἴη ἀληθές, ἀλλ᾽ οὐ τοῦτό ἐστιν ἡ τῶν ὄντων γνῶσις καί ἡ σοφία, ἥν ὁ Θεός προφήταις καί ἀποστόλοις ἀμέσως δέδωκε. Πνεῦμα γάρ ἅγιον ἐκείνη˙ Πνεύματος δέ ἁγίου μετόχους Αἰγυπτίους καί Χαλδαίους καί Ἕλληνας οὐδέπω καί τήμερον ἀκηκόαμεν˙ καί «Πνεῦμα μέν ἅγιον παιδείας» λογισμῶν καί πράξεων ὑπαιτίων μακράν ἀπῴκισται καί «οὔτε εἰς κακότεχνον ψυχήν εἰσελεύσεται» κατά τό γεγραμμένον «οὔτε ἐν σώματι κατοικήσει κατάχρεῳ ἁμαρτίας». Τῆς δέ τῶν κατά φιλοσοφίαν μαθημάτων γνώσεως καί ἡ τοῦ Ἀριστοτέλους παντός μᾶλλον ἐξίκετο ψυχή, ὅν κακότεχνον οἱ θεηγόροι προσεῖπον˙ τί δέ αὐτῷ καί τῆς τοῦ σώματος ἁγνείας τεκμήριον ἔχοι τις ἄν εἰπεῖν; Ἀλλά κἀν τῷ πλατωνικῷ σώματι ἡ τῶν μαθημάτων γνῶσις ἐνῴκει, ὅς μητρί καί θυγατράσιν ἐκείνης συνῴκει δυσί˙ καί τῶν προφητικῶν δέ καί ἀποστολικῶν λογίων εἴ τις ἐξ ἐπιμελείας τήν γνῶσιν κτήσαιτο, τοσοῦτον ἀπέχει τοῦ τήν ἐκείνων ἔχειν σοφίαν, ὁπόσον ὀφθαλμός ἥλιος ἤ σελήνη τελέσαι, τῶν ἀκτίνων ἡλίου τε καί σελήνης μεταλαχών˙ διό τά τῶν προφητῶν εἰδότες προφῆται τυγχάνομεν ὄντες οὐδαμῶς. Καί ἡ μέν ἀποστολική σοφία ἐξ ὀλίγων τῶν κεκτημένων ἐν βραχεῖ χρόνῳ κόσμον (σελ. 274) ὅλον ὑψοῦ πρός οὐρανόν ἦρε τοῖς τοῦ εὐαγγελίου περιβαλοῦσα δεσμοῖς, νῦν δ᾽ εἰς ἕν συνελθόντες ὅσοι νῦν εἰσι σοφοί, κἄν ἐπί πλεῖστον διακαρτερήσωσι σπουδάζοντες, οὐδέ κόσμου μικρόν τι μέρος τοῦ βυθοῦ τῆς ἀσεβείας ἀνασπᾶσθε δυνηθεῖεν ἄν.

Ἀλλ᾽ οὐδ᾽ ἡ παρά τῶν λογίων ἡμῖν προσγινομένη γνῶσις, καίτοι πλεῖστον ἀποδέουσα τῆς τῶν συγγραψαμένων ἐκεῖνα σοφίας, τῇ παρά τῶν ἔξω μαθημάτων χορηγουμένῃ γνώσει ταὐτόν ἄν εἴη. Διό καί περί γενέσεως καί συστάσεως, λύσεώς τε καί μεταποιήσεως, ἀξίας τε τῆς προσηκούσης ἑκάστῳ τῶν ὄντων καί τῶν ἄλλων μεταξύ μικροῦ πάντων πρός τήν ἔξω σοφίαν διαφερόμεθα. Καί τῆς μέν θείας σοφίας τό πλεῖστον εἰς τοῦτο τείνει, γνῶναι τί τό θέλημα τοῦ Θεοῦ, τό ἀγαθόν καί τέλειον καί εὐάρεστον, ὅ ζητεῖν τοσοῦτον ἀπέχει τά κατά τήν ἔξω φιλοσοφίαν μαθήματα, ὁπόσον οἱ πεφυκότες ἀεί πρός γῆν νεύειν χοῖροι τήν ἀστέρων εὔκοσμον εἰδέναι θέσιν. Ὁ δέ ζητητικός τοῦ θείου θελήματος καί τοῦτ᾽ ἐγνωκώς ἐφ᾽ ἑκάστου τῶν ὄντων, τίνος ἕνεκα παρά τοῦ δημιουργοῦ τῶν ὅλων προήχθη, καί κατά τήν θείαν ταυτηνί βούλησιν αὐτοῖς χρώμενος, οὗτός ἐστιν ὁ τούς αἰτιώδεις λόγους τῶν ὄντων εἰδώς, οὗτός ἐστιν ὁ τήν γνῶσιν ἔχων τῶν ὄντων, οὗτός ἐστιν ὁ ἀληθής φιλόσοφος καί τέλειος ἄνθρωπος, κατά τό σολομώντειον ἔπος, «τόν Θεόν φοβοῦ καί τάς ἐντολάς αὐτοῦ φύλασσε, ὅτι τοῦτο πᾶς ἄνθρωπος». Οὗτος δή σοφίαν ἔχει τήν ἀναμφίλεκτον – μαρτυρεῖ γάρ αὐτοῦ τό φρονεῖν ὁ βίος -, ὅς ἀντιλογίαν οὐ παραδέχεται καί αὐτός ἐν ἑαυτῷ τό μαρτύριον ἔχει τῆς συνειδήσεως, πρός δέ τούτῳ καί τήν ἄνωθεν ψῆφον διά τῆς μυστικῆς ἐπιδημίας τε καί ἐμφανείας τοῦ Πνεύματος.

Ὁ δ᾽ ἐκ τῆς ἔξω σοφίας τό φρονεῖν συνειλοχώς, εἴ τινος καί μετέσχηκεν ἀληθοῦς, λόγῳ μόνον τάς πίστεις πρός λόγον, ὡς λόγος, ἀεί παλαίοντι, παρεχόμενος ἀβεβαίου (σελ. 276) σοφίας ἐπιγνώμων καθέστηκεν, ἔστιν ὅτε μηδ᾽ ἑαυτῷ συνᾴδων, μᾶλλον μέν οὖν μέγα φρονῶν καί φιλοτιμούμενος, εἰ τἀναντίας δύναιτο λέγων πείθειν περί τοῦ αὐτοῦ πράγματος˙ οὕτως ἔχει τε καί παρέχει γνώμην ἄστατόν τε καί εὐμετάβολον, τό μεταβατικόν καί μεριστόν τοῦ φρονοῦντος τῆς ψυχῆς ἀχρειοῦσαν, ὥστ᾽ οὐδ᾽ ἀκριβῶς ἄν εἴη λογικός ὁ τοιοῦτος, πόσῳ γε μᾶλλον οὐ νοερός. Τίς οὖν μηχανή τόν ἐκ τοιαύτης διανοίας ὁρμώμενον τάς ἀΰλους ἀρχετυπίας τῶν ἐν τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ θείων ἐποπτεύειν συμβόλων, ὡς ὁ τῶν ἑλληνικῶν μαθημάτων γενναῖος οὗτος ὑπασπιστής ἐξηγεῖται; Ὁ δέ τό τοῦ Θεοῦ θέλημα ζητῶν καί ποιῶν ἐκεῖνο φιλόσοφος, λόγον ἔχων ἔμπρακτον καί πρᾶξιν ἐλλόγιμον, δι᾽ αὐτῶν τῶν πραγμάτων τό ἀπλανές τοῦ μεταβατικοῦ τῶν οἰκείων νοήσεων ἀποδείκνυσι καί ὡς λογικός ὤν ἤδη τελέως καί πρός τό ἑνοειδές τῶν ἀρχετύπων ἀπό τῶν μεριστῶν ἱερῶν

συμβόλων ἀνάγεσθαι δύναται, τελειῶν δι᾿ ἑαυτοῦ νοητῶς τά προκείμενα καί αὐτός δι᾿ αὐτῶν μυστικῶς τελειούμενος˙ ὅς ἔσθ᾿ ὅτε καί τῆς ὑπερτελοῦς θέας καί ἀναβάσεως διά τῆς πνευματικῆς ἐπιτυγχάνει προσευχῆς.

Ἆρ᾿ ἄν ἔχοι τις ἔτι λέγειν ὡς ἥν ἀμέσως προφήταις καί ἀποστόλοις γνῶσιν τῶν ὄντων Θεός ἔδωκε, ταύτην ἡμεῖς διά τῶν ἔξω μαθημάτων εὑρίσκομεν; Οὐ μήν ἀλλ᾿ ἐπεί τῶν ἐν ἡμῖν ἄριστον ἡ γνῶσις τῶν ὄντων, εἰσάγει δέ δι᾿ ἑαυτῶν πρός ταύτην τά κατά φιλοσοφίαν μαθήματα, καί ἡ μέν ἱερά Γραφή σύμβολα προτίθεται ταύτης, ἀνάγει δέ πρός τάς ἀΰλους ἀρχετυπίας τά κατά φιλοσοφίαν μαθήματα, ὡς ὁ φιλόσοφος λέγει, ἄριστα μέν ἡμῖν μαθημάτων ταῦτα, τοσοῦτο δέ κρείττω τῆς θείας Γραφῆς, ὁπόσον συμβόλων ἡ τῶν ἀρχετύπων ἀλήθεια˙ εἰ δέ μή κρείττω ταύτης, ἐξ ἀνάγκης οὐδ᾿ ἧττω, τῶν ἐν ἡμῖν ἀρίστου τῆς γνώσεως οὔσης˙ τῶν γάρ εἰσαγόντων εἰς ταύτην καί ἀναγόντων, τί ποτ᾿ ἄρ᾿ ἄλλο μεῖζον δράσειεν ἄν; Ἔστιν ἄρα τι τῶν ἐκ τῆς θεοπνεύστου (σελ. 178) Γραφῆς ἡμῖν προσγινομένων τῆς τῶν ὄντων γνώσεως ἀσυγκρίτως κρεῖττον, δι᾿ ὅ τά θεουργικά λόγια τῆς φιλοσοφίας ἐκείνης ἀσυγκρίτως ὑπάρχει κρείττω, πρός τό τῆς γνώσεως ἐκεῖνο κρεῖττον μήτ᾿ εἰσαγόντων μήτ᾿ ἀναγόντων παρ᾿ ἑαυτῶν τῶν κατ᾿ αὐτήν μαθημάτων. Ἰατρική δέ καί Θεός, πῶς τήν αὐτήν παρέχει ὑγίειαν, εἰ μή τις ἐπί πολλοστημορίου τοῦτ᾿ εἴποι ταύτης; Οὐδέ γάρ ἐκεῖνο συνιδεῖν ἴσχυσεν ὁ φιλόσοφος, ὡς τῆς μέν παρά Θεοῦ ἰατρείας τε καί σοφίας ἐπί τήν ψυχήν βλέπει τό πλέον, τά δ᾿ ἐξ ἀνθρώπων εὑρήματα ταῦτα, τῷ σώματι μόνῳ μικράν ἐπενεγκόντα τήν θεραπείαν, ἀπρακτοῦσιν ἔπειτα, διαλύσαντος τοῦ θανάτου τό ὑποκείμενον.

Ἀλλ᾿ ἐκεῖνος ταύτῃ τἀληθές ἔχειν ἀποφηνάμενος, «εἰσί», φησίν, «οἵ πρός ταῦτα ἀμφισβητοῦσιν ἡμῖν˙ ἔνιοι μέν γάρ τήν τῶν λογίων ἀνάγνωσιν σύγχυσιν οἴονται, οἱ δέ τά κατά φιλοσοφίαν μαθήματα καί πᾶσαν τήν περί λόγους διατριβήν μηδαμῶς εἶναι δόσιν Θεοῦ». Ὁρᾷς ἀνακεκαλυμμένας τάς συκοφαντίας προβεβλημένας; Τούτων γάρ τό μέν κατά τῶν ἡσυχαζόντων λέγει, τό δέ κατά τῶν λόγων τῶν ἡμετέρων. Ἀλλά τῶν μέν ἐφ᾿ ἡμῶν ἡσυχαζόντων λέγει, τό δέ κατά τῶν λόγων τῶν ἡμετέρων. Ἀλλά τῶν μέν ἐφ᾿ ἡμῶν ἡσυχαζόντων οὐδένα ἔγνωμεν ὅς τοῖς λογίοις οὐ προσανέχει, γράμματα μεμαθηκώς, καί τούς μή γράμματα εἰδότας ἴδοι τις ἄν βίβλους ἄλλας ἐμψύχους ἀπό στήθους τά πλείονα τῶν λογίων εὐφυῶς

ἀπαγγέλοντας. Ἐπεί τοίνυν οὗτοι σαφῶς τοιοῦτοι, πρός τούς πατέρας τείνειν ἔοικεν ὁ λόγος αὐτῷ˙ ὁ μέν γάρ αὐτῶν, φησί, «κόπους καί μή δέλτους», ὁ δέ «τοῦ ἐν πολλοῖς φύλλοις ἀναγινώσκοντος ψιλῶς ψιλοῦται ἡ καρδία», καί ἕτερος «μοναχός διά γνῶσιν καί μή διά κατάνυξιν ἀναγινώσκων οἴησιν κτᾶται». Εἴτε τοίνυν πρός τούτους εἴτε πρός ἐκείνους ὁ λόγος, συκοφαντία σαφής. Οὐ γάρ ἐπί διαβολῇ τῆς ἱερᾶς Γραφῆς (σελ. 280) τοιαῦτ᾽ ἄττα παρ᾽ ἐκείνων εἴρηται˙ τήν πρᾶξιν δέ εἰδότες, ἀλλ᾽ οὐ τήν γνῶσιν σώζουσαν, καί τοῦ ἀποστόλου πυθόμενοι μή τούς ἀκροατάς τοῦ νόμου, τούς δέ ποιητάς σωθήσεσθαι λέγοντος, ἐπί τοῦτο καί αὐτοί τούς πυθμένους διά τῶν τοιούτων λόγων προτρέπονται.

Κἀγώ δέ εἰπών διατελῶ μεμνημένος, μετά τό «διελεῖν καί διαρρίψαι» πᾶν ὅ τι τῆς θύραθεν σοφίας μυθῶδες καί κακόδοξον, ὡς ἡ ἐκ τῆς ἔξω παιδείας γνῶσις «πνευματικόν μέν δῶρον οὐδ᾽ οὕτως ἄν κληθείη, φυσικόν δέ, διά τῆς φύσεως δεδομένον ἡμῖν παρά Θεοῦ καί μελέτῃ πρός ἐπίδοσιν ἀγόμενον, ὅ καί τεκμήριον ἐναργές ὡς φυσικόν, ἀλλ᾽ οὐ πνευματικόν ἐστι δῶρον, τό μή μελέτης ἄνευ μηδενί τῶν ἁπάντων παραγίνεσθαι˙ Θεοῦ γάρ κυρίως δῶρον ἐν ἁγίῳ Πνεύματι δεδομένον, ἀλλ᾽ οὐ φυσικόν, ἡ καθ᾽ ἡμᾶς θεοσοφία, ἥ κἄν ἁλιεῦσιν ἄνωθεν ἐπιπτῇ, βροντῆς υἱούς ἀπεργάζεται». Καθάπερ γάρ «τοῦ Κυρίου μέν ἐστιν ἡ γῆ καί πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ», ὀλίγοι δέ οἱ τοῦ Θεοῦ, εἰ καί πάντες πλάσματα τόν αὐτόν δήπου τρόπον καί Θεός μέν ἐστιν ὁ παρέχων ἀνθρώπῳ γνῶσιν, ὀλίγοι δέ εἰσιν οἱ τήν σοφίαν κτησάμενοι τοῦ Πνεύματος, εἰ καί πάντες ὑπ᾽ αὐτοῦ φύσει λογικοί καί ἐπιστήμης δεκτικοί γεγόνασιν. Ἆρ᾽ οὖν οὐ συκοφαντεῖ περιφανῶς τόν λέγοντα φυσικόν δῶρον ὁ λέγων μηδεμῶς εἶναι λέγειν δόσιν Θεοῦ; Τίνος γάρ ἡ φύσις δόμα; Οὐχί τοῦ Θεοῦ; Τίνος οὖν οὐδαμῶς ἐκ Θεοῦ λέγει, ὅ διά τῆς φύσεως φησιν ἐκ Θεοῦ δεδομένον;

Ἀλλ᾽ ἐκεῖνος ἔπειτα πειρᾶται δεῖξαι, μᾶλλον δέ ἀποδείκτως ἀποφαίνεται, ὡς αὐτός μέν τῷ μεγάλῳ Διονυσίῳ ὁμολογεῖ, ἡμεῖς δ᾽ οὔ. Καί ἡ συκοφαντία εὐθύς ἐγγύς, παριστῶσα αὐτῷ ἄττα παραστῆσαι οὐδαμῶς ἴσχυσε˙ «διά τοῦτο γάρ οὐχ ὁμολογεῖς», φησί, «τῷ θείῳ Διονυσίῳ, ἐπειδή τήν φιλοσοφίαν ἐκ δαιμόνων τε φανῆναι καί εἰς δαίμονας (σελ. 282) φέρειν δισχυρίζῃ». Μετά τοῦτο δ᾽ αὖθις, ὥσπερ ἐπιλαθόμενος αὐτός ἑαυτοῦ, «περί τῆς φιλοσοφίας ταύτης», φησίν, «ἥν αὐτοί πρεσβεύομεν, τάς αὐτάς ἡμῖν ἀφῆκας φωνάς». Πῶς ἄν τις μᾶλλον δείξειεν ἑαυτῷ ἀντικείμενος ὤν; Ἀλλ᾽ ἐκεῖνο πόθεν

ἔχεις λαβών, ὡς ἐκ δαιμόνων φανῆναι καί εἰς δαίμονας φέρειν τήν φιλοσοφίαν διισχυρίζομαι; «Ὅτι», φησί, «τῶν Ἑλλήνων τούς ἄκρους παράγεις λέγοντας ἀριδήλως ἐκ δαιμόνων ἐπιπνοίας τήν γνῶσιν δέξασθαι». Τί οὖν δία τούτου συμπεραίνομεν ἐκεῖ; Βούλει προθῶμεν αὐτά τά ρήματα; Ἆρ᾽ οὖν «Θεοῦ σοφίαν ἐροῦμεν ἔχεις τούς τοιαῦτα περί σφῶν αὐτῶν λέγοντας; Οὐχί, ἕως ἄν ἡμῶν αὐτῶν ὦμεν καί τῆς ὄντως σοφίας θεραπευταί, ἥτις εἰς κακότεχνον καί δαίμοσι φίλην οὐκ εἰσέρχεται ψυχήν˙ κἄν εἰσελθοῦσα φθάσῃ, μεταβαλούσης ἐπί τό χεῖρον, ἀφίπταται˙ Πνεῦμα γάρ ἅγιον παιδείας ἐπαναστήσεται ἀπό λογισμῶν ἀσυνέτων, κατά Σολομῶντα τόν Θεοῦ σοφίαν εὐμοιρηκότα καί περί αὐτῆς συγγραψάμενον. Τί δέ ἀσυνετώτερον τῶν μέγα φρονούντων ἐπί τῷ δαίμοσι τελεῖσθαι καί προσμαρτυρούντων ἐκείνοις τήν χορηγίαν τῆς σφετέρας αὐτῶν σοφίας; Οὐ γάρ περί φολοσοφίας ἁπλῶς λέγομεν ἅττα λέγομεν νῦν, ἀλλά περί τῆς τῶν τοιούτων φιλοσοφίας˙ εἰ γάρ καί κατά Παῦλον οὐ δύναταί τις ποτήριον Κυρίου πίνειν καί ποτήριον δαιμονίων, πῶς ἄν δυνηθείη τις Θεοῦ σοφίαν ἔχειν καί ὑπό δαιμόνων ἐμπνεῖσθαι;». Τί οὖν ἐστιν ὅ φαμεν; Τούς ἐκ δαιμόνων τήν ἑαυτῶν σοφίαν εἰπόντας δαιμονιώδεις παρά τοῦτο σοφούς εἶναι ἀποφαινόμεθα. Σύ δέ δι᾽ ὅ τῶν εἰρηκότων κατεψηφισάμεθα, τοῦθ᾽ ἡμῖν προφέρεις. Δέδοικα μή καί σοῦ τῇ γλώττῃ βάσκανός τις δαίμων τό συκοφαντεῖν ἐνηχεῖ. Δαιμονιώδη μέν οὖν ἡμεῖς τήν τῶν ἀσεβῶν σοφίαν διά τάς ἐν αὐτῇ κακοδοξίας προσείπομεν, Γρηγόριος δέ ὁ τῆς θεολογίας ἐπώνυμος (σελ. 284) πλάσματα τοῦ πονηροῦ τούς κακοδόξους ὠνόμασεν˙ ἆρ᾽ οὖν ἐκ τοῦ πονηροῦ τήν γένεσιν ἐσχηκέναι τούτους ἐδόξαζεν; Οὐμενουν, ἀλλ᾽ αὐτῶν τήν πονηράν δόξαν διασύρει διά τοῦ τοιούτου προσρήματος. Φανερόν οὖν οὐδέν ἧττον, ὅτι μή καί μᾶλλον, ὡς καί ἡμεῖς τήν πονηράν χρῆσιν οὐκ ἐπαινοῦμεν, ἀλλ᾽ οὐκ αὐτό τό πρᾶγμα κακίζομεν.

Συνείρει δέ τούτοις ἐφεξῆς καί δευτέραν συκοφαντίαν ὁμοίαν, ἐκ δαιμόνων εἶναί με λέγων καί τήν ἀστρονομικήν μέθοδον, ἐπειδήπερ ἐκ τῶν αὐτῶν τά αὐτά, τῶν τε φιλοσόφων ἐκείνων καί τῶν ἀστρονόμων, καταψηφίζομαι. Καί πολλά ταύτην ἐγκωμιάσας αὐτός, εἶθ᾽ ὡς ἀκούσας «εἰκονογνώστης» βαρέως ἤνεγκεν, ὥσπερ ἄν οὐκ αὐτός ὤν ὁ πρότερος τῷ τῆς ἐκκλησίας ἀκριβεστέρῳ μέρει, καθάπερ αἱρεσιώταις, καινήν καί δεινήν ἐπωνυμίαν πρός διαβολήν ἐπιθείς. Ἀλλ᾽ οὐ πολύ τό ἐν μέσῳ, καί μεταβαλών περί ταυτησί φησι τῆς

ὕβρεως δυσχεραίνειν οὐκ ἄξιον, ὡς Χριστοῦ μαθητής, οὐδέ τοῖς ἴσοις ἀμείβεσθαι τῆς ἐντολῆς μεμνημένος, ὁ πολλαπλασίως ἀνθυπενεγκών καί ἀκρατῶς πάσῃ καθ᾽ ἡμῶν κεχρημένος διαβολῇ. Καίτοι τείνει μέν ἡμῖν τά πρότερα τῶν συγγραμμάτων πρός ἐκεῖνον οὐδαμῶς, πρός δέ τά ὑπό τῆς φήμης θρυλούμενα καί πρός τούς λόγους ἀντεπεξάγω τόν λόγον, οὐ πρός τόν λέγοντα· καί τοσοῦτον ἀπέχω συκοφαντίαις χρῆσθαι περί τούς ἐκείνου λόγους, ὥσπερ ἐκεῖνος περί τούς ἡμετέρους, ὥστε καί τά χείρω τῶν ὑπ᾽ ἐκείνου λεγομένων παρῆκα. Τό δέ μεῖζον ὡς οὐχ ὑπέρ ἐμαυτοῦ γράφω, ἀλλ᾽ ὑπέρ τῶν ἐπηρεαζομένων ἁπλουστέρων ἀδελφῶν, τό βάρος ἐκείνων αὐτός βαστάσας κατά τήν ἀποστολικήν ἐντολήν. Ἐκεῖνος δ᾽ ὑπέρ ἑαυτοῦ γράφει καί πρός ἐμέ σαφῶς ἀποτείνεται καί, τῶν ἐμῶν ρητῶν ἔστιν ἅ φανερῶς προβαλλόμενος, πολύς γίνεται διαστρέφων καί ἀντικείμενος. Τό δέ (σελ.286) χεῖρον ὅτι αὐτός τῆς ἐπηρείας ταύτης καί ἄρξας καί ἀμυνόμενος, εἶθ᾽ ὡς μήτ᾽ ἄρξαντα μήτ᾽ ἀμυνόμενον δικαιοῖ αὐτός ἑαυτόν ὡς Χριστοῦ μαθητήν, «ὅς λοιδορούμενος οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δέ τῷ κρίνοντι δικαίως».

Ἀλλά γάρ ὥσπερ ἀναβαθμοῖς κακῶν χρώμενος, ἐπί τά χείρω προκόπτει καί κατά τῶν ἁγίων χωρεῖ, νῦν μέν ἀναίδην ἀντιλέγων αὐτός αὐτοῖς, νῦν δ᾽ ἀντιλέγοντας ἑαυτοῖς καί ἀλλήλοις ἐλέγχων, ἔστι δ᾽ οὗ καί τάς αὐτῶν ρήσεις παραχαράττων καί προβαλλόμενος. Τοῦ γάρ σοφοῦ τά θεῖα Γρηγορίου τοῦ Νύσσης οὐχ ὁμοίαν τήν διαγωγήν εἶναι λέγοντος ἐν τῷ μέλλοντι τοῦ τε διά πάσης ἀρετῆς ἥκοντος καί τοῦ μηδέ ὅλως μετεσχηκότος τοῦ βίου, τῷ νήπιον ἐντεῦθεν ἐκεῖσε μεταχωρῆσαι πρός ὥρας ἀναρπαθέν («ὁ μέν γάρ διά πάσης» φησίν, «αἰσθήσεως καί παντοίας παιδεύσεως ἔγνω καί εὐηρέστησε Θεόν, τό δέ ἀγύμναστον καί ἀτριβές τήν διάνοιαν διῆλθε τόν βίον»), αὐτό τό διά παιδεύσεώς τε καί τῶν μαθημάτων ὠφεληθῆναί τινα ὁ σοφός οὗτος ᾠήθη ἕρμαιον εὑρεῖν κατά τε τῶν τοῦ μεγάλου Βασιλείου καί τῶν λόγων τῶν ἡμετέρων. Τοῦ γάρ μεγάλου Βασιλείου πρός μαρτυρίαν ὑπ᾽ ἐμοῦ παρηγμένου καί ματαίαν λέγοντος γεωμετρίαν τε καί τήν ἐπί τῇ γεωμετρίᾳ σχολήν, ἥν ἐξεῦρον Αἰγύπτιοι, σχήματά τε καίσκιάς καί μετεωρολογίαν τήν παρά τῶν Χαλδαίων τετιμημένην, αὐτός ἀντιτίθησιν ὡς μή ἀδελφά φρονοῦντα τούτῳ τόν ἀδελφόν, καί σύν ἐκείνῳ καί πρός ἐμέ ἀντιλέγοντα. Πρός ὅν ἄν τις εἶπεν· ὦ θαυμάσιε, ὁ διά πάσης ἀρετῆς ἥκων κἀκ τῶν ματαίων ὠφέληται, ὡς καί Γρηγόριος φησίν ἐκ τῆς δεισιδαίμονος πλάνης ἐν Ἀθήναις

ὠφεληθῆναι, «καταγελάσας δαιμόνων, οὗ θαυμάζονται δαίμονες». Εἴ τις οὖν βλαβεράν τήν δεισιδαιμονίαν ἐρεῖ, οὐ τοῦτο ἀντιλέγειν ἐρεῖς τῷ μεγάλῳ; Πάντως ἥκιστα φαίης, εἰ μή καί (σελ. 288) δεισιδαίμων ἐθέλεις εἶναι. Τόν αὐτόν ἄρα τρόπον οὐδέ τῷ λέγοντι καί παρά γεωμετρίας καί τῶν ἄλλων μαθημάτων ὄνησιν εἶναι τινα γενέσθαι τῷ διά πάσης ἀρετῆς ἥκοντι ὁ λέγων ἐκείνην ματαίαν καί βλαβεράν ἀντιλέγει. Συνεργεῖ γάρ τό κακόν τῷ ἀγαθῷ προαιρέσει οὐ καλῇ καί σάρξ ὄφεως τροφή γίνεται σωτήριος, ἀλά θανατωθέντος αὐτοῦ καί μετασκευασθέντος μεγαλοτέχνου μεθόδοις ἰατρικῆς. Οὐδέ γάρ ἐπ᾽ ἐκείνων οἱ ἐξευρόντες Αἰγύπτιοι καί οἱ τετιμηκότες Χαλδαῖοι ὡς πρός θεογνωσίαν λυσιτελούσας γεωμετρίαν τε καί ἀστρονομίαν ἐξεῦρόν τε καί ἐτίμησαν, ἀλλ᾽ οἷόν τι δεινόν διατείχισμα μέσον Θεοῦ καί ἀνθρώπων ἀνήγειραν καί διά τῶν μαθημάτων σεμνολογήσαντες ἀνήγαγον μέν πρός ἀστέρας τό παρ᾽ ἀνθρώπων τῷ θεῷ ὀφειλόμενον σέβας, κατέσπασαν δέ τήν αἰτίαν τῶν τε ὄντων καί γινομένων ἀπό τοῦ Θεοῦ ἐπί ταῦτα.

Ὁρᾷς ὅπως ὄφις νοητός, τό γε εἰς ἐκείνους ἧκον, ταυτί τά μαθήματα χωρίζοντα τοῦ Θεοῦ δι᾽ ἀπάτης τόν ἄνθρωπον; Εἰ δ᾽ ὁ διά πάσης ἀρετῆς ἥκων καί δι᾽ αὐτῶν ὤνατο, ἀλλά καθελών τε καί διελών καί συσκευασάμενος καί σύν λόγῳ χρησάμενος, ὡς αὐτός εἰσηγοῦμαι πρός ὅν ἀντιλέγειν κακῶς προήρησαι, πρός δέ μηδ᾽ ἐν τῇ τῶν ματαίων ἐρεύνῃ καταγηράσας, ἀλλά συνιδών ὧν ὑπερορᾶν δέον, ὡς καί Ἀθανάσιος ὁ μέγας, ἑλόμενός τε τήν ὠφέλιμον παιδείαν καί ἀποταγήν ποιησάμενος τῆς ἀνονήτου καί βλαβερᾶς, ὡς ὁ μέγας φησί Βασίλειος, Βασίλειος ὁ καλῶς τόν αἰγύπτιον πλοῦτον, τήν ἔξω δηλαδή παίδευσιν, κατά τόν τῆς νεότητος χρόνον ἐμπορευσάμενος, εἶτα τήν ἡλικίαν προήκων ἀποταξάμενος ταύτῃ δῆλος ὤν ἐν αἰσχύνῃ τιθέμενος τῆς ἁγίου ταύτης παῖς τουτέστι μαθητής ὀνομάζεσθαι, κατά τό περί Μωσέως ὑπό τοῦ ἀδελφοῦ εἰρημένον˙ «εἰ γάρ ἡ ἄγονός τε καί (σελ. 290) στεῖρα βασιλέως οὖσα θυγάτηρ, ἥν οἶμαι», φησί, «τήν ἔξω κυρίως νοεῖσθαι φιλοσοφίαν, ὑποβαλλομένη τόν νέον μήτηρ τοῦ τοιούτου κληθῆναι κατασκευάσειεν, ἕως τότε συγχωρεῖ ὁ λόγος μή ἀπωθεῖσθαι τήν τῆς ψευδωνύμου μητρός οἰκειότητα, ἕως ἄν τις τό ἀτελές τῆς ἡλικίας ἐν ἑαυτῷ βλέπῃ˙ὁ δέ πρός ὕψος ἀναδραμών, ὡς περί Μωσέως ἐμάθομεν, αἰσχύνην ἡγήσεται τῆς ἀγόνου παῖς ὀνομάζεσθαι˙ ἄγονος γάρ ὡς ἀληθῶς ἡ ἔξωθεν παίδευσις, ἀεί ὠδίνουσα καί μηδέποτε ζωογονοῦσα τῷ τοκετῷ. Τίνα γάρ ἔδειξε

καρπόν τῶν μακρῶν ὠδίνων ἡ φιλοσοφία; Οὐ πάντες ὑπηνέμιοί τε καί ἀτελεσφόρητοι, πρίν εἰς τό φῶς ἐλθεῖν τῆς θεογνωσίας ἀμβλίσκονται, δυνάμενοι ἴσως γενέσθαι ἄνθρωποι, εἰ μή διόλου τοῖς κόλποις τῆς ἀγόνου σοφίας ἐνεκαλύπτοντο;». Οὐκοῦν τοσοῦτόν τις ταύτῃ συζήσῃ, ὅσον μή δοκεῖν ἄμοιρος εἶναι τῶν παρά ταύτῃ σεμνῶν.

Οὕτω τά αὐτά φρονοῦσιν ἀλλήλοις οἱ ἅγιοι καί ἡμεῖς ἐκείνοις ἀσφαλῶς ἑπόμεθα. Σέ δέ τόν σαφῶς καί τάς ρήσεις τῶν ἁγίων παραχαράττοντα, πῶς ἐξηγητήν ἐκείνων δεξαίμεθα; Τούτου γάρ τοῦ μηδ᾽ ἀνθρώπους ἀξιοῦντος τούς καθ᾽ Ἕλληνας σοφούς καλεῖν καί τό δύνασθαι γενέσθαι τούτους κατ᾽ ἀνθρώπους ἐπιδιστάζοντος, καί ταῦτα παρ᾽ οὐδέν ἕτερον ὅτι μή τῷ διά βίου τῇ φιλοσοφίᾳ ταύτῃ προσέχειν καί τοῖς κατά φιλοσοφίαν μαθήμασι, τούτου τοίνυν περί τοῦ μετασχόντος ἐπί πολύ τοῦ παρόντος βίου διεξιόντος, ὡς «εἶδεν», ἤκουσεν, ἐπαιδεύθη γεωμετρίαν τε καί ἀστρονομίαν καί πᾶσαν μέθοδον, καί πρό γε τούτων τήν τῆς θεοπνεύστου Γραφῆς φιλοσοφίαν, τελείαν ἐπάγουσαν τῇ ψυχῇ κάθαρσιν», καί διά τῆς ἑνικῆς πτώσεως τῇ θεοπνεύστῳ Γραφῇ μόνῃ προσμαρτυροῦντος τήν τελείαν κάθαρσιν, αὐτός διαστήσας τόν λόγον τῶν πρό αὐτοῦ καί ἀμείψας εἰς πληθυντικόν ρῆμα τήν ἑνικήν πτῶσιν καί ἀντί τοῦ "ἐπάγουσαν" "ἐπάγουσιν" εἰπών (σελ. 292) καί προσγράψας τό " ταῦτα" καί τάς ἀνωτέρω αἰτιατικάς στρεβλῇ γνώμῃ πρός εὐθεῖαν μετενεγκών, ὡς τελείαν ψυχῆς κάθαρσιν τήν γεωμετρίας καί ἀστρονομίας εἴδησιν εἰπόντα παράγει τόν ἅγιον. «Ἄκουσον δή», φησί, «καί ἅ λέγει περί τῶν μαθημάτων ὁ θεῖος Γρηγόριος ὁ Νύσσης˙ γεωμετρία τε γάρ καί ἀστρονομία καί ἡ διά τοῦ ἀριθμοῦ κατανόησις καί πρό γε τούτων ἡ τῆς θεοπνεύστου Γραφῆς φιλοσοφία, τελείαν ἐπάγουσι ταῦτα κάθαρσιν ταῖς ψυχαῖς». Ὦ παντόλμου καί χειρός καί γλώττης καί διανοίας˙ καίτοι ὁ θεολόγος ἐκεῖνος καί θεόπνευστον μόνην προσεῖπε τήν τῆς θείας Γραφῆς φιλοσοφίαν, ἵν᾽ ἐκεῖνα μέν αἰσθήσει δείξῃ συντάττων καί ταῖς ἀπ᾽αὐτῆς πρός θεοσέβειαν συντελείαις, τήν δ᾽ ἱεράν Γραφήν τοσοῦτο διαφέρουσαν μαθημάτων, ὁπόσον καί τά θεῖα τῶν ἀνθρωπίνων διενήνοχεν, ὁ δέ οὐδέ οὕτως ἐδυνήθη, μᾶλλον δέ ἐβουλήθη, συνιέναι, ἀλλ᾽ ὅπερ αὐτός ἀρχόμενος τοῦ λόγους πεποίηκε, συνάψας δοίως τά ἑλληνικά μαθήματα καί τήν θείαν Γραφήν καί ἕν καί τό αὐτό τούτων ἀποφηνάμενος τέλος, τοῦτο νῦν ὡς εἰρηκότα διαβάλλει τόν ἅγιον, καίτοι ἐκεῖνος ἐνταῦθα οὐ τήν

εἴδησιν τῶν ὄντων λέγει κάθαρσιν, ἀλλά τήν ἐξ εἰδήσεως τῶν ὄντων τοῦ καθ᾽ ὑπεροχήν ὄντος κατάληψιν.

Εἰ δή τις μή κατασαπείς ἐν τοῖς βιβλίοις μηδέ καταγηράσας ἐν τῇ τούτων ἐρεύνῃ τοσοῦτον ἐπέγνω Θεόν, ὡς πάντα ἐφέμενος τούτῳ καθαρῶς προσχωρῆσαι, πόσῳ καθαρώτερος τοῦ πάντα φυλοκρινοῦντος καί τήν εἴδησιν ἁπάντων δοκοῦντος ἔχειν, εἶτα περί τόν κόσμον τοῦτον ἐπτοημένου καί πρός τοῦτον κενοῦντος τό φιλοῦν τῆς ψυχῆς τό πᾶν ἤ τό πλέον καί τόν ὑπέρ πάντα μή ἐξ ὅλης ψυχῆς καί καρδίας ἠγαπηκότος Θεόν; Ἄλλως τε, εἰ μέν τήν ἐν τοῖς οὖσιν ἀλήθειαν εὑρήκασι Ἕλληνες, καλῶς καί σύ τούτοις ἑπόμενος διά τῶν κατ᾽ ἐκείνους μαθημάτων ταύτην εὑρεῖν ἰσχυρίζῃ, ἐπεί δ᾽ἐκεῖνοι γνώσεως ὑψώματα κατά Θεοῦ ἐγείρειν ἐπιχειρήσαντες, (σελ. 294) μᾶλλον τῶν ἐπί τῆς Χαλάνης τόν πύργον οἰκοδομούντων διῃρέθησαν τάς γλώσσας, ὡς μή διαφωνεῖν μόνον, ἀλλά καί κατ᾽ ἀλλήλων φωνεῖν, τίνι τῶν ἀντιφωνούντων αὐτός δώσεις τήν τῆς ἀληθείας οἰκοδομήν, ὅπως ἑπόμενοι τούτῳ διά τῆς ἀληθείας ταύτης τήν πηγήν τῆς διά πάντων ἀληθείας εὕροιμεν; Ἡμεῖς ἐκεῖνον μόνον ἴσμεν ὄντα τῆς ἀληθείας εὑρετήν καί ῥήτορα, ὅς ἀπό Θεοῦ λαλεῖ, ὅς φησιν, «ἡμεῖς δέ νοῦν Χριστοῦ ἔχομεν»˙ καί πάλιν, «ἡμεῖς δέ λαλοῦμεν Θεοῦ σοφίαν». Τούτῳ τοίνυν ἡμεῖς καί τοῖς κατ᾽ αὐτόν μετά τῆς προσηκούσης ἑπόμενοι πίστεως, πρός κτῆσιν θείας καί σωτηρίου σοφίας χειραγωγούμεθα˙ δεῖν δ᾽ οὗτος οὐκ ἔγνω λόγους ἐξαγγέλλειν ἡμῖν κτισμάτων καί διά διαιρέσεως καί ἀναλύσεως καί συλλογισμοῦ καί ὁρισμῶν παιδεύειν καί προάγειν ἡμᾶς. Διατί; Ὅτι «ἐάν μή εἰδῶμεν τήν ἐν τοῖς τοιούτοις ἀλήθειαν, οὐδέν ἡμῖν ἐμποδίσει πρός τήν ἐν ἐπαγγελίαις μακαριότητα», κατά τόν μέγαν Βασίλειον. Πρός ὅν σύ σαφῶς ἀντιλέγων φωραθείς, ἐσκοτισμένους καί ἀνάγνους καί ἀτελεῖς ἀποφαινόμενος τούς μή εἰδότας τήν ἐν τοῖς τοιούτοις ἀλήθειαν, εἶτ᾽ οὐκ ἐντρέπῃ οὐδέ ἐγκαλύπτῃ οὐδέ καταδύσει σαυτόν, ἀλλ᾽ ἐπαγωνίζῃ τῷ ψεύδει καί τῇ κακίᾳ προστίθης, τάς τοῦ Θεοῦ ἐντολάς τῶν μαθημάτων ἄνευ μή δύνασθαι φάσκων καθᾶραι καί τελειῶσαι τόν ἄνθρωπον. Ἡμῖν δ᾽ εἰ καί ἀναμφισβήτως ἀκριβοῦς ἦν ἀληθείας ἡ τῶν Ἑλλήνων παιδεία, οὐδ᾽ οὕτως ἄν διαφερόντως περισπούδαστος ἐτύγχανεν οὖσα˙ καί τούτου γάρ ἀπόντος τοῦ μέρους τῆς ἀληθείας, ἡ ἀληθής μακαριότης ἀνύσιμος. Ἐπεί δέ καί τήν ἀλήθειαν ταύτην ἀμφισβητήσιμον ἡ τῶν Ἑλλήνων ἔχει παιδεία, πῶς ἄν σε παραδεξαίμεθα λέγοντα πρός ἕν καί ταὐτό φέρειν ταύτην εἶδός τε καί

τέλος τῇ παρά τοῦ Θεοῦ δεδομένῃ σοφίᾳ, τῇ ὄντως ἀληθεῖ, τῇ ὄντως σωτηρίῳ, τῇ τῷ αἰῶνι τούτῳ μή συνδιαλυομένῃ;

(σελ. 298) Μετά δή τό μεγαλορρημονῆσαι, ὡς ὑπευθύνους ἡμᾶς λαβών, ἅτε τοῖς παρακεχαραγμένοις ὑπ᾽ αὐτοῦ ρητοῖς ἀντιλέγοντας, πρός αὐτούς διακηρύττεται τούς λογικούς οὐρανούς, τούς ἀποστόλους λέγω. Τοῦ μέν γάρ ἀδελφοθέου δύο σαφῶς λέγοντος σοφίας, τήν μέν ἄνωθεν, τήν δέ κάτωθεν, καί τήν μέν ἁγνήν καί ἐπιεικῆ, τήν δέ ψυχικήν καί δαιμονιώδη, καί τοῦ Παύλου δύο σοφίας ἐμφήναντος τῷ λέγειν «ἐπεί ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος διά τῆς σοφίας τόν Θεόν», αὐτός διαρρήδην μάχεται τοῖς δύο ἤ καί πλείους λέγουσι σοφίας, καί τό αἴτιον ὅτι «μηδείς πω», φησίν, «ὡρίσατο τήν τοῦ δεῖνος ἤ τοῦ δεῖνος γνῶσιν σοφίαν». Ἀλλά μήν ὁ ἀδελφόθεος, ὦ φιλόσοφε, τήν μέν γνῶσιν τοῦ ἐκ τῆς καλῆς ἀναστροφῆς δεικνύντος τά ἔργα αὐτοῦ σοφίαν ὡρίσατο ἁγνήν καί οὐράνιον, τήν δέ γνῶσιν τοῦ μή ζῶντος ἐν ἀναστροφῇ καλῇ σοφίαν ὡρίσατο ψυχικήν καί δαιμονιώδη καί ἐπίγειον. Εἰκότως˙ ἡ γάρ αὐτή τοῖς τρόποις τῶν κεκτημένων συμμεταβάλλουσα, τάς ἐναντίας σοφίας ταῖς ψυχαῖς ἐνειργάσατο˙ ἄλλως τε, εἰ μηδενός ἐπιστήμη φιλοσοφία ἐστίν, οὐδέ φιλόσοφος ἐστιν οὐδείς οὐδαμοῦ καί ἀπολώλεκας σύ σαυτόν διά τούς σαυτοῦ λόγους, ὦ φιλόσοφε, ἤ οὐκ οἶδ᾽ ὅπως σε ὀνομάσω, ἐν οὐδεμιᾷ ψυχῇ κατά σέ τῆς φιλοσοφίας ἐχούσης ἵδρυσιν, μηδ᾽ ἐπωνύμου ταύτης τῶν ἁπάντων οὐδενός ὄντος.

Τί δ᾽ ὁ λέγων «σοφία πρώτη σοφίας ὑπερορᾶν τῆς ἐν λόγῳ κειμένης καί ταῖς κιβδήλοις καί περιτταῖς ἀντιθέσεσιν», ἥν καί ἐπαινεῖν καί «ἀσπάζεσθαι», φησίν, «ὡς τήν καταργουμένην σοφίαν νικήσασαν»; Ἆρ᾽ οὐ διαφόρους εἶναι σοφίας δείκνυσι; Τήν μέν γάρ ἐπαινεῖν φησι καί ἀσπάζεσθαι πρώτην τε οὖσαν καί τήν ἑτέραν νικῶσαν, τήν δέ ὑπεροπτέαν ἡγεῖται καί κατηργημένην καί ἡττημένην, ἅτε περιττάς ἔχουσαν καί διά τοῦτο κιβδήλους τάς ἀντιθέσεις, ἥν καί ἡμεῖς (σελ. 298) Θεοῦ καλεῖν σοφίαν ἀξιοῦμεν ἥκιστα˙ τήν δέ, καί κακοδοξίας ἀντεχομένην, οὐκ ἄν ἀπαξιώσαιμεν καί πονηράν προσειπεῖν, ὁποία ἐστίν ἡ τοῦ Πλάτωνος, μετά τῆς ἀκτίστου ὕλης καί τῶν αὐθυπάρκτων ἰδεῶν καί τῶν δημιουργῶν, τῶν ὑστερογενῶν δαιμόνων, ἔτσι καί τό αὐτό πείθουσι εἶναι καλόν τε καί μή καλόν, ὅσιόν τε καί μή, καί ἁπλῶς αὐτή ἑαυτῇ διά περιττότητα μάτην ἐναντιουμένη, καί λέγειν μέν περί παντός ἐπιχειροῦσα τοῦ προτεθέντος, περαίνουσα δέ σχεδόν συνετόν οὐδέν, οἷά ἐστι καί τά

σεβόμενα παρ᾽ αὐτῶν, ἅ κατά τόν ἐκ παιδός ἱερόν Σαμουήλ «περανοῦσιν οὐθέν». Εἰ δέ σύ, τοῖς εἰρήνην ἄγουσι καί ταῖς περιτταῖς ἀντιθέσεσιν ἀποταξαμένοις θέλων πολεμεῖν, προφασίζῃ προφάσεις ἐν ἁμαρτίαις, δόγματα καινοτομῶν καί ὀνόματα συναιρόμενά σοι πρός τό φίλερι καί φιλόμαχον, ἡμεῖς ἑτοίμως ἑψόμεθα, τῶν συντρόφων ἡμῖν καί κοινῇ δοκούντων ἀρίστων νοημάτων τε καί ῥημάτων ὀλιγορήσαντες; Οὐκ ἔσται τοῦτο, οὐκ ἔσται. Τίς γάρ δή καί τῶν ἄλλων ἁπάντων ἀνθρώπων καί τῶν ἐξ ἀνθρώπων γενομένων ἁπάντων, εἰ περιῆσαν, ὑπέσχεν ἄν σοι πειθήνιον οὗς λέγοντι καί κατασκευάζοντι ὅτι τέλειος ἄνθρωπος καί φιλόσοφος καί κεκαθαρμένος ἐστίν ὁ πάντα εἰδώς, ἵν᾽ ἐντεῦθεν συναγάγῃς τά δεῖν ζητεῖν μανθάνειν, εἴ τις ἐπαγγέλλεταί τι εἰδέναι, κἄν θεοσεβής ᾖ κἄν μή, καί ἀτελῆ καί ἄναγνον ἀποφήνῃς τόν μή μεμαθηκότα παρ᾽ Εὐκλείδου μέν τήν γεωμετρίαν, ἀριθμητικήν δέ παρ᾽ ἄλλου, παρά δέ σοῦ τήν λογιστικήν, μουσικήν δέ καί ἀστρονομίαν Πτολεμαίῳ διά τῶν κατ᾽ αὐτόν βιβλίων συγγεγονότα, διαλεκτικήν τε καί φυσιολογίαν τάς ἀριστοτελικάς πραγματείας ἐκμελετήσαντα; Τίς γάρ οὐκ οἶδε τῶν νῦν ἤ τῶν πώποτε νοῦν ἐχόντων Θεόν εἶναι μόνον τόν τά πάντα εἰδότα;

Καί ἵνα τἄλλα τῶν καινῶν ἀκουσμάτων νῦν ἀφῶ καί πρός τό προκείμενον ἐπαναγάγω τόν λόγον, τίς οὐκ οἶδε καί φιλοσοφίαν ἑτέραν μέν τήν ἐν λόγοις, ἑτέραν δέ τήν ἐν (σελ. 300) πράξεσι, καί τούτων ἑκατέρας πολλάς καί ποικίλας διαφοράς, δι᾽ ὧν μωρά τε καί μή, σαρκική τε καί πνευματική, ἀντιλεγομένη καί ἀναντίρρητος, πρόσκαιρος καί αἰώνιος ἀναφαίνεται σοφία, πλεῖστον ἑκατέρα σχεδόν τῆς ἑτέρας διεστηκυῖα σαφῶς; «Ἀλλ᾽ ἐγώ», φησί, «τήν αὐτοσοφίαν αὐτήν ἐπαινῶ, τήν τῆς ἀληθοῦς γνώσεως ἰδέαν, ἥτις μία ἐστίν». Ἀλλ᾽ ὦγαθέ μόνη μέν αὐτοσοφία ἴσως ἀν αὕτη κληθείη, μόνη δέ σοφία ἤ φιλοσοφία, οὔ. Ὅταν μέντοι τῶν ὑπέρ φιλοσοφίας λόγων αὐτός ἀρχόμενος «δεδόσθαι», λέγῃς «ἡμῖν πρός Θεοῦ τά τε τῶν θεουργῶν λόγια καί τά φιλοσοφίαν μαθήματα», τά τῶν θεουργῶν λόγια πάντως οὐχ ὑπό τήν φιλοσοφίαν τάττεις ἐκείνην. Πῶς γάρ ἄν ἔλεγες ταῦτα καί τά ὑπό ταύτην, εἰ μή διῄρεις αὐτῆς ἐκεῖνα; Τί τοίνυν ὀνομάζεις φιλοσοφίαν ἐκεῖ; πότερον τήν Ἑλλήνων ἤ τήν ἰδέαν, ἥν ἐνταῦθ᾽ εἶπες; Ἀλλ᾽ εἰ μέν τήν τῶν Ἑλλήνων, οὐκοῦν καί ταύτην ἐξυμνῶν τυγχάνεις, ἀλλά καί σαυτῷ ἀντικείμενος, ἐνταῦθ᾽ ὑπεναντίως φάσκων «οὐ ταῦτά ἐστιν, ἐφ᾽ ἅ τό τῆς φιλοσοφίας φέροντες ὄνομα ἐξυμνοῦμεν, ὅσα ὁ δεῖνα ἤ ὁ δεῖνα ἐδόξασεν ἤ συνέγραψεν ἤ ἐδίδαξεν, οὐδέ ταῦτα

φιλοσοφία ἡμῖν ἐστιν, ἀλλ᾽ αὐτή ἡ τῆς γνώσεως ἰδέᾳ», προσέτι καί ὅτι μίαν μέν ἐνταῦθ᾽ ἰσχυρίζῃ καλεῖσθαι φιλοσοφίαν, τήν ἰδέαν αὐτήν, ἐκεῖ καί ἄλλην αὐτός λέγων, τήν τῶν Ἑλλήνων. Εἰ δέ μή ταύτην, ἀλλά κἀκεῖ τήν ἰδέαν τῆς γνώσεως λέγεις φιλοσοφίαν, τήν γενικῶς δηλαδή πᾶσαν περιέχουσαν γνῶσιν, τά παρά σοῦ ταύτης ἐκεῖ σαφῶς ἀποδιαιρούμενα θεουργικά λόγια πάσης γνώσεως ἐστέρηται καί παρεκτικά γνώσεως οὐδεμιᾶς ἄν εἴη, καθόλου δέ τῆς γνώσεως ἀποδιεσταλμένα κατά σέ καί πρός φενακισμόν μόνον τῇ φιλοσοφίᾳ προσετέθησαν ἐκεῖ. Τίς δ᾽ ἄν εἴη καί χρεία τούτων ἀναγκαῖα, τῶν κατά φιλοσοφίαν μαθημάτων καί εἰσαγόντων καί ἀναγόντων εἰς τήν γνῶσιν τῶν ὄντων, ἥ δή πάσης ἱεραρχίας, ταὐτόν δ᾽ εἰπεῖν πάσης θείας οἰκονομίας καί ἐνεργείας, τέλος ἐστίν, (σελ. 302) ὡς αὐτός πολλαχοῦ τῶν λόγων ἀποφαίνῃ προϊών; Τί τοίνυν καθ᾽ ἡμῶν τούς θυμούς ἐγείρεις τήν τῶν Ἑλλήνων σοφίαν κατηργημένην καί μεμωραμένην μετά Παύλου λεγόντων; Οὐ γάρ ἡ τινῶν σοφία αὐτοσοφία ἐστίν.

Ἀλλά γάρ ἴδωμεν καί τίνα κἀνταῦθα δῆλος εἶ πρεσβεύων αὐτοσοφίαν. Ἆρα τήν ἐν τοῖς ὀνομαζομένοις φιλοσόφοις κἀν τοῖς τούτων συγγράμμασιν ἔχουσαν τό εἶναι; Καί μήν αὐτός φής μή εἶναι μηδέ λέγεσθαι φιλοσοφίαν τήν γνῶσιν τῶν φιλοσόφων, μηδέ τά τοῦ δεῖνος ἤ τοῦ δεῖνος συγγράμματα, ἀλλ᾽ ἔστιν ἅ τούτων, οὐκ αὐτά φιλοσοφίαν, ἀλλ᾽ ἀποτέλεσμα φιλοσοφίας εἶναι. Τοῦτο δ᾽ εἰς ἀνάγκην περιέστης εἰπεῖν, ἵνα δείξῃς μίαν μόνην ἥν φής γνώσεως ἰδέαν, ἀλλ᾽ οὐ πολλάς λεγομένας φιλοσοφίας. Οὐκοῦν εἰ μηδέν ἐκείνων φιλοσοφία ἐστίν, οὐδ᾽ ἐν αὐτοῖς ἔχει τό εἶναι κατά σέ, ἥν λέγεις αὐτοσοφίαν. Ἐν οἷς γάρ ἔχει τό εἶναι, ἀπ᾽ αὐτῆς ἄν ἐκεῖνα κληθεῖεν, ὥσπερ καί ἄνθρωποι πάντες ἡμεῖς ἀπό τοῦ καθόλου εἴδους ἀκούομεν ἐν ἡμῖν ἔχοντος τό εἶναι. Εἰ τοίνυν μή ἐν ἐκείνοις ἡ αὐτοσοφία σοι αὕτη, ποῦ σχήσει τό εἶναι; Ἐν τῷ Θεῷ; καί μήν πάλιν αὐτός προϊών λέγεις μωρίαν εἶναι παρά τῷ Θεῷ, ἥν ἐξαίρεις φιλοσοφίαν˙ οὔκουν ἡ ἐν αὐτῷ τό ἄφραστον ἑνοῦσα τρόπον, ἥν αὐτός λέγεις αὐτοσοφίαν, ἀλλ᾽ οὐδ᾽ ἐν τοῖς ὑπ᾽ αὐτοῦ γεγενημένοις, ἐπεί μηδέ φιλοσοφία ποτ᾽ ἄν ἐκεῖνο κληθείη˙ σοί δ᾽ ὑπέρ φιλοσοφίας ὁ λόγος. Εἰ τοίνυν αὕτη μήτ᾽ ἐν θεῷ μήτ᾽ ἐν ἀνθρώποις ἔχει τό εἶναι, ἔστι δ᾽ ὅμως ἰδέα οὖσα, καθ᾽ ἑαυτήν οὐκοῦν ἐστιν ὑφεστῶσα˙ καί Πλάτων ἡμῖν αὖθις ἀναβιώσεται μετά τῶν τῆς κακοδοξίας τερετισμάτων.

Τοιγαροῦν ταύτη τἀληθές περί τῆς ἐκ μαθημάτων τῶν ἔξω φιλοσοφίας ἁπλῶς καί συντόμως φαίη τις ἄν, ὡς φιλοσοφία μέν ἑκάστου καλοῖτ᾽ ἄν ἡ ἐν συγγράμμασιν ἤ λόγοις ἑκάστου φιλοσόφοις πραγματεία, κοινή δέ ἡ πᾶσι (σελ. 304) φιλοσόφοις ἐνθεωρουμένη, μεμωραμένη δέ ἡ τοῦ προσήκοντος σοφία τέλους τῆς θεογνωσίας ἐκπεσοῦσα. Ἡ δέ μή τοῦτο πεπονθυῖα, οὐδέ μεμωραμένη˙ πῶς γάρ, τοῦ φύσει γιγνομένου τέλους ἐπιτυγχάνουσα καί πρός τόν δοτῆρα τῆς φύσεως ἐπιστρεφομένη Θεόν; Τοιαύτη δέ ἐστιν ἡ τῶν ἐφ᾽ ἡμῶν εὐσεβῶν καί ἐλλογίμων ἀνδρῶν, ἀνδρικῶς ὄντως ἀποτιναξαμένη τό βλάπτον καί τό λυσιτελές ἀπολεξαμένη καί τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ συστήσασα καί ἐμμελῶς ἁρμοσαμένη τῇ σοφίᾳ τοῦ Πνεύματος. Ἐγώ μέν οὖν ταύτη τἀληθές ἔχειν οἴομαι. Ὁ δέ τῆς ἔξω καί μεμωραμένης φιλοσοφίας οὗτος ὑπέρμαχος, καί τό «ἐμώρανεν ὁ Θεός τήν σοφίαν τοῦ κόσμου τούτου» Παύλου λέγοντος ἀκούσας, ὡς συγκρινομένην πρός τήν τοῦ Θεοῦ σοφίαν φησί μωραίνεσθαι, ὥσπερ καί πᾶσαν ἀνθρωπίνην ἀρετήν καί διάνοιαν. Κἀμοῦ μή τοῦτο παραδεχομένου, δεικνύντος δέ διά πολλῶν σαφῶς τἀληθές, αὐτός ἀντιλέγειν οὐκ ἔχων σοφιστείας καταψηφίζεται. Κείσθω μέν οὖν ἐν τῷ προτέρῳ μοι περί λυσιτελοῦς φιλοσοφίας ἐκεῖνα λόγῳ˙ καί γάρ ἀνεπηρεάστως ἔτ᾽ ἔχει καί ἀναντίρρητα μένει.

Καί νῦν δ᾽ ἄν ἐροίμην τόν ἐκ συγκρίσεως μωραίνοντα τήν ὑπ᾽ αὐτοῦ προεσβευομένην σοφίαν καί πῶς οὐδαμοῦ γέγραπται ὅτι ἐμίανεν ὁ Θεός πᾶσαν ἀνθρωπίνην ἀρετήν καί ἐμώρανε πᾶσαν διάνοιαν, ὡς καί τήν τοῦ κόσμου τούτου σοφίαν ἐμώρανε; Ποῦ γάρ συγκρίσεως εἶδος ἐνταῦθα τῶν ἀποστολικῶν ἀναφαίνεται ρημάτων; Ἀλλ᾽ ὥσπερ ἐπώρωσεν ὁ Θεός τάς καρδίας τῶν Ἰουδαίων καί ἐσκλήρυνε τήν καρδίαν Φαραώ καί παρέδωκε τούς σοφούς τῶν Ἑλλήνων εἰς ἀδόκιμον νοῦν, οὐ συγκρίσεώς ἐστιν, ἀλλ᾽ ἐγκαταλείψεως, τόν αὐτόν ἄρα τρόπον καί τό ἐμώρανεν˙ ἐπεί, τί καί τό ὅτι κατήσχυνεν ὁ Θεός τούς σοφούς ἐκείνους βούλεται, καί ὅτι κατήργησε, καί ὅτι ἀπεδοκίμασε, καί αὐτό τοῦτο ὅτι παρέδωκεν αὐτούς εἰς ἀδόκιμον νοῦν; Μή καί ταῦτα συγκρίνων ὁ ἀπόστολος εἶπε; Καί τίς ἄν νοῦν ἔχων παρεδέξαιτο τοῦτο; (σελ. 306) Μᾶλλον δέ τίς ἀποστολικαῖς ρήσεσιν εἰδώς ἕπεσθαι, ἀφείς ἐκεῖνα νοεῖν ἄνευ συγκρίσεως, ὡς ἐκεῖνος ἐδίδαξε, σοί πεισθείη συγκρίνοντι; «Τά γοῦν μωρά τοῦ κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα τούς σοφούς καταισχύνῃ». Τί οὖν, ἡ μέν σοφία τῶν ἀνθρώπων συγκρινομένη πρός τήν τοῦ Θεοῦ

καταισχύνεται καί μωραίνεται, ἡ δέ μωρία παρρησιάζεται καί σοφίζεται; Ἤ, ἅ μέν βούλει, συγκριτικῶς ἐκλαμβάνεις, ἅ δ᾽ οὐκ ἔνι σοι βουλομένῳ, μή λυσιτελοῦντα τῇ παρασκευῇ τῶν σῶν λόγων, ἀφίεις ἀσύγκριτα; Καί τίς ἄν σοι πείθοιτο, εἰ μή τοῖς σοῖς λόγοις ἠπατημένος, τήν ἔξω παιδείαν σωτήριον ἥγηται;

Ἅ μέν οὖν ἐφεξῆς μετά ταῦτα λέγει, ὡς αὐτόθεν ἔχοντα τόν τοῦ ψεύδους ἔλεγχον, παρεῖναί μοι δοκῶ. Ψεύδεσθαι δ᾽ ὥσπερ οὐκ ἀποχρῶν εἶναι κρίνας ἑαυτῷ, ἀλλά καί καταψεύδεσθαι τῶν ἄλλων περί πλείστου ποιούμενος, εἰς τό συκοφαντεῖν αὖθις καθῆκεν ἑαυτόν, κἀμοῦ λέγοντος τῶν δώρων τοῦ Θεοῦ τά μέν εἶναι φυσικά, κοινῇ πᾶσι δεδομένα πρό νόμου καί ἐν νόμῳ καί μετά νόμον, τά δ᾽ ὑπερφυᾶ καί πνευματικά καί διαφερόντως ἀπόρρητα, καί ὑπερτιθέντος ταῦτα ἐκείνων καί τούς κατηξιωμένους τῆς σοφίας τοῦ Πνεύματος πάσης ἑλληνικῆς συμμορίας, ἕν δέ τῶν φυσικῶς δεδομένων ὑπό Θεοῦ τήν φιλοσοφίαν καί ἀνθρωπίνης διανοίας εὑρήματα τά μαθήματα, αὐτός ὡς ἀπ᾽ ἐμοῦ φησιν ἐκ Θεοῦ δεδόσθαι, ἐκεῖνα μόνα προσῆκεν οἴεσθαι, ὅσων ἀνθρώπινος οὐκ ἐξικνεῖται λογισμός, τῶν δ᾽ ἄλλων οὐδέν τῆς τοιαύτης ἀξιοῦν τιμῆς. Ἐμοί δέ οὐδέτερον τούτων εἴρηται ἐκεῖ. Οἶδα γάρ ὅτι πολλῶν καί τῶν φύσει γινομένων ἀνθρώπινος οὐκ ἐξικνεῖται λογισμός, τιμῆς δέ ἀξιῶ ἕκαστον τῆς προσηκούσης˙ τάς μέν πνευματικάς χάριτας ὡς ὑπερφυεῖς καί μόνοις ἀμέσως διά τοῦ Πνεύματος τοῖς κατ᾽ ἀρετήν διαφέρουσι προσγινομένας, σελ. 308) τά δέ φυσικά μακρῷ μέν φάσκων τῶν πνευματικῶν χαρίτων ἀποδεῖν, κοινῇ δέ πᾶσι πρός Θεοῦ δεδόσθαι διά τῆς φύσεως.

Τῇ δή συκοφαντίᾳ ταύτῃ τόν λόγον ἐρείσας ἐκεῖνος θρύπτεται καί διαχεῖται καί κατεπαίρεται τῶν μή λεγόντων πνευματικόν Θεοῦ δῶρον τήν Ἑλλήνων σοφίαν καί πολλάς προβάλλεται ῥήσεις Βασιλείου τοῦ θείου ὡς ἐκ Θεοῦ πάσης τέχνης χαρισθείσης ἀνθρώποις, ὅπερ οὐδείς ὁ ἀντιλέγων ἐστίν. Εἶτα διά πολλῶν εἰς τήν οἰκείαν ἐξέβη δόξαν καί κατασκευάσας συνεπέρανε καί ἀπεφήνατο ταύτην λέγων˙ «καί αἱ ἀρχαί τῶν μαθημάτων καί ἡ προφητεία καί ἡτισοῦν ἀποκάλυψις τοιαῦτά ἐστιν, οἷα, μή δοθέντα μέν, ὑπερβαίνειν ἀνθρώπινον λογισμόν, δοθέντων δέ, ἐξικνεῖσθαι αὐτῶν τήν ψυχήν». Ὥστε ἤ οὐδέν, ἤ πάνθ᾽ ὁμοίως δῶρά ἐστι Θεοῦ καί δεόσδοτα. Οὐκοῦν εἴποι τις ἄν πρός αὐτόν˙ καί σύ, ὁ τῆς ἑλληνικῆς χάριτος διαφερόντως, διά τῶν μαθημάτων καταξιῶσαι σαὐτόν οἰόμενος, τῷ τήν ὑπερβολήν τῶν ἀποκαλύψεων ἔχοντι ὁμοίως κεχαριτωμένος ὑπάρχεις ὑπό Θεοῦ,

καί οἱ τά μαθήματα τήν ἀρχήν εὑρόντες Αἰγύπτιοι τοῖς προφήταις καί ἀποστόλοις εἰσίν ὁμότιμοι; Πῶς γάρ οὐχ ὁμότιμοι οἱ τῶν ὁμοίως δεδομένων καί ὁμοίως γινωσκομένων δώρων ἐν μεθέξει γενόμενοι;

«Ἀλλ᾽ ὁ Θεός», φησίν, «ἐμπέπληκεν ἄρτι δημιουργήσας τήν ψυχήν τῶν κοινῶν ἐννοιῶν καί τῶν ὁριστικῶν καί διαιρετικῶν καί συλλογιστικῶν δυνάμεων ἐξ ὧν συνέστηκε τά μαθήματα˙ οὐκοῦν δῶρα Θεοῦ τά μαθήματα». Τί δ᾽ ἄρα τοῦτο δικαίωμα τοῖς παραχρωμένοις ἤ καταχρωμένοις καί τοῖς τό εὐαγγέλιον τοῦ Χριστοῦ ὡς ἀτελές τελειοῦσιν ἐκ μαθημάτων; Οὐδέ γάρ τούς πόρνους καί ἀκρατεῖς αἰτίας ἐξέλοιτ᾽ ἄν τις ὅτι τήν ἀρχήν ὁ Θεός τό σῶμα πλάσας τε καί ψυχώσας τήν γεννητικήν καί θρεπτικήν ἐνεποίησε τούτῳ δύναμιν. Ταῦτα δέ ἐστιν ἅ κωλύομεν διά τῶν λόγων ἡμεῖς, τήν παράχρησιν καί τήν κατάχρησιν καί τό παρά τό προσῆκον (σελ. 310) παρεχόμενον τοῖς μαθήμασι σέβας˙ καί σύ γε τοῦτο, εἰ συνετῶς ἀκούειν ἐκείνων ἐθέλεις, εἴσῃ τε καί ὁμολογήσεις καί τό καταγηρᾶν ἐν τοῖς τοιούτοις ἀφήσεις καί σωτηρίους καί τελεστηρίους καθαρτικούς τε καί φωτιστικούς ψυχῆς τούς λόγους οὐκέτ᾽ ἐρεῖς, τούτοις τε τοῖς λόγοις καί τοῖς τοῦ μεγάλου Βασιλείου πεισθείς.

Οὐ μήν ἀλλ᾽ εἰ τήν ἀρχήν ταῦθ᾽ ἅ λέγεις ἐδόθη τῇ ψυχῇ πρός Θεοῦ, κοινά πᾶσιν ἀνθρώποις καί ἔμφυτα καί φυσικά δήπου, κατά διαδοχήν ἀπό τῶν πρώτων πατέρων διαδιδόμενα. Πῶς οὖν τοῖς ὑπέρ φύσιν πρός τούς εὐσεβεῖς μόνους καί τῶν εὐσεβῶν τούς ἄκρους καί ἀπολέκτους ἐν Πνεύματι Θεοῦ χαρισθεῖσιν ὁμοίως ἐδόθησαν; «Ἀλλά τόν αὐτόν», φησίν, «ἔχει λόγον πρός τήν ψυχήν ἅπαντα δοθέντα γάρ οὐδέ τά πνευματικά τόν ἀνθρώπινον ὑπερβαίνει λογισμόν». Ὄντως δῆλος ἐγένου πνευματικοῦ δώρου πεῖραν εἰληφώς οὐδαμῶς, σύ σαυτόν ἀπελέγξας καί φανεράν ποιησάμενος, ὅ δέ καί τούτου χεῖρον ὅτι μηδέ τοῖς διά πείρας εἰρηκόσι πιστεύεις, ὅ δ᾽ αὖθις χείριστον ὅτι καί ἀντιρρητορεύεις αὐτοῖς, ψυχικός ὅλος, ὡς ἔοικεν, ὤν. Τό γάρ ἐκλεκτόν δοχεῖον τῶν πνευματικῶν χαρισμάτων, ὁ Παῦλος, «ἡμεῖς», φησίν, «οὐ τό Πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλά τό Πνεῦμα τό ἐκ τοῦ Θεοῦ, ἵνα εἰδῶμεν τά ἐκ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν, ἅ καί λαλοῦμεν οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ᾽ ἐν διδακτοῖς Πνεύματος ἁγίου, πνευματικοῖς πνευματικά συγκρίνοντες˙ ψυχικός δέ ἄνθρωπος οὐ δέχεται τά τοῦ Πνεύματος μωρία γάρ αὐτῷ ἐστι καί οὐ δύναται γνῶναι», λογισμῶν ἐφόδοις τοῖς ἀκαταλήπτοις ἐμβατεύων, διαιρέσεσί τε καί συλλογισμοῖς καί ἀναλύσεσι πᾶσαν

ἀλήθειαν εὑρίσκεσθαί τε καί (σελ. 312) διδάσκεσθαι οἰόμενος. Τά γοῦν ὑπό τοῦ Θεοῦ χαρισθέντα ἡμῖν, οὐ διά λογισμῶν, ἀλλά διά τοῦ ἐν ἡμῖν αὐτοῦ γινώσκομεν Πνεύματος, «ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη˙ ἡμῖν δέ ἀπεκάλυψεν ὁ Θεός διά τοῦ Πνεύματος αὐτοῦ˙ τό γάρ Πνεῦμα ἐρευνᾶ καί τά βάθη τοῦ Θεοῦ».

Τεκμηριώσαιτο δ᾽ ἄν τις τήν ἀλήθειαν τῶν λεγομένων καί ἀπό τῆς σῆς ἀντιλογίας, ὦ φιλόσοφε. Σύ γάρ ἀκούων, καί συχνῶς ἀκούων, τῶν μετιόντων ἐκ πείρας ἐν λόγοις, ἐν γράμμασιν, ἐν μαρτυρίαις, ἐν ὑποδείγμασι περί φωτός οὐκ αἰσθήσεως οὐκ αἰσθήσεως μόνον, ἀλλά καί διανοίας ὑψηλοτέρου παντάπασιν, οὗ τυγχάνει νοῦς καί ὅ γίνεται κρειττόνως ἐκστάς καί ὑπεραναβάς ἑαυτόν καί Θεῷ συγγενόμενος, σύ τούτων ἀκούων, νῦν μέν, ἐπαναστῆσαι τήν διάνοιαν τοῦ προσύλου φωτός οὐ δυνάμενος, ὡς περί αἰσθητοῦ λεγόντων φωτός κατηγορεῖς, νῦν δ᾽ ἐκ τῆς ἐλλείψεως, οὐκ εἰς τό μέσον καί ἀληθές ἀλλ᾽ εἰς ὑπερβολήν καί ψεῦδος ἐκκλίνων, καθ᾽ ἑτέρου βάλλεις σεαυτόν κρημνοῦ, τήν τοῦ Θεοῦ οὐσίαν τοῦτ᾽ εἶναι καί θεωρητήν ε ἶναι λέγειν ἐκείνους ἰσχυριζόμενος˙ οὐκ ἄν τοῦτο παθών, εἰ λογισμοῖς ἀνθρωπίνοις ἀνέφικτα τά θεῖα ἐδόξαζες καί πίστιν μετ᾽ εὐλαβείας προσῆγες ὡς μόνην δεκτικήν τῶν τοιούτων καί δι᾽ ἔργων τήν τελεωτέραν ἐζήτεις εἴδησιν καί τῇ πίστει τήν πεῖραν ἐπῳκοδόμεις, τόν τῆς χάριτος ὄροφον, τήν ἐν ἀληθεῖ θεωρίᾳ Θεοῦ ἀγάπην ἐπιστεγάζουσαν˙ οὕτως ἀνθρώπινον ὑπερβαίνει λογισμόν καί μετά τό δεδόσθαι τό ἀνθρώπινον ὑπερβαίνει λογισμόν καί μετά τό δεδόσθαι τά τοῦ Πνεύματος δόματα. Ὁ γοῦν ἐν ἀκριβεῖ καταλήψει τῶν μαθημάτων γεγονώς, μικροῦ καί ἀδιδάκτως, ὡς αὐτός ἄν εἴποις, τῶν πνευματικῶν ἐνεργημάτων, οὐδέ μετρίως γοῦν ἐπαΐοις καί διδασκόμενος˙ εἰκότως˙ ὁ γάρ λόγος Κυρίου ἀληθής, διαμένων εἰς αἰῶνα αἰῶνος, ὅς τῷ Ἰωάννῃ (σελ. 314) ἀπεκάλυψεν ὅτι τῷ θεαρέστως ζῶντι δίδοται ψῆφος λευκή, ἥν οὐδείς δύναται γῶναι, εἰ μή ὁ λαβών˙ ὅπως δέ κἀκεῖνος δύναται, παρά τοῦ Παύλους ἐδεδάχθημεν.

Μετά δή τήν τῶν κατά φύσιν τε καί ὑπέρ φύσιν δώρων ἐξίσωσιν, διά πλειόντων ἐπιτίθεται τῇ περί προσευχῆς ἀποστολικῇ ἐντολῇ, λέγων ἀδύνατον εἶναι τό ἀδιαλείπτως προσεύχεσθαι, εἰ μή ὡς αὐτός ἐξηγεῖται παραδεξαίμεθα˙ ἐξηγεῖται δέ προσεύχεσθαι ἐνταῦθα λέγειν τόν ἀπόστολον οὐ τό ἐνεργεῖν τήν προσευχήν, ἀλλά τό τήν ἕξιν ἔχειν αὐτῆς˙ «ἕξις δέ ἐστι», φησί, «προσευχῆς τό μηδέν δύνασθαι πράττειν

οἴεσθαι καί εἰς πέρας ἄγειν, μή βουλομένου Θεοῦ˙ ὁ τοίνυν», φησί, «ταύτην τήν ἕξιν ἔχων ἀδιαλείπτως προσεύχεται». Τοιοῦτον δ᾽ ὄν τό ἀδιαλείπτως προσεύχεσθαι, καί τῶν ἑλληνικῶν ἄρα βιβλίων ὁ φιλόσοφος οὐκ ἀνακύψει καί ἀδιαλείπτς προσεύξεται. Τί οὖν ἄν εἴποι τις πρός τόν ἀδιαλείπτως καί μηδέποτε προσευχόμενον τοιοῦτον φιλόσοφον; Ὅπερ ὁ ἀπόστολος ἀλλαχοῦ λέγων˙ «προσευχόμενοι ἐν παντί καιρῷ ἐν πνεύματι καί εἰς αὐτό τοῦτο ἀγρυπνοῦντες». Ἆρα κἀν τούτῳ τήν ἕξιν ταύτην εἰσηγεῖται, ἥν αὐτός λέγεις, ἤ τήν ἐνέργειαν, καίτοι ταὐτόν ἐστιν ἀδιαλείπτως τε εἰπεῖν καί ἐν παντί καιρῷ; Προσεπισκήψας δέ τήν ἐπί τῷ προσεύχεσθαι ἀγνυπνίαν, δῆλός ἐστιν ἀδιαλείπτως ἔχεσθαι τῆς ἐνεργείας ἐπιτάττων. Ἔλεγε δέ καί ὁ Κύριος παραβολήν τοῖς μαθηταῖς, κατά τόν εὐαγγελιστήν Λουκᾶν, «πρός τό δεῖν πάντοτε προσεύχεσθαι καί μή ἐκκακεῖν». Ἆρ᾽ οὖν κἀνταῦθα πρός τήν ἕξιν ἐνῆγεν; Ἀλλ᾽ οὐ τοῦτο ἡ παραβολή δείκνυσιν, ἀλλά τήν ἐπίμονον αἴτησιν˙ καί τό μή ἐκκακεῖν δέ, τουτέστι μή ἐφίεσθαι τῆς προσεδρείας ὑπό ῥαθυμίας, δείκνυσι τήν προτροπήν οὖσαν οὐ πρός τήν ἕξιν, καί ταῦθ᾽ ἥν ὁ σοφός οὗτος λέγει, ἀλλά πρός τήν αὐτήν τήν ἐνέργειαν τῆς προσευχῆς, δηλαδή τήν δέησιν, ὅ καί τό ἐπιτελεύτιον ἐν τῇ παραβολῇ ῥῆμα τοῦ Κυρίου δηλοῖ˙ (σελ. 316) «δώσει γάρ», φησίν, «ὁ Θεός ἅγιον τοῖς αἰτοῦσι αὐτόν ἡμέρας καί νυκτός», τουτέστι τοῖς ἀδιαλείπτως οὕτω προσευχομένοις. Δεόμεθα δέ τῆς ἀδιαλείπτου ταύτης δεήσεως οὐχ ὥστε πεῖσαι Θεόν, αὐτοπαράκλητος γάρ, οὐδ᾽ ὡς ἐφελκυσόμενοι τοῦτον πανταχοῦ γάρ, ἀλλ᾽ ὡς τῇ πρός αὐτόν ἐπικλήσει ἡμᾶς αὐτούς ἀνάγοντες πρός ἐκεῖνον καί ἐπιστρέφοντες, ὡς μεθέξοντες οὕτω τῶν περί αὐτόν ἀγαθοπρεπῶν δωρεῶν. «Τότε γάρ» κατά τόν μέγαν Διονύσιον «τῷ Θεῷ σύνεσμεν, ὅτε πανάγνοις μέν εὐχαῖς, ἀνεπιθολότῳ δέ νῷ τοῦτον ἐπικαλώμεθα». Διά τοῦτο τοίνυν αὐτόν ἀδιαλείπτως ἐπικαλούμεθα, ὡς ἄν ἀδιαλείπτως αὐτῷ συνῶμεν.

Τῆς δέ ἀδιαλείπτου ταύτης προσευχῆς τε καί ἕξεως, ἥν ἄρτι διενοήθη πρῶτος ὁ φιλόσοφος οὗτος, οὐδέ ὁ διάβολος φαίνεται ἀμοιρῶν καίτοι μηδέποτε προσευχόμενος˙ ᾔδει γάρ μηδέ κατά χοίρων δυνησόμενός τι, μή τοῦ Κυρίου τῶν ὅλων ἐνδόντος, κατά δέ τοῦ Πέτρου μηδ᾽ ἐπιχειρήσεων γοῦν, καί πρό τούτων κατά τοῦ Ἰώβ μηδέν ἀνύσων ταῖς πολυτρόποις ἐπιβουλαῖς˙ τοσοῦτον ἀπέχει προσευχῆς, οὐ τῆς ἀδιαλείπτου μόνον ἀλλά καί τῆς ἐκ διαλειμμάτων, τό πεπεῖσθαι Κύριον εἶναι τόν Θεόν ἁπάντων˙ οἱ μέν γάρ ἐκτός σώματος τῶν

λογικῶν ἴσασι μέν τοῦτο πάντες, εὔχονται δ᾽ οὐ πάντες˙ ἀντικείμενος γάρ ἐστι καί τῇ εὐχῇ ὁ τῷ Θεῷ ἀντικείμενος, καί ὁ τοῦ καλοῦ φυγάς καί τῆς πρός τόν Θεόν εὐχῆς φυγάς ἐστιν. Οἱ δέ σῶμα περικείμενοι, τόν μέν τοῦ παντός Θεόν ἴσασιν πάντες, πάντες δ᾽ εὔχονται καταλλήλως ἕκαστος τῇ δόξῃ ἑαυτοῦ. Τοῖς δέ τόν ἕνα καί ὄντως γινώσκοντα Θεόν, συνεισέρχεται τῇ δόξῃ ταύτῃ καί τό χωρίς αὐτοῦ μή δύνασθαι ποιεῖν μηδέν˙ τῶν δή τοῦτο πεπεισμένων ὅσους ἔρως θεῖος εἷλεν ἑνωθεῖναι κυρίως τῷ Κυρίῳ τοῦ παντός, οὗτοι τροφῆς ἄνευ καί πνοῆς ἐν εὐχῇ γενόμενοι, κατά τήν τῶν (σελ. 318) πατέρων ὑφήγησιν, ἐπιστρέφουσι τόν νοῦν εἰς ἑαυτόν καί οὕτω τῇ πρός τήν θείαν ἕνωσιν ἐπιτηδειότητι τοῦ μυστικοῦ καί ἀπορρήτου πνευματικοῦ τῆς προσευχῆς καταξιοῦνται δώρου, ὅ καί ἀδιαλείπτως σύνεστιν αὐτοῖς, νῦν μέν αὐτό παρ᾽ ἑαυτοῦ ἕλκον τόν καταξιωμένον νοῦν πρός τήν ἀρρητοτάτην ἕνωσιν καί πηγάζον εὐφροσύνην ἱεράν, νῦν δέ τῷ νῷ δι᾽ εὐχῆς ἀνατεινομένῳ πρός Θεόν μυστικῶς ὑπηχοῦν τε καί συμπροσευχόμενον, ὥσπερ μουσική τῷ πρός ταύτην συντιθέντι τήν ᾠδήν. Οὕτω γάρ ἐν μεθέξει τῆς ἀεικινήτου τε καί ἀκαμάτου γεγονότες χάριτος ἐνερριζωμένην ἔχουσι τῇ ψυχῇ τήν προσευχήν καί ἀδιαλείπτως ἐνεργοῦσαν κατά τόν εἰπόντα˙ «ἐγώ κοιμῶμαι καί ἡ καρδία μου ἀγρυπνεῖν». Ὁ τοίνυν βουλόμενος ἐπιτυχεῖν τῆς ἀληθοῦς ταύτης καί ἀληθῶς ἀδιαλείπτου προσευχῆς παρά «τοῦ διδόντος» προφητικῶς εἰπεῖν «εὐχήν τῷ εὐχομένῳ», πειθέσθω τῷ θείῳ Νείλῳ καί Γρηγορίῳ, ὥστε ζῆν μηδέν τῶν ἀνθρωπίνων προσαπτόμενον, ὅ,τι μή πᾶσα ἀνάγκη, κἀν ταῖς ἀνθρωπίναις ἀνάγκαις τῆς μνήμης τοῦ Θεοῦ κατά τό δυνατόν μή ἀφίστασθαι, ἀλλ᾽ ὥσπερ σφραγῖδα ἀνεξάλειπτον τήν τοῦ Θεοῦ ἔννοιαν ἐντετυπωμένην τῇ ψυχῇ σπεύδειν περιφέρειν κατά τόν μέγαν Βασίλειον. Ἔργοις τε καί γάρ λόγοις καί διανοήμασιν τήν δυνατήν ἡμῖν τέως καί ἀδιάλειπτον προσυχήν ἐπιτηδεύειν χρή, μέχρις ἄν ἐπιτύχωμεν τοῦ δώρου˙ «εἰ μή γάρ», φησίν, «ἔλαβες δῶρον προσευχῆς εὐκλεές, προσέδρευσον καί λήψῃ»˙ τό γάρ Πνεῦμά ἐστι δι᾽ οὗ προσκυνοῦμεν καί δι᾽ οὗ προσευχόμεθα, καί «Πνεῦμα ὁ Θεός, καί τούς προσκυνοῦντας αὐτόν ἐν πνεύματι καί ἀληθείᾳ δεῖ προσκυνεῖν».

Ἀλλά μετά τό διδάξαι περί προσευχῆς ἐκεῖνος καί τῆς κατ᾽ αὐτήν ἕξεως, καίτοι πρότερον ἀκούσας τῶν ὑπ᾽ ἐμοῦ προηγμένων τοῦ θεολόγου ῥητῶν, δι᾽ ὧν λέγει (σελ. 320) τοῦτ᾽ ἀπολαῦσαι μόνον τῶν λόγων τό διά Χριστόν προετίμησεν, ἀντεπιφέρει ἐκεῖνα, δι᾽ ὧν φησι,

παρῆκα τά πάντα τῇ ἐντολῇ· τοῦ λόγου δέ περιέχομαι μόνου καί οὐκ ἄν ποτε τούτου ἑκών ἀμελήσαιμι»· καί οὕτως αὐτόν ἑαυτῷ πάντως ἀνακόλουθον δείκνυσι. Τί οὖν πρός ταῦτα ἡμεῖς ἐροῦμεν, συνιστάμενοι τῷ σοφῷ θεολόγῳ; Τί γε ἄλλο ἤ ὅτι λόγους μέν οὕς διά Χριστόν καταλιπεῖν λέγει, τήν τῶν Ἑλλήνων λέγει σοφίαν, λόγον δ᾽ οὗ περιέχεται, τό ἀπ᾽ ἐκείνης ἐξειλεγμένον καί τοῖς ἱεροῖς καί θείοις μαθήμασι συγκεκραμένον, ὡς ἡμεῖς εἰσηγούμεθα, πρός οὕς ἀντιλέγεις ἀκρατῶς, ὦ φιλόσοφε. Ἐνάγει δέ με πρός ταῦτα καί τά τοῦ λόγου τούτου ἀποτελέσματα· οὗτος γάρ με», φησί, «πείθει ἀσθενοῦντι συνασθενεῖν καί ἰσχύοντι συνευφραίνεσθαι» (τοῦ δ᾽ ἄντικρυς ἀποστολικόν ἐστι τό παράγγελμα) «οὗτός μοι διαιρεῖ κόσμους καί τοῦ μέν ἀπάγει, τῷ δέ προστίθησι»· ποῦ ταῦτα τῆς ἑλληνικῆς παιδείας εὕροι τις ἄν; «Οὗτος καί διά τῶν δεξιῶν ὅπλων διεξάγει τῆς δικαιοσύνης, κἀν τοῖς ἀριστεροῖς συμφιλοσοφεῖ, τήν οὐ καταισχύνουσαν ἐλπίδα παραζευγνύς καί τό παρόν κουφίζων τῷ μέλλοντι». Ταῦτα καί ἐπί λέξεως τῶν ἀποστολικῶν ἔχεται φωνῶν. Εἰ δέ τις τοῖς λόγοις τούτοις μή συναινεῖ, δότω λόγον εὔλογον ἄλλον ὁμολογίας καί πείσομαι· τόν γάρ θεολόγον ἑαυτῷ ἀντιλέγειν οὐ πείθομαι.

Ἀλά γάρ μετά τάς ἀντιφθεγγομένας, ὡς ὁ φιλόσοφος οἴεται ταύτας ῥήσεις, «σκαιούς καί ἀπαιδεύτους» ὀνομάσας ἡμᾶς, καί τῷ Ἰουλιανῷ συντάττειν οὐ παραιτεῖται καί μισεῖσθαι δίκαιον εἶναί μέν φησιν «ὡς ἀποστεροῦντα τῶν (σελ. 322) λόγων τούς μοναχούς, καθάπερ ἐκεῖνος καί τούς ἐν κόσμῳ χριστιανούς». Ὥσπερ ἄν εἴ τις ἀκούσας τοῦ ψαλμῳδοῦ λέγοντος «εἶπεν ἄφρων, οὐκ ἔστι Θεός», τόν ἐξ Ἀρείου Πάγου θεοφάντορα τῷ ἄφρονι δεῖν οἴεται συντάττειν τούτῳ, λέγοντα περί Θεοῦ, ὡς οὔτε ἦν, οὔτε ἔστιν, οὔτε ἔσται, τῶν ἀφρόνων ἀφρονέστατος αὐτός ὤν καί μή συνείς τό τῆς διαφορᾶς ὑπερβάλλον, ὡς ὁ μέν ἅγιος ὑπέρ τά ὄντα γινώσκει καί θεολογεῖ τόν Θεόν, ἡ δέ τοῦ ἄφρονος καρδία ἐν τοῖς μηδαμῇ μηδαμῶς τίθεται τό μόνον ὄντως ὄν. Τόν αὐτόν γάρ τρόπον ἡμεῖς μέν ὑπέρ λόγον ἴσμεν οὖσαν τήν κατά μοναχούς πολιτείαν, ὁ δ᾽ ἀποστάτης ἐκεῖνος, ἄλογον οἰόμενος τήν κατά χριστιανούς, διά τοῦτ᾽ ἀπεῖργε τῶν λόγων, ὅ μή δυνηθείς συνιδεῖν ὁ πάντ᾽ ἐπίστασθαι δοκῶν οὗτος, τῆς αὐτῆς εὐθύνης ἀξιοῖ τούς τιμῆς πάσης ὑπερτιθέντας τά χριστιανῶν τοῖς ἀτιμάζειν εἰς τά μάλιστα προῃρημένοις, καί μισεῖσθαι δικαίους εἶναι τοῖς ἀσεβεστάτοις ἐξίσου τούς εὐσεβεῖς, διότι παντός οὑτινοσοῦν

μᾶλλον περισπούδαστον ἀποφαίνοντα τήν πρός Θεόν ἐν προσευχῇ προσεδρείαν.

«Κἄν ὁ Κύριος», φησίν, «οὐκ ἐπέταξεν ἐν εὐαγγελίοις τήν περί λόγους σπουδήν, ἀλλ᾽ οὐδέ ἐκώλυσε». Τί οὖν ὅταν λέγῃ, «γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καί ἀκέραιοι ὡς αἱ περιστεραί»; Οὐ διαιρεῖ καί ἀπολαμβάνει τῆς ἔξω σοφίας τό χρήσιμον καί τῇ ἁπλότητι τοῦ εὐαγγελίου συμμίγνυσιν, ὅπερ ἐν τοῖς λόγοις ἐκείνοις καί ἡμεῖς λέγομεν, οἱ παρά σοῦ δι᾽ αὐτό τοῦτο νῦν ὑβριζόμενοι; Τί δ᾽ ὅταν αὖθις λέγῃ, «ἐγώ λόγον καί σοφίαν ὑμῖν δώσω, ᾗ οὐδείς ἀντιστῆναι δυνήσεται» καί «ὅταν ἔλθῃ ὁ παράκλητος, ἐκεῖνος ὑμᾶς διδάξει πᾶσαν τήν ἀλήθειαν»; Ἆρ᾽ οὐ σοφίαν ἐπηγγείλατο θειοτέραν καί ταύτης τῆς ἀεί ἀντιλέγεσθαι πεφυκυίας, ἥν αὐτός ὑπερμαχῶν ἐξυμνεῖς ὑπερτέραν οὐδ᾽ ὅσον εἰπεῖν; Τί οὖν ἐποίησαν οἱ τῆς σοφίας ἐρασταί ταύτης, πρίν ἐκείνης καθαρῶς τυχεῖν; (σελ. 324) Ἆρα περιῄεσαν ζητοῦντες εἴ τις ἐπαγγέλλεταί τι εἰδέναι, Ἕλλην ἤ Αἰγύπτιος ἤ Χαλδαῖος, ὡς παρά τούτου καί τῶν τούτου συγγραμμάτων μανθάνειν καί πανταχόθεν συλλέγειν τό φρονεῖν, ὡς αὐτός ἡμᾶς ἐκδιδάσκεις λέγων ἐπί λέξεως οὕτως, «οὐκ ἐκ τῆς τῶν ἐντολῶν φυλακῆς, οὐδ᾽ ἐξ ἀπαθείας μόνης τό εἰδέναι τά ὄντα περιγίνεται» καί «οὐκ ἔστιν ἅγιον εἶναι μή τήν γνῶσιν εἰληφότα τῶν ὄντων καί τῆς ἀγνοίας ταύτης κεκαθαρμένον»; Ἆρ᾽ οὖν περιῄρεσαν πανταχόθεν τό φρονεῖν συλλέγοντες, ὡς αὐτός μᾶς ἐκδιδάσκεις, ἤ ἦσαν, κατά τό γεγραμμένον, «διά παντός ἐν τῷ ἱερῷ, προσκαρτεροῦντες τῇ προσευχῇ καί τῇ δεήσει καί προϋπογράφοντες καί πρακτικῶς ἱερογραφοῦντες τήν κατά μοναχούς ταύτην ὄντως ὑπερανῳκισμένην καί πανίερον ζωήν, καθ᾽ ἥν τήν ἐν μεσότητι μέν οὖσαν ἱεράν πολιτείαν ὑπεραναβῆναι ἐπαγγελλόμεθα, πάσῃ δέ διαιρετῇ καί ζωῇ καί φαντασίᾳ ἀποταττόμεθα καί πρός τήν πάσης φιλοσοφίας ὑψηλοτέραν ἑνιαίαν θεοσοφίαν διά τῶν ἑνοποιῶν ἐντολῶν ὄντως μοναστικῶς ἀναγόμεθα καί εἰς ἱερωτάτην ἱερουργικῶς τελεσιουργούμεθα μονάδα; Ἑνάς γάρ ἐν ἀληθείᾳ γινόμεθα ἐν τῇ πάντων ὑπεξῃρημένῃ καί μόνῃ πάντως ἀπερινοήτως τρισυποστάτῳ μονάδι, κατά τήν ὑπέρ ἡμῶν αὐχην καί μυστικήν ἐμφάνειαν καί συνεργίαν τοῦ δι᾽ ἡμᾶς τῇ καθ᾽ ἡμᾶς κοινωνήσαντος δυάδι καί τῆς οἰκείας ἀπορρήτως μή ἀποφοιτήσαντος μονάδος καθ᾽ ὑπερούσιον ἑαυτοῦ δύναμιν ἀνεκφοίτητον.

Τί οὖν ἄτοπον ποιοῦμεν, ὦ φιλολογώτατε, εἰ τόν πρός τήν ἑνοειδῆ συνέλιξιν τοῦ νοῦ κατά τήν ἐπαγγελίαν ἐπειγόμενον, ἀφέμενον τῆς κατά τά πολυειδῆ μαθήματα μελέτης, ὑπερβῆναι ἀξιοῦμεν τάς ἐν τούτοις μεριστάς καί μεταβατικάς νοήσεις καί τούς αἰσθητούς λόγους καί τάς ἐξ αἰσθήσεως ἐχούσας γνώσεις τήν ἀρχήν; Πῶς δ᾽ ἄν ὁ ἔσω ἄνθρωπος κατασταίη μοναχός κατά λόγον τῆς ὑπερκειμένης ἑνιαίας ζωῆς, εἰ μή τόν ἐπίκτητον κόσμον ὑπεραναβαίη καί πάσας τάς ἀνθρωπικάς (σελ. 326) μαθήσεις καί ἑνιαίως καί μοναχῶς πρός Θεόν ἀνατείνει συντόμως ἑαυτόν, ὅ καί ὁ τῆς κεφαλῆς ἐκ τριχῶν κόσμος περιαιρούμενος τοῖς ἐπαΐειν ἱκανοῖς συμβολικῶς ἐκδιδάσκει; Τάχα δέ καί τό μή ἀναβαθμίσιν ἀναβαίνειν ἐπί τό θεῖον θυσιαστήριον καί τό λίθοις τοῦτο κτίζειν ἀτμήτοις, ἐφ᾽ οἷς ἐγχειρίδιον οὐκ ἐπιβέβληται, τοῦτ᾽ αἰνιττόμενον ἦν, ὡς αὐτήν χρή γυμνήν τήν τοῦ νοῦ φύσιν οἶκον εἶναι προσευχῆς, περινοίας παντίαις καί ἀνθρωπίναις μεθόδοις ἀνεπιχείρητον; Ἀλλ᾽ ὁ Κύριος οὐ ῥητῶς ἀπεῖρξε τήν περί λόγους σπουδήν; Ἀλλ᾽ οὐδέ τόν γάμον, οὐδέ τό κρεῶν ἀπέχεσθαι, οὐδέ τό μετά τῶν ἐν συζυγίᾳ ζώντων συνοικεῖν. Εἰ γοῦν ἡμεῖς ταῦτα τούτους ἀπαιτοῦμεν, κατηγορήσει τις ἡμῶν λέγων κατά σέ τόν πάντα στρέφειν δοκοῦντα τοῖς τῶν λόγων στροφαῖς ὡς οὐδέν ἧττον, ἐπεί οὐκ ἐκώλυσεν, ἔχεσθαι δεῖ ἤ ἀπέχεσθαι, ἐπί οὐκ ἐπέτρεψεν; Οὔμενουν, εἰ μή κατηγορημένος αὐτός ἐθέλει δικαίως εἶναι˙ πολλά γάρ τῶν ἀκατακρίτως ἐνεργουμένων τῷ χριστωνύμῳ πληρώματι, τρόπῳ παντί τοῖς μοναχοῖς οὐκ ἐφεῖται διά τό τῆς πολιτείας ἐξηλλαγμέονον. Εἰσί δ᾽ οἵ τῶν πατέρων καί λουτρῶν θεραπείας ἀπείργουσι καί νοσοῦσιν αὐτοῖς ταῖς ἐξ ἰατρικῆς χρῆσθαι βοηθείας οὐκ ἐπιτρέπουσιν, ὡς ὅλους ἀνακειμένους Θεῷ καί τό πᾶν ἐξηρτημένους ἐκεῖθεν καί τό συνοῖσον ἀνενδοιάστως προσδόκιμον θεόθεν ἔχοντας. Οὐ μήν τούς μή πρός τό μέτρον τοῦτο τῆς πίστεως φθάνοντας ἀποτροπαίους ἡγοῦνται, καίτοι τοῦ Θεοῦ πολλάκις δι᾽ ἐξαισίων θαυμάτων ἐπιμαρτυρήσαντος ἐκείνῃ τῇ γνώμῃ. Πατρικῶς δ᾽ ἔσθ᾽ ὅτε καί συγκαταβαίνουσι τοῖς ταπεινοῖς ἡμῖν˙ τοῦτο δή καί περί τήν τοῦ λόγου παιδείαν εὕροι τις ἄν καί ποιοῦντας καί λέγοντας. Πῶς οὖν τόν ταὐτά τοῖς πατράσι καί ποιοῦντα καί λέγοντα τῷ παραβάτῃ καί ἀποστάτῃ συντάττειν ὑπέμεινας, ὁ μοναχός καί φιλόσοφος; Ἐκεῖνος χριστιανούς ὡς ἀναξίους τῶν λόγων ἀποστερεῖν (σελ.328) ἐπεχείρησεν, ἐγώ δ᾽ οὐκ ἀποστερεῖν μοναχούς. Ἱκανός γάρ ὁ πρό τοῦ τήν πολιτείαν ταύτην ὑπελθεῖν χρόνος πρός λόγου κτῆσιν παντοίαν τοῖς οὐ ῥαθύμοις. Οὔτ᾽

οὖν ἀποστερῶ, καί παρακαλῶ πρός τό ὑπέρ λόγον ἀγαθόν, ὡς ἐπαγγειλαμένους πρός τοῦτο σπεύδειν, οὐκ ἐλλεπτικῶς ἀλλ᾽ ὑπεροχικῶς ἐξάγων τῶν λόγων τούς μακαριστῶς ἑπομένους˙ τῆς γάρ περί λόγους τριβῆς καθ᾽ ὑπερβολήν ὑψηλοτέρα ἐστίν ἡ πρός Θεόν ἐν προσευχῇ προσεδρεία.

Σέ δ᾽ ἡμεῖς ἀντιλέγειν τοῖς πατράσι φαμέν καί πάσῃ τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ. Πῶς γάρ ἄν τις ἐν τοῖς τοιούτοις ὑποσταλείη φάναι τἀληθές; Σύ τοίνυν τἀναντία τοῖς πατράσι φρονεῖς, οὐκ ἐφ᾽ οἷς μεταξύ τῶν λόγων ἐξ ὑπονοίας κατέλεξας, ἀλλ᾽ ὅτι τάς εὐαγγελικάς ἐντολάς οὐχ ἱκανάς εἶναι λέγεις τελείως καθᾶραι τήν ψυχήν τοῦ ταύτας τηρήσαντος, οὐδ᾽ ἐξ ἀπαθείας τήν τελεστικήν καί σωτήριον γῶνσιν περιγίνεσθαι τῷ ταύτην κτησαμένῳ, οὐδ᾽ ἐνόν ἀγνοίας καί ψευδῶν ἀπαλλαγῆναι δοξασμάτων ἄνευ μαθημάτων καί τῆς κατ᾽ αὐτά μελέτης, οὐδέ τελειότητός τε καί ἁγιότητος ἐπιτυχεῖν τόν μή ἀπαλλαγέντα τούτων, καί τήν ἑλληνικήν παιδείαν ὁμοίως εἶναι δῶρον Θεοῦ τοῖς δι᾽ ἀποκαλύψεως προφήταις καί ἀποστόλοις δεδομένοις, καί ὁμοίως ταῦτά τε κἀκείνην ἀνθρωπίνοις λογισμοῖς μετά τό δεδόσθαι καταλαμβάνεσθαι, καί τό πάντα εἰδέναι, ὅ Θεοῦ μόνου ἴσμεν, προσήκουσαν ἀνθρώπῳ τελειότητα εἶναι. Τήν ἱεράν δέ Γραφήν, εἰ καί ἀναμιγνύεις τοῖς λόγοις καί πολλά δοκεῖς ὑπεραγωνίζεσθαι ταύτης, ἀλλ᾽ οὐδ᾽ αὐτήν οἴει τελείαν ἐπάγειν τῇ ψυχῇ κάθαρσιν˙ οὐδέ γάρ ἄν εἰσῆγες τό δεῖν ζητεῖν μανθάνειν, εἴ τίς τι ἐπαγγέλλεται (σελ. 330) εἰδέναι, κἄν ἡ εὐσεβής ᾖ, τόν καθάρσεως ἐφιέμενον. Δόλῳ τοιγαροῦν ταύτην συμπλέκεις τοῖς ὑπέρ τῶν μαθημάτων σου λόγοις εἰς ἐξαπάτην τῶν ἁπλουστέρων. Ἐπεί δέ τοῖς ἰσχυριζομένοις δεῖν τάς θείας ἐντολάς τηρεῖν ὡς ἀπαθείας καί σωτηρίου καθάρσεώς τε καί γνώσεως παρεκτικάς σύ σαφῶς ἀντιλέγεις, τῶν ἐντολῶν δέ ἐστι καί τό τάς Γραφάς ἐρευνᾶν, οἱ μέν πρός τήν τῶν ἐντολῶν τήρησιν προτρέποντες κατά πᾶσαν ἀνάγκην καί πρός τήν ἐπίμονον ἀνάγνωσιν τῶν Γραφῶν προτρέπονται, σύ δέ οὐδέ ταύτας οἴει διδόναι τῇ ψυχῇ τήν κάθαρσιν. Οὐκοῦν δέλεαρ ἐκεῖνο τό συνάγεις εἰς ἕν τήν θείαν Γραφήν καί τά κατά φιλοσοφίαν μαθήματα˙ τό δέ καί εἰς ἕν τέλος ἄγειν ἀμφότερα τόν μετιόντα λέγειν οὐ δόλος μόνον, ἀλλά καί σαφής ἀντίθεσις πρός αὐτήν τήν ἱεράν καί θείαν Γραφήν. Οὐδένα γάρ ἐκείνη τῶν μακρῶν ὠδίνων ἔδωκε καρπόν, ἀλλά πάντες ὑπηνέμιοί τε καί ἀτελεσφόρητοι, πρός τό φῶς τῆς θεογνωσίας οὐ φθάνοντες, καίτοι τό κατά σέ μάλιστα σκότος τῆς

ψυχῆς διά τοῦ φωτός τῶν μαθημάτων ἀποβαλλόμενοι, τήν κατά διάθεσιν ἄγνοιαν. Πῶς δέ καί τῶν ἁγίων οὐκ ἐσκοτισμένοι καί ἀτελεῖς οἱ πλεῖστοι, κατά τούτους τούς λόγους, οἱ μέν ἑλληνικῆς παιδείας οὐκ ἐπειλημμένοι συλλήβδην ἅπαντες, τῶν δέ μετεσχηκότων τῆς ἐκεῖθεν παιδείας, οἱ κόσμον μέν ὡς σκηνήν πηγνύντες, οὐρανόν δέ ὡσεί καμάραν ἱστάντες, ἥλιον δέ ἀπό τῶν βορείων μερῶν τῆς γῆς ἐπανάγοντες, ὅθεν ἀνίσχει, κοῖλα δέ τά οὐράνια νῶτα πρός ὑποδοχήν ὑδάτων δοξάζοντες καί τήν κατά διάθεσιν ὡς αὐτός λέγεις ἄγνοιαν, τό μάλιστα κατά σέ σκότος τῆς ψυχῆς, αὐτοί τε κεκτημένοι καί τούς ἄλλους πείθειν ἐπιχειροῦντες;

Ἵνα δέ μή δόξωμεν ἀφ᾽ ἑαυτῶν τάς τοῦ ἀνδρός ἐνταυθοῖ καταλέγειν δόξας, αὐτάς ἐκείνου τάς ῥήσεις προθώμεθα καί τῶν ἁγίων ἑνός ἤ δύο παραθώμεθα πρός οὕς (σελ. 332) σαφῶς ἀντιφθέγγεται˙ πάντως δέ οὐκ ἄδηλον τοῖς εὖ φρονοῦσιν ὅτι πάντες ἕν εἰσι χεῖλος ὑπό τοῦ ἑνός κινούμενοι Πνεύματος˙ ἐκείνας δ᾽ ὅμως ἡμεῖς προθήσομεν αἵ καί τήν ὁμολογίαν ἐπίδηλον ἕξουσι. Φησίν οὖν ὁ μοναχός καί φιλόσοφος οὗτος ἐπί λέξεως οὕτως˙ «Διά τῆς τῶν ἐντολῶν φυλακῆς ἀγαπητόν, εἰ καί μόγις ἀπάθεια περιγένοιτο μόνη˙ οὐκ ἀρκεῖ δέ μόνον τῶν παθῶν καθήρασθαι πρός τό τήν ἀλήθειαν κατιδεῖν˙ ἡ γάρ ἀπάθεια τήν κατά διάθεσιν ἄγνοιαν οὐ θεραπεύει τῆς ψυχῆς˙ οὐκ ἄν οὖν ὄφελος αὕτη γένοιτο τῇ ψυχῇ πρός τό τά νοητά κατιδεῖν, μενούσης ἐν αὐτῇ τῆς κατά διάθεσιν ἀγνοίας, ἥ μάλιστα πάντως σκότος ἐστί τῆς ψυχῆς˙ ὥστε τῷ φιλοσοφοῦντι ἐπιμελεῖσθαι διά βίου προσήκει, ὅπως καί τῶν παθῶν καί τῶν ψευδῶν δοξῶν τήν ἑαυτοῦ καθαριεῖ ψυχήν, καί τήν ἄνωθεν μέν ἀντίληψιν πρός ἀμφοτέρας τάς καθάρσεις ἐπικαλούμενον, πράττοντι δέ καί αὐτῷ ὅσα προὔργου πρός τό τέλος ὑπάρχει. Οὐκοῦν διά βίου μανθάνειν βουλήσεται καί ὁμιλεῖν πᾶσιν ὅσοι εἰδέναι τι ἐπαγγέλλονται. Οὐδέν γάρ αὐτῷ διοίσει τίς ὁ διδάσκων, ἄν μόνον πρός γνῶσιν αὐτῷ συμβάλληται˙ οὗτος γάρ ἐστιν ὁ τῆς προσηκούσης ἀνθρώποις τελειότητος ἐπήβολος, ὅς τῇ διά πάντων ἀληθείᾳ τόν ἑαυτοῦ ἐνήρμοσε νοῦν καθ᾽ ἕνωσιν μόνιμον».

Ταῦτα καί πλείω τούτων ἔν τε τῷ Περί τελειότητος ἀνθρωπίνης καί Σοφίας κτήσεως σποράδην εἰρήκει. Δύο τοίνυν φησί καθάρσεων τήν ψυχήν ἡμῶν δεῖσθαι, τῆς τῶν παθῶν καί τῆς κατά διάθεσιν ἀγνοίας, καί τήν μέν κάθαρσιν μόνην τῶν παθῶν τήν τήρησιν τῶν ἐντολῶν παρέχειν φησί, καί ταύτην μόγις, ὡς αὐτός λέγει, ταῖς ἐντολαῖς τοῦ

Θεοῦ συγχωρεῖ, τήν δέ τῆς ἀγνοίας διδόναι λέγει τήν μάθησιν, οὐ τῶν θείων Γραφῶν, ἡ γάρ τούτων μάθησις ἐμπεριείληπται τῇ τῶν ἐντολῶν τηρήσει. Ὅμως εἰ ταύτην ἔλεγεν, οὐδέν ἄν ἐπηκολούθει βλάβος, ἐπεί καί ὁ μέγας Μάξιμος λέγει τι τοιοῦτον τήν τῆς ἀρετῆς πρᾶξιν τῶν θείων δογμάτων διαιρῶν, καί ἡμεῖς (σελ. 334) ἔστιν ὅτε λέγομεν διά μέν τῶν θείων ἐντολῶν τήν ψυχήν τῶν παθῶν καθαίρεσθαι, τῇ δέ καθαρᾷ προσευχῇ πᾶσαν ὑπεροχικῶς γνῶσιν ἀποτίθεσθαι. Τά τοιαῦτα δ᾽ οὕτω λέγεται κατ᾽ ἐξοχήν, ὡς καί ὁ τῆς δεσποτικῆς ἀναστάσεως ἄγγελος ἔλεγε ταῖς μυροφόροις· «εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καί τῷ Πέτρῳ ὅτι προάγει ὑμᾶς εἰς τήν Γαλιλαίαν». Ὡς οὖν ὁ Πέτρος τοῦ χοροῦ τῶν μαθητῶν ἐστιν, εἰ καί ἐξόχως καλούμενος ἐκείνων διαιρεῖται, τόν αὐτόν τρόπον καί ἡ προσευχή καί ἡ τῶν ἱερῶν Γραφῶν ἀνάγνωσις ἐντολαί εἰσι Θεοῦ, εἰ καί κατ᾽ ἐξοχήν ἐκείνων διαιροῦνται, ἀλλ᾽ οὐχί καί ἡ τῶν κατά φιλοσοφίαν μαθημάτων ἀνάληψις· εἰ δέ καί ἐξόχως λέγοιτο, τῆς ἀτοπίας.

Οὗτος δέ οὐ τήν τῶν θείων Γραφῶν μάθησιν καθαίρειν λέγει τελείως τήν ψυχήν, ἀλλά τήν τῶν ἑλληνικῶν μαθημάτων· διό καί τό δεῖν μανθάνειν τόν καθαρθησόμενον, εἴ τίς τι ἐπαγγέλλεται εἰδέναι, κἄν θεοσεβής ᾖ κἄν μή, προστίθησι, καί ἀκάθαρτον ἀποφαίνεται καί ἀτελῆ τόν μή τήν γνῶσιν ἐσχηκότα τῶν ὄντων, ἵνα δείξῃ σωτηριώδη, καθαρτικήν τε καί τελεστικήν ταύτην οὖσαν τήν μάθησιν. Ὅτι μέν οὖν ὁ ταῦτα λέγων τἀναντίαν φρονεῖ τοῖς πατράσι τε πᾶσι καί τῷ τῶν πατέρων Θεῷ, φανερόν οἶμαι πᾶσιν εἶναι τοῖς εὖ φρονοῦσιν· ἡμῖν δέ παρελθέτω μάρτυς εἰς μέσον ὑπέρ ἁπάντων ὁ ἐξ Ἀρείου Πάγου θεοφάντωρ Διονύσιος, ᾧ μάλιστα πάντων διά πάντων ὁ τελεώτερον τῶν θείων ἐντολῶν οὗτος αὐχεῖ συμφωνεῖν. Φησί γοῦν ἐν κεφαλαίῳ πρώτῳ τῆς Ἐκκλησιαστικῆς ἱεραρχίας· «ἡ πρός Θεόν ἀφομοίωσίς τε καί ἕνωσις, ὡς τά θεῖα διδάσκει λόγια, ταῖς τῶν σεβασμιωτάτων ἐντολῶν ἀγαπήσεσι καί ἱερουργίαις μόνως τελεῖται». Ἆρ᾽ ἔστιν εὑρεῖν τῆς πρός Θεόν ἀφομοιώσεως τελεώτερον; Οὐμενουν, οὐδ᾽ εἰπεῖν, οὐδ᾽ ἐννοῆσαι. Ἵνα δέ ἡμῖν καί ὁ ὑπερτελής οὗτος κατά τοῦτο συνείποι, τῆς ἀρχῆς τῶν γεγραμμένων (σελ. 336) αὐτῷ Περί τελειότητος ἀνθρωπίνης ἀναμνήσομεν· ἐκεῖ γάρ φησι, «τέλειος ἄνθρωπός ἐστιν ὁ τήν ἑαυτοῦ ψυχήν καθ᾽ ὅσον ἀνθρώπῳ δυνατόν, ὁμοίαν τῷ Θεῷ πεποιηκώς».

Εἰ τοίνυν ἡ πρός τόν Θεόν ἀφομοίωσις τελείωσις, αὕτη δέ μόνῃ τῇ δι᾽ ἀγάπης ἱερᾷ ἐργασίᾳ τῶν θείων ἐντολῶν τελεῖται, ποῦ ἡ ἐκ

γνώσεως καί μαθημάτων καί τοῦ διά βίου μανθάνειν ἐθέλειν καί πᾶσι σπεύδειν ὁμιλεῖν ὅσοι εἰδέναι τι ἐπαγγέλλονται καί πρός γνῶσιν συμβάλλονται, κἂν Αἰγύπτιοι κἂν Σκύθαι κἂν Ἕλληνες ὦσι, κάθαρσις καί τελείωσις; Πῶς δ᾽ ὁ λέγων ἐκ τούτων τήν κάθαρσιν, οὐ τοῖς θείοις φανερῶς ἀντιλέγει λογίοις καί τοῖς τούτων ὁμολογηταῖς πατράσι; Πῶς δ᾽ ὁ λέγων ἐκ τῆς τηρήσεως τῶν ἐντολῶν μόνην τήν ἀπάθειαν προσγίνεσθαι, τήν μή καθαρτικήν οὖσαν τῆς ἀγνοίας μηδέ φωτιστικήν τῆς ἐν τοῖς οὖσιν ἀληθείας, ὡς αὐτός αὖθις οἴεται, καί ταύτην μόγις, τήν δέ μή διά τῶν ἐντολῶν τοῦ Θεοῦ καθαιρομένην ἄγνοιαν μάλιστα σκότος λέγων τῆς ψυχῆς διά τῆς ἔξω πεφυκός καθαίρεσθαι παιδείς, πῶς οὖν οὗτος, οὐδέν ἧττον ὅτι μή καί μᾶλλον, ἰατρούς καί φωστῆρας καί σωτῆρας τῆς ψυχῆς ἡμῶν Ἕλληνας καί Αἰγυπτίους καί οὑστινασοῦν λογικῶν μαθημάτων εὑρετάς, ἤ τόν Ἰησοῦν ἡγεῖται; Ἀλλ᾽ ἡ μέν ἐπιγενομένη νόσος τῷ φρονοῦντι τῆς τοῦ φιλογνώστου τούτου ψυχῆς ἐξεφάνη τοσαύτη καί ταῦτα δι᾽ ὀλίγων τῶν περί αὐτῆς λόγων τουτωνί˙ τοῦ δέ φρονοῦντος νοσοῦντος τῷ φιλοσόφῳ, οὐδέν ἀπεικός καί ὅ τι καί ὅθεν αὐτό νοσεῖ μή νοεῖν. Πειρασόμεθα οὖν ἡμεῖς τήν αἰτίαν τῆς νόσου συνιδεῖν τε καί ἐξειπεῖν, ἀλλά καί φάρμακον σύν Θεῷ κεράσαι, ἤν ἄρα πεισθῇ προσέσθαι, πρός ὑγίειαν ἐπανάγον. Τίς γάρ οὐκ ἄν πάθοι τήν ψυχήν, οὕτω καλόν μέλος τῆς ἐκκλησίας νοητῶς ὁρῶν ταύτης ἀπορρηγνύμενον; Ἔγωγ᾽ οὖν ἐπί τοσοῦτον οἶδα δι᾽ αὐτό τοῦτο τήν ψυχήν δηχθείς τήν ἀρχήν, (σελ. 338) ὡς μή ἄν πιστευθῆναί τισι δοκεῖν ἐφ᾽ ὅσον εἰπόντα. Καί τόν πόνον δ᾽ ὅσον ὑπέστην γράφων, ὡς καί αὐτός τότε τῖς συνοῦσιν ἔλεγον, οὐχ ὑπέρ τῶν τήν ἡσυχίαν ἀσπαζομένων μᾶλλον ὑπῆλθον ἤ τούτου πρός ὅν αἱ ἀντιθέσεις εἰσί˙ κἄν εἴπερ ἠθέλησεν, ἀξιοῦντι τήν ἀρχήν, τοῖς πρός ἀλλήλους διά στόματος λόγοις καταλῦσαι τάς δόξας ταύτας καί τάς πρός τούς ἁπλουστέρους τῶν ἀδελφῶν ἐπιθέσεις, φροῦδα ἄν ἦν τά μακρά συγγράμματα. Νῦν δ᾽ οὐκ οἶδ᾽ εἰς ὅ τι ταυτί τελευτήσει˙ Θεῷ δ᾽ εὔχομαι καί ἐλπίζω τά κρείττω.

Ἀλλά γάρ τῶν τῆς νόσου πρώτων καί πορρωτέρω αἰτίων ἀφεῖσθαί μοι δοκῶ˙ τό προσεχέστατον δ᾽ ἁπάντων, ὅ κἀν τοῖς τοῦ νοσοῦντος ἐμφαίνεται λόγοις, τό τῆς ὑπέρ ἡμᾶς ἀληθείας ἐστί καί πρᾶγμα καί ὄνομα. Δεινόν ὄντως ἄνδρα κλέψαι φιλομαθῆ καί ταῖς περί τό εἰδέναι λίχνως διακειμέναις ψυχαῖς ἔφεσιν ἀνέφικτον ἐντεκεῖν˙ αὕτη γάρ καί τῷ Ἀδάμ τῆς ἰσοθεΐας τόν ἔρωτα τήν ἀρχήν ἐνεποίησεν. Ὠήθη γάρ καί ὁ φιλόσοφος οὗτος τοῦτ᾽ εἶναι σωτηριῶδες καί ἄνευ τούτου τελειότητα

μή παρεῖναι τῇ διά τῶν κτισμάτων πάντων τοῦ Θεοῦ διηκούσῃ ἀληθείᾳ τό γνωστικόν ἐνηρμόσθαι τῆς ψυχῆς καθ᾽ ἕνωσιν μόνιμον. Τοῦτο δ᾽ ἐκ τῶν θείων λογίων καί ἐνταλμάτων μή τελέως προσγινόμενον ὁρῶν, πρός τούς δοκοῦντας τούς τῆς κτίσεως εὑρηκέναι λόγους ἔβλεψεν Ἕλληνας καί τά κατ᾽ αὐτούς ὡς τελεστικά ψυχῆς ἐσεβάσθη μαθήματα˙ οὐ γάρ ἐνενόησεν ὡς ἀλυσιτελές τοῦτο κατά τόν νῦν αἰῶνα τῇ ψυχῇ καί ἀδύνατον˙ «ὡς γάρ ὀστᾶ ἐν γαστρί τῆς κυοφορούσης», φησίν ὁ Σολομών, «οὕτως οὐ γνώσῃ τά ποιήματα τοῦ Θεοῦ, ἅ ποιήσει τά σύμπαντα». Ἀλλ᾽ ἅ μέν ποιήσει οὐκ εἴσῃ, ἅ δέ πεποίηκεν εἴσῃ; Καί μήν ὁ αὐτός φησιν˙ «οὐ δυνήσεται ἄνθρωπος τοῦ εὑρεῖν τό ποίημα τό πεποιημένον (σελ. 340) ὑπό τόν ἥλιον, ὅσα ἐάν μοχθήσῃ τοῦ ζητῆσαι, καί γε ὅσα ἄν εἴποι ὁ σοφός τοῦ γνῶναι, οὐ δυνήσεται εὑρεῖν. Διό καί διάφοροι περί κτίσεως μέν εἰσίν οἱ τῶν ἔξωθεν λόγοι, πάντες δ᾽ ὅτι μή ἀληθεῖς, εἰσίν οἵ τούτων ἐπιστήμην συνέθεντο τήν δεικνῦσαν˙ ὅτι δέ εἷς τις τῶν διαφερομένων τἀληθές αὐχεῖ, οὐδεμία τούτων ἐπιστήμη δύναται δεῖξαι ἤ ὅλως ἐπινενόηται. Καί τοίνυν ὁ μή τοῖς ὑπό τῶν θεοπνεύστων ἐπί τό συνοῖσον ἐκφανεῖσι μόνοις τό ἀναμφίλεκτον τῆς ἀληθείας προσμαρτυρῶν κἀν τῶν πρός τόν Ἰώβ ὑπό Θεοῦ εἰρημένων τῆς ἐν τοῖς κτίσμασι τοῦ Θεοῦ σοφίας τό ἀκατάληπτον συνιών, ἀλλ᾽ ἐκ τῆς ἔξω σοφίας τήν διά πάντων δεικνουμένην ἀλήθειαν ἀκριβῶς κατανοῆσαι οἰόμενος, ἔλαθεν ἑαυτόν ἐπί ψάμμου, μᾶλλον δέ ἐπ᾽ ἀλλεπαλλήλων κυμάτων, τόν τῆς γνώσεως οἶκον οἰκοδομῶν, τοσοῦτο πρᾶγμα λόγων στροφαῖς πιστεύων, ἀεί στροφαῖς ἄλλων λόγων πεφυκυΐαις καταπαλαίεσθαι˙ μωρῷ τοίνυν ὁμοιωθήσεται ὁ τοιοῦτος σοφός καί δέος οὔ τι μικρόν μή καί τήν πτῶσιν πάθῃ μεγάλην κατά τήν τοῦ Κυρίου παραβολήν. Τό γοῦν αἴτιον τῆς ἀπάτης, εἴπερ ἄρα καταστοχάζομαι τῆς ἀληθείας, τοῦτο τό μέρος τῆς ἀληθείας ἐστίν. Ὑπόλοιπον δ᾽ ἄρα κεράσαι τό καθάρσιον πόμα.

Προμηθευόμενοι δέ ὥστε καί προσενέγκασθαι τούς νοσοῦντας ἀλύπως, δῶμεν ὅ ἀπείπομεν πρότερον, ὡς ἀδύνατον παντάπασιν ὄν. Δῶμεν τοίνυν τούς τῶν κτισμάτων ἀληθεῖς λόγους ἐκ τῶν ἔξω μαθημάτων εὑρίσκεσθαι, κἀκείνους ἀξιώσωμεν τοῖς ἐκ τῶν λογίων ἡμῖν προαποδεδειγμένοις ἕπεσθαι καί μόνον εἶναι πιστεύειν ἰατρόν τῶν πνευμάτων Χριστόν, τόν τῶν πνευμάτων Θεόν, καί μόνῃ τῇ ἀγαπήσει τε καί τηρήσει τῶν αὐτοῦ ἐντολῶν τήν πρός αὐτόν ἀφομοίωσιν τελεῖσθαι, ταὐτόν δ᾽ εἰπεῖν ὑγίειαν ψυχῆς καί τελείωσιν.

Ἐπεί τοίνυν ἡμεῖς μέν ἐκείνοις συναπήχθημεν, ἐνδόντες ἐφ᾽ ὅσον οὐδ᾽ ἐχρῆν, παρ᾽ ἐκείνων δέ ἀπητήσαμεν ὅ οὐκ ἄν ἔχοιεν (σελ342) ἀρνήσασθαι, φέρ᾽ ἴδωμεν τί τό περαινόμενον ἐκ τῆς ὁμολογίας ταύτης. Τί γε ἄλλο ἤ ὅτι τοῦτο τελειότης ἐστί σωτήριος ἔν τε γνώσει καί δόγμασι, τό ταὐτά φρονεῖν προφήταις, ἀποστόλοις, πατράσι, πᾶσιν ἁπλῶς, δι᾽ ὧν τό ἅγιον Πνεῦμα μαρτυρεῖται λαλῆσαν περί τε Θεοῦ καί τῶν κτισμάτων αὐτοῦ. Τά δ᾽ ὑπ᾽ αὐτοῦ παρειμένα, παρ᾽ ἑτέρων δέ εὑρημένα, ἀσυντελῆ πρός γε ψυχῆς σωτηρίαν, κἄν ἀληθῆ˙ τῶν γάρ λυσιτελούντων οὐδέν παρεῖται τῇ διδασκαλίᾳ τοῦ Πνεύματος. Διό καί τούς διαφωνοῦντας ἐπί τινος τῶν παρεωραμένων οὐδέ μεμφόμεθα καί τούς κρεῖττον κατά τι τούτων εἰδότας οὐ μακαρίζομεν.

Ἀλλά γάρ πρός τήν τελειότητα τῆς σωτηρίου ἐκείνης γνώσεως ἡμᾶς ὁ Χριστός ἐνάγων ἔλεγεν, «εἰ ἐπιστεύετε Μωσεῖ, ἐπιστεύετε ἄν ἐμοί», καί τάς ἱεράς Γραφάς ἐρευνᾶν ἐνετείλατο, ὡς ἐν αὐτοῖς εὑρήσοντας ζωήν τήν αἰώνιον. Αὕτη μέν οὖν ἡ γνῶσις, τελεία οὖσα καί οὕτω προσγινομένη, πράξεως πρός τελείωσιν οὐ προσδεῖται, οὐδέ πόνων πολλῶν. Διό καί ὁ χρυσοῦς θεολόγος Ἰωάννης περί τοῦ Κυρίου φησίν ὅτι περί δογμάτων μέν ὀλιγάκις διελέγετο, οὐδέ γάρ δεῖται πόνου τό πρᾶγμα, περί δέ τοῦ βίου πολλάκις μᾶλλον δέ πανταχοῦ˙ «τοῦτο γάρ», φησίν, «ἐστιν ὁ νόμος καί οἱ προφῆται, ἵνα, ὅσα ἄν θέλωμεν γίνεσθαι παρ᾽ ἑτέρων ἡμῖν, ταῦτα καί ἡμεῖς ποιῶμεν αὐτοῖς». Ἐπεί δ᾽ ἔστι γνῶσις καί ἡ τοῦ πρακτέου διάγνωσις, καί ταύτης ἐν τῷ πράττειν δεόμεθα καί ταύτης ἀναγκαῖον ἐπειλῆφθαι τόν πρός τόν Θεόν ἐφωμοιωμένον καί τέλειον ἄνθρωπον˙ πρός ταύτην οὖν ἡμᾶς ἐνάγων τήν γνῶσιν ὁ Κύριος αὖθις ἐνετείλατο λέγων, «γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις καί ἀκέραιοι ὡς αἱ περιστεραί», τό τοῦ ἤθους εἰσάγων μετά συνέσεως ἄκακον, καί τάς φρονίμους παρθένους τοῦ νυμφῶνος ἠξίωσεν, ὡς τά τῆς ἀγάπης ἔργα μή (σελ. 344) διαζευγνύσας τῆς ἐγκρατείας. Ἀλλ᾽ ἡ γνῶσις αὕτη χωρίς πράξεως οὐδενί λυσιτελήσειεν ἄν˙ «ἀγαθή» γάρ «σύνεσις τοῖς ποιοῦσιν αὐτήν». Διό καί ὁ Κύριος τόν φρόνιμον δοῦλον ἐκεῖνον λέγει μακάριον, «ὅν ἐλθών εὑρήσει ποιοῦτα οὕτως» ὡς προσέταξεν αὐτῷ, καί τόν εἰδότα καί μή ποιοῦντα δαρήσεσθαί φησι πολλάς, κἀκεῖνον ὄντως συντάττει τοῖς φρονίμοις, τόν ἀκούοντα καί ποιοῦντα τούς λόγους αὐτοῦ˙ ἀλλά γάρ ὁ τόν τοῦ Κυρίου λόγον ἀκούων καί ποιῶν, αὐτός ἐν ἑαυτῷ κτᾶται κατά τήν ἐπαγγελίαν τόν ἐντειλάμενον˙ ὁ δέ ἐστιν αὐτοσοφία καί

περιοχή πάσης γνώσεως ἀληθινῆς. Οὐκοῦν ὁ τοῦτον διά τῆς τηρήσεως τῶν θείων ἐντολῶν ἐν ἑαυτῷ κτησάμενος οὐδέ τῆς μαθήσεως τῶν Γραφῶν δεήσεται, ἀλλά καί χωρίς αὐτῆς πάσας οἶδεν ἀκριβῶς καί τῶν διά μαθήσεως ἰόντων διδάσκαλος ἄν εἴη ἀσφαλής, ὡς ὁ Ἰωάννης καί ὁ Ἀντώνιος.

Τό μέν οὖν τελεστικόν ἡμῖν ὄντως καί σωτήριον, τοῦτο τό εἶδος τῆς ἀληθείας ἐστίν, ὡς ἐκ τῶν θεουργῶν ἐντολῶν διδασκόμεθα˙ τό δ᾽ ἐπί τούτῳ βραβεῖον ἤ βραβείου ἀρραβῶνα Παῦλος μέν ἁρπαγήν καί ἄνοδον ὠνόμασεν ὑπερουράνιον, ὁ δέ Χριστός ἔλευσιν καί μονήν καί ἐμφάνειαν ἑαυτοῦ καί τοῦ Πατρός˙ ὅτι μέν γάρ ἕν ταῦτα, εἰ καί διαφόρως εἴρηται, οὐκ ἀσυμφανές τοῖς μεμυημένοις. Οὐ γάρ ἄλλοσε ἄλλοθεν ἐλεύσεται ἡ πανταχοῦ παροῦσα δύναμις, οὐδέ μενεῖ που ἡ μηδαμοῦ, ἀλλά τοῦτο ἔλευσις πρός ἡμᾶς ἐκείνου καί μονή, ἡ πρός αὐτόν ἡμῶν δι᾽ ἀποκαλύψεως ἄνοδος˙ τοῦτο τοίνυν ὡς μή γνῶσιν ἀλλ᾽ ὑπεροχικῶς ἀγνωσίαν ὑπάρχον δείξομεν ἔπειτα. Νῦν δέ πρός τοῖς εἰρημένοις δεῖν οἶμαι καί μάρτυρα παραγαγεῖν ὅτι τῆς γνώσεως καί ἀληθείας τῶν ἐν τοῖς κτίσμασι λόγων οὐ προσδεόμεθα πρός σωτηρίας καί ἁγιωσύνης (346) τελείωσιν. Παρίτω τοίνυν ὁ καί τήν τῶν ὄντων γνῶσιν ἐκμελετήσας ἀκριβῶς Βασίλειος ὁ μέγας˙ οὗτος γάρ τήν διά τοῦ ψαλμῳδοῦ προσμαρτυρομένην ἐν τῇ τοῦ τελείου καρδίᾳ διευκρινῶν ἀλήθειαν, «δύο», φησί, «τά σημαινόμενα τῆς ἀληθείας εὕρομεν˙ ἕν μέν τήν κατάληψιν τῶν ἐπί τόν μακάριον βίον φερόντων, ἕτερον δέ τήν περί οἱουσδήποτε τῶν ἐν τῷ κόσμῳ εἴδησιν ὑγιᾶ˙ ἡ μέν οὖν συνεργός τῆς σωτηρίας ἀλήθεια τῇ καρδίᾳ ἔνεστι τοῦ τελείου, ὅς καί παραδίδωσι ταύτην τῷ πλησίον ἀδόλως˙ περί δέ γῆς καί θαλάσσης, ἀστέρων τε καί τῆς τούτων κινήσεως ἤ τάχους, ἐάν μή εἰδῶμεν τήν ἐν τοῖς τοιούτοις ἀλήθειαν, οὐδέν ἡμῖν ἐμποδίσει πρός τό ἐπιτυχεῖν τῆς ἐν ἐπαγγελίαις μακαριότητος».

## *ΛΟΓΟΣ ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ ΤΩΝ ΥΣΤΕΡΩΝ Ο ΔΕΥΤΕΡΟΣ (Σελ. 348)*

### ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ

Τῶν μέν οὖν οὐδέν μέγα τιθεμένων τήν ἀπό τῆς ἔξω παιδείας ὄνησιν πρός τήν ἀπό τοῦ εὐαγγελίου τοῖς κατ᾽ αὐτό ζῶσι νῦν τε

προσγινομένην καί κατά τάς ἀψευδεῖς ἐπαγγελίας ἐλπιζομένην κατηγορεῖν οὕτως ἀφειδῶς τόν φιλόσοφον τοῦτον ὡς καί συγγράμμασι μακροῖς διδόναι τάς κατ᾽ αὐτῶν λοιδορίας, ὑπό τοῦ φίλτρου τῆς παιδείας εἴποι τις ἄν ἐπῆρθαι καί τῆς πρός τό εἰδέναι διαθέσεως ἄκρας. Μόνας γάρ ἐκείνων περί πλείστου ποιουμένων τάς τοῦ Χριστοῦ ἐντολάς καί πρός μόνας ταύτας πάντας προτρεπομένων ὡς μόνας ἱερουργούσας τήν πρός Θεόν ἀφομοίωσιν καί τελειούσας καί θεουργούσας τήν ἀνθρωπίνην ψυχήν, λόγους δέ καί τήν ἐν λόγοις φιλοσοφίαν μή πάνυ τῶν γηΐνων ὑπερτιθέντων, σαρκικήν δέ καί τοῦ αἰῶνος τούτου σοφίαν κατά Παῦλον λεγόντων, τῶν δ᾽ Ἑλλήνων τούς προστάτας αὐτῆς, ὡς τῷ παρά Θεοῦ διδασκαλείῳ τῆς κτίσεως κατά Θεοῦ χρησαμένους, ἀποτροπαίους δεικνύντων καί ἀσόφους σοφούς, ὑπέρ τῶν παιδικῶν, ὡς ἔοικεν, ὁ φιλόσοφος ἠνιάθη, μή τῆς μεγίστης καί αὐτῶν ἀξιουμένων τιμῆς, καί ταῦθ᾽ ἧς ἔμελλε καί αὐτός εἶναι κοινωνός καί δι᾽ ἥν ἐπώνυμος τῆς φιλοσοφίας ἐγένετο καί ὅ μόνον φανερόν ἔπαθλον ἐκαροῦντο τῆς διά βίου σπουδῆς. Κατά δέ τῆς λογικῆς, μᾶλλον δέ τῆς πνευματικῆς ἡμῶν λατρείας, δηλαδή τῆς προσευχῆς, καί τῶν ταύτην τοῦ παντός τιμωμένων καί μεθ᾽ ἡσυχίας ἀπεριμερίμνως διά βίου προσανεχόντων αὐτῇ καί τῇ χεῖρα διδόντων τοῖς (σελ. 350) εἰσαγομένοις πρός τήν ἀγγελικήν καί ὑπερκόσμιον λειτουργίαν, τίς ἐπήγειρε τρόπος; Τίς ἀντιλέγει τοῖς σιωπᾶν αἱρουμένοις; Τίς φθονεῖ τοῖς τιμᾶσθαι μηδαμῶς αἱρουμένοις; Τίς ὡς παρελθών μέγα φρονεῖ τούς πόρρω τοῦ σταδίου καθεζομένους; Κἀκεῖ μέν, ἐν τοῖς ὑπέρ φιλοσοφίας αὐτῷ γεγενημένοις ἀγῶσι, μοναχοῖς ἦν δῆλος ἀντικείμενος ὁ μοναχός καί φιλόσοφος, ἀλλ᾽ ἔτι περιοῦσιν, ἐνταῦθα δέ, τάς ῥήσεις σαφῶς τῶν πρός οὐρανούς κετῳκισμένων πατέρων μεταξύ προβαλλόμενος τῶν λόγων εἰς ἀνατροπήν αὐτῶν, οὐκ οἶδ᾽ ὅ τι παθών οὔτοι μικρόν ἀγῶνα πεποίηκε.

Μᾶλλον δ᾽ ἤ πᾶσι, τοῖς ὑπό τοῦ ὁσίου καί ὁμολογητοῦ Νικηφόρου γεγραμμένοις περί εὐχῆς ἀνέδην ἀντεπεξάγει τοῦ λόγου τήν δύναμιν, Νικηφόρου τοῦ τήν καλήν ὁμολογίαν ὁμολογήσαντος καί δι᾽ αὐτήν ὑπερορίᾳ κατακριθέντος ὑπό τοῦ βασιλεύσαντος πρώτου Παλαιολόγου καί τά τῶν Λατίνων φρονήσαντος Νικηφόρου τοῦ ἐξ Ἰταλῶν μέν ἕλκοντος τό γένος, καταγνόντος δέ τῆς ἐκείνων κακοδοξίας καί τῇ καθ᾽ ἡμᾶς ὀρθοδόξῳ προσχωρήσαντος Ἐκκλησίᾳ, ὅς μετά τῶν πατρίων ἀρνεῖται καί τά πατρῷα καί τήν ἡμεδαπήν τῆς σφετέρας φιλτέραν ἡγεῖται διά τόν παρ᾽ ἡμῖν «ὀρθοτομοῦντα λόγον

τῆς ἀληθείας», κἀν ταύτῃ γενόμενος, βίον μέν αἱρεῖται καί ἀκριβέστερον, δηλαδή τόν μονήρῃ, τόπον δέ πρός κατοικίαν τόν τῆς ἁγιωσύνης ἐπώνυμον, ἐν μεθορίῳ κόσμου καί τῶν ὑπερκοσμίων (Ἄθως οὗτός ἐστιν, ἡ τῆς ἀρετῆς ἑστία), ἐνδιαιτᾶσθαι πριθυμηθείς. Κἀνταῦθα πρῶτον μέν ἔδειξεν εἰδώς καλῶς ἄρχεσθαι τοῖς ἐκκρίτοις πατέρων ὑποταττόμενος δούς δέ διά μακροῦ χρόνου τῆς οἰκείας ταπεινώσεως ἐκείνοις τήν πεῖραν, ἀντιλαμβάνει παρ᾽ ἐκείνων αὐτός τῆς τῶν τεχνῶν εἰρήνης, δηλαδή τῆς ἡσυχίας τήν πεῖραν καί ἀρχηγός γίνεται τῶν ἐν τῷ κατά διάνοιαν κόσμῳ πρός τήν πάλην (σελ. 352) ἀποδυομένων τῶν τῆς πονηρίας πενυματικῶν, οἷς καί πατερικῶν εἰσηγήσεων ἐποιήσατο συλλογήν, ἐπαλείφουσάν τε πρός τούς ἀγῶνας καί διατιθεῖσαν τούς τρόπους τῶν ἄθλων καί προδεικνῦσαν τά ἔπαθλα καί ὑπογράφουσαν τούς στεφάνους τῆς νίκης˙ εἶτ᾽ ἐπί τούτοις, ἐπειδή πολλούς τῶν εἰσαγομένων ἑώρα τῆς ἀστασίας τοῦ νοῦ μηδέ μετρίως γοῦν κρατεῖν δυναμένους, καί τρόπον ὑποτίθεται δι᾽ οὗ τό πολυπόρευτον καί φαντασιῶδες αὐτοῦ μετρίως συστείλειαν.

Τούτῳ τοίνυν ὁ φιλόσοφος οὗτος τήν ἑαυτοῦ φαντασιώδη πολύνοιαν ἐπαφῆκεν, οἷόν τι πῦρ, τῷ κωλύοντι καθάπερ ὕλῃ χρησάμενον, οὐκ αἰδοῖ τῆς μακαρίας ἐκείνης ὁμολογίας καί τῆς δι᾽ αὐτήν ἐξορίας, οὐκ αἰδοῖ τῶν ἐπί τῆς ἐξορίας ὡμιληκότων ἐκείνῳ καί παρ᾽ ἐκείνου τά θεῖα πεπαιδευμένων, οἵ τῆς γῆς ἅλας καί φῶς τοῦ κόσμου καί φωστήρων ἀναπεφήνασι τῇ Ἐκκλησίᾳ φανότεροι, «ζωῆς ἐπέχοντες λόγον» (Θεόληπτον ἀκούεις ἐκεῖνον, τόν ἐπί τῆς Φιλαδελφείας πόλεως ὡς ἐπί λυχνίας ἀστράψαντα, Σελιώτην τόν τῶν μοναζόντων καθηγητήν, Ἠλίαν τόν τήν ἐρημίαν κατά τόν Ἠλίαν διά βίου σχεδόν ἀσπαζόμενον, τούς ἄλλους δι᾽ ὧν ὁ Θεός τήν οἰκείαν Ἐκκλησίαν ἐπαναγαγών ἐκόσμησε καί συνέστησεν), οὐδέ διά τούτους τοίνυν καί τούς ὑπ᾽ἐκείνων πεπαιδευμένους καί τῆς αὐτῆς ἔτι καί νῦν ἀγωγῆς ἐχομένους ἀναπεισθείς ἀφεῖναι τάς κατά τοῦ ἀνδρός οὐκ ἀγαθάς ὑπονοίας ἤγουν τούς λόγους, εἰ δέ μή, τό γοῦν συγγράμμασι μακροῖς ἀτιμάζειν, ὅν ἐγκωμιάζων, οὐκ ἄν ἠδυνήθη πάντως ἀξίως˙ ἀλλ᾽ ὅτι περ ἁπλοϊκῶς ἐκείνῳ ἀφελῶς συνετέθη τό σύγγραμμα, τοῦτο πρός τήν ἀντιλογίαν αὐτόν ἐκίνησεν, ἀφ᾽ οὗ καί τάς λαβάς εὑρεῖν ἐδυνήθη. Καί τοίνυν, ἵνα τό θεολογικόν ἐκεῖνο νῦν εἴπωμεν, «οὐχ ὁ ἐν λόγοις σοφός, οὗτος ἡμῖν σοφός, οὐδ᾽ ὅστις γνῶσσαν μέν εὔστροφον ἔχει, ψυχήν δέ ἀπαίδευτον, ὥσπερ τῶν τάφων ὅσοι τά ἔξωθεν ὄντες εὐπρεπεῖς (σελ. 254) μυδῶσι νεκροῖς τά ἔνδον πολλήν δυσωδίαν

περικαλύπτοντες, ἀλλ᾽ ὅστις τό ἀξιόπιστον τῶν λόγων διά τοῦ βίου προστίθησι καί τοῖς ἔργοις ὡραΐζει τό ἀκαλλές τῶν ρημάτων». Ἀλλά γάρ οὐδέ τοῖς ἁπλοϊκοῖς ἐκείνοις ρήμασιν ὁ σοφός οὗτος ἴσχυσεν ἐπιθέσθαι, μή πρότερον διαστρέψας αὐτά, καθάπερ σαφῶς μετά βραχύ δείξομεν.

Νῦν δ᾽ ἐπείπερ οὗτος ἀρχόμενός τε καί τελευτῶν παρ᾽ ἑαυτοῦ διδάσκει περί προσευχῆς νοερᾶς, ταύτην καί ἡμεῖς αὐτοῦ τήν διδασκαλίαν διά βραχέων προθεωρήσωμεν˙ τοιαύτη γάρ ἐστιν, οἵα διά χρηστολογίας ἀπατῆσαι τῶν ἀπείρων πολλούς, τῶν εὐχῆς δ᾽ ἀληθοῦς καί μετρίως γευσαμένων οὐδένα. Τοσοῦτον οὖν τήν διδασκαλίαν ταύτην αὐτοῦ κατίδωμεν, ὅσον δεῖξαι τό πρός τούς πατέρας αὐτῆς ἀσύμφωνον. Ἄρχεται μέν γάρ ἀπό τῶν τοῖς πατράσιν ὡμολογημένων, τελευτᾷ δέ εἰς τήν ἐναντίαν παντάπασιν ἐκείνοις ὁδόν. Τοῦτο γάρ φησιν ἀρχόμενος, ὡς ἠρεμίαν παρέχειν ταῖς αἰσθήσεσι χρή τόν προσευχῆς ἐπιμελούμενον, καί διά τούτου, κλέψας τόν ἀκούοντα ὡς συνῳδά λέγων τοῖς πατράσιν, εἶτ᾽ ἐκ τούτου συμπεραίνει δεῖν νεκροῦν τελέως τό τῆς ψυχῆς παθητικόν ὡς κατά μηδεμίαν τῶν ἑαυτοῦ δυνάμεων ἐνεργεῖν, πρός δέ καί πᾶσαν ἐνέργειαν ψχῆς τε καί σώματος κοινήν˙ «τῇ γάρ προσευχῇ», φησίν, «ἐμπόδιον ἑκάστη γίνεται καί μάλιστ᾽ ἐφ᾽ ὅσον βίας ὁπωσοῦν μετέχει καί ἡδονήν ἤ ἄλγος ἐμποιεῖ καί ἔτι μάλιστα περί τήν παχυτάτην καί ἀλογωτάτην τῶν αἰσθήσεων ἁφήν». Οὐκοῦν εἴποι τις ἄν πρός τόν τά τοιαῦτα εἰσηγούμενον, οὐ νηστεύειν, οὐκ ἀγρυπνεῖν, οὐ κλείνειν, οὐ χαμευνεῖν, οὐκ ἐπί πλέον ἵστασθαι, οὐδέν τοιοῦτον πράττειν δεῖ τόν προσευχῆς νοερᾶς ἐπιμελούμενον˙ ἀλγεινῶς γάρ ταῦθ᾽ ἅπαντα τήν ἁφήν ἐνεργεῖν βιάζεται καί ὄχλον, ὡς ἄν αὐτός φαίης, τῇ ψυχῇ προσευχομένῃ προσφέρει, δέον τόν ἀνενόχλητον (σελ. 356) πανταχόθεν αὐτῇ περιποιεῖν. «Καί γάρ ὑπερφυές ἄν εἴη», πάλιν φησίν, «εἰ ὄψιν μέν καί ἀκοήν, τάς ἀϋλοτέρας τῶν αἰσθήσεων καί ἀπαθεστέρας καί λογικωτέρας, ἀτιμάζοιμεν ἐν προσευχαῖς, ἁφήν δέ τήν παχυτάτην πασῶν καί ἀλογωτάτην προσδεξαίμεθα καί τάς κατ᾽ αὐτήν ἐνεργείας συνεργεῖν ὑποληψόμεθα». Καί γάρ οὐ συνεώρακε, καίτοι φιλόσοφος ὤν, τήν ἐν ταῖς αἰσθήσεσι διαφοράν, ὅπως διαφόρως τῆς ἐν αὐταῖς σωματοειδοῦς δυνάμεως μεταλαγχάνουσαι, μή πρός μόνων τῶν ἔξωθεν αὐταῖς προσπιπτόντων ἅπασαι κινούμεναι, διατελοῦσιν. Ἡμῖν δέ τά συμβαίνοντα ταῖς ἐνύλοις αἰσθήσεσιν ἐκ τῆς ἀΰλου προσευχῆς ἐξηγεῖσθαι βουλομένοις, καί τῆς κατ᾽ αὐτήν ἕξεως

τελεωτάτης ἔδει καί πραγματείας πρός ἕν ὁρώσης, τοῦτο μόνον· ἀλλ' «ὁ διδούς εὐχήν τοῖς εὐχομένοις» καί τοῖς ὑπέρ αὐτῶν λαλοῦσι λόγον τήν νῦν προθέσει σύμμετρον.

Ὅσαι μέν οὖν τῶν αἰσθήσεων ὑπό τῶν ἔξωθεν ἐνεργειῶν κινοῦνται, ταύτας ἠρεμεῖν ἀνάγκη περί τά ἔνδον στρεφομένων ἡμῶν· ὅσαι δέ ταῖς τῆς ψυχῆς διαθέσεσι συνδιατίθενται, καί ταῦτα ταῖς ἀγαθαῖς, τίς χρεία; Τίς δέ μηχανή τούτων οἴκοθεν ἀφεῖσθαι τόν ἐν ἑαυτῷ γενόμενον; Τίνος δέ καί χάριν ἀφίεσθαι τούτων δεῖ ζητεῖν, μηδαμῶς προσισταμένων, ἀλλά καί συνεργουσῶν τῇ συνδιαθέσει ὅ τι μάλιστα; Τό γάρ σύζυγον ἡμῖν τουτί σῶμα ὑπό τοῦ Θεοῦ ὡς συνεργόν ἐσόμενον συνέζευκται, μᾶλλον δέ ὑπέζευκται· οὐκοῦν ἀφνιάζον μέν εἴρξομεν, ἀποδεξόμεθα δέ ἀγόμενον ᾗ δέον. Ἀκοή μέν οὖν καί ὄψις ἁφῆς καθαρώτεραί τε καί λογικώτεραί εἰσιν, ἀλλ' οὐκ ἄν ὅλως ἀντιλήψεταί τις τούτων οὐδενός, οὐδ' ἄν ὀδυνηθείη κατ' αὐτό, μή ἔξωθεν προσπεσόντος τοῦ ὁρατοῦ ἤ τοῦ ἀκουστοῦ, δυσηχοῦς ὄντος ἤ καί δυσειδοῦς· τό δέ σῶμα ὀδυνᾶται μᾶλλον κατά τήν ἁφήν, ὅταν νηστείαν ἀσκῶμεν καί (σελ. 458) μή προσάγωμεν αὐτῷ τήν ἔξωθεν τροφήν. Διά τοῦτο οἱ πρός τά ἔνδον ἀπό τῶν ἔξω ἑαυτούς συστέλλοντες τάς μέν μή παρόντων τῶν ἔξωθεν οὐκ ἐνεργούσας αἰσθήσεις τῆς κατά ταῦτα ἐνεργείας ἀποπαύουσιν, ἐφ' ὅσον εἴσω μένουσι· τάς δέ καί ἀπόντων τῶν ἔξω ἐνεργούσας, πῶς ἄν ἀργεῖν παρασκευάσωσι, καί μάλισθ' ὅταν τείνωσιν αὗται καί πρός τό προκείμενον τέλος; Ὅτι δέ ἡ ἀλγεινή κατά τήν ἁφήν αὕτη αἴσθησις τοῖς νοερῶς προσευχομένοις ἐς τά μάλιστα λυσιτελεῖς, πάντες μέν ἴσασιν ὅσοι καί μετρίως ἥψαντο τοῦ κατ' αὐτήν ἀγῶνος, καί λόγων τούτοις ἧττον δῖ, διά πείρας ἐγνωκόσιν, οἵ καί τούς λόγῳ μόνῳ τά τοιαῦτα ζητοῦντας οὐκ ἀποδέχονται, ταύτην εἶναι λέγοντες τήν φυσιοῦσαν γνῶσιν.

Οὐ μήν ἀλλ' εἰς τούς νοερῶς ὡς ἀληθῶς προσευχομένους ἀπροσπαθεῖς ἀνάγκη εἶναι καί τήν πρός τά μέσως πως ἔχοντα τῶν πραγμάτων σχέσιν ἀποτιναξαμένους, οὕτω γάρ ἄν σχοῖεν ἀπαρενοχλήτου καί καθαρᾶς τυγχάνειν προσευχῆς, τούς δέ μήπω πρός τοῦτο τό μέτρον ἐφθακότας, ἐπειγομένους μέντοι πρός αὐτό, τῆς μέν ἡδυπαθείας ὑπερκύπτειν, ἀπηλλάχθαι δέ τελείως ἐμπαθείας (δεῖ γάρ τό μέν ἁμαρτητικόν τοῦ σώματος νεκρῶσαι, ὅ ἐστιν ἐμπαθείας ἀπηλλάχθαι, τόν δέ λογισμόν ἐπικρατέστερον ἔχειν τῶν ἐν τῷ κατά διάνοιαν κόσμῳ πονηρῶν παθημάτων κινουμένων, ὅ ἐστιν

ἡδυπαθείας ὑπερκύπτειν)˙ εἰ ταῦθ᾽ οὕτως ἔχει, καθάπερ γοῦν ἔχει, καί τῆς ἐμπαθείας ἐπικρατούσης, οὐδ᾽ ἄκροις, τό τοῦ λόγου, χείλεσι νοερᾶς προσευχῆς γευσαίμεθ᾽ ἄν, δεόμεθα πάντως τοῦ κατά τήν ἁφήν διά νηστείας τε καί ἀγρυπνίας καί τῶν ἄλλων τῶν τοιούτων ἄλγους, προσευχῆς ἐπιμελούμενοι˙ δι᾽ αὐτῆς γάρ μόνης τό ἁμαρτητικόν τοῦ σώματος νεκροῦται καί οἱ τά κτηνώδη πάθη κινοῦντες λογισμοί μετριώτεροί τε καί ἀσθενέστεροι καθίστανται˙ οὐ μόνον δέ ἀλλά καί τήν ἱεράν κατάνυξιν αὐτό φέρει τήν ἀρχήν, δ᾽ ἧς καί τούς προγεγονότας (σελ. 360) ἀνιέρους ἀπαλείφει μολυσμούς καί τό θεῖον ἵλεω πάντων μάλιστα ποιεῖται καί πρός τήν δέησιν καταπειθές. «Καρδίαν» γάρ «συντετριμμένην ὁ Θεός οὐκ ἐξουδενώσει» κατά τόν Δαΰδ καί κατά τόν Θεολόγον Γρηγόριον «οὐδενί τῶν πάντων οὕτως ὡς κακοπαθείᾳ Θεός θεραπεύεται». Διό καί ὁ Κύριος μέγα δύνασθαι τήν προσευχήν μετά τῆς νηστείας συνεζευγμένην ἐν εὐαγγελίοις ἐδίδαξεν.

Ἀναλγησία τοιγαροῦν ἐστι τό καταργοῦν τήν προσευχήν, ἥν καί πώρωσιν οἱ πατέρες ὀνομάζουσιν, ἀλλ᾽ οὐχί τό ἄλγος τῆς ἁφῆς, ὡς κατά τῶν ἔργῳ γινωσκόντων πρῶτος οὗτος ἀπράκτοις ἐφιλοσόφησε λόγοις. Ταῦτα ἄρα καί τῶν πατέρων εἰσίν οἵ τήν νηστείαν οἱονεί οὐσίαν εἶναι προσευχῆς ἀπεφήνατο˙ «ὕλη» γάρ, φασί, «προσευχῆς, πεῖνα». Ἕτεροι δέ ποιότητα τοῦτ᾽ ἔφησαν αὐτῆς˙ ἄποιον γάρ ἴσασι τήν ἄνευ κατανύξεως προσευχήν. Τί δέ ὁ λέγων, «δίψα καί ἀγρυπνία ἐξέθλιψαν καρδίαν˙ καρδίας δέ θλιβείσης ἐξεπήδησαν δάκρυα», «προσευχή» δ᾽ αὖθις «δακρύων μήτηρ καί πάλιν θυγάτηρ»; Εἶδες πῶς τό κατά τήν ἁφήν ἄλγος τοῦτο μή μόνον οὐκ ἐμπόδιον γίνεται τῇ προσευχῇ, ἀλλά καί διαφερόντως συνεργεῖ; Τί δέ τά δάκρυα ταῦτα, ὧν ἐστιν ἡ προσευχή θυγάτηρ τε καί μήτηρ; Οὐκ ὀδυνηρά μέν ἐστι καί πικρά καί δακνηρά φύσει τοῖς ἄρτι τοῦ μακαρίου πένθους γευσαμένοις, τοῖς δέ καταπολαύσασιν αὐτοῦ πρός ἡδέα καί ἀνώδυνα μεταποιεῖται; Πῶς οὖν οὐ λυμαίνονται τῇ προσευχῇ, μᾶλλον δέ πῶς καί γεννῶσιν αὐτήν καί γεννῶνται ὑπ᾽ αὐτῆς τά σωματικῶς ἐνεργούμενα, τά καί κατ᾽ αἴσθησιν ἡδύνοντά τε καί ἀλγύνοντα; Πῶς δέ αὐτά χαρίζεται Θεός, κατά τόν λέγοντα, «εἰ δάκρυον ἐκτήσω ἐν τῇ προσευχῇ σου, ὁ Θεός ἥψατό σου τῶν ὀφθαλμῶν τῆς καρδίας καί νοερῶς ἀνέβλεψας»;

(σελ. 362) «Ἀλλ᾽ ὁ Παῦλος», φησίν, «ἁρπαγείς ἕως τρίτου οὐρανοῦ οὐκ οἶδεν, εἴτε ἐν σώματι ἦν εἴτε τοῦ σώματος ἐκτός, ὡς

ἐπιλελησμένος τῶν κατά τό σῶμα πάντων˙ εἰ τοίνυν προσῆκον τόν πρός Θεόν διά προσευχῆς ἐπειγόμενον τῶν κατά τό σῶμα ἀναισθήτως ἔχειν, πῶς δῶρα θεοῦ, ὧν ἀπαλλάττεσθαι προσήκει τόν πρός αὐτόν ἐπειγόμενον;». Ἀλλ᾿ οὐχί τῶν σωματικῶν μόνων ἐνεργειῶν ἀπαλλάττεσθαι προσήκει τόν πρός τήν θείαν ἕνωσιν ἐπειγόμενον, ἀλλά καί τάς νοεράς ἐνεργείας καί πάντα τά θεῖα φῶτα καί πᾶσαν πασῶν ἁγίων ἀκροτήτων ἀνάβασιν ἀπολιπεῖν κατά τόν μέγαν Διονύσιον. Οὐδέν οὖν τούτων δῶρον Θεοῦ, οὐδ᾿ ἡ πασῶν ἁγίων ἀκροτήτων ἀνάβασις, ἐπεί τούτων ἀπαλλάττεσθαι προσήκει τόν πρός τήν θείαν ἕνωσιν ἐπειγόμενον; «Καί πῶς ἄν εἴη», φησίν, «ἐκ τῆς χάριτος ταῦτα, ὧν οὐ μέλλει αἰσθάνεσθαι κατά τήν τῷ Θεῷ τόν ἄνθρωπον ἑνοῦσαν νοεράν προσευχήν; Μάτην γάρ ἄν γένοιτο, μάταιον δέ τῶν ἐκ Θεοῦ οὐδέν». Ματαιολογίᾳ χαίρων, ἄνθρωπε, ὁ καί ἡμᾶς εἰς τοιούτους λόγους κατασπῶν, καί οὕτως ἡγῇ τήν θείαν ἕνωσιν μικρόν ὡς οὐχί τῶν μεγάλων καί ἀναγκαίων ὑπεραίρειν, ἀλλά τῶν ματαίων μόνον, καί ὅ ἄν μή παρῇ, ταύτης τελουμένης, μάταιον ἡγῇ. Ὄντως δῆλος εἶ μή τῶν ματαίων αὐτός ἀνώτερον καταστήσας σεαυτόν˙ εἰ γάρ ὑπερανέστηκας, ἔγνως ἄν ὅσῳ καί τῶν χρηοίμων ἡ πρός Θεόν ὑπερανέστηκεν ἕνωσις.

Σύ δέ τοσοῦτο χαίρεις ἐμφιλοχωρῶν τοῖς ματαίοις, ὡς καί περί προσευχῆς μηδέν εἰδώς ὅλως τοσαῦτα μηκύνεις ματαιολογῶν, ὅς καί τήν ἐν καρδίᾳ πνευματικήν ταύτης χάριν «φαντασίαν» φεῦ καλεῖς «τό εἴδωλον ἐν ἑαυτῇ τῆς καρδίας φέρουσαν». Οἱ δέ κατηξιωμένοι ταύτης ἴσασιν αὐτήν οὐ φαντασιώδη ἀνατύπωσιν, οὐδέ τῶν ἐφ᾿ ἡμῖν οὖσαν, οὐδέ νῦν μέν οὖσαν, νῦν δ᾿ οὐκ οὖσαν, ἀλλ᾿ ἀκάματόν τινα ἐνέργειαν (σελ. 364) ὑπό τῆς χάριτος ἐγγινομένην, συνοῦσαν καί ἐνερριζωμένην τῇ ψυχῇ, πηγήν γεννῶσαν εὐφροσύνης ἱερᾶς εἰς ἑαυτήν συνελκούσης τόν νοῦν καί ἐξιστώσης τῶν πολυειδῶν καί προσύλων φαντασμάτων ἔχειν˙ σωματοειδές δέ λέγω τό διικνούμενον ἀπό τῶν τοῦ σώματος ἡδονῶν ἐπί τούς λογισμούς καί ἡδυφανῶς συγγινόμενον καί κατασπῶν αὐτούς˙ τό δ᾿ ἐκ τῆς ψυχῆς πνευματικῶς εὐφραινομένης ἐπί τό σῶμα διαβαῖνον, κἄν ἐν σώματι τυγχάνῃ ἐνεργοῦν, ἀλλά πνευματικόν ἐστι. Καθάπερ γάρ ἡ ἀπό σωμάτων ἐπί τόν νοῦν ἰοῦσα ἡδονή σωματοειδῆ ἀπεργάζεται αὐτόν, μηδέν τῇ κοινωνίᾳ τοῦ κρείττονος βελτιωθεῖσα αὕτη, μεταδοῦσα δέ μᾶλλον τοῦ χείρονος αὐτῷ, ὡς δι᾿ αὐτήν καί σάρκα ὅλον λέγεσθαι τόν ἄνθρωπον, κατά τό εἰρημένον περί τῶν ὀργῇ κατακλυζομένων ὑπό τοῦ Θεοῦ ὡς «οὐ μή

μείνῃ τό πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διά τό εἶναι αὐτούς σάρκας», οὕτως ἡ ἀπό τοῦ νοῦ ἐπί τό σῶμα πνευματική ἐρχομένη ἡδονή, μηδέν αὕτη τῇ κοινωνίᾳ τοῦ σώματος ἀχρειωθεῖσα, μεταστοιχειοῖ τό σῶμα καί πνευματικόν ποιεῖ, τάς σαρκικάς πονηράς ἀποβαλλόμενον ὀρέξεις καί μηκέτι καθέλκον τήν ψυχήν, ἀλλά ταύτῃ συναναφερόμενον, ὡς καί πνεῦμα τότε ὅλον εἶναι τόν ἄνθρωπον, κατά τό γεγραμμένο, «ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος Πνεῦμά ἐστιν». Ταῦτα δέ πάντα τῇ πείρᾳ δῆλα γίνεται.

Πρός δέ τόν λογομαχοῦντα καί φιλονείκως ἐνιστάμενον ἀπέχρησεν ἄν εἰπεῖν ὡς «ἡμεῖς τοιαύτην οὐκ ἔχομεν, οὐδέ ἡ Ἐκκλησία τοῦ Θεοῦ», λόγοις ἀπράκτως ἄγεσθαι· λόγον δέ τιμῶμεν ἔμπρακτον καί πρᾶξιν ἐλλόγιμον. Ἐπεί δέ καί Γραφῇ τούς τοιούτους παραδέδωκε λόγους, ἵνα μή τινα τῶν πολλῶν ἐξαπατήσῃ καί δόξῃ τι σεμνόν λέγειν καί προσαγάγηται τῷ ψεύδει, γράμμασι καί ἡμεῖς τἀληθές ποιοῦμεν φανερόν καί τό ψεῦδος ἐλέγχομεν, μικροῖς μέν πρός ταῦτα, (σελ. 366) μακροτέροις δέ πρός τά τούτων ἀναγκαιότερα χρώμενοι καί τούς πατέρας πανταχοῦ προδεικνύντες, ἀντικειμένους τῷ καινῷ τῆς ἀπραξίας καθηγητῇ, ὅς ἐπεί τάς διά τοῦ σώματος ἀγαθάς πράξεις ὡς δυσχερεῖς ἀποσείεται καί τάς ἐνσημαινομένας πνευματικάς διαθέσεις τῷ σώματι εἰκότως οὐ καταδέχεται, καίτοι πλήρης ἐστί τῶν τοιούτων πᾶσα ἱερά Γραφή καί θεόπνευστος· «ἡ καρδία μου» γάρ, φησί, «καί ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπί Θεόν ζῶντα», καί «ἐπ᾽ αὐτῷ ἤλπισα καί ἐβοηθήθην καί ἀνέθαλεν ἡ σάρξ μου», καί πάλιν «ὡς γλυκέα τῷ λάρυγγί μου τά λόγιά σου, ὑπέρ μέλι τῷ στόματί μου». Ὅτι δέ τῷ αἰσθητῷ στόματί φησι, καί ὁ ἅγιος Ἰσαάκ δείκνυσι σαφῶς, σημεῖον εἶναι λέγων προκοπτόντων τό καθηδύνεσθαι ἐν τῷ στόματι αὐτῶν τά ρήματα τῆς προσευχῆς. Ὁ δέ ἅγιος Διάδοχος «μίαν εἶναι», φησί, «τήν αἴσθησιν τῆς ψυχῆς, αὐτή ἡ τοῦ ἁγίου Πνεύματος ἡμῖν ἐγγινομένη διδάσκει ἐνέργεια, ἥν οὐδείς δύναται εἰδέναι, εἰ μή μόνοι οἱ τῶν τοῦ βίου καλῶν διά τήν ἐλπίδα τῶν μελλόντων ἀγαθῶν ἀπηλλαγμένοι· ἐπί γάρ τούτων εὐρώστως ὁ νοῦς διά τήν ἀμεριμνίαν κινούμενος τῆς θείας ἀρρήτως χρηστότητος αὐτός ἐπαισθάνεται καί τῷ σώματι κατά τό μέτρον τῆς ἑαυτοῦ προκοπῆς τῆς οἰκείας χρηστότητος μεταδίδωσιν, ὡς καί ὁ Δαυίδ λέγει· "ἐπ᾽ αὐτῷ ἤλπισεν ἡ καρδία μου καί ἐβοηθήθην, καί ἐνέθαλεν ἡ σάρξ μου". Ἡ δέ τοιαύτη ἐγγινομένη χαρά τότε τῇ ψυχῇ καί τῷ σώματι ὑπόμνησίς ἐστιν ἀπλανής τῆς ἀφθάρτου βιότητος».

Ἀλλ᾽ ὁ φιλόσοφος τόν ἀρραβῶνα τοῦτον τοῦ μέλλοντος αἰῶνος, τήν ὑπόμνησιν τῆς ἀφθαρσίας, τήν ἐνέργειαν τοῦ παναγίου Πνεύματος, οὐκ ἐνδέχεσθαί φησιν ὑπό θείας τινός αἰτίας γίνεσθαι καί πάντων ἥκιστα κατά τήν νοεράν προσευχήν. Δι᾽ ἅ δέ φησιν οὗτος οὐκ ἐκ Θεοῦ εἶναι τάς καί τῷ σώματι ἐγγινομένας ὑπό τῆς ἐνεργείας τοῦ Πνεύματος ἀλλοιώσεις, τέτταρα σχεδόν ἐστι ταῦτα. Πρῶτον μέν ὅτι «τά ἐκ Θεοῦ δῶρα τελεώτατα˙ βέλτιον δέ τό ὑπέρ αἴσθησιν εἶναι τήν (σελ. 368) ψυχήν ἐν ταῖς προσευχαῖς ἤ κατ᾽ αἴσθησιν ὁπωσοῦν ἐνεργεῖν˙ ἐπεί τοίνυν μή τελεώτατα ἐκεῖνα, καί γάρ ἐστιν αὐτῶν τι βέλτιον, οὐδ᾽ ἐκ Θεοῦ ἄρα». Τί οὖν, ἐπειδή τό προφητεύειν μεῖον ἤ τό λαλεῖν γλώσσαις κατά τόν ἀπόστολον, ἄρα τό χάρισμα τῶν γλωσσῶν οὐ δῶρον Θεοῦ; Καί ἐπειδή ἡ ἀγάπη τῶν χαρισμάτων τό τελεώτατον, μόνον τοῦτο καί οὐδέν ἕτερον θεῖόν ἐστι δώρημα; Οὐχ ἡ προφητεία αὐτή, οὐχ αἱ δυνάμεις, αἱ ἀντιλήψεις, αἱ κυβερνήσεις, οὐ τά χαρίσματα τῶν ἰαμάτων, οὐχ ὁ τῆς σοφίας καί γνώσεως ἐν Πνεύματι λόγος, οὐχ ἡ τῶν πνευμάτων διάκρισις; Κάν τοῖς προφητικοῖς δέ καί ἰαματικοῖς καί διακριτικοῖς καί ἁπλῶς τοῖς κεχαριτωμένοις ὑπό τοῦ θείου Πνεύματος ἅπασι, κατά τούτων ἕκαστον τῶν χαρισμάτων ἐστί μείζων τε καί ἐλάττων˙ ὡς καί ὁ Παῦλος εὐχαριστεῖ τῷ Θεῷ, πάντων μᾶλλον γλώσσαις λαλῶν, ἀλλά καί ὁ τό ἔλαττον ἔχων, δῶρον ἔχει Θεοῦ. «Ζηλοῦτε» γάρ, αὖθις ὁ αὐτός ἀπόστολος, «τά χαρίσματα τά κρείττονα», φησίν, ὡς καί ἐλαττόνων ὄντων. Εἰ γάρ «καί ἀστήρ ἀστέρος διαφέρει ἐν δόξῃ», τουτέστι φωτός περιουσίᾳ, ἀλλ᾽ οὐδείς τῶν ἀστέρων ἀφώτιστος. Οὐκ ἀληθές ἄρ᾽ ἐκεῖνο τό παρά τοῦ φιλοσόφου προτεταγμένον, ἀφ᾽ οὗ κατά τῶν ἡσυχαζόντων ἐνταῦθ᾽ ἐστιν ὡρμημένος, ὅτι τά τοῦ Θεοῦ δῶρα τελεώτατα. Καί ὁ τῶν ἀποστόλων γάρ ἀδελφόθεος «πᾶν δώρημα τέλειον ἄνωθεν» εἶπεν, οὐ "τελεώτατον". Οὗτος δέ τοῖς λογίοις παρ᾽ ἑαυτοῦ προστιθέναι τολμῶν, εἰκότως καί κατά τῶν διά πράξεως ἀναγινωσκόντων ἐκεῖνα χωρεῖ. Ἐρήσομαι τοίνυν αὐτόν˙ οὐκ ἐπ᾽ ἄπειρον οἱ ἅγιοι κατά τήν θεοπτίαν ἐπί τοῦ μέλλοντος προκόψουσιν αἰῶνος; Παντί που δῆλον ὡς ἐπ᾽ ἄπειρον˙ καί τούς ἀγγέλους γάρ ὁ τῶν οὐρανίων ὑποφήτης Διονύσιος ἐπίδοσιν ἀεί κατ᾽ αὐτήν λαμβάνειν παραδίδωσι, χωρητικωτέροις ὑπό τῆς προλαβούσης ἐπιτελουμένους πρός τήν τρανοτέραν (σελ. 370) ἔλλαμψιν. Ἀλλ᾽ οὐδέ τῶν ταύτης εὐμοιρηκότων ἐπί γῆς ἐκ τοῦ παντός αἰῶνος εἴδομέν τινα ἤ ἀκηκόαμεν μή τελεωτέρας ἔτι ταύτης ἐφιέμενον. Εἰ τοίνυν ἡ μέν

ἔφεσις τῶν ἐπιτυγχανόντων οὐχ ἵσταται, ἡ δέ προλαβοῦσα χάρις δυναμοποιός ἐστιν αὐτοῖς πρός τήν τῶν μειζόντων μετάληψιν, ὁ δ᾽ ἐπιδιδούς ἑαυτόν ἄπειρός ἐστι καί δαψιλῶς καί ἀφθόνως χορηγεῖ, τίς ὑπολέλειπται τρόπος μή οὐχί προκόπτειν τούς υἱούς τοῦ μέλλοντος αἰῶνος κατ᾽ αὐτήν ἐπ᾽ ἄπειρον, χάριν ἐκ χάριτος κομιζομένους καί τήν ἀκάματον ἐπιτερπῶς ἀνιόντας ἄνοδον; Οὐκοῦν «πᾶν δώρημα τέλειον ἄνωθεν», ἀλλ᾽ οὐ τελεώτατον˙ τό γάρ τελεώτατον προσθήκην οὐκ ἐπιδέχεται.

Τό μέν οὖν πρῶτον τῶν ἐπιχειρημάτων οὕτως ἔχει τῷ φιλοσόφῳ˙ δεύτερον δέ αὐτῷ γενναιότερον, ὅτι «τοῦτο προσηλοῖ τήν ψυχήν τῷ σώματι καί σκότους αὐτήν ἀναπίμπλησι, τό ἀγαπᾶν τάς ἐνεργείας, ὅσαι κοιναί εἰσι τοῦ παθητικοῦ αὐτῆς καί τοῦ σώματος». Τί δ᾽ ἄλγος, ποία δ᾽ ἡδονή, τίς δέ κίνησις ἐν σώματι, οὐ κοινή ἐνέργεια ψυχῆς ἐστι καί σώματος; Δοκεῖ μοι τοίνυν ἀπερισκέπτως ὁ φιλόσοφος καί ταύτην τήν ψῆφον ἐνεγκεῖν, καθόλου περί τῶν μή καθόλου ἀποφηνάμενος.Ἔστι γάρ καί πάθη μακάρια καί κοιναί ἐνέργειαι ψυχῆς καί σώματος οὐ προσηλοῦται τῇ σαρκί τό πνεῦμα, ἀλλ᾽ ἐγγύς τῆς τοῦ Πνεύματος ἀξίας ἀνέλκουσαι τήν σάρκα καί ἄνω νεύειν καί αὐτήν ἀναπείθουσαι. Τίνες αὗται; Αἱ πνευματικαί, οὐκ ἀπό τοῦ σώματος ἐπί τόν νοῦν ἰοῦται, ὅ καί πρότερον εἴπομεν, ἀλλ᾽ ἀπό τοῦ νοῦ ἐπί τό σῶμα διαβαίνουσαι καί τοῦτο διά τῶν ἐνεργημάτων τε καί παθημάτων τούτων ἐπί τό κρεῖττον μετασκευάζουσαι καί θεουργοῦσαι. Καθάπερ γάρ κοινή ἐστι σώματος καί ψυχῆς ἡ τοῦ ἐνανθρωπήσαντος λόγου τοῦ Θεοῦ θεότης, διά μέσης ψυχῆς θεώσασα τήν σάρκα, ὡς καί Θεοῦ ἔργα ἐκτελεῖσθαι δι᾽ αὐτῆς, οὕτως ἐπί τῶν πνευματικῶν ἀνδρῶν ἡ τοῦ Πνεύματος χάρις, διά μέσης (σελ. 372) ψυχῆς πρός τό σῶμα διαπορθμευομένη, πάσχειν καί αὐτῷ τά θεῖα δίδωσι καί μακαρίως συμπάσχειν τῇ ψυχῇ τῇ τά θεῖα πεπονθυίᾳ, ἥτις, ἐπεί πάσχει τά θεῖα, καί παθητικόν ἔχει τι δήπουθεν ἐπαινετόν καί θεῖον˙ μᾶλλον δέ, ἕν ὄν τό ἐν ἡμῖν παθητικόν, καί τοιοῦτον ἐκτελεῖσθαι πέφυκε. Προελθόν οὖν εἰς τήν μακαρίαν ταύτην ἐντελέχειαν καί τό σῶμα θεουργεῖ, οὐκ ἀπό τῶν σωματικῶν καί προσύλων παθημάτων τότ᾽ αὐτό κινούμενον, εἰ καί τοῖς μή πεῖραν ἐσχηκόσι δόξειεν ἄν, ἀλλ᾽ αὐτό μᾶλλον πρός αὐτό τό σῶμα ἐπιστρέφον καί τῆς πρός τά χείρω σχέσεως ἀπάγον καί ἁγιασμόν αὐτό δι᾽ ἑαυτοῦ καί θέωσιν ἐμπνέον ἀναφαίρετον, οὗ τεκμήριον ἐναργές αἱ τῶν ἁγίων θαυματοποιοί σοροί. Τοῦ δέ πρωταγωνιστοῦ

Στεφάνου καί ἔτι περιόντος «τό πρόσωπον ἐφάνη ὡσεί πρόσωπον ἀγγέλου». Ἆρ᾽ οὖν οὐχί καί τά θεῖα τό σῶμα ἔπαθεν; Οὐκοῦν καί τό πάθος τοῦτο καί ἡ κατ᾽ αὐτό ἐνέργεια ψυχῆς καί σώματος ἐστι κοινή. Καί ἡ συμπάθεια τούτων αὕτη οὐχ ἧλος γίνεται τῇ ψυχῇ πρός τά γήϊνά τε καί σωματικά φρονήματα, καί σκότους αὐτήν ἀναπίπλησιν, ὡς ὁ φιλόσοφός φησιν, ἀλλά σύνδεσμός τις ἀπόρρητος καί ἕνωσίς ἐστι πρός τόν Θεόν καί αὐτό τό σῶμα θαυμασίως ἀπανιστᾶσα τῶν πονηρῶν καί γηΐνων παθημάτων˙ «οἱ γάρ κραταιοί τοῦ Θεοῦ», προφητικῶς εἰπεῖν, «τῆς γῆς σφόδρα ἐπήρθησαν». Τοιαῦταί εἰσιν ἅς ἀκούεις ἀπορρήτους ἐνεργείας τελουμένας ἐν σώματι τῶν ἱερῶς διά βίου τήν ἱεράν ἡσυχίαν ἀσπαζομένων, καί τό δοκοῦν ἐν αὐταῖς ἄλογον λόγου κρεῖττόν ἐστι καί τοῦ λόγῳ ταύτας ἀνετάζοντος, ἀλλά μή πράξει καί τῇ δι᾽ αὐτῆς πείρᾳ τήν εἴδησιν ζητοῦντος, ὑπερβαῖνον διαφεύγει τήν διάνοιαν, καί οὗτος ἄν μή πίστιν προσαγάγῃ, τήν μόνην τῆς ὑπέρ λόγον ἀληθείας δεκτικήν, ἀνιέρως ἐκλαμβάνων, φεῦ, τά ἱερά, οὐχ ὁσίως διασύρει τά ὅσια.

Μετά τοῦτο γάρ τόν ἀπόστολον, ὅ καί πρότερον εἶπον, παρήγαγεν ἡμῖν οὐκ εἰδέναι λέγοντα κατά τήν ἐξαισίαν ἐκείνην ἁρπαγήν «εἴτε ἐν σώματι ἦν εἴτε ἐκτός τοῦ σώματος», (σελ. 374) ὡς τοῦ πνεύματος λήθην ἐνιέντος τῶν κατά τό σῶμα πάντων. «Εἰ δέ τῶν πάντων ἐστί», φησίν ὁ φιλόσοφος, «καί ἅς ἐπυθόμην ἐν τοῖς ἡσυχασταῖς τελεῖσθαι ἀπορρήτους γλυκύτητάς τε καί θερμότητας, καί τούτων λήθην ἐμποιήσει τό Πνεῦμα τό ἅγιον ἐπιδημῆσαν, ἀλλ᾽ οὐ ταῦτα παρέξει˙ καί γάρ ἐξ ἀνάγκης, εἰ μέν δῶρα Θεοῦ τά συμβαίνοντα αὐτοῖς, κακῶς λέγεται τό πάντων ἐπιλελῆσθαι δεῖν τόν ἀληθῶς προσευχόμενον˙ οὐδένα γάρ λανθάνειν δεῖ τά πρός Θεοῦ πρός καλοῦ αὐτῷ διδόμενα˙ εἰ δέ τούτων ἐπιλελῆσθαι χρεών, πῶς οὐκ ἄτοπον τούτων προσεχῶς αἰτιᾶσθαι Θεόν, ὧν ἡ ἀπουσία καί ἠρεμία βελτίω πρός τήν προσευχήν;». Ὅτι μέν οὖν τά πλείω τῶν χαρισμάτων τοῦ Πνεύματος καί σχεδόν ἅπαντα τοῖς ἀξίοις κατά τόν καιρόν τῆς προσευχῆς ἐγγίνεται, πᾶς τις εὖ φρονῶν οἶδεν ἀκριβῶς ( «αἰτεῖτε» γάρ, φησίν ὁ Κύριος, «καί δοθήσεται ὑμῖν») οὐχ ἡ ἁρπαγή μόνον, καί ταῦτα μέχρι τρίτου οὐρανοῦ, ἀλλ᾽ ἕκαστον τῶν χαρισμάτων τοῦ Πνεύματος. Ὅτι δ᾽ ἔνια τούτων καί διά τοῦ σώματος ἐνεργεῖται, δηλοῦσι τά γένη τῶν γλωσσῶν καί αἱ τούτων ἑρμηνεῖαι, ἅς καί διά τῆς προσευχῆς λαμβάνειν παραγγέλλει ὁ Παῦλος˙ «ὁ γάρ λαλῶν γλώσσαις», φησί, «προσευχέσθω ἵνα διερμηνεύῃ»˙ οὐ ταῦτα δέ μόνον, ἀλλά καί ὁ τῆς

διδαχῆς λόγος καί τά χαρίσματα τῶν ἰαμάτων καί τά ἐνεργήματα τῶν δυνάμεων καί αἱ τῶν τοῦ Παύλου χειρῶν ἐπιθέσεις, δι᾽ ὧν ἐδίδοτο τό Πνεῦμα τό ἅγιον. Ὁ μέν οὖν τῆς διδαχῆς λόγος, ἥ τε χάρις καί ἡ ἑρμηνεία τῶν γλωσσῶν, εἰ καί διά τῆς προσευχῆς ἐγγίνονται, ἀλλ᾽ ἴσως ἐνεργοῦσιν ἐκ τῆς ψυχῆς τῆς προσευχῆς ἀπούσης. Τά δέ ἰάματα καί αἱ δυνάμεις οὔποτ᾽ ἄν εἰς ἐνέργειαν ἀφίκοιντο, μή τῆς ψυχῆς τοῦ ἐνεργοῦντος ἑκάτερον αὐτῶν, μάλιστα μέν νοερῶς προσευχομένης, ἔστι δ᾽ ὅτε καί τοῦ σώματος συνυπηχοῦντος. Ἡ δέ διάδοσις τοῦ Πνεύματος, οὐ μόνον τῆς προσευχῆς ἐν τῇ ψυχῇ παρούσης ἐνεργεῖται καί (σελ. 376) προσευχῆς ἕνωσιν τελούσης τοῦ προσευχομένου μυστικῶς πρός τήν τῆς μεγαλοδωρεᾶς ταύτης ἀνέκλειπτον πηγήν, οὐ μόνον τοίνυν εὐχῆς ἐνεργουμένης νοερῶς, ἐπεί μηδέ λέγειν ἐπί τούτου τι διά στόματος οἱ ἀπόστολοι ἱστόρηνται, οὐ μόνον τοίνυν τῆς ψυχῆς νοερῶς προσευχομένης ἐνεργεῖται ἡ διάδοσις ἐκείνη, ἀλλ᾽ ἅμα καί τοῦ σώματος ἐνεργοῦντος διά τῶν χειρῶν τῇ ἁφῇ διαπεμπουσῶν τό Πνεῦμα ἐπί τόν ὑπ᾽ αὐτῶν ἐχόμενον. Τί οὖν τά χαρίσματα ταῦτα; οὐ τοῦ πνεύματος δόματα οὐδέ τοῖς αἰτιοῦσι καί προσευχομένοις πρός καλοῦ δίδοται, διότι τοῖς μέχρι τρίτου οὐρανοῦ ἁρπαζομένοις πάντων ἐπιλελῆσθαι τῶν διά σώματος δεῖ;

Μᾶλλον δέ ἐκεῖνα αὐτά τοῦ φιλοσόφου τά ρήματα προσπαραθῶμεν ἐνταῦθα˙ «εἰ μέν δῶρα Θεοῦ τά συμβαίνοντα αὐτοῖς κατά τήν προσευχήν, οἷον αἱ δυνάμεις αὗται καί τά δόματα, κακῶς λέγεται τό δεῖν ἐπιλελῆσθαι πάντων τῶν νοερῶς προσευχόμενον˙ οὐδένα γάρ λανθάνει δεῖ τά ὑπό Θεοῦ πρός καλοῦ αὐτῷ διδόμενα˙ εἰ δέ τούτων ἐπιλελῆσθαι χρεών τόν διά προσευχῆς ἀναγόμενον, πῶς οὐκ ἄτοπον τούτων τόν Θεόν αἰτιᾶσθαι, ὧν ἡ ἠρεμία καί ἀπουσία βελτίων πρός τήν προσευχήν;». Ἀλλ᾽ ὦ βέλτιστε, τούς εἰλικρινῶς προσευχομένους ὁ Θεός ποτέ μέν ἐξίστησιν αὐτῶν, ὑπέρ ἑαυτούς ποιῶν καί ἁρπάζων ἀπορρήτως εἰς τά οὐράνια, ποτέ δέ ἐν ἑαυτοῖς οὖσιν αὐτός διά τε τῆς ψυχῆς αὐτῶν καί τοῦ σώματος ἐνεργεῖ τά ὑπερφυᾶ καί ἀπόρρητα καί τοῖς τοῦ αἰῶνος τούτου σοφοῖς ἀκατάληπτα. Καί πᾶσι γάρ τοῖς ἀποστόλοις, ἐν τῷ ἱερῷ ποτε προσκαρτεροῦσι τῇ προσευχῇ καί τῇ δεήσει, τό Πνεῦμα τό ἅγιον ἐπιδημῆσαν οὐκ ἔκστασιν ἔδωκεν οὐδ᾽ ἥρπασεν εἰς οὐρανόν, ἀλλά πυρίναις γλώσσαις ἐστόμωσεν αὐτούς καί δι᾽ αὐτῶν ἐκεῖνα ἐλάλει, ὧν πάντων ἐπιλελῆσθαι τούς ἐν ἐκστάσει γενομένους ἐπάναγκες, εἴπερ καί ἑαυτῶν. (σελ. 378) Τοῦ δέ Μωϋσέως σιωπῶντος, «τί βοᾷς πρός με;»

φησίν ὁ Θεός· ἡ δέ φωνή αὕτη προσευχόμενον δείκνυσιν αὐτόν· ἐπεί δέ σιωπῶν προσηύχετο, νοερῶς δήπουθεν προσηύχετο· ἆρ᾽ οὖν οὐκ ἐν αἰσθήσει ἦν ἐκεῖνος τότε, οὐδ᾽ ἐπῃσθάνετο τοῦ τε λαοῦ καί τῶν κραυγῶν αὐτῶν καί τοῦ ἐπηρτημένου κινδύνου, οὐδέ τῆς ἐπί τῆς χειρός αἰσθητῆς ἐκείνης ῥάβδου; Πῶς οὖν οὐχ ἥρπασε τότε αὐτόν ὁ Θεός, οὐδ᾽ ἀπέλυσε τῆς αἰσθήσεως (τοῦτο γάρ μόνον ἀξιοῖς αὐτός τοῖς προσευχομένοις ὑπό Θεοῦ προσγίνεσθαι), ἀλλά πρός τήν αἰσθητήν ἐκείνην ἤπειγε ῥάβδον καί τήν μεγάλην ἐκείνην ἐνετίθει δύναμιν, οὐ τῇ ψυχῇ μόνον ἀλλά καί τῷ σώματι καί τῇ χειρί, ὧν πάντων ἐπιλελῆσθαι δεῖ τόν νεορῶς προσευχόμενον; Τί δ᾽ ὅτε σιωπῶν ἐκεῖνος διά τῆς ἐν τῇ χειρί ῥάβδου τῇ θαλάττῃ τήν πληγήν ἐπέφερε, πρῶτον μέν ὡς διαιρήσων, εἶθ᾽ ὡς συνάψων τούτην μετά τήν διάβασιν; Ἆρ᾽ οὐ μνήμην εἶχεν ἀρρέμβαστον τοῦ Θεοῦ ἐν τῇ ψυχῇ, οὐδέ διά νοερᾶς προσευχῆς ὑπερηνωμένος ἦν τῷ μόνῳ δυναμένῳ δι᾽ αὐτοῦ τοιαῦτα ἐνεργεῖν, ἅμα καί τῶν διά τοῦ σώματος ἐνεργειῶν οὐκ ἀναισθήτως ἔχων;

Ἀλλ᾽ ἐπεί καί μαρτυρίας ἀπό τῶν Γραφῶν προήνεγκεν, ἴδωμεν εἰ μή καί αὗται ταῖς αὐτοῦ περί προσευχῆς ἐναντιοῦνται δόξαις. Πρό πάντων οὖν ὁ μέγας Διονύσιος συμμαρτυρήσων, ὡς οἴεται, τοῖς αὐτῷ δοκοῦσιν ὑπ᾽ αὐτοῦ προάγεται, πρός τόν ἱερόν Τιμόθεον γράφων· «τῇ περί τά μυστικά θεάματα συντόνῳ διατριβῇ καί τάς αἰσθήσεις ἀπόλιπε καί τάς νοεράς ἐνεργείας καί πάντα τά αἰσθητά καί νοητά, καί πρός τήν ἕνωσιν ὡς ἐφικτόν ἀνατάθητι τοῦ ὑπέρ πᾶσαν οὐσίαν καί γνῶσιν». Αὕτη τοίνυν ἡ τοῦ θείου Διονυσίου προτρεπτική πρός Τιμόθεον ῥῆσις, ἥν ὁ σοφός προήγαγεν οὗτος ὡς μαρτυρήσουσαν μόνον αὐτόν ἀσφαλῶς περί νοερᾶς διανοεῖσθαι προσευχῆς, ἐξελέγχει αὐτόν, ὡς ὁ λόγος δείξει (σελ. 380) προϊών, τήν νοεράν τελέως καταργοῦντα προσευχήν, ὅ καί διά τῶν προτέρων αὐτοῦ πάντων λόγων σχεδόν οὐ διέλιπε ποιῶν. Ὁ γάρ τήν ἀρχήν τῆς προσευχῆς ἀποτρόπαιον ἡγούμενος, ὅ ἐστιν ἡ ἐν συντριβῇ καρδίας ἔμφοβός τε καί πολυαλγής καί πολυστένακτος παράστασις νοερῶς ἐν σιωπῇ τόν πλείω χρόνον διά τήν κατά Θεόν ἀθυμίαν τελουμένη καί ἡ διά τοῦ κατά τήν νηστείαν τε καί ἀγρυπνίαν κατά τήν ἁφήν ἄλγους ἐν δάκρυσι καί κατανύξει προσευχή καί τό ἐγχειρεῖν ἀνάγειν τούς εἰσαγομένους τό τοῦ νοῦ μεριστόν εἰς ἑνοειδεστέραν καί κατάλληλον τηνικαῦτα προσευχήν, ὁ τά τοιαῦτα πάντ᾽ ἐξουθενῶν, ἀκολούθως καί τό τῆς προσευχῆς τέλος καί πᾶσαν ἁπλῶς αὐτήν πρός κακοῦ νομιεῖ

καί ἀγωνιεῖται τελέως ἐκ μέσου ποιήσασθαι τῶν ὄντων. Εἰπέ γάρ μοι τοῦτο πρῶτον, ὦ φιλόσοφε˙ οὐδέ αἱ νοεραί ἐνέργειαι ἐκ Θεοῦ ἐδόθησαν, οὐδέ κατά τήν προσευχήν ἀπειλικρινημέναι μᾶλλον εἴπερ ποτέ διαδείκνυνται, διότι καί ταύτας ἀπολιπεῖν δεῖ τόν πρός τήν θείαν ἕνωσιν διά προσευχῆς ἐπειγόμενον; Ἀλλά μήν ἡ προσευχή ἐστι κατά τόν εἰπόντα, «μήτηρ ἐννοιῶν σοφωτάτων». Ἔπειτα κἀκεῖνο διανοητέον, ὡς παντός μᾶλλον νοερά ἐνέργεια ἡ τῶν τελείων προσευχή˙ μήτε γάρ πρός τό σῶμα μήτε πρός τά περί αὐτό ὁ τῶν τοιούτων νοῦς ἐπεστραμμένος, μήτε δι᾽ αἰσθήσεως καί τῆς συζύγου ταύτῃ φαντασίας ἐνεργῶν, μήτε διανοίᾳ καί θεωρίᾳ τοῖς λόγοις τῶν ὄντων ἐμφιλοχωρῶν, μόνῃ δέ τῇ προσευχῇ προσκαρτερῶν, πῶς οὐκ ἐς τά μάλιστα καθ᾽ ἑαυτόν ἄν ἐνεργοίη προσευχόμενος; Ἀλλά καί τάς νοεράς ἐνεργείας ἀπολιπεῖν προτρέπεται τῷ Τιμοθέῳ ὁ Διονύσιος, καί τήν προσευχήν ἄρα. Σύ δέ ἀποφαίνῃ μηδέν εἶναι ἀγαθόν, μήδ᾽ ἐκ Θεοῦ κατά τάς προσευχάς, ὅσα τε ἀπολιμπάνεται καί ὧν ἀναισθήτως ἔχειν ἀνάγκη τόν ἐξεστηκότα τήν κρείττω ἔκστασιν. Οὐκοῦν κατά σέ οὐκ ἀγαθόν οὐδ᾽ ἐκ Θεοῦ ἡ προσευχή «τοῦ διδόντος εὐχήν τῷ εὐχομένῳ».

(σελ. 382) Πάλιν γάρ αὐτά σου τά ῥήματα παραθήσω τῇ νοερᾷ προσευχῇ προσαρμοζόμενος. «Παρά πάντων ὁμολογουμένου τυγχάνοντος, ὡς προσῆκον τῷ πρός τήν θείαν ἕνωσιν ἐπειγομένῳ πρός πάντα ἀναισθήτως ἔχειν καί ἑαυτοῦ ἐπιλελῆσθαι, καί Θεός τῷ τοιούτῳ πρός τό πάντων ἀπαλλαγῆναι χεῖρα δίδωσι καί πάντων ἀφαρπάζει, εἰ μέν μηδεμίαν αἴσθησιν ἔχει τῆς προσευχῆς ὁ προσευχόμενος, πῶς ἐκ Θεοῦ ἡ προσευχή, ἧς οὐκ ἔχει αἰσθάνεσθαι; Μάτην γάρ ἄν γένοιτο, μάταιον δέ τῶν ἐκ Θεοῦ οὐδέν. Εἰ δέ αἰσθάνεται τῆς προσευχῆς ὁ προσευχόμενος, πῶς ταύτην ἐνίησι Θεός αὐτῷ, ἧς ἀπαλλάττεσθαι πάντες φασί δεῖν τόν πρός Θεόν ἐπιστρεφόμενον, τοῦ Θεοῦ ὅν ἄν περιλάμπῃ, λήθην πάντων καί τῶν νοερῶν ἐνεργειῶν δωρουμένου;». Ὁρᾷς ὅπως οἱ Περί προσευχῆς σοι λόγοι τήν προσευχήν τελέως καταργοῦσιν; Ὁ δέ θεσπέσιος ἐκεῖνος ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέναι τόν θεῖον Τιμόθεον προτρεπόμενος, ἀφ᾽ ὑψηλῶν ἐφ᾽ ὑψηλοτέρας ἀναβιβάζει καί διά τούτων ἐπ᾽ αὐτῆς φέρων ἵστησιν αὐτόν τῆς ἀκροτάτης περιωπῆς. Σύ δ᾽ οὐκ οἶδ᾽ ὅπως ὁ πάντα σοφός οὐρανίου ψαύειν ὕψους ἀμέσως οἴει τούς ἐπί γῆς καί τόν θεῖον Μάξιμον προσμαρτυρήσοντα παράγεις φάσκοντα, «ὅταν ἔρωτι τῆς ἀγάπης πρός Θεόν ὁ νοῦς ἐκδημῇ, τότε

οὔτε ἑαυτοῦ οὔτε τῶν ὄντων παντάπασιν ἐπαισθάνεται». «Οὐκοῦν», φησίν ὁ καινός οὗτος καθηγητής, «οὐδέ τῶν ὑπό τῆς προσευχῆς ἐγγίνεσθαι λεγομένων ἐν τῷ σώματι παθημάτων αἰσθάνεται˙ μάτην αὐτά τοίνυν ἐξ ἀνάγκης συμβαίνει». Φαῖμεν δ᾽ ἄν ἡμεῖς, οὐκοῦν οὐδέ τῆς προσευχῆς, ἐπεί μηδέ ταύτης ἐπαισθάνεται τότε˙ μάταιον ἄρα κατά τούς τοιούτους λόγους τό προσεύχεσθαι. Μάταιον δ᾽ ὄντως καί φρενοβλαβές τό τοιαῦτα ἐκ τοιούτων κατασεκεύαζειν. Τί μή φησι Μάξιμος, εἴποι τις ἄν, ὁ τῆς θείας ἀγάπης εἴπερ τις σοφός ἐπαινέτης καί ἐραστής; «Ὅταν πρός Θεόν ὁ νοῦς ἐκδημῇ, τότε οὔθ᾽ ἑαυτοῦ (σελ. 384) οὔτε τῶν ὄντων αἰσθάνεται»˙ "τοτε", φησίν˙ ὅταν δέ ἐν ἑαυτῷ ᾖ νοερῶς προσευχόμενος, τότε καί ἑαυτοῦ καί τῶν ἐν αὐτῷ καί τῷ συνημμένῳ σώματι τελουμένων ὑπό τῆς ἱερᾶς προσευχῆς μακαρίων παθημάτων αἰσθήσεται.

Τρίτη προστίθεται αὐτῷ μαρτυρίᾳ, ὡς «ἡ τῆς προσευχῆς ἀκροτάτη κατάστασις, τό ἔξω σαρκός καί κόσμου γενέσθαι τόν νοῦν καί ἄϋλον εἶναι πάντῃ καί ἀνείδεον ἐν τῷ προσεύχεσθαι, ὥστε τῶν ἐν σώματι παθημάτων ὧν φασιν ἔξω ἔσται, φησίν, ἐν τῇ τοιαύτῃ καταστάσει». Τῆς οὖν τοιαύτης καταστάσεως ἀδιαλείπτως ἐπιτυγχάνει τῶν σῶμα περικειμένων οὐδείς, ὅσα γε ἡμᾶς εἰδέναι, εἰ μή ἄρα ὁ καινός οὗτος τῆς ὑπερλίαν προσευχῆς διδάσκαλος, ἀλλά καί οἱ σπανίως αὐτῆς ἐπιτυγχάνοντες σπανιώτατοί εἰσιν˙ οὐκοῦν τόν πλείω χρόνον ἐν σαρκί ὄντες ἅπαντες προσεύχονται, ἅμα καί τῶν ἐν αὐτοῖς παθημάτων αἰσθανόμενοι, πόσῳ μᾶλλον τῶν ἱερῶν καί ὑπό τῆς προσευχῆς ἐγγινομένων, ἅ καί τελειοῖ καί ἀνάγει καί πνευματικά οἷς ἄν ἐνυπάρξειεν ἀποτελεῖ, ἀλλ᾽ οὐ κατασπᾷ καί ἀχρειοῖ καί φθείρει. Ἔστι γάρ καί τοιοῦτο γένος παθημάτων, οὐχ ἱερόν μόνον, ἀλλά καί φυσικόν, ὡς καί αὐταί αἱ αἰσθήσεις, ἅς ἔχομεν, ἡμᾶς διδάξουσιν, ἐν τῷ πάσχειν ὑπό τῶν ἔξω τελειούμεναι καί εἰκόνες ἡμῖν οἷον οὖσαι τῆς ἄνωθεν ὑπό τοῦ Πνεύματος ἐγγινομένης θεουργοῦ τελειώσεως, ἧς ἀρχή ἐστιν ὁ φόβος τοῦ Θεοῦ, παρ᾽ οὗ τό παθητικόν τῆς ψυχῆς οὐ καθ᾽ ἕξιν νεκρωθέν, ὡς ὁ φιλόσοφος καί ἐδόξασε καί ἐδίδαξεν, ἀλλ᾽ εἰς θεοφιλῆ προελθόν ἐνέργειαν τήν σωτήριον κατάνυξιν καί τό μακάριον ἀποτίκτει πένθος, τόν λουτῆρα τῆς ἀφέσεως, τήν ἐπανάκλησιν τῆς θεογενεσίας, δηλαδή τά τῆς μετανοίας δάκρυα, φέροντα. Τό τοίνυν θεοφιλές τοῦτο καί καθάρσιον δάκρυον, τό τήν προσευχήν πτεροῦν κατά τούς τῶν πατέρων λόγους, τό τούς νοερούς ὀφθαλμούς φωτίζον, ὅταν συνημμένον ᾖ τῇ προσευχῇ, (σελ. 386) τό

παροῦσαν μέν τήν ἐκ θείου λουτροῦ χάριν συντηροῦν, κατά τόν θεολόγον Γρηγόριον, ἀπογενομένην δέ ἀνακαλούμενον καί διά τοῦτο λουτρόν ἕτερον παλιγγενεσίας ἱερᾶς καί βάπτισμα θεῖον ὄν καί παρ᾽ αὐτοῦ καλούμενον, ἐπιπονώτερον μέν, ἀλλά κατ᾽ οὐδέν ἧττον τοῦ προτέρου, μᾶλλον δέ καί μεῖζον, καθάπερ τις τῶν πατέρων ἀπεφήνατο σαφῶς, «μεῖζον» λέγων «τοῦ βαπτίσματος μετά τό βάπτισμα ἡ τῶν δακρύων καθέστηκε πηγή»˙ τό τοιοῦτο τοίνυν δάκρυον, τό καθαῖρον καί ἀφαρπάζον τῶν γηΐνων καί ἀναφέρον καί συνάπτον τῇ τῆς θεογενεσίας χάριτι καί δι᾽ αὐτῆς τόν ἔχοντα θεοῦν, τοῦτο τοίνυν ἆρ᾽ οὐκ ἐνέργεια κοινή τοῦ τε σώματος καί τοῦ παθητικοῦ μέρους τῆς ψυχῆς;

Πῶς οὖν δεξόμεθα τόν λέγοντα ὅτι τό τήν ψυχήν ἀγαπᾶν τάς κοινάς ἐνεργείας τοῦ παθητικοῦ αὐτῆς καί τοῦ σώματος, τοῦτό ἐστι τό σκότους ἐμπιπλῶν αὐτήν καί κάτω νεύειν παρασκευάζον; Τά γάρ κοινά πάντα ψυχῆς τε καί σώματος ἔργα, ὅσο ἄν σφοδροτέραν τήν ἑαυτῶν ἀντίληψιν παρέχηται τῇ ψυχῇ, τοσοῦτον αὐτήν ἐκτυφλοῖ˙ ὥστε καί γενομένας τάς τοιαύτας κινήσεις, ὅσαι κοιναί εἰσι ψυχῆς καί σώματος, πρός κακοῦ, φησί, γεγενῆσθαι ἡμῖν νομιοῦμεν καί ἐπί βλάβῃ τῆς πρός τό ἄναντες τοῦ νοῦ ἐνεργείας; Ἆρ᾽ οὐ τἀναντία τοῖς ὑπό τῶν ἁγίων, μᾶλλον δέ τοῦ ἁγίου Πνεύματος, ἡμῖν δεδιδαγμένοις καί φρονῶν καί διδάσκων διά τούτων δείκνυται τῶν λόγων; Οἱ μέν γάρ φασιν ὡς ἔστι τις κοινή σώματος καί ψυχῆς ἐνέργεια, δωρεά Θεοῦ ὄντως ἀγαθοπρεπής καί θεία, ἥ πρόξενός ἐστι τῇ ψυχῇ τοῦ θείου φωτισμοῦ, ἀπαλλάττουσα τῶν πονηρῶν παθῶν καί ἀντεισάγουσα τόν ἱερόν ἅπαντα τῶν ἀρετῶν χορόν (ὁ γάρ βουλόμενος, φησίν, ἀποκτήσασθαι κακίας κλαυθμῷ ἀποκτᾶται αὐτάς καί ὁ βουλόμενος κτήσασθαι ἀρετάς κλαυθμῷ κτᾶται αὐτάς), οἱ μέν οὖν φασιν ὡς εἰσίν ἐνέργειαι κοιναί ψυχῆς καί σώματος ἐπί (σελ. 388) τοσοῦτο λυσιτελοῦσαι τῇ ψυχῇ, ὁ δέ φησιν, ὡς οὐδεμία ἐστίν. «Πᾶσαι» γάρ, φησί, «κάτω νεύειν τήν ψυχήν παρασκευάζουσι, καί πᾶσαι αἱ γινόμεναι κινήσεις, ὅσαι κοιναί εἰσι ψυχῆς καί σώματος πρός κακοῦ γίνονται καί ἐπί βλάβῃ τῆς ψυχῆς». Οὐ γάρ τοῦτο τῆς αἰτίας τοῦτον ἐξαιρήσεται, ὅτι μή ταύτην ἰδίως ἐπιβλαβῆ τήν ἐνέργειαν εἶπεν, ἀλλ᾽ ὅτι ταῖς πονηραῖς συνέταξε καί ταύτην ὑπαίτιος δικαίως ἔσται καί μάλισθ᾽ ὅτι τήν τῶν ἀκροωμένων συγκατάθεσιν κλέψαι διά τῆς τοιαύτης μηχανῆς ἐπικεχείρηκεν, ἐπειδή τοῦτό φησιν ὁ Θεός διά τοῦ προφήτου τό ἀνόμημα τῶν κατακρίτων ἐν Ἰουδαίοις ἱερέων, ὅτι «τά

ἅγια τῶν βεβήλων οὐ διέστελλον». Καί οὗτος τοίνυν μετά καί πολλῶν ἄλλων κοινῶν ψυχῆς καί σώματος ἀγαθῶν ἐνεργειῶν καί τό μακάριον πένθος τῶν βεβήλων οὐ διέστελεν ἐνεργημάτων.

«Ἀλλ᾽ ἐγώ», φησίν, «οὐ τοῦτο τό πένθος ἡγοῦμαι ἀπαθές καί μακάριον· πῶς γάρ ἄν εἴη ἀπαθές ὅ τῇ ἐνεργείᾳ τοῦ τῆς ψυχῆς παθητικοῦ τελεῖται; Πῶς δ᾽ ἄν εἴη ἀπαθής ὁ τό παθητικόν τοῦτ᾽ ἔχων ἐνεργόν, ἀλλά μή καθ᾽ ἕξιν νέκρωσιν αὐτοῦ τελέως ἐξεργασάμενος;». Ἀλλ᾽ ἡμεῖς οὐ τοῦτ᾽ εἶναι ἀπάθειαν ἐδιδάχθημεν, ὦ φιλόσοφε, τήν τοῦ παθητικοῦ νέκρωσιν, ἀλλά τήν ἀπό τῶν χειρόνων ἐπί τά κρείττω μετάθεσιν αὐτοῦ καί τήν ἐπί τά θεῖα καθ᾽ ἕξιν ἐνέργειαν, ὁλικῶς ἀπεστραμμένου τά πονηρά καί ἐπεστραμμένου πρός τά καλά, καί οὗτος ἡμῖν ἀπαθής, ὁ τάς πονηράς ἕξεις ἀποκτησάμενος καί ἐν ταῖς ἀγαθαῖς πλουτήσας, ὁ «οὕτω ποιωθείς ταῖς ἀρεταῖς ὡς οἱ ἐμπαθεῖς ταῖς μή καλαῖς ἡδοναῖς», ὁ οὕτως ὑποτάξας τό θυμικόν τε καί ἐπιθυμητικόν, ἅ συναμφότερά ἐστι τό τῆς ψυχῆς παθητικόν, τῷ γνωστικῷ καί κριτικῷ καί λογιζομένῳ τῆς ψυχῆς, ὡς οἱ ἐμπαθεῖς τῷ παθητικῷ τό λογιζόμενον· παράχρησις γάρ ἐστι τῶν δυνάμεων τῆς ψυχῆς ἡ τά τῶν παθῶν ἀποτρόπαια φύουσα, καθάπερ καί τήν μεμωραμένην σοφίαν ἡ τῆς γνώσεως τῶν ὄντων παράχρησις· (σελ.390) εἰ δέ τις καλῶς ταύταις χρῷτο, διά μέν τῆς γνώσεως τῶν ὄντων πνευματικῶν ἐκλαμβανομένων τήν θεογνωσίαν πορίσεται, διά δέ τοῦ τῆς ψυχῆς παθητικοῦ, δι᾽ ὅ πρός Θεοῦ πεποίηται κινουμένου, τάς καταλλήλους ἀρετάς ἐργάσεται, τῷ μέν ἐπιθυμητικῷ τήν ἀγάπην ἐνστερνιζόμενος, τῷ δέ θυμοειδεῖ τήν ὑπομονήν κατακτώμενος. Οὐχ ὁ νεκρώσας τοίνυν, ἐπεί καί πρός τάς θείας ἕξεις καί σχέσεις καί διαθέσεις ἔσται ἀκίνητός τε καί ἀνενέργητος, ἀλλ᾽ ὁ τοῦθ᾽ ὑποτάξας, ὥστε διά τοῦ πείθεσθαι τῷ νῷ, φύσει λαχόντι τήν ἡγεμονίαν, πρός Θεοῦ ἀγόμενον ᾗ δέον, ἀνατείνεσθαι διά τῆς ἀδιαλείπτου μνήμης τοῦ Θεοῦ πρός τόν Θεόν καί δι᾽ αὐτῆς εἰς ἕξιν ἀφικνεῖσθαι τῆς θείας διαθέσεως καί εἰς ἀρίστην ἕξιν προβιβάζειν ταύτην, ἥτις ἐστίν ἡ πρός Θεόν ἀγάπη, δι᾽ ἥν πληροῖ κατά τό λόγιον τάς τοῦ ἀγαπωμένου ἐντολάς, ἐξ ὧν διδάσκεται καί ἐνεργεῖ καί κτᾶται τήν εἰλικρινῆ τε καί τελείαν πρός τόν πλησίον ἀγάπην, αἷς μή συνεῖναι τήν ἀπάθειαν, τῶν ἀδυνάτων.

Αὕτη μέν οὖν ἡ πρός τήν τελείαν ἀγάπην δι᾽ ἀπαθείας ὁδός ἐξηλλαγμένη τέ ἐστι καί ἄνω βαίνουσα καί τοῖς ἀνακεχωρηκόσι τοῦ κόσμου μάλιστα ἁρμόσει· σχολάσαντες γάρ Θεῷ καί ἀνεπιθολώτῳ νῷ

τῇ πρός αὐτόν ὁμιλίᾳ διακαρτερήσαντες, διά τῆς συνουσίας ταύτης εὐχερῶς τόν συρφετόν τῶν πονηρῶν παθημάτων ἀποτίθενται καί τήν ἀγάπην σφίσιν αὐτοῖς ἐνθησαυρίζουσι. Τοῖς δ᾽ ἐν τῷ κόσμῳ στρεφομένοις ἐστί βιαζομένους ἑαυτούς κατά τάς ἐντολάς τοῦ Θεοῦ τοῖς τοῦ κόσμου χρῆσθαι πράγμασιν. Οὐκοῦν καί τό παθητικόν τῆς ψυχῆς τῆς βίας ταύτης κοινωνοῦν ἐνεργήσει κατ᾽ ἐκείνας. Αὕτη δέ ἡ βία ἐγχρονίσασα τῇ συνηθείᾳ ἡδεῖαν τήν πρός τάς ἐντολάς τοῦ Θεοῦ σχέσιν ἐμποιεῖ καί τήν διάθεσιν εἰς ἕξιν μετατίθησιν˙ ἡ δέ χαρίζεται τό πρός τάς πονηράς ἕξεις τε καί σχέσεις μονιμώτατον μῖσος, τό δέ πρός τά πονηρά τοιοῦτον μῖσος τήν ἀπάθειαν καρποφορεῖ, παρ᾽ ἧς ἡ πρός τόν (σελ. 392) τόν μόνον ἀγαθόν ἀγάπη τίκτεται. Ζῶν τοίνυν καί ἐνεργόν παραστῆσαι δεῖ τῷ Θεῷ τό τῆς ψυχῆς παθητικόν, ἵνα ᾖ θυσίᾳ ζῶσα, ὅπερ ὁ ἀπόστολος καί περί τοῦ σώματος ἡμῶν εἶπε˙ «παρακαλῶ» γάρ, φησίν, «ὑμᾶς διά τῶν οἰκτιρμῶν τοῦ Θεοῦ παραστῆσαι τά σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ». Πῶς οὖν τό ἡμέτερον σῶμα ζῶν ἄν παρασταίη θυσία τῷ Θεῷ εὐάρεστος; Ὁπότε λεῖα μέν ὁρῶσιν ἡμῶν οἱ ὀφθαλμοί, κατά τό γεγραμμένον, «ὁ βλέπων λεῖα ἐλεηθήσεται», καί τόν ἄνωθεν ἔλεον ἐπισπῶνται καί πορίζουσιν ἡμῖν, ὦτα δ᾽ ὑπόκειται τοῖς θείοις διδάγμασιν, οὐχ ὥστε ἀκοῦσαι μόνον αὐτῶν, ἀλλ᾽ ὥστε κατά τό δαβιτικόν μεμνῆσθαι τῶν ἐντολῶν τοῦ Θεοῦ τοῦ ποιῆσαι αὐτάς, οὐκ ἀκροατήν ἐπιλησμονῆς κατά τό εἰρημένον τῷ ἀδελφοθέῳ τῶν ἀποστόλων γενόμενον, ἀλλά «παρακύψαντα εἰς νόμον τέλειον τῆς ἐλευθερίας καί παραμείναντα καί μακάριον ὄντα ἐν τῇ ποιήσει αὐτοῦ», γλῶσσα δέ χεῖρές τε καί πόδες ὑπηρετῶσι τοῖς θείοις θελήμασι. Τί οὖν αἱ ἐνέργειαι αὗται τῶν ἐντολῶν τοῦ Θεοῦ; Οὐ κοιναί εἰσιν ἐνέργειαι ψυχῆς καί σώματος; Πῶς οὖν αἱ κοιναί ἐνέργειαι ψυχῆς καί σώματος ἅπασαι σκότους ἐμπιπλῶσι καί ἐκτυφλοῦσι τήν ψυχήν;

Ὁ δέ ἀπόστολος, «τίς ἀσθενεῖ καί οὐκ ἀσθενῶ;» φησί, «τίς σκανδαλίζεται καί οὐκ ἐγώ πυροῦμαι;» Ἆρ᾽ οὖν οὐ κοινή ἐνέργεια ταῦτα τοῦ τε σώματος καί τοῦ τῆς ψυχῆς παθητικοῦ; Πρός κακοῦ τοίνυν αὐτήν νομιοῦμεν καί ἐπί βλάβῃ τῆς ψυχῆς; Καί μήν τοῦτό ἐστι δεῖγμα ἀκριβές τοῦ τόν πλησίον ἀγαπᾶν ὡς ἑαυτόν, ὅ δευτέρα μέν ἔστιν ἐντολή Θεοῦ, ὁμοία δέ κατά τό θεοπαράδοτον λόγιον τῇ πρώτῃ καί μεγάλῃ ἐντολῇ. Διόπερ ὁ αὐτός ἀπόστολος Ρωμαίοις γράφων, «λύπη μοί ἐστι», φησί, «μεγάλη καί ἀδιάλειπτος ὀδύνη τῇ καρδίᾳ μου

ὑπέρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατά σάρκα». Ὁρᾷς τό παθητικόν ζῶν καί ἐνεργόν τῆς ἀπαθοῦς καί θεοειδοῦς ἐκείνης ψυχῆς; Εἰ δέ ἀδιαλείπτως ἐκείνη προσηύχετο (σελ. 394) καί ἀδιαλείπτως ὠδυνᾶτο, συνυπάρχουσαν ἄρ᾽ εἶχεν ἐν ἑαυτῷ τῇ προσευχῇ τήν ὀδύνην τῆς ψυχῆς˙ ὅτι δέ οὐ συνυπάρχουσαν μόνον ἀλλά καί συνεργοῦσαν, ἔδειξεν ὁ αὐτός διά τῆς κατασκευῆς ἐκεῖ˙ «ηὐχόμην γάρ», φησίν, «αὐτός ἐγώ ἀνάθεμα εἶναι ἀπό Χριστοῦ ὑπέρ τῶν ἀδελφῶν μου»˙ καί ἀλλαχοῦ, «ἡ εὐδοκία τῆς καρδίας μου καί ἡ δέησις ἡ πρός τόν Θεόν ὑπέρ τοῦ Ἰσραήλ ἐστιν εἰς σωτηρίαν»˙ πάντως διά τήν ὑπέρ αὐτῶν μεγάλην ἐκείνην λύπην καί ἀδιάλειπτον ὀδύνην τῆς ψυχῆς. Πῶς οὖν ἀπάθειαν ἡγησόμεθα τήν τοῦ παθητικοῦ καθ᾽ ἕξιν νέκρωσιν;

Ἀλλ᾽ ὡς ἔοικεν, ὁ φιλόσοφος περί μέν ἀπαθείας ἤκουσέ τε καί ἐφαντάσθη, τήν δέ ἀναλγησίαν οὐκ ἀκήκοε πρός κακοῦ τε οὖσαν καί πρός τῶν πατέρων κακιζομένην. Ἔστιν οὖν ἄλγος ἀγαθόν, τό τῇ ἀναλγησίᾳ ταύτῃ ἀντικείμενον, καί κοιναί ψυχῆς καί σώματος ἐνέργειαι λυσιτελοῦσαι, μᾶλλον δέ τελειοῦσαι τήν ψυχήν, εἴπερ διά τηρήσεως τῶν θείων ἐντολῶν ἡ τελείωσις αὐτῇ προσγίνεται. Εἰ δέ τοῦ σώματός ἐστι τοιαῦτα ἔργα, πόσῳ μᾶλλον τοῦ τῆς ψυχῆς παθητικοῦ, ὅ ἀμέσως συνάπτεται τῷ νῷ˙ τό γάρ σῶμα διά μέσου τούτου τήν πρός τόν νοῦν ἴσχει συναφήν. Ὁ δέ φιλόσοφος ὅμοιόν τι ποιεῖ, ὥσπερ ἄν εἴ τις ἀκούσας τοῦ Θεοῦ προστάττοντος «σχολάσατε καί γνῶτε ὅτι ἐγώ εἰμι Θεός», εἶτα τούς σχολάσαντας τοῖς θείοις τά θεῖα καί πνευματικά ἐργαζομένους θεώμενος, μέμφοιτο λέγων "σχολάσατε, εἶπεν ὁ Θεός, ὑμεῖς δέ, ἐνεργεῖν σπεύδοντες, πλανᾶσθε". «Νεκρώσατε» γάρ, φησί καί ὁ ἀπόστολος, «τά μέλη τά ἐπί τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν πάθος κακόν καί τήν πλεονεξίαν». Ἀκούεις τίνας δεῖ τῶν σωματικῶν ἐνεργειῶν νεκροῦν; Πορνείαν, ἀκαθαρσίαν καί ἁπλῶς πάσας τάς γηΐνας. Ποῖον δέ πάθος; Τό κακόν, ἀλλ᾽ οὐχί τάς διά τοῦ σώματος τελουμένας ἐνεργείας τοῦ Πνεύματος, οὐδέ τά θεῖα καί μακάρια πάθη, οὐδέ τάς πρός ταῦτα πεφυκυίας δυνάμεις τῆς ψυχῆς˙ «τό ἐπιθυμητικόν» γάρ, φησί, «τετάσθω σοι πᾶν (σελ. 396) πρός Θεόν, ὁ θυμός ἔστω σοι κατά μόνου τοῦ ὄφεως». Πῶς οὖν νενεκρωμέναι αἱ δυνάμεις αὗται τῆς ψυχῆς, εἰ κινηθείη τις τούτων πρός τήν θείαν ἀνάτασιν ἐν ταῖς πρός τόν Θεόν εὐχαῖς ἤ διεγερθείη κατά τοῦ ὄφεως ἐν ταῖς ἀτόποις προσβολαῖς;

Πῶς δέ ἀσφαλῶς ἔσται λέγων ὁ φιλόσοφος; «Τί δαί; Αἴσθησιν μέν καί φαντασίαν ἀτιμάσομεν προσευχόμενοι, τό δέ παθητικόν τῆς ψυχῆς ἐνεργεῖν κατά τινα τῶν ἑαυτοῦ δυνάμεων δεξόμεθα; Ἤ πολλῷ μᾶλλον οὐδέ τοῦτο; Αἱ γάρ τούτου ἐνέργειαι μάλιστα πάντων ἐκτυφλοῦσι καί κατορύττουσι τό θεῖον ὄμμα». Βαβαί˙ πῶς κατορύττει τό θεῖον ὄμμα τό πρός τά πονηρά μῖσος καί ἡ πρός Θεόν καί τόν πλησίον ἀγάπη; Καί ταῦτα γάρ τοῦ παθητικοῦ εἰσιν ἐνέργειαι˙ ταύτῃ γάρ τῇ δυνάμει τῆς ψυχῆς ἀγαπῶμέν τε καί ἀποτρεπόμεθα, οἰκειούμεθά τε καί ἀλλοτριούμεθα, καθάπερ καί τῷ λογιζομένῳ τῆς ψυχῆς, κατά τόν σοφόν Συνέσιον, ἀπαινοῦμεν τε καί μεμφόμεθα. Νέκρωσις ἄρ᾽ οὖν ἐστι τοῦ λογιστικοῦ θείοις θεωρήμασιν ἐνασχολεῖσθαι καί Θεῷ τόν ὕμνον καί τήν εὐχαριστίαν ἀναπέμπειν καί τούτῳ διά τῆς συνεχοῦς κολλᾶσθαι μνήμης; Ἤ τοῦτό ἐστιν ἡ ὄντως ζωή καί ἀληθής ἐνέργεια τοῦ νοῦ; Τόν αὐτόν ἄρα τρόπον οὐδέ τό παθητικόν νεκροῦσιν οἱ ἐρασταί τῶν καλῶν, κατακλείσαντες ἀργόν καί ἀκίνητον ἐν ἑαυτοῖς, οὐδέ γάρ ἄν σχοῖεν ὅτῳ ἄν ἐρῷεν τοῦ ἀγαθοῦ καί μισοῖεν τόν πονηρόν, οὐδέ δι᾽ οὗ τοῦ μέν ἀλλοτριωθεῖεν, οἰκειωθεῖεν δέ τῷ Θεῷ. Τοῦτο δέ νεκροῦσι, τήν πρός τά πονηρά σχέσιν τῆς δυνάμεως ταύτης ὅλην μετατιθέντες ἐπί τήν πρός Θεόν ἀγάπην, κατά τήν πρώτην καί μεγάλην ἐντολήν˙ «ἀγαπήσεις» γάρ, φησί, «Κύριον τόν Θεόν σου ἐξ ὅλης τῆς ἰσχύος σου», ταὐτόν δ᾽ εἰπεῖν τήν δυνάμεώς σου˙ ποίας δυνάμεως ὅλης; Δῆλον ὅτι τοῦ παθητικοῦ˙ τοῦτο γάρ ἐστι τό τῆς ψυχῆς φιλοῦν. Τοῦτο δή διατεθέν οὕτω καί τάς ἄλλας τῆς ψυχῆς (σελ. 398) δυνάμεις τῶν γηΐνων ἀπανίστησι καί ἀνατείνει πρός Θεόν˙ τοῦτο διατεθέν οὕτω καί τῇ προσευχῇ τό εἰλικρινές πορίζει καί τόν νοῦν οὐκ εἴργει, ἀλλά καί συμπράττει διά τῆς μνήμης ἐνιδρυμένον ἔχειν ἐν ἑαυτῷ τόν Θεόν˙ τοῦτο διατεθέν οὕτω καί σαρκός ὑπερφρονεῖν καί τά κατ᾽ αὐτήν ἄλγη ῥᾷον φέρειν τοῖς ὑπέρ τοῦ ὄντως ἐφετοῦ πάσχουσι παρέχει˙ δι᾽ αὐτοῦ γάρ ἐκείνῳ τῷ φίλτρῳ κατ᾽ ἄκρας ἁλόντες καί οἷον ἐπαναστάντες τῆς σαρκός, τῇ δι᾽ εὐχῆς καί ἀγάπης πρός τό θεῖον Πνεῦμα κοινωνίᾳ, τά σαρκός ταῦτα πάθη κατά μόνον τό κρίνειν αἰσθανόμενοι, διαγίνονται.

Καί τί δεῖ πλείω τούτων γράφειν; Δῆλον γάρ ἐστι πᾶσιν, εἰ μή καί τῷ σοφῷ τούτῳ γέγονε σαφές, ὡς «σταυρῶσαι τήν σάρκα σύν τοῖς παθήμασι καί ταῖς ἐπιθυμίαις» προσετάγημεν, οὐχ᾽ ἵν᾽ ἡμᾶς αὐτούς διαχειρισώμεθα, πᾶσαν σώματος ἐνέργειαν καί ψυχῆς δύναμιν νεκρώσαντες, ἀλλ᾽ ὡς ἄν τῶν μέν φαύλων ὀρέξεών τε καί πράξεων

ἀποσχώμεθα καί τήν ἀπ᾽ αὐτῶν φυγήν ἀνεπίστροφον ἐπιδειξώμεθα, γενώμεθα δέ τῶν ἐπιθυμιῶν τοῦ πνεύματος ἄνδρες, κατά τόν Δανιήλ, τελείῳ φρονήμασι ζῶντες ἐν αὐταῖς καί κινούμενοι καί ἀνδρικῶς ἀεί χωροῦντες εἰς τό πρόσῳ, κατά τόν ἀπό Σοδόμων ἐξιόντα Λώτ, ὅς ἀεί προβαίνων καί ἀκίνητος πρός τά ὀπίσω μένων ζῶντα ἑαυτόν διετήρησε, τῆς εἰς τοὐπίσω στραφείσης συζύγου νεκρωθείσης. Ὅτι μέν οὖν ζῶν ἔχουσι καί τά κρείττω ἐνεργοῦν, ἀλλ᾽ οὐ νεκροῦσιν οἱ ἀπαθεῖς τό τῆς ψυχῆς παθητικόν, ἱκανῶς οἶμαι δεδειγμένον εἶναι.

Νῦν δ᾽ ἴδωμεν πῶς ὁ φιλόσοφος οὗτος, καίτοι τήν ἑαυτοῦ πολύνοιαν πᾶσαν ἐπαφείς ταῖς εἰσαγωγικαῖς εἰς προσευχήν εἰσηγήσεσι τοῦ σεπτοῦ Νικηφόρου, ὅμως τοῦ συκοφαντῆσαι διαστρέψαι καί διαβαλεῖν πλέον ἴσχυσεν οὐδέν, ἑαυτόν καί τούς οἰκείους λόγους, ἀλλ᾽ οὐχί τόν ὅσιον ἐκεῖνον, διά τῶν συκοφαντιῶν τούτων λυμηνάμενος. Πρῶτον μέν οὖν ἀρχόμενος τοῦτο τοῦ ἀνδρός καταψεύδεται, τό πρῶτον αὐτόν (σελ. 400) παραδεδωκέναι λέγειν τάς τοιαύτας τῶν εἰσηγήσεων, ἅς ὑβρίζων εἰσπνοάς ἐκάλεσε˙ πολλοῖς γάρ χρόνοις πρότερον ταῦτα προεισηγήσαντο πνευματικοί ἄνδρες ἕτεροι καί ρήμασι καί νοήμασι σχεδόν τοῖς αὐτοῖς, κἀν τοῖς τῶν πατέρων ἁπάντων λόγοις πολλάς ἄν εὕροι τις φωνάς συμμαρτυρούσας αὐταῖς, οἷάπερ ἐστι καί ἡ διά λόγων ἡμῖν τήν πνευματικήν Κλίμακα τεκντηναμένου˙ «Ἰησοῦ» γάρ, φησί, «μνήμη κολληθήτω τῇ πνοῇ σου καί τότε γνώσῃ ἡσυχίας ὠφέλειαν». Μετά τοῦτο, «βίαζε τόν νοῦν σου» λέγοντος τοῦ ὁσίου ἐκείνου «μετά τοῦ εἰσπνεομένου πνεύματος εἰς τήν καρδίαν εἰσελθεῖν» (τουτέστι κολληθῆναι τούτῳ καί τά ἐν καρδίᾳ σκοπεῖν, κατά τόν μέγαν Μακάριον˙ «ἡ καρδία» γάρ, φησίν, «ἡγεμονεύει ὅλου τοῦ ὀργάνου καί, ἐπειδάν κατάσχῃ τάς νομάς τῆς καρδίας ἡ χάρις, ἡγεμονεύει πάντων τῶν μελῶν καί τῶν λογισμῶν˙ ἐκεῖ τοίνυν χρή σκοπεῖν, εἰ ἐνέγραψεν ἡ χάρις τούς τοῦ Πνεύματος νόμους»), ἐκείνου τοίνυν τοῖς μεγάλοις τούτοις παντάπασι συμφθεγγομένου, πάλιν οὗτος διά συκοφαντίας ἐπηρεάζει καί, διελών ἀπό τοῦ ”νοῦ” τό “βίαζε” τῷ εἰσπνεομένῳ συνείρει Πνεύματι, καί συκοφαντικῶς οὕτω διαφθείρας μετά τῶν ρημάτων καί τήν διάνοιαν, εἶτα κατά τῶν βιαίων εἰσπνοῶν πολύς αὐτός πνεῖ, τῶν ἀτοπωτάτων οὔσας ἀποδεικνύς. Ἀλλά καί νοῦν ἐκείνου λέγοντος τάς ἐνεργείας τοῦ νοῦ καί χρῆν εἶναι διά τῶν αἰσθήσεων ταύτας ἔξω χεομένας ἐπανάγειν καί παρασκευάζειν εἴσω νεύειν τούς προσευχῆς ἐπιμελουμένους, ὁ φιλόσοφος νοῦν αὐτόν αὖθις συκοφαντεῖ λέγειν

τήν οὐσίαν τοῦ νοῦ˙ καί γάρ οὕτω πολλῶν εὐπορῆσαι τόπων κατά τῶν ὁσίων φωνῶν ὑπενόησεν.

Ἡμῶν δ᾽ αὖθις τἀληθές διευκρινούντων, αὐτός ἀντιπεῖν οὐκ ἔχων, «ἔστωσαν», φησίν, «οἱ ἡμέτεροι λόγοι διδασκαλία πρός τούς ὑπό τοῦ φαινομένου ἀτόπου παρακρουσθέντας ἄν». Καί σύ τοίνυν ὁ διδάσκων ἅ μή συνῆκας, φαίη τις ἄν πρός τόν τοιοῦτον διδάσκαλον, παρεκρούσθης ἤ οὔ; (σελ. 402) Παρακρουσθείς μέν γάρ, πῶς ἀξιοῖς κατ᾽ αὐτό διδάσκαλος εἶναι τοῦ διδάξοντος δεηθείς καί μαθών παρ᾽ ἡμῶν τήν ἀλήθειαν, μή παρακρουσθείς δέ, πῶς ὑβρίζεις ἀπό τοῦ κατά σέ φαινομένου τόν μηδέν ἄτοπον διανοούμενον, καί ταῦτ᾽ οὐχ ὅτι κακῶς ἐξεῖπεν, ἀλλά κακῶς ἐνενόησεν; Εἰ γάρ ἄμφω κακῶς ἐκεῖνος, πῶς ἄν σύ, κατήγορος ὤν, τό νοούμενον παραδραμών, κατά μόνου τοῦ φαινομένου ἐχώρησας; Ἔδει τοίνυν, εἴπερ ἐφυλάξω τήν ἀπό τῶν ῥημάτων ἀπάτην αὐτός καί τοῖς ἄλλοις φυλάττεσθαι παρηγγύας, τήν τε διάνοιαν καί τόν πατέρα τῆς διανοίας ἐν ἐπαίνῳ τίθεσθαι καί τῶν ῥημάτων ἐκείνων οὐ κατήγορον, ἀλλ᾽ ἐξηγητήν ποιεῖν σαυτόν. Εἰ γάρ τοῦτό τις ὑπολογιζόμενος, ὅτι πρός τό φαινόμενον ἀπαντᾶ, καταλογογραφήσειε τοῦ ἐντελλομένου τήν τοῦ σώματος νέκρωσιν, ὡς αὐτόχειρας γίνεσθαι τούς ἀνθρώπους διδάσκοντος, ἆρ᾽ ἄν αὐτός ἐξαιρήσῃ τοῦτον, εἰ μή μεταβουλεύσαιτο τῆς μετά τῶν ἀντιθέων καταδίκης; Οὐκ ἔγωγε οἶμαι. Τί δ᾽ ὅτε Βασίλειος ὁ μέγας (ἵνα παραπλησίῳ τοῖς ὑπό σοῦ κατηγορουμένοις παραδείγματι χρήσωμαι), τί τοίνυν ὅθ᾽ οὗτος εἶπε τόν νοῦν ἔξω διαχεῖσθαι καί ἐπανάγεσθαι πάλιν, κακῶς ἐροῦμεν αὐτόν ὡς τήν τοῦ νοῦ ἀμετάβατον οὐσίαν διαχεῖσθαι λέγοντα καί τήν μηδέποτε ἑαυτόν ἀπολείπουσαν ἐπανάγεσθαι, ἤ νοῦν νοήσομεν αὐτόν λέγειν τάς μεταβατικάς αὐτοῦ ἐνεργείας, αἵ δή ποτέ εἰσιν αὗται;

Ἀλλ᾽ ὁ φιλόσοφος ἀπό τοῦ φαινομένου κατηγορεῖν ὑπό τῶν ἐμῶν λόγων ἐξελεγχόντων εἰρχθείς καί κατά τοῦ νοουμένου ὅλος χωρῆσαι προθυμηθείς, κατά τε τῶν ὑπέρ τοῦ σεπτοῦ ἀνδρός ἐκείνου γεγραμμένων ἡμῖν τόν ἀγῶνα μετασκευάσας αὐτῷ, τῆς συκοφαντικῆς αὐτοῦ κἀνταῦθα τέχνης οὐκ ἐπιλέληστο, μᾶλλον δ᾽ ἐπιλελῆσθαί πως οὐκ ἐδυνήθη. Πῶς γάρ ἀντειπεῖν τοῖς διά τήν ἐνοῦσαν ἀλήθειαν ἀντιρρήτοις οὖσιν ἔσχεν ἄν καί δυσσεβείας ἔγκλημα προστρίψαι τοῖς εὐσεβέσι, μή τήν συκοφαντίαν τούτοις ἐνείρας; Ἡμῶν τοίνυν πρῶτον σαρκικόν λογιστικόν ὄργανον τήν καρδίαν εἰπόντων, (σελ. 404) κατά τόν μέγαν Μακάριον, οὗ καί τάς

τοῦτο δηλούσας ρήσεις ἐκεῖ προὐθέμεθα, τό "σαρκικόν" ἀπαλείψας οὗτος καί τόν Νύσσης θεῖον Γρηγόριοιν παραγαγών λέγοντα τῷ λεπτῷ καί φωτοειδεῖ τῆς αἰσθητικῆς φύσεως ἀνακίρνασθαι τήν νοεράν οὐσίαν, ἀκολούθως μέν συνάγει τούτῳ καί ὡς ὀργάνῳ πρώτῳ χρῆσθαι φάναι τόν ἅγιον, ἀνακολούθως δέ τοῖς ὑφ᾽ ἡμῶν λεγομένοις ἐπιτίθεται, λέγων ἐναντίως ἔχειν ταῦτα τοῖς τοῦ ἁγίου ρήμασι, φάσκοντα τήν καρδίαν, ἀλλ᾽ οὐ τό φωτοειδές ἐκεῖνο, πρῶτον ὄργανον λογιστικόν. Ἀλλ᾽ εἰ τό "σαρκικόν" προσθείης, ὦ σοφιστά, καθάπερ εἰρήκαμεν ἡμεῖς, μακράν ποιήσεις τήν διαβεβλημένην ἐναντιότητα καί συμφώνως ὄψει τούς ἁγίους ἀλλήλοις καί ἡμᾶς αὐτοῖς ὑπ᾽ αὐτῶν δεδιδαγμένους˙ οὐ γάρ ἐστι σάρξ τό τῆς ἀνθρωπίνης αἰσθήσεως φωτοειδές.

Ἀλλά καί ἑτέραν ἐπενόησε τῶν ἡμετέρων ρημάτων πρός τόν Νύσσης ἐναντίωσιν, ὡς, ἐπεί φαμεν ὄργανον μέν ὀργάνων τήν καρδίαν ἐν σώματι, χρῆσθαι δέ τόν νοῦν δι᾽ αὐτῆς τούτῳ τῷ ὀργάνῳ, γνωστήν δείκνυμεν οὖσαν τήν τοῦ νοῦ καί τοῦ σώματος ἕνωσιν, παρ᾽ ἐκείνου λεγομένην ἀπερινόητον. Τί γοῦν ἐκεῖνος, ὅταν λέγῃ προσφυῆναι μέν τῷ αὐξητικῷ τό τό αἰσθητικόν, μέσως ἔχοντι τῆς τε νοερᾶς καί ὑλωδεστέρας οὐσίας, εἶτα πρός τό τοῦ αἰσθητικοῦ λεπτομερέστερον τήν ἀνάκρασιν γίνεσθαι τοῦ νοῦ καί τούτῳ ὡς ὀργάνῳ πρώτῳ χρῆσθαι καί δι᾽ αὐτοῦ τῷ σώματι; Ἆρ᾽ οὐ μᾶλλον ἡμῶν καί πολλῷ μᾶλλον γνωστόν καί ρητόν ἐποιήσατο τόν τρόπον τῆς τοῦ νοῦ πρός τό σῶμα συναφείας; Πῶς οὖν λέγει ταύτην ἀνεπινόητον καί ἀνέκφραστον; Ἆρα καί αὐτός ἀντιλέγειν ἑαυτῷ τῇ σῇ σοφίᾳ δοκεῖ. Καί πῶς οὐ κατά σέ, εἴπερ σεαυτῷ γοῦν ἕπεσθαι γινώσκεις; Ἀλλ᾽ ἐγῷμαι ὡς ἐπαφήν μέν ἐπί (σελ. 406) τῶν τοιούτων καί χρῆσιν καί ἀνάκρασιν, τίς δέ αὕτη καί πῶς ἄν τελεσθείη νοερᾶς φύσεως πρός σωματοειδές ἤ σῶμα, νοῆσαί τε καί φράσαι κοινῇ πᾶσιν ἀμήχανον ἀνθρώποις. Οὕτω σφίσι τε αὐτοῖς καί ἀλλήλοις ὁμολογοῦσιν οἱ πατέρες καί ἡμεῖς αὐτοῖς. Σύ δ᾽ ὁ ταῖς ἀντιθέσεσι χαίρων, ὡς ἔοικε, κἀκείνους ἀντικεῖσθαι δοκεῖν ἐφίεσαι, διό καί ἡμῖν ἀντίκεισαι, συμφθεγγομένους αὐτούς ἀλλήλοις δεικνῦσι.

Τοῦ γάρ μεγάλου Μακαρίου τῇ τῆς χάριτος ἐνεργείᾳ διαδαχθέντος καί ἡμᾶς διδάσκοντος εἶναι τόν νοῦν ἐν τῇ καρδίᾳ καί τούς λογισμούς πάντας τῆς ψυχῆς, ὡς ἐν ὀργάνῳ, τοῦ δέ Νύσσης μή εἶναι ἐντός τοῦ σώματος τοῦτον, ὡς ἀσώματον, ἡμεῖς εἰς ἕν τά δοκοῦντα διαφέρειν ταῦτα συνάγοντες ἀμφότερα καί μή ἐναντίως ἔχοντα δεικνύντες, εἰ

καί μή ἔνδον ἐστί, φαμέν, κατά τόν Νύσσης Γρηγόριον ὡς ἀσώματος ὁ νοῦς, ἀλλά καί ἐντός ἐστιν, ἀλλ᾽ οὐκ ἐκτός τοῦ σώματος, ὡς συννημένος τούτῳ καί πρώτῳ σαρκικῷ ὀργάνῳ τῇ καρδίᾳ χρώμενος ἀφράστως κατά τόν μέγαν Μακάριον. Ἐπεί τοίνυν κατ᾽ ἄλλο μέν ἐκεῖνος οὐκ ἔνδον εἶναι λέγει, κατ᾽ ἄλλο δέ οὗτος ἔνδον, ἥκιστα πρός ἀλλήλους διαφέρονται˙ καί γάρ οὐδ᾽ ὁ λέγων μή ἐν τόπῳ τό θεῖον εἶναι, ᾗ ἀσώματον, ἀντίκειται τῷ ἔνδον γενέσθαι ποτέ τόν τοῦ Θεοῦ λόγον λέγοντι παρθενικῆς καί παναμώμου μήτρας, ὡς ἐκεῖ συνημμένον ὑπέρ λόγον τῷ καθ᾽ ἡμᾶς φυράματι διά φιλανθρωπίαν ἄφατον.

Σύ δ᾽ ἡμᾶς τούς μή διαφέρεσθαι δεῖξαι σπεύδοντας ἐκείνους, πρός ἐκείνους σπεύδεις δεῖξαι διαφερομένους, καίτοι περί τῶν τοιούτων, πῶς ἴσχει τήν πρός σῶμα συναφήν ὁ νοῦς, καί ποῦ κεῖται τό φανταστικόν τε καί δοξαστικόν, καί τίνα τό μνημονευτικόν ἔλαχε τήν ἵδρυσιν, κἀν τῷ σώματι τί (σελ. 408) τῶν μερῶν τό καιριώτατον καί οἷον καθοδηγούμενον τῶν ἄλλων, καί ὅθεν ἔχει τήν ἀρχήν τῆς γενέσεως τό αἷμα, καί εἰ ἀμιγής τῶν χυμῶν ἕκαστός ἐστι, καί ποίῳ τῶν σπλάγχνων ὡς ἀγγείῳ χρῆται, περί τῶν τοιούτων τοίνυν ἔξεστι παντί λέγειν τό δοκοῦν, ἐπεί πάντες ἐν τοῖς τοιούτοις τά εἰκότα λέγουσιν, ὥσπερ καί περί ἀκινησίας ἄστρων καί ἀστέρων κινήσεως, μεγέθους τε καί φύσεως ἑκάστου καί τῶν ἄλλων τῶν τοιούτων, ὅσα μή σαφῶς ἀπεκάλυψεν ἡμῖν τό Πνεῦμα, μόνον γινῶσκον ἀκριβῶς τήν διά πάντων διικνουμένην ἀλήθειαν˙ ὥστ᾽ εἰ καί ἀντιλέγοντας τῷ Νύσσης θείῳ καί σοφῷ Γρηγορίῳ κατά τοῦτ᾽ ἐφώρασας ἡμᾶς, οὐκ ἔδει σε καθ᾽ ἡμῶν χωρῆσαι διά τοῦτο˙ πόσους γάρ οἴει τούς σφαῖραν λέγοντας τόν οὐρανόν καί πόλους τοῖς πλανωμένοις ἰσαρίθμους ἀστράσι, μή τοῦτο λέγοντος τοῦ μεγάλου Βασιλείου, πόσους δ᾽ ἀεικίνητον, ἔστιν ὧν ἱστάντων, πόσοις δ᾽ ὁ ἥλιος κύκλῳ περιέρχεσθαι δοκεῖ, μή τοῦτο τοῦ ἁγίου Ἰσαάκ νομίζοντος; Πάντας οὖν τούτου σύ γ᾽ ἄν, ὡς ἔοικεν, ἀποφήναιο τοῖς πατράσιν ἀντιλέγειν, ὥσπερ καί ἡμᾶς, ἀλλ᾽ αὐτός ἐξελεγχθήσῃ μή εἰδώς τήν ἀλήθειαν, καθ᾽ ἥν ἕπεσθαι πάντας ἡμᾶς ἐκείνοις ἀναγκαῖον, καί ἔοικάς μοι μηδ᾽ ἐνθυμηθῆναί ποτε ταύτην ἤ διακρῖναι τῆς μή ἀναγκαίας˙ διό ἐν τοῖς πρός τόν μακάριον βίον φέρουσιν ἀντικείμενος αὐτοῖς, τούς ἄλλους ἀκριβῆ τήν ὁμολογίαν ἀπαιτεῖς ἐπί τῶν μή φερόντων εἰς ἐκείνην τήν μακαριότητα.

Ταῦτ᾽ ἄρα καί ἡμεῖς ὑπεριδόντες τῶν ἐφεξῆς τοῖς εἰρημένοις καθ᾽ ἡμῶν αὐτοῦ διαβολῶν, ἐπί τἀναγκαιότερα τρέψωμεν τόν λόγον.

*ΛΟΓΟΣ*
*ΥΠΕΡ ΤΩΝ ΙΕΡΩΣ ΗΣΥΧΑΖΟΝΤΩΝ*
*ΤΩΝ ΥΣΤΕΡΩΝ Ο ΤΡΙΤΟΣ. Σελ. (410)*
**ΠΕΡΙ ΦΩΤΟΣ ΙΕΡΟΥ**

Ὁ δή τῆς νοερᾶς προσευχῆς κατά τῶν διά βίου ταύτῃ προσανεχόντων τοιοῦτος ὑφηγητής καί περί φωτός ἱεροῦ διδάσκειν ἀξιοῖ τούς ὁρῶντας, καί ταῦτα τυφλός ὤν αὐτός, ὡς καί αὐτός ἀρνεῖσθαι οὐκ ἔχει, ἁμαρτάνειν αὐτούς ἰσχυριζόμενος ὅτι τοῦθ᾽ ὅ μή βλέπει, τυφλός ὤν οὗτος, φῶς αὐτοί λέγουσι, καί ταῦθ᾽ οὐ τόν δεῖνα ἤ τόν δεῖνα τῶν ἐφ᾽ ἡμῶν ὄντων ἤ τῶν μικρῷ πρό ἡμῶν ἐπί καθαρότητι βίου καί θεοπτίας ὕψει βεβοημένων ἁμαρτάνειν περί τό φῶς ἀποφαινόμενος τοῦτο, ἀλλ᾽ αὐτούς τούς ἐκ παλαιοῦ προσκυνητούς ἡμῖν ἁγίους, ὡς ὁ λόγος δείξει προϊών. Ἐπεί δ᾽ ἤκουσε παρά τῶν τοιαῦτα διεξιόντος ἀκουσάντων αὐτοῦ (κατεπληγμένων, ὡς ἔοικε, τῆς καινοφωνίας τήν ὑπερβολήν καί σιωπῇ τήν οὕτω σαφῆ κατά τῶν ἁγίων πατέρων παρελθεῖν βλασφημίαν οὐκ ἐνεγκόντων, ἅμα δέ καί δεδοικότων περί σφίσιν αὐτοῖς μή τοῦ τοιούτου μύσους κοινωνοί γένωνται σιωπῇ παρελθόντες, ὅ καί ἡμᾶς ἀρτίως πρός τό γράφειν μάλιστα τῶν ἄλλων ἐπῆρεν), ἐπεί τοίνυν ἐκεῖνος τῶν τοιούτων ἀκήκοε λεγόντων πρός αὐτόν ὡς, «ἀμύητος ὤν καί τυφλός ἄντικρυς πρός τά τοιαῦτα τί ποτε παθών περί μυστικῶν ἱερῶν θεαμάτων ἐγχειρεῖς λέγειν, ὧν οὐδ᾽ ἄν εὐχερῶς ἐπαΐοις τῶν πεπειραμένων ἀκούων;», ἀρνεῖσθαι τήν ἐπί τοῦτοις ἀμαθίαν καί ἀπειρίαν οὐκ ἔχων, πᾶσι φανεράν προκειμένην, «οὐ θαυμαστόν», φησίν, «εἰ τυφλός ὤν αὐτός βλέποντός τινος ἔχοιτο καί οὕτω τῶν ἄλλων τυφλῶν ἐχομένων αὐτοῦ ἡγεμών ἀπλανής κατασταίη», τῇ (σελ. 412) περιουσίᾳ τῆς περί τό λέγειν δυνάμεως καί τῇ πιθανολογίᾳ τῶν διαλεκτικῶν σοφισμάτων εὑρηκέναι οἰόμενος, ὅθεν καί τῆς εὐαγγελικῆς φωνῆς περιγένοιτο, τἀναντία τούτῳ σαφῶς λεγούσης˙ «τυφλός γάρ τυφλόν ἐάν ὁδηγῇ, φησίν, «ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται». Ἀλλ᾽ ἐγώ, φησίν ὁ τυφλός οὗτος καί τῶν τυφλῶν ὁδηγός, ἐχόμενος ἕπεσθαι τοῖς ὁρῶσι δύναμαι. Καί τίς τῶν τυφλῶν, ὅς οὐ τοῦτο δύναται; Κυλλός μέν γάρ ὤν ἀμφοτέρω τώ πόδε καί τώ χεῖρε καί παρειμένος παντάπασιν, οὐδ᾽

ἄν σοῦ γε ἔχοιτο, οὐδ᾽ ἄν ἕποιτο, οὐδ᾽ ἄν ὁδηγοῦ τό παράπαν δέοιτο, κλινοπετής ὤν˙ χεῖρας δ᾽ ὑγιαίνων καί πόδας, τοῦ χάριν, τυφλῶν κράτιστε, μή τοῦ ὁρῶντος μᾶλλον ἤ σοῦ ἐχόμενος ἕποιτο; Κλέπτων τοίνυν ἔοικας παρέχειν σαυτῷ τό τῆς ἀναβλέψεως ἀμυδρόν, μᾶλλον δέ τήν οἰκείαν αὐτός περί τά τοιαῦτα πᾶσαν οὐκ αἰσθάνεσθαι τύφλωσιν, εἰ καί τοῦτο λέγεις, ἀντιλέγειν τοῖς σέ τυφλόν ὁρῶσιν οὐκ ἔχων. Πῶς γάρ ἄν, εἰ μή τοῦτ᾽ ἦν, ὁδηγός τῶν ἄλλων εἶναι τυφλῶν ἠξίους; Ἴσθι τοίνυν, κατά τόν ἐν εὐαγγελίοις διά πίστεως ἔλλειψιν μήπω τελείως ἀναβλέψαντα τυφλόν, ὅς, «τούς ἀνθρώπους ὡς δένδρα περιπατοῦντας» ἔλεγεν ὁρᾶν. Εἰ τοίνυν τοιοῦτος οὐ τάς ὄψεις ὤν, ἀλλά μή τελείως ἐκκεκομμένος, εἶτα πρός τόν ἡλίου δίσκον ἀτενές ὁρῴης, ὡς τούς ἄλλους διδάξων τί ποτέ ἐστιν ἐκεῖνος, οὐκ ἄν ἤκουσαν παρά σοῦ σκότον ἀτεχνῶς ὄντα τόν μέγαν φωστῆρα, τόν ὁλολαμπῆ, τόν ὀφθαλμόν τῆς ἡμέρας; Εἰ γάρ τήν τῶν καθαρῶς ὁρώντων συμμετρίαν ὀφθαλμῶν ὑπερβαίνων οὐκ ἀμίκτους σκότους ἐπιχεῖν δοκεῖ τάς ἀκτῖνας τοῖς καί μεθ᾽ ὑγιοῦς ὄψεως ἀτενίζουσι, πῶς οὐκ ἄν φωτός ἄμικτον σκότος εἶδεν ὁ δι᾽ ἀμυδροῦ φέγγους προσορᾶν ἐγχειρῶν; Οὕτω μή ὅτι γελοῖον, ἀλλά καί καταγέλαστον τόν τυφλόν περί φωτός ἐπιχειρεῖν διδάσκειν.

(σελ. 414) Ἀλλά γάρ ἐκκαλύψωμεν τῆς φιλοσόφου διανοίας τό βάθος, ὅ περιστείλας τῷ παραδείγματι οὐ μᾶλλον ἔκρυψεν ἤ ἐνέφηνε. Φησί τοίνυν ὁ φιλόσοφος τυφλούς μέν εἶναι, τουτέστιν ἀνοήτους, πάντας παντάπασιν ἡμᾶς τε καί τῶν ἁγίων πρός οὕς προϊών ἀντιλέγει φανερῶς, ἑαυτόν δέ τοῦτο διαφέρειν τῶν τυφλῶν τούτων, δηλονότι τῶν ἀνοήτων, τό φιλοσόφον εἶναι, τουτέστιν ἀνοήτους, πάντας παντάπασιν ἡμᾶς τε καί τῶν ἁγίων πρός οὕς προϊών ἀντιλέγειν φανερῶς, ἑαυτόν δέ τοῦτο διαφέρειν τῶν τυφλῶν τούτων, δηλονότι τῶν ἀνοήτων, τό φιλόσοφον εἶναι καί διά τοῦτο συνορᾶν μόνον δύνασθαι τούς τε λόγους τῶν ὄντων καί τῶν λογίων τόν νοῦν ἕπεσθαί τε τούτοις οὕτω καί τούς ἐχομένους ὁδηγεῖν. Ἀλλ᾽ ὁ τοιοῦτος, ὦ φιλόσοφε, οὐκέτι τυφλός˙ τοῖς γάρ πρός ἀνάβλεψιν ἡγησαμένοις, δηλαδή τήν ἀληθῆ γνῶσιν, ὡς σύ φῄς, ἠκολούθησεν˙ οὐκοῦν ἀνέβλεψεν. Εἰ δέ μή ἀνέβλεψεν ἀκολουθήσας, πῶς ἐγγυᾶται τοῖς ἄλλοις δι᾽ἀκολουθήσεως τήν ἀνάβλεψιν; Οὕτως ἀνακόλουθος εἶ σαυτῷ σύ σαυτόν καί τυφλόν καί βλέποντα μαρτυρῶν. Εἰ γάρ ἡ γνῶσις μόνον κατά σέ νοητόν ἐστι φῶς, ὑπέρ οὗ καί τούς τοσούτους ὑπῆλθες ἀγῶνας, σύ δ᾽ ἔχεις τῶν λογίων τήν γνῶσιν, ὡς αὐτός

μαρτυρεῖς, πῶς καί σύ τυφλός καί ἀφώτιστος; Εἰ δ᾽ ἄλλως οὐκ ἔνι φωτισθῆναι, εἰ μή ὡς ἄν αὐτός ἐφωτίσθης τε καί φωτίζεις, ὡς αὐτός καί τοῦτο πολλαχοῦ φῄς, οὐδ᾽ ὁ μέγας Διονύσιος, ᾧ νομίζεις εἰδέναι ἕπεσθαι, ἄλλως ἐφωτίσθη τε καί φωτίζει˙ τοιγαροῦν καί αὐτός κατά σέ τοῦτο μόνον οἶδεν, ἕπεσθαι τοῖς εἰδόσιν˙ ἀλλά κἀκεῖνοι τόν ὅμοιον ἔχοντες τρόπον καί σοί παραπλησίως ἔχοιεν ἄν. Τίς οὗτος ὁ τῶν τυφλῶν ὁρμαθός, ὅν ἡμῖν διά τῶν σῶν λόγων συναθροίζεις ἀρτίως, ἀλλήλους πρός ἀνάβλεψιν ὁδηγούντων καί μενόντων τυφλῶν; Τοῦτο δ᾽ ὅτι ταῖς ἱεραῖς ἕποιντο Γραφαῖς καί πολλούς ἄλλους ἰσχυρισαμένους εὑρήσεις, οἵ καταψευδόμενοι σφῶν τε αὐτῶν καί τῶν Γραφῶν ἐξηλέχθησαν ὑπό τῶν πρός ἀλήθειαν ἑπομένων αὐταῖς.

Σέ δ᾽ εἴ τις ἐξετάσειεν, ὅπως καί αὐτός ἕπῃ τοῖς (σελ. 416) ἁγίοις, οὐ μόνον τυφλόν ἄν σε εἴποι ἀλλά καί κωφόν˙ τοῦ γάρ μεγάλου Διονυσίου, καθάπερ ἐν τῷ Περί σωτηρίου γνώσεως λόγῳ προεξεθέμεθα, λέγοντος ἀριδήλως «ἐκ μόνων τῶν θείων ἐντολῶν τελεῖσθαι τήν πρός Θεόν ἀφομοίωσίν τε καί ἕνωσιν, αὐτός ἐπίσης ἀριδήλως οὐκ ἐκ μόνων φῄς˙ ἐξ ἡμισείας γάρ ταύτας τόν τηροῦντα καθαίρειν δίδως, καί τοῦτο μόγις˙ οὕτως ἕπῃ κατ᾽ ἴχνος. Καί Γρηγορίου τοῦ Νύσσης˙ ἄγονον καί ἀτελῆ τήν ἔξω σοφίαν εἶναι διδάσκοντος καί μέχρι τούτου ἀξιοῦντος ἡμᾶς μή ἀπωθεῖσθαι τήν τῆς ψευδωνύμου ταύτης μητρός οἰκειότητα, «μέχρις ἄν τό τῆς ἡλικίας ἀτελές ἐν ἑαυτοῖς βλέποιμεν», μετά τοῦτο δ᾽ αἰσχύνην ἡγεῖσθαι τῆς κατά φύσιν ἀγόνου ταύτης ὀνομάζεσθαι παῖδας», αὐτός διά βίου ταύτῃ προσέχειν ἡμᾶς χρησιμώτατόν τε καί ἀναγκαιότατον εἶναι διδάσκεις κἀπί ταύτῃ σεμνύνεσθαι,καί παραχαράττειν οὐκ ὀκνεῖς ἑτέρας ῥήσεις αὐτοῦ, μόνον ἵν᾽ ἔχῃς προβαλλόμενος πείθειν ὡς τελείας ἐστί καί σωτηρίου καθάρσεως ποιητικά τά μαθήματα˙ οὕτω καί μόνος αὐτός ὑπέρ πάντας τῶν ἁγίων ἀσφαλῶς ἔχῃ. Καί τοῦ μεγάλου Βασιλείου σαφῶς εἰπόντος μηδέν ἐμπόδιον εἶναι πρός τήν ἐν ἐπαγγελίαις μακαριότητα τό μή εἰδέναι τήν δι᾽ οὐρανοῦ καί γῆς καί τῶν μεταξύ στοιχείων διικνουμένην ἀλήθειαν, σύ τοῦτο σωτηριῶδες ἀποφαίνῃ, καί ἄνευ τούτου τελειότητα μή παρεῖναι τῇ διά πάντων ἀληθείᾳ τόν ἑαυοῦ τινα ἐναρμόσαι νοῦν˙ καί εἴθε τῇ ἀληθείᾳ γοῦν, εἰ δεῖ καί ὑπέρ τῶν ἀνεφίκτων εὔξασθαι˙ καί γάρ ἐν Θεῷ μόνῳ πάντων ἡ γνῶσις, ὅς φησι πρός τόν Ἰώβ, «ἀπάγγειλόν μοι, εἰ ἐπίστασαι σύνεσιν, ποῦ οἱ στύλοι τῆς γῆς πεπήγασι, τίνες δέ πηγαί θαλάσσης, πόσον δέ τό εὖρος τῆς ὑπ᾽ οὐρανόν». Σύ δέ οὐ ταύτῃ τῇ ἀληθείᾳ ζητῶν

ἐναρμόζειν σου τόν νοῦν οἴει μόνος εἰδέναι τε καί ἔχειν τήν τελειότητα, ἀλλά τοῖς Ἀριστοτέλει καί Πλάτωνι. Εὐκλείδῃ τε καί (σελ418) Πτολεμαίῳ καί ὅσοι κατ᾽ αὐτούς˙ διό καί ἀστρολόγους καί φυσιολόγους θεόπτας μᾶλλον τῶν μή τοιούτων ἡγῇ, ὡς περί τήν τῶν ὄντων ἀλήθειαν ὑγιῶς τό λογικόν σφίσι περιπορευόμενον ἔχοντας, ἧς τῇ συνελίξει καί τῶν ἰσαγγέλων αὐτούς καταξιοῖς νοήσεων˙ καί ταῦτα λέγων οἴει σωτηρίως καί ἀσφαλῶς ἕπεσθαι τῷ θεοφάντορι Διονυσίῳ καί ὁδηγός ἡμῶν ἀπλανής εἶναι διά τοῦτο παρρησιάζῃ.

Ἀλλά μή καυχάσθω ὁ κυρτός ὡς ὀρθός˙ τούς γάρ ὁρῶντας αὐτόν οὐ πείσει οὐδ᾽ ἀπατήσει, κἄν ἑαυτόν ἀπατᾷ˙ μηδέ καταψευδέσθω τῶν ὀρθά φρονούντων καί τοῖς θεηγόροις ἀσφαλῶς ἑπομένων, καί ταῦτ᾽ ἐφ᾽ ὧν οὐδείς οὐδαμοῦ γῆς, οὐδέ τῶν μή στοιχούντων τῷ τῆς χάριτος εὐαγγελίῳ, ἐλεγχθείη ἄν ἀρτίως τελέως σφαλλόμενος. Τίς γάρ μή ὅτι τῶν ἀπό Χριστοῦ καλουμένων, ἀλλά κἄν Σκύθης κἄν Πέρσης κἄν Ἰνδός ᾖ, ὅς νῦν οὐκ οἶδε τόν Θεόν μηδέν ὄντα τῶν κτιστῶν ἤ τῶν αἰσθητῶν; Ὡς γάρ ἐπί τῆς μελλούσης Χριστοῦ παρουσίας οὐ τοῖς εἰς αὐτόν πεπιστευκόσι μόνοις ἡ τῆς ἀναστάσεως καί τῆς ἀθανασίας περικλείεται χάρις, ἀλλά κατά τά λόγια κοινῇ πάντες ἀναστήσονται, εἰ καί μή κοινῇ πάντες τῶν μετά τήν ἀνάστασιν ἐπηγγελμένων τεύξονται, οὕτω καί νῦν κατά τήν ἐπί γῆς αὐτοῦ προτέραν παρουσίαν, εἰ καί μή πάντες ὑπήκουσαν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ, ἀλλά κοινῇ πάντες, τῷ περιόντι τῆς τοῦ παραγενομένου χάριτος ἀνεπιγνώστως μετασκευασθέντες, ἕνα Θεόν ὁμολογοῦσιν ἄκτιστον, κτίστην τοῦ παντός˙ κἄν ἐρωτήσῃς τόν Πάρθον, τόν Πέρσην, τήν Σαυρομάτην, ἀκούσειας ἄν εὐθύς τήν ἀβραμιαίαν ἐκείνην παρ᾽ αὐτοῦ φωνήν, ὅτι «τόν Θεόν τοῦ οὐρανοῦ ἐγώ σέβομαι», ὅ Πτολεμαῖος οὐκ ἄν εἶπε καί Ἵππαρχος καί Μαρῖνος ὁ Τύριος, οἱ κατά σέ σοφοί καί τῇ μέν διά τῶν οὐρανίων κύκλων (σελ. 420) καί ἐπικύκλων καί σφαιρῶν ἀληθείᾳ τόν ἑαυτῶν ἐναρμόσαντες νοῦν, θεῖον δ᾽ ὅμως λέγοντες τόν οὐρανόν καί παναίτιον, οὐδ᾽ Ἀριστοτέλεις καί Πλάτωνες, οἱ θεῶν σώματα τούς ἀστέρας δοξάζοντες, οὐδ᾽ οἱ τόσον λέγοντες τούς θεῶν πηδᾶν ἵππους, ὅσον ἀπό σκοπιᾶς ὀφθαλμός ὁρᾷ ἐπί οἴνωπα πόντον.

Πάντων οὖν ἀρτίως διά τοῦ ἐν σκοτίᾳ λάμψαντος φωτός κρεῖττον ἤ κατά τούς ἐπί σοφίᾳ ποτέ θαυμαζομένους ἐκείνους ὑπέρ αἴσθησιν ἐγνωκότων τόν Θεόν, ὡς μηδ᾽ ἀπό τῶν ὄντων ἔτι διαπλάττοντας χαρακτηρίζειν ὅλως ἀνέχεσθαι, πῶς οὐ τοῖς τοῦ εὐαγγελίου μαθηταῖς, τοῖς εἰς ἀκοήν ὠτίου δεξαμένοις τά θεοπαράδοτα λόγια, τοῖς διά

στομάτων μεμυημένοις πυρίναις γλώσσαις τοῦ Πνεύματος ἐστομωμένων, οὕς οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ᾿ αὐτός ὁ Κύριος διά τοῦ προσκυνητοῦ στόματος ἐδίδαξεν («ὁ γάρ μονογενής Υἱός, ὁ ὢν εἰς τόν κόλπον τοῦ Πατρός, ἐκεῖνος ἐξηγήσατο»), πῶς οὐ τούτοις τοῖς ἐκ παντός ἔθνους ἀπολέκτοις, τῷ ἔθνει τῷ ἁγίῳ, τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ, τοιαύτην ἐτόλμησας προστρίψασθαι μέμψιν, ὅτι αἰσθητήν οἴονται τήν οὐσίαν τοῦ Θεοῦ, σχῆμά τε ἔχουσαν καί ὄγκον καί ποιότητα, καί ὡς φῶς τοιοῦτον κιρνᾶσθαι τῷ ἀέρι, δεκτικῷ ὄντι τῆς ἐκεῖθεν ἀπορροίας καί περιγράφοντι αὐτό τοπικῶς καί αἰσθητῶς; Ἆρ᾿ οὐκ ἐπῆλθέ σοι τοῦτ᾿ ἀναλογισαμένῳ συνιδεῖν, ὡς τί μή τόν ἥλιον λέγει τις Θεόν, εἰ τοιαύτην περί Θεοῦ τήν δόξαν ἔχει; Πῶς δέ διαφεύγειν οἴεται τήν τῶν ἄλλων αἴσθησιν, εἴπερ αἰσθητόν ἥγηται τό θεῖον; Τοῦ δ᾿ ἕνεκεν τάς κατ᾿ αἴσθησιν ἀτιμάζει ἡδονάς, ὅ μάλιστα πάντων ποιοῦσιν οἱ παρά σοῦ τοιαῦτα συκοφαντούμενοι; Θεός μέν γάρ αἰσθητός ἡ κοιλία, κατά τόν Παῦλον, τοῖς γαστρός οὖσι δούλοις, καί δευτέραν ἱστᾶσιν εἰδωλολατρίαν οἱ φιλάργυροι καί πλεονέκται˙ πιστεύειν δέ εἰς Χριστόν οὐ δύνανται, κατά τήν εὐαγγελικήν ψῆφον, (σελ. 422) οἱ δόξαν παρά ἀνθρώπων λαμβάνοντες, τήν δέ παρά τοῦ μόνου Θεοῦ δόξαν οὐ ζητοῦντες. Οἱ δέ πάντων τούτων ὑπερφρονήσαντες, καί ταῦτα διά τόν ὑπέρ πάντα Θεόν, ἆρ᾿ οὐ δι᾿ ἔργων δεικνύουσι Θεόν ὄντως σέβοντες τόν ἐπέκεινα πάντων; Ἤ διότι καί τοῖς ἄλλοις τούτων ἀποσχέσθαι συμβουλεύουσιν, ἅ τήν παρά τοῦ μόνου Θεοῦ δόξαν ἀφαιρεῖ, μή μόνον οὐ πείσεταί τις τούτοις, ἀλλά καί συκοφαντήσειεν ὡς ἀσφαλῆ δόξαν οὐκ ἔχοντας περί τό θεῖον;

Ὅ γάρ λέγεις τελευτῶν τῆς κατά τῶν ἀνδρῶν τούτων πολυρρημοσύνης φανεράν ἐποίησέ μου τήν ἑκούσιον κατ᾿ αὐτῶν συκοφαντίαν˙ «νῦν» γάρ, φησί, «περί τοῦ παρά τισιν ἐνυποστάτου λεγομένου φωτός λέγομεν, μή πρότερον περί αὐτοῦ ἰδίαν ἀποφηνάμενοι γνώμην, ὡς ὅ λέγουσιν ὁρᾶν, νοητόν καί ἄϋλον, ἐν ἰδίᾳ ὑποστάσει ὄν φῶς». Κἀνταῦθα τοίνυν συμπλέκει τι συκοφαντίας˙ ἐν ὑποστάσει μέν γάρ φῶς ὁρᾶσθαί φησιν ὁ μέγας Μακάριος καί ὁ πολύς τά θεῖα Μάξιμος καί ὅσοι κατ᾿ αὐτούς, ἐν ἰδίᾳ δέ οὔ. Ὅμως γε μήν, εἰ καί μηδέ τοῦτο συκοφαντίας ἀμιγές προήνεγκεν, ἀλλ᾿ ὁμολογεῖ νοητόν καί ἄϋλον αὐτούς λέγειν τό τοιοῦτον φῶς˙ τό δέ νοητόν καί ἄϋλον οὐκ αἰσθητόν, οὐδέ, ὡς αἰσθητόν, συμβολικόν. Πῶς οὖν ἀρχόμενος ἐδείκνυ τούτους αἰσθητόν φῶς λέγοντα τήν οὐσίαν τοῦ Θεοῦ, κιρνώμενον ἀέρι καί ὑπ᾿ αὐτοῦ περιεχόμενον καί σχῆμα καί

ποιότητα καί ὄγκον ἔχον, ἅ πάντα τοῦ αἰσθητοῦ ἐστι φωτός; Καίτοι ἐκεῖνοι, κἄν νοητόν λέγωσι τό τῆς χάριτος φῶς, ἀλλ᾽ οὐ κυρίως˙ καί ὑπέρ νοῦν γάρ ἴσασιν αὐτό, ὡς μόνῃ τῇ τοῦ Πνεύματος δυνάμει κατά ἀπόπαυσιν πάσης νοερᾶς ἐνεργείας ἐγγινόμενον τῷ νῷ. Ἀλλ᾽ οὐδ᾽ οὕτω τοῦτό τις ἐκείνων οὐσίαν εἶπεν ἤ ἀπόρροιαν, οἵαν οὗτος οἴεται, Θεοῦ˙ κἄν τις ἐκ τῶν παραδειγματικῶς περί τούτου τοῦ φωτός ὑπ᾽ἐκείνων εἰρημένων κακουργῶν συνάγῃ τι (σελ. 424) τοιοῦτον, αὐτός φησιν, ἀλλ᾽ οὐκ ἐκεῖνοι. Τούς οὖν μή μόνον ὑπέρ αἴσθησιν, ἀλλά καί ὑπέρ νοῦν λέγοντας τουτί τό φῶς, εἶτα καί ὑπέρ τοῦτο δοξάζοντας τήν οὐσίαν τοῦ Θεοῦ, αἰσθητόν φῶς καί ὁρατόν οἴεσθαι λέγειν τήν οὐσίαν τοῦ Θεοῦ, ἆρ᾽ οὐ πάσης ἐπέκεινα συκοφαντίας;

Ἀλλά τί φησι προϊών ὁ τῶν ὑπέρ ἔννοιαν πεφωτισμένων συκοφάντης οὗτος; «Εἰ μέν τό νοητόν καί ἄϋλον ὅ λέγουσι φῶς αὐτόν ἐκεῖνον τόν ὑπερούσιον Θεόν τοῦτ᾽ εἶναι βούλονται, φυλάττοντες αὐτῷ τό πάσαις αἰσθήσεσιν ἀόρατον καί ἀνέπαφον, ἤ ὁρᾶν λέγοντες ἄγγελον εἶναι οἴονται, ἤ αὐτήν τήν οὐσίαν τοῦ νοῦ, ὅταν τῶν παθῶν ἅμα καί τῆς ἀγνοίας καθαρθείς ὁρᾷ αὐτός ἑαυτόν καί ἐν ἑαυτῷ ὡς ἐν ἰδίᾳ εἰκόνι τόν Θεόν˙ εἰ δή ἕν τι τούτων τό παρ᾽ αὐτῶν λεγόμενόν ἐστι, πάνυ γε ὀρθῶς περί τούτου φρονεῖν αὐτούς καί συμβαίνοντα τῇ τῶν χριστιανῶν παραδόσει οἴεσθαί γε χρή˙ εἰ δέ μήτε τήν ὑπερούσιον οὐσίαν τοῦτ᾽ εἶναι λέγουσι, μήτ᾽ ἀγγελικήν μήτε τόν νοῦν αὐτόν, ἀλλ᾽ ὁρᾶν τόν νοῦν εἰς αὐτό ὡς εἰς ἑτέραν ὑπόστασιν, τοῦτο ἔγωγε τό φῶς ὅ τι μέν ἐστιν οὐκ οἶδα, ὅτι δέ οὐκ ἔστιν οἶδα». Καί τίς ποτε ἀνθρώπων, ὦ κατά τῶν ὄντων ἀνθρώπων ὑψηγόρε σύ, φῶς ἄν ἐν ἰδίᾳ ὑποστάσει φαίη νοητόν, ὅ μήτε Θεός ἐστι μήτ᾽ ἄγγελος μήτε νοῦς ἀνθρώπινος; Οὐδέ γάρ φανταστικῶς γοῦν ἀναπλάσαι δύναιτ᾽ ἄν τις τό τούτων ἐκτός νοητόν ἐν ἰδίᾳ ὑποστάσει φῶς. Ἀλλά δῶμεν τουτί τό ἀδύνατον, δῶμεν τοίνυν ὅτι τοῦτ᾽ ἔφη τις τῶν ἡσυχαζόντων πρός τήν σήν λογιότητα˙ οὐκ οἶδα μέν ὅστις, οὐδέ γάρ αὐτός ὑποδεῖξαι δύνασαι˙ τῶν οὐκ ἐλλογίμων δ᾽ ὅμως εἶναι λέγεις αὐτόν. Εἰ τοίνυν ἐκεῖνος μή καλῶς ἑρμηνεῦσαι ἐδύνατο, ὅ καί μᾶλλον πείθομαι, ἤ καί μή διαγνῶναι καλῶς - ἔστω γάρ καί τοῦτο, καί γάρ οὐ πάντων ἡ γνῶσις -, οὐκ ἔδει σε παρά τῶν ἐχόντων τό τῆς διακρίσεως χάρισμα πυθέσθαι (σελ426) καί μαθεῖν, ὡς ἐφικτόν, τί τό μέγα θέαμα τοῦ φωτός τούτου, ἀλλ᾽ ὡς μαινομένων εὐθύς τῶν θεολήπτων καταψηφίζεσθαι καί τό παρά τοῦ θείου Παύλου λεγόμενον φανρῶς παθεῖν; Εἰ γάρ εἰσέλθοι τις, πρός τούς Κορινθίους, ἐν ὑμῖν, φησίν, ἰδιώτης ἤ ἄπιστος καί μή

ἀκούσει καί τῶν διακρίνειν δυναμένων, ἐρεῖ ὅτι μαίνεσθε. Τό τῶν ἰδιωτῶν τοίνυν καί ἀπίστων, φεῦ, καί αὐτός ἔπαθες, ὁ μοναχός καί φιλόσοφος. Ἔστω δέ μή ἕνα, μηδ᾽ ἐνίους, ἀλλά πολλούς καί πάντας τοῦτο λέγειν ἡμᾶς˙ οὐκ ἤρκει σοι τοῦτ᾽ εἰπεῖν, ὅ μετά τούς μακρούς εἴρηκας ἀγῶνας, ὅτι «τοῦτο τό φῶς οἶδα ὅτι οὐκ ἔστι»; Πάντες γάρ σοι συνεῖπον ἄν ὅτι φῶς ἐν ὑποστάσει ἰδίᾳ, ὅ μήτε Θεός ἐστι μήτ᾽ ἄγγελος μήτ᾽ ἄνθρωπος, οὐκ ἔστιν ὅλως ἀλλά καί πάντες ἄν εὐθύς συνεῖδον ὡς, εἰ φῶς νοητόν ἐν ὑποστάσει φαίη τις ὁρᾶν ἰδίᾳ, τούτων τί φησιν ὁρᾶν, ὅ λέγοντα, πάνυ καί αὐτός ὀρθῶς εἴρηκας φρονεῖν. Κατά τίνων οὖν αἱ διά τοσούτων σοι βιβλίων βλασφημίαι καί μέμψεις καί συκοφαντίαι; Ἆρ᾽ οὐ κατά τῶν τοιούτων, οὕς ὀρθῶς ὕστερον ἀπεφήνω φρονεῖν, καί τῆς παρά σοῦ συκοφαντίας οὐκ ἐξεληλεγμένης;

Οὐ γάρ τοῦτο λέγω, ὡς κατά σέ φρονοῦσι περί τοῦ φωτός ἐκεῖνοι τούτου ἤ κατά σέ θεολογοῦσιν, ἀλλά καί ὑπέρ σέ τοσοῦτον ὑπεραναστήκασι τῶν σῶν κατ᾽ αὐτῶν διαβολῶν καί μέμψεων. Σύ μέν γάρ φής περί αὐτῶν˙ «εἰ νοητόν λέγουσι φῶς τόν Θεόν, φυλάττοντες αὐτῷ τό πάσαις αἰσθήσεσειν ἀόρατον καί ἀνέπαφον, καλῶς λέγουσιν»˙ ἐκεῖνοι δέ καί ὑπέρ τό πάσαις αἰσθήσεσιν ἀνέπαφον τήν οὐσίαν τοῦ Θεοῦ γινώσκουσιν, ἐπεί μή μόνον Θεός ἐστιν ὑπέρ τά ὄντα ὤν, ἀλλά καί ὑπέρθεος, καί μή μόνον ὑπέρ πᾶσαν θέσιν ἐστίν, ἀλλά καί ὑπέρ πᾶσαν ἀφαίρεσιν ἡ ὑπεροχή τοῦ πάντων ἐπέκεινα καί πᾶσαν ὑπεροχήν ὁπωσοῦν ἐπί νοῦν γινομένην (σελ. 428) ὑπερβέβηκεν. Ὅ μέντοι φῶς ἐνυποστάτως οἱ ἅγιοι πνευματικῶς ὁρῶσιν, ὡς αὐτοί φασιν, ὄν μέν καί μή συμβολικόν τοῦτον, οἷα τά διαπλαττόμενα πρός τάς συμβαινούσας περιστάσεις φάσματα, ἄϋλόν τε θείαν ἔλλαμψιν καί χάριν ὁρωμένην ἀοράτως καί νοουμένην ἀγνώστως, δι᾽ αὐτῆς τῆς πείρας ἴσασι˙ τί δέ ἐστιν, ἐκεῖνοι μέν οὐκ εἰδέναι λέγουσι.

Σύ δέ, προσαγαγών τάς ὁριστικάς καί ἀναλυτικάς καί διαιρετικάς μεθόδους, γνῶθι καί τούς ἀμαθεῖς ἡμᾶς διδάξαι καταξίωσον. Οὐσία μέν γάρ Θεοῦ οὐκ ἔστι, καί γάρ ἀνέπαφος ἐκείνη καί ἀμέθεκτος˙ ἄγγελος οὐκ ἔστι, δεσποτικούς γάρ φέρει χαρακτῆρας καί ποτέ μέν τοῦ σώματος ἀπανιστᾷ ἤ οὐκ ἄνευ σώματος καί εἰς ὕψος ἀναφέρει ἄρρητον, ἄλλοτ᾽ αὖθις καί τό σῶμα μεθαρμοσάμενον καί τῆς οἰκείας μεταδεδωκός λαμπρότητος, οἷός ποτε καί ὁ μέγας Ἀρσένιος ὤφθη καθ᾽ ἡσυχίαν ἀγνωνιζόμενος καί ὁ Στέφανος λιθαζόμενον καί ὁ Μωϋσῆς ἀπό τοῦ ὄρους κατερχόμενος, οὕτω τοίνυν καί τό σῶμα

θεουργῆσαν σωματικοῖς ὀφθαλμοῖς, ὤ τοῦ θαύματος, γίνεται ληπτόν ἔστι δ᾽ ὅτε καί τῷ ὁρῶντι τρανῶς δι᾽ ἀρρήτων, ὡς εἰπεῖν, ρημάτων ὁμιλεῖ, καθάπερ καί τῷ θείῳ Παύλῳ, «καταβαῖνον τῆς οἰκείας περιωπῆς, ὡς ἄν μετρίως γοῦν κτιστῇ φύσει χωρηθῇ», κατά τόν θεολόγον Γρηγόριον, ὁ κατά τήν οἰκείαν φύσιν ἐξ αἰώνων καί ἐπ᾽ αἰῶνας καί ἔτι τοῖς πᾶσιν ὤν ἀόρατός τε καί ἀχώρητος. Τότε τοίνυν ἥν ἐπωνυμίαν προσεῖπον Ἰουδαίων παῖδες τῷ ἄνωθεν ἐπ᾽ ἐρήμου κατιόντι ἄρτῳ, μάννα προσαγορευόντες αὐτό, τοῦτο συχνῶς στρέφει κατά νοῦν. Τί τοῦτο; Καί τοῦτ᾽ ἔστιν αὐτοῖς τό τοῦ φωτός ἐκείνου ὄνομα˙ σύ δ᾽ εἴπερ φάναι τι πλέον. Ἀλλ᾽ ἐπανίωμεν εἰς τά ἑξῆς.

Σύ μέν καλῶς λέγειν αὖθις φής ἐκείνους, εἰ καί ἄγγελον τοῦτ᾽ οἴονται τό φῶς. Ἐκεῖνοι δ᾽ ἄγγελον μέν τοῦτο (σελ. 430) τό φῶς οὐκ ἄν ποτε φαῖεν˙ ἴσασι δέ τοῖς πατερικοῖς μεμυημένοι λόγοις διαφόρως καί τοῖς ὁρῶσι καταλλήλως τήν ἀγγελικήν τελουμένην ὀπτασίαν˙ ἤ γάρ ἐν παχύτητι οὐσίας, ὅ καί τῇ αἰσθήσει ὑποπίπτει καί οὐδέ τοῖς ἐμπαθέσιν ἤ ἀμυήτοις πάντῃ ἀόρατόν ἐστιν, ἤ λεπτότητι οὐσίας, καθ᾽ ἥν καί ἡ ψυχή μετρίως πως καθορᾷ, ἤ ἐν ἀληθεῖ θέᾳ, ἧς οἱ διά κακθαρότητος πενυματικῶς ὁρῶντες ἀξιοῦνται μόνοι, κἄν αὐτός τῆς διαφορᾶς τῶν τρόπων τούτων ἀμυήτως ἔχων αὐτούς τε τούς ἀγγέλους ἀοράτους ἀλλήλοις δεικνύῃς οἰόμενος, οὐ κατά τό ἀσώματον, ἀλλά κατά τήν οὐσίαν φάσκων ἀοράτους, καί μεταξύ τῶν λόγων τούς θεόπτας τῇ τοῦ Βαρλαάμ συντάττεις ὄνῳ, διά τό ἄγγελον καί αὐτήν ἰδεῖν ἀναγεγράφθαι.

Καί τόν νοῦν αὖθις, εἰ μή ὡς «εἰς ἑτέραν τινά ὑπόστασιν ὁρᾷ, ἀλλ᾽ αὐτός ἑαυτόν καί ἐν ἑαυτῷ ὡς ἐν τῇ ἰδίᾳ εἰκόνι τόν Θεόν, ὅταν τῶν παθῶν ἅμα καί τῆς ἀγνοίας καθαρθῇ», θεόπτην εἶναι τίθεσθαι καί συμβαίνειν οἴει τῇ τῶν χριστιανῶν μυστικωτάτῃ παραδόσει τούς αὐτήν τήν τοῦ νοῦ οὐσίαν, ὡς φῶς οὕτω λέγοντας ὁρᾶν. Ἐκεῖνοι δ᾽ ἴσασιν ὡς ὁ νοῦς καθαρθείς καί φωτισθείς καί τῆς τοῦ Θεοῦ χάριτος τρανῶς ἐν μεθέξει γεγονώς, ματαλαγχάνει μέν και μυστικῶν ὑπερφυῶν ἄλλων θεαμάτων, ὡς μικρόν ἀνωτέρω παρεγύμνωσεν ὁ λόγος, ἀλλά καί ἑαυτόν ὁρῶν ὡς ἄλλο μέν ὁρᾷ, ἀλλ᾽ οὐκ εἰς ἄλλο καί οὐ τήν ἰδίαν ἁπλῶς εἰκόνα ὑπό τῆς χάριτος τοῦ Θεοῦ λαμπρότητα, συμπληροῦσαν τήν εἰς τό ὑπερβάλλειν ἑαυτόν δύναμιν τοῦ νοῦ καί τελειοῦσαν τήν εἰς τά κρείττω καί ὑπέρ ἔννοιαν ἕνωσιν, δι᾽ ἧς ὁ νοῦς κρεῖττον ἤ κατ᾽ ἄνθρωπον ἐν Πνεύματι Θεόν ὁρᾷ. Κἄν ἀγνοῇς σύ τοῦτο, θαυμαστόν οὐδέν, ἐπεί μηδ᾽ ἐκεῖνοι ἄν ἦσαν θαυμαστοί, σοῦ τά

κατ᾽ αὐτούς γινώσκοντος, τοῦ μηδέν ὑπέρ τήν γνῶσιν τιθεμένου. (σελ. 432) Διό καί σύ μέν τότε λέγεις θεόπτην γίνεσθαι τόν νοῦν, ὅταν μή μόνον τῶν παθῶν, ἀλλά καί τῆς ἀγνοίας καθαρθῇ˙ ἐκεῖνοι δέ τῆς μέν κατά σέ καθάρσεως ἀγνοίας οὐδένα ποιοῦνται λόγον, τῶν δέ πονηρῶν παθῶν ἑαυτούς καθάραντες καί διά τῆς ἐπιμόνου καί ἀΰλου προσευχῆς πᾶσαν γνῶσιν ὑπεραναβάντες, τυγχάνουσι τῆς θεοπτίας, ἅτε μή ἐξηπατημένοι τοῖς τοιούτοις λόγοις, μηδ᾽ ἀφειμένοι τοῦ προσέχειν ἑαυτοῖς, μηδέ παριιόντες καί σπουδάζοντες συλλέγειν τό φρονεῖν καί μανθάνειν, εἴ τις τι ἐπαγγέλλεται εἰδέναι, κἄν Σκύθης κἄν Πέρσης, κἄν Αἰγύπτιος, ᾖ, διά τήν τῆς ἀγνοίας ταύτην κάθαρσιν, ἀλλ᾽ ἀκριβῶς εἰδότες μηδαμῶς πρός θεοπτίαν ἐμποδίζουσαν τήν τοιαύτην ἄγνοιαν. Εἰ γάρ καί, ὡς σύ γε λέγεις αὐτός, ἡ τῶν ἐντολῶν τήρησις μόνην τήν τῶν παθῶν παρέχει κάθαρσιν, ἐν δέ τῇ τῶν ἐντολῶν τηρήσει μόνῃ κατά τήν τοῦ Θεοῦ ἐπαγγελίαν ἡ τούτου καί παρουσία καί μονή καί ἐμφάνεια τελεῖται, ἆρ᾽ οὐ πλάνη σαφής ἡ προσθήκη τῆς κατά σέ καθάρσεως ταύτης, ἥν ἀγνοίας λέγεις κάθαρσιν; Ἀλλά τήν μέν τῆς ἀγνοίας ταύτης κάθαρσιν κἀν τοῖς προτέροις λόγοις διά πολλῶν τῆς ἀληθοῦς γνώσεως καθαίρεσιν ἐδείξαμεν οὖσαν.

Νῦν δ᾽ ἐπανελθεῖν δέον εἰς τά ἐφεξῆς αὐτῷ κατά τῶν ἡσυχαζόντων εἰρημένα. Εἰ γάρ καί συκοφαντεῖν αὐτούς ἐξηλέγξαμεν αὐτόν καί δῆλος γέγονε καθ᾽ ἑαυτοῦ ἀγωνιζόμενος καί τά τῆς οἰκείας διανοίας ἀνατρέπων ἀναπλάσματα καί προσπαλαίων ἤ καταπαλαίων ἑαυτόν αὐτός, ἀλλ᾽ ἐπεί κατά τῶν ἡμετέρων οἴεται γράφειν, ἴδωμεν τίνα ταῦτά ἐστι. Πρῶτον μέν οὖν τήν αἰτίαν φησίν, ἀφ᾽ ἧς ὥρμηνται οἱ κατηγορούμενοι φῶς αἰσθητόν οἴεσθαι τήν οὐσίαν τοῦ Θεοῦ ἤ τήν ἀπ᾽ αὐτῆς ἀπόρροιαν˙ φησί τοίνυν τοιαῦθ᾽ ὑπολαβεῖν ἐκεί'νους κατιδόντας, ὡς αἱ πλεῖσται τῶν ἐν τοῖς λογίοις μυστικῶς γενομένων τοῖς ἁγίοις ὁράσεών τε καί ἀποκαλύψεων ἐν φωτί τε καί διά φωτός ἐγίγνοντό τε καί ἐφαίνοντο καί ἐφαίνοντο˙ σημεῖον δέ τοῦ τοιαύτην (σελ. 434) ἐκ τῶν τοιούτων τήν οὐσίαν τοῦ Θεοῦ ὑπολαβεῖν τό θεωρητικήν ἀρετήν καί θεωρητικόν ἄνδρα τοῦτον τίθεσθαι αὐτούς, ὅς τοιούτοις ἀεί φωσίν ἐντυγχάνει τε καί ὁμιλεῖ. Καί πῶς, ὦ βέλτιστε, ὁ τόν θεωρητικόν τοιοῦτον τιθέμενος φῶς τοιοῦτον οἴεται τήν οὐσίαν τοῦ Θεοῦ; Οὐ γάρ θεωρητικόν τῶν παρ᾽ ἡμῖν ἀνδρῶν ὡρίσατό ποτέ τις, ὅς ἄν ὁρῴη τήν οὐσίαν τοῦ Θεοῦ. Εἰ τοίνυν ὁ θεωρητικός οὐχ ὁρᾷ τήν οὐσίαν τοῦ Θεοῦ, θεωρητικόν δ᾽ ἐκεῖνοι κατά σέ λέγουσι τόν φῶς

οἱονδήποτε βούλει βλέποντα, δηλοῖ γεγόνασι δοξάζοντες ὡς οὐκ ἔστιν ἡ οὐσία τοῦ Θεοῦ φῶς τοιοῦτον, οἷον ἰσχυρίζονται τόν θεωρητικόν ὅν φασιν ὁρᾷν. Οὕτως εὐεξέλεγκτον ἡ κακία, πολυτρόπως ἑαυτήν περιτρέπουσα καί μηδ᾽ ἑαυτῆς ὥσπερ φειδομένη ἀλλά καθ᾽ ἑαυτῆς ἀεί χωροῦσα τῷ παντάπασιν ὑπάρχειν ἑαυτῇ ἀνακόλουθος. Οὕτω καί Σωσάνναν ἀθῷον ἄκοντες οἱ ἐν κακίᾳ γηραλέοι ἔδειξαν πρεσβύτεροι, καίτοι τρεῖς ὄντες οὗτοι, καί παρά τῆς ὑπό Θεοῦ ἐγηγερμένης σοφίας τοῦ τότε παιδαρίου Δαλιήλ χωρίς ἐτασθέντες ἕκαστος, οὐ θαυμαστόν εἰ μή συνεφώνησαν ἀλλήλοις. Οὗτος δέ, ὁ μηδ᾽ ἑαυτῷ ἑνί ὄντι ἕπεσθαι δυνάμενος, καί ταῦτ᾽ ἐν σκέψει καί διά γραμμάτων τάς συκοφαντίας προτιθείς, ὅσον ἐκείνους παρελήλυθεν.

Οὐ μήν ἀλλ᾽ εἰ καί τό σημεῖον, ὅ προὐβάλετο κατά τῶν ἡσυχαζόντων τήν ἀρχήν εὐθύς ὡς τῶν πώποτε ἀνθρώπων κακοδοξοτάτους ἐλέγξων, τεκμήριον τῆς αὐτῶν ὀρθοδοξίας ἀναπέφηνεν, ἀλλ᾽ ἑαυτῷ χαρισάμενός ἐστι, χώραν δούς ὑπό τοῦ λόγου διαπνεῦσαι τό οἰδοῦν ὑπ᾽ ἀνίας τῆς ψυχῆς. Τοῦτο γάρ ἦν, ὡς ἔοικεν, ὅ τήν σφοδράν λύπην ἐνεποίησεν αὐτῷ καί τήν κατά τῶν ἀνδρῶν τούτων ὑπεκίνησε μανίαν ὅτι μή θεωρητικόν καλεῖν αὐτόν ἠξίουν, μηδ᾽ ἄλλον δή τινα (σελ. 436) τῶν τήν μέν ἑλληνικήν παιδείαν διά βίου ἐκμελετώντων, προσευχῇ δέ καί ψαλμῳδίᾳ καί τῇ τῶν παθῶν ἀποχῇ καί τῇ τῶν ἀρετῶν ἐργασίᾳ σχολασάντων μηδέ πρός βραχύ. Μανείς τοίνυν οὕτω καί διά ταῦτα, κρύπτει μέν ἐν μυχοῖς καρδίας τό πάθος, ὑπέρχεται δέ τούς ἁπλουστέρους σαίνων, ὥσπερ ποτέ τόν ὄφιν φασί τήν Εὔαν, καί μανθάνει μέν πρῶτον παρ᾽ ἐνίων ἔστιν ἅς τῶν πατερικῶν παραδόσεων, διαστρέφει δ᾽ ἔπειτα κακουργήσας˙ ὡς δ᾽ οὐκ εἶχε καί αὐτούς πειθομένους, ἀλλά τόν δι᾽ ἡμᾶς νέον Ἀδάμ μᾶλλον ἤ τόν παλαιόν μιμουμένους, κατ᾽ ἐκείνων πρώτων χωρεῖ καί δι᾽ αὐτῶν κατά πάντων τῶν τήν ἡσυχίαν ἀσπαζομένων, οὐδέ τούς πρό ἡμῶν ἀφιείς αἰτίας, οὐδέ τούς ὑπό τῆς Ἐκκλησίας ὡς ἁγίους πρεσβευομένους, ἀλλά καί κατ᾽ αὐτῶν μᾶλλον, ὅτι καί Γραφαῖς ἔδωκαν τά μή τοῖς κατ᾽ αὐτόν μαρτυροῦντα τό πάντων ἄριστον. Ἵνα δέ καί πίστιν ἱκανήν αἱ κατά τῶν ἀνδρῶν ἐκείνων ἔχωσι διαβολαί, οἷς πρώτοις ὡμίλησεν ὡς μαθητιῶν καί δι᾽ ὧν τοῖς ἄλλοις ἐπέθετο, γεγραμμένα ὑπεδείκνυ, πρίν ἤ χερσίν οἰκείαις ὡς οὐκ ἀληθῆ κατακερματίσαι τά ὑπ᾽ ἐκείνων αὐτῷ δεδιδαγμένα, ὡς τότε ἔλεγεν. Ἔδειξεν οὖν τότε ταῦτα καί ἡμῖν. Ἦν οὖν ἐν αὐτοῖς ἑρμηνεία τῶν προφητικῶν ἀποκαλύψεων ἤ μνήμη οὐδεμία, περί τε οὐσίας Θεοῦ

ρῆμα οὐδέ ἕν, ἀλλ᾽ ὅτι οὐχ ὁ πολυμαθής ἐστιν ὁ τῷ Θεῷ ᾠκειωμένος, ἀλλ᾽ ὁ δι᾽ ἀρετῆς κεκαθαρμένος τῶν παθῶν καί διά προσευχῆς ἐκτενοῦς καί καθαρᾶς τῷ Θεῷ κολλώμενος καί διά τούτων τυγχάνων τῆς πληροφορίας καί γευόμενος τῶν μελλόντων ἀγαθῶν, ἥν ὡς ἀρραβῶνα μυστικόν θειοτέροις ὀνόμασι κατά τό ἐγχωροῦν ἐτίμων. Οὐκ ἤρκεσεν οὖν αὐτῷ ἡ ἐν ἐκείνοις κακουργία· καί γάρ ἀντί τῶν μαθημάτων τήν θείαν Γραφήν αὐτός ἔλεγεν εἰπεῖν αὐτούς ἀνόνητον παντάπασι καί (σελ. 438) τήν γνῶσιν τῶν ὄντων πονηρά καί τά πάθη δαίμονας συνουσιωμένους τῇ ψυχῇ καί ἕτερ᾽ ἄττα τοιαῦτα οὐκ ὀλίγα. Ἀλλ᾽ οὐκ ἀπέχρησε ταῦτα τῷ καινῷ τούτῳ κατηγόρῳ· προσέθηκε δέ, φεῦ, καί τά περί τῆς οὐσίας τοῦ Θεοῦ. Ἐπεί δέ καί τοῦτο πλάσασθαι κατά τῶν ἀνδρῶν ἐκείνων ἔγνω, διασκεψάμενος πόθεν ἄν σχοίη τό εὐπαράδεκτον τό μέγα τοῦτο καί δεινόν πλάσμα τῆς συκοφαντίας, τάς διά φωτός προφητικάς προήνεγκεν ἀποκαλύψεις καί τάς ἐκ τούτων δῆθεν ἀντιθέσεις, ἅς οὐδείς ποτ᾽ εἶπεν ἄλλος, ὅτι μή ὁ ταύτας ἀντικείμενος οὗτος. Εἴτ᾽ οὖν κρατεῖ κατά ταύτας ἑαυτῷ μαχόμενος, εἴτ᾽ οὔ, λόγος ἡμῖν οὐδείς· ἀφῶμεν αὐτόν ὑφ᾽ ἑαυτοῦ πληττόμενόν τε καί κοπτόμενον.

Ἀλλά μετά τόν ἐκ συκοφαντιῶν ἀγῶνα τοῦτον πρός ἕτερον ἀποδύεται, δεῖξαι σπεύδων ὡς φῶς νῷ θεωρητικόν ἡ γνῶσις μόνη τῶν κτισμάτων ἐστίν, ἵνα, τούτου δειχθέντος, ἐσκοτισμένος καί ἄναγνος ἀποδειχθῇ πᾶς ὁ μή τήν Ἀριστοτέλους φυσιολογίαν καί τήν Πλάτωνος θολογίαν καί τήν Πτολεμαίου ἀστρολογίαν ἐκμελετήσας. Διά τοῦτο καί τούς μή τόν διά νοημάτων μόνον φωτισμόν πρεσβεύοντας ὑβριστικῶς ἐπεξέρχεται καί φαύλαις ἐπωνυμίαις διασύρει, φάσκων ἐπί λέξεως οὕτως· «ἀλλ᾽ οἱ περί τάς εἰσπνοάς δύο λέγουσιν εἶναι τά δεικνύμενα ὑπό τοῦ Θεοῦ τοῖς ὁσίοις φῶτα νοητῶς· ἕν τό τῆς γνώσεως καί ἕτερον ἐνυπόστατον, ὅ διαφερόντως τοῖς πόρρω ἐλθοῦσι τῶν εἰσπνοῶν φαίνεσθαι». Ἴδωμεν οὖν τίνες οὕς δι᾽ ἐπωνυμιῶν τοιούτων ἐκφαυλίζει ὡς ἑτερόφρονας· τούτων γάρ δειχθέντων, συναποδειχθήσεται ὡς καί τῆς γνώσεως ἔστι τι μακρῷ κρεῖττον καί θεοειδέστερον φῶς, μόνοις τοῖς διά τοῦ Πνεύματος ὁρῶσιν ἀποκαλυπτόμενον, οὐ τοῖς ἔτι περιοῦσι μόνον, ἀλλά καί τοῖς ἐξ αἰῶνος ἅπασιν ἁγίοις. Ὅτι δ᾽ οὗτος καί τῶν ἐφ᾽ ἡμῶν οὐ τόν δεῖνα ἤ τόν δεῖνα, πάντας δ᾽ ἁπλῶς αἰτιᾶται τούς τόν ἱερόν καί ἡσύχιον ἀσπαζομένους βίον, δείκνυσι τρανῶς τό παράδοσιν ἔγγραφον (σελ. 440) ἀπό τῶν πατέρων ἐς ἡμᾶς κατιοῦσαν, ἐπαινουμένην τε παρά τῶν

ἐπ᾽ἀρετῇ προηκόντων καί τῶν πρῴην ἐξ ἡμῶν γεγονότων, ὡς ἴσμεν, θείων ἀνδρῶν καί τό λυσιτελές ἐπί τῶν εἰσαγομένων διά πείρας ἐπιδεικνυμένην, διαστρέψαντά τε καί διαβαλόντα πρότερον σοφιστικῶς αὐτόν, εἶτ᾽ ἀπ᾽ αὐτῆς ὀνομάζειν ἅπαντας καί τόν λόγον ἐπί διαβολῇ κοινῇ προάγειν.

Ἐπεί δέ καί τῶν ἐκ παλαιοῦ προσκυνητῶν ἡμῖν ἁγίων πλείστοις ἐξεγένετο διά πείρας μαθεῖν τε καί διδάξαι περί τοῦ φωτός τῆς χάριτος, ἡμεῖς, ὥσπερ ταῖς εὐαγγελικαῖς συνηγοροῦντες ἐντολαῖς, ἐκείνας παρηγάγομεν πρός μαρτυρίαν τάς ρήσεις, αἵ καί τήν ὁμολογίαν συνεπεφώνουν τῶν μή παραγομένων ὡς καί τά λόγια οὕτω διδάσκει προσημαίνουσαι˙ τόν αὐτόν κἀνταῦθα τρόπον ἐκεῖνα τῶν πατερικῶν προθήσομεν ρημάτων, ἅ καί κατά τήν ὑφήγησιν τῶν ἄλλων πάντων γεγράφθαι ὁ ταῦτα ἐξαγγέλλων ἰσχυρίζεται. Φησί τοίνυν Ἰσαάκ, ὁ πιστός τῶν τοιούτων καί ἀσφαλής ἐξηγητής, ὅτι «δύο ὀφθαλμούς κεκτήμεθα ψυχικούς, καθώς λέγουσιν οἱ πατέρες». Ἤκουσας ὅτι οἱ πατέρες πάντες τοῦτο λέγουσι; Λέγουσι γοῦν ὅτι «δύο ψυχικούς ἔχομεν ὀφθαλμούς καί οὐχ ἡ αὐτή χρεία τῆς δι᾽ ἑκατέρου θεωρίας˙ ἐν ἑνί μέν γάρ ὀφθαλμῷ τά κεκρυμμένα ἐν ταῖς φύσεσιν ὁρῶμεν, ἤγουν τήν δύναμιν τοῦ Θεοῦ καί τήν σοφίαν αὐτοῦ καί τήν περί ἡμᾶς πρόνοιαν αὐτοῦ τήν καταλαμβανομένην ἐκ τῆς μεγαλειότητος τῆς κυβερνήσεως αὐτοῦ εἰς ἡμᾶς˙ καί ἐν τῷ ἑτέρῳ ὀφθαλμῷ θεωροῦμεν τήν δόξαν τῆς φύσεως αὐτοῦ τῆς ἁγίας, ὅτε εἰς τά μυστήρια τά πνευματικά εὐδοκήσει ὁ Θεός εἰσάξαι ἡμᾶς.῞Η μέν οὖν ὀφθαλμοί, φῶς τό ὑπ᾽αὐτῶν ὁρωμένον, ᾗ δέ οὐχ ἡ αὐτή χρεία τῆς δι᾽ ἑκατέρου θεωρίας, διπλόη τις φαίνεται ἐν τῇ τοῦ φωτός τούτου θεωρίᾳ˙ ἑκατέρῳ γάρ τῶν ὀφθαλμῶν ἄλλο φῶς ὁρᾶται, ὅ θατέρῳ οὐχ ὁρᾶται. Τούτων δ᾽ ὅ τί ποτέ ἐστιν ἑκάτερον ἐξηγήσατο ἡμῖν ὁ θεῖος οὗτος Ἰσαάκ, τό μέν κατάληψιν εἰπών τῆς τοῦ Θεοῦ δυνάμεως καί σοφίας (σελ. 442) καί προνοίας καί ἁπλῶς τήν ἀπό τῶν κτισμάτων προσγινομένην γνῶσιν τοῦ κτίσαντος αὐτά, τό δέ θεωρίαν οὐ τῆς θείας φύσεως, μή πάλιν σχοῖεν ἀφορμήν οἱ συκοφάνται, ἀλλά τῆς δόξης τῆς φύσεως αὐτοῦ, ἥν ἔδωκεν ὁ Κύριος τοῖς μαθηταῖς καί δι᾽ αὐτῶν πᾶσι τοῖς πιστεύσασιν αὐτῷ καί δι᾽ ἔργων τήν πίστιν ἐπιδειξαμένοις, ἥν καί ἠθέλησεν ὁρᾶν αὐτούς˙ «θέλω» γάρ, φησί πρός τόν πατέρα, «ἵνα θεωρῶσιν οὗτοι τήν δόξαν τήν ἐμήν, ἥν δέδωκάς μοι, ὅτι ἠγάπησάς με πρό καταβολῆς κόσμου»˙ καί πάλιν, «δόξασόν με σύ, πάτερ, παρά σεαυτῷ τῇ δόξῃ ᾗ εἶχον πρό τοῦ τόν κόσμον εἶναι παρά

σοί». Ὥστε καί τῇ ἀνθρωπίνῃ φύσει τήν δόξαν ἔδωκε τῆς θεότητος, τήν φύσιν δέ οὔ˙ ἄλλο ἄρα φύσις Θεοῦ καί ἡ δόξα ταύτης ἕτερον, εἰ καί ἀχώριστα ἐστιν ἀλλήλων˙ ἀλλ᾽ εἰ καί τῆς θείας φύσεως ἕτερόν ἐστι, τοῖς ὑπό χρόνον οὖσιν οὐκ ἄν εἴη ἐναρίθμιος, οὐκ οὖσα καθ᾽ ὑπεροχήν, αὐτῇ δέ τῇ θείᾳ φύσει τόν ἄφραστον ἐνοῦσα τρόπον. Οὐ μέντοι μόνῳ τῷ καθ᾽ ὑπόστασιν ἡνωμένῳ ἑαυτῷ φυράματι ταύτην ἔδωκε τήν ὑπέρ τά ὄντα πάντα δόξαν, ἀλλά καί τοῖς μαθηταῖς˙ «ἐγώ» γάρ, φησί, «τήν δόξαν ἥν ἔδωκάς μοι, πάτερ, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἕν, καθώς ἡμεῖς ἕν ἐσμεν, ἐγώ ἐν αὐτοῖς καί σύ ἐν ἐμοί˙ ἵνα ὦσι τετελειωμένοι εἰς ἕν». Ἀλλά καί ὁρᾶν αὐτούς ἠθέλησεν. Αὕτη ἄρα ἐστίν ἡ δόξα, δι᾽ ἧς κτώμεθα ἐν ἑαυτοῖς καί ὁρῶμεν κυρίως τόν Θεόν.

Πῶς οὖν τήν δόξαν ταύτην τῆς θείας φύσεως κτώμεθά τε καί ὁρῶμεν; Ἆρα τούς λόγους τῶν ὄντων ἐξετάζοντες καί δι᾽ αὐτῶν θηρώμενοι τήν γνῶσιν τῆς τοῦ Θεοῦ δυνάμεως καί σοφίας καί προνοίας; Ἀλλ᾽ ἕτερος ὀφθαλμός ἐστι ψυχῆς ὁ ταῦθ᾽ ὁρῶν, ᾧ τό θεῖον φῶς, ἡ δόξα τῆς φύσεως αὐτοῦ, κατά τό ὑπό τοῦ ἁγίου Ἰσαάκ καί τῶν ἄλλων πάντων πατέρων ἀνωτέρω εἰρημένον, οὐχ ὁρᾶται˙ ἕτερον ἄρα τουτί ἐστι τό φῶς παρά τό φῶς ὅ τῆς γνώσεως ἐπώνυμόν ἐστιν. Οὐκοῦν οὐ πᾶς ὁ τήν τῶν ὄντων γνῶσιν ἔχων ἤ δι᾽ αὐτῆς (σελ. 444) ὁρῶν ἔνοικον ἔχει τόν Θεόν, ἀλλ᾽ αὐτήν τήν γνῶσιν τῶν κτισμάτων, ἐξ αὐτῆς ὡς ἐξ εἰκότος στοχαζόμενος Θεόν. Ὁ δέ τό φῶς ἐκεῖνο ἔχων ἀπορρήτως καί ὁρῶν οὐκέτ᾽ ἐκ τοῦ εἰκότος, ἀλλ᾽ἀληθεῖ καί τῶν κτισμάτων πάντων ὑπερανιδρυμένῃ θέᾳ, γινώσκει τε καί ἐν ἑαυτῷ ἔχει τόν Θεόν˙ οὐ γάρ χωρίζεται ποτε τῆς ἀϊδίου δόξης. Ἀλλά μή διά τό ὑπερβάλλον τῆς εὐεργεσίας ἀπειθήσαντες ἀφηνιάσωμεν, πιστεύσαντες δέ τῷ μεταλαβόντι τῆς φύσεως ἡμῶν καί μεταδόντι τῆς δόξης τῆς φύσεως αὐτοῦ ζητήσωμεν πῶς κτᾶταί τις τοῦτο καί ὁρᾷ. Πῶς οὖν; Τῇ τῶν θείων ἐντολῶν τηρήσει˙ τῷ γάρ τηροῦντι ταύτας τήν ἑαυτοῦ ἐμφάνειαν ἐπηγγείλατο ὁ κύριος, ἥν ἐφεξῆς προϊών καί «μονήν ἑαυτοῦ καί τοῦ Πατρός» ὠνώμασεν εἰπών, «ἐάν τις ἀγαπᾷ με, τόν λόγον μου τηρήσει καί ὁ Πατήρ μου ἀγαπήσει αὐτόν καί ἐλευσόμεθα πρός αὐτόν καί μονήν παρ᾽ αὐτοῦ ποιήσομεν», καί «ἐμφανίσω αὐτῷ ἐμαυτόν». Ὅτι μέν οὖν λόγον αὐτοῦ τάς ἐντολάς αὐτοῦ λέγει δῆλον, ἐπεί καί ἀνωτέρω ἀντί τοῦ νῦν εἰρημένου “λόγου” τέθεικεν αὐτάς˙ «ὁ ἔχων» γάρ, φησί, «τάς ἐντολάς μου καί τηρῶν αὐτάς, ἐκεῖνος ἐστιν ὁ ἀγαπῶν με».

Ὥστε καί ἀπό τούτου δείκνυται, καί μάλιστα κατά τούς τοῦ φιλοσόφου λόγους καί τά κατ᾽ἐκεῖνον δόγματα, μηδαμῶς οὖσα γνῶσις ἡ θεωρία αὕτη τοῦ Θεοῦ, κἄν ἐκεῖνος πάντα μᾶλλον ἤ τοῦτο βούληται. Δεῖ δέ καί ἡμᾶς εἰδέναι ταύτην οὐκ εἶναι γνῶσιν λέγοντας τήν θεωρίαν καθ᾽ ὑπεροχήν, ὡς καί τόν Θεόν μή ὄντα˙ καί γάρ ὑπέρ τά ὄντα πεπιστεύκαμεν αὐτόν. Ἀλλά πῶς καί μή βουλομένου τοῦ φιλοσόφου ἀπό τῶν ἐκείνου λόγων δείκνυται τό θεῖον τοῦτο φῶς ἕτερον παρά τήν γνῶσιν; Τήν τῶν ἐντολῶν τήρησιν ἐκεῖνος οὔ φησι δύνασθαι τό σκότος τῆς ἀγνοίας ἀπελαύνειντῆς ψυχῆς, ἀλλά τήν μάθησιν καί τήν κατ᾽ αὐτήν ἐπίμονον μελέτην˙ τό δέ μή ἀπελαῦνον τήν ἄγνοιαν γνῶσιν οὔποτ᾽ ἄν δύναιτο παρέχειν. Τό τοίνυν κατ᾽ ἐκεῖνο μή παρέχον γνῶσιν τήν θεωρίαν ταύτην (σελ. 446) χορηγεῖ, κατά τούς τοῦ Κυρίου λόγους˙ οὐκ ἄρα γνῶσίς ἐστιν ἡ θεωρία αὕτη, μή ὅτι δέ γνῶσιν ἡγεῖσθαί τε καί λέγειν ταύτην οὐ χρεών, ἀλλ᾽ οὐδέ γνωστήν, εἰ μή ἄρα καταχρηστικῶς καί ὁμωνύμως, ἤ κυρίως μᾶλλον, ἀλλ᾽ ὑπεξῃρημένως. Μή ὅτι οὖν γνῶσιν ταύτην οὐχ ἡγεῖσθαι χρή, ἀλλά καί πάσης γνώσεως καί τῆς κατά γνῶσιν θεωρίας διαφερόντων ὑπερτέραν, εἴπερ τῆς τοῦ Θεοῦ μονῆς ἐν ἡμῖν καί ἐμφανείας ὑψηλότερον οὐδέν, οὐδ᾽ ἴσον, οὐδ᾽ ἐγγύς. Ἡμεῖς δέ καί γνώσεως καί ἀληθοῦς γνώσεως ἴσμεν παρεκτικήν οὖσαν τήν τῶν ἐντολῶν τοῦ Θεοῦ ἐκπλήρωσιν˙ διά γάρ ταύτην μόνης ὑγίεια τῇ ψυχῇ προγίνεται. Τίς δ᾽ ἄν εἴη ψυχῆς ὑγίεια, τό γνωστικόν νοσούσης; Παρεκτικάς μέν οὖν ἐπιστάμεθα τάς τοῦ Θεοῦ ἐντολάς καί γνώσεως, ἀλλ᾽ οὐχί γνώσεως μόνης, ἀλλά καί θεώσεως˙ ταύτης δέ τυγχάνομεν τελείως κτησάμενοι καί ἰδόντες ἐν ἑαυτοῖς τήν δόξαν τοῦ Θεοῦ ἐν Πνεύματι, ὁπηνίκα εὐδοκήσει ὁ Θεός εἰς τά Πνευματικά μυστήρια προαγαγεῖν ἡμᾶς κατά τόν προειρημένον τοῦτον ἅγιον.

Ἐπεί δέ τούς πατέρας οὗτος προὐβάλετο τοῦτο λέγοντας, καί ἡμεῖς τούς μετ᾽ αὐτόν ἅπαντας ἀφέντες ἐνίους ἴδωμεν τῶν πρός αὐτοῦ, τίνα λέγουσι δόξαν Θεοῦ τοῖς μύσταις μόνοις μυστικῶς καί ἀπορρήτως ὁρωμένην, καί πρό τῶν ἄλλων τούς αὐτόπτας καί ἀποστόλους τοῦ μόνου Θεοῦ Πατρός ἡμῶν Ἰησοῦ Χριστοῦ, δι᾽ οὗ πᾶσα πατριά ἐν τῷ τῆς ἱερᾶς Ἐκκλησίας ὀνομάζεται πληρώματι, καί πρό τῶν ἀπστόλων αὖθις τόν κορυφαῖον ἐκείνων Πέτρον, ὅς φησιν˙ «οὐ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες ἐγνωρίσαμεν ὑμῖν τήν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καί παρουσίαν, ἀλλ᾽ ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος». Τίνα τοίνυν δόξαν οὗτος ἐπώπτευσε τοῦ

Κυρίου Ἰησοῦ Χριστοῦ, ἕτερος ἀπόστολος παρίτω δείξων˙ «διαγρηγορήσαντες» γάρ, φησίν, (σελ. 448) «ὁ Πέτρος καί οἱ σύν αὐτῷ, εἶδον τήν δόξαν τοῦ Χριστοῦ». Ποίαν δόξαν; Ἕτερος αὖθις παρελθέτω τῶν εὐαγγελιστῶν συμμαρτυρήσων˙ «ἔλαμψε», φησί, «τό πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος καί τά ἱμάτια αὐτοῦ ἐγένοντο λευκά ὡς τό φῶς»˙ καί ἔδειξεν αὐτοῖς ὅτι αὐτός ἐστι κατά τό ψαλμικόν «ὁ τό φῶς ὡς ἱμάτιον ἀναβαλλόμενος» Θεός. Διό καί ὁ Πέτρος μετά τό εἰπεῖν ὅτι ἐπώπτευσε τήν δόξαν τοῦ Χριστοῦ «ἐν τῷ ὄρει τῷ ἁγίῳ», τό φῶς τό καί τάς ἀκοάς, εἰ καί θαυμαστόν εἰπεῖν, περιαυγάζον (καί νεφέλην γάρ φωτεινήν λόγους ἐνηχοῦσαν ἐθεάσαντο ἐκεῖ), μετά τό ἰδεῖν τοίνυν ταύτην τήν δόξαν τοῦ Χριστοῦ, καί «ἔχομεν» φησί, «βεβαιότερον τόν προφητικόν λόγον». Ποῖον προφητικόν λόγον βεβαιότερον ἀπό τῆς θέας τοῦ φωτός ἔχεται μαθόντες, ὦ θεόπται; Ποῖον ἕτερον ἤ ὅτι ὁ Θεός «ὡς ἱμάτιον τό φῶς ἀναβάλλεται»; «Τούτῳ δέ», φησί, «καλῶς τῷ λόγῳ τῷ προφητικῷ ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσει». Ποία ἡμέρα; Πάντως ἡ διαυγάσασα ἐν Θαβωρίῳ. «Καί φωσφόρος ἀνατελεῖ». Ποῖς φωσφόρος; Πάντως ὁ καταλάμψας αὐτός ἐκεῖ σύν Ἰακώβῳ καί Ἰωάννῃ. Ἕως ἄν ἀνατείλῃ ὁ φωσφόρος οὗτος, ποῦ; «Ἐν ταῖς καρδίαις ὑμῶν». Ὁρᾷς ὅτι τό φῶς τοῦτο ἐν ταῖς καρδίαις ἀρτίως φαίνει τῶν πιστῶν καί τελείων; Ὁρᾷς δ᾽ ὅσον ὑπερέχει τοῦ φωτός τῆς γνώσεως; Οὐχί τῆς ἀπό τῶν ἑλληνικῶν μαθημάτων (ἐκείνη γάρ οὐδέ τῆς φωτός ἐπωνυμίας ἀξία, ψευδής οὖσα πᾶσα ἤ τῷ ψεύδει συμμιγής καί σκότει μᾶλλον ἤ φωτί παραπλησία), οὐ ταύτης οὖν, ἀλλά καί τῆς ἀπό τῶν θείων Γραφῶν γνώσεως τοσοῦτο διενήνοχε τό φῶς τῆς θεωρίας ταύτης, ὡς τό μέν κατ᾽ ἐκείνην φῶς λύχνῳ παρεικάζεσθαι φαίνοντι ἐν τόπῳ αὐχμηρῷ, τό δέ κατά τήν μυστικήν ταύτην θεωρίαν φῶς ἐν ἡμέρᾳ λάμποντι φωσφόρῳ, ὅς ἐστιν ὁ ἥλιος.

«Ἀλλά πῶς», φησί, «παραβλητόν ἡλίῳ αἰσθητῷ, εἰ καί θεϊκόν ἐστι τουτί τό φῶς;». Σύ ὁ θεωρητικώτατος ἁπάντων (σελ. 450) ἀγνοεῖς καί οὐχ ἔχεις παραδειγματικῶς ἐκλαμβάνειν, ἀλλ᾽ οὐ συγκριτικῶς, τό τόν Θεόν λάμπειν ὡς τόν ἥλιον ἤ ὑπέρ τόν ἥλιον; Καίτοι καί φανέντος καί δευτέρου τό ἴσον ἔχοντος φωστῆρος ἐν ἡμέρᾳ, διπλάσιον ταύτης γενήσεται τό φῶς καί τοῖν ἡλίοιν ἑκάτερος ἐν τοσούτῳ φαινόμενος φωτί ἀλαμπέστερος φανεῖται. Ὁ τοίνυν ὡς ἥλιος τότε λάμπων τόν ἥλιον ὑπερλάμπων, οὐχ ὡς ὁ ἥλιος λάμπει, ἀλλ᾽ ὑπέρ τόν ἥλιον˙ οὕτω καί ὁμοιωματικῶς λεγόμενος οὐδεμίαν ἔχει τήν ἰσότητα, καί

παραδειγματικῶς συγκρινόμενος οὐδεμίαν ἔχει ὁμοιότητα ὁμότιμον. Ἀλλ᾽ ὅτι μέν οὐκ αἰσθητόν κυρίως οὐδέ νοητόν τό φανέν φῶς ἐν Θαβωρίῳ τοῖς τῶν μαθητῶν τοῦ Κυρίου ἀπολέκτοις, ἐν τῷ Περί φωτισμοῦ θείου καί ἱερᾶς εὐδαιμονίας λόγῳ κατ᾽ ἐμήν δύναμιν ἱκανῶς προαποδέδεικται.

Φασί δ᾽ οἱ κατά τοῦ τοιούτου φωτισμοῦ καί φωτός ἀγωνισάμενοι καί συμβολικά εἶναι φάσματα πάντα τά παρά Θεοῦ δειχθέντα τοῖς ἁγίοις φῶτα, καί ἀΰλων δή τινων καί νοητῶν αἰνίγματα πραγμάτων, καί οἰκιονομικῶς καί φανταστικῶς, δεικνύμενα πρός τάς συμβαινούσας περιστάσεις, καί τοῦ Ἀρεοπαγίτου ἁγίου καταψεύδονται Διονυσίου ὡς συμφθεγγομένου τούτοις, καίτοι σαφῶς οὗτος τό ἐν τῇ θειοτάτῃ μεταμορφώσει τούς μαθητάς περιαστράψαν φῶς φανοτάταις μαρμαρυγαῖς ἐπί τοῦ μέλλοντος αἰῶνος περιαυγάζειν φησίν ἡμᾶς ἀδιαλείπτως καί ἀτελευτήτως, πάντοτε σύν Κυρίῳ κατά τήν ἐπαγγελίαν ὄντας. Τῶν οὖν συμβόλων τε καί αἰνιγμάτων πάντων, τῶν πρός τά συμβαινούσας περιστάσεις διαπλαττομένων, γινομένων τε καί ἀπογινομένων, καί νῦν μέν ὄντων, μᾶλλον δέ φαιομένων μέν ποτε, κυρίως δέ ὄντων σχεδόν οὐδέποτε, τό ἀεί ὄν καί κυρίως ὄν καί ἀναλλοιώτως ὄν φανότατον τοῦτο καί θειότατον φῶς πῶς οὐκ ἀφειμένον ἔσται; Ἠ τόν μέν ἐν αἰσθητοῖς φανότατον ἁπάντων ἥλιον ἐκ τροπῆς ἠργμένον καί πολλαῖς ἐτησίοις ὑποκείμενον τροπαῖς καί πολλοῖς (σελ. 452) σώμασιν ἀντιφραττόμενον, καί νῦν μέν ἐκλείποτα νῦν δέ κρυπτόμενον, ἔστι δ᾽ ὅτε καί ἁγίων ἐπιτάγμασιν ὑποταττόμενον, κἀντεῦθεν καί κινήσεως ἀνακοπτόμενον, ἀναποδίζοντά τε καί ἱστάμενον, τοῦτον μέν καί τό ἀπό τούτου φῶς ὅ ἐροῦμεν ἐν ὑποστάσει, τό δέ φῶς ἐκεῖνο, «παρ᾽ ᾧ οὐκ ἔστι παραλλαγή ἤ τροπῆς ἀποσκίασμα», τό ἀπαύγασμα τῆς ὁμοθέου σαρκός τῆς πλουτούσης καί διδούσης τήν δόξαν τῆς θεότητος τοῦτο τοίνυν τό φῶς, τήν καλλονήν τοῦ μέλλοντος καί μένοντος αἰῶνος, σύμβολον καί φάσμα καί ἀνυπόστατον ἐροῦμεν; Οὐχ, ἕως ὦμεντοῦ φωτός ἐκείνου ἀρασται.

Τοῦτο γάρ τό φῶς καί Γρηγόριος ὁ θεολόγος καί Ἰωάννης ὁ τήν γλῶτταν χρυσοῦς καί Βασίλειος ὁ μέγας θεότητα σαφῶς καλοῦσι. «Φῶς», φησίν, «ἡ παραδειχθεῖσα θεότης ἐπί τοῦ ὄρους τοῖς μαθηταῖς»˙ καί αὖθις, «λαμπρότερος ἑαυτοῦ ἐφαίνετο ὁ Κύριος, τῆς θεότητος παραδειξάσης τάς ἀκτῖνας αὐτῆς»˙ καί πάλιν, «ἐφαίνετο τοῖς καθαροῖς τήν καρδίαν, ὡς δι᾽ ὑελίνων λαμπτήρων, διά τοῦ

προσκυνητοῦ σώματος ἡ τοιαύτη διαυγάζουσα δύναμις». Ὥστε οὐ τοῦ σώματος ἦν ἁπλῶς ἡ δόξα αὕτη, ἀλλά τῆς θείας φύσεως, ἥτις ἐν μιᾷ τῶν ἐν αὐτῇ ἁγίων ὑποστάσεων τῷ προσκυνητῷ ἐκείνῳ συνημμένη σώματι, πᾶσαν τήν ἰδίαν ταύτην δόξαν καί θεοπρεπῆ λαμπρότητα ἐνέθηκεν αὐτῷ. Διό καί ὁ μέγας Μακάριος δόξαν τοῦτο προσηγόρευσε τοῦ Πνεύματος. Πῶς οὖν ἡ θεότης, ἡ λαμπρότης καί δόξα τῆς ὑπερουσιότητος ἐκείνης, νῦν μέν ἔσται νῦν δ᾿ οὐκ ἔσται, γινομένη τε καί ἀπογινομένη, φαινομένη τε καί ἀφανιζομένη, οὐκ ἀπό τῶν ἀναξίων κρυπτομέη, ἀλλ᾿ εἰς τό μή ὄν χωροῦσα, οἷα τά φάσματα καί τά τοιαῦτα σύμβολα καί αἰνίγματα καί ὅσα παρά τῶν παντόλμων ὀνομάζεται τούτων, οἵ καί τούς σφῶν ἐλέγχους ὡς αὐτοῖς συμμαρτυροῦντας παρήγαγον, Διονύσιόν τε τόν θεῖον καί Μάξιμον, οὐ συνορῶντες ὡς ἀναλογικῶς τε καί ἀναγωγικῶς (σελ. 454) θεολογίας σύμβολον τό ἐν τῇ μεταμορφώσει τοῦ Κυρίου φῶς ὁ σοφός τά θεῖα προσηγόρευσε Μάξιομος;

Συμβόλων γάρ ὁμωνύμως καί τῶν ὑφεστώτων πάντων γινομένων τε καί λεγομένων ἐν ταῖς κατ᾿ ἀναλογίαν καί ἀναγωγήν θεολογίαις, τοιοῦτο σύμβολον καί αὐτός ἐκεῖ τουτί προσεῖπε, διό καί θεωρίαν σαφῶς ἐπέγραψε τούς ἐκεῖ λόγους, ὡς καί Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος θεωρίαν ὠνόμασε τό γνωστόν καλοῦ καί πονηροῦ ξύλον, σύμβολον αὐτῆς κατά τήν ἑαυτοῦ θεωρίαν ἀναγωγικῶς ποιησάμενος, ἀλλ᾿ οὐ διά τοῦτο φάσμα καί ἀνυπόστατον σύμβολον ἐκεῖνο ἦν. Ἀλλά καί τόν Μωϋσῆν καί τόν Ἠλίαν, τόν μέν κρίσεως, τόν δέ προνοίας σύμβολον, ὁ θεῖος ποιεῖται Μάξιμος. Ἆρ᾿ οὖν οὐ παρῆσαν ἀληθῶς, ἀλλά συμβολικῶς κἀκεῖνοι διεπλάσθησαν; Τί δέ ὁ Πέτρος, οὐκ ἄν γένοιτο τῆς πιστεως σύμβολον τῷ θεωρεῖν κατά ἀναγωγήν βουλομένῳ καί τῆς ἐλπίδος Ἰάκωβος καί τῆς ἀγάπης ὁ Ἰωάννης; Καί αὐτό τό ὄρος τῆς κατ᾿ἀρετήν ἅπασαν ἀναβάσεως, ἐφ᾿ ᾧ Χριστός ἀνελθών, τοῖς ἀκολουθῆσαι δυνηθεῖσιν, ἵνα κατά τόν αὐτόν εἴπω Μάξιμον, ἐν μορφῇ Θεοῦ ἐπιφαίνεται, ἐν ᾗ ὑπῆρχε πρό τοῦ τόν κόσμον εἶναι; Ὁρᾷς οἷον ἦν τό ἐκεῖ τούς μαθητάς περιαστράψαν φῶς; Κατά τοῦτο γοῦν μεταμορφωθέντα τόν Κύριον οἱ τῶν ἀποστόλων ἔκκριτοι θεασάμενοι «ἀπό τῆς σαρκός εἰς τό Πνεῦμα μετέβησαν, πρίν τήν διά σαρκός ἀποθέσθαι ζωήν», καθάπερ αὐτός αὖθις λέγει, «τῇ ἐναλλαγῇ τῶν κατ᾿ αἴσθησιν ἐνεργειῶν, ἥν αὐτοῖς τό Πνεῦμα ἐνήργησεν». Ὁρᾷς ὡς ἀθέατον ἦν ἐκεῖνο τό φῶς τῇ αἰσθήσει μή

μετασκευασθείσῃ διά τοῦ Πνεύματος; Διό καί τοῖς πλησιοχώροις οὐκ ἐπεφάνη, καίτοι λάμψαν ὑπέρ τόν ἥλιον. Οὕτω μέν οὖν οὗτος.

Διονύσιος δέ ὁ μέγας τουτί τό φῶς ἁπλοῦν φησιν, ἀσχημάτιστον, ὑπερφυές, ὑπερούσιον, τουτέστιν ὑπέρ τά ὄντα πάντα ὄν. Πῶς οὖν αἰσθητόν τό τοιοῦτον ἤ συμβολικόν τοιοῦτο; Μέλλων γάρ οὗτος περί τοῦ φωτός ἱερογραφεῖν, ὡς (σελ. 456) τοῦ φωτός ἀσφαλής καί θεατής καί μύστης καί τελετής, «νῦν μέν», φησίν, «οἱ ἔνθεοι καθηγεμόνες ἡμῶν αἰσθητοῖς τά νοητά καί τοῖς οὖσι τά ὑπερούσια, καί τῇ ποικιλίᾳ τῶν μεριστῶν συμβόλων τήν ὑπερφυῆ καί ἀσχημάτιστον ἁπλότητα παρέδωκαν ἡμῖν˙ ὅταν δέ ἄφθαρτοι καί ἀθάνατοι γενώμεθα καί τῆς χριστοειδοῦς καί μακαριωτάτης ἐφικώμεθα λήξεως, πάντοτε σύν Κυρίῳ, κατά τό λόγιον, ἐσόμεθα, τῆς μέν ὁρατῆς αὐτοῦ θεοφανείας ἐν πανάγνοις θεωρίαις ἀποπληρούμενοι, φανοτάταις ἀστραπαῖς ἡμᾶς περιαυγαζούσης, ὡς τούς μαθητάς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μεταμορφώσει». Ὁρᾶς, ὅπως οὐχ ὑπέρ αἴσθησιν μόνον, ἀλλά καί ὑπέρ τά ὄντα πάντα, τοῦτό ἐστι τό φῶς καί ὡς ὑπερφυής ἡ θεωρία αὕτη;

Νῦν μέν γάρ αἰσθήσει καί διά τῶν ὄντων καί τῶν μεριστῶν συμβόλων, τότε δέ ὑπέρ ταῦτα γεγονότες, τό ἀΐδιον φῶς ἀμέσως, μηδενός μεσιτεύοντος παραπετάσματος, ὀψόμεθα, ὡς καί ὁ τῶν τοιούτων ἱεροτελεστής θειότατος ἐκφαντορικῶς ἐξηγήσατο˙ «νῦν μέν» γάρ, «βλέπομεν δι᾽ ἐσόπτρου καί ἐν αἰνίγματι, τότε δέ πρόσωπον πρός πρόσωπον». Τό δέ νῦν εἶπε τήν δυνατήν καί ἀνάλογον τῇ καθ᾽ ἡμᾶς φύσει θωρίαν δεικνύς˙ αὐτός γάρ ταύτην ὑπεραναβάς, ὑπέρ αἴσθησίν τε γεγονώς καί νοῦν, εἶδε τά ἀόρατα καί ἤκουσε τά ἀνήκουστα, τόν ἀρραβῶνα τῆς παλιγγενεσίας ἐκείνης καί τῆς κατ᾽ αὐτήν θέας λαβών ἐν ἑαυτῷ, διό καί ἔλεγεν˙ «οἶδα» ἀκούσας καί ἰδών. Ἰδού αἰσθήσεως ἐνέργεια ταυτί δοκεῖ˙ ἀλλ᾽ ἐκεῖνος αὖθις εἶπεν, ὡς «οὐκ οἶδα εἴτε νοῦς ἦν, εἴτε σῶμα αἰσθόμενον». Ὥστε ἡ αἴσθησις αὕτη ὑπέρ αἴσθησιν καί νοῦν ἐστιν˙ ἡνίκα γάρ ἑκάτερον τούτων ἐνεργεῖ καί ὅτι ἐνεργεῖ, αἰσθάνεταί τε καί νοεῖ˙ διά τοῦτο προσέθηκεν ὅτι «ὁ Θεός οἶδεν», ἐπεί ὁ Θεός ἦν ὁ τότε ἐνεργῶν. Αὐτός δέ ὑπέρ ἄνθρωπον τῇ πρός Θεόν ἑνώσει γεγονώς διά τοῦ ἀοράτου ἑώρα τά ἀόρατα, μήτε τοῦ ὑπέρ αἴσθησιν ἐκστάντα καί ὁρατά τούτῳ γεγονότα.

Καί ὁ μέγας τοίνυν Διονύσιος οὐκ αἰσθητήν ἔδειξε (σελ. 458) τήν τοῦ αἰωνίου φωτός θέαν, ὁρατήν εἰπών αὐτήν, ἐπεί τοῖς χριστοειδέσιν εἶπεν ὁρατήν. Εὑρήσεις δέ αὐτόν καί ἀλλαχοῦ σαφῶς ὁρατόν λέγοντα τό ὑπέρ αἴσθησιν φῶς˙ «ἡ γάρ τῶν νοερῶν», φησίν, «αὐθαίρετος

αὐτοεξουσιότης, εἰ τοῦ μετρίως αὐτῇ δοθέντος ὁρατοῦ τούς ὅρους ὑπερπηδῆσαι τολμηρῶς ἐπιχειρῆσοι, τό μέν φῶς ἐνεργήσει παρά τάς φωτός οὐδέ ἕν, αὐτή δέ καί τοῦ μετρίου δι᾿ ἑαυτήν ἀποτεύξεται». Εἰ γοῦν τῶν νοερῶν ἡ θεωρία τῶν ὑπέρ αἴσθησιν οὐκ ἀποδιαστέλλεται, κἄν ὁρατή, πῶς ἡ τῶν τῆς χριστοειδοῦς ἐφικομένων λήξεως ὑπέρ αἴσθησιν οὐκ ἔσται, διότι ὁρατή; Καί μή οὐ μόνον ὑπέρ αἴσθησιν ἡ ὁρατή ἐκείνη θεοφάνεια, ἀλλά καί ὑπέρ νοῦν, καθάπερ καί ὁ ἅγιος Μάξιμος διετράνωσε˙ «πασῶν» γάρ, φησί, «τότε τῶν κατά σῶμα καί νοῦν φυσικῶν ἐνεργειῶν τήν ἀπόπαυσιν ἡμῖν χαριεῖσθαι τό Πνεῦμα διά τῆς θεώσεως, ὥστε τόν Θεόν διά τε τῆς ψυχῆς καί τοῦ σώματος φαίνεσθαι». Τοῦ αὐτοῦ ἄρα φωτός καί ὁ νοῦς καί ἡ αἴσθησις ἀντιλήψεται, ἑκάτερον μέντοι ἀναλόγως ἑαυτῷ, ἀλλ᾿ ὑπέρ αἴσθησιν καί νοῦν. Καί ὅ φησιν ὁ μέγας Διονύσιος ὁρατήν θεοφάνειαν ἐκεῖ καί ὑπέρ νοῦν ἕνωσιν οὐ πάνυ διενηνόχασιν ἀλλήλων˙ ἄλλως τε καί ἀέρος ἐκεῖ καί τόπου κατά τούς θεηγόρους μή δεόμενοι, πῶς αἰσθητοῦ δεησόμεθα φωτός;

Ἀλλ᾿ ἐν Θεῷ γενόμενος ὁ Παῦλος καί τά τοῦ Θεοῦ ἀόρατα τεθεαμένος ἐν ἐκστάσει τήν οὐσίαν ἆρ᾿ εἶδε τοῦ Θεοῦ; Καί τίς ἄν τοῦτο εἴποι; Τόν αὐτόν οὖν τρόπον καί οἱ δι᾿ ἡσυχίας κεκαθαρμένοι τῶν ἀοράτων καταξιοῦνται θεαμάτων, ἀνεπάφου μενούσης τῆς οὐσίας τοῦ Θεοῦ, ἀλλά καί μυοῦνται καί διανοοῦνται περί τῆς θεάς ἐκείνης οἱ καταξιωμένοι ταύτης καί οὕτω τῆς νοητῆς τοῦ Θεοῦ φωτοδοσίας ἐν ἀπαθεῖ καί ἀΰλῳ τῷ νῷ μετέχουσιν, ἀλλά καί ὑπέρ τάς θεωρίας ταύτας καί τάς κατ᾿ αὐτάς μυήσεις ἴσασι τό θεῖον˙ καί οὕτω τήν (σελ. 460) ὑπέρ νοῦν ταύτην κρεῖττον ἤ καθ᾿ ἡμᾶς ἔχουσιν ἐπιβολήν, οὐκ ἀπό τοῦ μή ὁρᾶν, ὡς οἱ ἐξ ἀφαιρέσεως θεολογοῦντες, ἀλλ᾿ αὐτῇ τῇ ὁράσει τό ὑπέρ ὅρασιν εἰδότες, πάσχοντες οἷον τήν ἀφαίρεσιν, ἀλλ᾿ οὐ διανοούμενοι. Ὡς οὖν τοῦ καταφατικῶς θεολογεῖν τό τά θεῖα πάσχειν καί ὁρᾶν ἕτερον καί ὑπέρτερόν ἐστιν, οὕτω τοῦ κατά ἀφαίρεσιν θεολογεῖν τό κἀν τῇ πνευματικῇ ὁράσει διά τό τοῦ ὁρωμένου ὑπερβάλλον πάσχειν τήν ἀφαίρεσιν ἕτερον καί ὑπέρτερόν ἐστιν. Εἰ γάρ τις ἡλίου σκιάν ἐν κατόπτρῳ καθορῴη τοῦ κατ᾿ οὐρανόν τούτου λαμπροτέραν, ὡς καί ὑπό τῆς σκιώδους ἀστραπῆς τήν οἰκείαν ὄψιν ἡττωμένην ἔχειν, πάντως τό δι᾿ ὑπεροχήν ἀόρατον τοῦ ἀρχετύπου συνεώρακεν ἄν, ἀλλ᾿ οὐκ ἐξ ἀορασίας, ἀλλ᾿ ἐκ τῆς ὁράσεως˙ οὕτω τοίνυν καί οἱ τῆς μακαριωτάτης ἐκείνης θεάς ἀξιούμενοι, οὐκ ἐξ ἀποφάσεως ἀλλ᾿ ἐκ τῆς ἐν πνεύματι ὁράσεως τῆς

θεοποιοῦ ταύτης ἐνεργείας τό ὑπέρ ὅρασιν γινώσκουσι, πόσῳ γε μᾶλλον τοῦ ταύτην ἐνεργοῦντος. Ὅσοι δ᾽ ἄν ὑπ᾽ ἐκείνων διδαχθεῖεν, τῆς μέν νοητῆς φωτοδοσίας μεταλαγχάνουσι καί πρός τήν κατά ἀπόφασιν θεολογίαν ἀνιέναι δύνανται˙ τυχεῖν δέ τῆς ὁμοίας θέας καί δι᾽ αὐτῆς καί μετ᾽ αὐτῆς συνορᾶν τό τοῦ Θεοῦ ἀθέατον, τῶν ἀδυνάτων, εἰ μή καί τῆς ὑπερφυοῦς καί πνευματικῆς καί ὑπέρ νοῦν ἑνώσεως τεύξονται.

Οὕτω γάρ καί ὁ Στὲφανος, κατά τόν Νύσσης θεῖον Γρηγόριον, «οὐκ ἐν τῇ ἀνθρωπίνῃ φύσει τε καί δυνάμει μένων τό θεῖον βλέπει, ἀλλά πρός τήν τοῦ ἁγίου Πνεύματος χάριν ἀνακραθείς, ὅτι τῷ ὁμοίῳ καθορᾶσθαι τά ὅμοια παρά τῆς Γραφῆς μεμαρτύρηται˙ εἰ γάρ ἀνθρωπίνῃ φύσει τε καί δυνάμει ἡ τοῦ Πατρός καί τοῦ Υἱοῦ δόξα χωρητή κατέστη, ψευδής ὁ ἀχώρητον ἀποφηνάμενος εἶναι τό θέαμα˙ ἀλλά μή οὐδέ ἐκεῖνον ψεύδεσθαι καί τήν ἱστορίαν ἀληθεύειν ἐπάναγκες». Καλῶς ἄρα καί πρότερον ἐλέγομεν ὅτι ἡ ἐπί τῇ μεταμορφώσει τοῦ Χριστοῦ θεωρηθεῖσα δόξα τοῦ Πατρός ἦν, (σελ. 462) ἐπεί Πατρός τε καί Υἱοῦ δόξα μία˙ καί νῦν γάρ σαφῶς ἐν Θεῷ γενόμενος ὁ Στέφανος, οὐ τόν Θεόν ἐν δόξῃ εἶδε μόνον ἀλλά καί αὐτήν τήν δόξαν, δόξαν οὖσαν τοῦ Πατρός. «Ἆρ᾽ οὖν ἀνθρωπίνης φύσεως ἦν τό κατόρθωμα; Ἆρά τινος τῶν ἀγγέλων πρός τό ὕψος ἐκεῖνο τήν κάτω κειμένην φύσιν ἀναβιβάσαντος; Οὐκ ἔστι ταῦτα˙ οὐ γάρ οὕτω γέγραπται ὅτι Στέφανος τῇ δυνάμει πολύς ἤ τῆς ἀγγελικῆς βοηθείας πλήρης γενόμενος εἶδεν ἅ εἶδεν, ἀλλ᾽ ὅτι Στέφανος, πλήρης ὤν Πνεύματος ἁγίου, εἶδε τήν δόξαν τοῦ Θεοῦ καί τόν μονογενῆ τοῦ Θεοῦ˙ οὐ γάρ ἔστι, καθάπερ ὁ προφήτης εἶπε, τό φῶς ὀφθῆναι μή ἐν φωτί καθορώμενον». Εἰ δέ ἐν φωτί πατρικῷ τῷ Πνεύματι φῶς ὁρῶμεν τόν Υἱόν, ἔστιν ἄρ᾽ ἡμῖν ἕνωσίς τις ἄμεσος πρός τόν Θεόν καί μετάδοσις φωτός ἐκεῖθεν, μή διά μέσων μετεχομένη τῶν ἀγγέλων, εἰ καί ὁ φιλόσοφος οὗτος ἀπαναίνεται καί τόν μέγαν Διονύσιον τοὖθ᾽ οὕτως οἴεται διδάσκειν, μή τήν δύναμιν ἀκριβῶς τῆς τοῦ ἱεροφάντορος τούτου θεολογίας συνιείς.

Τήν γάρ αἰτίαν οὗτος τῆς ἀγγελικῆς ἐκκαλύπτων ἐπωνυμίας, ὁράσεις μέν πολλάς δι᾽ αὐτῶν ἡμῖν ἐκφαίνεσθαί φησιν, ἀλλ᾽ οὐχί καί τάς αὐτοφανεῖς ἁπάσας, οὐδέ πᾶσαν ἕνωσιν, οὐδέ πᾶσαν ἔλλαμψιν δι᾽ ἐκείνων γίνεσθαί φησιν. Εἰπών γάρ τήν πολυύμνητον ἐκείνην δοξολογίαν ὑπό πλήθους οὐρανίου στρατιᾶς ἐπί τῇ τοῦ Χριστοῦ γεννήσει τοῖς ἐπί γῆς παραδοθεῖσαν, καί ὡς ἄγγελος εὐηγγελίσατο

τοῖς ποιμέσι ταύτην, ἅτε τῇ τῶν πολλῶν ἀναχωρήσει καί ἡσυχίᾳ κεκαθαρμένοις, τήν περιλάμψασαν αὐτούς δόξαν τοῦ Θεοῦ οὐκ εἶπε δι᾽ ἀγγέλων γεγονέναι˙ ἀλλ᾽ οὐδ᾽ ὑπό τῆς περιλαμφθείσης δόξης οἱ ποιμένες τοῦ σωτηρίου τήν ἀποκάλυψιν ἐδέξαντο˙ φοβηθέντων δέ αὐτῶν – καί γάρ ἀήθεις ἦσαν τοιούτων θεαμάτων - ἐξήγγειλλον οἱ ἄγγελοι τί βούλεται τοῦ φωτός ἡ παρουσία. Καί ἡ παρθενομήτωρ, ὅτι τε καί (σελ. 464) ὅπως ἐν γαστρί ἕξει τόν Θεόν καί τέξεται σαρκί δι᾽ ἀγγέλου ἐμυεῖτο, ἀλλ᾽ οὐχί δι᾽ ἀγγέλου ἡ τοῦ Θεοῦ ἕνωσις πρός αὐτήν ἐγίγνετο. Σκεπτέον δέ κἀνταῦθα ὡς οὐδ᾽ ἐκείνη τῇ ἑνώσει ἐμυεῖτο, ἀλλά τοῦ ἐξαγγέλλοντος ἐδεῖτο. Καί τί δεῖ πλειόνων, αὐτοῦ λέγοντος ἀριδήλως ὅτι τῇ πρός τό ὕπερθεν φῶς ἑνώσει, ᾗ μόνοις ἐνυπάρχει «τοῖς ὑπέρ γνῶσιν ἀγγελικήν κατηξιωμένοις ἀγγέλοις, ταύτῃ καί οἱ θεοειδεῖς ἀγγελομιμήτως ἑνοῦνται νόες κατά πάσης νοερᾶς ἐνεργείας ἀπόπαυσιν»˙ καί αὖθις, «καθάπερ οἱ δεινοί περί τάς ἱεράς ἡμῶν τελετάς τάς αὐτοφανεῖς φασι τῶν θείων ἀποπληρώσεις τῶν δι᾽ ἑτέρων μεθέξεων εἶναι τελεωτέρας, οὕτως οἶμαι καί τῶν ἀγγελικῶν τάξεων τήν ἔμεσον μετουσίαν τῶν πρώτως ἐπί Θεόν ἀνατεινομένων ἐνεργεστέραν εἶναι τῶν διά μεσότητος ἀποτελουμένων». Ὁ δέ Ζαχαρίας ἕνα τῶν πρώτων καί περί Θεόν ἀγγέλων ὁρᾷ, ὡς ὁ μέγας Διονύσιος καί τοῦτ᾽ ἐκδιδάσκει˙ «Ἰεζεκιήλ δέ καί πρός αὐτῆς φησί τοῦτο πανιέρως νομοθετηθῆναι τῆς τοῖς χερουβίμ ἐπιβεβηκυίας ὑπερενδόξου θεότητος».

Οὕτω μή μόνον ἐν ἀγγέλοις, ἀλλά καί ἐν ἡμῖν, οὐχ ὅπως ἐμμέσως καί δι᾽ ἑτέρων, ἀλλά καί ἄμεσοι καί αὐτοφανεῖς θεοπτίαι τελοῦνται, οὐ διά τῶν πρώτων διαπορθμευτικῶς ἐπί τά δεύτερα ἰοῦσαι˙ ὁ γάρ Κύριος τῶν κυρίων νόμοις οὐχ ὑπόκειται κτίσεως. Διό καί κατά τάς ἱεράς ἡμῶν παραδόσεις πρῶτος καί μόνος ὁ Γαβριήλ μυεῖται τό τῆς ἀφθέγκτου κενώσεως τοῦ λόγου μυστήριον, καίτοι μή τῆς πρώτως καί ἀμέσως περί Θεόν ἱδρυμένης ἀγγελικῆς τάξεως ὑπάρχων. Ἔδει δ᾽ ἄρα καινήν εἶναι τήν τῆς καινῆς κτίσεως ἀρχήν. Ὁ γάρ μέχρις ἡμῶν ὑπέρ ἡμῶν κενώσεως ἑαυτόν τά πάντα ἐποίησε καινά˙ διό καί ἀναλαμβανόμενος εἰς οὐρανόν τούς ἐν ὑποβεβηκυίᾳ τάξει καί μᾶλλον περικοσμίους ἀγγέλους καθά φησιν ὁ ἅγιος Κύριλλος, φωτιστικούς καί τελεσιουργούς (σελ. 466) ποιεῖται τῆς ἀνωτέρω ταξιαρχίας, αἴρειν πύλας αἰωνίους τοῖς ἄρχουσιν αὐτῶν διακελευομένους καί μυοῦντας, ὡς εἰσελεύεται καί ἀνελεύσεται καί πάσης ἀρχῆς καί ἐξουσίας ἐπάνω καθιεῖται ὁ σάρκα περικείμενος διά

φιλανθρωπίαν ἄφατον. Κύριος γάρ ἐστι τῶν δυνάμεων καί βασιλεύς τῆς δόξης, πάντα δυνάμενος, καί τούς ἐσχάτους ποιεῖν ὑπέρ τούς πρώτους ὅτε βούλοιτο. Πρό δέ τῆς διά σαρκός τοῦ Θεοῦ ἐπιφανείας, ἐν μέν ἀγγέλοις οὐδέν τοιοῦτον ἐδιδάχθημεν, κἀν τοῖς προφήταις καταλλήλως, πλήν τῶν τήν μέλλουσαν χάριν προϋπογραφόντων, ἧς νῦν ἐπιφανείσης, οὐκ ἀνάγκη πάντα τελεῖσθαι διά μεσότητος. Ταῦτ᾽ ἄρα καί κατά τόν μέγαν Παῦλον, «νῦν ἐγνωρίσθη τοῖς ἀρχαῖς καί ταῖς ἐξουσίαις διά τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ», καί κατά τόν κορυφαῖον τοῦ χοροῦ τῶν ἀποστόλων Πέτρον, «διά τῶν εὐαγγελισαμένων ἡμᾶς ἐν Πνεύματι ἁγίῳ ἀποσταλέντι ἀπ᾽ οὐρανῶν νῦν ἀνηγγέλη ταῦθ᾽ ἡμῖν, εἰς ἅ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι». Μειζόνων δέ κατά τοῦτο τῶν ἐλαττόνων τελουμένων διά τῆς χάριτος, πάλιν ἡ τῆς εὐκοσμίας τάξις ἀσφαλῶς ἅμα συντηρεῖται καί θαυμασίως.

Ὁ δέ τήν ἀγγελικήν ἐκκαλύπτων ἐπωνυμίαν κάλλιστα καί ὡς οὐκ ἄν εἴη βέλτιον ἐξηγήσατο καί διετράνωσε καί ἐδίδαξεν ἡμᾶς, τίνος ἕνεκεν οὗτοι καί παρήχθησαν καί ἐκλήθησαν οὕτω τήν ἀρχήν. Ὅτι δέ ὁ τό μυστήριον ἀμέσως τῆς πρός ἡμᾶς καθόδου τοῦ λόγου πιστευθείς, εἰ καί ἀρχιστράτηγος ἦν, ἀλλ᾽ οὐ τῶν περί Θεόν ἀμέσως ἱδρυμένων ἦν, εὕροις ἄν τοῖς θείοις προφήταις ἐκπεφασμένον˙ καί γάρ παρ᾽ ἄλλου τοῦ τῶν ἀξιώματι διαφερόντων ἀρχικῶς οὗτος ἔστιν οὐ καλεῖται καί προστακτικῶς ἀκούει˙ «συνέτισον ἐκεῖνον τήν ὅρασιν». Ἐπιστῆσαι δέ κἀν τούτῳ χρή, ὡς οὐ «μετάδος» εἶπεν «ἐκείνῳ τήν ὅρασιν», ἀλλά «συνέτισον»˙ τήν μέν γάρ τῆς (σελ. 468) γνώσεως χάριν διά μέσων ὡς ἐπί τό πλεῖστον τελουμένην ἴδοις ἄν, τῶν δέ θεοφανειῶν αὐτοφανεῖς εἰσιν αἱ πλείους. Διό καί ἐπί Μωϋσέως τήν μέν νομικήν ὑποτύπωσιν δι᾽ ἀγγέλων ἡ θεολογία φησί δεδόσθαι, τήν δ᾽ ὅρασιν ἐκείνην καί θεοπτίαν οὔ, ἀλλά τῆς ὁράσεως τήν μύησιν. Μυστικαί δ᾽ ὁράσεις διαφόρων γίνονται πραγμάτων, ὄντων, μελλόντων, αἰσθητῶν, νοητῶν προσύλων, ἀΰλων, προβεβηκότων, ὑποβεβηκότων, καί ἄλλοτε ἄλλως, καί διαφόρως τούτων ἕκαστον ἀποκαλύπτονται τῇ δυνάμει τῶν ὁρώντων ἀναλόγως καί τοῖς οἰκονομουμένοις καταλλήλως πράγμασι. Καί αὐτοῦ δέ ἡ τοῦ πάντων ἐπέκεινα ἐμφάνεια κατ᾽ ἄλλας καί ἄλλας αἰτίας τε καί δυνάμεις ἐν τοῖς ἱεροῖς ἀνακτόροις ἤ ἄλλοθί που τοῖς μύσταις ἤ τοῖς προφήταις, ὡς ὁ μέγας Διονύσιός φησιν, ἐπέλαμψε, κἄν ὁ τυφλόν ἑαυτόν καλέσας οὗτος καί φερωνύμως ἀδιακρίτως πᾶσιν ἐπιβάλλων, μᾶλλον δέ μηδ᾽

ἐπιβάλλων ὅλως, ἀξιοῖ τούς τό αἰώνιον φῶς ἐφ᾽ ὅσον εἰκός πρεσβεύοντας ἡμᾶς καί τά φανένται ἅρματα καί τούς τροχούς καί τά ξίφη καί ἄλλα δή τινα τοιαῦτα τῷ φωτί τοῦ μέλλοντος αἰῶνος ὁμότιμα ἡγεῖσθαι˙ καί οὐδ᾽ ἐκεῖνο παρά τῆς θεολογίας ἤκουσεν, «ὡς ἀντί πάντων τόθ᾽ ἡμῖν ἡ θεία γενήσεται φύσις», ἵν᾽ ἐντεῦθεν γοῦν Θεοῦ εἶναι τό φῶς τουτί πιστεύσῃ.

Καίτοι τόν Θεόν οὐδείς εἶδεν, οὐδέ ὄψεται, οὐκ ἄνθρωπος, οὐκ ἄγγελος, ἀλλ᾽ ᾗ ἄγγελος καί ἄνθρωπος αἰσθητῶς ἤ νοητῶς ὁρῶν. Ὁ δέ Πνεῦμα γεγονώς καί ἐν Πνεύματι ὁρῶν, πῶς οὐ τῷ ὁμοίῳ τό ὅμοιον θεάσεται, κατά τούς τῶν θεολόγων λόγους; Οὐ μήν ἀλλά καί δι᾽ αὐτῆς τῆς ἐν Πνεύματι ὁράσεως τό ὑπερανιδρυμένον θεῖον φῶς κρύφιον παντάπασιν ἔτι μάλιστα δηλοῦται. Τίς γάρ τῶν κτιστῶν χωρῆσαι δύναιτ᾽ ἄν πᾶσαν τήν ἀπειροδύναμον δύναμιν τοῦ Πνεύματος, (σελ.470) ἵνα δι᾽ αὐτῆς τό πᾶν κατίδοι τοῦ Θεοῦ; Καί τί λέγω τήν κρυφιότητα ἐκείνην; Αὐτή ἡ ἀγλαΐα τοῦ φωτός ἐκείνου, ἥ παραδόξως ὡς ὕλην ἔχει τήν θέαν τοῦ ὁρῶντος, αὔξουσα διά τῆς ἑνώσεως τό πνευματικόν ἐκεῖνο ὄμμα καί χωρητικώτερον ἀεί ἑαυτῆς ἐργαζομένη, οὐδέποτε λήξει διά τοῦ παντός αἰῶνος φανοτέραις ἀκτῖσι περιαυγάζουσα αὐτό καί κρυφιωτέρας ἐς τό διηνεκές αἴγλης ἐμπιπλῶσα καί ἀναφαίνουσα δι᾽ ἑαυτῆς, ἅ μηδέπω πρότερον. Ὅθεν καί τοῦτ᾽ ἄπειρον οἱ θεολόγοις λέγουσι τό φῶς, δι᾽ οὗ κατά ἀπόπαυσιν πάσης γνωστικῆς δυνάμεως, ἐν δυνάμει Πνεύματος, ὁρατός γίνεται τοῖς ἁγίοις ὁ Θεός, ὡς Θεός θεοῖς ἑνούμενός τε καί ὁρώμενος˙ τῇ γάρ μεθέξει τοῦ κρείττονος ἐπί τό κρεῖττον μετασκευασθέντες καί προφητικῶς εἰπεῖν ἀλλάξαντες ἰσχύν, πᾶσαν ἀποπαύσουσιν ἐνέργειαν ψυχῆς καί σώματος, ὥστε μόνον αὐτό δι᾽ αὐτῶν φαίνεσθαι καί ὑπ᾽ αὐτῶν ὁρᾶσθαι, τῶν φυσικῶν γνωρισμάτων τῇ ὑπερβολῇ τῆς δόξης νικηθέντων, «ἵνα ᾖ ὁ Θεός τά πάντα ἐν πᾶσι» κατά τόν ἀπόστολον. Υἱοί γάρ Θεοῦ ἐσόμεθα τῆς ἀναστάσεως υἱοί ὄντες καί ὡς ἄγγελοι Θεοῦ ἐν οὐρανῷ, οἵ διά παντός βλέπουσι τό πρόσωπον τοῦ Πατρός ἡμῶν τοῦ ἐν τοῖς οὐρανοῖς, κατά τόν τοῦ Κυρίου λόγον.

Διό καί ὁ μέγας Διονύσιος, ἐνταῦθα μέν εἰπών τῆς ὁρατῆς θεοφανείας ἀποπληροῦσθαι τούς τῆς χριστοειδοῦς καί μακαρίας ἐφικομένους λήξεως, ἐπήγαγε μετ᾽ ὀλίγον, «ἐν θειοτέρᾳ μιμήσει τῶν ὑπερουρανίων νόων»˙ προϊών δέ καί τῶν ἀγγελικῶν πρός Θεόν ἑνώσεων μνημονεύσας, τῶν μόνοις ἐνυπαρχουσῶν τοῖς ὑπέρ γνῶσιν ἀγγελικήν ἀηξιωμένοις αὐτῶν ἀγγέλοις, δηλαδή τοῖς ἀγαθοῖς,

ἐπιβολήν οὖσαν ἤ παραδοχήν τῆς ὑπερφανοῦς ἀγαθότητος, ἐπιφέρει λέγων˙ «καί τούς θεοειδεῖς τῶν ἀνθρώπων πάντως γενομένους νόας, ἀγγελομιμήτως ἑνοῦσθαι τούτῳ τῷ φωτί καί ὑμνεῖν μέν αὐτό διά τῆς τῶν πάντων ἀφαιρέσεως», μαθεῖν δέ οὐκ ἐκ τῆς ἀφαιρέσεως, (σελ. 472) ἀλλ᾽ ἐκ τῆς πρός τό φῶς ἑνώσεως ὅτι «πάντων ἐστίν ὑπερουσίως ἐξῃρημένον». Τῷ ἐξῃρημένῳ τοίνυν τούτῳ τῶν ὄντων ἑνούμενοι φωτί, τοῦτ᾽ αὐτό μανθάνουσιν ὅτι τῶν κτιστῶν ἐστιν ἐξῃρημένον, οὐκ ἀπό τῆς ἐξαιρέσεως αὐτοί τήν ἕνωσιν ἔχοντες, ἀλλ᾽ ὑπό τῆς ἑνώσεως μανθάνοντες τήν ἀφαίρεσιν, ὥστε καί ἡ ἕνωσις αὕτη τῶν κτιστῶν ἐστιν ἐξῃρημένη καί μή ὄν καθ᾽ ὑπεροχήν ἐστιν˙ ὅ γάρ οὐ χορητόν ἐστιν ἀγγέλοις, εἰ μή ὡς κατηξιωμένοις τῆς ὑπέρ ἀγγέλους γνώσεως, νοερᾷ τινι δυνάμει χωρητόν εἶναι ἤ κτητόν ἀδύνατον, ὡς καί ταύτην ὑπεραῖρον.

Τό δέ καί ταύτην πᾶσαν ὑπερβεβηκός, ὡς μή χωρεῖσθαι πεφυκός, ὑπέρ τά ὄντα πάντ᾽ ἔστι, καί ὑπέρ γνῶσιν ἄρα πᾶσαν ἡ τοιαύτη ἕνωσις, εἰ καί γνῶσις μεταφορικῶς καλεῖται˙ οὐδέ νοητόν ἐστιν οὐκοῦν, εἰ καί τοῦτο λέγεται˙ τό γάρ ὑπέρ πάντα νοῦν πῶς ἄν εἴη νοητόν; Κληθείη γοῦν τοῦτο καί ἄγνοια καθ᾽ ὑπεροχήν, καί μᾶλλον ἤ γνῶσις. Οὐ μέρος τοιγαροῦν γνώσεως οὐδ᾽ εἶδος ἔσται, καθάπερ οὐδέ τό ὑπερούσιον οὐσίας εἶδος˙ οὐδέ γοῦν ἐμπεριληφθείη ἄν ὑπ'τῆς καθόλου γνώσεως, οὐδ᾽ ἡ καθόλου γνῶσις διαιρουμένη καί ταύτην ὑπ᾽ αὐτήν ἄν σχοίη˙ σχοίη γάρ ἄν μᾶλλον ἡ ἄγνοια ταύτην ὑπ᾽ αὐτήν, ἀλλ᾽ οὐδ᾽ ἐκείνη˙ καθ᾽ ὑπεροχήν γάρ καί ἄγνοιά ἐστι, δηλονότι καί ὑπέρ ἄγνοιαν. Μοναδικόν ἄρ᾽ ἡ ἕνωσίς ἐστιν αὕτη, καί ἥν ἄν ἐπωνυμίαν εἴποι τις αὐτῆς, εἴθ᾽ ἕνωσιν εἴθ᾽ ὅρασιν, εἴτ᾽ αἴσθησιν εἴτε γνῶσιν εἴτε νόησιν εἴτ᾽ ἔλλαμψιν, ἤ κυρίως ταῦτ᾽ οὐκ ἔστιν, ἤ μόνῃ κυρίως ταῦτα πρόσεστιν αὐτῇ.

Σαφής οὐκοῦν ἄγνοια οἱ Περί γνώσεως τοῦ φιλοσόφου λόγοι. Καί γάρ ἐκεῖ μέρος αὐτήν καί εἶδος εἶναι λέγει τῆς καθόλου γνώσεως, ἐπεί γνῶσις ὀνομάζεται, καί συγκρίνει ταύτην πρός ἐκείνην καί συνεώρακεν, ὡς εἴπερ ἕξει γένος τήν γνῶσιν διά τήν ἐπωνυμίαν, σχήσει καί τήν ἄγνοιαν, (σελ. 474) ἐπεί καί τοῦτο λέγεται καί μᾶλλον ἤ ἐκεῖνο. Τοιγαροῦν ἔσται τό αὐτό ὑπό τἀναντία γένη, καί τό ὑπερέχον ὑποκείμενον, καί συντεταγμένον τῇ πληθύϊ τό μοναδικόν καί πάσης πληθύος ὑπερεξῃρημένον. Τό δέ μεῖζον εἰς ἀνοίας λόγον, ὡς οὐχ ἁπλῶς τήν ἕνωσιν εἶδος καί μέρος καί ὑποκείμενόν φησιν, ἀλλ᾽ ὅ φησιν αὐτός ἐκεῖ ὑπέρ γνῶσιν, τοῦτ᾽ αὐτό καί ὡς εἶδος καί

μέρος καί ὑποκείμενον αὐτῇ χεῖρον εἶναι λέγει τῆς καθόλου γνώσεως, ὥσπερ ἄν εἴ τις καί τό μόνον ὑπερούσιον, ἐπείπερ οὐσία ὑπερούσιός ἐστί τε καί ὀνομάζεται, μέρος καί εἶδος καί ὑποκείμενον οὐσίας λέγων διά τήν ὁμωνυμίαν, εἶτα συγκρίνειν ἐτόλμα τοῦτο πρός τό καθόλου γένος τῆς οὐσίας. Καί μήν ἴστω ὁ μιγνύς τά ἄμικτα καί τό ὑπέρ γνῶσιν τῇ γνώσει συντάττων καί ὑπέρ γνῶσιν λέγων τό ὑπέρ ἔννοιαν, ὡς καί τό συγκρίσεως γοῦν σχῆμα δέξασθαι τήν γνῶσιν πρός αὐτό αὐτό τό ὑπέρ γνῶσιν προστεθέν ἐποίησεν, ὥστε αὐτό πρός ἑαυτό ἕν ὄν ἀφρόνως παραβάλλεται. Ἔτι, εἰ διά τήν ὁμωνυμίαν ἡ ὑπέρ γνῶσιν γνῶσις τῆς καθόλου γνώσεως εἶδος, οἱ δέκα γένη τῶν ὄντων λέγοντες ἠπάτηνται· καί γάρ ἕν ἁπάντων γένος, τό ὄν, καί ὁ ὑπέρ πάντα ὤν εἷς ὑπ᾽ αὐτό, καί τό ὄν τοῦ ἑνός τούτου κρεῖττον, καί συνημένα τούτῳ τῷ ἑνί τά ἄλλα ὄν ἕτερον ποιοῦσι κρεῖττον τοῦ ἑνός. Ἔτι, ἐπεί καί ἁφή ἐστιν ὑπέρ ἁφήν καί ὅρασις ὑπέρ ὅρασιν καί ἁπλῶς αἴσθησις ὑπέρ αἴσθησιν – λέγεται γάρ καί ταῦτα ὁμωνύμως ἡ νόησις – εἰ τό ὑπέρ αἴσθησιν αἰσθήσεως εἶδος, κρεῖττον ἔσται ἡ αἴσθησις τοῦ ὑπέρ αἴσθησιν καί ἐφ᾽ ἑκάστου τῶν λοιπῶν ὡσαύτως.

Ἀλλ᾽ ἐπανίωμεν· τί οὖν ἡ μηδέν τῶν ὄντων καθ᾽ ὑπεροχήν ἕνωσις ἐκείνη; Ἆρ᾽ ἡ κατά ἀπόφασίν ἐστι θεολογία; Καί μήν ἕνωσις ἐκείνη ἀλλ᾽ οὐκ ἀφαίρεσίς ἐστιν. Ἔτι οὐδ᾽ ἐκστάσεως κατ᾽ αὐτήν οὐδ᾽ ἡμεῖς δεόμεθα, ἐπί δέ τῆς (σελ. 476) ἑνώσεως ἐκείνης καί οἱ ἄγγελοι· καί πρός τούτοις, ὁ μέν μή κατά ἀφαίρεσιν θεολογῶν οὐδ᾽ εὐσεβής, τῆς δ᾽ ἑνώσεως ἐκείνης τῶν εὐσεβῶν μόνοι οἱ θεοειδεῖς τυγχάνουσιν. Ἔτι ἡ κατά ἀπόφασιν θεολογία νοεῖται παρ᾽ ἡμῶν καί λέγεται, ἐκείνην δ᾽ ἄρρητον καί ἀπερινόητον καί αὐτοῖς τοῖς ὁρῶσιν ὁ μέγας εἶπε Διονύσιος. Ἔτι τό μέν κατ᾽ ἐκείνην τήν θεολογίαν φῶς γνῶσίς τίς ἐστι καί λόγος, τό δέ κατά τήν θεωρίαν ταύτην φῶς ἐνυποστάτως θεωρεῖται, νοερῶς τε ἐνεργοῦν καί πνευματικῶς ἀπορρήτως τῷ θεουμένῳ ὁμιλοῦν. Καί μέν δή τά ἀπεμφαίνοντα τῷ Θεῷ διανοεῖται ὁ νοῦς κατά ἀφαίρεσιν θεολογῶν· διεξοδικῶς ἄρα ἐνεργεῖ· ἐκείνη δ᾽ ἕνωσίς ἐστι· πρός δέ μετά τῶν ἄλλων καί ἑαυτόν ἐκεῖθεν ἀφαιρεῖ, ἐκείνη δέ τοῦ νοῦ πρός Θεόν ἕνωσίς ἐστι, καί τοῦτό ἐστιν, ὅπερ οἱ πατέρες εἶπον «τέλος προσευχῆς, ἁρπαγή πρός Κύριον». Διό καί ὁ μέγας Διονύσιος δι᾽ αὐτῆς ἡμᾶς ἑνοῦσθαι τῷ Θεῷ φησιν. Ἐν γάρ τῇ προσευχῇ τάς πρός τά ὄντα σχέσεις κατά μικρόν ἀποτιθέμενος ὁ νοῦς, πρῶτον μέν τάς πρός τά αἰσχρά καί πονηρά καί τά φῦλα πάνθ᾽ ἁπλῶς, εἶτα τάς πρός τά μέσως ἔχοντα καί μεθαρμοζόμενα πρός τό

χεῖρον ἤ τό βέλτιον τῇ προθέσει τῶν χρωμένων καταλλήλως, ὧν δήπου καί πᾶσα μάθησίς ἐστι καί ἡ διά ταύτης γνῶσις, διό καί πατερικόν ἐστι παράγγελμα μή καταδέχεσθαι τήν γνῶσιν ἐν τῷ καιρῷ τῆς προσευχῆς, ἀναδιδομένην ὑπό τοῦ ἐχθροῦ, ἵνα μή τό κρεῖττον συληθῶμεν˙ ταύτας τοίνυν καί τάς πρός τά κρείττω τούτων σχέσεις κατά μικρόν ἀποτιθέμενος ὁ νοῦς ὁλοσχερῶς κατά τήν εἰλικρινῆ προσευχήν ἐξίσταται τῶν ὄντων πάντων. Αὕτη δέ ἡ ἔκστασις τῆς μέν κατά ἀφαίρεσιν θεολογίας διαφερόντως ὑψηλότερόν ἐστι˙ μόνων γάρ ἐστιν τῶν ἀπαθείας ἐπειλημμένων˙ οὔπω δέ ἕνωσίς ἐστιν, ἐάν ἡ ὁ παράκλητος ἐν ὑπερῴῳ τῶν φυσικῶν ἀκροτήτων καθημένῳ τῷ προσευχομένῳ καί προσδοκῶντι τήν ἐπαγγελίαν τοῦ Πατρός ἐπιλάμψῃ ἄνωθεν καί διά τῆς ἀποκαλύψεως πρός τήν (σελ. 478) τοῦ φωτός ἁρπάσῃ θεωρίαν. Τῆς δέ θεωρίας ταύτης ἐστί καί ἀρχή καί τά μετά τήν ἀρχήν, κατά τε τό ἀμυδρότερον καί τηλαυγέστερον διαφέροντα πρός ἄλληλα, τέλος δ᾽ οὐμενοῦν ἐπ᾽ ἄπειρον γάρ ἡ πρόοδος αὐτῆς, ὡσδαύτως καί τῆς ἐν ἀποκαλύψει ἁρπαγῆς˙ ἄλλο γάρ ἔλλαμψις καί ἄλλο διαρκής φωτός θέα, καί ἄλλο τῶν ἐν τῷ φωτί πραγμάτων, ἐν ᾧ καί τά μακράν γίνεται ὑπ᾽ ὀφθαλμούς καί τά μέλλοντα ὡς ὄντα δείκνυται.

Ἀλλά ταῦτα μέν ὑπέρ ἐμέ λέγειν καί διατρανοῦν˙ εἰ δέ καί τά πρό αὐτῶν, ἀλλ᾽ ἐκεῖνα τῆς προκειμένης ὑποθέσεως˙ ἐπάνειμι τοίνυν. Ἡ γοῦν τοῦ φωτός τούτου θεωρία ἕνωσίς ἐστιν, εἰ καί μή διαρκής τοῖς ἀτελέσιν˙ ἡ δέ τοῦ φωτός ἕνωσις τί γε ἄλλο ἤ ὅρασίς ἐστιν; Ἐπεί δέ καί μετά τήν τῶν νοερῶν ἐνεργειῶν ἀπόπαυσιν τελεῖται, πῶς ἄν τελεσθείη, εἰ μή διά Πνεύματος; Ἐν γάρ τῷ φωτί τό φῶς ὁρᾶται καί ἐν τῷ ὁμοίῳ φωτί καί τό ὁρῶν, εἰ κατά μηδέν ἄλλο ἐνεργοίη, πάντων τῶν ἄλλων ἐκχωρῆσαν, φῶς ὅλον καί αὐτό γίνεται καί τῷ ὁρωμένῳ ὁμοιοῦται, μᾶλλον δέ καί ἀμιγῶς ἑνοῦται, φῶς ὄν καί ὁρῶν φῶς διά φωτός˙ κἄν ἑαυτόν βλέπῃ, φῶς ὁρᾷ, κἄν πρός ἐκεῖνο ὅ ὁρᾷ, φῶς ἐστι καί τοῦτο, κἄν τό δι᾽ οὗ ἔχῃ τό ὁρᾶν, καί ἐκεῖνο φῶς ἐστι, καί τοῦτ᾽ ἐστίν ἡ ἕνωσις, ἕν πάντ᾽ ἐκεῖνα εἶναι, ὡς μηδέ ἔχειν διαγινώσκειν τόν ὁρῶντα τό δι᾽ οὗ καί εἰς ὅ καί τί αὐτό ἐστιν, ἀλλ᾽ ἤ τοῦτο μόνον ὅτι φῶς ἐστι καί φῶς ὁρᾷ τῶν κτισμάτων πάντων ἄλλο.

Διό καί ὁ μέγας Παῦλος κατά τήν ἐξουσίαν ἁρπαγήν ἐκείνην ἀγνοεῖν ἑαυτόν φησι τί ἦν. Ἑώρα μέντοι ἑαυτόν˙ πῶς; αἰσθητῶς ἤ λογικῶς ἤ νοερῶς; Ἀλλά τούτων ἁρπαγείς ἀπανέστη τῶν δυνάμεων. Διό τοῦ τήν ἁρπαγήν ἀρ᾽ ἐξειργασμέου πνεύματος ἑώρα ἑαυτόν.

Αὐτός δέ τί ἦν, ἄληπτος ὢν πάσῃ φυσικῇ δυνάμει, μᾶλλον δ᾽ ἀπολελυμένος πάσης (σελ480) φυσικῆς δυνάμεως; Πάντως ἐκεῖνο ᾧ ἡνώθη καί δι᾽ οὗ ἑαυτόν ἐγίνωσκε καί δι᾽ ὅ πάντων ἀφειμένος ἦν. Ταύτην γάρ ἔσχε πρός τό φῶς τήν ἕνωσιν, ἧς οὐδ᾽ ἄγγελοι τυγχάνοιεν ἄν, εἰ μή διά τῆς ἑνούσης χάριτος ὑπερβαῖεν ἑαυτούς. Πῶς ἄρα καί Πνεῦμα ἦν ἐκεῖνος τότε, ᾧ καί ἥνωται, ἐξ οὗ καί τό ἡνῶσθαι εἶχε, τῶν ὄντων πάντων ἐκστάς καί ἐκεῖνο κατά χάριν γεγονώς καί καθ᾽ ὑπεροχήν μή ὤν, ἤγουν ὑπέρ τά κτιστά, ὡς καί ὁ θεῖος Μάξιμος φησιν˙ «ὁ γάρ ἐν Θεῷ γενόμενος πάντα τά μετά Θεόν κατέλιπε κατόπιν ἑαυτοῦ»˙ καί πάλιν, «πάντα τά μετά Θεοῦ πράγματα καί ὀνόματα καί ἀξιώματα ὑποκάτω τῶν ἐν τῷ Θεῷ διά τῆς χάριτος γενησομένων ἔσται». Τοιοῦτο δέ γεγονώς ὁ θεῖος τότε Παῦλος τῆς θείας οὐσίας μετέσχεν οὐδαμῶς˙ καί ὑπέρ τό καθ᾽ ὑπεροχήν μή ὄν ἄρα ἡ οὐσία τοῦ Θεοῦ, καθάπερ καί ὑπέρθεος, καί ἔστι καθ᾽ ὑπεροχήν μή ὄν, διά νοερᾶς αἰσθήσεως πνευματικῶς ὁρώμενον, ὅ οὐσία τοῦ Θεοῦ ἥκιστά ἐστι, δόξα δέ καί λαμπρότης τῆς αὐτοῦ φύσεως ἀχώριστος, δι᾽ ἧς ἑνοῦται τοῖς ἀξίοις μόνοις, καί ἀγγέλοις καί ἀνθρώποις. Οὐ μήν ἀλλ᾽ ἐπείπερ ὡς οἱ ἄγγελοι οὕτω κάι οἱ ἄνθρωποι κατά τούς τρόπους τούτους ὁρῶσι τόν Θεόν καί ἑνοῦνται τῷ Θεῷ καί ὑμνοῦσι τόν Θεόν, τάχ᾽ ἄν καί ἄγγελος, εἰ τήν ἑαυτοῦ ὑπερφυᾶ ἐκείνην ὅρασιν ἐξεῖπε, τά τοῦ Παύλου ἄντικρυς ἄν εἶπεν, ὅτι «οἶδα ἄγγελον ἰδόντα, οὐκ οἶδα εἴγε ἦν κἄν ἄγγελος, ὁ Θεός οἶδεν». Τάς οὖν ὁράσεις ταύτας τῶν ἁγίων, ἅς οἶδε μόνος ὁ Θεός καί οἱ κατ᾽ ἐκείνας ἐνεργούμενοι, καθάπερ καί Γρηγόριος ὁ θεολόγος λέγει, ταύτας οὖν αἰσθητάς λέγειν καί φαντασιώδεις καί συμβολικάς ὡς αἰσθητάς καί πρός τήν ἀνθρωπίνην γνῶσιν παραβάλλειν, ἆρ᾽ ἀνδρός ἐστι συνορῶντος τήν τοῦ θείου ὕψους ἀπειρίαν καί πρός τί φιλανθρώπως εἵλκυσε τήν ἡμῶν ἐσχατιάν;

(σελ. 482) Ἀλλ᾽ ἰδού τρεῖς ἡμῖν παρήχθησαν, εἷς ἀφ᾽ ἑκάστου τῶν τριῶν ἐν τῷ χριστωνύμῳ πληρώματι ταγμάτων, ἐκ τῶν ἀποστόλων Πέτρος ὁ κορυφαῖος, ἐκ τῶν ἱεραρχῶν Διονύσιος ὁ πάσης ἐνθέου ἱεραρχίας ὑποφήτης, ἐκ τῶν ἀναχωρητῶν Ἰσαάκ ὁ μύστης καί τελετής τῆς καθ᾽ ἡσυχίαν ἀγωγῆς, καί κατά τό γεγραμμένον ἐπί τῶν κατά τήν Χριστοῦ γέννησιν ποιμένων ὅτι εὐθύς σύν τῷ λόγῳ τοῦ ἀγγέλου πλῆθος οὐρανίου στρατιᾶς ἐπέστη συμμαρτυροῦν, οὕτω καί σύν τῷ τοῦ ἀποστόλου λόγῳ πλῆθος ἐπέστη ἀποστόλων συμφωνοῦν, ὁσίων τε καί ἱερέων ἐφ᾽ ἑκατέρου τῶν λοιπῶν. Τοῦτο τοίνυν τό πλῆθος

ὁμόλογον ἅπαν ἀνέπεμψαν φωνήν ὡς ἔστι φῶς τοῖς ἁγίοις φαινόμενον, ἄλλο μέν παρά τήν ἀπό τῶν κτιστῶν ἁπάντων γνῶσιν, τοσούτῳ δ᾽ ἱερώτερον ὅσῳ καί δόξα ἐστί φύσεως Θεοῦ, καί τοῖς θεοειδέσι μόνοις γενομένοις καθορᾶται, τοσούτῳ δ᾽ ἀπέχον τοῦ φαντασιῶδες εἶναι ἤ τοῖς αἰσθητοῖς παραπλησίον φωσίν ἤ συμβολικῶς κατ᾽ αὐτά διαπεπλάσθαι, ὡς καί τοῦ μέλλοντος αἰῶνος τοῦθ᾽ ὑπόστασιν καί καλλονήν ὑπάρχειν, μόνον φῶς ἀληθινόν, αἰώνιον, ἄτρεπτον, ἀνέσπερον, ἀναλλοίωτον, δι᾽ οὗ φῶς ἡμεῖς γενόμεθα, τελείου φωτός γεννήματα. Τούτους οὖν τούς τοσούτους «ἀπορρέοντάς τε καί εἰσπνέοντας» καλῶν διασύρεις καί περί τήν τοῦ Θεοῦ οὐσίαν ἁμαρτάνειν λέγεις, φιλόσοφε, τούς θεόπτας, τούς θεοσόφους, τούς θεοκήρυκας; Δέδοικα μή τοῦ ἐν φωτί κλήρου τῶν ἁγίων ἀπορρυῇς, μή, τό στόμα ἀνοίξας, ἑλκύσῃς Πνεῦμα, ἀλλά τό ἀντικείμενον τῇ ἀληθείᾳ, μή οὐσίαν δογματίσῃς Θεοῦ τό ἀνύπαρκτον. Τί γάρ σοι βούλεται ὁ ἀγών ἐκεῖνος, δεῖξαι τιθεμένῳ διά σπουδῆς μεγίστης ὡς οὐκ ἔστι θεωρία ὑπέρ τάς νοεράς ἐνεργείας, καίτοι δι᾽ αὐτῆς μόνης τῆς ὑπερβαινούσης τάς νοεράς ἐνεργείας θεωρίας καί τό ὄντως εἶναι τόν Θεόν τρανότατα καί ἐς τά μάλιστα διαφερόντως καί τό ὑπέρ τά ὄντα εἶναι τόν Θεόν; Πῶς γάρ οὐκ ἄν εἴη ἡ οὐσία τοῦ Θεοῦ, (σελ. 484) εἴγε τοῖς διά τῆς εἰλικρινοῦς προσευχῆς ὑπεραναβᾶσι πᾶν ὅ τί περ αἰσθητόν καί νοητόν ἐν αὐτῇ τῇ προσευχῇ ἡ δόξα τῆς θείας ἐκείνης ἐνορᾶται φύσεως; Πόσῳ δ᾽ ἄν εἴη ὑπέρ πᾶν αἰσθητόν καί νοητόν ἡ οὐσία τοῦ Θεοῦ, εἴπερ ὑπέρ ταύτην εἴη τήν θέαν, τήν ὑπέρ πᾶσαν αἴσθησιν καί νόησιν οὖσαν;

Τί δέ τοῦ μέλλοντος αἰῶνος ἀγαθά; Οὐχ ὑπέρ πάσας ἐστί τάς αἰσθητικάς ἡμῶν δυνάμεις καί τάς νοεράς; «Ἅ γάρ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη ἡτοίμασε», φησίν, «ὁ Θεός τοῖς ἀγαπῶσιν αὐτόν»˙ ἀλλά μήν ταῦτα τότε «ἡ καθαρότης τῆς καρδίας ὄψεται», κατά τόν ἅγιον Μάξιμον. Πῶς οὖν οὐκ ἔστιν οὐδαμῶς ὅρασις ὑπέρ πάσας τάς νοήσεις; Μηδέ γάρ σοφιστικῶς αὖθις διά τῆς ὁμωνυμίας, ἅτε μηκέθ᾽ ἡμῖν ἔχων ἀντιλέγειν, ὑποκρίναιο τόν συμφθεγγόμενον. Οὐδέ γάρ ὁ λέγων μεταφορικῶς καί ὁμωνύμως νόησιν τό ὑπέρ νόησιν, διά τό καί ὑπερώνυμον ἐκεῖνο εἶναι, μεταβαλών αὖθις ἀγωνιεῖται δεῖξαι μή ὑπέρ νόησιν ἐκεῖνο εἶναι. Καί μήν ὁ μέν εἰπών οὐχ ὑπέρ νόησιν τό ὑπέρ νόησιν, ὡς νόησιν καλούμενον, ἔχει τι πρόσχημα καί προσωπεῖον, τήν ὁμωνυμίαν, ὁ δέ μηδ᾽ ὑπέρ τάς νοεράς ἐνεργείας ἐκεῖνο τιθέμενος

οὐδέ σοφίσασθαι γοῦν ἔχει˙ νοερά γάρ ἐνέργεια ἐκεῖνο ἥκιστα κληθείη ἄν. Ἀλλά γάρ ἐν τῇ μακαριωτάτῃ ἐκείνῃ κατά τόν ἄληκτον αἰῶνα διαγωγῇ τοῖς υἱοῖς τῆς ἀναστάσεως οὐδενός δεήσει τῶν κατά τόν αἰῶνα συνιστώντων τόν βίον, οὐκ ἀέρος, οὐ φωτός, οὐ τόπου καί τῶν τοιούτων, ἀλλ᾽ «ἀντί πάντων ἡμῖν ἡ θεία γενήσεται φύσις» κατά τόν Νύσσης Γρηγόριον, καί κατά τόν ἅγιον Μάξιμον ἡ τῆς ψυχῆς τότε καί τοῦ σώματος θέωσις «πασῶν τῶν κατά νοῦν τε καί αἴσθησιν φυσικῶν ἐνεργειῶν χαρίσεται τήν ἀπόπαυσιν, ὡς τόν Θεόν διά τε τῆς ψυχῆς καί τοῦ σώματος φαίνεσθαι, νικηθέντων τῇ ὑπερβολῇ τῆς δόξης τῶν φυσικῶν (σελ. 486) γνωρισμάτων». Τί τοίνυν τό διά τῶν σωματικῶν ὀφθαλμῶν, ἄνευ ἀέρος καί οὐκ αἰσθητόν, ὑπέρ πᾶσαν γνῶσιν φυσικήν ὁρώμενον φῶς; Οὐχ ἡ περιαυγάζουσά τε καί ἐναυγάζουσα δόξα τοῦ Θεοῦ; Τί δέ τό ὑπέρ πᾶσαν αἴσθησίν τε καί νόησιν θεωρητικόν ἡμᾶς ἀπεργαζόμενον; Οὐ τό Πνεῦμα τοῦ Θεοῦ, τό μή τόν νοῦν μόνον, ἀλλά καί τό σῶμα τόθ᾽ ἡμῶν πνευματικόν ποιῆσον; Πῶς οὖν οὐδεμία ὅρασίς ἐστιν ὑπέρ τήν νόησιν, οὐδέ φῶς τῆς καρδίας ἕτερον, ὅτι μή ἡ γνῶσις;

Ἐγώ δέ καί τήν ἱεράν ἡμῶν πίστιν ὑπέρ πάσας τάς αἰσθήσεις καί πάσας τάς νοήσεις ὅρασιν τῆς ἡμετέρας ἕτερον τρόπον τίθεμαι καρδίας, ὡς ὑπερβαίνουσαν τάς νοεράς πάσας δυνάμεις τῆς ἡμῶν ψυχῆς˙ πίστιν δέ λέγω οὐ τήν εὐσεβῆ ὁμολογίαν, ἀλλά τήν ἐπ᾽ αὐτῇ καί τοῖς ὑπό τοῦ θεοῦ ἐπηγγελμένοις ἀμετάπειστον ἵδρυσιν. Πῶς γάρ δι᾽ αὐτῆς ὁρῶμεν τά ἐπηγγελμένα κατά τόν μέλλοντα ἐκεῖνον ἄληκτον αἰῶνα; Ταῖς αἰσθήσεσιν; Ἀλλά «πίστις ἐστί ἐλπιζομένων ὑπόστασις», αἰσθήσει δέ τό μέλλον τε καί ἐλπιζόμενον οὐδ᾽ ἰδεῖν γένοιτ᾽ ἄν τις μηχανή˙ διό καί ὁ ἀπόστολος προσέθηκε, «πραγμάτων ἔλεγχος οὐ βλεπομένων». Ἆρ᾽ οὖν νοερά τις δύναμις ὄψεται τά ἐλπιζόμενα; Καί πῶς, ἅ μηδαμῶς ἐπί καρδίαν ἀναβέβηκεν ἀνθρώπου; Τί οὖν, οὐχ ὁρῶμεν διά τῆς πιστεως τά ἐπηγγελμένα ἡμῖν παρά Θεοῦ, ἐπειδήπερ ὑπεραναβαίνει τάς αἰσθητικάς καί νοεράς πάσας ἐνεργείας; Ἀλλά μή πάντες οἱ ἀπ᾽ αἰῶνος τήν ἐπουράνιον δι᾽ ἔργων ἐπιζητήσαντες πατρίδα, κατά τόν θεῖον ἀπόστολον, ἀπέθανον μή κομισάμενοι τάς ἐπαγγελίας, ἀλλά πόρρωθεν αὐτάς ἰδόντες καί ἀσπασάμενοι. Ἔστιν ἄρα καί ὅρασις καί νόησις καρδίας ὑπέρ πάσας τάς νοεράς ἐνεργείας˙ τό γάρ ὑπέρ νοῦν, εἰ μή καθ᾽ ὑπεροχήν, οὐκ ἀνόητον, ἐπεί τοιοῦτο τό κατ᾽ ἔλλειψιν ἄνουν.

Οὐ μήν ἀλλ᾽ ἐπεί πάντες «οἱ μαρτυρηθέντες διά τῆς (σελ. 488) πίστεως οὐκ ἐκομίσαντο τήν ἐπαγγελίαν, τοῦ Θεοῦ περί ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μή χωρίς ἡμῶν τελειωθῶσι», τελειωθέντες ἆρ᾽ οὗτοι τά ἐπηγγελμένα οὐκ ὄψονται; Ἢ ὄψονται μέν, ἀλλ᾽ οὐχ ὑπέρ πᾶσαν νόησιν ὄψονται; Ἢ καί ὑπέρ πᾶσαν νόησιν, ἀλλ᾽ ὡς καί πλίν ἤ τελειωθῆναι; καί πῶς ἄν ἔχοι τοῦτο λόγον; Οὐκοῦν ὄψονται καί ὑπέρ πᾶσαν νόησιν ὄψονται καί οὐχ ὡς πρότερον ἑώρων, ἀλλ᾽ ὡς ἀπόλαυσιν τῶν ἐπηγγελμένων εἶναι τήν ὅρασιν. Ἔστιν ἄρα ὅρασις ὑπέρ πᾶσαν νόησιν καί ἔτι ὑπέρ τοῦτο˙ καί γάρ ἡ μέν πίστις αὕτη ὑπέρ νοῦν ὅρασίς ἐστιν, ἡ δέ τῶν πιστευθέντων ἀπόλαυσις, ὅρασις ὑπέρ τήν ὑπέρ νοῦν ὅρασιν ἐκείνην. Ἔστι δή καί τό κατ᾽ αὐτήν ὁρατόν τε καί ἀπολαυστόν, ὅ ὑπέρ πάντα τά αἰσθητά καί νοητά ὑπάρχον οὐσία τοῦ Θεοῦ οὐκ ἔστιν, ἀλλ᾽ ὑπεροχικῶς καί αὐτοῦ ἐξῄρηται ἡ οὐσία τοῦ Θεοῦ. Τοιαύτη γάρ πᾶσα ἡ τῶν μελλόντων ἀγαθῶν ὑπόστασις. Συνῆκας ὅσον τῆς θεοπρεποῦς μεγαλειότητος περιαιροῦνται οἱ ταύτην μή γινώσκοντες τήν ὑπέρ νόησιν ὅρασιν, ὅσον δ᾽ ὑπέρ αὐτούς μεγαλύνουσι Θεόν οἱ ταύτης ἤ διά καθαρότητα καρδίας μετρίως γευσάμενοι καί τόν ἀρραβῶνα σχόντες ἐν ἑαυτοῖς τοῦ μέλλοντος αἰῶνος, ἤ παραδεξάμενοι πίστει τῇ πολυτρόπως προξένῳ τῶν ἀπορρήτων ἀγαθῶν; Ἀλλ᾽ ὁ φιλόσοφος τό ὕψος τῆς διανοίας ταύτης οὐ χωρήσας, οὔτε τόν Θεόν προσεκύνησεν ἤ ἐδόξασεν ἀξίως ἑαυτοῦ ἐν Πνεύματι καί τούς ἐν Πνεύματι Θεοῦ δοξάζοντας πᾶν ἡγεῖται τοὐναντίον πράττειν καί πρός τόν τῶν βλασφημούντων κατασπᾷ κατάλογον τούς μόνους ὑψηλούς καί ἀσφαλεῖς θεολόγους.

Ἀλλά γάρ ἐνδιατρίψωμεν ἔτι περί τήν πίστιν καί τήν κατ᾽ αὐτήν θείαν καί τερπνήν χριστιανοῖς θεωρίαν, πίστιν, τό τῆς εὐαγγελικῆς δυνάμεως ὄχημα, τήν ἀποστολικήν ζωήν, τό ἀβραμιαῖον δικαίωμα, πίστιν, ἐξ ἧς νῦν ἄρχται καί εἰς ἥν καταλήγει πᾶσα δικαιοσύνη καί ἀφ᾽ ἧς δίκαιος ζήσεται, ὁ δ᾽ ὑποστελλόμενος τῆς εὐδοκίας ἐκπεσεῖται τῆς θείας, (σελ. 490) καί γάρ «χωρίς πίστεως ἀδύνατον εὐαρεστῆσαι Θεῷ», πίστιν, τήν παντοδαπῆς πλάνης τό γένος ἡμῶν ἐλευθεροῦσαν ἀεί καί ἐνιδρύουσαν ἡμᾶς τῇ ἀληθείᾳ καί ἡμῖν τήν ἀλήθειαν, ἧς οὐδείς ἡμᾶς τῶν ἁπάντων ἀποκινήσει, κἄν μαινομένους ἡγήσηται, διά τῆς ὄντως πίστεως ἐξεστηκότας τήν ὑπέρ ἔννοιαν ἔκστασιν, ἔργῳ τε καί λόγῳ μαρτυροῦντας ὡς οὐ «περιφερόμεθα παντί ἀνέμῳ τῆς διδασκαλίας», ἀλλά τῆς ἑνιαίας τῶν χριστιανῶν ἀληθογνωσίας

ἐχόμεθα καί τήν ἁπλουστέραν καί θειοτέραν καί ὡς ἀληθῶς ἀπλανῆ θεωρίαν πρεσβεύομεν. Ἵνα τοίνυν, τῶν μελλόντων ἀρτίως ἀφέμενοι, τήν ἐκ πίστεως ὑπέρ νοῦν θεωρίαν ἀπό τῶν γεγονότων ἐξ ἀρχῆς ἐποπτεύσωμεν, «πίστει νοοῦμεν κατηρτίσθαι τούς αἰῶνας ρήματι Θεοῦ, εἰς τό μή ἐκ φαινομένων τά βλεπόμενα γεγονέναι». Ποῖος νοῦς χωρῆσαι δύναιτ᾽ ἄν ὡς ἐκ μηδαμῆ μηδαμῶς ὄντος τόδε γέγονε τό πᾶν καί ταῦτα λόγῳ μόνῳ; Ἐκεῖνο γάρ πάντως οὐχ ὑπεραναβαίνει τάς νοεράς ἐνεργείας, ὅ καταληπτόν ἐστι αὐταῖς. Ταῦ᾽ ἄρα καί οἱ σοφοί τῶν Ἑλλήνων, κατανοοήσαντες ὡς μεταχωρεῖ τό μή ὄν τῶν φθειρομένων οὐδέν, γίνεταί τε ἐκ μή ὄντος τῶν γινομένων οὐδέν, ἀγένητον καί ἀτελεύτητον τόν κόσμον ἐδόξασαν. Ἀλλ᾽ ὑπεραναβάσα ἡ πίστις τάς ἀπό τῆς τῶν κτισμάτων θεωρίας ἐγγινομένας ἐννοίας ἥνωσεν ἡμᾶς τῷ πάντων ὑπερανῳκισμένῳ λόγῳ καί τῇ ἀκατασκεύῳ καί ἁπλῇ ἀληθείᾳ καί κατενοήσαμεν κρεῖττον ἤ κατά ἀπόδειξιν, ὡς οὐ μόνον ἐκ μή ὄντων ἀλλά καί μόνῳ ρήματι Θεοῦ ἅπαντα παρήχθη. Τί οὖν ἡ πίστις αὕτη; Ἆρα φυσική τις δύναμις ἤ ὑπερφυής; Ὑπερφυής δήπου˙ διό οὐ δύναταί τις ἐλθεῖν πρός τόν Πατέρα, εἰ μή δι᾽ Υἱοῦ, τοῦ ὑπεράνω τιθέντος ἡμῶν αὐτῶν ἡμᾶς καί τήν θεοποιόν ἁπλότητα διδόντος καί πρός τήν τοῦ συναγωγοῦ Πατρός ἐπιστρέφοντος ἑνότητα (σελ. 492) Διά τοῦτο Παῦλος «ἔλαβε χάριν εἰς ὑπακοήν πίστεως», διά τοῦτο, «ἐάν ὁμολογήσῃς ἐν τῷ στόματί σου Κύριον Ἰησοῦν καί πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι Θεός αὐτόν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ», διά τοῦτο τῶν ἰδόντων καί πιστευσάντων εἰς τόν ἐκ νεκρῶν ζῶντα καί ἀρχηγόν τῆς αἰωνίου ζωῆς, οἱ μή ἰδόντες καί πιστεύσαντες μακαριώτεροι˙ ἅ γάρ καί ὀφθαλμός βλέπων ἑαυτῷ ἀπιστεῖ καί διάνοια καταλαβεῖν οὐκ ἔχει, ταῦτα διά τῶν τῆς πίστεως ὑπερκοσμίων ὀφθαλμῶν καί εἶδον καί ἐσεβάσθησαν.

«Αὕτη ἐστίν ἡ νίκη ἡ νικήσασα τόν κόσμον, ἡ πίστις ἡμῶν»˙ αὕτη ἐστίν, εἰ καί παράδοξον εἰπεῖν, ἡ καί τόν κάτω πρότερον κατά διαφόρους τρόπους καί καιρούς συστησαμένη κόσμον, εἶθ᾽ ὕστερον ἐπί τό θειότερον μετασκευάσασα καί ὑψοῦ τῶν οὐρανῶν αὐτόν θεῖσα καί τήν γῆν οὐρανώσασα. Τίς δευτέρου κόσμου σπέρματα ἐφύλαξεν; Οὐχ ἡ τοῦ Νῶε πίστις; Τίς τόν Ἀβραμ Ἀβραάμ καί πολλῶν ἐθνῶν πεποίηκε πατέρα, τῶν τε τῇ ψάμμῳ παρεικαζομένων καί τῶν τοῖς ἀστράσι παραπλησίων; Οὐχ ἡ περί τάς ἀκαταλήπτους τότε ἐκείνας ὑποσχέσεις πίστις; Τόν γάρ μονογενῆ διάδοχον προκείμενον εἶχεν σφαγήν καί δι᾽ αὐτοῦ πολυτεκνίαν, ὤ τοῦ θαύματος, ἀνενδοιάστως

ἐπίστευσε. Τί οὖν, οὐχί μωραίνειν ἄν τότ᾽ ἔδοξεν ὁ γέρων τοῖς λογισμῷ τά πράγματα ὁρῶσιν; Ἀλλ᾽ ἔδειξεν ἡ διά τῆς χάριτος τοῦ Θεοῦ τῶν πραγμάτων ἔκβασις τήν πίστιν οὐκ ἀφροσύνην οὖσαν, ἀλλά γνῶσιν πάντα λογισμόν ὑπερέχουσαν. Νῶε δ᾽ αὖθις ἀπό τῆς κυρτῆς οὐρανοῦ περιφερείας ἀβύσσους προσεδόκησεν ὑδάτων. Ποῦ τά τῆς παρά σοί σεπτῆς φιλοσοφίας ληρήματα; Ἐπί τό κάτω καί μέσον φύσει πάντα φέρεται τά βάρη˙ τά κοῦφα, καθ᾽ ὅσον κοῦφα, κατά τοσοῦτο ἀπέχειν τοῦ μέσου. Ποῦ σοι τό μανόν καί συμπεπιλημένον, τό μέν οὐκ ἔχον στέγειν, τό δέ διαδύνον, καί τά μή πάνυ ἀραιά τήν φύσιν; Ποῦ τά ἀκριβῆ σφαιρώματά τε καί (σελ. 494) κυρτώματα καί αἱ πολυειδεῖς καί τάχισται κινήσεις, δι᾽ ὧν σύ τήν ἐν τοῖς οὖσιν ἀλήθειαν ζητῶν σαυτόν καί τούς σοί πειθομένους ἀποβουκολήσεις ταύτης καί παρανάλωμα κατακλυσμοῦ ποιήσεις, ἅ διά τῆς γνώσεως κακῶς ἠγνόησαν, ταῦτα πικρῶς διά τῆς πείρας μανθάνοντας; Ἡ δέ πίστις καί πρό τῆς ἐκβάσεως δι᾽ ἀγνωσίας καλῶς προσάξει τῇ ἀληθείᾳ καί ἀπειράστους παντάπασι καί ἀπαθεῖς κακῶν διά τῆς πείρας ποιήσεται καί διά τῶν πραγμάτων αὐτῶν μωράν ἀποδείξει τήν ἔξω πᾶσαν φιλοσοφίαν, μήτε τότε μήτε νῦν εἰδυῖαν τό ὑπό τοῦ μεγάλου Πέτρου εἰρημένον, ὅτι «οὐρανοί ἦσαν ἔκπαλαι ἐξ ὕδατος καί δι᾽ ὕδατος συνεστῶντες, δι᾽ ὧν ὁ πάλαι κόσμος ὕδατι κατακλυσθείς ἀπώλετο˙ οἱ δέ νῦν οὐρανοί τεθησαυρισμένοι εἰσί πυρί, τηρούμενοι εἰς ἡμέραν κρίσεως καί ἀπωλείας τῶν ἀσεβῶν». Τί οὖν; ἡ τοῖς χριστιανοῖς ἐνυπάρχουσα θεογνωσία καί ἡ δι᾽ αὐτήν σωτηρία διά γνώσεως φιλοσοφίας ἤ διά πίστεως, ἥτις δι᾽ ἀγνωσίας τήν ταύτης γνῶσιν καταργεῖ; Ἀλλ᾽ εἰ διά γνώσεως, κεκένωται ἡ πίστις καί κατήργηται ἡ λέγουσα ἐπαγγελία ὅτι, «ἐάν πιστεύσῃς ἐν τῇ καρδίᾳ σου Κύριον Ἰησοῦν σωθήσῃ». Ὥστε οὐχ ὁ τήν τῶν ὄντων γνῶσιν ἔχων ἐν καρδίᾳ διά ταύτην ἔχειν τόν Θεόν, ἀλλ᾽ ὁ πιστεύσας ἐν τῇ καρδίᾳ Κύριον Ἰησοῦν διά τῆς ἀπεριέργου πίστεως ἐν ἑαυτῷ ἐνιδρυμένον ἔχει τόν Θεόν.

Καί παρῶμεν νῦν τούς διά τῆς γνώσεως ταύτης ἀγνοήσαντας Θεόν καί ὅτι μή πᾶσα ἀληθής ἐστιν ἡ ἐκ φιλοσοφίας γνῶσις. Ἀλλά θῶμεν εἶναι πᾶσαν ἀληθῆ καί προθῶμεν τούς δι᾽αὐτῆς τῆς τῶν κτισμάτων γνώσεως ἐπιγνόντας τόν Θεόν. Ἡ γοῦν διά τούτων θεωρία καί ἐπίγνωσις φυσικός καλεῖται νόμος˙ διό καί πρό τῶν πατριαρχῶν καί προφητῶν καί τοῦ γραπτοῦ νόμου τό γένος τῶν ἀνθρώπων ἐνεκαλεῖτο καί ἐπέστρεφε πρός τόν Θεόν καί ὑπεδείκνυ τόν (σελ. 496)

δημιουργόν τοῖς μή καί τῆς κατά φύσιν γνώσεως κατά τούς Ἑλλήνων σοφούς ἐξεστηκόσι. Τίς γάρ νοῦν ἔχων καί ἰδών ἐμφανεῖς μέν οὐσιῶν διαφοράν τοσαύτας, ἀφανῶν τε δυνάμεων ἐναντιότητας καί ἀντιρρόπους κινήσεως ὁρμάς, ἔτι δέ στάσιν τρόπον ἕτερον ἀντίρροπον, διαδοχάς τε ἐνεκλείπτους ἐξ ἐναντιοπαθείας καί φιλίαν ἀσύγχυτον ἐξ ἀσυμβάτου νείκους, συνοχάς τε τῶν διακεκριμένων καί ἀσυμμιξίας τῶν ἡνωμένων, νῶν, ψυχῶν, σωμάτων, τήν διά τοσούτων ἁρμονίαν, τάς μονίμους σχέσεις τε καί θέσεις, τάς οὐσιώδεις ἕξεις τε καί τάξεις, τό ἀδιάλυτον τῆς συνοχῆς, τίς τά τοιαῦτα πάντα ἐπί νοῦν λαβών τόν ἐν ἑαυτῷ ἕκαστον καλῶς ἱδρύσαντα καί πρός ἄλληλα θαυμασίως ἁρμοσάμενον οὐκ ἐννοήσειεν, ὡς ἀπ᾿ εἰκόνος καί αἰτιατοῦ γινώσκειν τόν Θεόν; Τίς δ᾿ οὕτω γνούς Θεόν ἕν τι τῶν αἰτιατῶν ἤ τῶν κατ᾿ εἰκόνα τούτου προκειμένων ἡγήσεται αὐτόν; Ὥστε καί τήν ἐξ ἀποφάσεως θεογνωσίαν ἕξει. Ἐπέστρεφε τοίνυν ἡ τῶν κτισμάτων γνῶσις πρός θεογνωσίαν τό γένος τῶν ἀνθρώπων πρό νόμου τε καί προφητῶν, καί νῦν αὖθις ἐπιστρέφει, καί σχεδόν πᾶν τό πλήρωμα τῆς οἰκουμένης, ὅσοι μή τοῖς εὐαγγελικοῖς θεσπίσμασιν εἴκουσι, δι᾿ αὐτῆς μόνης, οὐχ ἕτερον ἀρτίως ἔχουσι Θεόν, ὅτι μή τόν ποιητήν τοῦδε τοῦ παντός.

Οὗτοι τοίνυν ἐκ μόνης τῆς τῶν κτιστῶν γνώσεως γινώσκουσι Θεόν, οἱ μή διά νόμου νόμῳ ἀποθανόντες, ἵνα τήν ἐν Χριστῷ ζήσωσι ζωήν, μᾶλλον δέ οἱ νόμου Θεοῦ μηδέποτε μηδένα προσέμενοι. Σύ δέ νῦν ἡμᾶς, ἡνίκα ὁ Θεός ἐφανερώθη ἐν σαρκί, ἐπιστεύθη ἐν ἔθνεσιν, ἐκηρύχθη ἐν κόσμῳ καί ὁ τῆς χάριτος νόμος ἀνεκαλύφθη τοῖς πέρασιν, ἡνίκα «τό Πνεῦμα τοῦ Θεοῦ ἐλάβομεν, ἵνα εἰδῶμεν τά ἐκ τοῦ Θεοῦ χαρισθέντα ἡμῖν», ἡνίκα διδακτοί Θεοῦ ἐγενόμεθα καί τοῦ παρακλήτου παιδεύματα, κατά τήν σωτήριον ἐπαγγελίαν («ἐκεῖνος» γάρ, φησί, «διδάξει ὑμᾶς πᾶσαν τήν ἀλήθειαν», ὡς μηδέπω δήπου ἐγνωσμένην), ἡνίκα νοῦν ἔχομεν Χριστοῦ καί (σελ. 498) ὀφθαλμούς πνευματικούς, πάλιν εἰς τοὐπίσω στρέφεις ὑπό διδασκάλου τοῖς τοῦ κόσμου ζῆν στοιχείοις, ἄνθρωπε; Τί λέγεις; «Καινόν οὐρανόν καί καινήν γῆν κατά τό ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν», καί οὐκ ἐκ ἐκείνου τόν Θεόν ὑπερκοσμίως νοήσομέν τε καί δοξάσομεν, ἀλλ᾿ἐκ τοῦ παλαιοῦ τούτου μόνου καί ἀλλοιωτοῦ ἐπιγνωσόμεθα αὐτόν; Οὐκ ἀλλοιωτοῦ δέ μόνον ἀλλά καί φθαρτοῦ. Καί γάρ καινόν εἰπών ἐκεῖνον, παλαιόν τοῦτον ἔδειξε˙ πᾶν δέ τό παλαιούμενον καί γηράσκον εἰς ἀφανισμόν.

Ἀλλά πόθεν τόν καινόν τοῦτον ἐδιδάχθημεν κόσμον καί τήν μή παλαιουμένην ζωήν; Ἆρ᾽ ἀπό τῆς τῶν κτισμάτων θεωρίας ἤ παρά τοῦ «ὁρισθέντος Υἱοῦ Θεοῦ ἐν δυνάμει, κατά Πνεῦμα ἁγιωσύνης, ἐξ ἀναστάσεως νεκρῶν, Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν»; Οὐχ εἷς ἡμῶν καί καθηγητής, ὁ Χριστός; Ποῦ τοίνυν τῶν αὐτοῦ λόγων περί τῆς τοῦ φθειρομένου κόσμου φύσεως ἐδιδάχθημεν; Οὐ αὐτός ἐνετείλατο μή καλεῖν καθηγητήν ἐπί τῆς γῆς; Πῶς οὖν ἡμεῖς Ἕλλησι καί Αἰγυπτίοις ὡς σωτήριόν τι μαθησόμενοι φοιτήσομεν; Θεόν αὐχεῖ διδάσκαλον ἡ καθ᾽ ἡμᾶς θεογνωσία˙ οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ᾽ αὐτός ὁ Κύριος ἐδίδαξε καί ἔσωσεν ἡμᾶς. Οὐκέτι ἐκ τοῦ εἰκότος γινώσκομεν Θεόν˙ τοιαύτη γάρ ἡ ἀπό τῶν κτισμάτων γνῶσις τοῦ Θεοῦ˙ νῦν δέ «ἡ ζωή ἐφανερώθη, ἥτις ἦν πρός τόν Πατέρα καί ἐφανερώθη ἡμῖν» καί ἀνήγγειλεν ἡμῖν ὅτι «ὁ Θεός φῶς ἐστι καί σκοτία ἐν αὐτῷ ὑπάρχει οὐδεμία», καί τούς πιστεύσαντας αὐτῷ τέκνα ἐποίησε φωτός, «καί οὔπω ἐφανερώθη τί ἐσόμεθα», ὅτι «ἐάν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι καί ὀψόμεθα αὐτόν καθώς ἐστιν». Ἔχεις πάλιν ἔφοδον συκοφαντίας˙ «καθώς γάρ ἐστιν ὀψόμεθα αὐτόν». Ἀλλ᾽ ὁ ταῦτα λέγων, τῇ ἐν Σιών τεθείσῃ πέτρᾳ προσεχῶς ἐπῳκοδομημένος, ταύτῃ παραπλήσιός ἐστιν ἐν πᾶσιν˙ «ὁ πεσών οὖν ἐπ᾽ αὐτόν συντριβήσεται, καί ἐφ᾽ ὅν ἄν πέσῃ, λικμήσει αὐτόν».

(σελ. 500) Ἡμεῖς δέ σκεψώμεθα πόθεν ὁ φιλόσοφος κατασκευάζει ὡς ὑπέρ πάσας τάς νοεράς ἐνεργείας ὅρασις οὐκ ἔστιν, ἐκεῖνο πρότερον εἰπόντες, ὡς ἀνώνυμόν τε καί ὑπερώνυμον ἐκεῖνο ἴσμεν, περί οὗ ἡμῖν ὁ λόγος. Εἰ γοῦν καί ὅρασιν αὐτό φαμεν, ἀλλά καί ὑπέρ ὅρασιν αὐτό ὑπάρχον ἐπιστάμεθα, κἄν τις ἐθέλῃ νόησιν αὐτό καλεῖν, ὅτι καί ὑπέρ νόησίν ἐστιν ἐκεῖνο πιστεύων ἤ διά τῆς πείρας ἐπιστάμενος, κατά τοῦθ᾽ ἡμῖν ὁμολογεῖ. Τά γοῦν συντεταγμένως καταφασκόμενά τε καί ἀποφασκόμενα νοήματά τε καί ὁράματα αὐτῷ παρείσθω πάνθ᾽ ὡς μάταια καί μηδέν ὄντα πρός ἡμᾶς καί τόν προκείμενον λόγον. Ὅτι δέ ἐστιν ὅρασις ὑπέρ πᾶσαν νόησιν, ἐκεῖνος μέν οὐκ ἐνόησεν οὐδέ ἐπίστευσεν, ἡμεῖς δέ καί μή νοοῦντι συνέγνωμεν ἄν, ἐπειδή τό ὑπέρ νοῦν νοεῖν οὐκ ἔνι φύσει τῇ καθ᾽ ἡμᾶς καί ταῖς κατ᾽ αὐτήν μελέταις, καί μή πάντῃ πιστεύοντα παρεδεξάμεθ᾽ ἄν, χρῆν εἰδότες κατά τόν ἀπόστολον «τόν ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθαι». Τό δέ καί τούς πιστεύοντας περιτρέπειν ἐγχειρεῖν καί συγγράμμασιν ἐναγωνίοις χρῆσθαι κατ᾽ αὐτῶν τε καί τῆς ἀληθείας καί παντί τρόπῳ σκανδαλίζειν σπεύδειν οὐ τούς μικρούς

μόνον, ἀλλά καί τούς προήκοντας ἀρετῇ καί εὐσεβείᾳ, τοῦτο δέ τίς ἄν ἐνέγκοι σιωπῇ τῆς ἀληθείας θεραπευτής εἶναι προαιρούμενος; Ἐκεῖνος μέν οὖν ὡς ἔστιν ὅρασις καί νόησις ὑπέρ πᾶσαν ὅρασιν καί νόησιν, ὑπερῳμενός τε οὖσα καί ἀποδεούσας ἑαυτῆς κεκτημένη τάς ἐπωνυμίας οὐκ ἐνόησεν, οὐδέ ἐπίστευσε, καί ὅ δέ ὑπέρ νοῦν λέγειν τούς θεολόγους οἴεται, τήν κατά ἀπόφασιν θεολογίαν, οὐδέ τοῦτ᾽ εἶναι ὑπέρ νοῦν καί αὐτός ὁμολογεῖ. «Τά γάρ ἐγνωσμένα», φησίν, «ἀποφάσκουσιν, οὐ τά μή ἐγνωσμένα»˙ καί ἡμεῖς ἴσμεν ὡς ἐν τῇ θεολογίᾳ ταύτῃ τά ἀπεφαίνοντα τῷ Θεῷ διανοεῖται ὁ νοῦς, ὥστ᾽ οὐδ᾽ αὕτη ἡ θεολογία τάς νοεράς ἐνεργείας ὑπερβέβηκε.

Περί δέ τῆς ὑπέρ νοῦν ὁράσεως τοῦτ᾽ ἄν εἴποιμεν, ὡς, εἰ μέν οὐκ εἶχεν ὁ ἡμέτερος νοῦς ὑπεραναβαίνειν ἑαυτόν, (σελ. 502) οὐδ᾽ ἄν ἦν ὑπέρ τάς νοεράς ἐνεργείας ὅρασις καί νόησις˙ ἐπεί δέ καί ταύτην ἔχει τήν δύναμιν καί κατά ταύτην μόνην κυρίως ἑνοῦται τῷ Θεῷ, δι᾽ αὐτοῦ κατά τόν καιρόν τῆς προσευχῆς προϊοῦσαν εἰς ἐνέργειαν, ἔστιν ἄρα ὑπέρ τάς νοεράς πάσας ἐνεργείας ὅρασις, ἥν ὅρασιν ὑπέρ νόησίν φαμεν˙ ὅ τοίνυν οὐ μᾶλλόν ἐστιν ἀνοησία ἤ νόησις, πῶς μόριον ἔσται τῆς καθόλου γνώσεως; Πῶς δ᾽ ἀντιδιαιρεθήσεται τοῖς εἴδεσιν αὐτῆς; Οὐδέ γάρ τήν οὐσίαν διεῖλέ ποτέ τις τῶν σοφῶν εἰς σῶμα καί ἀσώματον καί ὑπερούσιον, οὐδέ τήν αἴσθησιν εἴς τε τάς πέντε αἰσθήσεις καί τό ὑπέρ αἴσθησιν˙ τό γάρ ὑπέρ τήν οὐσίαν, πῶς ἄν εἴη ὑπό τήν οὐσίαν καί ὑπ᾽ αἴσθησιν τό ὑπέρ αἴσθησιν; Οὕτως ἄρα οὐδέ τό ὑπέρ τήν γνῶσιν, γνώσεως εἶδος. Ὅτι δέ ἔχει δύναμιν ὑπερβαίνειν ἑαυτόν ὁ νοῦς καί δι᾽ αὐτῆς τοῖς ἑαυτόῦ κρείττοσιν ἑνοῦσθαι καί ὁ μέγας Διονύσιος ἀριδηλότατά φησι, καί οὐχ ἁπλῶς τοῦτο λέγει, ἀλλά καί τήν τοιαύτην εἴδησιν χριστιανοῖς τῶν ἀναγκαιοτάτων εἶναι προσημαίνειν˙ «δέον» γάρ, φησίν, «εἰδέναι τόν καθ᾽ ἡμᾶς νοῦν, τήν μέν ἔχειν δύναμιν εἰς τό νοεῖν, δι᾽ ἧς τά νοητά βλέπει, τήν δέ ἕνωσιν ὑπεραίρουσαν τήν τοῦ νοῦ φύσιν, δι᾽ ἧς συνάπτεται πρός τά ἐπέκεινα ἑαυτοῦ». Ἡ μέν οὖν ὑπεραίρει τήν τοῦ νοῦ φύσιν, ὑπέρ πάσας ἐστί τάς νοεράς ἐνεργείας καί γνῶσις οὐκ ἔστι καθ᾽ ὑπεροχήν˙ἧ δέ σύνδεσμός ἐστι νοῦ τε καί Θεοῦ, κρεῖττον ἀσυγκρίτως τῆς συνδούσης τόν νοῦν πρός τά κτιστά δυνάμεως, δηλαδή τῆς γνώσεως.

Ἀλλά πῶς ὁ ἀντιλέγων ἡμῖν κατασκευάζει ὡς οὐκ ἔστιν ὑπέρ πάσας τάς νοεράς ἐνεργείας ὅρασις; «Ἐπειδή», φησί, «τῆς κατά ἀφαίρεσιν θεολογίας ὑψηλότερον οὐδέν». Ἀλλ᾽ ἕτερον, ὦ βέλτιστε, θεωρία θεολογίας, ἐπεί μηδέ ταὐτόν λέγειν τι περί Θεοῦ καί

κεκτῆσθαι καί ὁρᾶν Θεόν. Λόγος μέν (σελ. 504) γάρ καί ἡ κατά ἀπόφασιν θεολογία, θεωρίαι δέ εἰσι καί ὑπέρ λόγον, καί τοῦτ᾽ ἔδειξεν ὁ ἀποκαλυφθείς τά ἄρρητα. Ἐπεί τοίνυν λόγος καί ἡ δι᾽ ἀποφάσεως θεολογία, καί ὑπέρ αὐτήν ἄρα ἐστίν ἥ ὑπέρ λόγον θεωρία, καί ὑπεραναβαίνουσι ταύτην οἱ θεωρητικοί τῶν ὑπέρ λόγον, οὐ λόγῳ, ἔργῳ δέ καί ἀληθείᾳ καί χάριτι Θεοῦ καί τοῦ πάντα δυναμένου Πνεύματος, ὅ δίδωσιν ἡμῖν ὁρᾶν «ἅ ὀφθαλμός οὐκ εἶδε καί οὖς οὐκ ἤκουσεν».

Ἀλλ᾽ ἐκεῖνος ταῦτα οὐδέ μετρίως συνιείς, τόν μέγαν οἴεται συμμαρτυρεῖν αὐτῷ Διονύσιον λέγοντα, «ἐν τῷ θείῳ γνόφῳ γίνεται πᾶς ὁ Θεόν γνῶναι καί ἰδεῖν ἀξιούμενος, αὐτῷ τῷ μή ὁρᾶν μηδέ γινώσκειν, ἀληθῶς ἐν τῷ ὑπέρ ὅρασιν καί γνῶσιν γινόμενος˙ καί ἀλλαχοῦ, «μόνοις ὑπάρχει εἰσδύεσθαι εἰς τόν γνόφον, οὗ ὄντως ἐστίν ὁ πάντων ἐπέκεινα, τοῖς πάντα καί τά καθαρά καί πᾶσαν πασῶν ἁγίων ἀκροτήτων ἀνάβασιν καί πάντα τά θεῖα φῶτα ὑπερβᾶσιν». «Εἰσέρχεται δέ τις», φησίν ὁ φιλόσοφος, «εἰς τοῦτον τόν γνόφον διά τῆς τῶν πάντων τῶν ὄντων ἀφαιρέσεως, καί τοῦτό ἐστιν ἡ τελεωτάτη θεωρία, ὁ γνόφος οὗτος, ἡ δι᾽ ἀποφάσεως θεολογία μόνη, καί τοῦ μηδέν γινώσκειν οὐδέν ἐστιν ἐπέκεινα, ὥστε καί τό θεῖον φῶς ἐκεῖνο, ὅ τί ποτέ ἐστιν, ὅ λέγεται ὑμεῖς, ἀπολιπεῖν δεῖ, ἵνα πρός τήν κατά ἀπόφασιν θεολογίαν τε καί θεωρίαν ἀναδράμητε». Ἀλλά μήν φῶς ἡμεῖς τῆς χάριτος ἐκεῖνο λέγομεν, ὅ φησιν αὐτός ὁ μέγας Διονύσιος πάντοτε αἰωνίως καί ἀδιαλείπτως περιαστράπτειν τούς ἁγίους ἐν τῇ μακαριωτάτῃ ἐκείνῃ διαγωγῇ τοῦ μέλλοντος αἰῶνος, «ὡς καί τούς μαθητάς ἐν τῇ θειοτάτῃ μεταμορφώσει». Τίς ἄν οὖν γένοιτο μηχανή τοῦ ἀϊδίως περιλάμποντος καί ἀνεκλείπτως ὁρωμένου τότε (καί ταῦτ᾽ οὐ μόνον αἰσθητῶς ἀλλά καί νοερῶς, μᾶλλον δέ καί ὑπέρ ταῦτα πενυματικῶς καί θεϊκῶς, ὡς πολλάκις (σελ. 506) καί διά πολλῶν ἐδείξαμεν), τίς οὖν μηχανή, τίς δ᾽ ὄνησις ἀπολελύσθαι, τοῦ κρεῖττον ἤ καθ᾽ ἡμᾶς τοῖς νοῦ κρείττοσιν ἑνοῦντος αἰωνίως καί διδόντος τά ὑπέρ ὑμᾶς ὁρᾶν; Ὡς γάρ ὁ νοῦς ἀφράστως τῇ αἰσθήσει συνημμένος ὁρᾷ τά αἰσθητά καί ὡς ἡ αἴσθησις συμβολικῶς καί αἰσθητῶς προτίθεται τά νοητά διά τῆς πρός τόν νοῦν συναφείας, ἐν καταλήψει γενομένη τούτων, οὕτω καί τῷ Πνεύματι ταῦτ᾽ ἄμφω συνημμένα τό ἀόρατον φῶς πνευματικῶς θεάσονται, μᾶλλον δέ συνδιαιωνίσουσι θεώμενα. Τίς οὖν μηχανή τοῦ ἀϊδίως οὕτω περιαυγάζοντος τόθ᾽ ἡμᾶς φωτός ἀφεῖσθαι, ἵνα τῆς σοί νομιζομένης τελεωτάτης θεωρίας

ἀπολαύσωμεν; Εἰ δέ νῦν μέν ἀφιέναι τοῦτο τό φῶς καί ὑπερβαίνειν δυνάμεθα, τότε δ᾽ οὔ, κρείττων ἄρ᾽ ἡμῖν ὁ παρών αἰών τοῦ μέλλοντος καί εἰκότως ἐπτόηνται περί αὐτόν οἱ τῷ αἰωνίῳ πολεμοῦντες καί ἀληθινῷ φωτί.

Ἆρ᾽ οὖν Διονύσιος ὁ μέγας τούτοις συμφωνεῖ; Καί πῶς ἄρ᾽ ὁ τό φῶς τοῦτο ἐξυμνήσας πάντων μάλιστα; Τοῦτο μέν οὖν καί προαπεδείξαμεν διά πλειόνων ἐν τοῖς Περί φωτός καί φωτισμοῦ θείου προεξενηνεγμένος λόγοις, ὡς ὅ γε μάλιστα πάντων ἀντικείμενος τοῖς τῷ μεγάλῳ φωτί ἀντικειμένοις, οὗτός ἐστιν ὁ ἐξ Ἀρείου Πάγου τῆς οἰκουμένης φανότατος φωστήρ. Ἀλλά καί νῦν ἀναλαβόντες ἴδωμεν τἀκείνου ὑπ᾽ αὐτῶν προβεβλημένα ρήματα. Δωροθέῳ τοίνυν οὗτος ἐπιστέλλων λειτουργῷ, «ὁ θεῖος», φησί, «γνόφος ἐστί τό ἀπρόσιτον φῶς δι᾽ ὑπερβολήν ὑπερουσίου φωτοχυσίας˙ ἐν τούτῳ γίνεται πᾶς ὁ Θεόν γνῶναι καί ἰδεῖν ἀξιούμενος, αὐτῷ τῷ μή ὁρᾶν μηδέ γινώσκειν ἐν τῷ ὑπέρ ὅρασιν καί γνῶσιν γινόμενος, τοῦτο αὐτό γινώσκων, ὅτι μετά πάντα ἐστί τά αἰσθητά καί νοητά». Ἐνταῦθα τοίνυν τό αὐτό καί γνόφον λέγει καί φῶς, καί ὁρᾶν καί μή ὁρᾶν, καί γινώσκειν καί μή γινώσκειν. Πῶς οὖν καί σκότος τοῦτο τό φῶς; «Δι᾽ ὑπερβολήν», (σελ. 508) φησί, «φωτοχυσίας», ὥστε φῶς μέν κυρίως, σκότος δέ καθ᾽ ὑπεροχήν, ὡς ἀόρατον τοῖς δι᾽ αἰσθήσεως ἤ νοῦ ἐνεργειῶν προσιέναι καί ὁρᾶν ἐπιχειροῦσιν.

Ἐπεί δ᾽ ἐν αὐτῷ τῷ ἀπροσίτῳ γίνεται πᾶς ὁ Θεόν γνῶναι καί ἰδεῖν ἀξιούμενος, τίς ἐστιν οὗτος ὁ τοῦ τοιούτου ἀξιούμενος, προσελθεῖν τῷ ἀπροσίτῳ καί ἰδεῖν τόν ἀόρατον; Ἆρα πᾶς θεοσεβής; Ἀλλά Μωσέως μόνου καί τῶν κατ᾽ αὐτόν τό γενέσθαι ἐν τῷ θείῳ γνόφῳ, ἡ δέ δι᾽ ἀποφάσεως θεολογία παντός ἐστι θεοσεβοῦς˙ νῦν δέ μετά τήν δεσποτικήν διά σαρκός ἐπιδημίαν, καί παντός ἀνθρώπου, ὡς προαποδέδεικται. Ἄλλο ἄρα τό κυρίως τοῦτο φῶς καί ὁ θεῖος αὐτός γνόφος καί ἀσυγκρίτως ὑπερέχον τῆς κατά ἀπόφασιν θεολογίας˙ ἔστω δ᾽ ὅμως ὁπόσον ὁ Μωϋσῆς ὑπερέχει κατά τήν θεοπτίαν τῶν πολλῶν. Ἀλλ᾽ ὁ ἐν τῷ φωτί τούτῳ γεγονός ὁρᾷ, καί οὐχ ὁρᾷ. Πῶς ὁρῶν οὐχ ὁρᾷ; Ὅτι, φησίν, ὑπέρ ὅρασιν ὁρᾷ, ὥστε κυρίως μέν γινώσκει καί ὁρᾷ, οὐχ ὁρᾷ δέ ὑπεροχικῶς, μηδεμιᾷ ἐνεργείᾳ νοῦ τε καί αἰσθήσεως ὁρῶν, αὐτῷ τῷ μή ὁρᾶν μηδέ γινώσκειν, τουτέστι τῷ ὑπερβῆναι τόν τοιοῦτον πᾶσαν γνωστικήν ἐνέργειαν, ἐν τῷ ὑπέρ ὅρασιν καί γνῶσιν γινόμενος, δηλονότι κρειττόνως ἤ καθ᾽ ἡμᾶς καί ὁρῶν καί ἐνεργῶν, ὡς κρεῖττον ἤ κατ᾽ ἄνθρωπον γενόμενος καί Θεός

ἤδη κατά χάριν ὤν καί Θεῷ ὑπάρχων ἡνωμένος καί διά Θεοῦ Θεόν ὁρῶν.

Οἱ τοίνυν τήν κατά ἀποφασιν μόνην θεωρίαν πρεσβεύοντες καί περαιτέρω ταύτης μηδεμίαν ἐνέργειαν ἤ ὅρασιν δοξάζοντες, καί ταύτην μέν ὑπό τήν καθόλου γνῶσιν εἶναι λέγοντες, τῆς δέ γνώσεως μηδεμίαν ὑψηλοτέραν θεωρίαν, τούς κατ᾽ αὐτούς τῆς κατά ἀπόφασιν τελεωτάτης ταύτης ἐφικνουμένους θεωρίας κυρίως μή ὁρᾶν μηδέ γινώσκειν ἐοίκασιν οἰόμενοι καί στέρησιν ἔχοντας γνώσεώς τε καί ὁράσεως. Οὐκοῦν ἔλαθον ἑαυτούς τήν ὄντως ἀγνωσίαν, ταύτην δέ κατά στέρησιν, κρεῖττον πάσης γνώσεως (σελ. 510) ἀποφαινόμενοι καί σεμνυνόμενοι τῷ κατ᾽ ἔλλειψιν ἀγνώστως ἔχειν. Οὕτως οἱ τῷ μεγίστῳ μή πιστεύοντες φωτί καί τοῦ φωτός τῆς γνώσεως ἐκπίπτουσι. Καί μήν, εἰ ταὐτόν ἥ τε κατά ἀπόφασιν θεωρία καί ὁ θεῖος γνόφος, αὕτη δέ ἡ θεωρία στέρησιν κυρίως παρέχει τοῦ ὁρᾶν, κατά τούς λέγοντας ὡς οὐκ ἔστι περαιτέρω θεία θέα, οὐκοῦν καί ὁ θεῖος γνόφος οὗτος κυρίως ἐστί καί κατά στέρησιν σκότος καί τούς ἐν αὐτῷ γινομένους ἄφρονας ἀποτελεῖ καί ποιεῖ γε τοιούτους ὡς ἀληθῶς τούς περί αὐτοῦ τοιαῦτα ἀποφαινομένους, οἵ πρίν ἀποτάξασθαι τῇ αἰγυπτίᾳ καί ψευδωνύμῳ καί ἀγόνῳ μητρί, ἥν καλῶς λέγουσιν οἱ πατέρες τήν ἔξω νοεῖσθαι παίδευσιν, πρίν καθαρῶς γνῶναι ὡς δύο πολεμίων μεταξύ βιοτεύομεν καί προσθέσθαι τοῖς κρείττοσι, πρίν δι᾽ αὐτῶν ἐπιθέσθαι τοῖς πονηροῖς καί τούς μέν τρέψασθαι καί φονεῦσαι καί κατορύξαι, τούς δέ φυγεῖν (ὅσα δηλονότι τῶν πονηρῶν παθῶν φυσικήν ἔχοντα πρός ἡμᾶς οἰκειότητα, τῶν αἰτίων καί συνεργούντων παρόντων, ἡμῶν τήν ἀρχήν ἐπικρατέστερα γίνεται), πρίν τήν πονηράν χρῆσιν ἐξελέγξαι τῶν ἀδίκως ἀπό τῶν φρεάτων τῆς κτίσεως τήν τοῦ Θεοῦ σοφίαν ἀρυομένων, δηλαδή τῶν καθ᾽ Ἕλληνας σοφῶν, πρίν συνοικῆσαι τοῖς εἰρήνην πρός ἀλλήλους ἄγουσι καί μή διαφωνοῦσι καί ἀντιφωνοῦσιν ἀλλήλοις, τοῖς τά θεῖα δηλνότι σοφοῖς, πρίν δι᾽ ἀναχωρήσεως καί ἡσυχίας ἐπιστῆσαι τῶν οἰκείων προβάτων, ταὐτόν δ᾽ εἰπεῖν νοημάτων, πρίν ἀναδραμεῖν εἰς τό ὄρος, τήν ἀκρότητα τῆς καθ᾽ ἡμᾶς ψυχῆς, πρίν πόρρωθεν ἐνατενίσαι τῷ καινῷ φωτί, πρίν προσεγγίσαι, πρίν ἀκοῦσαι καί τά ὑποδήματα τῶν ποδῶν ὑπολύσασθαι, ὡς οὐκ ἐξόν ψαύειν τῆς ἁγίας γῆς, τῶν νεκρῶν καί μή ὄντως ὄντων μεσιτευόντων, πρίν ἀλλοιωθῆναι τήν δεξιάν ἐγκόλπιον γενομένην, τουτέστι τόν νοῦν εἰς ἑαυτόν καταδύντα, πρίν διά τῆς πάντα δυναμένης βακτηρίας, δηλαδή τῆς πίστεως, τό τοῦ τυράννου κράτος (σελ. 512) καθελεῖν κατά κράτος

καί τήν ἁλμυράν τοῦ βίου θάλασσαν ποσίν ἀβρόχοις ἐμπεριπατῆσαι, πρίν τήν πικρανθεῖσαν καί σκληρυνθεῖσαν φύσιν ἡμῶν πηγήν ὑπερφυοῦς εὐφροσύνης δι᾽ εὐχῆς καί θεαρέστου πράξεως ἀποτελέσαι, πρίν τῆς ἄνωθεν ἐπιρρεούσης γεύσασθαι τροφῆς καί τούς ἀντιπάλους οὐκέτι φεύγειν ἀλλά καταδιώκειν ἅπαντας προθυμεῖσθαί τε καί δύνασθαι, πρίν διά τῆς τῶν τοιούτων ἁπάντων παρασκευῆς τελείως σαββατίσαι τήν τῶν κακῶν ἀπραξίαν καί ἀκοῦσαι καί ὑπερβῆναι τάς πολυφώνους σάλπιγγγας καί ἰδεῖν καί παραλλάξαι τά πολύχυτα φῶτα (ταῦτα δέ ἐστιν ἡ διά τῶν πολυειδῶν κτισμάτων τοῦ Θεοῦ ἐξαγγελλομένη δόξα τοῦ Θεοῦ, ἔστω δέ καί τό διά προφητῶν καί ἀποστόλων καί πατέρων κήρυγμα καί πάνα τά διεξοδικά τῶν θείων παιδεύματα), πρίν προκατορθῶσαι τοσαῦτα καί μετά τῶν ἐκκρίτων καθιερωμένων τῷ Θεῷ πρός τήν τῶν θείων ἀναβάσεων ἀκρότητα φθάσαι καί τόν τόπον τοῦ Θεοῦ ἰδεῖν, εἶτα καί αὐτῷ τῷ Θεῷ ἀπερινοήτως ἑνωθῆναι, τούτων πάντων ἀπολελυμένοι, τολμῶσι λέγειν ὡς εἰς τόν ὑπέρφωτον εἰσδύνουσι γνόφον διά τῆς κατά ἀπόφασιν θεολογίας. Ἡμεῖς δέ ταύτην ἐν τοῖς προτέροις Περί φωτός Λόγοις ἱκανῶς ἐξητακότες, εἰκόνα μέν ἐδείξαμεν τῆς ἀνειδέου ἐκείνης θεωρίας καί τῆς κατά νοῦν ὑπέρ νοῦν ἐν ἁγίῳ Πνεύματι θεωρητικῆς ἀποπληρώσεως, ἀλλ᾽ οὐκ αὐτήν ἐκείνην οὖσαν. Διό καί πάντες μέν οἱ πιστοί παραδέξασθαι καταξιωθέντες τό μυστήριον, ὑμνεῖν δι᾽ ἀποφάσεως δύνανται Θεόν, οὐ μέντοι καί ἑνοῦσθαι καί ὁρᾶν διά φωτός αὐτόν, εἰ μή καί διά τῆς τῶν θείων ἐντολῶν πληρώσεως τήν ὑπερφυᾶ δύναμιν τῆς θεωρίας δέξονται.

«Ἀλλά καί πάντα τά θεῖα φῶτα δεῖν ἀπολιπεῖν», φησί, «κατά τόν ἐξ Ἀρείου Πάγου Διονύσιον εἰς τόν μυστικόν εἰσδύοντας γνόφον˙ οὐκοῦν καί αὐτό τό θεῖον φῶς, εἴγε καί ὅλως τί ποτέ ἐστιν ἅ ὑμεῖς πρεσβεύετε, χρῆν ἀφεῖναι κάτω, (σελ. 514) κἀντεῦθεν δείκνυται ὡς τό μηδαμῇ μηδέν ὁρᾶν, τοῦτ᾽ ἔστιν ὁ μυστικός ἐκεῖνος γνόφος». Τί φατε καί οὕτω πολλοῖς ἐναρίθμιον τίθεσθε τό φῶς ἐκεῖνο τό συνδιαιωνίζον τοῖς ἁγίοις, τήν δόξαν τῆς φύσεως τῆς θείας, τήν καλλονήν τοῦ μέλλοντος καί μένοντος αἰῶνος, τήν ἄναρχον καί ἀδιάδοχον βασιλείαν τοῦ Θεοῦ; Οὕτω γάρ τουτί τό φῶς αὐτός ὁ ἐπί τοῦ ὄρους καί αὐτό λάμψας ἐπωνόμασε. Τί δ᾽ ὁ θεῖος Διονύσιος οὗτος; Οὐκ ἐν τῇ Μυστικῇ θεολογίᾳ φανερῶς φησιν, ὡς ἡ ἀγαθή πάντων αἰτία, πάντων μέν ὑπερουσίως ὑπέρκειται, μόνοις δέ ἀπερικαλύπτως ἐκφαίνεται τοῖς καί τά ἐναγῆ πάντα καί τά καθαρά διαβαίνουσιν; Εἰ γοῦν ἐκείνοις

ἐκφαίνεται, καί ταῦτα ἀπερικαλύπτως, πῶς οὐδαμῶς ἐκφαίνεται; Εἰ δέ ἡ ἔκφανσις αὕτη ἡ κατά ἀπόφασίν ἐστι θεολογία καί αὐτή μόνη ἡ ἀκαταληψία, καθάπερ ὑμεῖς διισχυρίζεσθε, κατά ταύτην δέ καί Ἕλληνες θεολογοῦσιν, ὡς καί τοὖθ᾽ ὑμεῖς φατε, οὐκοῦν κἀκεῖνοι πᾶσαν καθαρότητα ὑπερέβησαν καί αὐτό τό θεῖον φῶς, τήν τῶν μελλόντων ἀγαθῶν ὑπόστασιν. Φεῦ, ὅτι τῶν μεμωραμένων σοφῶν ἡ γνῶσις οὐ μόνον καταλαμβάνει, ἀλλά καί ὑπερβαίνει τάς ἐπαγγελίας τῶν μελλόντων ἀγαθῶν. Ἀλλ᾽ οὐχ ὁ Θεοῦ λαλῶν σοφίαν Διονύσιος τοῦτ᾽ ἄν ποτε φαίη˙ τά γάρ θεῖα φῶτα καί τούς οὐρανίους ἤχους καί τάς πασῶν ἁγίων ἀκρότητας, ἅ δεῖν ἀπολιμπάνειν ἐφεξῆς εὐθύς ἐκεῖ κατέλεξε, τάς πρό τῆς ὑπωρείας ἐν Χωρήβ τοῦ Μωσέως καθάρσεις, τούς μετά τήν ὑπώρειαν ἀπαντήσαντας ἤχους καί τά προφανέντα τῶν φώτων θεάματα, τόν ἀπό τῶν πολλῶν ἀφορισμόν, τήν μετά ταῦτα πάντα οὐχ ὅρασιν Θεοῦ, ἀλλά τοῦ τόπου ἐν ᾧ ἔστη τοῦτο σημαίνοντος, ὅτι πᾶν ὅ αἰσθήσεως ἐνεργείᾳ ἤ νοός ὁρᾶται, ὑποθετικοί τινές εἰσι λόγοι τῶν ὑποβεβλημένων τῷ πάντα ὑπερέχοντι, δι᾽ ὧν ὑπέρ πᾶσαν ἐπίνοιαν οὐκ αὐτός μόνον, ἀλλά καί ἡ παρουσία αὐτοῦ δείκνυται˙ ὥστε (σελ. 516) ἡ τοῦ τόπου ἐκείνη θέα καί τήν κατά ἀπόφασιν θεολογίαν ὑπερβέβηκεν, ἥ τοῦτο ἔδειξεν αὐτό. Εἰ μέν οὖν μέχρι τῆς τοῦ τόπου τούτου θέας ἡ τοῦ Μωϋσέως ἦν ἀνάβασις, καλῶς ἄν ἴσως ἀπό τῶν τοιούτων μηδεμίαν θεωρίαν εἶναι μετά τήν κατά ἀπόφασιν θεολογίαν ἐδογμάτιζον. Ἐπεί δέ καί τῆς θέας τοῦ τόπου τούτου ἀπολύεται καί τότε εἰς τόν γνόφον εἰσδύνει τόν ὄντως μυστικόν ἐν τῇ πάσης γνωστικῆς ἐνεργείας ὑπεροχικῶς ἀποθέσει, «τῷ ἀγνώστῳ κατά τό κρεῖττον ἑνούμενος καί ὁρῶν καί γινώσκων τοῦτον ὑπέρ νοῦν», πῶς μόνον ἐν τῇ κατά ἀπόφασιν θεολογίᾳ τε καί θεωρίᾳ περικλείσομεν τήν ἐν τῷ θείῳ γνόφῳ θέαν; Ταύτην γάρ καί πρό τοῦ εἰσελθεῖν εἰς τόν ὑπέρφωτον γνόφον διά τοῦ τόπου ὁ Μωϋσῆς ἐθεάσατο˙ ὥστ᾽ ἄλλο τί ἐστι σαφῶς ἡ ἐν τῷ γνόφῳ ἕνωσις καί θέα, τῆς τοιαύτης θεολογίας διαφερόντως ὑψηλότερον.

Καί τί δεῖ λόγοις ἔτι διδάσκειν καί μή πράγματι δεικνύναι τήν ἀσφαλῆ τῶν ὑφ᾽ ἡμῶν λεγομένων ἀλήθειαν; Ἆρα γάρ ὁ Μωϋσῆς, πάντων ἀπολυθείς τῶν τε ὁρωμένων καί τῶν ὁρώντων πραγμάτων τε καί νοημάτων καί τήν θέαν ὑπερβάς τοῦ τόπου καί εἰς τόν γνόφον εἰσελθών, ἐν αὐτῷ ἑώρακεν οὐδέν; Ἀλλά μήν ἐκεῖ εἶδε τήν ἄϋλον σκηνήν, «ἥν δι᾽ ὑλικῆς μιμήσεως τοῖς κάτω ὑπέδειξεν»˙ αὕτη δ᾽ ἄν εἴη, κατά τούς τῶν ἁγίων λόγους, Χριστός ἡ Θεοῦ δύναμις καί Θεοῦ

αὐθυπόστατος σοφία, ἄϋλος έν οὖσα καί ἄκτιστος τῇ ἑαυτῆς φύσει, προδεικνῦσα δέ διά τῆς μωσαϊκῆς σκηνῆς ὅτι δέξεταί ποτε κατασκευήν καί εἰς σχῆμα ἥξει καί οὐσίαν ὁ ὑπερούσιος καί ἀσχημάτιστος λόγος, ἡ πάντα ὑπερέχουσα καί προέχουσα καί περιέχουσα σκηνή, ἐν ᾗ ἔκστισται καί συνέστηκεν ὅσα τε ὁρατά καί ὅσα ἀόρατα, καί σῶμα λαβών θέσει τοῦτο ὑπέρ ἡμῶν, ἀρχιερεύς μέν ὤν αὐτός προαιώνιος, ὕστερον δέ καί ὡς ἱερείῳ ἑαυτῷ χρώμενος ὑπέρ ἡμῶν. Διά τοῦτο, ἐν τῷ θείῳ γνόφῳ γεγονώς ὁ Μωϋσῆς, οὐ τήν ἄϋλον σκηνήν εἶδε μόνον καί δι᾽ ὕλης ὑπέγραψεν, ἀλλά καί αὐτήν τήν τῆς θεαρχίας (σελ. 518) ἱεραρχίαν καί τά κατά τήν νομικήν ἱερωσύνην ὑλικῶς καί ποικίλως διεζωγράφησε. Σύμβολα μέν οὖν αἰσθητά ἥ τε σκηνή καί τά κατά τήν σκηνήν πάντα, ἱερωσύνη τε καί τά καθ᾽ ἱερωσύνην παραπετάσματα τῶν ἐν τῷ γνόφῳ Μωσέως ὑπῆρχε θεαμάτων. Ἐκεῖνα δέ αὐτά τά θεάματα σύμβολα οὐκ ἦν˙ τοῖς γάρ καί τά ἐναγῆ πάντα καί τά καθαρά διαβαίνουσι καί εἰς τόν μυστικόν εἰσδύνουσι γνόφον ἀπερικαλύπτως ἐκεῖνα ἐκφαίνεται. Πῶς δ᾽ ἄν εἴη σύμβολα τά γυμνά παντός περικαλύμματος ἐκφαινόμενα; Διό καί ὁ τῆς Μυστικῆς θεολογίας ὑποφήτης εὐχόμενος, ἀρχόμενος, «τριάς ὑπερούσιε», φησίν, «ἴθυνον ἡμᾶς ἐπί τήν τῶν μυστικῶν ἀκροτάτην κορυφήν, ἔνθα τά ἁπλᾶ καί ἀπόλυτα καί ἄτρεπτα τῆς θεολογίας μυστήρια κατά τόν ὑπέρφωτον ἐγκεκάλυπται γνόφον». Ἔτ᾽ οὖν ἔχει τις εἰπεῖν ὡς οὐδέν ὁρᾶται ἐν τῷ θείῳ γνόφῳ καί μετά τήν κατά ἀπόφασιν θεολογίαν ὑψηλότερον θέαμα οὐδέν; ἤ τοῦτο γοῦν ὅτι συμβολικά πάντα τά τῶν ἁγίων θεάματα; καί συμβολικά τοιαῦτα, ὡς φαίνεσθαι μέν ποτε, εἶναι δ᾽ οὐδέποτε; Μωϋσῆς γάρ εἶδεν ἅ εἶδεν «ἐν τεσσαράκοντα ἡμέραις καί τοσαύταις νυξί», κατά τόν Νύσσης Γρηγόριον, τῆς ἀειδοῦς ζωῆς ὑπό τόν γνόφον μετέχων», ὥστε ἀνείδεα ἦν τά θεάματα ἐκεῖνα. Πῶς οὖν συμβολικά; Ἀλλά καί ἐν τῷ γνόφῳ ἑωρᾶτο˙ πάντα δέ τά ἐν τῷ γνόφῳ ἁπλᾶ καί ἀπόλυτα καί ἄτρεπτα. Τί δέ τῶν κυρίως συμβόλων, τῶν μεριστῶν καί αἰσθητῶν, οὐ τρεπτόν, οὐ σύνθετον, οὐ τοῖς οὖσι συνημμένον δηλονότι τοῖς κτιστοῖς;

Ἐπεί δ᾽ ἑώρα, ὁρατά ἦσαν τά προκείμενα˙ ἤ οὖν φῶς, ἐν φωτί ἄλλῳ ὑπῆρχον ὁρατά˙ ἀλλά ἁπλά πάντα τά ἐκεῖ˙ φῶς ἄρα πάντ᾽ ἐκεῖνα. Ἐπεί δ᾽ ἑαυτόν ὑπεραναβάς καί ἐν τῷ γνόφῳ γενόμενος ἑώρα, οὔτε κατ᾽ αἴσθησιν ἑώρα οὔτε κατά νοῦν˙ αὐτοπτικόν ἄρα ἐστί τό φῶς ἐκεῖνο καί τούς μέν μή ἀνομμάτους γενομένους νόας ὑπεροχικῶς ἀποκρύπτεται (πῶς γάρ τό αὐτοπτικόν καί αὐτονόητον δι᾽ ἐνεργείας

νοῦ (σελ. 520) ὁραθείη οἱασοῦν;), ὅταν δ᾽ ὑπεραναβάς πᾶσαν νοεράν ἐνέργειαν ὁ νοῦς ἀνόμματος ὑπεροχικῶς τελέσῃ, πληροῦται τῆς ὑπερκάλου ταύτης ἀγλαΐας, ἐν Θεῷ χάριτι γενόμενος καί διά τῆς ὑπέρ νοῦν ἑνώσεως αὐτό δι᾽ ἑαυτοῦ τό αὐτοπτικόν φῶς ἔχων ἀπορρήτως καί ὁρῶν. Τί οὖν; Οὐκέτι λοιπόν κρυφίον τό θεῖον εἴποι τις ἄν; Καί πῶς, ὅ γε οὐκ ἐξίσταται τῆς κρυφιότητος, ἀλλά καί τοῖς ἄλλοις μεταδίδωσι, κρύπτον αὐτούς ὑπό τόν θεῖον γνόφον; Οὐ γάρ ἔτι Μωσῆς ἑωρᾶτο τότε μόνος ἐν αὐτῷ γενόμενος, κατά τό γεγραμένον˙ τό δ᾽ ἔτι μεῖζον, ὅτι καί αὐτόν ἑαυτοῦ ὑπεραναβιβάσας καί ἀπολύσας ἀπορρήτως ἑαυτοῦ καί ὑπέρ πᾶσαν θείς αἰσθητικήν καί νοεράν ἐνέργειαν, κρύφιον αὐτόν ἑαυτῷ, ὤ τοῦ θαύματος, ἐποίησεν, ὡς καί τόν θεῖον Παῦλον, ὥσθ᾽ ὁρῶντας, αὐτούς μή εἰδέναι ἀλλά διαπορεῖν, τί ἦν ἐκεῖνο τό ὁρῶν˙ τό δ᾽ αὖθις ἔτι πᾶσαν παράδοξον ὑπερβολήν ὑπερβολήν καθ᾽ ὑπεροχήν ἐκβαῖνον, ὅτι καί ἐν αὐτῇ τῇ ἀπορρήτῳ καί ὑπερφυεῖ ἐκφάνσει κρύφιος ἐκεῖνος μένει καί αὐτοῖς τοῖς ἀπολυθεῖσι καί κρυβεῖσιν, οὐ τούς ἄλλους πάντας μόνον, ἀλλά καί ἑαυτούς. Τεκμήριον δέ τῆς ὑπεραγνώστου ταύτης κρυφιότητος, ἡ τοῦ Μωσέως ἐπί τήν τρανοτέραν θέαν ἔφεσίς τε καί αἴτησις καί ἀνάβασις, ἀλλά καί ἡ τῶν ἀγγέλων καί τῶν ἁγίων ἐν ἀπείρῳ αἰῶνι διηνεκής ἐπί τά φανότερα τῶν θεαμάτων προκοπή, ὥστε καί ὁρῶντες αὐτῇ τῇ ὁράσει ὑπέρ ὅρασιν γινώσκουσι τό φῶς ἐκεῖνο, πόσῳ μᾶλλον τόν δι᾽ αὐτοῦ ἐπιφαινόμενον Θεόν. Καί ὁ ὀφθαλμός γάρ ὁ ἡμέτερος, τῷ ἡλιακῷ ἐνατενίσας δίσκῳ, όρπων αὐτόν, ὑπέρ ὅρασιν γινώσκει.

Καί μηδείς πάλιν τῷ μή πάντῃ καταλλήλῳ τοῦ παραδείγματος ἐπιφυέσθω˙ τοῦτο δ᾽ ἐνοείτω μόνον, ὅτι τοῖς ἐν ἀποκαλύψει τό θεῖον θεωμένοις φῶς τό ὑπερβάλλον τῆς κρυφιότητος τῆς θείας μηδέν ἧττον ὅτι μή καί μᾶλλον καί (σελ. 522) καί διαφερόντως μᾶλλον ἤ ἡμῖν ἐπιγινώσκεται, τοῖς διά συμβόλων ἤ τῶν ἀπό τούτων νοημάτων ἤ δι᾽ ἀποφάσεως ἐπιχειροῦσι τό ἀκατάληπτον συνορᾶν τῆς θείας φύσεως, ὅτι ἀκατάληπτον. Οἶδε γάρ καί ὁ τυφλός, ἀκούσας καί πιστεύσας, ὅτι ἡ φαιδρότης τοῦ ἡλίου τήν συμμετρίαν ὑπερβαίνει τῶν αἰσθητῶν ὀμμάτων, ἀλλ᾽ οὐχ ὡς ὁ ὁρῶν˙ καί τοῦ ἡλίου δ᾽ ὄντος ὑπό γῆν, νοητῶς ἔχομεν ὁρᾶν αὐτόν, οὐ μόνον οἱ δ᾽ ὑγιοῦς ὄψεως πεπειραμένοι, ἀλλά καί ὅστις τῶν πεπηρωμένων μέν, τοῖς δ᾽ ὁρῶσι πειθομένων. Καί οὐ μόνον, ἀλλ᾽ ὅτι καί ὑπέρ τήν ὄψιν ἔχει τήν λαμπρότητα ὁ τοῦ ἡλίου δίσκος εἰδείη ἄν καί ὁ τούς ὀφθαλμούς ἐκκεκομμένος˙ μετέχειν δέ καί ἀπολαύειν τοῦτον τοῦ φωτός ἀμήχανον. Οὕτω τοίνυν καί τόν Θεόν

νοητῶς ὁρᾶν καί ὑπέρ νοῦν αὐτόν δι᾽ ἀποφάσεως γινώσκειν γένοιτ᾽ ἄν καί τοῖς πρός βραχύ πεπειραμένοις τῆς ἐκείνου θέας καί τοῖς μήπω διάρασι τό ὑπέρ νοῦν ἐκεῖνο τῆς ἑνώσεως ὄμμα πρός αὐτόν, πειθομένοις δ᾽ ὅμως τοῖς διάροσιν, ἀλλ᾽ οὐχ ἕνωσίς ἐστιν αὕτη ἡ ὅρασις˙ καί ὁ μή πιστεύων δέ τοῖς διά τῆς ὑπέρ νοῦν ἑνώσεως ὁρῶσιν ὑπέρ νοῦν καί αὐτός τό θεῖον δοξάσειεν ἄν, ἀλλ᾽ ὑπέρ τάς νοητικάς αὐτοῦ δυνάμεις μόνας. Ὁ δέ πᾶσαν τήν πρός τά κάτω σχέσιν τῆς οἰκείας ἀφελών ψυχῆς καί ἐκ πάντων ἀπολυθείς δά τῆς τῶν ἐντολῶν τηρήσεως καί τῆς ἐκ ταύτης ἀπαθείας, καί ὑπερβάς πᾶσαν γνωστικήν ἐνέργειαν δι᾽ ἐκτενοῦς καί εἰλικρινοῦ καί ἀΰλου προσευχῆς, κἀκεῖ δι᾽ ἑνώσεως ἀγνώστου καθ᾽ ὑπεροχήν περιλαμφθείς τῷ ἀπροσίτῳ φέγγει, μόνος οὗτος, φῶς γεγονώς καί διά τοῦ φωτός θεώμενος καί φῶς ὁρῶν ἐν τῇ τοῦ φωτός ἐκείνου θέᾳ τε καί ἀπολαύσει, καί τό ὑπερφαές καί ἀπερινόητον ὄντως γινώσκει τοῦ Θεοῦ, οὐχ ὑπέρ τήν νοητικήν μόνην δύναμιν τοῦ νοῦ, τήν ἀνθρωπίνην ταύτην, δοξάζων τόν Θεόν – πολλά γάρ καί τῶν κτιστῶν ὑπέρ αὐτήν εἰσιν -, ἀλλά καί ὑπέρ τήν ὑπερφυεστάτην ἕνωσιν ἐκείνην, (σελ. 524) δι᾽ ἧς μόνης τοῖς τῶν νοητῶν ἐπέκεινα ὁ νοῦς ἑνοῦται «ἐν θειοτέρᾳ μιμήσει τῶν ὑπερουρανίων νόων».

Ἀλλά τούτων μέν ἅλις. Ἐκεῖνο δ᾽ ἐπαναλαβόντες λέγομεν, ὡς τήν ὑπέρ θέαν ὅρασιν ταύτην, εἴ τις νόησιν ὑπέρ πᾶσαν νοεράν ἐνέργειαν ἐθέλει καλεῖν, διαφέρεται πρός ἡμᾶς οὐδέν. Ὁ μέντοι φιλόσοφος οὗτος, νομίσας ὅρασιν ἡμᾶς τουτί μόνον ἀφωρισμένως, ἀλλ᾽ οὐχί καί νόησιν ἀπερινόητον καλεῖν, κατ᾽ αὐτοῦ τοῦ ὀνόματος τῆς ὁράσεως, ἐμάνη, καί μανείς οὐμενοῦν ἐπαινετήν μανίαν, ἐγκαταλειφθείς περί τούς λόγους τούτους, κατά τῆς προφητικῆς χάριτος ἥμαρτεν ὡς πλεῖστα. Τριῶν δ᾽ ἡμεῖς ἤ τεττάρων ἁμαρτημάτων ἔλεγχου διά βραχέων ποιησάμενοι τῶν ἄλλων ἀφεξόμεθα. Δεῖξαι τοίνυν αὐτός ἀγωνιζόμενος ὡς ἡ ὅρασις πολλῷ χείρων τῆς νοήσεως, «πάντα τά τοῖς προφήταις δεδειγμένα, χείρους νοήσεως», φησιν «ὁράσεις, ὡς διαπεπλασμένα καί διαγεγραμμένα καί κατά φαντασίαν ἐκπεφασμένα». Ὅτι μέν οὖν ἐν ἐκστάσει γενόμενον τῶν προφητῶν οἱ πλείους τάς πλείους εἶδον τῶν ὁράσεων, οὐδείς ὅς ἀμφιγνοεῖ τῶν κατ᾽ αὐτούς λογίων καί μετρίων ἐπακούσας. Τί οὖν; τήν ἐπί τό χεῖρον ἔκστασιν πάσχοντες Θεόν ἑώρων οἱ προφῆται; Καί τίς ἄν τοῦτο εἴποι, μή τήν ἐπί τό χεῖρον ἔκστασιν αὐτός παθών; Τί δ᾽ ὅτε τῷ Μωϋσῇ φανῆναι ὁ Θεός αὐτός φησιν «ἐν εἴδει καί οὐ δι᾽ αἰνιγμάτων»; Ἆρα καί

τότε τήν χείρω ἔκστασιν ἐξέστησεν αὐτόν; Τί δ᾽ ὅτε τεσσαράκοντα ἡμέρας ὅλας ἑαυτοῦ ἐξεστηκώς καί τῆς ἀειδοῦς ζωῆς ὑπό τόν γνόφον μετέχων, ἑώρα τε καί ἤκουεν; Ἆρα τήν χείρω ἔκστασιν ἐξέστη; Ὄντως τῆς ἀληθείας ὡς πορρωτάτω ἐξέστηκεν ὁ ταῦτα γράφων.

Διπλασιάζεται δέ αὐτῷ ἐνταῦθα τό ἁμάρτημα˙ τοῦ γάρ μεγάλου Διονυσίου κἀνταῦθα, ὡς ταὐτά φρονοῦντος καί τάς προφητικάς ὁράσεις πάσας ὡς χείρους νοήσεως εἰπόντος, καταψεύδεται ἐκεῖνο˙ τῶν αὐτῷ γεγραμμένων προβαλλόμενος, ὡς «ἀπό τινων θείων φαντασμάτων τούς μύστας ἤ (σελ. 526) τούς προφήτας καταλαμψάντων, κατ᾽ ἄλλας καί ἄλλας αἰτίας τε καί δυνάμεις, ὁ Θεός ὀνομάζεται». Καί μήν οὗτος σαφῶς κἀνταῦθα «κατ᾽ ἄλλας καί ἄλλας αἰτίας τε καί δυνάμεις» φησίν, ὡς καί ὁ Θεός λέγει ὅτι τῷ μέν ὄναρ, τῷ δέ ὕπαρ – δι᾽ αἰνιγμάτων μέντοι – τῷ δέ Μωϋσῇ «ἐν εἴδει καί οὐ δι᾽ αἰνιγμάτων» ὤφθη. Πῶς οὖν πάντες οἱ προφῆται κατά μόνην τήν φανταστικήν τῆς ψυχῆς δύναμιν ἑώρων; Ἀλλά καί ἡ θεία φαντασία πολύ διενήνοχε τῆς καθ᾽ ἡμᾶς ἀνθρωπίης φαντασίας˙ καί γοῦν ἐκείνη μέν τό καθ᾽ ἡμᾶς ἡγεμονικόν καί ὄντως ἀσώματον τυποῖ, ἡ δέ καθ᾽ ἡμᾶς φαντασία ἐν τῷ σωματοειδεῖ γίνεται τῆς καθ᾽ ἡμᾶς ψυχῆς˙ καί τό μέν τυπούμενον ἐκεῖ τῆς λογικῆς ψυχῆς ἐστι τό κορυφαῖόν τε καί ἀκρότατον, ἐν ἡμῖν δέ τό τῶν ψυχικῶν δυνάμεων σχεδόν ἔσχατον˙ καί τυποῦται τοῦτο μέν ὑπό τῶν ἀπ᾽ αἰσθήσεως κινημάτων, ἐκεῖ δέ, τί ἐστι τό τυποῦν τό ἡγεμονικόν τῶν προφητῶν, εἰ θέλεις μαθεῖν, τοῦ μεγάλου Βασιλείου ἄκουσον˙ ἑώρων γάρ, φησίν, οἱ προφῆται «τυπούμενοι τῷ Πνεύματι τό ἡγεμονικόν»˙ ὥστε τό Πνεῦμα ἐστι τό ἅγιον τό ἐφιζάνον τῷ νῷ τῶν προφητῶν καί ὡς ὕλῃ χρώμενον τῷ ἡγεμονικῷ καί ἐν αὐτῷ δι᾽ ἑαυτοῦ τά μέλλοντα προκαταγγέλλον αὐτοῖς καί δι᾽ αὐτῶν ἡμῖν. Πῶς οὖν τοῦτο φαντασία, τῇ ἡμετέρᾳ φαντασίᾳ κατάλληλός τε καί ὁμότιμος; Πῶς δέ χείρων τῆς καθ᾽ ἡμᾶς νοήσεως ἡ φαντασία αὕτη; Μᾶλλον δέ πῶς οὐχί καί ἀπό τούτου δείκνυται φῶς ὄν, νῷ θεωρητόν, ἕτερον παρά τήν νόησιν, καί ὁράσεις οὔτε αἰσθηταί οὔτε φανтασταί, καί ἄλλαι παντάπασι παρά τήν ἀπό τῆς διανοίας γνῶσιν;

Ἀλλ᾽ ὁ φιλόσοφος καί ἄλλην χρῆσιν παράγει τοῦ μεγάλου λέγουσαν, «ὁ τήν ὅρασιν διαπλάσας ἄγγελος, εἰς τό μυῆσαι τά θεῖα τόν θεολόγον, κἄν τούτοις φησί, «τῷ μέν εἰπεῖν διαπλάσας τό κατά φαντασίαν δεδήλωκεν˙ οὐδείς γάρ τῶν (σελ. 528) ὅσα ὁ νοῦς δι᾽ ἑαυτοῦ θεᾶται διαπέπλασται». Τούτῳ τοίνυν εἴ τις πεισθείη τῷ

φιλοσόφῳ, καί τάς οὐρανίους ὑπολήψεται κυριότητάς τε καί δυνάμεις ἔκστασιν νοήσεως, ὢ τοῦ θαύματος, ἐπί τό χεῖρον πάσχειν καί σωματοειδεῖς κατά φαντασίαν αὐτῶν εἶναι τάς ὁράσεις, καί μή μόνον τάς ὁράσεις τούτων, ἀλλά καί αὐτάς τάς ὑποστάσεις αὐτῶν καί οὐσιώδεις ὑπάρξεις φαντασίᾳ τυγχάνειν ἐμφερεῖς. Φησί γάρ ὁ αὐτός ἅγιος ἐν ὀγδόῳ τῆς Οὐρανίας Ἱεραρχίας, τήν τῶν ἁγίων κυριοτήτων ἐκφαντορικήν ἐπωνυμίαν ἐξυμνῶν, ὡς τῆς ὄντως κυριαρχίας ἡ κυριότης αὐτῶν ἐφίεται «πρός τήν αὐτῆς κυρίαν ἐμφέρειαν ἑαυτήν τε καί μεθ᾿ ἑαυτήν ἀγαθοειδῶς διαπλάττουσα». Εἰ τοίνυν μηδέν ὅσα ὁ νοῦς δι᾿ ἑαυτοῦ θεᾶται διαπέπλασται καί τά διαπλαττόμενα πάντα φανταστά ἐστιν ἤ καί αἰσθητά καί κατά τοῦτο πολλῷ χείρω τῶν νοουμένων ὑφ᾿ ἡμῶν, οὐ νοητήν λοιπόν ἔχουσιν αἱ κυριότητές τε καί δυνάμεις τήν πρός τόν Θεόν ἐμφέρειαν, ἀλλά σωματοειδῆ καί φαντασιώδη καί ἀνθρωπίνης χείρονα νοήσεως, ὡς διαπεπλασμένην οὖσαν. Εἰ δέ τήν πρός Θεόν ἐμφέρειαν τοιαύτην ἔχουσι, πῶς ἄν εἶεν ἐκεῖναι νοεραί τήν φύσιν;

Ὁ δέ φιλόσοφος καί ἐξ ἑτέρας αὖθις τοῦ αὐτοῦ ρήσεως συνάγειν τό αὐτό˙ τοῦ τυποῦντος γάρ ἀκούσας τήν ὅρασιν ἀγγέλου, κατά δύναμιν τῷ θεολόγῳ μεταδιδόντος τῆς οἰκείας ἱερογνωσίας, «πῶς», φησίν, «ἡ τυπωθεῖσα ὅρασις οὐκ ἄν εἴη φανταστόν»; Ἀλλ᾿ ἡμεῖς πάλιν ἐκ τῆς Οὐρανίου χορείας ἐκτρέψομεν αὐτόν. «Αἱ γάρ ἅγιαι», φησί, «τῶν οὐρανίων οὐσιῶν διακοσμήσεις, νοητῶς ἐπί τό θεομίμητον ἑαυτάς ἀποτυποῦσαι καί πρός τήν θεαρχικήν ἐμφέρειαν μορφοῦν ἐφιέμεναι τό νοερόν αὐτῶν εἶδος, ἀφθονωτέρας εἰκότως μετέχουσι τῆς θείας κοινωνίας». Ὁρᾷς καί τύπους νοητούς; Πῶς οὖν ἀπό τῶν ὀνομάτων τούτων τήν χείρω πάσχειν ἔκστασιν ᾠήθης τούς προφήτας; Ἐγώ γάρ ἀπό τῶν ὀνομάτων τούτων οὐκ ἀνθρωπίνης χείρω διανοίας τά προφητικά θεάματα ἐνάγομαι (σελ. 530) νομίζειν, ἀλλά νοῦ τοῦ καθ᾿ ἡμᾶς κρείττω, καί ἰσαγγέλους εἰδέναι διδάσκομαι τάς αὐτῶν θεωρίας. Πρός γάρ ἀγγελικήν ἕνωσιν ἐπιτηδείους ἑαυτούς ἐκεῖνοι διά καθαρότητα ποιήσαντες καί τῇ πρός τό θεῖον ἀνατάσει συνημμένοι τούτοις, διαπλάττονται καί αὐτοί τυποῦνται ὑπ᾿ αὐτῶν ὡς ἐκεῖνοι ὑπό τῶν προβεβηκότων ἀγγέλων κατά τάξιν καί τό νοερόν αὐτῶν εἶδος πρός θεοειδῆ μόρφωσιν μετασκευάζονται καί διά τῆς ἱερᾶς μορφώσεως ταύτης τήν ἱερογνωσίαν ὥσπερ ἑαυτοῖς ἐγγεωργοῦσιν ἐκεῖθεν καταβεβλημένην. Καί τί θαυμαστόν, εἰ τῶν ἰσαγγέλων τύπων διαπλάσεων ἡ προφητική τυγχάνει καθαρότης, συλλειτουργός κατά

τήν θεολογίαν ὑπάρχουσα αὐτῶν, ὅτε καί αὐτούς τούς τοῦ Θεοῦ τύπους αὕτη δέχεσθαι μαρτυρεῖται δύνασθαι; «Καρδίαι» γάρ, φησί, «καθαρά ἐστιν ἡ παντάπασιν ἀνείδεον τῷ Θεῷ παραστήσασα τόν νοῦν καί τοῖς αὐτοῦ ἕτοιμον ἐνσημαίνεσθαι τύποις, δι᾿ ὧν ἐμφανής πέφυκε γίνεσθαι».

Ζαχαρίας δέ ὁ Βαραχίου καί αὐτό τό ἐν ἡμῖν Πνεῦμα πλάττεσθαι ὑπό Θεοῦ ἐδίδαξεν, εἴτε τήν ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι προαγωγήν ἐκ Θεοῦ εἶναι τοῦ καθ᾿ ἡμᾶς Πνεύματος δεικνύς, εἴτε τήν ἐπί τό κρεῖττον ἀνάπλασιν καί εἰς τό εὖ εἶναι μεταποίησιν· «λῆμμα» γάρ, φησί, «λόγου Κυρίου ἐπί τόν Ἰσραήλ· λέγει Κύριος, ὁ ἐκτείνων τόν οὐρανόν καί θεμελιῶν τήν γῆν καί πλάσσων πνεῦμα ἀνθρώπου ἐν αὐτῷ». Τί οὖν; Καί τό ἐν ἡμῖν πνεῦμα σῶμα, ἐπειδή πλάττεται προαγόμενον ἤ μετασκευαζόμενον; Ὁ δέ πλάστης μέν ἀγαθός αὐτός εἶναι καί τοῖς ποθοῦσι εὐχόμενος, διαπλασθῆναι δέ φάσκων ἔτ᾿ ὄντα παῖδα τόν φίλον ἑταῖρον ὑπό τῷ κοινῷ παιδευτῇ τοῦ Πόντου, «πλάσιν τήν ἀρίστην τε καί καθαρωτάτην», ἆρα τήν πλαστικήν τῶν σωμάτων τέχνην ἐγκωμιάζει καί ποθεινήν ἡγεῖται καί εὔχεται; Πῶς δέ καί συνίησιν ὁ Θεός εἰς πάντα τά ἔργα ἡμῶν κατά τόν θεῖον Δαυίδ διά τό πλάσαι κατά μόνας τάς καρδίας ἡμῶν, εἰ μή καρδίαν ἐνταῦθα (σελ. 532) παρ᾿ αὐτοῦ πλασθεῖσαν τόν ἔσω νοήσομεν ἄνθρωπον; Καί ὁ Μωϋσῆς δέ, διημερεύων τε καί διανυκτερεύων ὑπό τόν γνόφον ἐν τῇ ἀνειδέῳ ἐκείνῃ ζωῇ, οὐ θείους τύπους εἶδε; «Ποιήσεις» γάρ, φησί, πάντα «κατά τόν τύπον τόν δειχθέντα σοι ἐν τῷ ὄρει». Τί οὖν; κἀκεῖνος ἐν τῷ θείῳ γνόφῳ γεγονώς ἐπί τό χεῖρον ἐξέστη καί φανταστικῶς ἑώρα, ἐπειδή τύπον ἀναγέγραπται ἰδών;

Ἀλλ᾿ ὁ μηδεμίαν διαφοράν αἰσθητῶν καί φανταστῶν καί νοητῶν καί θείων τύπων ἐπιστάμενος φιλόσοφος, ἀκούων ὅτι ἐμάνθανε τοῖς ὁρωμένις ὁ θεολόγος τά καί τά καί ὑπό τῆς διαπλασθείσης ὑπό τοῦ ἀγγέλου ὁράσεως ἐμυεῖτο καί πρός τήν νοητήν γνῶσιν ἀνήγετο τῶν ὄντων ἤ ὁρωμένων, κἀντεῦθεν συνάγει ὅτι «κρεῖττον γνῶσις θεωρίας, ἐπειδή ἀπό ταύτης ὁ προφήτης ἐπί τήν γνῶσιν ἀνήγετο, φησίν, ἀλλ᾿ οὐ κατήγετο». Οὐκοῦν, εἴποι τις ἄν, καί πάντες οἱ διεξοδικῶς ἡμῶν τόν τῶν λογίων ἑρμηνεύοντες νοῦν ὡς ἀπό χειρόνων ἐπί τό βέλτιον ἡμᾶς ἀνάγουσι, καί ὁ μέν Κύριος λόγον συντετμημένον τό εὐαγγέλιον δούς ἐπί τῆς γῆς, τό χεῖρον δέδωκεν ἡμῖν, οἱ δέ διευκρινοῦντες ἐξιστᾶσι τοῦ εὐαγγελίου καί ὡς ἐπί τι κρεῖττον τήν ἐκείνων ἡμᾶς ἀνάγουσι διάνοιαν; Ἄπαγε τῆς κακονοίας· ἀλλά τῶν μέν λογίων οὐκ ἀφιστᾶσιν,

ἐξ ἐκείνων δέ, ὡς αἰτίων γνώσεως ὄντων καί πηγῆς φωτός ἀενάου λαβόντες καί αὐτοί οἱ διδάσκοντες τήν γνῶσιν, ἐκ τῆς προσούσης ἡμῖν ἀμαθίας ἐπί τό κρεῖττον τήν γνῶσιν ἀνάγουσιν. Ἐπί γάρ τῶν τοιούτων αἱ προθέσεις αὗται, ποῦ μέν κινήσεώς εἰσι δηλωτικαί, ποῦ δέ αἰτίας. Ὅταν οὖν λέγῃ ἡ Γραφή, ὡς ἐκ τῆς θεωρίας ὁ προφήτης ἐμυεῖτο ἤ ἄγγελος αὐτόν ἀνῆγεν ἐκ τῆς θεωρίας εἰς τήν μύησιν, οὐ τοῦτό φησιν, ὡς ἀπεκίνει αὐτόν τῆς θεωρίας, ἀλλ᾽ ὡς ἐξ αἰτίας ἐκείνης καί χορηγοῦ τῆς γνώσεως τά πρίν μή γινωσκόμενα ὁ προφήτης ἐδιδάσκετο, καί ὁ ἄγγελος, καθαρώτερον συνιεῖς τά τῆς θεωρίας ὅτε (σελ. 534) ἄγγελος, ἐξηγεῖτο τῷ προφήτῃ καί ἀνῆγεν αὐτόν ἀπό τῆς ἀμαθίας ἐπί τήν σύνεσιν. Ἡ μέν οὖν ἀμαθία, ἐξ ἧς ἀπεκινεῖτο, χεῖρον τῆς γνώσεως εἰς ἥν ἀνήγετο, ἡ δέ διδοῦσα τήν γνῶσιν ὅρασις, καί ἡ θεομιμήτως συνεπτυγμένην ἔχουσα αὐτήν ἐν ἑαυτῇ, πῶς οὐ κρεῖττον τῆς παρ᾽ αὐτῆς χορηγουμένης γνώσεως; Ἔδει δ᾽ ὅμως τόν κατά τῶν πατέρων χωρήσαντα μηδέ τούς προφήτας ἀνεπηρεάστους καταλεῖψαι. Πρῶτοι γάρ εἰσιν ἐκεῖνοι πατέρες καί τῶν πατέρων πατέρες ἐν Πνεύματι˙ ἔδει τοίνυν κοινωνῆσαι καί τῆς ἐπηρείας.

Κόρον δ᾽ ἤδη λαβών τῆς πρός τούς πατέρας τε καί προφήτας ἀγωνίας ὁ πρόφασιν τούς ἡσυχίαν ἀσπαζομένους εὑρόμενος εἰς τό πᾶσιν, ὡς εἶπεν, ἐπιθέσθαι τοῖς θείοις, τῶν μυστικωτάτων ἔπειτα τοῦ εὐαγγελίου ρημάτων ἐξηγητήν ἑαυτόν προκαθίζει καί διδάσκειν ἀξιοῖ, πῶς οἱ κεκαθαρμένοι τήν καρδίαν ὁρῶσι τόν Θεόν καί πῶς σύν τῷ Πατρί ὁ Υἱός ἔρχεται καί μονήν ποιεῖται παρ᾽ αὐτοῖς. «Ὁρῶσι τοίνυν», φησίν, «οἱ κεκαθαρμένοι τήν καρδίαν τόν Θεόν οὐκ ἄλλως, ἀλλ᾽ ἤ κατά ἀναλογίαν ἤ κατ᾽ αἰτίαν ἤ κατά ἀπόφασιν˙ θεοπτικώτερος δ᾽ ἐκεῖνος, ὅς πλείω οἶδε τῶν τοῦ κόσμου μερῶν ἤ τά κρείττω, καί ἔτι μᾶλλον ὁ μᾶλλον οὗ γινώσκει τήν γνῶσιν ἔχων, θεοπτικώτατος δ᾽ ἁπάντων ὅς τάς τε ἐμφανεῖς ἔγνω τοῦ κόσμου μερίδας καί τάς ἀφανεῖς δυνάμεις, τάς πρός γῆν καί τἄλλα τῶν στοιχείων συμπαθείας καί τάς πρός ἄλληλα ταὐθ᾽ ἅπαντα ἐναντιοπαθείας, τάς διαφοράς, τάς ἰδιότητας, τάς κοινωνίας, τάς ἐνεργείας, τάς συναφείας, τάς ἐφαρμογάς, τάς ἁρμονίας καί ἁπλῶς τ᾽ ἄρρητα καί τά ρητά τοῦ ὅλου τοῦδε συνθήματα˙ ᾧ γάρ ἄν», φησί, «καλῶς ὑπῆρξε ταῦτα πάντα θεωρεῖν, ἐκεῖνος καί ὡς τούτων πάντων αἴτιον τόν Θεόν γινώσκειν δύναται καί ἐκ τούτων πάντων αἴτιον τόν Θεόν γινώσκει καί τούτων πάντων ὑπερτιθείς δι᾽ ἀποφάσεως αὖθις ὑπέρ πάντ᾽ ἐπίσταται αὐτόν. «Ἐπεί γάρ», φησίν, «ἐκ τῶν ὄντων μόνων

ὁ Θεός γινώσκεται, οὐκ ἐξ ὧν δήπου (σελ. 536) ἀγνοεῖ τις, ἀλλ᾽ ἐξ ὧν μόνων γινώσκει γνώσεται Θεόν. Ὥστε ὅσῳ πλείω τις γινώσκει καί σεμνότερα καί ἀκριβέστερον, τοσούτῳ διαφέρει τῶν ἄλλων πρός τό γινώσκειν τόν Θεόν˙ καί αὐτός δέ ὁ κατά ἀπόφασιν τῆς θεογνωσίας τρόπος, ὅς δοκεῖ μάλιστα τήν τῶν ὄντων ἀτιμάζειν ἐπί Θεοῦ γνῶσιν, τῆς τῶν ὄντων ἁπάντων γνώσεως χωρίς παραγενέσθαι οὐ πέφυκεν˙ὧν γάρ τάς ὑπάρξεις γινώσκομεν, τούτων μόνων χωρεῖ καί τάς ἀναιρέσεις γινώσκειν».

Ὢ οἵας ἀφῆκε καθ᾽ ἑαυτοῦ τάς φωνάς, οὐδέν δ᾽ ὅμως ἀπᾳδούσας ταῖς ἄλλοθι γνώμαις αὐτοῦ˙ τέλειον γάρ οὗτος ἄνθρωπον ἀλλαχοῦ καί σοφόν ὁρίζεται τόν πάντα εἰδότα. Εἰ τοίνυν, ὡς ἄρτι κἀνταῦθ᾽ οὗτος ἀπεφήνατο, τούτων μόνων ἔνι καί τάς ἀναιρέσεις γινώσκειν καί ἐκ τούτων μόνων ἀποφάσκειν τό θεῖον, ὧν ἔχομεν τήν κατάληψιν, Θεόν εἶναι δεήσει, βαβαί τῆς ἀτοπίας, τόν ἐκ τῆς πάντων ἀφαιρέσεως Θεόν γνωσόμενον. Ἤ γάρ τά ὄντα πάντα τις εἰδείη ἄν, ὡς ἄν ἐκ τῆς πάντων ἀφαιρέσεως εἰδείη Θεόν, καί Θεόν ἡμῖν ἑαυτόν εἰσάγει – Θεοῦ γάρ μόνου τό εἰδέναι τά πάντα - ἤ, εἴ τι ἀγνοεῖ, τοῦτο ἥγηται Θεόν˙ ὅ γάρ ἀγνοεῖ, ἀφαιρεῖν αὐτοῦ τό θεῖον, ὡς οὗτος ἔφησεν, ἀδύνατον. Καί εἰ, ὧν αὖθις γινώσκει τις, τούτων μόνων αἴτιον γινώσκει Θεόν, ὅσα τήν γνῶσιν αὐτοῦ διαπέφευγε, τούτων οὐκ αἴτιον ἡγεῖται Θεόν˙ οὐκοῦν, συμμετρήσει τῷ κόσμῳ τήν θείαν δύναμιν, οὐ γάρ πλείω γνώσεται τοῦδε τοῦ παντός οὗτος. Ἀλλ᾽ ἡμεῖς, ὑπεραρθέντες τῆς γνώσεως, μυρίους ἀναπεπείσμεθα κόσμους, οὐχ ὁμοίους μόνον ἀλλά καί διαφόρους, Θεῷ προαγαγεῖν τῶν εὐχερεστάτων ὄν καί ἐκ πάντων ὁλικῶς ἀποφάσκομεν τό θεῖον, κἀκ τῶν μήπω ἐγνωσμένων γινώσκομεν τήν ἀπειροδύναμον δύναμιν. Οὕτως ὁ Παῦλός φησι καθῆσθαι τόν Χριστόν ἐπάνω παντός ὀνόματος οὐ μόνον τοῦ ὀνομαζομένου, τουτέστιν ἐγνωσμένου, ἐν τῷ νῦν αἰῶνι, ἀλλά καί ἐν τῷ μέλλοντι γνωσθησομένου, καί ἀπό (σελ. 538) τῶν μή ἐγνωσμένων αὐτῷ τήν μεγαλωσύνην τοῦ Θεοῦ ἐξαίρων οὕτως ἀλλαχοῦ που τῶν ἐπιστολῶν, εἰπών «τίς ἡμᾶς χωρήσει ἀπό τῆς ἀγάπης τοῦ Χριστοῦ;» καί ἀπαριθμήσας πάντα τά αἰσθητά καί νοητά, τά ἐνεστῶτα καί τά μέλλοντα, ἐπήγαγεν, «οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπό τῆς ἀγάπης τοῦ Θεοῦ», ἐκ τῶν ὄντων καί τά μή ὄντα συνορῶν καί κατ᾽ ἐκείνων ὡς ὄντων ἀποφαινόμενος. Οἱ δέ ἐξ ἑνός μυρίους καί ἐκ τοῦ πεπερασμένου τήν ἄπειρον συνιέντες δύναμιν, πῶς οὐκ ἐκ μετρίων τῶν κατ᾽ αὐτόν ἅπαντα γνωσόμεθα, ὡς ἐξ ὀνύχων φασί τόν

λέοντα καί ἐκ κρασπέδου τό ὕφασμα, καί οὕτω πάντων αἴτιον ἐπιγνωσόμεθα Θεόν καί ἀπό πάντων τούτων ἀφαιρήσομεν καί τό τήν ἐκ τῶν ὄντων θεογνωσίαν ὑπερβαῖνον, ὡς ἐξ οὐκ ὄντων λόγῳ μόνῳ ἅπαντα παρήχθη, διά πίστεως προσθήσομεν;

Κοινή μέν οὖν αὕτη πᾶσι τοῖς εἰς Χριστόν πεπιστευκόσιν ὑπέρ ἔννοιαν γνῶσις· τό δέ δή τῆς ἀληθοῦς πίστεως ταύτης τέλος, ὅ διά τῆς τῶν ἐντολῶν ἐργασίας προσγίνεται, οὐκ ἐκ τῶν ὄντων μόνων καί γνωστῶν καί ἀγνώστων τήν θεογωσίαν παρέχεται - ὄντα γάρ ἐνταῦθα τά κτιστά πάντως λέγομεν - ἀλλ᾽ ἐκ τοῦ ἀκτίστου φωτός, ὅ Θεοῦ ἐστι δόξα καί Χριστοῦ Θεοῦ καί τῶν τῆς χριστοειδοῦς ἐφικομένου λήξεως· ἐν τῇ δόξῃ τοῦ Πατρός ὁ Χριστός ἐλεύσεται, ἐν τῇ δόξῃ τοῦ Πατρός αὐτῶν Χριστοῦ «οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος» καί φῶς ἔσονται καί φῶς ὄψονται, τό μόνης τῆς κεκαθαρμένης καρδίας ἐπίχαρι καί πανίερον θέαμα, ὅ νῦν μέν καί τοῖς τά ἐναγῆ πάντα δι᾽ ἀπαθείας καί τά καθαρά διά τῆς εἰλικρινοῦς καί ἀΰλου διαβεβηκόσι προσευχῆς ἐν ἀρραβῶνος μέρει μετρίως προφαίνεται, τότε δέ τούς υἱούς τῆς ἀναστάσεως ἐμφανῶς θεοποιήσει, συνδιαωνίζοντας καί συνδοξαζομένους τῷ μεταδόντι τῇ καθ᾽ ἡμᾶς φύσει θείας δόξης τε καί λαμπρότητος. Δόξα δέ καί λαμπρότης οὐδ᾽ ἐπί τῶν (σελ. 540) κτιστῶν οὐσία ποτ᾽ ἄν εἴη· πῶς οὖν Θεοῦ δοξάσειεν ἄν τις οὐσίαν εἶναι τήν Θεοῦ δόξαν, Θεοῦ ὅς, ἀμέθεκτος ὤν καί ἀόρατος καί ἀναφής, καθ᾽ ὑπερούσιον δύναμιν μεθεκτός γίνεται καί χωρεῖται καί διαφαίνεται καί ἕν ἐν θεωρίᾳ Πνεῦμα μετά τῶν διά καθαρᾶς καρδίας ἐντυγχανόντων γίνεται, κατά τήν πρός τόν ἴδιον πατέρα τοῦ κοινοῦ Πατρός ὑπέρ ἡμῶν μυστικωτάτην καί ἀπόρρητον εὐχήν; «Δός γάρ αὐτοῖς», φησίν, «ἵνα καθάπερ ἐγώ, Πάτερ, ἐν σοί καί σύ ἐν ἐμοί, καί αὐτοί ἐν ἡμῖν ἕν ὦσιν» ἐν ἀληθείᾳ. Τοιαύτης τοίνυν οὔσης θέας τοῦ Θεοῦ, ἥν μόνοι οἱ τῆς μακαρίας κατηξιωμένοι λήξεως ὄψονται κατά τόν ἄληκτον αἰῶνα, ἥν καί νῦν οἱ ἔκκριτοι τῶν ἀποστόλων ἐν Θαβώρ κατεῖδον καί ὁ Στέφανος λιθαζόμενος καί ὁ Ἀντώνιος καθ᾽ ἡσυχίαν ἀγωνιζόμενος, μᾶλλον δέ πάντες οἱ ἅγιοι, ταὐτόν δ᾽ εἰπεῖν οἱ κεκαθαρμένοι τήν καρδίαν, ὡς ἐκ τῶν ἀναγεγραμμένων οἰκείων λόγων καί τῶν κατ᾽ αὐτούς βίων ἔξεστι μανθάνειν τῷ βουλομένῳ (φαίην δ᾽ ἄν ἔγωγε καί προφήτας καί πατριάρχας ἀγεύστους οὐκ εἶναι τοῦ φωτός τούτου, μᾶλλον δέ πλήν ὀλίγων τά πάντα ἐκείνων θεάματα, καί μάλιστα τά θειότατα, μή ἀμοιρεῖν τούτου τοῦ φωτός· τί γάρ ἄν καί ὑποκρίνοιτο φῶς ἀλλότριον ὁ φῶς αἰώνιον οἰκεῖον ἔχων,

τοῖς καθαροῖς τήν καρδίαν, εἰ καί ἀπορρήτως, ὅμως ὁρατόν, νῦν τε κἀπί τοῦ μέλλοντος αἰῶνος, ὡς καί ὁ Διονύσιος ὁ μέγας λέγει; -, τοιαύτης τοίνυν οὔσης θέας τοῦ Θεοῦ, πῶς οὐ ταύτην ἐπαγγέλλεται τήν αἰώνιον ὁ μακαρίζων τούς καθαρούς τήν καρδίαν, ἀλλά τήν ἀπό τῶν κτισμάτων γνῶσιν, ἥ γένοιτ᾽ ἄν καί τοῖς τοῦ αἰῶνος τούτου σοφοῖς;

Ὅτι δέ τήν ἀπό τῶν κτισμάτων γνῶσιν τελεωτάτην θεοπτίαν ὁ φιλόσοφος ἡγεῖται, προλαβών ἐδίδαξεν ἡμᾶς τοῦτο, εἰπών μηδενί μηδεμίαν ἀπολιπεῖν ταύτης ὑπερβολή, ὅς ἔγνω πάσας τάς ἐμφανεῖς τοῦ κόσμου μερίδας καί τάς (σελ. 542) ἀφανεῖς δυνάμεις. Ἀλλ᾽ «ἐκ τῆς ἐνεργείας τόν ἐνεργοῦντα ἀναλογίσασθαι καί ἐκ τῆς τοῦ κόσμου εὐαρμοστίας τῆς ὑπερκειμένης σοφίας ἡ κατανόησις γένοιτ᾽ ἄν καί τοῖς τοῦ αἰῶνος τούτου σοφοῖς», φησίν ὁ Νύσσης θεῖος Γρηγόριος˙ ἐγώ δ᾽ ἄν φαίην καί τοῖς μή σοφοῖς καί τοῖς μή πιστοῖς, ὡς νῦν ὁρῶμεν καί τούς βαρβάρους πάντας ἕνα Θεόν εἰδότας τοῦ παντός ποιητήν, ᾧ καί ἡ κατά ἀπόφασιν θεολογία ἐξ ἀνάγκης ἕπεται. Ὁ γάρ ποιητής τοῦ παντός τῶν ποιημάτων οὐδέν. Τί δέ, οὐχί καί τῶν κακοδόξων πολλοί τήν σοφίαν τοῦ αἰῶνος ἔχουσι τούτου καί τήν ἀπ᾽ αὐτῆς τοῦ Θεοῦ κατανόησιν; Ἆρ᾽ οὖν αὐτούς μακαρίζει ὁ Κύριος; Τί δ᾽ ἄν τῶν Ἑλλήνων οἱ κατά φιλοσοφίαν πολλῷ τῶν νῦν χριστιανῶν διαφέροντες καί ἀπό τῆς τῶν κτισμάτων γνώσεως φιλοσοφοῦντες; Ἆρα καί τοῦ μακαρίου καί αἰωνίου ἔτυχον ἐπάθλου καί πάντων, καί αὐτῶν «τῶν μηδέν εἰδότων εἰ μή Κύριον Ἰησοῦν Χριστόν καί τοῦτον ἐσταυρωμένον», οὐχ ἧττον ὅτι δή καί μᾶλλον; Πῶς γάρ οὐχί καί διαφερόντως μᾶλλον, εἴγε ἀπό τῶν κτισμάτων μόνον ὁ Θεός γινώσκεται, καί θεοπτικώτεροι τῶν ἄλλων οἱ πλείω τούτων γινώσκοντες; Καίτοι πάντες ἡμεῖς ἀπό τῆς πατρικῆς φωνῆς, ἄνωθεν ἡμᾶς διδασκούσης, τόν Υἱόν ἐγνώκαμεν˙ καί αὐτό τό Πνεῦμα τό ἅγιον καί αὐτό τό φῶς τό ἄρρητον τόν ἐκ τοῦ Πατρός ἀγαπητόν μαρτυρούμενον ὑπέδειξεν ἡμῖν˙ καί αὐτός ὁ Υἱός τό ὄνομα τοῦ οἰκείου Πατρός ἐφανέρωσεν ἡμῖν καί τό Πνεῦμα τό ἅγιον ἀναλαμβανόμενος εἰς οὐρανούς ἐπηγγείλατο πέμψειν πρός ἡμᾶς, «ἵνα μένῃ μαθ᾽ ἡμῶν εἰς τόν αἰῶνα»˙ καί αὐτό τό Πνεῦμα τό ἅγιον, ἐπελθόν καί μεῖναν ἐν ἡμῖν, ἀνήγγειλεν ἡμῖν καί ἐδίδαξε πᾶσαν τήν ἀλήθειαν. Πῶς οὖν ἐκ τῶν κτισμάτων μόνων γινώσκομεν Θεόν, καί οὐκ ἐξ ὧν τοῦτον ἀγνοοῦμεν, ἀλλ᾽ ἐξ ὧν γινώσκομεν; Ἆρ᾽ εἰ καί μή γάμου τις λάβοι πεῖραν, οὐ τήν τοῦ Θεοῦ πρός τήν Ἐκκλησίαν οἶδε συνάφειαν, ἐπεί τήν

ἀναλογίαν ἐξ ἐκείνου συνορᾶν οὐκ ἔχει, καί συμβουλεύσεις πάντας φεύγειν (σελ. 544) τήν παρθενίαν, ἵνα τήν σήν θεογνωσίαν εὕρωσιν; Ἀλλ᾽ ὑπό Παύλου ἐξελεγθήσῃ, ὅς, ἄγαμος ὤν, «τό μυστήριον τοῦτο μέγα ἐστί» πρῶτος ἐξεβόησεν, «ἀλλ᾽ εἰς Χριστόν καί εἰς τήν Ἐκκλησίαν».

Καιρός δή εἰπεῖν τήν θεσπεσίαν ἐκείνην φωνήν˙ «εὐχαριστοῦμέν σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καί τῆς γῆς, ὅτι», ἑνώσας σύ σαυτόν ἡμῖν καί φανερώσας σαυτόν διά σαυτοῦ ἡμῖν, καί φανερώσας σαυτόν διά σαυτοῦ ἡμῖν, «ἀπέκρυψας τοῦτο ἀπό σοφῶν καί συνετῶν», οἵ συνετοί εἰσι καθ᾽ ἑαυτούς καί ἐνώπιον αὐτῶν ἐπιστήμονες˙ διό καί τῶν ἁγίων σου λαλούντων ἀκούοντες, τούς μέν ἀθετοῦσι, τῶν δέ παρεξηγοῦνται τάς ρήσεις, ἔστι δ᾽ ἅς καί τολμῶσι παραχαράττειν ὡς πάντας λήσοντες. Γρηγορίου μέν γάρ τοῦ Νύσσης ἐξηγουμένου τί ἐστιν ἡ τοῖς τήν καρδίαν κεκαθαρμένοις ἀποκαλυπτομένη Θεοῦ θωρία καί μετά τό εἰπεῖν ὅτι «γένοιτ᾽ ἄν καί τοῖς τοῦ αἰῶνος τούτου σοφοῖς ἐκ τῆς εὐαρμοστίας τοῦ κόσμου κατανοῆσαι Θεόν» ἐπενεγκόντος, «ἀλλ᾽ ἕτερόν μοι δοκεῖ ὑφηγεῖσθαι ἡ τοῦ μακαρισμοῦ μεγαλοφυΐα», τό ἐκείνῳ μή δοκοῦν αὐτοί σαφῶς διαβεβαιοῦνται. Τοῦ δέ Ἀρεοπαγίτου μεγάλου Διονυσίου λέγοντος, πῶς ἡμεῖς γινώσκομεν Θεόν «οὔτε νοητόν ὄντα οὔτε αἰσθητόν», καί ἐπιφέροντος, διαπορητικῶς μέντοι, «μήποτε οὖν ἀληθές εἰπεῖν, ὡς οὐκ ἐκ τῆς αὐτοῦ φύσεως, ἀλλ᾽ ἐκ τῆς τῶν ὄντων διατάξεως γινώσκομεν αὐτόν», εἶτα καί τήν θειοτάτηνγνῶσιν ἐκκαλύψαντος ἡμῖν, κατά τήν πρός τό ὑπερφαές φῶς ὑπερφυᾶ ἕνωσιν ὑπέρ νοῦν καί γνῶσιν τελουμένην, αὐτοί τήν μέν ὑπέρ νοῦν γνῶσιν ὡς οὐδέν οὖσαν ἀπολελοίπασι, τήν δέ διαπορητικήν φωνήν ἐκείνην, ὡς μάτην προσκειμένην, οὐδεμιᾶς ζητήσεως ἠξίωσαν, ἀλλά προβάλλονται τήν τοῦ ἁγίου φωνήν περιῃρημένην τῶν καιριωτάτων ἑκατέρωθεν, ὡς ἰσχυριζομένην ἐκ τῶν κτισμάτων μόνων τόν Θεόν γινώσκεσθαι. Καί οὐδ᾽ ἐκεῖνο συνιδεῖν ἴσχυσεν ὁ φιλόσοφος, ὅτι περί τῆς ἀνθρωπίνης (σελ. 546) γνώσεως ὁ λόγος ἐνταῦθα τῷ ἁγίῳ, τῆς φυσικῶς ἐνούσης πᾶσιν, οὐ τῆς ὑπό τοῦ Πνεύματος χορηγουμένης. Ἐπειδή γάρ, φησί, πᾶς ἄνθρωπος αἴσθησιν καί νοῦν ἔχει, φυσικάς τάς γνωστικάς δυνάμεις, πῶς γνωσόμεθα κατ᾽ αὐτάς τόν μήτε αἰσθητόν ὄντα μήτε νοητόν Θεόν; Οὐκ ἄλλοθέν γε πάντως ἤ ἐκ τῶν ὄντων, αἰσθητῶν καί νοητῶν˙ καί γάρ αἱ γνώσεις, τῶν ὄντων οὖσαι καί εἰς τά ὄντα τό πέρας ἔχουσαι, καί τό θεῖον ἐντεῦθεν δεικνύουσιν. Οἱ δέ μή μόνον

αἰσθητικάς καί νοητικάς ἔχοντες δυνάμεις, ἀλλά καί τῆς πνευματικῆς καί ὑπέρ φύσιν χάριτος εὐμοιρηκότες, οὐκέτ᾽ ἐκ τῶν ὄντων μόνων ἀλλά καί πνευματικῶς, Πνεῦμα ὄντα τόν Θεόν, ὑπέρ αἴσθησιν γνώσονται καί νοῦν, ὅλοι Θεοῦ γινόμενοι καί ἐν Θεῷ γινώσκοντες Θεόν. Κατά ταύτην οὖν τά θεῖα νοητέον, ὡς ὁ αὐτός ἅγιος προτρέπεται, ἀλλ᾽ οὐ καθ᾽ ἡμᾶς, ὅλους δ᾽ ἑαυτούς ὅλων ἑαυτῶν ἐξισταμένους καί ὅλους Θεοῦ γεγομένους· κρεῖττον γάρ εἶναι Θεοῦ καί μή ἑαυτῶν· οὕτω γάρ ἔσται τά θεῖα δοτά τοῖς μετά Θεοῦ γενομένοις.

Ὁρᾷς ὅπως ἀπήγαγεν ἡμᾶς τοῦ ζητεῖν ἐκ τῶν ὄντων γινώσκειν τόν Θεόν, ἀνακαλύψας γνῶσιν ἑτέραν ὑπερφυᾶ καί θείαν καί πνευματικήν, ἥτις μετά τήν ἀφαίρεσιν τῶν ὄντων κατά τήν ὑπέρ νοῦν ἕνωσιν ἡμῖν προσγίνεται, καί εἰπών ὅτι κατά ταύτην γίνεται δοτά τά θεῖα καί κατά ταύτην δίκαιον νοεῖν τά θεῖα, δηλαδή πνευματικῶς ἀλλ᾽καθ᾽ ἡμᾶς, οὐδ᾽ αἰσθήσει τε καί νῷ τήν ἐκ τῶν ὄντων ἐρανιζομένους γνῶσιν τοῦ Θεοῦ; Ἀτελής γάρ ἡ γνῶσις αὕτη καί ἀτελέσι πρέπουσα φρονήμασιν. Ἀλλά γάρ τί βούλεται τῷ ἁγίῳ ἐπί τῆς τῶν ὄντων καί καθ᾽ ἡμᾶς τοῦ θείου γνώσεως τό «μήποτε» προσκείμενον, ὅ παρῶπται τῷ φιλοσόφῳ ὡς παρέλκον; Ἐπεί καί αἰσθητοῖς ὄμμασι καί αἰσθητοῖς ὠσίν ἀπορρήτως φῶς εἴδομεν καί ἠκούσαμεν Θεοῦ φωνήν, διά τοῦτο τελέως ἀποφήνασθαι (σελ. 548) γινώσκειν ἐκ τῶν κτισμάτων μόνων τόν Θεόν καί κατ᾽ αὐτάς τάς γνωστικάς καί κατ᾽ ἄνθρωπον δυνάμεις εὐλαβητέον ἔδοξεν αὐτῷ. Καί μήν τοῖς ἐφικέσθαι δυναμένοις δι᾽ ἀκριβείας τῶν ρημάτων ἐκείνων τοῦ ἁγίου κἀκεῖ σαφῶς μόνην τήν εἰσαγωγικήν περί Θεοῦ γνῶσιν ἐκ τῆς τῶν ὄντων γνώσεως προσγινομένην δῆλός ἐστι διδάσκων, διό ἐπήγαγεν· «ἀπό ταύτης εἰς τό ἐπέκεινα πάντων ὁδῷ καί τάξει κατά δύναμιν ἄνιμεν».

Διά τοῦτο καί πρό νόμου τοῖς νηπίοις ἔτι πρός θεογνωσίαν κατάλληλος ἦν, καί Ἀβραάμ τήν ἀρχήν τῆς θεογνωσίας ἀπό ταύτης εἰληφέναι λέγεται, ἀλλ᾽ ὕστερον οὐκ ἀπό ταύτης ὡμίλει τε καί ἐγίνωσκε Θεόν. Τί δέ ὁ Ἰώβ, ὅς καί ἀνεβόησεν ἰδών τρανότερον, ὡς «ἀκοῇ μέν ὠτός ἤκουόν σου τό πρότερον, νῦν δέ ὁ ὀφθαλμός μου ἑώρακέ σε»; Τί δέ ὁ Μωϋσῆς, ὁ ἐν τῷ ἐπέκεινα τῶν ὄντων γνόφῳ τεσσαράκοντα ἡμέρας ὅλας τόν Θεόν ὁρῶν; Καί γάρ ἦν εἰκός προβεβλῆσθαι τῶν ἀοράτων τοῦ Θεοῦ καί τό τοῦ κόσμου φαινόμενον τοῖς ἀτελέσι τήν γνῶσιν, ὥσπερ καί τοῖς ἐνειλουμένοις αἰσθήσεσιν αἱ

συμβολικαί νομικαί δι᾿ αἰσθητῶν παρεδόθησαν θεολογίαι˙ ἀλλ᾿ ὥσπερ αὖθίς εἰσιν οἵ τῶν τελεωτέρων καί προκαλυμμάτων ἐκτός θεολογίας σαφοῦς εὐμοίρησαν, οὕτως εἰσίν οἱ καί εἰς τά ἀόρατα τοῦ Θεοῦ παρακύψαντες, ὡς Μωϋσῆς τε καί Παῦλος καί οἱ κατ᾿ αὐτούς, εἰ καί ἀπό τῶν ὁρωμένων ἡμῖν οἰκείως πρός τήν κατανόησιν ἐκείνων ἡμᾶς χειραγωγοῦσι.

Τί δή σοι, ὦ φιλόσοφε, βούλεται τά πολυειδῆ ἐκεῖνα καί λοξά τῆς κακοτεχνίας σοφίσματα, ὅτι «εἰδέναι δεῖ τό ἔστι, τό τίἐστι καί τό ἕν καί τήν ἀρχήν καί τήν δύναμιν τόν ἕν τι εἰδότα καί ὄν καί ἀρχήν καί δυνάμενον»; Εἰ μέν γάρ ἔλεγέ τις μηδαμῶς ἐκ τῶν ὄντων γινώσκεσθαι Θεόν, καλῶς ἄν ταῦτα τά πάσῃ προσόντα φύσει λογικῇ προὔφερες˙ ἐπεί δ᾿ ἡμεῖς τήν (σελ. 550) διά τοῦ Πνεύματος γνῶσιν τῶν μυστηρίων τοῦ Πνεύματος ὑπερτίθεμεν τῆς φύσει καί κοινῇ πᾶσι προσούσης γνώσεως, τί σοι συμπράξει τῷ πρός ταῦτ᾿ ἀντιλέγοντι τό τήν εἰσαγωγικωτάτην τοῦ Θεοῦ γνῶσιν ἐκ τῶν ὄντων προσγίνεσθαι; Σύ δ᾿ ὅμως οὕτως ἀντιλέγειν εἴωθας ἐπεί καί τοῖς πνευματικοῖς ἀνδράσι λέγουσιν εἶναι φῶς νῷ θεωρητόν, οὐχί τήν γνῶσιν μόνην, σύ διά πολλῶν δεικνύεις φῶς καί τήν γνῶσιν λεγομένην, καί νικᾶν διά τούτου κατά κράτος δοκεῖς ἀντιταττόμενος. «Ἀλλά χωρίς τῆς εἰσαγωγικῆς ταύτης, οὐδέ λογικός τις ἔσται», φησίν, «οὐδ᾿ ἡ πρός τά τελεώτερα τῶν λογικῶν πρόοδος». Οὐδ᾿ ἀνήρ ἔσται ποτέ πρίν γενέσθαι νήπιον˙ ἀλλ᾿ ἀνήρ γενόμενος, τά τοῦ νηπίου κατήργηκεν. Εἰ δ᾿ ἐν ἀνδράσι τά τῶν νηπίων φρονεῖ καί τούτοις σεμνύνεται, πῶς οὐ καταγέλαστος ἔσται; Πῶς δ᾿ οὐ τοιοῦτος ὁ χριστιανός εἶναι λέγων καί τά ἑλληνικά παιδεύματα μετιών, ἵν᾿ ἐκεῖθεν τήν θεογνωσίαν καρπώσηται;

Τί δ᾿ ὅτι «νοσοῦν ψυχῆς λογικόν ἐξ ἐπιμελείας νοερόν οὐκ ἄν γένοιτο»; Ὄντως γάρ νοσεῖ τό λογικόν τῆς ψυχῆς τοῦ τήν οἰκείαν διάνοιαν πιστοτέραν ἡγουμένου τῶν λογίων τοῦ Πνεύματος καί μή μέγα καί τέλειον ἴαμα ψυχῆς τ's θείας ἐντολάς οἰομένου. Πρῴην μέν γάρ ἐξ ἡμισείας καθαίρειν ἔφασκε ταύτας δύνασθαι, νῦν δέ τό καθαρτικόν αὐτῶν ἅπαν ἀφελών τῇ γνώσει προσένειμεν, ἀρχήν καί μέσον καί τέλος θεογνωσίας τε καί ὑγιείας ψυχῆς καί καθάρσεως ἐκ τοῦ πολλά καί πλείω καί πάνα εἰδέναι λέγων προσγίνεσθαι καί δεῖν μηδαμῶς ἀγνοεῖ τά πολλά, ἵνα καί συνελεῖν εἴς τι καθόλου δυνηθείημεν καί τήν κυκλικήν περί τά ὄντα γνῶσιν κατορθοῦν τουτέστι, τήν ἐγκύκλιον μανθάνειν παίδευσιν, ἵνα καί τῶν ἰσαγγέλων

καταξιωθείημεν νοήσεων, τῶν ἑνιαίων καί ἀμερῶν, ὥσπερ ἄν εἴ τις ἔλεγε δεῖν τόν σημεῖον (σελ. 552) ἀμερές ἰδεῖν βουλόμενον, πολυμερές αὐτό πρότερον προσθέσθαι καί τήν μονάδα μή τῇ ἀφαιρέσει τῶν πολλῶν δύνασθαι γενέσθαι, ἀλλά τῇ συναιρέσει μόνῃ, καίτοι πᾶν τό ἐκ συναιρέσεως ἕν καί μεριστόν, ἐκεῖ δέ τό ἑνιαῖον καί ἀμερές ὑπόκειται. Ἐγώ δέ οἶδα παρά τῶν πατέρων μεμυημένος, ἤδη δά καί τινων αὐτῶν ἀκούσας τε καί πιστεύσας, ὡς καί τά πολλά ταῦτα καί τόν αἰσθητόν ἅπαντα τοῦτον κόσμον, οὐκ κατ᾽ αἴσθησιν, οὐ κατά λογισμόν, ἀλλά κατ᾽ οἰκείαν τοῦ θεοειδοῦς νοῦ δύναμιν καί χάριν ἐθεάσαντο, ἥ καί τά μακράν ὡς ὑπ᾽ ὀφθαλμούς ποιεῖ καί τά μέλλοντα ὡς παρόντα ὑπερφυῶς παρίστησι. Τόν δ᾽ ἐξ Ἀρείου Πάγου θεορρήμονα οὐ θαυμαστόν κάι ἐκ τῶν φυσικῶς ἡμῖν ἐνυπαρχόντων ἐξυμνεῖν τόν τῆς φύσεως δημιουργόν, ἐπεί καί δι᾽ ἀψύχων καί δι᾽ ἀναισθήτων καί δι᾽ ἀλόγων καί διά λογικῶν αὐτός ἐστι μόνος ὁ δοξαζόμενος, ἀλλά καί αὐτῷ μόνῳ ἐξαιρέτως πρέπει ἡ ἐν Πνεύματι λατρεία, ἥν καί μόνην ποθεινήν Θεῷ ὁ Θεός αὐτός προσεῖπεν.

Τῶν δή τοῦ μεγάλου Διονυσίου ῥήσεων, ὅσας ἔλαθεν ὁ φιλόσοφος καθ᾽ ἑαυτοῦ προβαλόμενος, πολλάς ἔτ᾽ οὔσας καταλιπών, μιᾶς μνημονεύσω, τῆς τελευταίας. Φησί τοίνυν ἐν τῷ πρώτῳ τῆς Ἐκκλησιαστικῆς ἱεραρχίας˙ «ἁπάσῃ τοῦτο κοινόν ἱεραρχίᾳ τό πέρας, ἡ πρός Θεόν καί τά θεῖα προσεχής ἀγάπησις, ἐνθέως τε καί ἑνιαίως ἱερουργουμένη, καί πρό γε τούτου ἡ τῶν ἐναντίων παντελής καί ἀνεπίστροφος ἀποφοίτησις, ἡ γνῶσις τῶν ὄντων ᾗ ὄντα ἐστίν, ἡ τῆς ἱερᾶς ἀληθείας ὅρασίς τε καί ἐπιστήμη, ἡ τῆς ἑνοειδοῦς τελειώσεως ἔνθεος μέθεξις». Συλλογίζεται τοίνυν ἐκ τούτων ὁ φιλόσοφος οὕτως˙ «τῶν ἡμῖν ὑπό Θεοῦ δεδομένων ἱεραρχία τό κράτιστον˙ τέλος δέ ταύτης ἡ γνῶσις τῶν ὄντων, ὡς ἡ ῥῆσις αὔτη διδάσκει˙ τῶν ἐν ἡμῖν ἄρα τό ἄριστον ἡ γνῶσις τῶν ὄντων ἐστί, ταὐτόν δ᾽ εἰπεῖν ἡ φιλοσοφία». Ρημάτων ὄντως ἔοικεν (σελ. 554) ἤχου, ἀλλ᾽ οὐ διανοίας ἐπαΐειν ἁγίας. Τοῦτο γάρ φησιν ὁ ἅγιος, ὅτι ἡ ἀληθής τῶν ὄντων γνῶσις, «ἡ παντελής ἀποφοίτησίς ἐστι τῶν ἐναντίων», τουτέστιν ἡ ἀποχή καί ἀπραξία τῶν κακῶν, πρό τῆς ἱερᾶς ἐργασίας οὖσα, τῆς ἐνθέου καί ἑνιαίας. Ἐπεί γάρ καί ὁ πονηραῖς ἐπιθυμίαις ἁλισκόμενος καί ἀγόμενος τῶν αὐτῷ δοκούντων ἐφίεται καλῶν καί δι᾽ ἔργων ἄγνοιαν δείκνυσιν ἔχων τοῦ ὄντος καλοῦ, καί ὁ θυμῷ κρατούμενος τῷ ἀνθισταμένῳ πρός τά δοκοῦντα αὐτῷ καλά καί ἀγαθά μάχεται, καί ἁπλῶς πᾶς ὁ τοῦ χείρονος ἀντεχόμενος βίου ὡς αὐτῷ δοκοῦντι

καλλίονι πρόσκειται, ἀλλ᾽ οὐχ ὡς ὄντος ὄντι, μόνος δέ ὁ τῶν χειρόνων ἀποφοιτήσας, τήν ψευδοδοξίαν ταύτην ἀποβαλόμενος, τά ὄντως ὄντα χείρω καί χείρω ἡγεῖται καί γνῶσιν ἔχει τῶν ὄντων ἀληθῆ τήν οὖσαν, οὐ τήν δοκοῦσαν, διά τοῦτο ἡ τῶν κακῶν ἀποφοίτησις «γνῶσίς» ἐστι «τῶν ὄντων ᾗ ὄντα ἐστί», πρό τῆς ἱερᾶς ἐργασίας οὖσα, τῆς ἐνθέου καί ἑνιαίας˙ ἱερά δέ καί ἑνιαία καί ἔνθεος ἐργασία ἡ τήρησίς ἐστι τῶν ἐντολῶν τοῦ Θεοῦ, τῇ φυγῇ τῶν πονηρῶν καί τῇ ἐπιμόνῳ καί προσεχεῖ ἀγαπήσει Θεοῦ καί τῶν θείων ἐκτελουμένη. Τοῦτο τοίνυν ἐστί, φησί, πάσῃ κοινόν ἱεραρχίᾳ τό πέρας, τό μισῆσαι τά ἀντικείμενα ταῖς τοῦ Θεοῦ ἐντολαῖς καί ἀγαπῆσαι ταύτας καί τόν δόντα Θεόν καί διά τήν πρός αὐτόν ἀγάπην ὑπό ταύταις ζῆν. Τοῦτό ἐστιν «ἡ τῶν ὄντων ᾗ ὄντα γνῶσις», τοῦτο ἡ τῆς ἀληθείας ὅρασις, τοῦτο ἡ τῆς τελειώσεως μέθεξις, τοῦτο ἡ τῆς πενυματικῆς ἐποψίας ἑστίασις, ἀποκαλυπτομένης κατά τήν ἐπαγγελίαν καί φωτιζούσης καί θεούσης καί τρεφούσης νοητῶς πάντα τόν διά τῆς καθαρᾶς καρδίας νοερῶς, μᾶλλον δέ πνευματικῶς, ἐνδιαιτώμενον αὐτῇ.

Τοῦτο δή καί αὐτός ἑαυτόν δῆλον ποιεῖται λέγοντα˙ μικρόν γάρ προαγαγών τόν λόγον, εἶτ᾽ ἐπαναλαβών, ἐξηγητής αὐτός ἑαυτοῦ γενόμενος διά τούς μή θέλοντας νοεῖν τά θεῖα θείως, ἀλλά καί πρός τάς οἰκείας κακοδοξίας περιτρέπειν (σελ. 556) ἐγχειροῦντας, «εἴρηται τοίνυν ἡμῖν ἱερῶς», φησί, «ὡς οὗτός ἐστι τῆς καθ᾽ ἡμᾶς ἱεραρχίας ὁ σκοπός, ἡ πρός Θεόν ἡμῶν, ὡς ἐφικτόν, ἀφομοίωσίς τε καί ἕνωσις˙ ταύτης δέ, ὡς τά θεῖα διδάσκει λόγια, ταῖς τῶν θείων ἐντολῶν ἀγαπήσεσι καί ἱερουργίαις μόνως τευξόμεθα˙ "τηρήσει" γάρ, φησίν, "ὁ ἀγαπῶν με τούς λόγους μου, καί ὁ Πατήρ ἀγαπήσει αὐτόν καί ἐλευσόμεθα πρός αὐτόν καί μονήν παρ᾽ αὐτῷ ποιήσομεν"». Ὁρᾷς ποίαν λέγει γνῶσιν τῶν ὄντων ἀληθῆ; Τήν ἐργασίαν τῶν ἀρετῶν. Τί δέ τό ταύτης τέλος; Ἡ πρός Θεόν ἕνωσίς τε καί ἀφομοίωσις. Πῶς δέ ἐκεῖ ἀγάπην εἶπε ταύτην τήν ἀφομοίωσιν; Ὅτι ἡ ἀγάπη ἐστί τῶν ἀρετῶν τό πλήρωμα καί αὕτη τῇ εἰκόνι προσχρωσθεῖσα τελείαν τήν πρός Θεόν ἀποσώζει ἐμφέρειαν. Διά δέ τοῦ ἐνθέως καί ἑνιαίως καί τῆς ἱερᾶς ἐργασίας τήν τήρησιν τῶν θείων ἐντολῶν ᾐνίξατο, τήν διά μόνην τήν πρός Θεόν καί τά θεῖα γινομένην διάθεσιν˙ τό γάρ καλόν οὐ καλόν, ἄν μή καί διά τό καλόν μόνον πράττηται˙ ἡ δέ διηνεκής τῶν ἐναντίων ἀποφοίτησις καί ἡ γνῶσις τῶν ὄντων καί ἡ ἱερά τῆς ἀληθείας ὅρασις καί ἐπιστήμη τό πρός τά πονηρά πάθη παρίστησι μῖσος καί τήν τῆς ἁμαρτίας κατάγνωσιν καί τήν ἀπό ταύτης

ἀνεπίστροφον φυγήν˙ τῇ δέ ἑνοειδῆ τελειώσει καί ἐνθέῳ μεθέξει τοῦ ἑνός καί τῇ νοητῶς τρεφούσῃ καί θεούσῃ ἐποψίᾳ τήν κατ᾽ ἐπαγγελίαν θείαν ἐπιφοίτησιν καί μονήν ὑπέδειξε, τελειοῦσαν τῇ ἑνώσει καί τρέφουσαν τῇ ἐποψίᾳ τό πνευματικόν ἐκεῖνο ὄμμα.

Εἰ γοῦν διά μόνης τῆς τῶν ἐντολῶν τηρήσεως ἡ ἀληθής προσγίνεται γνῶσις καί ἡ πρός τόν Θεόν ἕνωσις καί ὁμοίωσις, ὅπερ ὁ φιλόσοφός φησι γνῶσιν, ψευδογνωσία ἐστίν. Ἀρχόμενος γάρ καί αὐτός σαφῶς εἶπεν «ἐκ τῆς τῶν ἐντολῶν τηρήσεως μή δυνατόν εἶναι ταύτην προσγίνεσθαι τήν γνῶσιν», καί μικρόν ἀνωτέρω δεικνύς, ὅθεν ἡ γνῶσις αὕτη προσγίνεσθαι πέφυκεν, «ἐκ τοῦ μή ἀγνοεῖν», φησί, «τά πολλά, (σελ. 558) μηδέ τούς λόγους τῶν ὄντων, μᾶλλον δέ ἐκ τοῦ γινώσκειν πάντα καί πάντα σπεύδειν μανθάνειν, ὅ τί τίς ἐπαγγέλλεται εἰδέναι, κἄν Ἕλλην ἦ κἄν Αἰγύπτιος, ἵνα μηδενός», φησί, «τῶν περί κόσμου φύσεως εἰρημένων τε καίκ ἐγνωσμένων λειπόμενος, ἐξ ἐκείνου ἀγνοήσῃ Θεόν», ἐπεί καί κατ᾽ αὐτόν ἐκ τῶν ὄντων μόνων ὁ Θεός γινώσκεται, ὅμοιόν τι ποιῶν, ὥσπερ ἄν εἴ τις ἀκούσας ἐκ τῶν ἐδωδίμων μόνων τρέφεσθαί τε καί συνίστασθαι τό σῶμα, δεῖν ἔλεγε μηδενός ἀπολελεῖφθαι τῶν ἐδωδίμων, εἴ τις τοῦ ζῆν ἐφίεται, μηδέ διαλιμπάνειν σιτιζόμενον ὁσημέραι τε καί ὥραι, καί οὕτω τήν περί τάς πολυτελεῖς τραπέζας ἄχρηστον μανίαν καί τό τῆς γαστριμαργίας πάθος ὡς ἀναγκαιότατα τῷ βίῳ τῶν ἀνθρώπων ἔπειθε δοξάζειν, μηδενός τῶν κρειττόνων ὀρεγομένους. Οὕτω γάρ καί τῷ διανοητικῷ τῆς ψυχῆς ὕλην ὁ Θεός ὑπέθετο τούς τῆς φύσεως λόγους, ἀλλ᾽ ὡς πρός τήν ὑψηλοτέραν γνῶσιν χειραγωγεῖν δυναμένους. Ἡμεῖς οὖν τό αὔταρκες ἐκ τούτων ἀπολαμβάνοντες τά περιττά παραλείπομεν τοῖς μή χωροῦσιν τήν τελεωτέραν τροφήν˙ κἄν, ὑπερήλικες ὄντες οὗτοι, τῆς νηπίοις καταλλήλου τροφῆς οὐκ ἀπανίστασθαι βούλωνται, ἐπαλείφομεν καί τινα Σκύλλαν τῷ παγκοσμίῳ τούτῳ μαστῷ, τό μή πάνυ λυσιτελεῖν ἔστιν ὅτε μετρίως ἐκτείνοντες ὡς ἀπαναστήσοντες τῆς ἀκαίρου τροφῆς. Οἵ δ᾽ ὡς οὐκέτι παῖδες, ἀλλ᾽ ὡς τέλειοι τήν κακίαν, ἡμῖν ἐπανίστανται καί φιλονεικοῦσιν ἡμᾶς κατασπᾶσαι μᾶλλον ἤ αὐτοί πρός τό προσῆκον μέτρον ἀναδραμεῖν.

Διό καί τόν Υἱόν μετά τοῦ Πατρός ἥκειν καί τήν μονήν ποιεῖσθαι ἐν ἐκείνῳ φασίν, «ὅς τούς λόγους οἶδε τῆς τοῦ κόσμου φύσεως˙ γινώσκει γάρ οὗτος τό ἀληθές. Θεός δέ ἡ ἀλήθεια καί ὁ τῆς ἀληθείας Πατήρ˙ ἀλλά καί πᾶν τό γινῶσκον ἐν τῷ γινωσκομένῳ ἐστήρικταί τε

καί μένει˙ οὐκοῦν ἐν τῷ Θεῷ ἔσται μονίμως ἱδρυμένος ὁ τήν τῶν ὄντων γνῶσιν εἰδώς˙ τούτου δ᾽ ἐν Θεῷ τήν μονήν ἀμετάβλητον (σελ. 560) ἔχοντος, οὐκ ἀπεικός ἐκεῖνόν γε παρά τοῦτον ἐλθεῖν λέγεσθαι καί τήν μονήν πεποιῆσθαι˙ «οὗτος ἐστι», φησί, «καί ὁ φωτός θείου καί νοητοῦ ἔμπλεων τόν νοῦν κεκτημένος». Αὕτη ἐστίν ἡ τελεωτάτη τοῦ φιλοσόφου θεογνωσία. Ἐγώ δέ ἀκούω τοῦ εὐαγγελίου λέγοντος, ὅτι ὁ διάβολος «ψεύστης ἐστί καί ὁ πατήρ τοῦ ψεύδους αὐτοῦ». Οἶδα δέ καί τῶν ἐναντίων τήν αὐτήν οὖσαν αἴσθησιν καί γνῶσιν καί ἐπιστήμην. Ὁ γοῦν εἰδώς τήν ἀλήθειαν καί τό ψεῦδος ἐπίσταται. Εἰ γοῦν, κατά τούς τοῦ φιλοσόφου λόγους, τό γινῶσκον ἐν τῷ γινοσκομένῳ ἐστήρικταί τε καί μένει καί διά τοῦτο κατ᾽ αὐτόν ὁ τήν γνῶσιν ἔχων τῶν ὄντων ἐν τῷ Θεῷ ἐστι καί ὁ Θεός ἐν αὐτῷ, οὐκοῦν καί τό ψεῦδος καί ὁ τοῦ ψεύδους Πατήρ ἐν αὐτῷ πεποίηται τήν μονήν, καί ὁ αὐτός οὗτός ἐστι λοιπόν ὁ καί σκότους νοητοῦ ἔμπλεων τήν ψυχήν κεκτημένος˙ καί ὄντως πολύ σκότος ἐπηλυγάζει τήν ψυχήν ἥ τοιαῦτα πρφέρει διανοήματα. Τί γάρ, ὁ λέγων, «οἶδα σε τί εἶ, ὁ ἅγιος τοῦ Θεοῦ», διά τήν γνῶσιν ταύτην ἐν ἑαυτῷ εἶχε τόν Χριστόν; Τί δέ, ὁ γινώσκων καί μή ποιῶν τό θέλημα τοῦ Θεοῦ ἐν ἑαυτῷ ἔχει μονίμως ἐνιδρυμένον τόν Θεόν; Καί πῶς «δαρήσεται πολλάς»; Καί μήν ὁ μέν Χριστός ἐν εὐαγγελίοις ἐκ μέν τῆς τῶν ἐντολῶν τηρήσεως προσγίνεσθαι φησι τήν αὐτοῦ καί τοῦ Πατρός ἐνοίκησιν, ἐκ δέ τῆς ἐνοικήσεως τήν ἐμφάνειαν. Οὗτος δέ ἀντεστραμμένος μέν ἐκείνῳ ἐκ τῆς αὐτῷ δοκούσης ἐμφανείας φησί τήν ἐνοίκησιν, ὑπεναντίως δέ σαφῶς, οὐκ ἐκ τῶν ἐντολῶν, ἀλλ᾽ ἐκ γνώσεως τήν ἐμφάνειαν, καί γνώσεως, ἥν ἐκ τῆς τηρήσεως τῶν θείων ἐντολῶν μηδαμῶς προσγίνεσθαι πρότερον ἀπεφήνατο. Τοιούτου φωτός καί ἀληθείας τόν οἰκεῖον νοῦν ἔμπλεων κατεσκεύασεν. Οὐ μόνον δέ τάς θείας ἐντολάς ἀδυνάτως ἔχειν τήν γνῶσιν ταύτην πορίζειν πρότερον εἴρηκε, ἀλλά καί φιλοσοφίαν ταύτην ἐκάλει διά τῶν κατά φιλοσοφίαν μαθημάτων χορηγουμένην καί μωρίαν εἶναι παρά τῷ Θεῷ ταύτην ἔφασκεν˙ ἥν οὖν μωρία τότε προσεῖπε, (σελ. 562) Θεόν αὐτήν εἶναι νῦν ἀποφαίνεται καί αὐτόν μετά τοῦ Πατρός τόν τοῦ Πατρός μονογενῆ Λόγον˙ τοιούτου φωτός καί ἀληθείας τόν οἰκεῖον νοῦν ἔμπλεων κατεσκεύασεν.

Ἀλλ᾽ ἐπεί καί τῶν ἐναντίων ἡ αὐτή ἐστιν αἴσθησις, σύ, ὦ φιλόσοφε, πότ᾽ ἄρ᾽ εἶ θερμός, ὅταν κατά τήν ποιότητα ταύτην διακέηταί σου τό σῶμα, ἤ ὅτε κατεψυγμένον τοῦτ᾽ ἔχων τήν ἐναντίαν εἰδείης θερμότητα; Πάντως τότε καί τήν θερμότητα ἐν σεαυτῷ φέρων

αἰσθάνῃ, ὅτε κατά ταύτην διάκεισαι. Τότε τοίνυν καί τόν Θεόν ἕξεις ἐν σεαυτῷ ἀληθῶς, ὅτε τήν θείαν ἕξιν ἐν σεαυτῷ κατά ψυχήν ἔχεις˙ θεία δέ ὄντως ἕξις ἡ πρός τόν Θεόν ἀγάπη ἐστί˙ προσγίνεται δ᾿ αὕτη διά μόνης τῆς τῶν θείων ἐντολῶν ἱερᾶς ἐργασίας˙ εἰ γάρ καί ἀρχή τούτων ἐστίν, ἀλλά καί μέση καί κορυφαία˙ ὁ Θεός γάρ ἀγάπη ἐστίν, ὅς ἐν τούτῳ μόνῳ καί τήν οἰκείαν ἔλευσιν καί μονήν καί ἐμφάνειαν ἐπηγγείλατο. Τότε τοίνυν καί σαυτῷ χρήσῃ πρός διόρθωσιν ἑτέρων ἀληθῶς, ὅτε τήν τοιαύτην σχήσεις ἐκ τῶν τοιούτων διάθεσιν˙ νῦν γάρ, τόν διορθοῦντα ὑποκρινόμενος, διαστρέφων καί διασύρων δῆλος εἶ. Ἀλλ᾿ ὡς μέν διαστρέφεις διορθοῦν ἐπαγγελόμενος, ἐκδηλότερον ἔσται προϊόντος τοῦ λόγου. Τοῦ δ᾿ ἐν σχήματι διορθώσεως διασύρειν προθυμεῖσθαι δεῖγμα σαφές τό διά μεγίστης σε σπουδῆς ποιήσασθαι μή ἐλθεῖν ἡμῖν εἰς ὄψιν τά πρός ἡμετέραν διόρθωσιν ἐπιστρεπτικά σοι δοκοῦντα ταυτί συγγράμματα, ὥσπερ ἄν εἴ τις ἰατρῶν πόμα μέν σκευάσαι τῷ νοσοῦντι λυσιτελέστατον ἔφασκε, χρήσασθαι δέ παντάπασιν ἀπηγόρευσεν. Ὅθεν καί τοῦτο γέγονεν δήπου δῆλον, ὡς καί αὐτός τοῦτ᾿ οἶσθα, πρότερον, ὅ νῦν ἐξεφάνη, δηλητηρίων ἔχοντα δύναμιν τά κεκλημένα φάρμακα˙ καί τοῦτ᾿ ἄρα προσεγίνωσκες ὡς οὐ λήσῃ κλέπτων, τούτων προφανέντων ἡμῖν.

Ταῦτ᾿ ἄρα καί νῦν οὐχ ἑκόντος εἶναι καί πρός τάς ἡμετέρας (σελ. 564) ἥκει χεῖρας ταυτί σου τά γράμματα, ἐν οἷς τελευτῶν φής ὡς ἀνεμέσητον ἐπί διορθώσει χρήσασθαι σαυτῷ, ὧν οὐκ ὀρθῶς περί θεογνωσίας εἴρηκέ τις τῶν σῶν φίλων.Τό δέ μή ὀρθῶς εἰρημένον τῷ φίλῳ τοῦτο λέγεις εἶναι˙ «ἴσασιν οἱ κεκαθαρμένοι τήν καρδίαν διά τῆς ἐγγινομένης αὐτοῖς ἱερᾶς φωτοφανείας, ὅτι ἔστι Θεός καί οἷον φῶς ἐστι, μᾶλλον δέ πηγή φωτός νοεροῦ τε καί ἀΰλου˙οἱ δέ μή πρός τοῦτο θεωρίας ἀναβεβηκότες ἐκ τῆς περί πάντα προμηθείας τόν κοινόν προμηθέα συνορῶσιν, ἐκ τῶν ἀγαθυνομένων τήν αὐτοαγαθότητα, ἐκ τῶν ζωοποιουμένων τήν αὐτοζωήν, καί ἁπλῶς ἐκ πάντων τόν τά πάντα ὄντα καί ὑπερανιδρυμένον πάντων». Τοῦτό ἐστιν ὅ φησιν ὁ φιλόσοφος οὐκ ὀρθῶς ἔχειν. Οἶδα δέ αὐτόν καί ἄλλοτε κακῶς πρός αὐτό διατεθέντα˙ ‘γνοήσας γάρ ὅτι τό “οἷον” παραδειγματικῶς τῷ φωτί προσήρτηται, τόν Θεόν ἔλεγε φάσκειν ἡμᾶς εἰδέναι, ὁποῖον φῶς ὑπάρχει. Δείξαντες δέ ἡμεῖς προσπαρακείμενον τό “πηγή φωτός”, καί συνημμένως ἀναγνόντες ὅτι «ἔστι Θεός οἷον πηγή φωτός», ἠρωτῶμεν αὐτόν, τί βούλεται λοιπόν ἐνταυθοῖ τό “οἷον”˙ ὁ δ᾿ ἄκων ὡμολόγησε τήν ἄγνοιαν καί ᾔτησε συγγνώμην˙ οὐδέ γάρ δυνατόν ἄλλως ἤ ἀντί

τοῦ ὡσανεί παραληφθῆναι. Νῦν δ᾿ ἄλλως ἐπελάβετο˙ «φανεροῦ γάρ ὄντος», φησίν, «ὡς καί τοῖς θεωρητικωτάτοις ἐκ μόνων τῶν ὄντων ὁ Θεός γινώσκεται, ἡ ἐνταῦθα παραδιδομένη γνῶσις Θεοῦ διά νοερᾶς φωτοφανείας, ὡς ἑτέρα τῆς ἐκ τῶν ὄντων οὖσα, οὐδαμῶς ἐστιν ἀληθής». Ἀνθυπενεγκεῖν δή πρός τοῦτο δεῖ, ὡς φανεροῦ γενομένου διά πλείστων τῶν ἀνωτέρω εἰρημένων, ὡς οὐκ ἐκ τῶν ὄντων μόνων ὁ Θεός γινώσκεται, ἀλλά καί ἐκ τῶν καθ᾿ ὑπεροχήν μή ὄντων, τουτέστι τῶν ἀκτίστων, πρός δέ καί διά φωτός αἰωνίου καί τῶν ὄντων πάντων ὑπερανῳκισμένου, νῦν τε ἐν ἀρραβῶνος μέρει τοῖς ἀξίοις διδομένου καί κατά τόν ἄληκτον αἰῶνα περιαυγάζοντος αὐτούς ἀλήκτως, ἐξ ἀνάγκης (σελ. 566) καί ἡ θεωρία αὕτη ἀληθής ἐστι καί ὁ μή ἀληθῆ λέγων ταύτην Θεοῦ θείας γνώσεως ἐκπέπτωκεν. «Ἀλλ᾿ ἐκ τῶν περί αὐτόν», φησίν, «οὐκ ἐκ τῶν κατ᾿ αὐτόν πᾶσα γνῶσις τοῦ Θεοῦ». Καί ποῦ ἐν τῇ ῥήσει ταύτῃ λέγομεν ὡς ἡ θεοφάνεια αὕτη τῶν περί Θεόν οὐκ ἔστι; Πάντων μέν γάρ τῶν ἄλλως ὄντων ὑπερτίθεμεν αὐτήν˙ ὡς δ᾿ ἐκ τῶν κατ᾿ αὐτόν ἐστι Θεῷ, οὐδαμῶς ἐστι προσκείμενον. Εὕροις δ᾿ ἄν τούς θεολόγους οὐ ταύτην μόνην, ἀλλά καί πολλάς ἄλλας θεωρίας τῆς ἀπό τῶν κτιστῶν θεογνωσίας ὑπερτιθέντας ἐς τά μάλιστα, ταύτην δέ καί τῶν ἄλλων πασῶν ἀποδιαστέλλοντας καί θεωνυμίας ἐξόχως ἀξιοῦντας, ὡς μόνην Θεοῦ θεοποιόν ἐμφάνειαν.

Δεῖν δ᾿ ἡμῖν ἀρτίως εἰς πολύ μῆκος ἐκεινομένῳ δοῦναι τῷ λόγῳ πέρας, εἰς τό ἑξῆς ταμιευσαμένους τῶν Περί γνώσεως λόγων τοῦ φιλοσόφου ἀπελέγξαι τήν ἄγνοιαν.

## *ΛΟΓΟΣ ΠΡΩΤΟΣ ΚΑΤΑ ΤΩΝ ΔΕΥΤΕΡΩΝ (Σελ. 568)*
## *ΕΛΕΓΧΟΣ ΤΩΝ ΣΥΜΒΑΙΝΟΝΤΩΝ ΑΤΟΠΩΝ ΕΚ ΤΩΝ ΔΕΥΤΕΡΩΝ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΒΑΡΛΑΑΜ ΣΥΓΓΡΑΜΜΑΤΩΝ Ἤ ΠΕΡΙ ΘΕΩΣΕΩΣ*

Ἀλλ᾿ εἰ μέν Κατά Μασσαλιανῶν, καθάπερ καί ἐπιγέγραπται, τό βιβλίον πεποίηται, τί παθών τά τῶν θείων ἡμῶν πατέρων ἀναμίξ ταἰς ἐκείνων κακοδοξίαις προβάλλεται καί κατ᾿ αὐτῶν ἔπειτα πολύς ῥεῖ, τῶν κατ᾿ ἐκείνους ἀφέμενος; Εἰ δέ κατά τῶν ἀπ᾿ αἰῶνος ἁγίων καί τῶν αὐτοῖς ὁμολογεῖν αἱρουμένων ἡμῶν δεῖν ἔγνω πόλεμον ἄρασθαι, τί βούλονται Μασσαλιανοί καί Βλαχερνῖται καί τά τοιαῦτα προσρήματα; Ἤ δῆλον ὅτι σκηνή τά τοιαῦτα καί προσωπεῖόν ἐστι, πολλήν καί ποικίλην, μᾶλλον δέ παντοδαπήν, μετά τῆς πρός τούς πολλούς

ἀπάτης καί τήν ὕβριν πρός πάντας ἐπιφερόμενα, ἵν᾽ ὦμεν ἅπαντες ὑβρισμένοι καί πολλαχῶς, οἱ μέν ἐξ ἀνθρώπων γεγονότες πατέρες μετά τῶν φωρασάντων τόν δόλον καί μή πεισθέντων, τῷ τε τοῖς αἱρετικοῖς συντετάχθαι καί τῷ κατ᾽ αὐτῶν ἔπειτα διά τῶν λόγων ἐλέγχῳ καί ταῖς μεταξύ τῶν δοκούντων τούτων ἐλέγχων ἀναισχύντοις καί δεινοῖς παροινίαις, ὅσοι δ᾽ ἄν παραχθέντες πεισθεῖεν, δυοῖν θάτερον ἐξ ἀνάγκης παθόντες, ἤ νῦν ἤ πρότερον φανεροί γεγονότες τῶν πεπλανημένων ὑπάρχοντες, τῷ φανεροῖ γεγενῆσθαι σεπτούς πρῴην ἡγούμενοι τούς νῦν κακοδόξους γνωριζομένους, καί ἁπλῶς ἵν᾽ οὕτω πάντες τε ἡμεῖς καί τά καθ᾽ ἡμᾶς ἱερά τε καί σεμνά σχεδόν ἅπαντα γέλως ἀναφανῆ καί χεύη καί παίγνιον; Εἰ δ᾽ ἄρα παίζων ἐν οὐ παικτοῖς, κενάς καί περιττάς καί κιβδήλους λογομαχίας τε καί ἀντιθέσεις καινοτομεῖ, καί ὡς περιττός τις αὐτός νομισθείη καί πολύς τήν σοφιστικήν (σελ. 570) ἀνέδην ὑβρίζει, φεῦ, εἰς τά φρικτά καί σεβάσμια, τί μή πάντες ἐκτρεπόμεθα τοῦτον, ἤ γοῦν ἐκτρέπομεν αὐτόν τοῦ τηλικούτου κακοῦ μετά τῆς προσηκούσης σφοδρότητος;

Ἀλλά τοσοῦτον ἀπέχει τοῦ τοιαῦτα φάναι τολμᾶς αὐτός, ὥστε καί τῶν λόγων ἀρχόμενος οὐ μόνον ἐπαγγέλλεται καινοτομήσειν οὐθέν, ἀλά καί τῆς τοῦ Θεοῦ Ἐκκλησίας ὑπεραγωνιεῖσθαι, φιλοσόφῳ πρέποντα ζῆλον κατά τῶν ἐνδιαστρόφοις δόγμασιν ἐντεθραμμένων ἐπιδειξάμενος, ἀφ᾽ οὗ καί τισιν ἔδωκεν ὑπόνοιαν λόγον τινα ποιεῖσθαι τῆς ἀληθείας, καί ταῦτ᾽ ἐν τῇ πρός τούς ἑτεροδόξους ὑποκρίσει κατά τῶν εὐσεβῶς ζώντων ἀγωνιζόμενος. Οὐκοῦν οὐδείς ἡμῖν ἐγκαλέσει δικαίως ὑπέρ αὐτῶν ἀπολογουμένοις καί τά πρός ἐκείνου κατ᾽ αὐτῶν εἰρημένα πρός δύναμιν ἐξετάζουσί τε καί διευθύνουσιν, ἐπεί μηδέ πρός ἐκείνους ἁπλῶς αὐτῷ φαίνται τείνων ὁ τῶν συγγραμμάτων ἀγών, ἤ κατ᾽ ἐκείνων ὧν ὡς ἀνειμένως ζώντων ἤ τι περί τῶν σφῶν αὐτῶν βίον ἐχόντων οὐκ ἐμμελῶς, ἀλλά σαφῶς πρός αὐτήν τήν ὑπ᾽ αὐτῶν πρσεβευομένην εὐσέβειάν ἐστιν ἡ ἀντίθεσις, μᾶλλον δέ πρός αὐτά τά θεῖα τῆς τοῦ Θεοῦ Ἐκκλησίας, καθά προαποδέδεικται, δόγματα καί τάς ἐκ παλαιοῦ κεκρατηκυίας ἐπ᾽ αὐτῆς παραδόσεις καί τά τῶν ἁγίων συγγράμματα, ὑπέρ ὧν ἡμεῖς οὐ λόγους μόνον, ὁποίους ἄν οἱοί τε ὦμεν, ἕτοιμοι προέσθαι, πρός δέ τούτοις καί τάς ἡμετέρας, εἰ δεήσει, ψυχάς˙ μισθόν δέ τῶν λόγων τούτων καί τῆς προθέσεως οὔτε παρ᾽ ἀνθρώπων ζητοῦμεν, ὅν ἔχουσι διδόναι μόνον ἐπί τῶν τοιούτων τόν ἔπαινον, οὐδέ γάρ πρός τοῦτον

ὁρῶμεν, οὔτε παρά Θεοῦ˙ μισθός γάρ ἀποδιδοῦσιν οὐ χρεωστεῖται. Τοῦτο μέν οὖν καί ἀνάγκην ἐπιτίθησι γράφειν, τό τῆς ὀφειλῆς ἀπαραίτητον. Ἐκ πολλοῦ μέντοι τῆς περί λόγους μελέτης καί φιλοτιμίας ἀφέμενος, οὐδέν οἷον εἰ μή σύν τέχνῃ τούτους ποιοῦμαι, μηδέ ροδωνιάν (σελ. 572) ἀποδείκνυμι τό βιβλίον, ἤ λύραν ἤ σάλπιγγα, τοῦτο μέν εὔηχόν τι φθεγγόμενος καί τορόν, ἐκεῖνο δ᾽ ὑπό τῆς εὐρύθμου συνθήκης καί τῆς τῶν σχημάτων ὑπαλλαγῆς διά ποικίλων τῶν τοῦ τόνου κρουμάτων μίαν ἁρμονίαν ἐμμελῆ κεραννύς καί διά πάντων ὡραΐζων τόν λόγον. Ἀττικαί γάρ χάριτες καί ὀνομάτων κάλλη καί παρισότητες, οἷον ἄνθη τῶν λειμῶνα τῶν λόγων καταγλαΐζουσιν˙ αἷς εἰ μή καταχρῆσθαι δυναίμην, καίτοι καλληρρομονεῖν ἐφίεσθαι πεφυκώς, ἐναργές ἄν εἴη καί τοῦτο δεῖγμα τοῦ πρός ἀνάγκην, ἀλλά μή πρός ἐπίδειξιν ἡμᾶς ἐπί τό λέγειν ἀφῖχθαι. Τῆς γε μήν ἐναποκειμένης διανοίας τοῖς ρήμασι τοῦτ᾽ ἄν φαίην ἐγώ πρῶτον κάλλος, ὅ καί ψυχῆς ἐφ᾽ ὅσον οἷόν τε πρός τόν Θεόν καί τήν ἀλήθειαν βλέπειν˙ ἐκεῖθεν γάρ αὐτῇ τά μετά τοῦτο καλά, κἄν ᾖ τι τούτου πρεσβύτερον τρόπον ἕτερον.

Προσῆκον δ᾽ εἶναι νομίζω πρό τῶν κατά μέρος ἐλέγχων ἐκεῖνο ποιῆσαι δῆλον˙ τίνος ἕνεκεν οὗτος τήν τοῦ Πνεύματος θεοποιόν χάριν κτιστήν ἀποφῆναι διά πλείστης ὅσης σπουδῆς ἐποιήσατο, τοῦτ᾽ αὐτός ἑαυτῷ τοῦ λογογραφεῖν ὑπόθεσιν ἐνστησάμενος, καίτοι συνθέμενος καί αὐτός, εἰ καί μή ἑκών εἶναι, θεότητα καί αὐτοθεότητα καί θεαρχίαν ὑπό τῶν ἁγίων τήν τοιαύτην προσειρῆσθαι χάριν; Τίνος οὖν χάριν τήν τοῦ Πνεύματος χάριν ἄκτιστον αὐτός τε φάναι οὐ πείθεται καί τούς πειθομένους δυσεβεῖς ἀποφαίνεται καί πάντα λίθον, τό τοῦ λόγου, κινεῖ πᾶσι ταύτην ὑποδεῖξαι κτιστήν, μίμησιν αὐτήν εἶναι φυσικήν λέγων καί τῆς λογικῆς φύσεως ἕξιν ὡρισμένην τε καί ὁρωμένην αἰσθήσει ᾗ αἰσθήσει; Τοῖς ὁμοφύλοις Λατίνοις ᾗ δυνάμεως ἔχει χαρίζεται, πρός τό ἐκείνων φρόνημα δολίως ἅμα καί βιαίως ἡμᾶς ὑφελκόμενος. Ὅταν γάρ ἀκούσωμεν ἐκ τοῦ Υἱοῦ διδόμενον τό Πνεῦμα καί δι᾽ Υἱοῦ ἐφ᾽ ἡμᾶς προχεόμενον, εἶτα καί τοῦ μεγάλου Βασιλείου λέγοντος, «ἐξέχεεν ἐφ᾽ ἡμᾶς ὁ Θεός τό Πνεῦμα πλουσίως διά (σελ. 574) τοῦ Υἱοῦ αὐτοῦ˙ ἐξέχεεν οὐκ ἔκτισεν, ἐχαρίσατο οὐκ ἐδημιούργησεν, ἔδωκεν οὐκ ἐποίησεν», ὦμεν δ᾽ ἀναπεπεισμένοι κτιστήν τήν χάριν εἶναι, τί ἐροῦμεν δίδοσθαι καί χαρίζεσθαι καί προχεῖσθαι διά τοῦ Υἱοῦ; Οὐκ αὐτό τό τήν χάριν ἐνεργοῦν, εἴπερ ἐκεῖνο μόνον ἄναρχον εἶναι φαῖμεν, πᾶσαν δέ ἐνέργειαν αὐτοῦ

κτιστήν, καθάπερ ὁ νέος οὗτος ἰσχυρίζεται θεολόγος; Ἆρ᾽ οὖν οὐ τοῦτ᾽ αὐτό ἐστιν ἄντικρυς τό τῶν Λατίνων φρόνημα, δι᾽ ὅ τῶν τῆς καθ᾽ ἡμᾶς Ἐκκλησίας ἀπελήλανται περιβόλων, ὅτι οὐχ ἡ χάρις, ἀλλ᾽ αὐτό τό Πνεῦμα τό ἅγιον κἀκ τοῦ Υἱοῦ πέμπεται καί διά τοῦ Υἱοῦ προχεῖται; Ὁρᾶτε τήν βαθεῖαν αὐτοῦ συνεσκιασμένην βουλήν καί τό δολερόν καί κακοῦργον τοῦ ἐγχειρήματος;

Τί δ᾽ οὐκ ἔμελλεν ἐπί τοῦτο παντί τρόπῳ σπεύδειν καί πᾶσαν μηχανήν κινεῖν καί περιέργως προσβάλλειν, ἐπειδή φανερῶς οὐκ εἶχεν ὁ πέρυσι παρά τοῦ θειοτάτου βασιλέως ἡμῶν πρεσβευτής εἰς Ἰταλίαν καί τάς ἄνω Γαλλίας ἀπεσταλμένος ὡς ἐπί Πέρσας ἐκείνου ἐγεῖραι στείλασθαι προσελαύνοντος ἦρος, αὐτός δέ τοῦ μέν σκοποῦ τῆς πρεσβείας ἐπιλαθόμενος, ὡς ὕστερον ἐκ τῶν ἔργων ἐφάνη, προσχωρήσας δέ τῷ πάπᾳ καί τάς εὐχάς ἐκείνου σωτηρίους αὐτῷ γενέσθαι κατά τήν ὁδόν ἐπειπών, ἅς αὐτός φησιν, ἐπ᾽ αὐτοῦ διετείνατο, εἶτα καί προσφύσας μέν ἐκείνῳ τά χείλη καί τό γόνυ μεθ᾽ ἡδονῆς, ὡς ἔοικε, καί σεβάσματος ἀσπασάμενος, τήν δέ κεφαλήν ὑποθείς ταῖς ἐκείνου χερσί καί τήν ἐκεῖθεν σφραγῖδα χαίρων δεξάμενος; Εἰ γάρ μή χαίρων ὡς ἀληθῶς ἀλλ᾽ ὑποκρινόμενος, τίνι πιστώσεται τό πρός ἡμᾶς ἀνυπόκριτον; Τοῖς πρός ἐκείνους ἐξενηνεγμένοις λόγοις, φαίη τις ἄν. Ἀλλ᾽ ἡ προσγεγραμμένη τελευταία τούτοις εὐχή δείκνυσι αὐτοῦ (σελ. 576) τό τῆς ψυχῆς ἀβέβαιον˙ «παράδος» γάρ, φησίν, «ἀφανισμῷ παντελεῖ τούς τοιούτους λόγους, λέγε προάναρχε, εἴπερ καί ἐκ σοῦ ἐστι τό σόν Πνεῦμα, ἕν αἴτιον καί μίαν ἀρχήν σέ τε καί τόν σόν Πατέρα ἐπαγόμενον, ὅπως μηδενί δι᾽ αὐτῶν τηλικούτου κακοῦ αἴτιος γένωμαι κἀμέ τῆς τοιαύτης κακοδοξίας πρό τοῦ τέλους ἀπάλλαξον». Ποίῳ δέ καί νῦν λόγῳ μετά τήν ἀπ᾽ ἐκείνων ἐπάνοδον εὐθύς τά τοῖς Ἰταλοῖς, ὡς ἀποδέδεικται, συνηγοροῦντα περιέργως συντεθείκει συγγράμματα, καί ταῦτ᾽ ἐξ Ἰταλίας, ὡς αὐτός ἐν προοιμίῳ γράφει, πρός τό Κατά Μασσαλιανῶν γράφειν κεκινημένος, εἰ μή καί τοῦτο ὑπόκρισις, ὅ καί αὐτός ἰσχυρίζεται;

Τοιγαροῦν σκηνή πᾶς λόγος αὐτῷ, κωμῳδοῦσα καί παίζουσα τά ἡμέτερα, καί ἥν Ἐκκλησίαν ἐκεῖ καί σύνοδον ἱεράν καί ἁγίαν φησί, τήν τῶν Λατίνων ἔοικε λέγειν. Ὅτι γάρ ἐν πᾶσι μᾶλλον κατ᾽ ἐκείνην φρονεῖν, τεκμηριώσαιτ᾽ ἄν τις καί τῷ μηδ᾽ ὁντινοῦν σχεδόν ἁγιασμόν ἀπό τῆς ἡμετέρας Ἐκκλησίας προσήκασθαι, τούς ἐκεῖθεν ἀπομάττοντα σπίλους, καί ἵνα τἄλλα παρῶ, τοσοῦτον ἤδη χρόνον ἀφ᾽

οὗπερ ἐπεδήμησεν ἡμῖν οὐδείς ἑώρακεν αὐτόν τῆς ἁγιωτάτης εὐχαριστίας ἐν μεθέξει γενόμενον· τί χρή λέγειν εὐχήν ἤ ἐπίκλησιν ἱεράν ἤ τήν ἐν θριξί σταυροειδῆ σφραγῖδα καί τἄλλ᾽ ὅσα σύμβολα μοναχικῆς τελειώσεως, ὧν ἄνευ μοναχόν εἶναι παρ᾽ ἡμῖν οὐ νομίζεται τοῖς τῶν ἁγίων πατέρων θεσμοθεσίας ὑπείκουσιν; Οὗτος γάρ οὐδ᾽ ἐπ᾽ εἰσαγωγῇ μοναχικοῦ μυστηρίου εὐχήν γοῦν ἱεράν ἐπεζήτησεν, ἀλλ᾽ αὐτόπλαστός ἐστι μοναχός, οὐ πολύ δ᾽ εἰπεῖν καί ἐπίπλαστος· «ἐκ τῶν καρπῶν γάρ, φησί, «τό δένδρον ἐπιγινώσκεται». Τούς γε μήν περί μελλούσης κολάσεως μυστικούς αὐτῷ λόγους λεγέτωσαν οἱ αὐτήκοοι. Ἐγώ δ᾽ ἐκ τῶν τούτων καί τῶν τοιούτων οὐχ ἐπ᾽ ἀγνοίας, (σελ. 578) ἀλλ᾽ ὑπό κακονοίας, κτιστήν αὐτόν ἀποφαίνεσθαι τήν θεοποιόν ὑπενόησα χάριν τοῦ Πνεύματος· εἰ δ᾽ ἄρ᾽ ὑπ᾽ ἀγνοίας, ἐπεί καταλογογραφεῖ τῶν εἰδότων, ἀπόνοιαν τῇ περί τά τοιαῦτα συζεύξας ἀγνοίᾳ, χεῖρον, ὡς ἐγῷμαι, τό ἔγκλημα· δόγμα γάρ ἀποτόπαιον ἅπαν ἐκ τοιαύτης ἀνερράγη πηγῆς, ἀφ᾽ ἧς καί νῦν οὗτος προστάτης πονηρῶν τε καί πολλῶν αἱρέσεων ἀναπέφηκεν, ὡς ὁ λόγος δείξει προϊών.

Ὁ μέν γάρ σοφός τά θεῖα Μάξιμος, συνῳδά τῷ μεγάλῳ Μακαρίῳ καί τοῖς ἄλλοις ἅπασιν ἁγίοις, καθάπερ ἐν τοῖς Περί φωτός θείου ἐξενηνεγμένοις ἡμῖν λόγοις προεξεθέμεθα, τόν ἀρραβῶνα τῆς μελλούσης ἐπαγγελίας, τήν χάριν τῆς υἱοθεσίας, τόν θεοποιόν δωρεάν τοῦ Πνεύματος φῶς εἶναί φησιν ὑπεραρήτου δόξης τοῖς ἁγίοις ἐποπτευόμενον, φῶς ἐνυπόστατον, ἄκτιστον, ἀεί ὄν ἐκ τοῦ ἀεί ὄντος καί ἀνεπινοήτως, νῦν μέν ἐκ μέρους, ἐπί δέ τοῦ μέλλοντος αἰῶνος τελεωτέρως φανερούμενον τοῖς ἀξίοις καί τόν Θεόν αὐτοῖς δι᾽ ἑαυτοῦ φανεροῦν. Ὁ δέ φιλόσοφος οὗτος ξένον ἑαυτόν τοῦ τοιούτου συνορῶν φωτός, ὡς τῆς πρός αὐτό φερούσης μηδέ πρός ὀλίγον ἡμμένος, φέρειν οἷός τε ὤν οὐδαμῶς οὐ τῇ πίστει τήν πρᾶξιν προσέθηκεν, ἵνα δι᾽ αὐτῆς πρός ἐκείνην φθάσῃ τήν θεωρίαν, ἀλλά καί τήν πίστιν ἀπαρνησάμενος καί τούς μή ταύτην ἠρνημένους, ἀλλά καί δι᾽ αὐτῆς ἀνηγμένους, ὡς ὑπέρ αὐτούς τοῖς πολλοῖς αὐτό δόξαι, τοῖς λόγοις ἐξουδενώσας, ἀθετεῖ μέν τήν χάριν, βλασφημεῖ δέ εἰς τόν τῆς χάριτος Κύριον, ἀτιμάζει δέ κοινῇ πάντας τούς ἁγίους, ὅσοις ἐξεγένετο διά πεῖρας μαθεῖν τε καί διδάξαι περί τοῦ φωτός τῆς χάριτος.

Ἐπεί δέ τοιαῦτα τολμῆσαι δεῖν ἔγνωκεν, οὐ Σκύθαις ἐνοικῶν, οὐδ᾽ Ἀγαρηνοῖς ἐνστρεφόμενος, ἀλλ᾽ ἐν μέσῃ τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, καί ταῦτα νῦν εἴπερ ποτέ τόν λόγον τῆς ἀληθείας ὀρθοτομούσῃ,

πολλῷ χρῆται τῷ δόλῳ καί (σελ. 580) συνεσκιασμένως ἄγαν καί μετ᾽ ἐπικρύψεως ὅ τι πλείστης τούς κατά τῶν ἁγίων προτίθεται λόγοις, ὡς ὑπέρ αὐτῆς τῆς τοῦ Χριστοῦ Ἐκκλησίας καί τῶν κατ᾽ αὐτήν εὐσεβῶν δογμάτων ὁ ταῦτα περιτρέπων ἀγωνιζόμενος. Ἀφείς τοίνυν πᾶσαν παντός ἁγίου ἐπωνυμίαν, τραπεζούντιόν τινα Θεόδωρον εἰς μέσον προήγαγεν, ὅς προέστι μέν τῶν Βλαχερνῶν, τά Μασσαλιανῶν δ᾽ ἐφωράθη νοσῶν˙ τοῦτον τοίνυν προήνεγκεν ὑπέρ ἑαυτοῦ δῆθεν ἀπολογούμενον καί λέγοντα σαφῶς μή τήν ὑπερούσιον κρυφιότητα νῦν καθάπερ πρότερον ὁρατήν δοξάζειν τοῦ Θεοῦ, ἀλλά τήν δόξαν δ᾽ εἶναι φάσκοντα Θεοῦ φῶς ἐνυπόστατον καί ἀγένητον καί θεότητα καί θεαρχίαν ὀνομαζόμενον, καί ἁπλῶς ὅσα περί τῆς θεοποιοῦ δωρεᾶς τοῦ Πνεύματος οἱ ἅγιοι συνεγράψαντο.

Θεαρχίαν γάρ ταύτην καί ἀγαθαρχίαν καί θεότητα, ὡς ἀρχήν τῶν θεουμένων οὖσαν, πολλαχοῦ τῶν λόγων ὁ μέγας Διονύσιος προσεῖπεν, ἧς ἐπέκεινα, φησίν, εἶναι τόν Θεόν ὡς ὑπέρθεον ὄντα καί ὑπεράρχιον. Μάξιμος δέ ὁ θεῖος θέωσιν τήν θεότητα προσηγόρευσεν ταύτην˙ τήν δέ θέωσιν ὁριζόμενος, «ἐνυπόστατον» εἶπεν «ἔλλαμψιν, μή ἔχουσαν γένεσιν, ἀλλ᾽ ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν», προσθείς καί τἄλ᾽ ὅσα μικρόν ἀνωτέρω προθέντες ἔφθημεν. Βασιλείου δέ τοῦ μεγάλου ἀκηκόαμεν εἰπόντος ἄκτιστον τό διά τοῦ Υἱοῦ ἐφ᾽ ἡμᾶς ἐκχεόμενον. Ἰωάννης δέ ὁ τήν γλῶτταν χρυσοῦς, τῷ Βασιλείου κράτει τῶν λόγων συναφθείς, τούς τε Λατίνους αἰσχυνεῖ καί τά δολερά τοῦ κενόφρονος τούτου καταλύσει μηχανήματα, «μή τόν Θεόν», λέγων, «ἀλλά τήν χάριν ἐκχεῖσθαι»˙ καί πρό τοῦ Χρυσορρήμονος πατρός ὁ προφήτης Ἰωήλ, μᾶλλον δέ διά τοῦ προφήτου ὁ Θεός εἰπών, οὐκ "ἐκχεῶ τό πνεῦμα μου", ἀλλ᾽ «ἐκχεῶ ἀπό τοῦ Πνεύματός μου». Εἰ τοίνυν τό Πνεῦμα μή κατακερματίζεται, τί τό ἐκ τοῦ (σελ. 582) Πνεύματος τοῦ Θεοῦ ὑπό Θεοῦ κατ᾽ ἐπαγγελίαν ἐφ᾽ ἡμᾶς ἐκχεόμενον Πνεῦμα; Ἆρ᾽ οὐχ ἡ τοῦ Πνεύματος χάρις τε καί ἐνέργεια, ἐνέργεια οὖσα τῆς οὐσίας τοῦ Πνεύματος; Ἀλλά τό παρά τοῦ Θεοῦ ἐφ᾽ ἡμᾶς ἐκχεόμενον Πνεῦμα οὐκ ἔκτισται κατά τόν μέγαν Βασίλειον. Ἄκτιστος ἡ χάρις ἄρα, καί τοῦτ᾽ ἐστιν ὅ καί δίδοται καί πέμπεται καί χαρίζεται παρά τοῦ Υἱοῦ τοῖς μαθηταῖς, ἀλλ᾽ οὐκ αὐτό τό Πνεῦμα, καί τοῦτ᾽ ἔστι τό δῶρον τό θεοποιόν, ἐνέργεια ὄν οὐκ ἄκτιστος μόνον ἀλλά καί ἀχώριστος τοῦ παναγίου Πνεύματος. Ἄκουσον δή πάλιν τοῦ μεγάλου Βασιλείου˙ «ἥν» γάρ, φησί, «προΐεται ζωήν εἰς ἄλλου ὑπόστασιν τό Πνεῦμα, οὐ χωρίζεται αὐτοῦ»˙ καί ἵνα

μή τινι δόξῃ τήν καθ᾽ ἡμᾶς φυσικήν τοῦτον λέγειν ζωήν, καίτοι προέσθαι φάμενον, ἀλλ᾽ οὐχί κτίσαι, μᾶλλον δέ προϊέσθαι, ὅ μετά τοῦ ἀκτίστου καί τοῦ ἀνάρχου πως ἐμφαντικώτερόν ἐστιν, ὅμως ἵνα μή δόξῃ φυσικόν τι λέγειν, ἐπήνεγκε· καί οἱ μετέχοντες αὐτοῦ ζῶσι θεοπρεπῶς, ζωήν θείαν καί οὐράνιον κεκτημένοι».

Καί τοίνυν ἡ τοιαύτη θεία καί οὐράνιος ζωή τῶν θεοπρεπῶς ζώντων ἐν τῷ μετέχειν τῆς ἀχωρίστου τοῦ Πνεύματος ζωῆς (ὥσπερ καί ὁ Παῦλος ἔζη «τήν τοῦ ἐνοικήσαντος θείαν καί ἀΐδιον» κατά τόν θεῖον Μάξιμον «ζωήν»), ἡ τοιαύτη τοιγαροῦν ζωή ἀεί μέν ἐστι, φυσικῶς ἐνυπάρχουσα τῷ Πνεύματι θεοποιεῖν ἐξ ἀϊδίου πεφυκότι, Πνεῦμα τε καί θεότης προσαγορεύεται δικαίως παρά τῶν ἁγίων, ἅτε δωρεά θεοποιός τοῦ δίδοντος Πνεύματος ἥκιστα χωριζομένη, φῶς δέ ἐστι, δι᾽ ἀπορρήτου ἐλλάμψεως χορηγουμένη καί τοῖς ἠξιωμένοις ἐγνωσμένη μόνοις, ἐνυπόστατός τε μήν, οὐχ ὡς αὐθυπόστατος, ἀλλ᾽ ἐπεί εἰς ἄλλου ὑπόστασιν τό Πνεῦμα προΐεται αὐτήν, ἐν ᾗ καί θεωρεῖται· τοιοῦτον γάρ τό κυρίως ἐνυπόστατον, οὐ καθ᾽ ἑαυτό οὐδ᾽ ἐν τῇ οὐσίᾳ, ἀλλ᾽ ἐν τῇ ὑποστάσει θεωρούμενον. Εἰ δέ καί ἕτερός ἐτι τρόπος, δι᾽ ὅν ἐνυπόστατος (σελ. 584) καλεῖται παρά τῶν ἁγίων, ἐροῦμεν προϊόντες. Ὑπέρκειται δέ τῆς ἐν αὐτῷ καί ἐξ αὐτοῦ θεουργοῦ ζωῆς τό Πνεῦμα τό ἅγιον, ὡς οἰκείας ἐμφύτου ἐνεργείας, ἥτις καί ἐμφερής ἐστιν ἐκείνῳ, εἰ καί μή ἀκριβῶς· «οὐδεμίαν» γάρ, φησίν, ὁρῶμεν θέωσιν ἤ ζωήν, ἥτις ἀκριβῶς ἐμφερής ἐστι τῇ πάντων ὑπερκειμένῃ κατά πᾶσαν ὑπεροχήν αἰτίᾳ»· ὥστε ἐμφερής μέν, ἀλλ᾽ οὐκ ἀκριβῶς. Οὐχ ὡς αἴτιον δέ μόνον ὑπέρκειται τό Πνεῦμα τό ἅγιον, ἀλλά καί διά τό πολλοστόν τοῦ δόματος ἀεί τό λῆμμα εἶναι, μή τό πᾶν τῆς θείας ἐνεργείας χωροῦντος τοῦ λαμβάνοντος. Οὕτω πολυτρόπως ὑπέρ τό τοιοῦτον φῶς καί τήν τοιαύτην ἄκτιστον ἔλλαμψίν τε καί ζωήν καί τά παραπλήσια ὑπάρχει ὁ Θεός. Ταῦτα μέν οὖν ὁ μέγας Βασίλειος.

Συμεών δέ ὁ ἔνθεος Μεταφραστής, ἐκ τοῦ πρώτου βιβλίου τοῦ μεγάλου Μακαρίου συνταξάμενος Κεφαλαιώδεις λόγους, περί τοῦ φωτός τούτου καί τῆς δόξης ταύτης ἐμμελῶς ἅμα καί ἐναργῶς ἐξηγεῖται διεξοδικώτερον. Οὐδέν δ᾽ οἷον καί τινα ἐξ αὐτῶν ὡς οἷόν τε συνελόντα καί ὑποτεμόμενον ἐνταυθοῖ προθεῖναι πρός τῷ μέγα τι τῷ προκειμένῳ λόγῳ συντελεῖν, οὐδέν ἧττον λυσιτελοῦντα καί πρός τήν τῶν ἐντυγχανόντων ὠφέλειαν. Ἐν γοῦν τῷ ἑξηκοστῷ δευτέρῳ κεφαλαίῳ φησί· «Μωσῆς ὁ μακάριος ὑπέδειξε τύπον διά τῆς τῷ

προσώπῳ αὐτοῦ ἐπιλαμπούσης τοῦ Πνεύματος δόξης ᾗ οὐδείς ἀνθρώπων ἀτενίσαι ἠδύνατο, πῶς ἐν τῇ τῶν δικαίων ἀναστάσει τά σώματα δοξασθήσεται τῶν ἁγίων, ἥν δόξαν ἀπό τοῦ νῦν ἐν τῷ ἔσω ἀνθρώπῳ αἱ πισταί τῶν ἁγίων ἔχειν καταξιοῦνται ψυχαί˙ ἡμεῖς γάρ, φησίν, "ἀνακεκαλυμμένῳ προσώπῳ", τουτέστι τῷ ἔσω ἀνθρώπῳ, τήν δόξαν Κυρίου κατοπτριζόμεθα, τήν αὐτήν εἰκόνα μεταμορφούμενοι ἀπό δόξης εἰς δόξαν». Καί ἐν τῷ ἑξηκοστῷ τρίτῳ˙ «τήν δόξαν ἥν ἐντεῦθεν, ὡς εἴρηται, πλουτοῦσιν αἱ τῶν ἁγίων ψυχαί, (σελ. 586) ἐκείνη καλύψει καί ἀμφιάσει τά γυμνά σώματα ἐν τῇ ἀναστάσει καί εἰς οὐρανούς ἀνάρπαστα ποιήσει, περιβεβλημένα τῷ τῶν ἀγαθῶν ἔργων καί τῇ τοῦ Πνεύματος δόξῃ, ἥν ἐντεῦθεν, ὡς ἔφην, αἱ τῶν ἁγίων ἔλαχον ἔχειν ψυχαί˙ καί οὕτω δοξασθέντες οἱ ἅγιοι θείῳ φωτί σύν τῷ Κυρίῳ διαπαντός ἔσονται». Τοῦτ᾽ ἄρα τό φῶς ἐκεῖνο, κατά τόν μέγαν Διονύσιον, ὅ τούς τῶν ἀποστόλων ἐκκρίτους περιέλαμψεν ἐπί τοῦ ὄρους˙ «ὅταν» γάρ, φησίν, «ἄφθαρτοι καί ἀθάνατοι γενώμεθα καί τῆς χριστοειδοῦς καί μακαριωτάτης ἐφικώμεθα λήξεως, πάντοτε σύν Κυρίῳ, κατά τό λόγιον ἐσόμεθα, τῆς μέν ὁρατῆς αὐτοῦ θεοφανείας ἐν πανάγνοις θεωρίαις ἀποπληρούμενοι φανοτάταις μαρμαρυγαῖς ἡμᾶς περιαυγαζούσης, ὡς τούς μαθητάς ἐν ἐκείνῃ τῇ θειοτάτῃ μεταμορφώσει». Τοῦτ᾽ ἄρα θεϊκόν ἐστι τό φῶς ὡς καί Ἰωάννης ἐν τῇ Ἀποκαλύψει ἔφη καί τοῖς ἁγίοις πᾶσι συνδοκεῖ. Γρηγόριος δέ ὁ τῆς θεολογίας ἐπώνυμος, «ἥξει μέν», φησί, «μετά σώματος, ὡς ὁ ἐμός λόγος, τοιοῦτος δέ οἷος ὤφθη τοῖς μαθηταῖς ἐν τῷ ὄρει, ἤ παρεδείχθη, ὑπερνικώσης τό σαρκίον τῆς θεότητος».

«Ἀλλ᾽ αἰσθητόν ἦν», φησί, «τό φῶς ἐκεῖνο καί δι᾽ ἀέρος ὁρατόν, τότε γεγονός πρός ἔκπληξιν καί εὐθύς ἀπογενόμενον, καί θεότης λέγεται ὡς σύμβολον θεότητος». Τῆς καινοφωνίας ἤκουσται καί αὐθημερινή θεότης, αἰσθητή καί γενητή, ἐφ᾽ ἡμέραν γινομένη καί ἐφ᾽ ἡμέραν φθειρομένη, κατά τά καλούμενα τῶν ζώων ἐφήμερα, μᾶλλον δέ καί τούτων ὀλιγοχρονιωτέρα, αὐθωρόν γινομένη τε καί λυομένη, μᾶλλον δέ «γενομένη μέν ποτε, οὖσα δέ οὐδέποτε»; Τοιαύτη οὖν θεότης λέγεται ὡς σύμβολον θεότητος». Τοιαύτη οὖν θεότης ὑπερενίκησε τήν προσκυνητήν ἐκείνην καί ὁμόθεον σάρκα, ἡ μή οὖσα θεότης οὐδέποτε; Μᾶλλον δέ οὐχ ὑπερενίκησέ ποτε, ἀλλ᾽ ὑπερνικᾷ διηνεκῶς˙ οὐ γάρ εἶπεν ὑπερνικησάσης, ἀλλ᾽ ὑπερνικώσης, καί οὐκ ἐπί τοῦ παρόντος μόνον, ἀλλά κἀπί τοῦ μέλλοντος αἰῶνος. Τί φῄς; Τοιαύτη θεότητι (σελ. 588) συνημμένος ἔσται καί ὑπερνικώμενος εἰς

ἀπείρους αἰῶνας ὁ Κύριος; Καί ἀντί πάντων μέν ἡμῖν ἐκεῖ, κατά τάς ἀποστολικάς καί πατερικάς φωνάς, ἔσται ὁ Θεός, τῷ Χριστῷ δέ ἀντί θεότητος φῶς προσέσται αἰσθητόν; Καί ἀέρος μέν καί τόπου καί τῶν τοιούτων κατά τάς αὐτάς φωνάς οὐ δεησόμεθα ἐκεῖ, δι᾽ ἀέρος δέ ὀψόμεθα τήν θεότητα; Πῶς δέ καί τοιαῦτα σύμβολα ἐκεῖ; πάλιν ἔσοπτρα, πάλιν αἰνίγματα, πάλιν ἐν ἐλπίσιν ἡ πρός πρόσωπον θέα; Μᾶλλον δέ, εἰ καί τότε τοιαῦτα σύμβολα καί ἔσοπτρα καί αἰνίγματα, φεῦ τοῦ δόλου καί τῆς ἀπάτης, ἐψεύσθημεν τῶν ἐλπίδων, κατεσοφίσθημεν˙ θεότητα δι᾽ ἐπαγγελίας κτήσεσθαι προσδοκήσαντες, οὐδ᾽ ἰδεῖν θεότητα συγχωρούμεθα, φῶς δ᾽ αἰσθητόν ἀντ᾽ ἐκείνης, φύσιν ἀλλοτριωτάτην θεότητος. Πῶς δέ καί τό τοιοῦτο σύμβολον – εἴγε καί τοιοῦτον ἦν – θεότης ἄν κληθείη; Οὐδέ γάρ ἀνθρωπότης ὁ γεγραμμένος ἄνθρωπος, οὐδ᾽ ἀγγελότης τό φανέν σύμβολον ἀγγέλου.

Τίς ποτε τῶν ἁγίων συμβόλων κτιστόν τό φῶς ἐκεῖνο εἶπε; Γρηγόριος ὁ θεολόγος, «φῶς», φησίν, «ἡ παραδειχθεῖσα θεότης ἐπί τοῦ ὄρους τοῖς μαθηταῖς». Εἰ οὖν μή ἀληθινόν ἦν καί ἀληθῶς θεότης, ἀλλά κτιστόν σύμβολον αὐτῆς, οὐκ ἔδει φάναι φῶς ἡ παραδειχθεῖσα θεότης, ἀλλά φῶς τό παραδεῖξαν θεότητα, καί οὐδέ τό παραδεῖξαν, ἀλλά τό δεῖξαν, ἐπεί τό παρά συνηρτημένον ἀμυδράν ἔκφανσιν τοῦ κρυφίου τῆς θεότητος σαφῶς ἐπιδείκνυσιν. Οὕτω μέν οὖν ὁ τήν θεολογίαν οἰκείαν ἐπωνυμίαν κτησάμενος. Ὁ δέ Χρυσόστομος θεολόγος, «λαμπρότερος», φησίν, «ἑαυτοῦ ἐφαίνετο ὁ Κύριος, τῆς θεότητος παραδειξάσης τάς ἀκτῖνας αὐτῆς». Ὅρα κἀνταῦθα τό παρά προσκείμενον καί σαφῶς ἐκφαῖνον τοῦ κρυφίου τήν ἔκφανσιν, ἀλλά μηδέ τήν τοῦ ἄρθρου παραδράμῃς προσθήκην˙ οὐ γάρ θεότητος εἶπεν, ἀλλά τῆς θεότητος, (σελ. 590) ἐκείνης τῆς ἀληθινῆς. Πῶς δέ καί τό ἐξ ἀλλοτρίας φύσεως θεότητος σύμβολον ὑπάρχον˙ φῶς ἀκτῖνες ἄν εἶεν τῆς θεότητος; Ὁ δέ μέγας Βασίλειος, δεικνύς ἕν φῶς τόν ἐν τρισίν ὑποστάσεσι προσκυνούμενον Θεόν, «ὁ Θεός», φησί, «φῶς οἰκῶν ἀπρόσιτον»˙ τό γάρ ἀπρόσιτον πάντως καί ἀληθινόν, καί τό ἀληθινόν ἀπρόσιτον˙ ὁπότε καίπεπτώκασιν οἱ ἀπόστολοι τῇ δόξῃ τοῦ φωτός τοῦ Υἱοῦ ἀτενίσαι μή δυνηθέντες διά τό εἶναι αὐτόν ἀπρόσιτον φῶς. Φῶς δέ καί τό Πνεῦμα˙ «ὅς», φησίν, «ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν διά Πνεύματος ἁγίου». Εἰ τοίνυν τό ἀπρόσιτον ἀληθινόν - ἀπρόσιτον δ᾽ ἐκεῖνο ὖν – οὐχ ὑπόκρισις ἦν θεότητος τό φῶς ἐκεῖν ο, ἀλλ᾽ ὡς ἀληθῶς φῶς ἀληθινῆς θεότητος, οὐ τῆς τοῦ Υἱοῦ μόνον, ἀλλά καί τοῦ

Πνεύματος καί τοῦ Πατρός. Διό κοινῇ πάντες τῷ Κυρίῳ ψάλλομεν τήν ἐπέτειον τελοῦντες ἑορτήν˙

«ἐν τῷ φανέντι φωτί σου,
σήμερον ἐν Θαβωρίῳ,
φῶς εἴδομεν τόν Πατέρα,
φῶς καί τό Πνεῦμα»˙
«τῆς γάρ σῆς θεότητος
ἀμυδράν παρεγύμνωσας αὐτήν».

Ἐνταῦθα γοῦν οὐχ ἡ πρόθεσις μόνη προσκειμένη, ἀλλά καί ἡ σημασία τοῦ ὀνόματος τοῦ Κρυφίου τήν ἔκφανσιν ἐκφαίνει. Κοινῇ τοίνυν πάντων τῶν ἁγίων ἀληθινήν θεότητα τό φῶς ἐκεῖνο προσαγορευόντων, πῶς αὐτός ἐπήρθης ἀλλοτριῶσαι τοῦτο τῆς θεότητος, κτιστόν καί αἰσθητόν καί τοιοῦτο σύμβολον προσειπών θεότητος αὐτό καί χεῖρον τῆς καθ᾽ ἡμᾶς νοήσεως ἀποφηνάμενος;

Ὁ μέντοι σοφός τά θεῖα Μάξιμος, ἕτερον ἑτέρου σύμβολον εἰωθός λέγειν ἀναλογίας λόγῳ κατά τάς ἀλληγορίας, οὐ τό ἔλαττον τοῦ μείζονος ἀεί ποιεῖται σύμβολον, ὡς αὐτός ᾠήθης ὁ τά πάντα σοφός, ἀλλ᾽ ἔσθ᾽ ὅτε καί τό μεῖζον τοῦ ἐλάττονος, (σελ. 592) ὥσπερ καί τό δεσποτικόν ἐκεῖνο σῶμα, ἀπηωρημένον ἐπί τοῦ σταυροῦ, σύμβολον γενέσθαι λέγει τοῦ προσηλωμένου τοῖς πάθεσι σώματος ἡμῶν, τόν δέ Ἰωσήφ, πρόσθεσιν ἑρμηνευόμενον, ἀρετῆς καί πίστεως σύμβολον. Ταῦτα γάρ, φησί, προστιθέμενα τοῖς πάθεσι πρότερον ἐνισχυμένοις, ἀποκαθηλοῦσιν αὐτῶν ἐκείνους, ὡς ὁ Ἰωσήφ τοῦ σταυροῦ τόν Κύριον. Οὗτος τοίνυν καταφατικῆς καί ἀποφατικῆς θεολογίας σύμβολον ἀλληγορῶν τό φῶς ἐκεῖνο προσηγόρευσεν, ὡς μεῖζον ἐλαττόνων καί ὡς ἐν ἑαυτῷ τήν τῆς θεολογίας γνῶσιν ἔχον καί παρεκτικόν αὐτῆς ὑπάρχον. Τί δέ; οὐχί καί τόν Μωϋσῆν οὗτος τῆς προνοίας σύμβολον εἶπε καί τόν Ἠλίαν τῆς κρίσεως; Ἆρ᾽ οὖν οὐδ᾽ οὗτοι ἀληθῶς παρῆσαν, ἀλλά φάσματα πάντ᾽ ἐκεῖνα καί ὑπόκρισις ἦν; Καί τίς ἄν τοῦτ᾽ εἰπεῖν τολμήσαι τῶν ἁπάντων, ὅτι μή ὁ καλός Βαρλαάμ, ὁ καί τό φῶς ἐκεῖνο ἀλλοτρίαν θεότητος φύσιν εἰρηκώς ὑποκρινομένην θεότητα; Καίτοι σχεδόν πᾶς ὁ χορός τῶν ἐνθέων θεολόγων τούτου χάριν σύμβολον ἁπλῶς ἐφυλάξαντο τήν τοῦ φωτός ἐκείνου χάριν προσειπεῖν, ἵνα μή τις ὑπό τοῦ τοιούτου προσρήματος διά τήν ὁμωνυμίαν ἐκτραπείς κτιστόν καί ἀλλότριον νομίσῃ θεότητος τό θειότατον ἐκεῖνο φῶς˙ ἐκεῖ σύμβολον θεότητος λεγόμενόν τε καί νοούμενον συνετῶς καί ὑγιῶς κατ᾽ οὐδέν ἄν ἴδοις τῇ ἀληθείᾳ προσιστάμενον.

Ἔστω γάρ καί σύμβολον θεότητος, καθάπερ δικαιοῖς αὐτός. Οὐδ᾽ οὕτως ἡμᾶς αἱρήσεις, οὐδ᾽ ἀποστήσεις, εὖ ἴσθι, τῆς μακαριστῆς ἐλπίδος˙ πᾶν γάρ σύμβολον ἤ ἐκ τῆς φύσεώς ἐστιν οὗ σύμβολόν ἐστιν, ἤ φύσεως ἑτέρας παντάπασιν ὑπάρχει. Καί γάρ, ἡλίου μέλλοντος ἀνίσχειν, τοῦ κατ᾽ αὐτόν φωτός φυσικόν σύμβολόν ἐστιν ὁ ὄρθρος, καί τῆς τοῦ πυρός καυστικῆς δυνάμεως ἡ θέρμη φυσικόν σύμβολόν ἐστι. Τό δέ μή φυσικόν ἤ καθ᾽ ἑαυτό πεφυκός ὑφεστηκέναι γίνεταί ποτε παρά τούς χρωμένους σύμβολον, ὡς ὁ πυρσός ἐπιόντων πολεμίων, ἤ κατ᾽ οἰκείαν μέν φύσιν οὐχ ὑφέστηκε, γίνεται δ᾽ οἷόν (σελ. 594) τι φάσμα κατά χρείαν τῆς προνοίας, ὅ καί τοῦτ᾽ αὐτό μόνον σύμβολόν ἐστι. Τοιαῦτα δέ ἐστι τά τοῖς προφήταις αἰσθητῶς καί ἐν σχήματι δεικνύμενα, οἷον τό τοῦ Ζαχαρίου δρέπανον καί αἱ πελέκεις τοῦ Ἰεζεκιήλ καί εἴ τι τούτων παραπλησίον. Τό μέν οὖν φυσικόν ἀεί σύνεστι τῇ φύσει παρ᾽ ἧς τό εἶναι ἔχει, φυσικόν γάρ˙ τό δ᾽ ἐξ ἑτέρας φύσεως καθ᾽ ἑαυτήν ὑφεστηκυίας ἀεί συνεῖναι τῷ σημαινομένῳ τῶν ἀδυνάτων παντάπασιν ὑπάρχει˙ κωλύει δέ οὐδέν εἶναι πρότερον ἤ ὕστερον ἐκεῖνο, ὅ τί ποτε καθ᾽ ἑαυτό ἐστι˙ τό δέ μή καθ᾽ ἑαυτό ὑφεστηκός οὔτε πρότερον οὔθ᾽ ὕστερον ὑπάρχει – τοῦτο γάρ ἀδύνατον - ἐπ᾽ ὀλίγον δέ φανέν, εἶτ᾽ εὐθύς πρός τό μή ὄν χωρεῖ καί ἀφανίζεται παντάπασιν. Ἐπεί τοίνυν σύμβολον τό ἐν τῷ Θαβωρίῳ φῶς, ἤ φυσικόν ἐστιν ἤ οὐ φυσικόν˙ καί εἰ μή φυσικόν, ἤ καθ᾽ ἑαυτό ὑφεστηκός ἤ φάσμα μόνον ἀνυπόστατον˙ ἀλλ᾽ εἰ φάσμα μόνον ἀνυπόστατον, οὔτε ἦν οὔτε ἔστιν οὔτε ἔσται ἐσαεί τοιοῦτος ὁ Χριστός. Ὅτι δ᾽ ἔσται ἐσαεί τοιοῦτος ὁ Χριστός, καί ὁ ἐξ Ἀρείου Πάγου Διονύσιος καί Γρηγόριος ὁ θεολόγος καί πάντες ὅσοι τοῦτον ἐξ οὐρανοῦ μετά τῆς δόξης ἥξοντα προσδέχονται, καθάπερ καί μικρόν ἀνωτέρω δέδεικται, παριστᾶσιν ἐνεργῶς˙ οὐκ ἄρα φάσμα μόνον ἀνυπόστατον τό φῶς ἐκεῖνο ἦν.

Καί μήν οὐ μόνον ἐπί τοῦ μέλλοντος ἐς ἄπειρον τοιοῦτος ἔσται, ἀλλά καί πρό τῆς ἐπί τό ὄρος ἀναβάσεως τοιοῦτος ὑπῆρχεν ὁ Χριστός. Ἄκουσον τοῦ τά θεῖα σοφοῦ Δαμασκηνοῦ˙ «μεταμορφοῦται Χριστός, οὐχ ὅ οὐκ ἦν προσλαβόμενος, οὐδέ εἰς ὅπερ οὐκ ἦν μεταβαλλόμενος, ἀλλ᾽ ὅπερ ἦν τοῖς οἰκείοις μαθηταῖς ἐκφαινόμενος, διανοίγων τούτων τά ὄμματα καί ἐκ τυφλῶν ἐργαζόμενος βλέποντας˙ μένων γάρ αὐτός ἐν ταὐτότητι παρ᾽ ὅ τό πρίν, τοῖς μαθηταῖς ἑωρᾶτο φαινόμενος αὐτός γάρ ἐστι τό φῶς τό ἀληθινόν, τό τῆς δόξης ὡραΐσμα». (σελ. 596) Τοῦτο δείκνυσι καί ὁ μέγας Βασίλειος˙ «διεφαίνετο» γάρ, φησίν, «οἷόν τι φῶς

διά ὑελίνων ὑμένων, τουτέστι διά τῆς ἐξ ἡμῶν σαρκός τοῦ Κυρίου, ἡ θεία δύναμις αὐτοῦ διαυγάζουσα τοῖς ἔχουσι τούς ὀφθαλμούς τῆς καρδίας κεκαθαρμένους». Ἀλλά καί τά ἐτησίως ἐπ᾽ Ἐκκλησίας ᾀδόμενα, «τό γάρ ὑπό τήν σάρκα κεκρύφθαι τό νῦν παραδεικνυόμενον» καί «τό ἀρχέτυπον καί ὑπέρφωτον κάλλος τό νῦν παραγυμνούμενον», τί ἄλλο παρίστησιν ἤ ὅτι προϋπῆρχε; Τί δὲ καί ἡ μεταστοιχείωσις τοῦ ἡμετέρου φυράματος καί ἡ κατ᾽ αὐτό θεουργία καί ἡ θεϊκή ἀναμόρφωσις; Ἆρ᾽ οὐχ ἅμα τῇ προσλήψει τήν ἀρχήν εὐθύς ἐτελεσιουργήθη; Τοιγαροῦν ἐκεῖνος μέν τοιοῦτος ἦν καί πρότερον, τοῖς δέ τῶν ἀποστόλων ὄμμασι τότε θείαν δύναμις ἐνθείς, ἀναβλέψαι καί ἰδεῖν αὐτούς πεποίηκεν. Οὐκ ἄρα φάσμα ἦν τό φῶς ἐκεῖνο, καί γάρ ἐσαεί τε ἔσται καί ἦν ἐκ τῆς ἀρχῆς.

Εἰ δέ ἦν καί ἔσται ἐσαεί, καί νῦν ἐστι τοιοῦτος ἄρα. Τῶν γάρ ἀτοπώτατον μέχρι μέν τῆς θειοτάτης ἐν Θαβώρ ἐκείνης θέας καί ἐσαεί τοιῦτον εἶναι κατά τόν μέλλοντα αἰῶνα, τόν δέ μεταξύ χρόνον ἠλλοιῶσθαι τήν δόξαν ταύτην ἀποθέμενον. Ὅτι δέ καί νῦν «ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς» οὕτω λάμπων κάθηται, δεῖ μέν πάντας ἕπεσθαί τε καί πείθεσθαι τῷ λέγοντι, «δεῦτ᾽ ἐπί τό ὄρος ἀναβάντες τό ἅγιον, τό ἐπουράνιον, ὀψόμεθα θεότητα ἄϋλον Πατρός καί Πνεύματος ἐν Υἱῷ μονογενεῖ ἀπαστράπτουσαν». Εἰ δέ τις ἑνί μή δεῖν εἴκειν οἴεται, πειθαρχείτω τοῖς δυσί, μᾶλλον δέ πᾶσι τοῖς ἁγίοις. Ὁ γάρ ἀντί λυχνίας τῇ Κρήτῃ χρησάμενος, οἷα λύχνος λογικός καί ἱερός, Ἀνδρέας ὁ Μακάριος, ἐξυμνῶν τό ἐν Θαβωρίῳ λάμψαν φῶς, «τοῦτο», φησίν, «ἡ νοητή διακόσμησις ἀΰλως ἑστιωμένη τεκμήριον τίθεται τῆς περί ἡμᾶς τοῦ λόγου φιλανθρωπίας». Τοῦτ᾽ αὐτό σχεδόν καί ὁ (σελ. 598) μέγας Διονύσιος λέγει, τάς ἀνωτάτω τάξεις τῶν ὑπερκοσμίων νόων ἐξυμνῶν· οὐ γάρ τῆς τριαδικῆς, φησί, δόξης μόνης μέτοχοι γίνονται καί θεωροί, ἀλλά καί τῆς Ἰησοῦ φωτοφανείας· μυοῦνται γάρ τῆς θεωρίας κατηξιωμέναι ταύτης, θεουργόν φῶς ὄντα καί αὐτόν, «ὡς ἀληθῶς αὐτῷ πλησιάζουσαι καί τῆς γνώσεως τῶν θεουργῶν αὐτοῦ φώτων ἐν πρώτῃ μετουσίᾳ γινόμενοι». Ὁ δέ μέγας Μακάριος, οἷα γλώττῃ χρώμενος τῷ σοφῷ Συμεώνῃ, μᾶλλον δέ συγχρώμενος, ὡς ἄρα δυσί γλώτταις τρανότερον ἀνακηρύξῃ τήν ἀλήθειαν, «τό φύραμα», φησί, «τῆς ἀνθρωπίνης φύσεως, ὅπερ ὁ Κύριος ἀνέλαβεν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν οὐρανοῖς, πλῆρες δόξης, οὐκέτι μόνῳ τῷ προσώπῳ, ὡς ὁ Μωϋσῆς, ἀλλ᾽ ὅλῳ τῷ σώματι». Τοιγαροῦν ἀναλλοίωτον ἔχει τό φῶς ἐκεῖνο ὁ Χριστός, μᾶλλον δέ καί

ἀεί εἶχε καί ἀεί ἔχει καί ἀεί ἕξει τοῦτο σύν αὐτῷ. Εἰ δ᾽ ἦν καί ἔστι καί ἔσται, οὐκ ἦν ἄρα φάσμα τό φῶς καθ᾽ ὅ ἔλαμψεν ἐπί τοῦ ὄρους ὁ Κύριος, οὐδ᾽ αὐτό τοῦτο μόνον ἀνυπόστατον σύμβολον.

Εἰ δέ τις φαίη τῶν καθ᾽ ἑαυτό μέν ὑφεστηκότων εἶναι τῆς τοῦ σημαινομένου ἀπεσχοινισμένον φύσεως, σύμβολον δ᾽ ἐκείνου κατά χρῆσιν γεγονός, δειξάτω ποῦ καί ποῖόν ἐστι τοῦτο, καί ταῦτα δι᾽ αὐτῆς τῆς πείρας πεφηνός ἀπρόσιτον, καί οὐχ ἁπλῶς ὄμμασιν ἀπρόσιτον, «πρηνεῖς» γάρ, φησίν, «εἰς γῆν ἔπεσον οἱ μαθηται», καί μήν οὐδαμόθεν ἄλλοθεν, ὅτι μή ἐκ τοῦ προσκυνητοῦ μόνου τηλαυγῶς ἀπήστραψε προσώπου τε καί σώματος˙ ἄλλως τε, εἰ τῶν καθ᾽ ἑαυτό μέν ὑφεστηκότων εἴη, συνέσται δέ τῷ Χριστῷ διηνεκῶς ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις, ἐκ τριῶν φύσεων καί οὐσιῶν σύνθετος ἔσται ὁ Χριστός ἐκεῖ, ἀνθρωπίνης τε καί θείας καί τῆς τοῦ φωτός ἐκείνου. Σαφές ἄρα γέγονε καί ἀποδέδεικται λαμπρῶς ὡς οὔτε τῶν καθ᾽ ἑαυτό ὑφεστηκότων καί τῆς θεότητος οὐκ ἀλλότριόν ἐστι τό φῶς ἐκεῖνο. Δεῖ μέντοι νῦν εἰπεῖν, ἐνταῦθα τοῦ λόγου γενομένοις, πῶς τήν θεουργόν (σελ.600) ταύτην χάριν, τό θεῖον τοῦτο δηλονότι φῶς, ἐνυπόστατον οἱ ἅγιοί φασιν.

Ὡς μέν οὖν οὐχί τό αὐθυπόστατον διά τοῦ τοιούτου προσρήματος αὐτῷ προσμαρτυροῦσι, δῆλον μέν καί ἀπό τοῦ μηδέποτε αὐτούς εἰπεῖν ἐν ἰδίᾳ ὑποστάσει τοῦτο, καθάπερ καί προτεθειμένης ἀνεφάνη διαιρέσεως. Ἐπεί δέ ἀνυπόστατον οὐ τό μή ὄν μόνον λέγεται, οὐδέ τό φάσμα μόνον, ἀλλά καί τό ταχύ διαπίπτον καί παραρρέον, ἐν τῷ φθείρεσθαί τε γινόμενον καί πεπαυμένον εὐθύς γενόμενον, ὁποῖον ἀστραπῆς τε καί βροντῆς φύσις, ἀλλά δή καί ὁ ἡμέτερος λόγος καί τό νόημα, τό μόνιμον ἐκεῖνοι δεικνύντες τοῦ φωτός ἐκείνου καί καθεστηκός, ἐνυπόστατον προσειρήκασιν αὐτό καλῶς, οἷον ὑπομένον καί μή ἀστραπῆς δίκην ἤ λόγου ἤ νοήματος παρατρέχον τούς ὁρῶντας. Ὁ δέ σοφώτατος οὗτος, πρίν ἤ γνῶναι τήν τοῦ ἐνυποστάτου τούτου σημασίαν, τοῖς εἰρηκόσιν ὡς ἠσεβηκόσιν ἐπιτίθεται. Καίτοι τῶν καλῶς εἰρηκότων ἀπεχόμενος καί μή τοῖς οἰκείοις ἀναπλασμοῖς τά ἐκείνων κατ᾽ἐκείνων ἐξηγούμενος, εἴπερ μή ἐνυπόστατον τοὖθ᾽ οὕτω λέγειν οὗτος προῃρεῖτο παρά τό μή ὑπόστασιν ἰδίαν ἔχειν, ἤ κατηγόρει μέν ἀλλ᾽ οὐχ ὡς αἱρετικῶν, οὐδείς ἄν ἡμῶν ἠξίωσεν ἀντιλέγειν πρός αὐτόν. Ἀλλά τούτων μέν ἅλις. Ὅτι δέ καί δεύτερον ἕτερον σημαινόμενόν ἐστι τοῦ ἐνυποστάτου τούτου, εὐσεβῶς τε καί

καλῶς ἔχον, ἔφθημεν εἰπόντες. Νῦν δ᾽ ἐπανελθεῖν δέον εἰς τά ἑξῆς τῆς προκειμένης ἀποδείξεως.

Εἰ τοίνυν φυσικόν σύμβολόν ἐστι τό φῶς ἐκεῖνο, τό λάμψαν ἐπ᾽ ὄρους ἀπό τοῦ σωτῆρος, οὐκ ἀμφοτέρων τῶν αὐτῷ φύσεών ἐστι φυσικόν˙ διάφορα γάρ ἑκατέρας τούτων ἐστί τά φυσικά. Τῆς γοῦν ἀνθρωπίνης εἶναι φύσεως ἀδύνατον˙ οὐ γάρ φῶς ἡμῖν ἡ φύσις καί ταῦθ᾽ οἷον ἦν ἐκεῖνο˙ καί μήν οὐδ᾽ ἀνέβη τότε τό Θαβώριον τούς ἐκκρίτους ἐπαγόμενος (σελ. 602) ὁ Κύριος τῶν μαθητῶν, ἵνα δείξῃ ἄνθρωπος ὑπάρχων (τριετίαν γάρ ἤδη ἑωρᾶτο συνδιαιτώμενος καί συμπολιτευόμενος καί, κατά τό λόγιον εἰπεῖν, συναλιζόμενος αὐτοῖς), ἀλλ᾽ ἵνα δείξῃ, κατά τό ᾀδόμενον, ὅτι αὐτός ἐστι τό τοῦ Πατρός ἀπαύγασμα. Πρός δέ τούτοις οὐδέ σύ ἄν αὐτός, οὐδ᾽ εἴ τις τολμηρότερον ἀναφανείη σοῦ, σύμβολον τοῦτ᾽ ἄν τῆς ἀνθρωπότητος φαίη, ἀλλά τῆς θεότητος. Εἰ τοίνυν φυσικόν σύμβολόν ἐστι τῆς δέ φύσεως τῆς ἀνθρωπίνης οὐκ ἔστι, φυσικόν ἄρα σύμβολον τό φῶς ἐκεῖνο τῆς μονογενοῦς θεότητος ὑπάρχει, καθά καί ὁ ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης ἀριδήλως ἐδίδαξεν ἡμᾶς˙ «ἀνάρχως» γάρ, φησίν, «ὁ Υἱός ἐκ τοῦ Πατρός γεννηθείς, τήν φυσικήν ἀκτῖνα ἄναρχον κέκτηται τῆς θεότητος˙ ἡ δέ τῆς θεότητος δόξα, καί δόξα τοῦ σώματος γίνεται». Τοιγαροῦν οὐ γέγονεν, οὐ᾽ ἤρξατο, οὐδ᾽ἔληξε˙ τά γάρ φυσικά σύμβολα σύνεστιν ἀεί τῇ φύσει ἧς σύμβολά ἐστι, οὐκ ἀεί μέν ὄντα σύμβολα, συνόντα δέ ἀεί, ἐπεί καί ὁ πολύς τά θεῖα Μάξιμος ἄναρχα καί ἀτελεύτητά φησι πάντα τά περί Θεόν οὐσιωδῶς θεωρούμενα. Πολλῶν δ᾽ ὄντων κατ᾽ αὐτόν τῶν περί Θεόν οὐσιωδῶς θεωρουμένων καί τῷ λόγῳ τῆς ἁπλότητος ἥκιστα λυμαινομένων, πολλῷ μᾶλλον τό φωτοειδές ἐκεῖνο σύμβολον, ἕν αὐτῶν ὑπάρχον, οὐδέν ἐποίσει βλάβος.

Ὅτι δέ τῶν περί Θεόν οὐσιωδῶς θεωρουμένων καί τοῦτό ἐστι τό φῶς, ἐκ πολλῶν μέν καί ἄλλων, μάλιστα δέ ἐκ τῶν ἐπ᾽ Ἐκκλησίας ἐπετείως ψαλλομένων διδασκόμεθα, ὧν ἕν εἰς παράστασιν ἀρκέσει.

«τήν κεκρυμμένην ἀστραπήν ὑπό τήν σάρκα
τῆς οὐσιώδους σου, Χριστέ, καί θείας εὐπρεπείας
ἐν ἁγίῳ ὑπέδειξας ὄρει, εὐεργέτα,
τοῖς συμπαροῦσιν ἐκλάμψας μαθηταῖς».

Οὐ μήν ἀλλά καί ὁ σοφός τά θεῖα Μάξιμος, αὐτόν ἑαυτοῦ σύμβολον γενέσθαι διά φιλανθρωπίαν εἰρηκώς ἐκεῖ, φυσικόν (σελ. 604) ἔδειξε σύμβολον τουτί τό φῶς. Ἐπί μέν γάρ τοῦ μή φυσικοῦ,

ἄλλου ἄλλο σύμβολόν ἐστιν, ἀλλ᾽ οὐκ αὐτό τι ἑαυτοῦ˙ ὅτε δέ τό σύμβολον ἐξ ἐκείνου ὄν τυγχάνει φυσικῶς οὗ σύμβολόν ἐστιν, αὐτό ἑαυτοῦ σύμβολον γίνεσθαί φαμεν. Ἡ γάρ καυστική τοῦ πυρός δύναμις, τήν αἰσθήσει μεθεκτήν θέρμην σύμβολον ἑαυτῆς προβαλλομένη, γίνεται σύμβολον αὐτή δήπου ἑαυτῆς, ἔχουσα μέν ταύτην ἀεί μεθ᾽ ἑαυτῆς, μία δ᾽ ὅμως οὖσα καί διπλόην οὐδ᾽ ἡντιναοῦν ὑφισταμένη δι᾽ αὐτήν, χρωμένη δ᾽ ὡς συμβόλῳ ταύτῃ φυσικῶς, ἡνίκ᾽ ἄν παρῇ τό δεκτικόν. Ὡσαύτως καί τό τοῦ ἡλίου φῶς μέλλοντος ἀνίσχειν, σύμβολον προβαλλόμενον τό κατά τόν ὄρθρον τηλαυγές, αὐτό ἑαυτοῦ σύμβολόν ἐστι γινόμενον. Ἴσμεν δέ καί τό ἡλίου φῶς˙ κἀκεῖνο γάρ ληπτόν ἐστι τῇ ὄψει, δι᾽ ἧς καί τοῦ λυκαυγοῦς ἀντιλαμβάνεσθαι πεφύκαμεν˙ ὁ δέ τοῦ ἡλίου δίσκος οὐδέ προσιδεῖν ὅλως συγχωρεῖ τινα καί τό λαμπρόν αὐτῷ σχεδόν ἀθέατον καθέστηκε. Τῆς τε θέρμης τοῦ πυρός ἀντιλαμβανομένη ἡ ἁφή, τῆς καυστικῆς δυνάμεως, ἧς σύμβολον εἶναι τήν θέρμην ἔφημεν, ταύτης οὖν εἴδησιν οὐδ᾽ ἡντινοῦν ἔχει ἡ ἁφή, πλήν ὅσον εἰδέναι ταύτην οὖσαν, ἀλλ᾽ οὐχ οἷα, οὐδ᾽ ὅση τίς ἐστι˙ φθάσειε γάρ ἄν, πῦρ ὅλη γενομένη καί τό ἁφήν εἶναι ἀποβαλλομένη, πειρωμένη μαθεῖν δι᾽ἑαυτῆς τί τό καυστικόν ἐστιν ὅ προβάλλεται τήν θέρμην, διό καί προσβολεῖν ποτε τολμήσασα, πάραυτα παλινδρομεῖ καί προτροπάδην φεύγει, τῆς πρός τό μαθεῖν ὁρμῆς ὀξύ μετάμελον λαβοῦσα. Μεθεκτή μέν οὖν ἁφῇ πυρός δύναμις, ἡ θέρμη, πάντῃ δ᾽ ἀμέθεκτος ἡ καῦσις.

Εἰ γοῦν ἐπί τούτων οὕτω, πῶς ἄν τις φαίη γνωστήν γίνεσθαι τήν ἐν ἀποκρύφοις ὑπερανιδρυμένην θεότητα, γνωσθέντος τοῦ φυσικοῦ συμβόλου ταύτης; Τί γάρ; εἰ τό κατ᾽ ὄρθρον σύμβολον ἡμερινοῦ φωτός ἀπρόσιτον ὄψεσιν ὑπῆρχεν οὐ ἧττον ἤ ὁ ἥλιος, μᾶλλον δέ κἀκείνου μᾶλλον, ἦν ἄν (σελ. 606) αὐταῖς τήν ἡμέραν ἐκείνην θεάσασθαι ἤ θεᾶσθαι γοῦν ἄλλο τι κατ᾽ αὐτήν; Πῶς οὖν ἄν τόν ἀναλόγως κατάλληλον ἥλιον ἐκείνης τῆς ἡμέρας γνῶναι ἐδυνήθησαν οἷον φῶς ἐστιν; Οὕτω καί πολλῷ μᾶλλον τά θεῖα μόναις ταῖς μετοχαῖς ἐπιγινώσκεται, αὐτά δέ κατά τήν ἑαυτῶν ἵδρυσίν τε καί ἀρχήν οἷά ποτέ ἐστιν οὐδείς οἶδεν, οὐδέ τῶν ἐν τοῖς ὑπερκοσμίοις ἀνωτάτω νόων, οὔκουν ὅσα γε ἡμᾶς εἰδέναι.

Οὐ μήν οὐδέ τό σύμβολον τοῦθ᾽ ἁπλῶς ἑωράκασιν οἱ τοῦ Κυρίου μαθηταί, μή πρότερον ὀφθαλμούς λαβόντες, οὕς οὐ πρότερον εἶχον, ὡς ἐκ τυφλῶν γενέσθαι βλέποντες, κατά τόν ἐκ Δαμασκοῦ θεῖον Ἰωάννην, καί ἰδεῖν τό ἄκτιστον ἐκεῖνο φῶς, ὥστε εἰ καί ὀφθαλμοῖς

ἐγένετο ληπτόν, ἀλλ᾽ ὑπέρ ὀφθαλμούς γεγενημένοις καί πνευματικῇ δυνάμει τοῦ πνευματικοῦ φωτός ἀντιλαμβανομένοις. Οὕτω κατ᾽αἴσθησιν καί ὑπέρ αἴσθησιν τό φῶς ἐκεῖνο τό ἀπόρρητον, τό ἀπρόσιτον, τό ἄϋλον, τό ἄκτιστον, τό θεοποιόν, τό ἀΐδιον, ἡ λαμπρότης τῆς θείας φύσεως, ἡ δόξα τῆς θεότητος, ἡ τῆς οὐρανίου βασιλέιας εὐπρέπεια. Τό τοιοῦτο τοίνυν ἀλλότριόν σοι δοκεῖ θεότητος, αἰσθητόν τε καί κτιστόν σύμβολον καί δι᾽ ἀέρος ὁρατόν; Ἀλλ᾽ ὡς μέν οὐκ ἀλλότριον, ἀλλά φυσικόν θεότητος, αὖθις ἄκουσον τοῦ τά θεῖα σοφοῦ Δαμασκηνοῦ λέγοντος, «οὐκ ἐπίκτητον, ὡς ὁ Μωϋσῆς, ἔσχε τό τῆς θείας δόξης ὡράϊσμα, ἀλλ᾽ἐκ τῆς ἐμφύτου θείας δόξης τε καί λαμπρότητος»˙ καί πάλιν, «τούς κορυφαίους τῶν ἀποστόλων προσλαμβάνεται μάρτυρας τοῖς οἰκείας δόξης τε καί θεότητος, ἀποκαλύπτει δέ αὐτοῖς τήν οἰκείαν θεότητα», τήν ἁπάντων ἐπέκεινα, τήν μόνην καί ὑπερτελῆ καί προτέλειον. Ὅτι δέ οὐδέ δι᾽ἀέρος ὁρατόν, δείκνυσιν ὁ μέγας Διονύσιος καί ὅσοι μετ᾽ αὐτοῦ τοῦ μέλλοντος αἰῶνος φῶς τοῦτο ὀνομάζουσιν, ὅτε οὐκ ἀέρος (σελ. 608) ἡμῖν ἔσται χρεία κατ᾽ αὐτούς, πρός δέ τούτοις καί ὁ μέγας Βασίλειος τοῖς ὀφθαλμοῖς τῆς καρδίας τοῦτο λέγων ὁρατόν. Ὅτι δέ οὐδ᾽ αἰσθητόν, ἔστι συνιδεῖν καί τῷ μή δι᾽ ἀέρος εἶναι ὁρατόν, ἀλλά κἀν τῷ Θαβωρίῳ λάμψαν ὑπέρ ἥλιον οὐδέ τοῖς πλησιοχώροις ὦπται. Σύ δέ τοσούτοις καί ἐπί τοσοῦτον ἐξυμνοῦσι τό τοιοῦτο φῶς ἀντικείμενος ἁγίοις, ἆρ᾽ οὐ δῆλος εἶ βλασφημῶν ἑκών εἰς τόν Θεόν;

Οὐ παύσῃ τοιγαροῦν, ὦ ἄνθρωπε, τό φῶς τῆς θείας καί οὐσιώδους εὐπρεπείας, οὐκ αἰσθητόν μόνον καί κτιστόν, ἀλλά καί χεῖρον τῆς ἡμετέρας νοήσεως ἀποφαινόμενος; Χεῖρον νοήσεως, ὦ γῆ καί οὐρανέ, καί πάντες οἱ ἐν αὐτοῖς τό φῶς ὁρῶντες τῆς θείας βασιλείας, τήν καλλονήν τοῦ μέλλοντος αἰῶνος, τήν δόξαν τῆς φύσεως τῆς θείας; Φῶς, ὅ κατ᾽ἔκστασιν πάσης αἰσθητῆς καί νεορᾶς ἀντιλήψεως οἱ ἀπόστολοι, κατά τόν Κρήτης θεσπέσιον Ἀνδρέαν, εἶδον, «τῷ μηδόλως ὁρᾶν τό ὄντως ὁρᾶν εἰσδεδεγμένοι καί τῷ πάσχειν τά θεῖα τῶν ὑπέρ φύσιν τήν αἴσθησιν προσιέμενοι»; Τί γάρ; Οὐ δαιμονιώδης ἡ χείρων διανοίας ἐπί τῶν τοιούτων ἔκστασις; Δαιμονιώδη τοίνυν ἔπαθαν ἔκστασιν, ὦ τῆς ἀνηκούστου ἀκοῆς, οἱ τοῦ Κυρίου μύσται, καίτοι κοινῇ λέγειν παρελάβομεν πρός τόν Χριστόν ὅτι

«τό ἄσχετον τῆς σῆς φωτοχυσίας
καί ἀπρόσιτον τῆς θεότητος θεασάμενοι
τῶν ἀποστόλων οἱ πρόκριτοι ἐπί τοῦ ὄρους,

τήν θείαν ἠλλοιώθησαν ἔκστασιν»;

Πῶς δ᾽ οὐκ ἄν ἁλοίης καί κτίσμα λέγων τόν Θεόν, ὁ τάς οὐσιώδεις ἐνεργείας αὐτοῦ κτιστάς ἀποφαινόμενος; Οὐ γάρ ἄν τοῦτο φαίη τις νοῦν ἔχων, ὅτι ἡ οὐσιώδης ἀγαθότης καί ζωή ἡ ὑπερούσιος οὐσία τοῦ Θεοῦ ἐστιν˙ οὐ γάρ τό οὐσιώδες ἤ τά οὐσιώδη ἔχουσα˙ κατά δέ τόν μέγαν Διονύσιον, «ὅταν τήν ὑπερούσιον κρυφιότητα Θεόν ἤ ζωήν ἤ οὐσίαν ὀνομάσωμεν, (σελ. 610) οὐδέν ἕτερον νοοῦμεν ἤ τάς ἐκδιδομένας ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προνοητικάς δυνάμεις». Δυνάμεις μέν οὖν αὗται οὐσιώδεις, ὑπερούσιον δέ, μᾶλλον δέ καί αὐθυπερουσίως ὑπερούσιον, τό ταύτας τάς δυνάμεις συνειλημμένως τε καί ἑνιαίως ἔχον˙ οὕτω τοίνυν καί τό θεουργόν ἐκεῖνο φῶς οὐσιῶδές ἐστιν, ἀλλ᾽ οὐκ αὐτό οὐσία τοῦ Θεοῦ.

Ὁ δέ φιλόσοφος οὗτος προϊών, οὐ τοῦτο μόνον ἀλλά καί πᾶσαν δύναμιν καί ἐνέργειαν Θεοῦ κτιστήν εἶναι ἀποφαίνεται, καίτοι τῶν ἁγίων λεγόντων φανερῶς ὅτι τῆς ἀκτίστου φύσεως καί τά φυσικά πάντα καί πᾶσα δύναμίς τε καί ἐνέργεια ἄκτιστός ἐστιν, ὥσπερ καί τά τῆς κτιστῆς φύσεως κτιστά. «Ἀλλά πῶς», φησίν, «οὐκ ἔστιν ἡ ὑπερούσιος οὐσία τοῦ Θεοῦ, εἴπερ δεσποτικούς φέρει χαρακτῆρας, εἰ πάσης ὁρωμένης τε καί νοουμένης κτίσεως ἐπέκεινα, τό ὑπέρ αἴσθησιν, τό ὑπέρ νόησιν, τό κυρίως ὄν, τό ἀεί ὄν, τό ἄϋλον, τό ἀναλλοίωτον, καί ταῦτα παρ᾽ ὑμῶν ἐνυπόστατον λεγόμενον; Πῶς δέ τοῦ τοιούτου φωτός τήν οὐσίαν τοῦ Θεοῦ ἐπέκεινά φατε;». Ταῦτα δέ οὐ διαπορητικῶς ἐκεῖνος λέγει, ποθῶν παρά του τῶν ἁπάντων εὐκρίνειαν τῶν ἀσαφῶν ἤ λύσιν τῶν ἀπόρων, ἀλλ᾽ ἡμᾶς ἐξελέγχει, ὡς νομίζει, μᾶλλον δέ προθέμενος ἐλέγχειν, εἶθ᾽ ὡς μή δυνάμενος, μανείς ἐξυβρίζει καθ᾽ ἡμῶν, νῦν μέν ἀθλίως διεφθάρθαι τό κριτικόν τῆς ψυχῆς ἰσχυριζόμενος, νῦν δέ τῶν πώποτε αἱρετικῶν ἐκείνων Μασσαλιανῶν ἴσους τε καί χείρους λέγων, ἄλλοτε δυσσεβεῖς καί πολυθέους˙ ἀλλά γάρ οὐδ᾽ἀσεβεῖς καί ἀθέους καί παντάπασιν ἀλιτηρίως καλεῖν παρῃτήσατο. Διθεΐται δέ ἐστιν, ὡς αὐτός καί διά γραμμάτων καί διά στόματος ἰσχυρίζεται καί περιαγγέλλει πᾶσιν, ἡ μᾶλλον τῶν ἄλλων ἡμῖν ἐπωνυμία προσήκουσα, καίτοι παρ᾽ αὐτῶν τῶν ὑπ᾽ αὐτοῦ λεγομένων πάσης ἡμᾶς ἄκων ἐξαιρεῖται μέμψεως˙ ἐπεί γάρ φησιν ἕν ἡμᾶς λέγειν τό ἐπέκεινα πάντων, καί τοῦτο τήν ὑπερούσιον ἐκείνην ἕνα Θεόν ἡμᾶς λέγειν μαρτυρεῖ, τό δέ φῶς ἐκεῖνο οὐκ (σελ. 612) οὐσίαν, ἀλλά τῆς οὐσίας ἐκείνης ἐνέργειαν, ἥν οὐσίαν μίαν τε οὖσαν εἴπομεν καί ἐπέκεινα πάντων ὡς πάντα ἐνεργοῦσαν.

Ἀλλ᾽ οὐδ᾽, εἰς τήν ἐνέργειαν ταύτην τῆς μιᾶς ἐκείνης οὐσίας φαίημεν ἀχώριστον, σύνθετος ἡ ὑπερουσιότης ἐκείνη παρά τοῦτο ἔσται˙ ἦ γάρ ἄν οὐδεμία ἦν ἁπλῆ οὐσία, εἴγε τοῦτο ἦν˙ οὐσίαν γάρ φυσικῆς ἄνευ ἐνεργείας οὐδ᾽ ἡντινοῦν ἄν ἴδοις. Δεσποτικούς δέ πῶς οὐκ ἄν φέροι χαρακτῆρας τό θεοποιόν φῶς, ὅ καί αὐτός ὑπό τῆς τῶν πραγμάτων ἀληθείας συνωσθείς θεότητος προσεῖπες σύμβολον; Ἐνυπόστατον δέ οὐ τό αὐθυπόστατον ἐνταῦθα λεγόντων τῶν ἁγίων, πῶς ἄλλη τις οὐσία καθ᾽ αὑτήν, ἤ πῶς ἕτερος δεύτερος Θεός ὁ μή ὕπαρξιν ἰδίαν ἔχων; Εἰ δέ διά τό ἄναρχον εἶναι καί ταύτην τήν ἐνέργειαν, ἄκτιστόν τε καί ἀπερινόητον, Θεόν ἄλλον ἀπαρτίζεις ἐν ταῖς συνεταῖς σου ὑπονοίαις καί τό τοῦ Θεοῦ θέλημα Θεόν ἡμῖν ἄλλον ἀπαρτίσεις, τοῦ σεπτοῦ Μαξίμου λέγοντος, «ὥσπερ ἡ θεία φύσις ἡ τρισυπόστατος, ἄναρχος, ἄκτιστος, ἀπερινόητος, ἁπλῆ καί ἀσύνθετος ὁλότητι ὑπάρχει, οὕτω καί τό ταύτης θέλημα»˙ τό αὐτό δ᾽ ἄν εἴποις καί ἐπί πασῶν τῶν φυσικῶν ἐνεργειῶν αὐτῆς.

«Ἀλλά θεοποιόν», φησί, «δῶρόν ἐστιν ἡ τοῦ Θεοῦ μίμησις, ἕξις οὖσα τῆς νοερᾶς καί λογικῆς φύσεως, ἀπό τῆς πρώτης διακοσμήσεως ἀρχομένη καί τοῖς ἐσχάτοις τῶν λογικῶν περατουμένη, ἐπεί καί ὁ μέγας Διονύσιος, ἑρμηνεύων πῶς ὑπέρ θεαρχίαν ὁ Θεός ἐστιν, "εἰ θεότητα", φησί, "νοήσαις τό χρῆμα τοῦ θεοποιοῦ δώρου καί τά ἀμίμητον μίμημα τοῦ ὑπερθέου καί ὑπεραγάθου". Ἀλλ᾽ ὦγαθέ, πρῶτον μέν ὁ ἅγιος τῷ μιμήματι τό ἀμίμητον προσέθηκεν˙ οὐ μᾶλλον οὖν μίμησις ἤ ἀμιμησία˙ πῶς οὖν εὐπαράδεκτος αὐτός ἔσῃ θατέρᾳ μερίδι μόνῃ προσθέμενος; Ἔπειτ᾽ ἐκεῖνος δύο εἶπε, τό τε θεοποιόν δῶρον καί τό ἀμίμητον μίμημα, ἐμοί δοκῶν (σελ. 614) τοῦθ᾽ ἡμᾶς διδάσκων, ὡς εἰ καί παρ᾽ ἑαυτοῦ θεωθῆναι ἄνθρωπον ἀδύνατον, ἀφωμοιωμένον τῷ ἀμιμήτῳ Θεῷ διά μιμήσεως, ἀλλά δεῖ μιμεῖσθαι τόν ἀμίμητον˙ οὕτω γάρ ἄν τύχοι τοῦ δώρου τοῦ θεοποιοῦ καί Θεός θέσει χρηματίσειε. Δύο τοίνυν τοῦ μεγάλου τά παρεκτικά φαμένου τῆς θεώσεως, αὐτός θάτερον ἐξέκοψας, παραχαράξας, ἀλλ᾽ οὐκ ἐξηγησάμενος˙ καί ἀποξέσας μέν τόν σύνδεσμον, ἀντ᾽ αὐτοῦ δέ προσγράψας τήν ἀντωνυμίαν, οὕτω τό ῥητόν ἡμῖν δῆθεν διευκρινῶν ἀνέγνως, «εἰ θεότητα καί ἀγαθότητα νοήσεις τό χρῆμα τοῦ θεοποιοῦ δώρου, αὐτό τό ἀμίμητον μίμημα τοῦ ὑπερθέου».

Πρός δέ τούτοις καί φυσικήν ἕξιν λέγεις τήν χάριν τῆς θεώσεως, τουτέστι δυνάμεως φυσικῆς ἐντελέχειάν τε καί φανέρωσιν, ἀφ᾽ οὗ τῇ τῶν Μασσαλιανῶν ὄντως, ὡς οὐκ οἶσθα, περιπέπτωκας ἀπάτῃ˙ φύσει

γάρ ἔσται κατά πᾶσαν ἀνάγκην Θεός θεούμενος, εἰ κατά φυσικήν δύναμιν ἡ θέωσις ἔσται καί τοῖς ὅροις τῆς φύσεως ἐμπεριλαμβάνεσθαι πέφυκε. Μή τοίνυν τήν σαυτοῦ περιτροπήν τῶν ἀσφαλῶς ἑστώτων λέγε, μηδέ μῶμον τοῖς ἀμωμήτοις τήν πίστιν ἐπιχείρει προστρίψασθαι, τά πρός ἀλήθειαν αἴσχη σά τοῖς ἄλλοις ἀποματτόμενος, μᾶλλον δ᾽ ἀναιδῶς ἐκείνων ὡς τοιούτων καταψευδόμενος. Ἀλλά καί αὐτός διδάσκου παρά τῶν εἰδότων ἤ παρά τῶν ὑπ᾽ ἐκείνων δεδιδαγμένων, ὡς ἄσχετός ἐστι παντάπασιν ἡ τῆς θεώσεως χάρις, οὐκ ἔχουσα τήν οἱανοῦν δεκτικήν ἑαυτῆς ἐν τῇ φύσει δύναμιν˙ ἐπεί οὐκέτι χάρις ἐστίν, ἀλλά τῆς κατά τήν φυσικήν δύναμιν ἐνεργείας φανέρωσις, καί οὐδέ παράδοξον ἔσται τό γενόμενον, εἰ κατά δεκτικήν δύναμιν φύσεως ἡ θέωσις εἴη˙ φύσεως γάρ ἄν εἰκότως ἔργον, ἀλλ᾽ οὐ Θεοῦ δῶρον ἡ θέωσις εἴη, καί δυνήσεται καί φύσει Θεός ὁ τοιοῦτος εἶναι καί κυρίως προσαγορεύεσθαι˙ οὐδέ γάρ ἄλλο τι καθέστηκεν ἡ κατά φύσιν τῶν ὄντων ἑκάστου δύναμις ἤ φύσεως πρός ἐνέργειαν ἀπαράβατος κίνησις. Πῶς δέ καί (σελ. 616) ἐξίστησιν ἑαυτοῦ τόν θεούμενον ἡ θέωσις, εἰ τοῖς ὅροις τῆς φύσεως αὐτή περιείληπται, συνιδεῖν οὐκ ἔχω.

Ὑπέρ φύσιν τοίνυν καί ἀρετήν καί γνῶσιν ἡ τῆς θεώσεως χάρις καί ἀπείρως τά τοιαῦθ᾽ ἅπαντα κατά τόν ἅγιον Μάξιμον ταύτης ἀποδεῖ˙ ἀρετή μέν γάρ πᾶσα καί ἡ ἐφ᾽ ἡμῖν τοῦ Θεοῦ μίμησις πρός τήν θείαν ἕνωσιν ἐπιτήδειον ποιεῖται τόν κεκτημένον, ἡ δέ χάρις αὐτήν τελετουργεῖ τήν ἀπόρρητον ἕνωσιν˙ δι᾽ αὐτῆς γάρ ὅλος μέν ὅλοις τοῖς ἀξίοις ὁ Θεός περιχωρεῖ, ὅλῳ δέ ὅλοι περιχωροῦσιν ὁλικῶς οἱ ἅγιοι τῷ Θεῷ, ὅλον ἀντιλαβόντες ἑαυτῶν τόν Θεόν καί τῆς πρός αὐτόν ἀναβάσεως οἷον ἔπαθλον αὐτόν μόνον κτησάμενοι τόν Θεόν, «ψυχῆς πρός σῶμα περιφύντα τρόπον, ὡς οἰκείοις μέλεσι», καί ἐν αὐτῷ εἶναι καταξιώσαντα διά τῆς ἐνυποστάτου κατά δωρεάν καί χάριν τοῦ ἁγίου Πνεύματος υἱοθεσίας. Ὅταν οὖν ἀκούσῃς ἐνδημεῖν ἡμῖν διά τῶν ἀρετῶν τόν Θεόν ἤ διά τῆς μνήμης ἐνιδρυμένον ἔχειν τοῦτον ἐν ἑαυτοῖς, μή τοῦθ᾽ ἁπλῶς νόμιζε θέωσιν, τήν τῶν ἀρετῶν κτῆσιν, ἀλλά τήν δι᾽ ἀρετῶν προσγινομένην τοῦ Θεοῦ λαμπρότητα καί χάριν, καθάπερ καί ὁ μέγας φησί Βασίλειος, ὅτι ψυχή τάς φυσικάς ὁρμάς οἰκείᾳ τε ἀσκήσει καί τῇ βοηθείᾳ τοῦ Πνεύματος συναυξήσασα, ἀξία γίνεται ἐν τῇ δικαίᾳ τοῦ Θεοῦ κρίσει τῆς χάριτι τοῦ Θεοῦ διδομένης λαμπρότητος τοῖς ἁγίοις. Ὅτι δέ φῶς ἡ χάριτι τοῦ Θεοῦ διδομένη λαμπρότης, μαθήσῃ παρά τοῦ λέγοντος, «φῶς ἡ ἐκεῖθεν λαμπρότης

τοῖς ἐνταῦθα κεκαθαρμένοις, ἡνίκ᾽ ἄν ἐκλάμψωσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος, ὧν ἵσταται ὁ Θεός ἐν μέσῳ, θεῶν ὄντων καί βασιλέων, διαστέλλων καί διαιρῶν τάς ἀξίας τῆς ἐκεῖθεν μακαριότητος». Ὅτι δέ ὑπερουράνιόν ἐστι τοῦτο καί ὑπερκόσμιον, οὐδείς ἀντερεῖ˙ οὔκουν ὅστις, «τό ὑπερουράνιον», φησί, «φῶς ἐν ταῖς τῶν ἀγαθῶν ἐπαγγελίαις ἐκδέχεται, περί οὗ καί Σολομών λέγει, (σελ. 618) φῶς δικαίοις διαπαντός»˙ καί ὁ ἀπόστολος, «εὐχαριστοῦντες τῷ Θεῷ τῷ ἱκανώσαντι ἡμᾶς ἐν τῇ μερίδι τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί».

Οὐ μήν ἀλλά καί διά σπουδῆς καί μελέτης ἐγγίνεσθαί τῳ σοφίαν λέγοντες, οὐκ αὐτό τοῦτο τήν σπουδήν ἤ τήν μελέτην σοφίαν φαμέν, ἀλλά τό δι᾽ αὐτῶν προσγενόμενον. Ἄλλως τε καί διαφόρως ἐνδημῶν ἐστι τοῖς ἀνθρώποις ὁ Κύριος, κατά τήν ἀξίαν καί τόν τρόπον τῶν ζητούντων αὐτόν˙ ἑτέρως μέν γάρ τῷ πρακτικῷ, ἑτέρως δέ τῷ θεωρητικῷ καί τῷ ἐποπτικῷ ἄλλως, καί ἄλλως μέν ἧ ἀνθρώποις σπουδαίοις, ἑτέρως δέ θεοῖς ἤδη γεγονόσιν. Ἀλλά καί κατ᾽ αὐτήν τήν θείαν ἐποψίαν πολλαί διαφοραί˙ καί τοῖς προφήταις γάρ, τῷ μέν ὄναρ, τῷ δ᾽ ὕπαρ, δι᾽ αἰνιγμάτων μέντοι καί ἐσόπτρων, τῷ δέ Μωϋσῇ «ἐν εἴδει καί οὐ δι᾽ αἰνιγμάτων» ὤφθη. Θεοῦ δέ ὅρασιν ἀκούων ἐν εἴδει καί οὐ δι᾽ αἰνιγμάτων ἀναμνήσθητι τοῦ λέγοντος, «θέωσιν, τήν κατ᾽ εἶδος ἐνυπόστατον ἔλλαμψιν, ἥτις οὐκ ἔχει γένεσιν, ἀλλ᾽ ἀνεπινόητον ἐν τοῖς ἀξίοις φανέρωσιν, καί τήν ὑπέρ νοῦν καί λόγον ἐν τῷ ἀφθάρτῳ τῶν ὄντων αἰῶνι μυστικήν ἕνωσιν πρός τόν Θεόν, καθ᾽ ἥν τό φῶς τῆς ἀφανοῦς καί ὑπεραρρήτου δόξης οἱ ἅγιοι ἐποπτεύοντες, τῆς μακαρίας μετά τῶν ἄνω δυνάμεων καί αὐτοί δεκτικοί γίνονται καθαρότητος, καί τήν τοῦ μεγάλου Θεοῦ καί Πατρός ἐπίκλησιν, σύμβολον οὖσαν τῆς ἐνυποστάτου τε καί ἐνυπάρκτου κατά δωρεάν καί χάριν τοῦ ἁγίου Πνεύματος υἱοθεσίας, καθ᾽ ἥν τῇ ἐπιφοιτήσει τῆς χάριτος υἱοί Θεοῦ χρηματίζουσί τε καί ἔσονται πάντες οἱ ἅγιοι».

Τοῦτο τοίνυν ὁ μέγας Διονύσιος, ἀλλαχοῦ μέν ἀρχίφωτον ἀκτῖνα καί θεουργικόν καλέσας φῶς, ἐνταῦθα δέ θεοποιόν δῶρον καί ἀρχήν θεότητος, δηλαδή θεώσεως, πρός τόν ἐρωτήσαντα πῶς ὑπέρ θεαρχίαν, τουτέστιν ὑπέρ ἀρχήν θεότητος, ὑπάρχει Θεός, ἀποκρινόμενός φησιν, ὡς εἰ Θεόν (σελ. 620) ἀκούων ὁρώμενον «ἐν εἴδει καί οὐ δι᾽ αἰνιγμάτων», καί ψυχῆς πρός σῶμα τρόπον τοῖς ἀξίοις ὡς οἰκείοις μέλεσι περιφυόμενον καί κατά τοσοῦτον ἑνούμενον αὐτοῖς ὡς ὅλον μέν αὐτόν περιχωρεῖν ἐκείνοις ὅλοις, ὅλους δέ αὐτούς αὖθις ὁλικῶς ἐκείνῳ, καί Πνεῦμα δι᾽ υἱοῦ πλουσίως ἐφ᾽ ἡμᾶς χεόμενον, ἀλλ᾽

οὐ κτιζόμενον, καί ματαλαμβανόμενον ἡμῖν καί δι᾽ ἡμῶν λαλοῦν, ταῦτα τοίνυν ἀκούων, εἰ μή κατά τήν ὑπερούσιον οὐσίαν νομίσεις ὁρᾶσθαι τόν Θεόν, ἀλλά κατά τήν θεοποιόν δωρεάν τε καί ἐνέργειαν αὐτοῦ, τήν χάριν τῆς υἱοθεσίας, τήν ἀγένητον θέωσιν, τήν κατ᾽ εἶδος ἐνυπόστατον ἔλλαμψιν, εἰ τοῦτο νοήσεις θεότητος ἀρχήν, τό θεοποιόν δῶρον, τό μετεχόμενον καί ὁρώμενον ὑπερφυῶς, ὑπέρ τήν ἀρχήν ταύτην ἐστίν ἡ ὑπεράρχιος οὐσία τοῦ Θεοῦ. Ἐκείνη μέν γάρ σχέσις, εἰ καί μή φυσική, καί ἄσχετος, οὐχ ὡς ὑπερφυής μόνον, ἀλλά καί ὡς σχέσις˙ πῶς γάρ ἡ σχέσις σχέσιν αὖθις ἕξει; Ἡ δέ οὐσία τοῦ Θεοῦ οὐχ ὡς σχέσις ἄσχετος, ἀλλ᾽ ὡς καί αὐτῶν τῶν ὑπερφυῶν σχέσεων ἐπέκεινα. Κἀκείνης μέν ἑκάστῳ τῶν ἠξιωμένων οἰκείως τε καί καταλλήλως πᾶσι μέτεστιν˙ ἡ δέ οὐσία τοῦ Θεοῦ καί πάντων τῶν μεθεκτῶν ὑπερεξῄρηται.

Ὁ δέ «τό θεοποιόν δῶρον ἕξιν» λέγων «τελειωτικήν τῆς λογικῆς φύσεως ἀπό τῆς πρώτης διακοσμήσεως ἀρχομένην καί τοῖς ἐσχάτοις τῶν λογικῶν περατουμένην», καί τῷ τοῦ Χριστοῦ εὐγγελίῳ δῆλός ἐστιν ἀντιταττόμενος. Εἰ γάρ ἡ θέωσις τελειοῖ τήν λογικήν φύσιν, ἀλλ᾽ οὐχ ὑπέρ ταύτην ποιεῖται τούς θεοειδεῖς, ἕξις οὖσα τῆς λογικῆς φύσεως, ὡς ἐκ φυσικῆς δυνάμεως προελθούσης εἰς ἐνέργειαν, οὐχ ὑπέρ φύσιν γίνονται οἱ ἅγιοι θεούμενοι, οὐδ᾽ ἐκ Θεοῦ γεννῶνται, οὐδέ Πνεῦμά εἰσιν, ὡς ἐκ Πνεύματος γεγεννημένοι, οὐδέ μόνοις «τοῖς πιστεύουσιν εἰς τό ὄνομα αὐτοῦ τέκνα Θεοῦ γεννέσθαι» ὁ Χριστός «ἐξουσίαν ἔδωκεν» ἐπιδημήσας˙ καί πρό τῆς ἐπιδημίας γάρ αὐτοῦ πᾶσιν ἐνυπῆρχεν ἔθνεσιν, εἴτε (σελ. 622) φυσικῶς ἔνεστι τῇ λογικῇ ψυχῇ, καί νῦν τοῖς νῦν δυσσεβέσι τε καί ἀσεβέσιν ἅπασιν. Ἔτι, εἴπερ ἡ θέωσις ἕξις ἐτί τελειωτική τῆς λογικῆς φύσεως, οἱ Ἕλληνες λογικοί τελείως οὐκ ἦσαν, ἀλλ᾽ οὐδ᾽ οἱ ἐκπεσόντες ἄγγελοι˙ τοιγαροῦν οὐ κακῶς τῇ γνώσει χρῶνται, τῆς δέ κατ᾽ αὐτήν φυσικῆς ἕξεως ἐστέρηνται. Πῶς οὖν δικαίως ὑπεύθυνοι; Καί μήν οὐκ ε ἶναι μᾶλλον οὐσίας οὐσίαν καί οἱ ἔξω φασί σοφοί. Πῶς οὖν ἄγγελοι ἀγγέλων λογικοῖ μᾶλλον ἤ ψυχή ψυχῆς; Οἱ γάρ ἀτελεῖς τήν ἡλικίαν οὐκ ἐν τῇ φύσει τῆς ψυχῆς, ἀλλ᾽ ἐν τῇ τοῦ σώματος ἔχουσι τό ἀτελές. Ἆρ᾽ οὖν θέωσις ἡ τό φρονεῖν διδοῦσα ἡλικία; Καί γνωστικωτέρους δέ μᾶλλον ἄλλους ἄλλων, οὐ παρά τήν τῆς ψυχῆς φύσιν πεφυκέναι λογιζόμεθα, παρά δέ τήν τοῦ σώματος κρᾶσιν. Ἆρ᾽ οὖν θέωσις ἡ τελεστική πρός αὐφυΐαν κρᾶσις; Καί τήν εὐφυΐαν δέ δῶρον οὖσαν ἴσμεν Θεοῦ, τήν δέ γνῶσιν οὐ μόνον Θεοῦ δῶρο, ἀλλά καί τελειωτικήν τῆς λογικῆς

φύσεως ἕξιν, οὐ δῶρον δέ θεοποιόν, οὐ γάρ ὑπερφυές, ἐκείνου ὄντος ὑπέρ φύσιν. Εἶεν δ᾽ ἄν καί πάντες, οἱ μέν μᾶλλον οἱ δ᾽ ἧττον, θεοί δ᾽ ὅμως ἁπαξάπαντες ἄνθρωποι καί ἄγγελοι˙ ἀεί δέ ἀτελεῖς θεοί καί ἡμίθεοι τό δαιμόνιον φῦλον. Οὐκ ἄρα θέωσις ἡ ἕξις αὕτη˙ ἥτις γάρ ποτ᾽ ἄν εἴη τελιωτική τῆς λογικῆς φύσεως ἕξις, εἴτε γνῶσις, εἴτε κρᾶσις, εἴτε εὐφυΐα σώματός τε καί ψυχῆς, θύραθεν ἤ οἴκοθεν προσγινομένη, λογικούς ἀκριβῶς οἷς ἄν ἐπιγένοιτο τελέσειεν, ἀλλ᾽ οὐχί καί θεούς.

Ἀλλά γάρ, ὅπερ ἀνωτέρω δέδεικται, τήν μέν ἐκ πίστεως εἰς ἐνέργειαν προβᾶσαν υἱοθεσίαν καί τήν θεοποιόν δωρεάν ταύτην οἱ ἅγιοι σαφῶς ἐνυπόστατόν φασιν˙ οὗτος δέ τήν θεομιμησίαν ἥν θεαρχίαν καί θεοποιόν δῶρον μόνος ἁπάντων ὑπενόησεν, οὐκ ἐνυπόστατον εἶναι διισχυρίζεται˙ τοιγαροῦν ἑτέρα ἐστί παρά τήν τοῖς πατράσιν ἐγγεγενημένην τε (σελ. 624) καί ἐγνωσμένην θέωσιν. Μάξιμος δέ ὁ θεῖος οὐκ ἀνυπόστατον μόνον εἶπε ταύτην, ἀλλά καί ἀγένητον, καί οὐκ ἄκτιστον μόνον, ἀλλά καί ἀπερίγραπτον καί ὑπέρχρονον, ὡς καί τούς αὐτῆς εὐμοιρηκότας δι᾽ αὐτήν ἀκτίστους, ἀνάρχους καί ἀπεριγράπτους τελέσαι, καίτοι διά τήν οἰκείαν φύσιν ἐξ οὐκ ὄντων γεγονότας. Οὗτος δέ, «ἅ μή ἑώρακεν ἐμβατεύων», κτιστήν καί φυσικήν καί ὑπό χρόνον ἰσχυρίζεται τήν θέωσιν εἶναι, σαφῶς παρ᾽ ἑαυτοῦ δημιουργῶν αὐτήν, ἀφ᾽ ἧς καί τόν Θεόν δῆλός ἐστιν εἰς κτίσμα κατασπῶν. Ἡ μέν γάρ θέωσις κατά τούς πατέρας οὐσιώδης ἐστίν ἐνέργεια Θεοῦ˙ ἧς δέ οὐσίας αἱ οὐσιώδεις ἐνέργειαι κτισταί, κτιστή καί αὕτη ἐξ ἀνάγκης. Ταύτῃ δέ τῇ ἀτοπίᾳ πολυτρόπως ἄν τις ἴδοι καί πολλάκις τόν ταλαίπωρον τοῦτο περιπίπτοντα˙ οὔτ γάρ ἐρυθριᾷ πάσας τάς ἐμφύτους τοῦ Θεοῦ δυνάμεις τε καί ἐνεργείας κτιστάς ἀποφαινόμενος, καίτοι ναόν Θεοῦ ζῶντος τῶν ἁγίων ἕκαστον εἶναι πεπιστεύκαμεν διά τήν ἐνοικοῦσαν χάριν. Πῶς οὖν ναός Θεοῦ τό τοῦ κτίσματος οἰκητήριον; Πῶς δέ τούτων ἕκαστος ἄκτιστος διά τήν χάριν, εἰ κτιστή; Ἐκεῖνο δέ μοι καί λίαν θαυμάζειν ἔπεισι, πῶς καί αὐτός θεουργικόν λέγων ὑπό τῶν πατέρων καλεῖσθαι τό ἐν τῷ Θαβωρίῳ λάμψαν φῶς, εἶτ᾽ αὐτός θεοποιόν δῶρον τοῦτο λέγειν οὐκ ἀνέχεται. Οὐ μήν ἀλλ᾽ ἐπειδή ἡ θεοποιός δωρεά τοῦ Πνεύματος ἐνέργειά ἐστι Θεοῦ, ὁ δέ Θεός ἀπό τῶν ἐνεργειῶν ἔχει τάς ἐπωνυμίας, (ἡ γάρ ὑπερουσιότης ἀνώνυμός ἐστιν αὐτοῦ, εἴπερ ἐξ ἀρετῆς μόνης καί σοφίας ἡ θέωσις ὑπῆρχεν) οὐκ ἄν Θεός ὡς ἔχων θεοποιόν ἐνέργειαν ἐκαλεῖτο ὁ Θεός, τῆς σοφίας καί ἀρετῆς ταύτην αὐτοῦ δήλην ποιούσης

τήν ἐνέργειαν, ἀλλ᾽ οὐδ᾽ ἄν ὑπέρθεος ἤκουεν, ὡς ταύτης τῆς θεότητος ἐπέκεινα ὑπάρχων˙ ἀπέχρησε γάρ ἄν αὐτῷ ὑπέρσοφον καί ὑπεράγαθον καί (σελ. 626) τά τοιαῦτα λέγεσθαι. Τοιγαροῦν ἄλλο πρά τήν ἀρετήν καί τήν σοφίαν ἡ χάρις καί ἡ ἐνέργεια τῆς θεώσεώς ἐστι.

Τῶν τοῦ καλοῦ τοίνυν Βαρλαάμ εἰς ἡμᾶς λοιδοριῶν ἀλογήσαντες (οὐ γάρ εἰς ἡμᾶς, ἀλλ᾽ εἰς τούς πατέρας ἀναφέρονται˙ τούτων γάρ εἰσι τά ὑβρισμένα δόγματα, μᾶλλον δέ οὐδέ ἐκείνων ἅπτεται˙ πτύων γάρ τις, ὅ φασιν, εἰς οὐρανόν, οὐ τόν οὐρανόν ἀλλ᾽ ἑαυτόν ποιεῖ κατάπτυστον)˙ οὐκοῦν ἡμεῖς παρ᾽ οὐδέν τάς βδελυράς ταύτας βλασφημίας ἡγησάμενοι, ὡσανεί διαπορητικῶς ἤρετο, τί ποτ᾽ ἄρα θέωσίς ἐστιν, ἀποκρινούμεθα πρός τοῦτο κατά τήν ἐπιμετρηθεῖσαν ἡμῖν παρά Κυρίου δύναμιν. Ἐνέργειαν Θεοῦ θεοποιόν, ὦ βέλτιστε, ἀκούων καί Πνεύματος χάριν θεουργόν, μή πολυπραγμόνει, μηδέ ζήτει, πῶς μέν τοῦτο, πῶς δ᾽ ἐκεῖνο, πῶς δέ μή, καί ταῦτα ταύτης ἄνευ μή γενήσεσθαι μέλλων ἐν Θεῷ, κατά τούς περί αὐτῆς εἰπόντας, ἀλλά τῶν ἔργων ἔχου δι᾽ ὧν ἐκείνης τεύξῃ˙ τότε γάρ καί ταύτην εἴσῃ κατά τό ἐγχωροῦν˙ μόνος γάρ ὁ πείρᾳ μαθών οἶδε τάς ἐνεργείας τοῦ Πνεύματος, κατά τόν μέγαν Βασίλειον. Ὁ δέ πρό τῶν ἔργων τήν εἴδησιν ζητῶν, τοῖς πεπειραμένοις μέν πιστεύων, λαμ βάνει τι τῆς ἀληθείας ἴνδαλμα, παρ᾽ ἑαυτοῦ δέ διανοούμενος καί τοῦ ἰνδάλματος διαπεσών, εἶθ᾽ ὡς εὑρηκώς μέγα φυσᾶται καί πολύς κατά τῶν πεπειραμένων ὡς πεπλανημένων πνεῖ. Μή πολυπραγμόνει τοίνυν, ἀλλ᾽ ἕπου τοῖς πεπειραμένοις, μάλιστα μέν ἔργοις, εἰ δέ μή τούτοις, τοῖς λόγοις γοῦν, ἀρκούμενος ταῖς παραδειγματικαῖς ἐκφάνσεσιν αὐτῆς˙ ἡ γάρ θέωσις ὑπερώνυμος. Διό καί ἡμεῖς πολλά περί ἡσυχίας συγγραψάμενοι, νῦν μέν τῶν πατέρων προτρεψαμένων, νῦν δέ τῶν ἀδελφῶν αἰτησαμένων, οὐδαμοῦ περί θεώσεως ἀναγράψαι τεθαρρήκαμεν˙ νῦν δ᾽ ἐπείπερ ἀνάγκη λέγειν, ἐροῦμεν, εὐσεβῆ μέν τῇ ρου Κυρίου χάριτι, παραστῆσαι δέ οὐχ ἱκανά˙ καί λεγομένη γάρ (σελ. 628) ἄρρητος ἐκείνη μένει, μόνοις ἐνώνυμος, κατά τούς πατέρας φάναι, τοῖς εὐμοιρηκόσιν αὐτῆς.

Ἡ φύσει τοιγαροῦν θεότης, ἡ ἀρχή τῆς θεώσεως, ἐξ ἧς ὡς αἰτίας ἀμεθέκτου τό θεοῦσθαι τοῖς θεομένοις ἐστιν, αὕτη τοίνυν ἡ πάντων ἐπέκεινα θεαρχικωτάτη μακαριότης ἀόρατός ἐστι καθ᾽ ἑαυτήν αἰσθήσει τε καί νῷ, ἀσωμάτῳ τε καί σώματι συνδεδεμένῳ˙ κἄν ἐκστῇ ἑαυτοῦ τι τούτων ἐπί τό κρεῖττον θεωθέν˙ μόνῳ γάρ τῷ καθ᾽ ὑπόστασιν ἡνωμένῳ νῷ καί σώματι εἶναί τε καί γενέσθαι θεατή

πιστεύεται, εἰ καί μή κατά τήν οἰκείαν φύσιν ἑαυτῶν. Μόνα γάρ ἐκεῖνα «παρουσίᾳ τοῦ χρίοντος ὅλου» ἐθεώθησαν καί τήν ἴσην ἐνέργειαν τῇ θεούσῃ οὐσίᾳ προσελάβοντο, πᾶσαν αὐτήν ἐνελλιπῶς χωρήσαντα καί δι᾽ ἑαυτῶν ἐκφήναντα˙ καί γάρ «ἐν τῷ Χριστῷ πᾶν τό πλήρωμα τῆς θεότητος σωματικῶς» κατά τόν ἀπόστολον «οἰκεῖ». Διό καί τῶν ἁγίων εἰσίν οἵ μετά τήν διά σαρκός τοῦ Θεοῦ ἐπιδημίαν οἷόν τι πέλαγος ἀπεριόριστον τό φῶς ἐκεῖνο εἶδον, ἐξ ἑνός δίσκου, τοῦ προσκυνητοῦ δηλονότι σώματος, παραδόξως προχεόμενον, ὡς καί οἱ ἀπόστολοι ἐπί τοῦ ὄρους. Οὕτω μέν οὖν ἡ ἀπαρχή τεθέωται τοῦ ἡμετέρου φυράματος. Ἡ δέ τῶν τεθεωμένων ἀγγέλων καί ἀνθρώπων θέωσις οὐχ ἡ ὑπερούσιός ἐστιν οὐσία τοῦ Θεοῦ, ἀλλά τῆς ὑπερουσίας οὐσίας τοῦ Θεοῦ ἐνέργεια, τοῖς τεθεωμένοις ἐνυπάρχουσα, οὐχ ὡς ἡ τέχνη ἐν τῷ τεχνητῷ (οὕτω γάρ τοῖς δημιουργικῶς προηγμένοις ἔνεστιν ἡ προαγαγοῦσα ταῦτα δύναμις, ἐπιφαινομένη πᾶσιν ἤ καί ἐμφαινομένη), ἀλλ᾽ «ὡς ἡ τέχνη ἐν τῷ ἀναλαβόντι αὐτήν», κατά τόν μέγαν Βασίλειοιν˙ (διό καί ὄργανά εἰσι τοῦ ἁγίου Πνεύματος οἱ ἅγιοι, τήν αὐτήν ἐκείνῳ προσειληφότες ἐνέργειαν), καί ἡ τῶν λεγομένων πίστις ἑτοίμη, τά χαρίσματα τῶν ἰαμάτων, τά ἐνεργήματα τῶν δυνάμεων, ἡ πρόγνωσις, ἡ μή ἀντιλεγομένη σοφία ἥν καί (σελ. 630) Πνεῦμα τοῦ Πατρός ἡμῶν ὁ Κύροις προσηγόρευσεν, οὐ μόνον δέ, ἀλλά καί ἡ τοῦ Πνεύματος ἁγιαστική μετάδοσις, ἐξ αὐτῶν καί δι᾽ αὐτῶν χορηγουμένη τοῖς ἁγιαζομένοις μετ᾽ αὐτούς «λήψομαι γάρ ἀπό τοῦ Πνεύματος τοῦ ἐπί σέ καί θήσω ἐπ᾽ αὐτούς», πρός τόν Μωϋσῆν εἶπεν ὁ Θεός, καί τοῦ Παύλου τάς χεῖρας ἐπιθέντος τοῖς δεκαδύο Ἐφεσίοις «ἦλθε τό Πνεῦμα τό ἅγιον ἐπ᾽ αὐτούς, ἐλάλουν τε» πάραυτα γλώσσαις καί προεφήτευον». Οὐκοῦν ὅταν μέν τήν οἰκείαν ἀξίαν τοῦ Πνεύματος ἐννοῶμεν, μετά Πατρός αὐτό καί Υἱοῦ θεωροῦμεν, ὅταν δέ τήν εἰς τούς μετόχους ἐνεργουμένην χάριν ἐνθυμηθῶμεν, ἐν ἡμῖν εἶναι τό Πνεῦμα λέγομεν, «ἐκχεόμενον πρός ἡμᾶς, οὐ κτιζόμενον, διδόμενον ἡμῖν, οὐ ποιούμενν, χαριζόμενον, οὐ δημιουργούμενον»˙ ἐνυπάρχον τοῖς μέν ἀτελέσιν ἔτι, κατά τόν μέγαν αὖθις φάναι Βασίλειον, ὥσπερ τις διάθεσις «διά τό τῆς γνώμης ἀνίδρυτον», τοῖς δέ τελειωτέροις ὡς ἕξις ἐπίκτητος, ἔστι δ᾽ ἐφ᾽ ὧν ἐνερριζωμένη καί ταύτης μᾶλλον˙ «ὡς γάρ ἡ δύναμις», φησί, «τοῦ ὁρᾶν ἐν τῷ ὑγιαίνοντι ὀφθαλμῷ, οὕτως ἡ ἐνέργεια τοῦ Πνεύματος ἐν τῇ κεκαθαρμένῃ ψυχῇ».

Τοιγαροῦν οὐχ ἡ ὑπερούσιος οὐσία τοῦ Θεοῦ ἐστιν ἡ θεοποιός δωρεά τοῦ Πνεύματος, ἀλλ᾽ ἡ τῆς ὑπερουσίου οὐσίας τοῦ Θεοῦ θεοποιός ἐνέργεια, καί οὐδέ αὕτη πᾶσα, εἰ καί καθ᾽ ἑαυτήν ἀμέριστος ἐκείνη. Τίς γάρ τῶν κτιστῶν χωρῆσαι δύναιτ᾽ ἄν ὅλην τήν ἀπειροδύναμον δύναμιν τοῦ Πνεύματος, πλήν τοῦ κυηθέντος ἐν παρθενικῇ νηδύι, παρουσίᾳ Πνεύματος ἁγίου καί τῆς τοῦ ὑψίστου δυνάμεως ἐπισκιάσει; Διό καί «πᾶν» μέν οὗτος ἐχώρησε «τό πλήρωμα τῆς θεότητος», ἐκ δέ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν». Πανταχοῦ μέν οὖν ἡ οὐσία τοῦ Θεοῦ· τό γάρ Πνεῦμα, φησί, πληροῖ πάντα κατά τήν οὐσίαν· πανταχοῦ δέ καί ἡ θέωσις, (σελ. 632) ἐνυπάρχουσα ἀφράστως ταύτῃ καί ἀχώριστος ἐκείνης οὖσα, ἅτε φυσική δύναμις αὐτῆς. Ἀλλ᾽ ὥσπερ τό πῦρ ἀφανές ἐστι μή προκειμένης ὕλης ἤ αἰσθητηρίου τοῦ χωροῦντος τήν φωτιστικήν ἐνέργειαν αὐτοῦ, οὕτω δή καί ἡ θέωσις ἀθεώρητός ἐστι μή προκειμένης ὕλης τῆς χωρούσης τήν θείαν ἐμφάνειαν· ἡνίκα δ᾽ ἄν ἐπιτηδείας ὑλης ἀπερικαλύπτως ἐχούσης ἐπιλάβηται, τοιαύτη δέ ἐστι πᾶσα λογική κεκαθαρμένη φύσις τό τῆς πολυειδοῦς κακίας οὐκ ἐπιφερομένη κάλυμμα, τηνικαῦτα καί αὐτή φῶς πνευματικόν ὁρᾶται, μᾶλλον δέ κἀκείνους φῶς ποιεῖ πνευματικόν. «Ἆθλον» γάρ, φησίν, «ἀρετῆς Θεόν γενέσθαι καί τῷ καθαρωτάτῳ φωτί καταστράπτεσθαι, τῆς ἡμέρας ἐκείνης Υἱόν γενόμενον, ἥ μή διακόπτεται ζόφῳ· ἄλλος γάρ ταύτην ποιεῖ ἥλιος, ὁ τό ἀληθινόν φῶς ἀπαστράπτων, ὅς, ἐπειδάν ἅπαξ ἐπιφαύσῃ ἡμῖν, οὐκέτι ἐν δυσμαῖς κρύπτεται, ἀλλά πάντα τῇ φωτιστικῇ ἑαυτοῦ δυνάμει περιπτυξάμενος, διηνεκές καί ἀδιάδοχον τοῖς ἀξίοις τό φῶς ἐμποιεῖ καί αὐτούς τούς μετέχοντας τοῦ φωτός ἐκείνου ἄλλους ἡλίους ἀπεργαζόμενος». Τότε γάρ καί «οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος». Ὡς ποῖος ἥλιος; Ὡς ἐκεῖνος δήπουθεν ὁ τότε καί νῦν τοῖς ἀξίοις φαινόμενος.

Ὁρᾷς ὅπως αὐτήν προσκτῶνται τήν ἐνέργειαν τοῦ ἡλίου τῆς δικαιοσύνης; Διό καί θεοσημίαι διάφοροι καί χορηγία Πνεύματος ἁγίου τελεῖται δι᾽ αὐτῶν. «Ὡς γάρ καί ὁ περίγειος», φησίν, «οὗτος ἀήρ ἀνωσθείς ὑπό τῆς βίας τοῦ Πνεύματος φωτοειδής γίνεται, τῷ καθαρῷ τοῦ αἰθέρος ἐναλλοιούμενος, οὕτω καί ὁ νοῦς ὁ ἀνθρώπινος, καταλιπών τόν θολερόν τοῦτον καί αὐχμώδη βίον, ἐπειδάν τῇ δυνάμει τοῦ Πνεύματος φωτοειδής γένηται καί ἐμμιχθῇ τῇ ἀληθινῇ καί ὑψηλῇ καθαρότητι, διαφαίνεταί πως καί αὐτός ἐν ἐκείνῃ καί ἀκτίνων ἐμπίπλαται καί φῶς γίνεται κατά τήν τοῦ Κυρίου ὑπόσχεσιν, ὅς τούς

δικαίους λάμψειν ὡς ὁ ἥλιος ἐπηγγείλατο». (σελ. 634) Τοῦτο καί ἐπί γῆς ὁρῶμεν γινόμενον ἐπί κατόπτρου, ἤ ὕδατος˙ δεξάμενα γάρ τήν τοῦ ἡλίου ἀκτῖνα, ἄλλην ἀφ᾽ ἑαυτῶν ἀκτῖνα ποιεῖ. Καί ἡμεῖς τοίνυν, εἴτε καταλιπόντες τό περίγειον σκότος ἄνω γενοίμεθα, φωτοειδεῖς γενησόμεθα, τῷ ἀληθινῷ φωτί τοῦ Χριστοῦ ἐμπελάσαντες, εἴτε τό φῶς τό ἀληθινόν, «τό ἐν τῇ σκοτίᾳ λάμπον», καί μέχρις ἡμῶν καταβαίη, καί ἡμεῖς φῶς ἐσόμεθα, καθά πού φησι τοῖς μαθηταῖς ὁ Κύριος. Οὕτως ἡ θεοποιός δωρεά τοῦ Πνεύματος φῶς ἐστιν ἀπόρρητον καί φῶς ποιεῖ θεῖον τούς πλουτήσαντας αὐτήν, οὐ φωτός μόνον πληρώσασα τούτους ἀϊδίου, ἀλλά καί γνῶσιν καί ζωήν θεοπρεπῆ χαρισαμένη. Οὕτως ὁ Παῦλος οὐκέτι τήν κτιστήν ζωήν, ἀλλά «τήν τοῦ ἐνοικήσαντος ἀΐδιον ζωήν» κατά τόν θεῖον ἔζη Μάξιμον˙ οὕτως οἱ προφῆται ὡς ὄντα ἑώρων τά μήπω γεγονότα˙ οὕτως εἶδε τόν Θεόν ὅστις οὐκ ἀλλοτρίῳ, ἀλλά φυσικῷ συμβόλῳ πνευματικῶς ἑώρακεν αὐτόν˙ οὐ φυσικόν δέ λέγω σύμβολον Θεοῦ - ὅ καί τοῦτ᾽ αὐτό μόνον σύμβολόν ἐστιν - ὅπερ ἄν αἰσθήσει ᾗ αἰσθήσει βλέπηταί τε ἤ ἀκούηται καί δι᾽ ἀέρος ἐνεργῆται˙ ἐπεί, ὅταν ὀφθαλμός ὁρῶν οὐχ ὡς ὀφθαλμός ὁρᾷ, ἀλλ᾽ ὡς τῇ δυνάμει τοῦ Πνεύματος διανοιχθείς, οὐκ ἀλλοτρίῳ σύμβόλῳ τόν Θεόν ὁρᾷ, καί τοῦθ᾽ ἡμεῖς αἴσθησιν ὑπέρ αἴσθησίν φαμεν.

Γνώρισον μέντοι τοῦ φωτός ἐκείνου, κατάπαυσις τῶν μή καλῶν ἡδονῶν τε καί παθῶν ἐγγινομένη τῇ ψυχῇ, λογισμῶν εἰρήνη καί κατάστασις, ἀνάπαυσις καί χαρά πνευματική, περιφρονήσις ἀνθρώπων δόξης, ταπείνωσις ἀγαλλιάσει ἀπορρήτῳ συνημμένη, κόσμου μῖσος οὐρανίων ἔρως, μᾶλλον δέ μόνου τοῦ Θεοῦ τῶν οὐρανῶν˙ πρός δέ τούτοις, εἰ καί τούς ὀφθαλμούς τοῦ βλέποντος οὐ περικαλύψειέ τις τινηκαῦτα μόνον, ἀλλά καί ἐξορύξειεν, οὐδέν ἧττον τηλαυγῶς ὁρᾷ τό φῶς. Πῶς ἄν οὖν πεισθείη τις τῷ δι᾽ ἀέρος ὁρατόν τοῦτο ἀποφαινομένῳ καί μηδέν λογικῇ ψυχῇ λυσιτελές, ὡς ταῖς (σελ. 636) σωματικαῖς αἰσθήσεσι προσῆκον; Ἀλλ᾽ ὁ θεατής ἐκεῖνος, νοῶν ὡς οὐ τῇ αἰσθήσει ᾗ αἰσθήσει θεώμενός ἐστι, νῷ οἴεται ὁρᾶν˙ ἐξετάζων δέ καί ἀνασκοπούμενος, οὐδ᾽ ἐκεῖνον εὑρίσκει περί τό φῶς ἐκεῖνο ἐνεργοῦντα˙ καί τοῦτ᾽ ἔστιν ὅ νόησιν ὑπέρ νόησίν φαμεν, τοῦτο διά τούτων λέγοντες, ὡς ὁ ἔχων νοῦν καί αἴσθησιν ὁρᾷ, ὑπέρ ταῦτα δέ ἀμφότερα. Μή μέντοι τοῦ μεγάλου Διονυσίου πρός Τιμόθεον λέγοντος ἀκούων, ὡς «τάς αἰσθήσεις κατάλιπε καί τάς νοεράς ἐνεργείας καί πρός τό ὄντως ὄν ἀνατάθητι», μή δύνασθαι λογίσῃ τότε τόν

ἄνθρωπον διανοεῖσθαι ἤ ὁρᾶν (οὐ γάρ ἀποβολήν πάσχει τούτων τῶν δυνάμεων, εἰ μή κατ᾿ἔκπληξιν), τοῦ δέ κατά τήν ἕνωσιν φωτός καί τῆς κατά τοῦτο ἐνεργείας τάς νοεράς ἐνεργείας παντάπασιν ἀπολιμπάνεσθαι διδάσκου. Καί τοῦτο δείκνυσι σαφῶς ὁ κορυφαῖος καί θεμέλιος τῆς Ἐκκλησίας Πέτρος. Κατά γάρ τήν ὥραν τῆς ἱερᾶς Πεντηκοστῆς ἐκείνην, καθ᾿ ἥν τῆς ἀπορρήτου καί θείας ἠξιοῦτο ἑνώσεως, καί τούς συμπεφωτισμένους ᾔδει καί τούς συνειλεγμένους ἑώρα καί τῶν πρό αὐτῶν λεγομένων ἠκροᾶτο καί τοῦ διαστήματος τῆς ἡμέρας ἐπῃσθάνετο˙ «τρίτη» γάρ, φησίν, «ἐστίν ὥρα τῆς ἡμέρας». «Τό γάρ ἐπικαλυπτομένου τοῦ ἀνθρωπίνου νοῦ παρά τῆς ἐνεργείας τοῦ ἁγίου Πνεύματος ἐξεστηκότας τούς ἐνεργομένους γίνεσθαι παρά τήν ἐπαγγελίαν ἐστί τῆς θείας ἐπιδημίας. Οὐ γάρ ἔκφρων γίνεται ὁ θεόληπτος˙ ὅλως δέ, τίνα λόγον ἔχει ἐκ τοῦ τῆς σοφίας Πνεύματος μεμηνότι παραπλήσιον γίνεσθαι»; τό φῶς γάρ τοῦτο σοφία ἐστί Θεοῦ, ἐγγινομένη τῷ τεθεωμένῳ καί μή χωριζομένη τοῦ Θεοῦ «δι᾿ αὐτοῦ» γάρ, φησί, «πᾶσα γνῶσις ἀποκαλύπτεται καί Θεός πρός ἀλήθειαν τῇ φιλουμένῃ ψυχῇ γνωρίζεται», ἀλλά καί δικαιοσύνη καί ἁγιότης καί ἐλευθερία. Ἄκουσον Παύλου, «ὅπου τό Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία»˙ καί πάλιν, «ὡς ἐγενήθη ἡμῖν σοφία ἀπό Θεοῦ καί δικαιοσύνη καί ἁγιασμός καί (σελ. 638) ἀπολύτρωσις». Ἄκουσον τοῦ μεγάλου Βασιλείου, «τό κινηθέν ὑπό Πνεύματος ἁγίου κίνησιν ἀΐδιον, ζῶον ἅγιον ἐγένετο˙ ἔσχε δέ ἀξίαν ἄνθρωπος, Πνεύματος εἰσοικισθέντος ἐν αὐτῷ, προφήτου, ἀποστόλου, ἀγγέλου, Θεοῦ, ὤν πρότερον " γῆ καί σποδός"». Ἄκουσον τοῦ χρυσοῦ τήν γλῶτταν Ἰωάννου, «τό στόμα δι᾿ οὗ ὁ Θεός φθέγγεται στόμα ἐστί Θεοῦ˙ καθάπερ γάρ τοῦτο τό στόμα τῆς ψυχῆς ἡμῶν ἐστι, καίτοι ψυχῆς οὐκ ἐχούσης στόμα, οὕτω καί τό στόμα τῶν προφητῶν στόμα ἐστί Θεοῦ». Ἄκουσον ἐπισφραγιζομένου ταῦτα τοῦ Κυρίου˙ μετά γάρ τό εἰπεῖν «δώσω ἡμῖν στόμα καί σοφίαν ᾗ οὐ δυνήσονται ἀντειπεῖν οὐδέν ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν», ἐπήνεγκεν˙ «οὐ γάρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλά τό Πνεῦμα τοῦ Πατρός ὑμῶν τό λαλοῦν ἐν ὑμῖν».

Ταύτῃ γοῦν τῇ σοφίᾳ χρήσασθαι κακῶς οὐκ ἔνι. Καί τί λέγω χρήσασθαι; καί γάρ οὐδέ κτήσασθαι ταύτην ἔνι τήν ἀρχήν μή προκαθηράμενον διά πράξεως˙ καί τοῦτό ἐστι τό παρά τοῦ σοφοῦ Σολομῶντος λεγόμενον, ὅτι «εἰς κακότεχνον ψυχήν οὐκ εἰσελεύσεται σοφία, οὐδέ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας»˙ εἰ γάρ καί

φθάσει τήν ἀρχήν ἡμῖν ἐνῳκισμένη ταῖς εἰσαγωγικαῖς καλῶς κεχρημένοις ἀρεταῖς, μεταβαλλόντων ἡμῶν ἐπί τό χεῖρον ἀφίπταται. «Πνεῦμα γάρ ἅγιον παιδείας ἐπαναστήσεται ἀπό λογισμῶν ἀσυνέτων», κατά τόν αὐτόν Σολομῶντα. Τήν δ᾽ ἐκ φύσεώς τε καί μαθήσεως σοφίαν κτήσαιτ᾽ ἄν τις καί τῶν τούς τρόπους πονηρῶν καί χρήσαιτ᾽ ἄν ταύτῃ καταλλήλως τοῖς τρόποις, ὥσπερ καί τῇ φύσει. Τοσοῦτο γοῦν αὕτη τῆς πνευματικῆς σοφίας ἀποδεῖ, ὁπόσον καί τοῦ Πνεύματος ἡ φύσις. Ποῦ τοιγαροῦν εἰσιν οἱ λέγοντες ὅτι διά μαθήσεως τήν τῶν προφητῶν καί ἀποστόλων σοφίαν κτώμεθα;

Ὅτι δέ διά τοῦ φωτός ἐκείνου καί ἡ πνευματική σοφία δίδοται, (σελ. 640) σύνδυο κατά ταὐτόν λεγόντων ἄκουσον. «Τῷ γάρ μακαρίῳ», φησί, «Παύλῳ τό ἐλλάμψαν ἐν τῇ ὁδῷ φῶς, δι᾽ οὗ καί εἰς τρίτον οὐρανόν ἦρται καί μυστηρίων ἀλαλήτων ἀκουστής ἐγένετο, οὐ νοημάτων τις καί γνώσεως φωτισμός ἦν, ἀλλά δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος καθ᾽ ὑπόστασιν ἐν τῇ ψυχῇ ἔλλαμψις, οὗ τήν ὑπερβολήν τῆς λαμπρότητος οἱ τοῖς σαρκός ὀφθαλμοί μή διηνεγκότες ἀπετυφλώθησαν, δι᾽ οὗ πᾶσά γε γνῶσις ἀποκαλύπτεται καί Θεός πρός ἀλήθειαν τῇ ἀξίᾳ και φιλουμένῃ ψυχῇ γνωρίζεται». Τοῦτο τό φῶς καί ζωή ἐστιν ἀΐδιος, ἐνιεμένη τῷ τεθεωμένῳ καί μή χωριζομένη τοῦ Θεοῦ. Οὕτως ὁ Παῦλος ἔλεγε, «ζῶ δέ οὐκέτι ἐγώ, ζῇ δέ ἐν ἐμοί Χριστός». Οὕτω περί τοῦ Παύλου Μάξιμός φησιν, ὡς «τήν ἐνοικήσαντος ἔζη θείαν καί ἀΐδιον ζωήν». Οὕτω Βασίλειος ὁ μέγας εἶπεν, «ἥν ζωήν εἰς ἑτέρου ὑπόστασιν προΐεται τό Πνεῦμα, οὐ χωρίζεται αὐτοῦ, ἀλλ᾽ ὥσπερ πυρός, τό μέν ἔστιν ἡ συνοῦσα θερμότης, τό δέ ἥν παρέχει τῷ ὕδατι ἤ ἑτέρῳ τινί τῶν τοιούτων, οὕτω καί αὐτό καί ἐν ἑαυτῷ ἔχει τήν ζωήν καί οἱ μετέχοντες αὐτοῦ ζῶσι θεοπρεπῶς, ζωήν θείαν καί οὐράνιον κεκτημένοι». Αὕτη ἐστίν ἡ ζωή ἥν οὗτος ἀλλαχοῦ «κίνησιν» προσεῖπε «πνευματικήν καί ἀΐδιον», καί τόν μετασχόντα ταύτης ἅγιον τελέσαι, «γῆν ὄντα καί πηλόν πρότερον». Ποῦ εἰσιν οἱ λέγοντες κτιστήν τήν θεουργόν χάριν τοῦ Θεοῦ καί μηδέν πλήν τῆς ὑπερουσιότητος αὐτοῦ ἀΐδιον;

Ἀλλ᾽ ἐρεῖ τις ζωήν λέγειν τοῦτον ἀΐδιον, ἀλλ᾽ οὐχί φῶς; Ἀλλ᾽ οἱ λέγοντες ἔλλαμψιν ἀΐδιον καί δόξαν ὁρατήν ἀΐδιον φῶς δήπου λέγουσιν ἀΐδιον τοῖς ἁγίοις μόνοις μεθεκτόν. Ὅτι δέ καί ὁ μέγας Βασίλειος φῶς οἶδε τοῖς τοιούτοις μεθεκτόν, νοερόν, προκόσμιόν τε καί ὑπερκόσμιον, εἴσῃ σαφῶς τήν Ἑξαήμερον αὐτοῦ μετά χεῖρας λαβών˙ «λογιζόμεθα» γάρ, φησίν, «ὅτι, εἴπερ τι ἦν πρό τῆς τοῦ

αἰσθητοῦ (σελ. 642) τούτου καί φθαρτοῦ κόσμου συστάσεως, ἐν φωτί ἄν ἦν δηλονότι˙ οὔτε γάρ αἱ τῶν ἀγγέλων ἀξίαι οὔτε πᾶσαι αἱ ἐπουράνιαι στρατιαί οὔτε ὅλως, εἰ τί ἐστιν ὠνομασμένον ἤ ἀκατονόμαστον τῶν λογικῶν φύσεων καί τῶν λειτουργικῶν πνευμάτων, ἐν σκότῳ διῆγεν». Διό καί ἡμῖν ὁ αὐτός ἐπεύχεται ἐκεῖ λέγων˙ «ὁ Πατήρ τοῦ ἀληθινοῦ φωτός, ὁ τήν ἡμέραν κοσμήσας τῷ οὐρανίῳ φωτί, ὁ τήν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός, ὁ τοῦ μέλλοντος αἰῶνος τήν ἀνάπαυσιν εὐτρεπίσας τῷ νοερῷ καί ἀπαύστῳ φωτί, φωτίσειεν ἡμῶν τάς καρδίας ἐν ἐπιγνώσει τῆς ἀληθείας».

Ὅτι δέ τό νοερόν τοῦτο καί προκόσμιον καί ἄπαυστον φῶς αὐτός ἐστιν ὁ Θεός, Γρηγόριος ὁ τῆς θεολογίας ἐπώνυμος σαφῶς ἐξεῖπε˙ «βουληθείς» γάρ, φησίν, «ὁ Θεός τόνδε τόν κόσμον συστήσασθαι, τοῖς μέν ἀϊδίοις αὐτός ἐστι φῶς, οὐκ ἄλλο˙ τί γάρ ἔδει φωτός ἑτέρου τοῖς τό μέγιστον ἔχουσι;». Τοῦτο δή τό φῶς καί πῦρ ἐστι θεῖον καί ἄϋλον, ψυχάς φωτίζειν πεφυκός. Τοῦτο γάρ, κατά τόν μέγαν αὖθις φάναι Βασίλειον, κἀν τοῖς ἀποστόλοις ἐνήργησεν, ἡνίκα ἐλάλουν πυρίναις γλώσσαις, ὅ καί Παῦλον περιλάμψαν, τήν μέν αἴσθησιν τῆς ὄψεως αὐτοῦ ἠμαύρωσε, τούς δέ ὀφθαλμούς τῆς καρδίας ἐφώτισεν˙ οὐ γάρ χωρεῖ σαρκός ὅρασις ἐκείνου τοῦ φωτός τήν δύναμιν. Τοῦτο τό πῦρ ὤφθη Μωϋσῇ ἐν τῇ βάτῳ˙ τοῦτο ἐν εἴδη ὀχήματος τόν Ἠλίαν ἐκ τῆς γῆς ἀνήρπασε˙ τούτου τοῦ πυρός τήν ἐνέργειαν ζητῶν ὁ μακάριος Δαυίδ ἔλεγε, «δοκίμασόν μέ, Κύριε, καί πείρασόν με, πύρωσον τούς νεφρούς μου καί τήν καρδίαν μου». Τοῦτο τό πῦρ τήν καρδίαν Κλεόπα καί τοῦ σύν αὐτῷ ἐθέρμανε, λαλοῦντος τοῦ σωτῆρος αὐτοῖς μετά τήν ἐκ νεκρῶν ἀνάστασιν. Καί οἱ ἄγγελοι καί τά λειτουργικά πνεύματα τούτου τοῦ πυρός μετέχουσι κατά τό γεγραμμένον, «ὁ ποιῶν τούς ἀγγέλους αὐτοῦ πνεύματα καί τούς λειτουργούς αὐτοῦ πυρός φλόγα». (σελ. 644) Τοῦτο τό πῦρ τήν ἐν τῷ ὀφθαλμῷ δοκόν κατακταῖον, καθαρόν τόν νοῦν ἀποκαθίστησιν, ἵνα τό κατά φύσιν ἀπολαβών διορατικόν μή τό ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ κάρφος ὁρᾷ, ἀλλά διηνεκῶς τά τοῦ Θεοῦ θαυμάσια κατανοῇ κατά τόν λέγοντα, «ἀποκάλυψον τούς ὀφθαλμούς μου καί κατανοήσω τά θαυμάσια ἐκ τοῦ νόμου σου». Τοῦτο τό πῦρ δαιμόνων ἐστί φυγαδευτήριον καί κακίας πάσης ἀναλωτικόν, ἁμαρτίας ἀναιρετικόν, ἀναστάσεως δύναμις καί ἀθανασίας ἐνέργεια, ψυχῶν ἁγίων φωτισμός καί λογικῶν δυνάμεων σύστασις. Τοῦτο καί ἡμεῖς εὐξώμεθα φθάσαι καί εἰς ἡμᾶς,

ἵνα πάντοτε ἐν τῷ φωτί περιπατοῦντες, μηδέποτε κἄν πρός βραχύ προσκόψωμεν.

Ὁ δέ Χρυσόστομος θεολόγος, διδάσκων τί ἐστι τό φῶς, ὅ ραγήσεται πρώϊμον τῷ ἐλεοῦντι, «οὐ τοῦτο», φησίν, «ἐστί τό αἰσθητόν, ἀλλ᾽ ἕτερον πολλῷ βέλτιον, ὅ τόν οὐρανόν ἡμῖν δείκνυσι καί τούς ἀγγέλους καί τάς αὐλάς τάς βασιλικάς˙ ἄν γάρ τοῦ φωτός τούτου καταξιωθῇς, καί ταῦτα ὄψει, καί ἀπαλλαγήσῃ γεέννης καί ἀπελεύσῃ ἔνθα ἀπέδρα ὀδύνη καί λύπη, ἔνθα πολλή ἡ χαρά καί ἡ εἰρήνη καί ἡ ἀγάπη, ἔνθα ζωή αἰώνιος καί δόξα ἄρρητος καί κάλλος ἄφραστον˙ πάντα τοίνυν φέρωμεν εὐκόλως, ἵνα τοῦ ἐνδύματος ἐπιτύχωμεν τῆς βασιλείας τῶν οὐρανῶν καί τῆς ἀπορρήτου δόξης ἐκείνης».

Ἀλλά γάρ εἰς ἀρχήν ἑτέραν ἀναγαγόντες τόν λόγον ἐπανέλθωμεν εἰς τά τοῦ μεγάλου Μακαρίου οἷς συνημμένως τάς ἀρχάς καί προτάσεις τῶν τοῦ κενόφρονος λόγων, ἀφ᾽ ὧν οἴεταί τι καθ᾽ ἡμῶν καί τῆς ἀληθείας συμπεραίνειν, προθέντες εἰς μέσον ἀπελέγξομεν.

## *ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ ΚΑΤΑ ΤΩΝ ΔΕΥΤΕΡΩΝ (σελ. 646)*
## *ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΚΒΑΙΝΟΝΤΩΝ ΑΤΟΠΩΝ ΕΚ ΤΩΝ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΒΑΡΛΑΑΜ ΠΡΟΤΑΣΕΩΝ*

Ἤρετό τις τῶν εἰσαγομένων, εἰ δυνατόν ἀνθρώπῳ τῇ προειρημένῃ διαρκεῖν καταστάσει. Συμεώνης τοίνυν ὁ περιδέξιος καί πολύς ἀμφότερον, ἡδύς τε καί ἔνθεος μεταφραστής, ὡς ἐκ προσώπου τοῦ μεγάλου Μακαρίου πρός τόν ἐρωτήσαντά φησιν˙ «ἡ μέν χάρις οὐκ ἔστιν ὅτε μή σύνεστι καί ὡς φυσικόν τι καί πεπηγός ἐγγίνεται τῷ ἀνθρώπῳ ᾧ σύνεστι μία δέ οὖσα, πολυτρόπως, ὡς ἐθέλει, πρός τό τοῦ ἀνθρώπου συμφέρον οἰκονομεῖ καί τό φῶς ἔστι μέν ὅτε μᾶλλον ἐκλάμπει, ἔστι δ᾽ ὅτε καί συστέλλεται, καίτοι γε τῆς λαμπάδος ἄσβεστα καιομένης˙ ὅταν δέ φαιδρυνθῇ πλέον, τότε καθάπερ ἐν μέθῃ πλείονι τῆς τοῦ Θεοῦ ἀγάπης καί ὁ ἄνθρωπος ἐξετάζεται». Ἐν δέ τῷ ἑβδομηκοστῷ τετάρτῳ κεφαλαίῳ πάλιν φησίν˙ ἡ καθαράν τήν ἰδίαν ἀπολαβοῦσα φύσιν ψυχή «τρανοῖς καί ἀνεπικωλύτοις ὀφθαλμοῖς τήν δόξαν τοῦ ἀληθινοῦ φωτός κατοπτεύει» καί οἱ τοιοῦτοι ἄνθρωποι «καίτοι τό βάρος περικείμενοι τῆς σαρκός, ἀλλ᾽ οὖν διά τόν ἀρραβῶνα τοῦ Πνεύματος ἐν τῷ ἀσφαλεῖ αὐτοῖς κεῖται τά τῶν ἐλπίδων, καί ὅτι συμβασιλεύουσι τῷ Χριστῷ καί ἐν πλεονασμῷ καί περιουσίᾳ Πνεύματος ἔσονται οὐδέν αὐτοῖς τό ἐνδοιαζόμενον˙ αὐτόθεν γάρ ἤδη

πρός ἐκεῖνον ἁρπάζονται τόν αἰῶνα καί τά ἐκεῖ κάλλη καί θαύματα καθορῶσι˙ καθάπερ γάρ ὁ σωματικός ἀφθλαμός, ἀπαθῶς τε καί ὑγιῶς ἔχων, ταῖς ἡλιακαῖς αὐγαῖς θαρρούντως ἐνατενίζει, οὕτω καί οὗτοι φωτεινῷ χρώμενοι καί διακεκαθαρμένῳ τῷ νῷ, τάς ἀδύτους αὐγάς Κυρίου διαπαντός ἐποπτεύουσι». Καί πάλιν, «ἡ τοιαύτη», φησί, «τοῦ Πνεύματος ἔλλαμψις οὐχ οἷον νοημάτων μόνον ἀποκάλυψίς ἐστι (σελ. 648) καί φωτισμός χάριτος, ὥσπερ εἴρηται, ἀλλ᾽ ὑποστατικοῦ φωτός ἐν ταῖς ψυχαῖς βεβαία καί διηνεκής ἔλλαμψις˙ τό γάρ εἰπεῖν ”ἐκ σκότους φῶς λάμψει ὅς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρός φωτισμόν τῆς γνώσεως τῆς δόξης τοῦ Χριστοῦ”, καί τό, “φώτισον τούς ὀφθαλμούς μου, μήποτε ὑπνώσω εἰς θάνατον”, τουτέστιν, ἵνα μή λυομένης τῆς σαρκός ἡ ψυχή ἐπισκοτῆται τῷ τοῦ θανάτου τῆς κακίας καλύμματι, πρός δέ καί τό, “ἀποκάλυψον τούς ὀφθαλμούς μου καί κατανοήσω τά θαυμάσια ἐκ τοῦ νόμου σου”, καί τό, «ἐξαπόστειλον τό φῶς σου καί τήν ἀλήθειάν σου, αὐτά με ὁδηγήσουσι καί ἄξουσιν εἰς ὄρος ἅγιόν σου καί εἰς τά σκηνώματά σου», ἀλλά μήν καί τό, “ἐσημειώθη ἐφ᾽ ἡμᾶς τό φῶς τοῦ προσώπου σου, Κύριε”, τήν αὐτήν ἀκολουθίαν τοῦ σκοποῦ παρίστησι». Καί, «τῷ μακαρίῳ δέ», φησί, «Παύλῳ τό ἐλλάμψαν ἐν τῇ ὁδῷ φῶς, δι᾽ οὗ καί εἰς τρίτον οὐρανόν ἦρται καί μυστηρίων ἀλαλήτων ἀκουστῆς ἐγένετο, οὐ νοημάτων τις καί γνώσεως φωτισμός ἦν, ἀλλά δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος καθ᾽ ὑπόστασιν ἐν τῇ ψυχῇ ἔλλαμψις, οὗ τήν ὑπερβολήν τῆς λαμπρότητος οἱ τῆς σαρκός ὀφθαλμοί μή διενεγκότες ἀπετυφλώθησαν, δι᾽ οὗ πᾶσά τε γνῶσις ἀποκαλύπτεται καί Θεός πρός ἀλήθειαν τῇ ἀξίᾳ καί φιλουμένῃ ψυχῇ γνωρίζεται».

Ταῦτα μέν ταύτη θαυμαστόν δέ οὐδέν εἰ ἐν κρίσει τούς λόγους οἰκονομοῦντες οἱ ἅγιοι καί τῇ τῶν ἀκροωμένων δυνάμει σύμμετρον τήν διδασκαλίαν ἀποδιδόντες πολυτρόπως τάς ὁράσεις ταύτας διερμηνεύουσιν. Ὁ μέντοι θεῖος καί πιστός ἑρμηνεύς Συμεών, ἐκ τοῦ διά πείρας καλῶς εἰδότος τάς μυστικάς καί τελεστικάς ἐνεργείας τοῦ Πνεύματος μυηθείς, ὡς ἀπ᾽ ἐκείνου πάλιν φησίν, ἀκούοντες τοῦ λόγου τῆς βασιλείας καί πρός δάκρυα καταγόμενοι, μή τοῖς ἡμετέροις τούτοις ἐναπομείνωμεν δάκρυσι, μηδέ τῇ ἡμῶν ἀκοῇ, ὡς καλῶς ἀκούσαντες, μηδέ τοῖς ὀφθαλμοῖς, ὡς καλῶς ἰδόντες, καί ἀρκούντως ἔχειν ἑαυτούς λογισώμεθα˙ «καί γάρ εἰσίν (σελ. 650) ἕτερα ὦτα καί ἕτεροι ὀφθαλμοί καί κλαυθμοί ἕτεροι, ὡς δέ καί διάνοια καί ψυχή ἑτέρα, ὅπερ ἐστίν αὐτό τό θεϊκόν Πνεῦμα καί ἐπουράνιον, τό ἀκοῦόν

τε καί κλαῖον, εὐχόμενόν τε καί γινῶσκον καί τό τοῦ Θεοῦ θέλημα ἐν ἀληθείᾳ ποιοῦν»˙ «τοῖς μέντοι τήν ἀρετήν ἄκροις καί ὧν ἐνεργῶς τό νοερόν φῶς ταῖς καρδίαις ἐνέλαμψεν ἐπίδηλα ταῦτα καί καταφανῆ γίνεται˙ "τελείων" γάρ, ὁ μακάριός φησι Παῦλος, "ἡ στερεά τροφή, τῶν διά τήν ἕξιν αἰσθητήρια γεγυμνασμένων πρός τήν τοῦ καλοῦ τε κακοῦ διάκρισιν˙ ἀλλά καί ὁ θεῖος Πέτρος φησί, "καί ὑμεῖς ἔχοντες τόν προφητικόν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ καί φωσφόρος ἀνατελεῖ ἐν ταῖς καρδίαις ὑμῶν"».

Ὁ δέ Βαρλάαμ, τά τοιαῦτα πάντα παρ᾽ οὐδέν θέμενος, ἀλλά καί προθέμενος ὡς τοῦ Μασσαλιανῶν ὑπάρχοντα δόγματος, τοῦ προστάτου τούτων Βλαχερνίτου ποιεῖται συλλήβδην ἅπαντα καί, ἀσεβεῖς αὐτός φανερῶς ἀποφηνάμενος εἶναι τούς ἀΐδιον ἄλλο τι παρά τήν οὐσίαν τοῦ Θεοῦ λέγοντος, τό τήν ἀΐδιον δόξαν τοῦ Θεοῦ ὁρᾶν τῷ Βλαχερνίτῃ τούτῳ φέρων χαρίζεται. Ποῦ γάρ ἐκεῖνος εὕρηται μή τήν οὐσίαν ὁρατήν λέγων τοῦ Θεοῦ, ἀλλά τήν ἀΐδιον δόξαν; Εἰ γάρ τοῦτ᾽ εἶπεν, ὡς μεταμαθόντα τήν εὐσέβειαν, πάσης ἄν ἡμεῖς τοῦτον ἀπελύσαμεν αἰτίας, ἐπεί καί Στέφανος τήν ὑπερουράνιον εἶδε δόξαν τοῦ Θεοῦ. Τίς γάρ ἦν χρεία τούς οὐρανούς διανοιγῆναι, εἰ μή τήν ὑπέρ αὐτούς δόξαν ὁ θεατής αὐτῆς ἐκεῖνος ὁρᾶν; Ἀλλά καί τοῖς ὀφθαλμοῖς εἶδεν˙ «ἀτενίσας γάρ», φησίν, «εἶδεν». Ἀλλά καί ὑπέρ αἴσθησιν ἑώρακεν αὐτήν˙ ποία γάρ ὄψεως ἰσχύς μέχρις αὐτῶν ἐλθεῖν τῶν ὑπερουρανίων δυνηθείη ἄν; Γρηγόριος δέ ὁ τῆς θεολογίας ἐπώνυμος λέγων τῆς ἀϊδίου δόξης τούς ἀγγέλους θεωρούς, μή καί αὐτός τραπεζούντιος ὁ Βλαχερνίτης ἦν; Ῥᾳδίως δ᾽ ἄν αὐτός οἶμαι καί τούς ἐν οὐρανοῖς ἀγγέλους ὑπό τῆς πλάνης ἁλῶναι φαίης, (σελ. 652) ὁ τούς κατ᾽ ἐκείνους ἐν γῇ βιοῦν ᾑρημένους ἐγκρίναι τοῖς κακοδόξοις τολμήσας, τούς γε μήν ἐξυμνοῦντας τήν μοναρχικωτάτην τριάδα, ὡς φυσικήν συναΐδιον δόξαν προβαλλομένην καί ἐπιποθοῦντας τήν ἄφθεγκτον ἰδεῖν αὐγήν˙ ἤ μή καί τούτους τοῖς Μασσαλιανοῖς ἐναριθμήσωμεν; Τούς δ᾽ ἐπευχομένους ὑπό τῆς οὐσιώδους αἴγλης καταυγασθῆναι τοῦ Θεοῦ καί τυχεῖν οὕτω τῆς φωτοδότιδος αὐγῆς, ποίας ἐροῦμεν αὐτούς αἴγλης καί αὐγῆς ἐρᾶν; Οὐ γάρ ἡ γνῶσις, ἥν σύ μόνην λέγεις θεῖον φῶς, οὐσιώδης αἴγλη τοῦ Θεοῦ ἐστιν. Οἱ δ᾽ ἰδόντες «τήν κεκρυμμένην ἀστραπήν ὑπό τήν σάρκα τῆς οὐσιώδους εὐπρεπείας» τοῦ Χριστοῦ, τίνα σοι δοκοῦσιν ἀστραπήν ἰδεῖν; Οὐ γάρ δή τό αἰσθητόν φῶς οὐσιώδης ἐστίν εὐπρέπεια Θεοῦ. Πῶς δέ καί

κτιστόν τό τῆς ἀνωτάτω Τριάδος οὐσιῶδες φῶς; Τί τοίνυν βουλόμενος Μασσαλιανῶν τά τοιαῦτα γράφεις εἶναι καί τοσούτοις τε καί τηλικούτοις ἀντιλέγεις, ἄνθρωπε; Ἆρα τούς Μασσαλιανούς ὀρθοδόξους ἤ τούς ὀρθοδόξους ἀποφῆναι Μασσαλιανούς καί μυσαρούς; Καί γάρ ἐκ τῶν σῶν λόγων ἑκάτερον ἐκβαίη ἄν. Σέ δή ποῦ χοροῦ τάξομεν ἡμεῖς;

«Οἱ μέν γάρ τοῦ Βλαχερνίτου λόγου», φησίν, «ὡς ἐν κεφαλαίῳ τοιοῦτοι· συμβαίνει δέ τούτους τοῖς φανερωτάτοις σχεδόν τῶν τῆς Ἐκκλησίας δογμάτων ἐναντίως ἔχειν πρῶτον μέν γάρ, ὄντος ὁμολογουμένου βεβαίως ἕν καί μόνον ἄναρχον καί ἀτελεύτητον, τήν οὐσίαν τοῦ τά πάντα πεποιηκότος Θεοῦ, τά δέ παρά ταύτην πάντα γενητῆς εἶναι φύσεως, καί μηδεμίαν ἄλλην ὀντότητα εἶναι μεταξύ τῆς οὐσίας τοῦ Θεοῦ καί τῶν γενητῶν, οὗτος ἐτόλμησε μεταξύ τι θεῖναι».

Ὦ τῆς ἀμαθίας, εἴπερ οἴεται τοῦτ᾽ εἶναι δόγμα τῆς Ἐκκλησίας βεβαίως ὁμολογούμενον· ὤ τῆς ἀπονοίας, εἴπερ ἤλπισέ τινα τῶν νοῦν ἐχόντων διά τῶν τοιούτων ἀπατήσειν ῥημάτων, (σελ. 654) καί ταῦτα τοῦ μεγάλου Διονυσίου ἀνάρχους καί ἀτελευτήτους διαρρήδην φάσκοντος καί τάς ὑπό τοῦ Θεοῦ ἐγγινομένας ταῖς ὑπερκοσμίοις δυνάμεσιν ἐλλάμψεις, ᾧ συνῳδά καί Γρηγόριος ὁ θεολόγος τήν ὁρατήν ἀγγέλοις δόξαν τοῦ Θεοῦ ἀΐδιον προσεῖπεν. Ἀλλ᾽ οὗτος ὁ καινός θεολόγος, οὐκ οἶδ᾽ ὅθεν μυηθείς, «ἕν», φησί, «μόνον ἄναρχον καί ἀτελεύτητον, ἡ οὐσία τοῦ Θεοῦ· τά δέ παρά ταύτην πάντα γενητῆς ἐστι φύσεως», τουτέστι κτιστά ἐστι καί ἀρχήν ἔσχε καί ἦν ὅτε οὐκ ἦν. Τά γοῦν περί τήν οὐσίαν ταύτην, ὦ μακάριε, παρά ταύτην δήπουθεν· περί αὐτήν γάρ εἰσιν. Οὐκοῦν οὐδέν τῶν περί αὐτήν ἄναρχον κατά τούς σούς λόγους, ἀλλ᾽ ἦν ὅτε οὐκ ἦν τά τοιαῦτα πάνθ᾽ ἁπαξαπλῶς· μόνον γάρ ἄναρχον ἡ οὐσία κατά σέ. Οὐκοῦν ἦν ὅτε οὐκ ἦν ὁ Θεός Πατήρ· οὐκ οὐσία γάρ τοῦτο, ἀλλά παρά τήν οὐσίαν, περί τήν οὐσίαν ὄν. Εἰ δέ ἐξ ἀϊδίου ἐστί Πατήρ καί ἄναρχόν ἐστιν αὐτῷ τό ἀγέννητον, μόνον δέ κατά σέ ἄναρχον ἡ οὐσία τοῦ Θεοῦ, τοῦτ᾽ αὐτό ἐστι τό ἀγέννητον, οὐσία τοῦ Θεοῦ, ὅ τῶν Εὐνομίου κακοδόξων δογμάτων ἐστί τό κεφάλαιον. Ἀλλά καί τό γεννητόν ἤ οὐκ ἀνάρχως ἔχει ὁ Υἱός καί ἦν ὅτε οὐκ ἦν γεννητῶς καί ἔσται ὅτε μή, ὡς καί Σαβέλλιος ἄν εἶπεν, ἤ, εἴπερ ἄναρχον αὐτῷ γεννητόν, τοῦτ᾽ αὐτό ἐστιν αὐτοῦ οὐσία, μόνης ἀνάρχου τῆς οὐσίας οὔσης· οὐ τῆς αὐτῆς ἄρ᾽ οὐσίας ὁ Υἱός ὑπάρχει τῷ Πατρί, ἀλλά καί τῆς ἀντικειμένης. Τούς αὐτούς δ᾽ ἄν τις φαίη λόγους καί περί τοῦ ἁγίου Πνεύματος, καί ὥσπερ ἐκεῖ τοῖς

ἀθετοῦσι τήν τοῦ Υἱοῦ θεότητα, οὕτως ἐνταῦθα τοῖς πνευματομάχοις ἀναφανήσῃ συνιστάμενος. Τοῦτο τοίνυν φανερόν καί ἀνωμολογημένον δόγμα τῆς Ἐκκλησίας, παρ᾽ οὗ πᾶσα αἵρεσις ἀνεῖται, καθάπερ ἀπό πονηρᾶς τινος πηγῆς; Οὐκ ἄρα ἕν μόνον ἄναρχον, ἡ οὐσία τοῦ Θεοῦ˙ καί γάρ καί τά περί αὐτήν ἀφοριζόμενα πάντα ἄναρχά ἐστιν, οἷον αἱ ὑποστάσεις, αἱ σχέσεις, (σελ. 556) αἱ διακρίσεις καί ἁπλῶς αἱ τῆς ὑπερουσίου θεογονίας ἐκφάνσεις ἅπασαι˙ καί τοῦτό ἐστιν ὁμολογούμενον, ἀλλ᾽ οὐκ ἐκεῖνο. Καί τοσοῦτο τοῦθ᾽ ὁμολογούμενόν ἐστιν ὡς μετά τήν διά σαρκός θείαν ἐπιφάνειαν μηδένα πω τολμῆσαι ἀποφήνασθαι, μηδέ τῶν αἱρέσεσι περιπεσόντων πονηραῖς, ὅ διά τοῦ λέγειν οὗτος ἕν μόνον ἄναρχον, τήν οὐσίαν τοῦ Θεοῦ, παρεισήγαγεν ἀρτίως, ὡς αἱ ὑποστάσεις τε πᾶσαι καί τά ὑποστατικά τῆς ἀνωτάτω Τριάδος ἅπαντα κτιστά.

Καί μήν ἐροίμην ἄν ἡδέως τόν λέγοντα ἕν εἶναι μόνον ἄναρχον, τήν οὐσίαν τοῦ Θεοῦ, τά δέ παρά ταύτην γενητῆς φύσεως˙ παντοδύναμον ἡγεῖται ταύτην ἤ οὔ; Οἷον τί λέγω˙ ἔχει τό γνωστικόν, τό προγνωστικόν, τό δημιουργικόν, τό συνεκτικόν, τό προνοητικόν, τό θεουργικόν καί ἁπλῶς πάντα τά τοιαῦτα, ἤ οὔκ ἔχει; Εἰ μέν γάρ οὐκ ἔχει, οὐδέ Θεός ἐστι λοιπόν ἡ μόνη αὕτη ἄναρχος οὐσία. Εἰ δέ ἔχει, εἰ μέν ὕστερόν ποτε ταύτας τάς δυνάμεις προσεκτήσατο, λοιπόν ἦν ὅτε ἀτελής ἦν, ταὐτόν δ᾽ εἰπεῖν οὐδέ Θεός˙ εἰ δ᾽ ἐξ ἀϊδίου εἶχε ταύτας τάς δυνάμεις, οὐχ ἕν μόνον ἄναρχον, ἡ οὐσία τοῦ Θεοῦ, ἀλλά καί τῶν ταύτης δυνάμεων ἑκάστη τούτων. Μία δέ ἄναρχος οὐσία, ἡ οὐσία τοῦ Θεοῦ˙ τῶν γάρ ἐν αὐτῇ τοιούτων δυνάμεων οὐδεμία ἐστίν οὐσία˙ πᾶσαι δ᾽ ἐξ ἀνάγκης ἔνεισιν ἀεί τῇ οὐσίᾳ τοῦ Θεοῦ, ὡς δι᾽ ἀμυδρᾶς εἰπεῖν, εἰκόνος καθάπερ αἱ τῶν αἰσθήσεων δυνάμεις ἐν τῇ λεγομένῃ κοινῇ κατά ψυχήν αἰσθήσει. Καί τοῦτό ἐστι τό φανερόν καί ἀσφαλές καί ἀνωμολογημένον δόγμα τῆς Ἐκκλησίας, ἀλλ᾽ οὐκ ἐκεῖνο, ἄπαγε. Καί γάρ ὡς μία ἄναρχος οὐσία, ἡ οὐσία τοῦ Θεοῦ, αἱ δέ παρά ταύτην οὐσίαι γενητῆς εἰσι φύσεως, παρά τῆς μόνης ἀνάρχου καί μόνης οὐσιοποιοῦ οὐσίας γεγονυῖαι, τόν ἴσον τρόπον καί μία προνοητική δύναμις ἄναρχος, ἡ τοῦ Θεοῦ, αἱ δέ παρά ταύτην γενητῆς φύσεως ὑπάρχουσι, κἀπί (σελ. 658) τῶν ἄλλων ἁπασῶν τοῦ Θεοῦ φυσικῶν δυνάμεων ὡσαύτως. Οὐχ ἕν ἄρα μόνον ἄναρχον, ἡ οὐσία τοῦ Θεοῦ, τά δέ παρά ταύτην γενητῆς φύσεως ὑπάρχει.

Βούλεται δέ μοι ὁ λόγος, ὑπό τῆς αὐτοτελοῦς καί πάντα προειληφυίας ἐξ ἀπείρου φύσεως ὁδηγούμενος, οὐ δυνάμεις μόνον, ἅς

καί φυσικάς ἐνεργείας εὑρήσεις πολλαχοῦ τοῖς ἁγίοις πατράσι καλουμένας, ἀλλά καί ἔργα τοῦ Θεοῦ ἄναρχα διασαφῆσαι καί τούς πατέρας ἄριστα καί τοῦτ᾽ εἰπεῖν ὡς ἐν βραχεῖ τοῖς ἀπειθοῦσι δεῖξαι. Τί οὖν; Οὐκ ἔδει τοῦ ἔργου τῆς προνοίας καί πρό κτίσεως, ὥστ᾽ εἰς καιρόν ἕκαστον τῶν κτιστῶς ὄντων ἐκ τοῦ μή ὄντος προελθεῖν; Οὐκ ἔδει δέ γνώσεως θεοπρεποῦς, ὥστε γνόντα πρότερον, ἔπειτα ἑλέσθαι, κἄν μή χρονικῶς; Τί δέ αὐτοπτικῆς ἐκείνης θεωρίας ἐννοήσειέ τις ἄν ἀρχήν καί ἦν ὅτε ἤρξατο ὁ Θεός κινεῖσθαι τῇ ἑαυτοῦ θεωρίᾳ; Οὐμενοῦν. Μία τοιγαροῦν πρόνοια ἄναρχος, ἡ τοῦ Θεοῦ, ἔργον οὖσα τοῦ Θεοῦ, αἱ δέ παρά ταύτην πρόνοιαι, γενητῆς εἰσι φύσεως˙ οὐκ ἔστι δέ ἡ πρόνοια οὐσία τοῦ Θεοῦ˙ οὐχ ἕν ἄρα μόνον τό ἄναρχον, ἡ οὐσία τοῦ Θεοῦ. Καί μία πρόγνωσις ἄναρχός τε καί ἄκτιστος, ἡ τοῦ Θεοῦ˙ αἱ δέ παρά ταύτην κατά φύσιν ἡμῖν ἐνυπάρχουσαι προγνώσεις ἀρχήν ἔσχον πᾶσαι καί κτισταί εἰσι. Καί μία θέλησις ἄναρχος, ἡ τοῦ Θεοῦ, αἱ δέ παρά ταύτην θελήσεις ἀρχήν ἔσχον ἅπασαι˙ θέλησιν δέ τήν οὐσίαν τοῦ Θεοῦ οὐδ᾽ οἱ θελήσεως Υἱόν εἰπόντες τόν Λόγον τοῦ Θεοῦ ἐτόλμησαν εἰπεῖν. Οἱ δέ προορισμοί καί ἀπ᾽ αὐτοῦ τοῦ ὀνόματος ἐμφαίνουσι τήν πρό τῶν κτισμάτων ὕπαρξιν αὐτῶν˙ εἰ δέ τις ἐθελήσει μή καί προαιωνίους τούτους λέγειν ἐξελεγχθήσεται παρά τοῦ Παύλου λέγοντος, καθώς «προώρισε πρό τῶν αἰώνων ὁ Θεός».

Ἀλλά ταῦτα μέν σαφῶς ἄναρχα ἔργα τοῦ Θεοῦ καί προαιώνια, οἷον ἡ πρόγνωσις, ἡ θέλησις, ἡ πρόνοια, (σελ. 660) ἡ αὐτοψία καί εἴ τι παραπλήσιον˙ εἰ δ᾽ ἡ θεωρία καί πρόνοια καί πρόγνωσις, προορισμοί τε καί θέλησις ἄναρχα ἔργα τοῦ Θεοῦ ἐστι, καί ἡ ἀρετή ἄρα, καί γάρ ἀρετή τούτων ἕκαστον ἐστιν, ἀλλά καί ἡ ὀντότης, ἐπεί μή τῆς οὐσίας μόνης, ἀλλά καί παντός ὄντος προηγεῖται ἡ ὀντότης, πρῶτον γάρ ἐστιν˙ εἶτα ἀρετή ἐστιν ἤ θέλησις ἤ προορισμός. Καλῶς ἄρ᾽ ὁ πολύς τά θεῖα Μάξιμός φησιν ὅτι «ἡ ὀντότης καί ἡ ζωή καί ἡ ἁγιότης καί ἡ ἀρετή ἔργα τοῦ Θεοῦ εἰσιν οὐκ ἠργμένα χρονικῶς» καί ἵνα μή τις ἐν αἰῶνι ταῦτ᾽ εἶναι νομίσῃ, κἄν μή χρονικῶς, ἐπήγαγεν, «οὐκ ἦν γάρ ποτε ὅτε οὐκ ἦν ἀρετή καί ἀγαθότης καί ἁγιότης καί ἀθανασία»˙ πάλιν δέ ἵνα μή τις οἰηθείη τά ἐν ἡμῖν τοῦτον λέγειν ἄναρχα, ἐπάγει ὅτι «τά ἠργμένα τῇ μετοχῇ τῶν οὐκ ἠργμένων καί εἰσί καί λέγονται˙ πάσης γάρ ζωῆς καί ἀθανασίας, ἁγιότητός τε καί ἀρετῆς», δηλαδή τῆς φυσικῶς ἡμῖν ἐνυπαρχούσης, «δημιουργός ἐστιν ὁ Θεός». Ταῦτα μέν οὖν ἐν πεντηκοστῷ κεφαλαίῳ τῆς πρώτης Ἑκατοντάδος εἴρηκεν, ἐν δέ τῷ τεσσαρακοστῷ ὀγδόῳ τῆς αὐτῆς οὐσιωδῶς περί τόν Θεόν αὐτά

φησι θεωρεῖσθαι καί αὐτά εἶναι τά μεθεκτά, ὧν μετέχουσι τά ὄντα μετέχοντα καί ἠργμένα ἔργα χρονικῶς, ἀνάρχων ἔργων ἐκείνων ὄντων, «οὐ γάρ ποτε», φησί, «πρεσβύτερον ἀρετῆς τό “οὐκ ἦν”, οὐδέ τινος ἄλλου τῶν εἰρημένων», οἷα τόν Θεόν ἔχοντα τοῦ εἶναι μονώτατον ἀϊδίως γεννήτορα. Καί ἵνα μή τινι δόξῃ τήν ὑπερουσιότητα ἐκείνην λέγειν, ἧ κατά τήν ἀπόλυσιν πάντων τῇ διανοίᾳ ἐπιβάλλομεν, ἐν τῷ τεσσαρακοστῷ ἐνάτῳ ἐφεξῆς εὐθύς γράφων εἶπεν ὅτι καί «τῶν μεθεκτῶν ἀπειράκις ἀπείρως ὁ Θεός ὑπερεξῄρηται», τῆς ἀνάρχου δηλαδή, ταὐτόν δ᾽ εἰπεῖν ἀκτίστου, ἐκείνης ἀγαθότητος καί ἁγιότητος καί ἀρετῆς. Οὔκουν ταῦθ᾽ ἁπλῶς ἡ ὑπερούσιος οὐσία τοῦ Θεοῦ ἐστιν οὔθ᾽ ἡ ἄκτιστος ἀγαθότης οὔτε ἡ ἀΐδιος δόξα ἤ ζωή καί τά τοιαῦτα. Καί τούτων γάρ (σελ. 662) ὡς αἴτιος ὁ Θεός ὑπερεξῄρηται. Ζωήν δέ λέγομεν αὐτόν καί ἀγαθότητα καί τά τοιαῦτα, καλοῦντες αὐτόν ἀπό τῶν παραστατικῶν ἐνεργειῶν τε καί δυνάμεων τῆς ὑπερουσιότητος ἐκείνης, ἐπεί, κατά τόν μέγαν Βασίλειον, πίστωσις πάσης οὐσίας ἡ κατά φύσιν καθέστηκε ταύτης ἐνέργεια, τόν νοῦν ἐπί τήν φύσιν ἀνάγουσα˙ κατά δέ τόν Νύσσης θεῖον Γρηγόριον καί τούς ἄλλους πατέρας ἅπαντας, «ἐνέργειά ἐστι φυσική ἡ δηλωτική πάσης οὐσίας δύναμις, ἧς μόνον ἐστέρηται τό μή ὄν˙ τό γάρ ὄν, οὐσίας τινός μετέχον, καί τῆς δηλούσης αὐτήν φυσικῶς μεθέξει πάντως δυνάμεως». Ἀλλά καί ὡς ὅλον ἐν ἑκάστῃ ὄντα τῶν θεοπρεπῶν ἐνεργειῶν, ἀφ᾽ ἑκάστης ὀνομάζομεν αὐτόν, ἀφ᾽ οὗ διαδείκνυται καί τό πασῶν τούτων ὑπερεξῃρῆσθαι. Πῶς γάρ πολλῶν οὐσῶν θεοπρεπῶν ἐνεργειῶν, ὅλος ἐν ἑκάστῃ παντάπασιν ἀμερίστως ἐνυπῆρχεν ἄν καί ἀφ᾽ ἑκάστης ὅλος ἑωρᾶτό τε καί ἐκαλεῖτο διά τό τῆς ἀμεροῦς ἁπλότητος ὑπερφυές εἰ μή τούτων ἁπασῶν ὑπερανέστηκε;

Καί μήν εἰσίν αἵ τῶν τοῦ Θεοῦ ἐνεργειῶν ἀρχήν καί λῆξιν ἔσχον, ὡς καί τοῦτο πάντες οἱ ἅγιοι συμμαρτυρήσουσιν. Εἰ γάρ καί ὁ πάντα δοκῶν ἀκριβῶς γινώσκειν οὗτος τήν ἀρχήν ἔχον ἅπαν καί κτιστόν ἡγεῖται, διό καί ἕν εἶναι φήσας ἄναρχον, τήν οὐσίαν τοῦ Θεοῦ, ἐπήνεγκεν ὡς ἀντιδιῃρημένον, «τά δέ παρά ταύτην γενητῆς ὑπάρχει φύσεως», εἰ γοῦν ἐκεῖνος τά ἀρχήν λαβόντα καί κτιστά ἅπαντα δοξάζειν, ἀλλ᾽ ἡμεῖς πάσας μέν τά τοῦ Θεοῦ ἐνεργείας ἀκτίστους ὑπαρχούσας οἴδαμεν, οὐ πάσας δέ ἀνάρχους. Εἰ γάρ καί μή τῆς δημιουργικῆς δυνάμεως, ἀλλά τῆς κατά ταύτην πράξεως, δηλαδή τῆς κατά τά δεδημιουργημένα ἐνεργείας, γέγονεν ἀρχή καί τέλος, καί τοῦτ᾽ ἔδειξεν ὁ Μωϋσῆς εἰπών «κατέπαυσεν ὁ Θεός ἀπό πάντων τῶν

ἔργων, ὧν ἤρξατο ποιῆσαι», πῶς οὖν οὐκ ἄλλο παρά τάς οἰκείας ἐνεργείας ἡ ὑπερουσιότης ἐκείνη εἴη; Ἀλλ᾽ ἐρεῖ τάς ἀνάρχους ἐνεργείας ταὐτόν ἐκείνῃ εἶναι; (σελ. 664) Ἀλλ᾽ εἰσιν αἵ τῶν τούτων τέλος ἔσχον, εἰ καί μή ἀρχήν, ὅ καί περί τῆς τοῦ Θεοῦ προγνώσεως ὁ μέγας εἴρηκε Βασίλειος. Οὐκ ἄρα ταὐτόν οὐδέ τοῖς ἀνάρχοις ἐνεργείαις ἡ ὑπερούσιος οὐσία τοῦ Θεοῦ, δι᾽ ὧν καί ὅτι πάσης ἐνεργείας οἱσδηποτοῦν οὐ μόνον ὑπερεξῃρημένη δείκνυται ἐκείνη, ἀλλά καί «ἀπειράκις ἀπείρως» κατά τόν πολύν τά θεῖα Μάξιμον.

Ὁ δέ μακάριος Κύριλλος, «ἐνέργεια» φησί, «θεοπρεπής καί δύναμίς ἐστι τό εἶναι πανταχῇ καί χωρεῖν μέν διά πάντων τόν Θεόν, χωρεῖσθαι δέ ὑπ᾽ οὐδενός». Οὐ τοίνυν τοῦτο φύσις Θεοῦ, τό εἶναι πανταχοῦ, εἴπερ μηδέ ἡμῖν φύσις ἐστί τοῦτο μόνον, τό εἶναί που. Τό γάρ μηδαμῶς οὐσία ὄν, πῶς ἄν ἡμῶν οὐσία εἴη; Οὐκ ἄρα ταὐτόν παντάπασιν ἐπί Θεοῦ οὐσία καί ἐνέργεια, εἰ καί ὅλος ἐν ἑκάστῃ ἐνεργείᾳ δείκνυται διά τό τῆς οὐσίας ἀμερές. Ἰωάννης δέ ὁ Χρυσορρήμων «οὐσιώδη ἐνέργειαν» φησί «Θεοῦ τό μηδαμοῦ εἶναι, οὐ τῷ μή εἶναι, ἀλλά τῷ ὑπερεῖναι τόπου καί χρόνου καί φύσεως». Σύ τοίνυν τάχα καί τό μηδαμοῦ εἶναι οὐ τῆς οὐσίας, ἀλλ᾽ οὐσίαν τοῦ Θεοῦ ἐρεῖς, ὁ μηδεμίαν διαφοράν εἰδώς οὐσίας τε καί ἐνεργείας. Ὁ δέ μέγας Βασίλειος, «πῶς οὐ καταγέλαστον», φησί, «τό δημιουργικόν οὐσίαν εἶναι λέγειν, τό προνοητικόν πάλιν οὐσίαν, τό προγνωστικόν ὡσαύτως καί ἁπαξαπλῶς πᾶσαν ἐνέργειαν οὐσίαν τίθεσθαι;». Μάξιμος δέ ὁ θεῖος, «ἡ ἀγαθότης» φησί, «καί πᾶν εἴ τι ἀγαθότητος ἐμπεριέχεται λόγῳ καί ἁπλῶς πᾶσα ζωή καί ἀθανασία καί ὅσα περί τόν Θεόν οὐσιωδῶς θεωρεῖται ἔργα Θεοῦ εἰσι καί οὐκ ἠργμένα χρονικῶς˙ οὐ γάρ ποτε πρεσβύτερον ἀρετῆς τό οὐκ ἦν, οὐδέ τινος ἄλλου τῶν εἰρημένων, κἄν τά μετέχοντα αὐτῶν κατ᾽ αὐτά ἦρκται τοῦ εἶναι χρονικῶς». Οὐδέν ἄρα τῶν τοιούτων οὐσία τοῦ Θεοῦ ἐστιν, οὔτε ἄκτιστος ἀγαθότης, οὔτε ἡ ἄναρχος καί ἀΐδιος ζωή˙ οὐ γάρ ἐκ τῶν κατ᾽ αὐτόν, ἀλλ᾽ ἐκ τῶν περί αὐτόν τοιαῦτα πάντ᾽ ἔστιν.

(σελ. 666) Ἔτι κοινῇ πάντες οἱ ἅγιοι πατέρες ἐπί τῆς ἀκτίστου φασί Τριάδος οὐκ ἔστιν εὑρεῖν ὄνομα τῆς φύσεως δηλωτικόν, τῶν δέ ἐνεργειῶν ἐστι τά ὀνόματα. Καί γάρ ἡ θεότης ἐνεργείας ἐστί δηλωτικόν, τό θέειν ἤ τό θεᾶσθαι ἤ τό αἴθειν ἤ τήν αὐτοθέωσιν δηλοῦν. Ταὐτό δέ τῷ ὀνομαζομένῳ τό ὑπερώνυμον οὐκ ἔστιν˙ οὐ ταὐτό ἄρα οὐσία καί ἐνέργεια Θεοῦ. Εἰ δέ ἡ τοῦ Θεοῦ θεότης κυρίως τήν τοῦ Θεοῦ ἐνέργειαν δηλοῖ, κτισταί δέ εἰσιν αὗται κατά σέ, κτιστή

ἐστι κατά σέ καί ἡ θεότης τοῦ Θεοῦ. Ἀλλ᾽ οὐ μόνον ἄκτιστος ἀλλά καί ἄναρχος˙ οὐ γάρ ἤρξατό ποτε τοῦ θεᾶσθαι τά ὄντα ὁ εἰδώς τά πάντα πρίν γενέσεως αὐτῶν ὑπέρκειται δ᾽ ὅμως καί τῆς ἐνεργείας ταύτης ἡ ὑπερώνυμος οὐσία τοῦ Θεοῦ, καθ᾽ ὅσον τό οὕτως ἐνεργοῦν, τοῦ ἐνεργουμένου, καί τό ὑπερώνυμον, τοῦ κατά τοῦτον τόν τρόπον ὀνομαζομένου. Ἀλλά τά τοιαῦτα Θεόν ἕνα σέβειν καί θεότητα μίαν οὐδαμῶς προσίσταται, ἐπεί μηδ᾽ ἥλιον ἕνα καί φῶς ἕν αὐτοῦ νομίζειν, τό καί τήν ἀκτῖνα ἥλιον καλεῖσθαι. Ὁρᾷς ὅπως ἡμεῖς ἀκριβῶς ὁμολογοῦμεν τοῖς ἁγίοις.

Σύ δέ ὁ τά μεθεκτά λέγων κτιστά καί οὐχί τά ἔργα πάντα μόνον, ἀλλά καί τάς δυνάμεις καί ἐνεργείας πάσας τοῦ Θεοῦ ἀρχήν ἔχειν χρονικήν καί τέλος, ὤ τῆς παραπληξίας καί τῆς πάντα τολμώσης ἀδεῶς ἀπονοίας, ἀσεβεῖς ἀποφαινούμενος καί ἀφορισμῷ καί ἀναθέματι καθυποβάλλων τούς καί τῶν ἀκτίστων ἐνεργειῶν ἐπέκεινα κατ᾽ οὐσίαν τόν Θεόν δοξάζοντας ἁγίους, ἐπεί κατ᾽ αὐτήν πάσης ὑπέρκειται θέσεώς τε καί ἀφαιρέσεως, οὐ τοίνυν τοιαῦτα λέγων καί φρονῶν ἔχεις ὅπως δείξῃς μή τοῖς ἀπ᾽ αἰῶνος κακοδόξοις ἐναρίθμιος ὤν, καί ταῦτ᾽ οὐχί τάς ἐνεργείας μόνον πάσας καί πάντα τά ἔργα τοῦ Θεοῦ, ἀλλά καί τάς δυνάμεις τῆς αὐθυπερουσίου φύσεως ἐκείνης κτιστάς ἀποφαινόμενος; Καίτοι τοὔνομα τοῦτο, “ἡ οὐσία”, μιᾶς τῶν τοιούτων δυνάμεων σημαντικόν ἐστι ἐπί Θεοῦ. Φησί γάρ ὁ ἐξ Ἀρείου Πάγου Διονύσιος, (σελ. 668) «εἰ τήν ὑπερούσιον κρυφιότητα Θεόν ἤ ζωήν ἤ οὐσίαν ἤ φῶς ἤ λόγον ὀνομάσομεν, οὐδέν ἕτερον νοοῦμεν ἤ τάς εἰς ἡμᾶς ἐξ αὐτῆς προαγομένας δυνάμεις ἐκθεωτικάς ἤ οὐσιοποιούς ἤ ζωογόνους ἤ σοφοδώρους». Ὅταν οὖν αὐτός λέγῃς ἕν εἶναι μόνον ἄναρχον, τήν οὐσίαν τοῦ Θεοῦ, μίαν μόνην δίδως ἡμῖν νοεῖν Θεοῦ δύναμιν ἄναρχον, τήν οὐσιοποιόν, τάς δέ παρά ταύτην ὑπό χρόνον. Πῶς οὖν ἡ μέν οὐσιοποιός τοῦ Θεοῦ δύναμις ἄναρχος, ἡ δέ ζωοποιός ἕξει χρονικήν ἀρχήν, ἥ τε ζωογόνος καί ἡ σοφοδότις; Ἤ γάρ πᾶσα ἄναρχος θεία δύναμις ἐστιν ἤ οὐδεμία. Σύ δέ τήν μίαν μόνην λέγων καί κατασκευάζων ἄκτιστον, τάς ἄλλας ἐκβάλλεις τοῦ ἀκτίστου πάσας δέ κτιστάς ἀποφαινόμενος, συνεκβάλλεις καί τήν μίαν. Τοιοῦτον γάρ τό ψεῦδος καί ἑαυτῷ ἀνακόλουθόν ἐστι καί αὐτεπίβουλον, εἰκότως, ἵνα ᾖ καί πρός αὐτό ψευδές τε καί λυμαντικόν, αὐτό ἐφ᾽ ἑαυτό χωροῦν καί αὐτό ἑαυτοῦ δι᾽ ἑαυτοῦ καταψευδόμενον.

Ἀλλ᾽ ἐρεῖ διά τῆς οὐσίας ἐκεῖνο λέγειν, τό μοναχῶς καί ἑνιαίως ἔχον ἐν ἑαυτῷ πάσας τάς δυνάμεις ταύτας; Ἀλλά πρῶτον μέν Θεόν

ἔδει τοῦτο ὀνομάσαι˙ ταύτην γάρ τήν φωνήν ὑπό τῆς Ἐκκλησίας ἐπ᾿ ἐκείνου παρελάβομεν. Καί τῷ Μωϋσῇ δέ χρηματίζων ὁ Θεός, οὐκ εἶπεν «ἐγώ εἰμι ἡ οὐσία», ἀλλ᾿ «ἐγώ εἰμι ὁ ὤν»˙ οὐ γάρ ἐκ τῆς οὐσίας ὁ ὤν, ἀλλ᾿ ἐκ τοῦ ὄντος ἡ οὐσία˙ αὐτός γάρ ὁ ὤν ὅλον ἐν ἑαυτῷ συνείληφε τό εἶναι. Ἔπειτα, εἰ καί ἀντί τῆς "οὐσίας" τῇ "Θεός" ἐχρήσατο φωνῇ, ἔδει προσχρήσασθαι τῷ "φύσει", καί ταῦτα περί τῆς χάριτος καί τῶν χάριτι θεῶν, οὕς καί χάριτι ἀνάρχους καί ἀκτίστους οἱ ἅγιοί φασι, τῆς ὑποθέσεως τῶν λόγων οὔσης. Ἔδει τοίνυν λέγειν, «εἷς ὁ φύσει ἄναρχος Θεός». Οὗτος δέ καί τό Θεός ἀμείψας καί τό φύσει καταλιπών, ὡς ἐνῆν κλέψαι τούς ἀκούοντας προήνεγκε τόν λόγον, οὐκ ἐκεῖνο λέγων μόνον ἄναρχον, τό ἑνιαίως τά πάντα συνέχον καί (σελ. 670) προέχον˙ εἰ γάρ τοῦτο ἔλεγε, πῶς ἄν τάς ἐν αὐτῷ δυνάμεις φυσικάς δεικνύειν ἐσπούδαζε κτιστάς;

Ὅτι δ᾿ οὗτος τάς δυνάμεις κτιστάς ἡγεῖται τοῦ Θεοῦ, ἄκουσον φανερῶς αὐτοῦ τοῦτο λέγοντος. Προενεγκών γάρ τόν μέγαν Διονύσιον φάσκοντα «μεθεκτῶς αὐτοεῖναι καί αὐτοζωήν καί αὐτοθεότητα τάς ἐκδιδομένας ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προνοητικάς δυνάμεις, ὧν τά ὄντα οἰκείως ἑαυτοῖς μετέχοντα καί ζῶντα καί ἔνθεα καί ἔστι καί λέγεται, διό καί πρώτως αὐτῶν ὁ ἀγαθός ὑποστάτης λέγεται εἶναι», συλλογιζόμενος ἐκ τούτων ἐφεξῆς οὗτος, «οὐκοῦν», φησίν, «ἡ ἐνταῦθα αὐτοθεότης καί τἄλλα, ἅ σαφῶς δυνάμεις ὁ μέγας ὠνόμασεν, οὐκ ἀεί εἰσιν, ἀλλά καί τούτων ὑποστάτης ἐστίν ὁ ἀγαθός»˙ καί πάλιν, «ἔφη μέν τις θεαρχίαν εἶναί τινα καί θεότητα, ἧς ἐξηρῆσθαι τήν πάντων ἀρχήν, ἀεί δέ οὐδαμῶς εἶπεν αὐτήν˙ εἶναι γάρ καί ταύτης ὑποστάτιν τήν πάντων αἰτίαν»˙ καί πάλιν, «ἡ μέν ἀμέθεκτος δόξα τοῦ Θεοῦ ἀΐδιον μέν, οὐ μήν ἕτερον τῆς οὐσίας, ἡ δέ μεθεκτή ἕτερον μέν τῆς οὐσίας τοῦ Θεοῦ, οὐ μήν ἀΐδιον˙ καί ταύτης γάρ ὑποστάτις ἐστίν ἡ πάντων αἰτία». Ὅτι μέν οὖν ψεῦδός ἐστιν ὡς ἡ ἀΐδιος δόξα τοῦ Θεοῦ ἡ οὐσία τοῦ Θεοῦ ἐστιν ἡ ἀμέθεκτος, ἔδειξεν ὁ θεωρούς δόξης ἀϊδίου τούς ἀγγέλους εἰρηκώς, ὅ καί ἀνωτέρω εἶπον, δι᾿ οὗ καί ὡς ἡ ἀΐδιος τοῦ Θεοῦ δόξα μεθεκτή συναποδείκνυται˙ τό γάρ τοῦ Θεοῦ ὁρατόν ὁπωσδήποτε καί μεθεκτόν. Ἀλλά καί ὁ μέγας Διονύσιος, «κυκλικῶς», φησίν, «οἱ θεῖοι κινοῦνται νόες, ἑνούμενοι ταῖς ἀνάρχοις καί ἀτελευτήτοις ἐλλάμψεσι τοῦ καλοῦ καί ἀγαθοῦ». Πῶς οὖν αἱ ἄναρχοι καί ἀτελεύτητοι ἐλλάμψεις αὗται οὐχ ἕτεραί εἰσι τῆς ἀμεθέκτου οὐσίας τοῦ Θεοῦ, διαφοράν πρός ταύτην ἔχουσαι, εἰ καί ἀχώριστοι αὐτῆς εἰσι; Πρῶτον μέν γάρ ἐκείνη ἕν, αἱ δέ ἐλλάμψεις

αὗται πλείους, ἀναλόγως καί τοῖς μετέχουσιν οἰκείως ἐνιέμενοι καί τῇ διαφόρῳ τούτων δεκτικῇ (σελ. 672) δυνάμει πληθυνόμεναι˙ καί γάρ οὕτω καί «Πνεύματος ἁγίου μερισμοί», κατά τόν Παῦλον. Ἔπειτ᾿ ἐκείνη μέν ὑπερούσιος οὐσία, ταύτης δ᾿ εἶναι τάς ἐλλαμψεις ταύτας ἐνεργείας ἤ ἐνέργειαν οὐδένα οἶμαι ἀντερεῖν, ἀλλ᾿ οὐδ᾿ ὅτι μεθεκταί εἰσιν, ἐκείνης οὔσης ἀμεθέκτου.

Καί μήν πᾶσα ἕνωσις δι᾿ ἐπαφῆς αἰσθητῆς μέν ἐπί τῶν αἰσθητῶν, νοερᾶς δ᾿ ἐπί τῶν νοερῶν˙ ἐπεί δ᾿ ἕνωσίς ἐστι τῶν ἐλλάμψεων ἐκείνων, καί ἐπαφή ἄρα, δηλονότι νοερά, μᾶλλον δέ πνευματική. Ἡ δέ οὐσία τοῦ Θεοῦ ἀνέπαφος καθ᾿ ἑαυτήν. Ἔτι ἡ πρός τάς ἐλλάμψεις ἕνωσις, τί γε ἄλλο ἤ ὅρασίς ἐστιν; Ὁραταί ἄρ᾿ εἰσίν ἐκεῖναι αἱ ἐλλάμψεις τοῖς ἠξιωμένοις˙ ἡ δέ οὐσία τοῦ Θεοῦ ἀόρατός ἐστι παντάπασι˙ καί μέν δή αἱ ἄναρχοι καί ἀτελεύτητοι ἐλλάμψεις φῶς εἰσιν ἄναρχον καί ἀτελεύτητον. Ἔστιν ἄρα φῶς ἀΐδιον ἄλλο παρά τήν οὐσίαν τοῦ Θεοῦ, οὐχί οὐσία καί αὐτό ὑπάρχον, ἄπαγε, ἀλλ᾿ ἐνέργεια τῆς ὑπερουσιότητος ἐκείνης. Ἐπεί δ᾿ ἄναρχόν ἐστι καί ἀτελεύτητον τουτί τό φῶς, οὔτε αἰσθητόν ἐστιν οὔτε νοητόν κυρίως, ἀλλά πνευματικόν καί θεϊκόν, τῶν κτιστῶν πάντων ὑπεροχικῶς ἐξῃρημένον˙ τό δέ μήτε αἰσθητόν μήτε νοητόν οὐδ᾿ αἰσθήσει ἤ αἰσθήσει ὑποπίπτει οὐδέ νοερᾷ δυνάμει καθ᾿ αὑτήν. Οὐκοῦν οὐ μόνον τό ὁρώμενον, ἀλλά καί ἡ ὁρῶσα δύναμις τό πνευματικόν ἐκεῖνο φῶς, οὔτ᾿ αἴσθησίς ἐστιν οὔτε νόησις, ἀλλά πνευματική τις δύναμις, τῶν κτιστῶν λογικαῖς καθαραῖς φύσεσιν ἐγγινομένη χάριτι.

Διά τοῦτο καί Γρηγόριος ὁ μέγας θεολόγος οὐ μόνον «θεωρούς δόξης ἀϊδίου» τούς ἀγαθούς ἀγγέλους εἴρηκεν, ἀλλά καί «ἀϊδίως», δεικνύς ὡς οὐ κτιστῇ, φυσικῇ καί νοερᾷ δυνάμει τήν ἀΐδιον δόξαν οἱ ἄγγελοι θεωροῦσι τοῦ Θεοῦ, ἀλλά δυνάμει ἀϊδίῳ, πνευματικῇ καί θεϊκῇ, «οὐχ ἵνα δοξασθῇ Θεός», φησίν, «οὐ γάρ ἐστιν ὅ προστεθήσεται τῷ πλήρει καί (σελ. 674) τοῖς ἄλλοις χορηγῷ τῶν καλῶν, ἀλλ᾿ ἵνα μή λείπῃ τό εὐεργετεῖσθαι καί ταῖς πρώταις μετά Θεόν φύσεσιν». Ὁρᾷς ὡς οὐκ ἀπό φύσεως ἔχουσι τήν ἀΐδιον δόξαν ἀϊδίως ὁρᾶν, ἀλλ᾿ ὑπό τῆς ἀϊδίου φύσεως εὐεργετούμενοι τήν δύναμιν ταύτην καί τήν θεωρίαν προσλαμβάνονται, καθάπερ καί οἱ ἅγιοι; «Τό γάρ κινηθέν ὑπό Πνεύματος ἁγίου κίνησιν ἀΐδιον, ζῶον ἅγιον ἐγένετο» κατά τόν μέγαν Βασίλειον˙ «ἔσχε δέ ἄνθρωπος, πνεύματος εἰσοικισθέντος ἐν αὐτῷ, ἀξίαν προφήτου, ἀποστόλου, ἀγγέλου, Θεοῦ, ὤν πρότερον “γῆ καί σποδός”. Τοιαύτης δέ δυνάμεως οἱ νόες εὐμοιροῦντες, αὐτοί

λέγονται ὁρᾶν, οὕτω κατά νοῦν καί ὑπέρ νοῦν ἐστι τό φῶς ἐκεῖνο˙ ἀλλά καί ἑαυτούς λέγονται ὁρᾶν, αὐτοπτικόν γάρ ἐκεῖνό ἐστι τό φῶς, ἐπεί γνωστικῇ κτιστῇ δυνάμει ἄληπτον, ὁρατόν δέ τοῖς ἀξίοις.

Διά τοῦτο ὁ μέγας Διονύσιος «κυκλικῶς εἶπε κινεῖσθαι τούς νόας, ἑνουμένους ταῖς ἀνάρχοις καί ἀτελευτήτοις ἐλλάμψεσιν. Ἐπιστῆσαι δέ καί τοῦτο χρή, ὡς οὐχ ἁπλῶς ὁ πάνθ᾽ ὑπέρ ἅπαντας ἠκριβωμένος οὗτος κυκλικῶς τούς νόας εἴρηκε κινεῖσθαι ταῖς ἀνάρχοις ἑνουμένους ἐλλάμψεσιν, ἀλλά "λέγεσθαι" κινεῖσθαι, ὑποσημαίνων, ὡς ἐγᾦμαι, τό μή φυσικήν αὐτοῖς εἶναι τήν τοιαύτην ἕνωσιν, εἰ καί διά τό μολυσμοῦ πεῖραν οὐδέποτε λαβεῖν συγκεκληρωμένοι τυγχάνουσιν ἐξ ἀρχῆς τῇ χάριτι. Ὅτι δέ τό τοιοῦτο φῶς καί ἡ ὁρῶσα τοῦτο δύναμις οὐ φυσικῶς τοῖς ὑπερκοσμίοις ἔννεστιν ἀγγέλοις καί παρά τοῦ ἐχθίστου τούτοις ἔνι μαρτυρίαν αὖθις ἀξιοπιστοτέραν, ὅ φασι παρίσασθαι˙ τό γάρ ἔκπτωσιν ἐκείνων καί δαιμόνιον φῦλον τοῦ μέν φωτός καί τῆς ὁρώσης τοῦτο δυνάμεως ἐστέρηται, οὐδενός δέ τῶν φυσικῶν οὐκ ἄρα φυσικόν οὔτε τό φῶς οὔτε ἡ ὅρασις ἐκείνη. Καί μήν οὐδέ νοήσεως ἐστέρηται τό δαιμόνιον φῦλον˙ νόες γάρ εἰσι καί τό εἶναι οὐκ ἀποβεβλήκασι καί, «οἶδά σε τίς εἶ», φασίν, (σελ. 676) «ὁ ἅγιος τοῦ Θεοῦ», ὅς «καί οὐκ ἠφίει τά δαιμόνια λαλεῖν, ὅτι ᾔδεισαν τόν Χριστόν αὐτόν εἶναι». Διό καί ὁ θεολόγος εἶπεν˙ «ἀπιστεῖς τῇ θεότητι; τοῦτο οὐδέ οἱ δαίμονες». Εἰ δέ θεότητα ἴσασι, καί τοῦτ᾽ εἰδέναι αὐτούς ἀνάγκη, ὅτι τῶν κτιστῶν οὐδέν ἐστιν ἐκείνη.

Οὐκ ἄρα γνῶσίς ἐστι τό φῶς ἐκεῖνο, οὔτε ἡ διά καταφάσεων οὔτε ἡ δι᾽ ἀποφάσεως προσγενομένη. Καί μέν δή νοῦς μέν ἐστι τῶν πονηρῶν ἕκαστος ἀγγέλων, ἀλλ᾽ "ἀσσύριος", προφητικῶς εἰπεῖν, κακῶς χρώμενος τῇ γνώσει˙ τῷ δέ φωτί ἐκείνῳ χρῆσθαί τιναν κακῶς οὐκ ἔνι˙ πρός γάρ τά χείρω νεύσαντος εὐθύς ἀφίπταται, καταλιπών ἔρημον Θεοῦ τόν πονηρᾷ χρησάμενον συγκαταθέσει. Τοιγαροῦν τό φῶς ἐκεῖνο καί ἡ ἔλλαμψις νόησις οὐκ ἔστιν, εἰ μή ὁμωνύμως λέγοιτο, μάλιστα διά τόν εὐμοιροῦντα νοῦν, ὥσπερ καί θεότης διά τόν ἐνεργοῦντα τήν ἀπόρρητον χάριν˙ θεοποιός γάρ ἐστιν ἐνέργεια, τοῦ ἐνεργοῦντος Πνεύματος ἥκιστα χωριζομένη, ἠργμένου μέν τοῦ διά καθαρότητα πεφωτισμένου καί κατ᾽ αὐτό τό πεφωτίσθαι, διό καί καθαρότης τοῦτο παρά τῶν πατέρων ὀνομάζεται, τοῦ δέ φωτός καί τῆς ἐλλάμψεως ἀνάρχου οὔσης. Καί τοῦτο δείκνυται μᾶλλον ἐπί τῶν ἀνθρώπων, δηλαδή τῶν ἀγγελικῶς πεφωτισμένων ἐπιτυχόντων τῆς θεώσεως, οἵ κατά τόν πολύν τά θεῖα Μάξιμον «τῆς ἀφανοῦς καί

ὑπεραρρήτου δόξης τό φῶς ἐποπτεύοντες, τῆς μακαρίας μετά τῶν ἄνω δυνάμεων καί αὐτοί δεκτικοί γίνονται καθαρότητος».

Εἰ δέ καί τήν αἰτίαν, ἐξετάσομεν, δι᾿ ἥν ὁ καινοφανής οὗτος τήν θεοποιόν δωρεάν τοῦ Πνεύματος, μᾶλλον δέ πάσας τάς δυνάμεις τοῦ Θεοῦ, κτιστάς εἶναι κατεσκεύασε, μετά τήν πονηράν ἐκείνην τῶν αἱρέσεων πηγήν, ἥν ἀνωτέρω ἀπηλέγξαμεν, οὐδεμίαν εὑρήσομεν ἑτέραν ἤ ὅτι τόν Θεόν ὑποστῆσαι ταύτας ὁ μέγας ἔφη Διονύσιος, τοῦτο δέ ὕπαρξιν δηλοῖ μόνον, ἀλλ᾿ οὐχί καί τόν τρόπον τῆς ὑπάρξεως˙ τοιγαροῦν καί ἐπί τῶν κτιστῶς ὄντων καί ἐπί τῶν ἀκτίστως ὄντων (σελ. 678) ἐκ Θεοῦ ρηθείη ἄν. Ὁ γάρ μέγας Βασίλειος ἐπί τε τοῦ Υἱοῦ ἐχρήσατο τῇ λέξει ταύτῃ εἰπών, «ὁ γάρ τετοκώς βώλους δρόσου οὐχ ὁμοίως τάς τε βώλους καί τόν Υἱόν ὑπεστήσατο;», κἀπί τοῦ ἁγίου Πνεύματος, «Πνεῦμα» γάρ, φησί, «στόματος Θεοῦ, ἵνα μή τῶν ἔξωθέν τι καί τῶν κτισμάτων αὐτό κρίνῃς, ἀλλ᾿ ὡς ἐκ Θεοῦ τήν ὑπόστασιν ἔχον δοξάζῃς»˙ καί πάλιν, «τοῦτο τῆς κατά τήν ὑπόστασιν ἰδιότητος σημεῖον ἔχει, τό διά τοῦ Υἱοῦ γνωρίζεσθαι καί ἐκ τοῦ Πατρός ὑφεστάναι». Πολλαχοῦ δέ καί Γρηγόριος ὁ θεολόγος ὑπόστασιν ὀνομάζει τήν τοῦ Υἱοῦ προαιώνιον γέννησιν. Σύ τοίνυν τάχ᾿ ἄν ἡμῖν διά τά τοιαῦτα προσρήματα καί τόν Υἱόν ἤ καί τό Πνεῦμα τό ἅγιον ἀποδείξῃς κτίσμα, ὁ δι᾿ οὐδέν ἕτερον τάς θείας δυνάμεις κτιστάς εἶναι ἀποφαινόμενος ἤ ὅτι καί τούτων ὑποστάτις ἐστίν ἡ πάντων αἰτία. Καί οὐδέ τοῦτο συνεώρακας ὡς ἐκεῖ ταύτας τάς δυνάμεις καθ᾿ ὑπεροχήν μή οὔσας ἔδειξεν ὁ μέγας Διονύσιος˙ εἰπών γάρ, «τάς ἐκδιδομένας ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προνοητικάς δυνάμεις», ἐπήγαγεν, «ὧν τά ὄντα μετέχοντα καί ὄντα λέγεται», πάντως ὡς τῶν δυνάμεων ἐκείνων οὐσῶν ὑπέρ τά ὄντα. Καί μήν ὁ σοφός τά θεῖα Μάξιμος ἠργμένα λέγων τά μετέχοντα, οὐκ ἠργμένα φησί τά μεθεκτά.

Τάς γοῦν ἐκ τῆς ὑπερουσίου κρυφιότητος προϊούσας δυνάμεις ἐκθεωτικάς ἤ οὐσιοποιούς ἤ σοφοδώρους τῶν μετεχόντων εἶναι νομίζεις ἤ τῶν μεθεκτῶν; Ἀλλ᾿ εἰ τῶν μετεχόντων, δεήσει δυνάμεις ὁμοίας ζητεῖν ἑτέρας, ὧν μεθέξουσιν. Ὁρᾷς ὡς αἱ δυνάμεις ἐξ ἀνάγκης τῶν μεθεκτῶν, ἀλλ᾿ οὐ τῶν μετεχόντων εἰσί; Πρός δέ, εἴπερ ἡ ἐκθεωτική δύναμις ἑτέρας ἐκθεωτικῆς δεῖται, καί γάρ οὕτω μετέχον, ἀλλ᾿ οὐ μεθεκτόν ἄν εἴη, κἀκείνη δεήσει ἄλλης καί ταύτῃ πάλιν (σελ. 680) ἑτέρας καί τοῦτο ἐπ᾿ ἄπειρον. Ἡ ἐκθεωτική ἄρα δύναμις μεθεκτόν, ἀλλ᾿ οὐ μετέχον ἐστίν. Ἔτι, ἐπειδήπερ εἰσί τά μετέχοντα Θεοῦ, ἤ τῆς οὐσίας αὐτοῦ μεθέξουσιν ἤ τῆς δυνάμεως ἤ τῆς ἐνεργείας.

Ἀλλά τῆς δυνάμεως καί ἐνεργείας οὐ μεθέξουσι˙ μετέχοντα γάρ καί ταῦτά εἰσι καί κτιστά κατά τήν σήν σοφίαν˙ οὐκοῦν τῆς οὐσίας τοῦ Θεοῦ μεθέξουσιν, ὅπερ ἄτοπόν ἐστι. Προσέτι καί αὗται αἱ δυνάμεις, εἰ μή τῶν μεθεκτῶν, ἀλλά τῶν μετεχόντων εἶεν, τίνος γε ἄλλου μεθέξουσιν ἤ τῆς ὑπερουσίου οὐσίας τοῦ Θεοῦ; Οὐ γάρ δυνάμεων ἑτέρων πάλιν ὁμοίων. Δύο τοίνυν τά ἄτοπα συμβήσεται˙ τό τε μεθεκτήν εἶναι τήν οὐσίαν τοῦ Θεοῦ καί τό τάς δυνάμεις οὐσίας γεγενῆσθαι καί οὐχ ἁπλῶς οὐσίας, ἀλλ᾿ οὐσίας Θεοῦ˙ ἡ μέν γάρ δύναμις πρόεισιν εἰς ἐνέργειαν καί ἐκ τῆς ἐνεργείας τό ἀποτέλεσμα γίνεται˙ ἡ δέ οὐσία τοῦτ᾿ αὐτό ἐστι μετεχομένη καί τῆς αὐτῆς οὐσίας κατά μετοχήν ποιεῖται τά μετέχοντα. Ὁρᾷς τήν ἀτοπίαν ὅσην, καί ὡς ὁ λέγων τῶν μετεχόντων εἶναι τάς δυνάμεις καί κτιστάς, καθάπερ οὗτος, ὄντως πολύθεός ἐστιν, οὐχί μίαν εἶναι δεικνύς τήν οὐσίαν τοῦ Θεοῦ, ἀλλά πολλάς καί διαφόρους;

Ἡμεῖς οὖν οἱ Θεόν ἕνα προσκυνοῦντες παντοδύναμον, τῶν μεθεκτῶν εἶναι τάς δυνάμεις ἴσμεν τοῦ Θεοῦ, συμφώνως τοῖς ἁγίοις, καί οὐδέποτε ἠργμένας πάσας, οὐχ ὡς ἐνεργεῖν ἀλλ᾿ ὡς ὑπάρχειν, εἰ καί μή καθ᾿ ἑαυτάς˙ μεθεκτάς μέν γάρ, ὡς ἐν Θεῷ προϋπαρχούσας, ὁ μέγας ἔφη Διονύσιος, τά δέ μεθεκτά οὐδέποτε ἤρξατο, κατά τόν θεῖον Μάξιμον, τοῦ εἶναι, οὐδ᾿ ἔστι «πρεσβύτερον αὐτῶν τό “οὐκ ἦν”», ἀλλ᾿ ἀεί εἰσιν ἐκ τοῦ ἀεί ὄντος Θεοῦ, περί αὐτόν ἀχωρίστως ἀεί ὄντα καί ἐν αὐτῷ ἐνυπάρχοντα συναϊδίως. Οὐ γάρ δή φοβηθησόμεθά σου τά τῆς ματαιοτεχνίας σοφίσματα καί τάς διθεΐας καί πολυθεΐας καί τούς συνθέτους θεούς, ἅ σύ καθάπερ τινά μορμολύκια καθ᾿ ἡμῶν καί τῶν ἁγίων προβάλλῃ, δεδιττόμενος μή τούς ἐν ἡλικίᾳ, εὖ ἴσθι, ἀλλά τά νήπια, καί δι᾿ ὧν (σελ. 682) ἅ σύ πάσχεις ἡμῶν καταψεύδῃ τοῖς σεαυτοῦ λόγοις ὡς πολλάκις δείκνυται περιτρεπόμενος καί σαυτῷ συγκατασπάσαι τούς ἄλλους, φεῦ, ἐπιχειρῶν, ὡς τῶν ὀρθῶν δογμάτων συναπαγάγοις δολίως, περιβάλλων τοῖς ἐκ τῶν λόγων τεχνάσμασιν.

«Ἧ μέν γάρ», φησίν, «ἀΐδια καί ἄκτιστα πολλά φατε, ὑφειμένα τε καί τό τούτων ὑπερκείμενον, πολλούς λέγετε θεούς, ᾗ δέ μή διῃρημένως ὑπό τοῦ Θεοῦ ὑφεστηκότα καί τοῦ αὐτοῦ Θεοῦ τό μέν δόξαν ὁρατήν, τό δέ οὐσίαν ἀόρατον, ὡς ἔχοντος ἀϊδίως καί ἀμφότερα, τούς δύο Θεούς εἰς ἕνα συνάγετε σύνθετον Θεόν». Πρός τίνα οἱ τοιοῦτοι λόγοι καί ἡ ἄσχετος καταφορά καί τά ἀπηγορευμένα ταῦτα ἐκγλήματα, μᾶλλον δέ ληρήματα; Ἦ πᾶσι δῆλον, κἄν ἡμεῖς μή

λέγωμεν; Ἀκηκόατε γάρ τῶν εἰρηκότων ἁγίων τά μεθεκτά πολλά τε καί πάντα ἄναρχα καί τόν Θεόν ἀπειράκις ἀπείρως ὑπεξῃρημένον τούτων καί τούς εἰπόντας τήν θεωρητικήν δόξαν τοῦ Θεοῦ ἀΐδιον καί συναΐδιον αὐτῷ. Δῶμεν δ᾽ ὅμως ἡμεῖς διά βραχέων λόγον ὅπως ταῦτα λέγεται· καί γάρ καί ἡμεῖς συνάδομεν ἐκείνοις.

Ἡμεῖς, ὦ βέλτιστε, ταῦτα πάντα ἔχειν τόν Θεόν φαμεν, μᾶλλον δέ, ἵνα κατά τόν μέγαν Διονύσιον εἴπωμεν, προέχειν καί ὑπερέχειν ἀσχέτως καί συνειλημμένως καί ἑνιαίως, ὡς ἡ ψυχή ἔχει μονοειδῶς ἐν ἑαυτῇ πάσας τάς προνοητικάς τοῦ σώματος δυνάμεις. Ὡς οὖν ἡ ψυχή καί τῶν ὀφθαλμῶν ἐκκεκομμένων ἤ τῶν ὤτων ἐκκεκωφημένων ἐν ἑαυτῇ ἔχει κατ᾽ οὐδέν ἧττον τάς προνοητικάς τοῦ σώματος δυνάμεις, οὕτω καί τοῦ κόσμου μήπω ὄντος τάς προνοητικάς τοῦ κόσμου δυνάμεις εἶχεν ὁ Θεός· καί ὡς ἡ ψυχή οὐκ ἔστιν ἁπλῶς αἱ προνοητικαί δυνάμεις, ἀλλά δυνάμεις ἔχει, οὕτω δή καί ὁ Θεός· καί ὡς ἡ ψυχή μία καί ἁπλῆ καί ἀνύνθετός ἐστι, μηδαμῶς διά τάς ἐν αὐτῇ καί ἐξ αὐτῆς δυνάμεις πολλαπλασιαζομένη (σελ. 684) ἤ συντιθεμένη, οὕτω καί ὁ Θεός, οὐ πολυδύναμος μόνον ἀλλά καί παντοδύναμος ὑπάρχων, διά τάς ἐν αὐτῷ δυνάμεις τοῦ ἑνιαίου καί τῆς ἁπλότητος οὐκ ἐκχωρεῖ. Πολλά δ᾽ ἄν τῆς ψυχῆς καί ἔργα καί σεαυτόν ἐξετάζων καταμάθοις, ἅ καί σώματος διεζευγμένη ἔχει καί τῷ σώματι τούτων μεταδίδωσι συνεζευγμένη. Οὐ μήν ἀλλά τήν αὐτοζωήν καί αὐτοθέωσιν καί τά τοιαῦτα τῶν ὄντων ἀρχάς καί παραδείγματα λέγων ὁ μέγας Διονύσιος, οὐ προέχειν τόν Θεόν αὐτά φησι. Πῶς οὖν ἅ προέχει ὁ Θεός ἀρκτά; Εἰ δέ καί ὡς δωρεάς προβάλλεται, πῶς δωρεῖται τά αὐτά ταῦτα ὁ αὐτός φησι, πῶς οἱ προορισμοί καί τά θεῖα θελήματα οὐκ ἄναρχα καί ἄκτιστά ἐστι; Πῶς οὖν ὁμολογουμένως «ἕν μόνον ἄναρχον, ἡ οὐσία τοῦ Θεοῦ, τά δέ παρά ταύτην γενητῆς ἐστι φύσεως καί ἀρχήν ἔσχε χρονικήν»; Τίς ποτε τοῦτο τῶν ἁγίων εἶπεν; εἰ δέ μηδείς, πῶς ὁμολογεῖται;

Συνείρει δέ τούτῳ καί ἕτερον τῶν ὡσαύτως ὁμολογουμένων, «μηδεμίαν ἄλλην εἶναι ὀντότητα μεταξύ τῆς οὐσίας τοῦ Θεοῦ καί τῶν γενητῶν». Εἰ μέν οὖν οὐσίαν κανταῦθα λέγει τήν δύναμιν τοῦ Θεοῦ τήν μεθεκτήν καί οὐσιοποιόν, ἥν καί αὐτοουσίωσιν ὁ μέγας ὀνομάζει Διονύσιος, οὐκ ἔδει φάναι τῆς οὐσίας τοῦ Θεοῦ καί τῶν γενητῶν ἁπλῶς πάντων μηδέν εἶναι μεταξύ, ἀλλά τῶν γενητῶν μόνον οὐσιῶν, ἐπεί τῶν ζώντων ᾖ ζώντων, αἰσθητικῶς ἤ λογικῶς ἤ νοερῶς, οὐχ ἡ οὐσιοποιός τοῦ Θεοῦ δύναμις ποιητική ἀλλ᾽ ἡ ζωοποιός, καί τῶν

σοφιζομένων ἡ σοφοποιός, καί τῶν θεουμένων ἡ θεοποιός, ἀφ᾽ ὧν καί Θεόν καί σοφίαν καί ζωήν, ἀλλ᾽ οὐκ οὐσίαν μόνον νοοῦμέν τε κάι ὀνομάζομεν τήν ὑπερούσιον καί ἑνιαίαν κρυφιότητα ἐκείνην. Εἰ δ᾽ ἐκείνην αὐτήν τήν ὑπερούσιον, κἀνταῦθα καί ἀμέθεκτον, κρυφιότητά φησι, τήν ἐν ἀποκρύφοις ὑπερανιδρυμένην˙ (ἥν καί ἀνωτέρω μόνην ἄναρχον εἶναι ἰσχυρίζετο, περιελών αὐτῆς κακῶς τάς συναϊδίους (σελ. 686) αὐτῆς δυνάμεις τε καί ἐνεργείας, μᾶλλον δέ τά θεοπρεπέστατα ἐκεῖνα ἔργα, τά μηδέποτε ἠργμένα), εἰ τοίνυν ταύτην λέγει, καί ταύτης καί τῶν γενητῶν μηδεμίαν ἄλλην εἶναι μεταξύ ὀντότητα φησιν, αὐτήν λοιπόν φησι τήν ὑπερούσιον οὐσίαν τοῦ Θεοῦ ὀντότητα τῶν γενητῶν ὡς μεθεκτήν ὑπάρχειν˙ τοῦτο δέ αὐτό καταφανές καί διά τοῦ μηδεμίαν ἄλλην φάναι πεποίηκεν˙ εἰ γάρ μή ἄλλη, αὐτή ἐξ ἀνάγκης. Μεθέξουσιν ἄρα τά γενητά πάντα τῆς ἀμεθέκτου οὐσίας τοῦ Θεοῦ. Πῶς γάρ οὐ μεθέξει τῆς ὀντότητος ἕκαστον τῶν γενητῶν; Πῶς δέ ἔσται ἤ αἰών ἤ χρόνος ἤ τόπος καί τά ἐν αὐτοῖς, εἰ μή τοῦ εἶναι, ταὐτόν δέ εἰπεῖν ὀντότητος, μετέχει; Μεθέξει τοίνυν εἴπερ ἔσται τούτων ἕκαστον, ὅσα τε οὐσίαι εἰσί καί ὅσα μή, τῆς οὐσίας τοῦ Θεοῦ˙ οὐκ ἄλλη γάρ, ἀλλ᾽ αὕτη μόνη κατά σέ τῶν γενητῶν ἐστιν ὀντότης˙ καί τό πάντων ἀτοπώτατον, ὅτι οὐδέ οὐσίαι ἔσονται τά οὐσίας μετέχοντα, καί ταῦτα θείας.

Εἰ δέ καί ἀρχή ἐστι τῶν ὁπωσδήποτε ὄντων ἡ ὀντότης, πῶς οὐχί καί ὑπερ αὐτήν ἐστιν ὁ ὑπεράρχιος; Εἰ δ᾽ ἀρχή τῶν ἐξ αὐτῆς ἐξ ἀνάγκης ὑπερέχει, πῶς οὐχ ὑπέρ τά ὄντα ἡ ὀντότης; Εἰ δ᾽ αὕτη μέν ὑπέρ τά μετέχοντα, ὁ δ᾽ ὑπεράρχιος ὑπέρ αὐτήν, πῶς οὐ μεταξύ τῶν μετεχόντων καί τῆς ἀμεθέκτου ὑπερουσιότητος ἡ μεθεκτή ὀντότης; Καί μήν αἱ τοιαῦται ἅπασαι ἀρχαί οὐδέν ἕτερόν εἰσιν ἤ οἱ λόγοι τῶν ὄντων καί τά παραδείγματα, μεθεκτοί μέν τοῖς οὖσιν, ἐξῃρημένοι δέ τῶν ὄντων, ὡς τῷ δημιουργικῷ νῷ ἐνυπάρχοντες καί προϋπάρχοντες, καθ᾽ οὕς γέγονε τά πάντα. Πῶς οὖν οὐκ εἰσίν οὗτοι μεταξύ τοῦ ἀμεθέκτου καί τῶν μετεχόντων; Οὐ μήν ἀλλ᾽ ἐπειδήπερ εἰσί τά μετέχοντα Θεοῦ, ἡ δέ ὑπερούσιος οὐσία τοῦ Θεοῦ παντάπασιν ἀμέθεκτος, ἔστιν ἄρα τι μεταξύ τῆς ἀμεθέκτου οὐσίας καί τῶν μετεχόντων, δι᾽ οὗ ταῦτα τοῦ Θεοῦ μετέχουσιν. Ἄν δέ οὐ ἀνέλῃς τό μεταξύ τοῦ ἀμεθέκτου καί τῶν μετεχόντων, ὤ τῆς ζημίας, διέστησας ἡμᾶς Θεοῦ, τό συνδοῦν ἐκ μέσον ποιησάμενος καί χάσμα καί (σελ. 688) ἀδιάβατον μεταξύ θέμενος ἐκείνου καί τῆς γενέσεως καί διοικήσεως τῶν γενητῶν. Δεῖ δή ζητεῖν ἡμᾶς Θεόν ἕτερον οὐκ ὄντα

μόνον αὐτοτελῆ, αὐτενέργητον, αὐτόν ἑαυτόν δι᾽ ἑαυτοῦ θεώμενον, ἀλλά καί ἀγαθόν, οὕτω γάρ οὐκ ἀρκεσθήσεται κινεῖσθαι μόνον τῇ ἑαυτοῦ θεωρίᾳ˙ μήδ᾽ ἀνενδεῆ μόνον, ἀλλά καί ὑπερπληρέστατον, οὕτω γάρ βουλόμενος ὡς ἀγαθός τοῦ εὖ ποιεῖν οὐκ ἀδυνάτως ἕξει˙ μηδ᾽ ἀκίνητον μόνον ἀλλά καί κινούμενον, οὕτω γάρ ἅπασι παρέσται ταῖς δημιουργικαῖς καί προνοητικαῖς προόδοις τε καί ἐνεργείαις. Καί ἁπλῶς δεῖ ζητεῖν ἡμᾶς Θεόν ὄντα πως μεθεκτόν, οὗ μετέχοντες ἕκαστος οἰκείως ἑαυτοῦ κατά τήν τῆς μεθέξεως ἀναλογίαν ὄντες καί ζῶντες καί ἔνθεοι ἐσόμεθα.

Ἔστιν ἄρα τι μεταξύ τῶν γενητῶν καί τῆς ἀμεθέκτου ὑπερουσιότητος ἐκείνης, οὐχ ἕν μόνον, ἀλλά καί πολλά καί τοσαῦτα, ὁπόσα δή καί τά μετέχοντα. Ταῦτα δ᾽ οὐ καθ᾽ ἑαυτά, τά μέσα ἐκεῖνα δηλαδή˙ δυνάμεις γάρ εἰσι τῆς ὑπερουσιότητος ἐκείνης, μοναχῶς καί ἑνιαίως προειληφυίας καί συνειληφυίας τήν τῶν μεθεκτῶν ἅπασαν πληθύν, δι᾽ ἥν κατά τάς προόδους πολυπλασιαζομένη καί μετεχομένη παρά πάντων ἀν ἐκφοιτήτως ἔχεται τοῦ ἀμεθέκτου καί ἑνός. Εἰ γάρ καί τό τοῦ κύκλου κέντρον, ἔχον τήν τοῦ ἀφιέναι παρ᾽ ἑαυτοῦ πάσας τάς τοῦ κύκλου γραμμάς δύναμιν ἐν ἑαυτῷ, οὐ δύο ἤ πολλά ἐστι σημεῖα, πολλῷ μᾶλλον ὁ Θεός πᾶσαν διπλόην ἀπαναίνεται, τάς δυνάμεις ἐν ἑαυτῷ καί τά παραδείγματα τῶν γενητῶν προέχων. Ὑπάρχουσιν οὖν αἱ τοιαῦται δυνάμεις καί τά παραδείγματα καί προϋπάρχουσιν, ἀλλ᾽ οὐχ ὡς οὐσίαι οὐδ᾽ ὡς αὐθυπόστατα, οὐδέ τι ταῦτα συντελοῦσιν εἰς τό εἶναι τόν Θεόν˙ ὑποστάτης γάρ ἐστιν αὐτῶν, ἀλλ᾽ οὐχ ὑπό τούτων ὑφέστηκεν αὐτός˙ οὐ γάρ τά περί Θεόν ἐστιν οὐσία τοῦ Θεοῦ, ἀλλ᾽ αὐτός ἐστιν οὐσία τῶν περί αὐτόν. Ἡ μέν ἔστιν αὐτός ὑπερούσιος οὐσία, ἄρρητός τε καί ἀπερινόητος, ἄσχετός τε καί (σελ. 690) ἀμέθεκτος, ᾗ δέ ἐστιν οὐσία τῶν ὄντων καί ζωή τῶν ζώντων καί σοφία τῶν σοφιζομένων καί ἁπλῶς πάντων τῶν ὁπωσοῦν ὄντων ὀντότης καί δύναμις καλλοποιός, καί νοεῖται καί λέγεται καί μετέχεται παρά τῶν γενητῶν. Εἰ γάρ κατά τόν μέγαν Διονύσιον «οὐ δι᾽ ἀγνωσίας μόνον, ἀλλά καί διά γνώσεως ὁ Θεός γινώσκεται καί ἔστιν αὐτοῦ καί νόησις καί λόγος καί ἐπιστήμη καί ἐπαφή καί αἴσθησις καί δόξα καί φαντασία καί ὄνομα καί τἄλλα πάντα», τοιγαροῦν καί μέθεξίς ἐστιν αὐτοῦ, τοῦτο μέν διά τό νόησιν αὐτοῦ ὑπάρχειν καί αἴσθησιν καί ἐπαφήν, τοῦτο δέ διά τόν ὕστερον ἐπενηνεγμένον συμπεριληπτικώτατον λόγον. Ἀμέθεκτος ἄρα καί μεθεκτός ὑπάρχει ὁ αὐτός Θεός, ἐκεῖνο μέν ὡς ὑπερούσιος, τοῦτο δέ

ὡς οὐσιοποιόν ἔχων δύναμίν τε καί ἐνέργειαν παραδειγματικήν καί τελικήν τῶν πάντων.

Ἀλλά γάρ τά τοιαῦτα παραδείγματα Πυθαγόρας μέν καί Πλάτων καί Σωκράτης ταπεινῶς καί ἀναξίως τοῦ Θεοῦ αὐθυπάρκτους ἐδόξασαν ἀρχάς συναιτίους τῷ Θεῷ. Τούτους οὖν αἰτιατέον ὡς πολυθέους, οἵτινες μεταξύ τῆς ὑπερουσιότητος ἐκείνης καί τῶν γενητῶν θείας οὐσίας ἑτέρας ἀρχικάς τῶν ὄντων αὐτοσχεδιάσαντες παρ᾽ ἑαυτῶν ὑπέστησαν, «ἅς οὔτε αὐτοί ᾔδεισαν» κατά τό λόγιον «οὔτε οἱ πατέρες αὐτῶν». Ἡμεῖς δέ καί οἱ πατέρες ἡμῶν οὐδέν τούτων αὐθύπαρκτον δοξάζομεν, οὐδ᾽ ἀναίτιον οὐδέ συναίτιον Θεῷ, διό καί προορισμούς καί προγνώσεις ταῦτά φαμεν καί θελήματα Θεοῦ, ὄντα μέν πρό τῶν κτισμάτων ἐν αὐτῷ - πῶς γάρ οὔ; - προηγμένων δ᾽ ὕστερον τῶν κτισμάτων κατ᾽ αὐτά. «Εἶπε» γάρ, φησί, «οὐκ ἐγένετο καί τό ἐννόημα ἔργον ἦν καί πάντα ὅσα ἠθέλησεν ἐποίησεν». Εἰ γοῦν καί μή πολλάς φαμεν ὑπερουσίως ἀρχικάς τε καί ποιητικάς τῶν γεγονότων οὐσίας, ἀλλ᾽ ἕν πᾶσαν διπλόην ἀπαναινόμενον καί κατά μίαν ἑνοειδῆ καί ὑπερηνωμένην ἁπλότητα τά πολυειδῆ καί μερικά προάγον, ἀλλά παντοδύναμον τοῦτ᾽ ἴσμεν καί συνεκτικόν ἁπάντων, ὡς ἐν ἑαυτῷ (σελ. 692) τά πάντα ἔχον καί πρό κτίσεως.» Εἰ γάρ ὁ ἥλιος», κατά τόν μέγα Διονύσιον φάναι, «τάς τῶν πολλῶν μετοχῶν αἰτίας ἐν ἑαυτῷ μονοειδῶς προείληφε, πολλῷ μᾶλλον ἐπί τῆς αὐτοῦ καί πάντων αἰτίας προϋφεστάναι τά πάντων τῶν ὄντων παραδείγματα κατά μίαν ὑπερούσιον ἕνωσιν συγχωρητέον».

Ἔστι οὖν καί ἀεί ἐστι καί κυρίως ἐστί προορισμός καί πρόγνωσις καί πρόνοια καί τά τοιαῦτα, καί ἀδιαιρέτως ἥνωνται τῷ Θεῷ καί τῆς ὑπερουσιότητος ἐκείνης ἕτερά ἐστι, καί ὑπέρ αὐτά ἐστιν ἐκείνη˙ πῶς γάρ οὔ; Τί οὖν; ἐπεί ταῦτα κατά τινα ὕπαρξίν ἐστιν ἀεί, ἔστι δέ καί ὁ Θεός ἀεί, δύο ἤ πολλοί ἔσονται θεοί; Διότι δ᾽ αὐτῷ ταῦτα ἥνωνται ἀδιαιρέτως, σύνθετος ἔσται ὁ Θεός ἡμῖν; Ὅτι δ᾽ αὖ κατ᾽ αὐτά γεγόναμεν, οὐ τοῦ Θεοῦ, ἀλλ᾽ ἑτέρων ποιήματά ἐσμεν; Ἦ που σύ καί τόν ἐπί γῆς ἐκ Θεοῦ ἡμῖν ἐπηργμένον βασιλέα δύο ποιήσεις βασιλέας καί ἐκ δύο βασιλειῶν σύνθετον ἀποδείξεις τό βασίλειον αὐτῷ καί ἄλλον δή τινα καί οὐκ αὐτόν ἐρεῖς τῶν ἀξιωμάτων πρύτανιν, ὅτι ὁρισμῷ καί θελήματι οἰκείῳ τά σχήματα ποιεῖται καί ὁ ὁρισμός αὐτῷ γίνεται σεπτόν ὄνομά τε καί ἀξίωμα ἑκάστῳ τῶν ἐν τέλει; Κἀνταῦθα γάρ μεταξύ τοῦ ἐπιτάττοντος καί τῶν ὑπακουόντων ἐξ ἀνάγκης τοὐπίταγμά ἐστιν. Ἀλλ᾽ οὐδέ τό δύνασθαί τις ἄν εἴποι μή προέχειν

ἡμῖν τόν βασιλέα, ἔστι δ᾿ ὅπη καί τό προειδέναι, εἰ καί μή ἐπί πᾶσι καί διά παντός. Ἆρα δέ καί τόν ὁρισμόν αὐτόν μετά τῆς συγκλήτου θήσομεν, ὅτι μή βασιλεία ἐστίν ὁ ὁρισμός, καθάπερ ἐκεῖ σύ τά μεθεκτά κτιστά, ὅτι μή ταῦτ᾿ ἐστίν ἡ οὐσία τοῦ Θεοῦ; Ἐκ τοιούτων ἀρχῶν καί οὕτως ὁμολογουμένων διθεΐτας καί πολυθεΐτας ἔδειξας τούς ὀρθοδόξους.

***ΚΑΤΑ ΤΩΝ ΔΕΥΤΕΡΩΝ Ο ΤΡΙΤΟΣ (Σελ. 694)***

***ΚΑΤΑΛΟΓΟΣ ΤΩΝ ΕΚΒΑΙΝΟΝΤΩΝ ΑΤΟΠΩΝ ΕΚ ΤΩΝ ΤΟΥ ΦΙΛΟΣΟΦΟΥ ΒΑΡΛΑΑΜ ΣΥΜΠΕΡΑΣΜΑΤΩΝ***

Ἅ μέν οὖν προσκρούει τῇ ἀληθείᾳ καί τῷ τῆς ἀληθείας Θεῷ διά τῶν αὐτῷ δοκούντων ἀνωμολογημένων ἀρχῶν καί προτάσεων, ἅς οὗτος κατ᾿ αὐτῆς τῆς ἀληθείας προὐβάλλετο, τοσαῦτά ἐστι καί τοιαῦτα καί εἰς τοῦθ᾿ ἥκοντα κακοδοξίας. Ἅ δ᾿ ἐξ ὧν οἴεται συμπεραίνειν, ἄκων μέν, ἑαυτοῦ δ᾿ ὅμως αὖθις τυγχάνει καταμαρτυρῶν (ἐκείνου γάρ οὐκ ἑκόντος εἶναι πρός τάς ἡμετέρας ἥκει χεῖρας τά ἐκείνου συγγράμματα καί τόν συγγραφέα σφῶν οἷα πονηρόν ὡσανεί προήγγειλεν)· ἅ τοίνυν αὖθις ἐκ τῶν μετά χεῖρας ἡμῖν αὐτοῦ συγγραμμάτων ἀναφαίνεται κακῶς φρονῶν, κατ᾿ οὐδέν ἀπάδει τῶν περί αὐτοῦ προειρημένων ἐκείνων. Ἔχει γάρ ὡς συνελόντα φάναι τοσαύτην κακονοίας ὑπερβολήν, ὡς τούς μέν προφήτας ὑπό δαιμόνων ἐνεργεῖσθαι δεικνύναι, τούς δέ κατά τό τοῦ Θεοῦ εὐαγγέλιον πολιτευσαμένους ἁγίους τοῖς αἱρετικοῖς συντετάχθαι, τήν δέ προφητῶν καί ἀποστόλων καί τῶν κατ᾿ αὐτούς ἀρετήν κακίαν εἶναι καί οὐκ ἀρετήν ἀποφαίνεσθαι. Ἆρά τις γέγονεν ἐξ αἰῶνος τοῦ τοιούτους συντιθέντος λόγους κακοδοξότερος; Ἆρά τις δυνήσεται νεμεσῆσαι τῷ πρός τόν τοιαῦτα συγγραφόμενον ἀντιλέγοντι; Ἆρά τινι μετά τῶν ἁγίων ἔσται μερίς τά τοιαῦτα συγγράμματα στέργοντι καί κατηγοροῦντι τῶν μή ταῦτα στεργόντων; Τί γάρ εἰ μή φανερῶς ἐστιν ἅ λέγει τούτων, ἀλλ᾿ ἐξ ὧν λέγει συνάγεται; Τοιαῦτα τά βαθέα τοῦ σατανᾶ, τά τοῦ πονηροῦ μυστήρια, ἅ τοῖς ὑπέχουσιν αὐτῷ τά ὦτα ψιθυρίζει, (σελ. 696) οὐ χαλῶν καί ὑπεκλύων τόν τόνον τῆς φωνῆς, ἀλλά τό βλαβερόν ὑποκρύπτων τοῦ νοήματος. Ἡμεῖς δ᾿ ὅπως ἕκαστον τῶν εἰρημένων κατασκευάσαι

πειρᾶται, διά βραχέων ἐνταῦθα φανερώσομεν, καί πρῶτον διά τίνων δαιμονιώδεις, φεῦ, τούς ἐνθέους προφήτας δείκνυσιν ὁ λόγος αὐτῷ.

Τάς ὁράσεις τούτων χείρους εἶναι νοήσεως κατασκευάζει καί ἀποφαίνεται ὡς φαντασίας οὔσας, εἰ καί αἰσθητάς, ἵνα τήν γνῶσιν ὑπερέχουσαν τούτων ἐπιδείξῃ˙ εἶτα προϊών αὐτός φησι πάλιν «ἐμπαθῆ τυγχάνειν ἤ δαιμονιώδη νοῦν, ὅς ἄν ἐνεργοίη κατά χείρω νοήσεως ἐνέργειαν». Ἐπεί τοίνυν οἱ προφῆται νῷ ἑώρων («οὐ γάρ αἰσθητή τις», φησίν ὁ μέγας Βασίλειος, «ἡ τῶν προφητῶν ὅρασις, ἀλλ᾽ ὑπό τοῦ νοῦ κατανοουμένη, τοῦ Θεοῦ φωτίζοντος αὐτόν»˙ καί πάλιν, «προεώρων οἱ προφῆται τά μέλλοντα, τυπούμενοι τῷ Πνεύματι τό ἡγεμονικόν»), εἰ γοῦν νῷ ἐν Πνεύματι ἑώρων οἱ προφῆται, «ἐνεργείᾳ δέ χείρονι νοήσεως», ὡς οὗτος εἶπεν, αὕτη δέ δαιμονιώδης, ὅταν μή περί χρήματα καί τάς κάτω ἡδονάς καί δόξας ἐνεργῇ, ἆρ᾽ οὐ κατά τόν τά τοιαῦτα λέγοντα δαιμονιώδης ἡ θεία ὅρασις ἐκείνη; Τί δέ τό θεῖον Πνεῦμα καί τό φῶς ἐκεῖνο, τό τήν ὅρασιν ταύτην ἐμποιοῦν; Ἀλλά τρέποιτο ἐπί τήν κεφαλήν τό τοιοῦτο βλάσφημον τοῦ τοιούτους λόγους συντιθέντος, μᾶλλον δέ καί τῆς αὐτοῦ κεφαλῆς διαπεσόν ὡς πορρωτάτω γένοιτο, πρός τό μή ὄν χωρῆσαν, μετάμελον λαβόντος καί μεταμαθόντος τήν ἀλήθειαν.

Πόθεν δή τῷ τηλικούτῳ βόθρῳ περιέπεσεν; ἔροιτό τις ἄν. Ἐπεί λόγῳ καί φιλοσοφίᾳ φυσικῇ τά ὑπέρ λόγον τε καί φύσιν ἐξερεύνησεν, ἀπειθήσας τοῖς πατράσι λέγουσιν, «οὐ δυνατόν ἑρμηνευθῆναι λόγῳ τόν τρόπον τῆς προφητικῆς ὄψεως, ἀλλ᾽ ἐκεῖνος μόνον οἶδε σαφῶς, ὁ τῇ πείρᾳ μαθών˙ εἰ γάρ φύσεως ἔργα καί πάθη πολλάκις οὐδείς ἄν παραστήσειε (σελ. 698) λόγος, πολλῷ μᾶλλον τῆς τοῦ Πνεύματος ἐνεργείας», ὅ καί τοῖς μετά Χριστόν ἁγίοις ἴδοι τις ἄν πολλαχοῦ μαρτυρούμενον. Τοῦτο τοίνυν τούτων οὕτω λεγόντων, αὐτός φησι Μασσαλιανούς εἶναι τούς πείρᾳ δεῖν γινώσκειν ἤ πείρᾳ ἐγνωκέναι τά τοιαῦτα λέγοντας. Οὐκοῦν αὐτός ὡς ἐκ γεωμετρικοῦ πορίσματος ἀναφαίνεται, πεῖραν μυστηρίου θείου ἤ Πνεύματος ἁγίου ἐνεργείας οὐδ᾽ ἡστινοσοῦν λαβών˙ οὐ γάρ ἄν Μασσαλιανόν ἑαυτόν ἀνεκήρυττεν. Εἰ γοῦν ὁ πεῖρᾳ μαθών μόνος οἶδε τάς ἐνεργείας τοῦ Πνεύματος, αὐτός δέ πείρᾳ οὐκ ἔγνωκε καί τούς πείρᾳ γνόντας οὐδαμῶς παραδέχεται, τίς ἔτ᾽ ἀμφιγνοήσει μή ψευδολογίαν εἶναι πᾶσαν τήν περί τῆς θεοποιοῦ τοῦ Πνεύματος ἐνεργείας αὐτῷ γεγενημένην ἀδολεσχίαν, καί ταῦτα κατά τῶν ἐν πείρᾳ ταύτης γεγονότων ἐξενηνεγμένην αὐτῷ, μηδαμῶς εἰδότι μήτε ἅ λέγει, μήτε

περί τίνων διαβεβαιοῦται; «Γλυκύτητα γάρ μέλιτος ἀναγγελεῖ τοῖς μή γευσαμένοις;», ἡ παροιμία φησίν˙ οἱ δέ μή γευσάμενοι, πῶς ἀναγγελοῦσιν; εἰπέ μοι˙ εἰ δέ καί τοῖς γευσαμένοις ἀντιλέγοιεν, ἆρ᾽ οὐ μετά τοῦ ψευδόμενοι δῆλοι πεφηνέναι καί γέλωτα ὀφλήσουσιν ἔσχατον; Πολλῷ μέντ᾽ ἄν εἴη ψευδηγόρος καί καταγέλαστος μᾶλλον ὁ περί τάς ὑπερφυεῖς ἐνεργείας τοῦ Πνεύματος τοιαῦτα τερατευόμενος καί κατά τόν ἀπόστολον «ἅ μή ἑώρακεν ἐμβατεύων, εἰκῆ φυσιούμενος ὑπό τοῦ νοός τῆς σαρκός αὐτοῦ». Ἤρκει μέν οὐ τουτί μόνον, οὐ μόνον ψευδογράφον αὐτόν ἀπελέγξαι, πρός δέ τούτῳ καί τοῖς αἱρετικοῖς τούς ἁγίους συντάττοντα (καί γάρ ἐκείνων ἐστι λόγος «μόνον εἰδέναι σαφῶς τόν πείρᾳ μαθόντα» τάς ἐνεργείας τοῦ Πνεύματος, ὁ δέ τούς τοῦτο λέγοντας αἱρετικούς εἶναι διισχυρίζεται)˙ τουτί μέν οὖν ἤρκει καί τῶν μετά Χριστόν ἁγίων κατήγορον αὐτόν ἀπελέγξαι˙ τῷ δέ οὐκ (σελ.700) ἀπέχρησεν, ἀλλά καί δευτέρᾳ καί τρίτῃ καί ἔτι πλείστοι κατ᾽ αὐτῶν, μᾶλλον δέ καθ᾽ ἑαυτοῦ μεθόδοις ἐχρήσατο.

Τῶν γάρ ἁγίων ἐν τοῖς καθ᾽ ἑαυτούς συγγράμμασιν ἔστιν οὗ πρός ἀλλήλους δοκούντων διαφωνεῖν, αὐτός ποτέ μέν τούτου, ποτέ δέ ἐκείνου ρήσει προσθέμενος, δι᾽ ἐκείνης τοῖς ἄλλοις ἀναιδῶς ἐπιτίθεται καί ἐκκηρύκτους καί ἀποβλήτους ποιεῖται παντάπασιν ὡς καί ἀφορισμοῖς ὑποβάλλειν καί ἀναθέμασιν. Οὕτω τόν Νύσσης θεῖον Γρηγόριον μήτ᾽ ἐκτός μήτ᾽ ἐντός εἶναι τοῦ σώματος λέγοντα τόν νοῦ διά τό ἀσώματον τοῖς ἄλλοις ἐπεστράτευσεν ἁγίοις, ὅσοι ἐν τῇ καρδίᾳ τόν νοῦν εἰρήκασι, καί ὡς ἀντιτεταγμένους τῇ ἀληθείᾳ τοῖς αἱρετικοῖς εὐθύς ἐνηρίθμησεν. Ἡμεῖς δ᾽ αὐτούς συμφώνους ἀλλήλοις κἀν τούτῳ, καί ἡμᾶς αὐτούς αὐτοῖς, ἔν τε τῷ Ἁγιορειτικῷ κατά τῶν φρονούντων τά τοιαῦτα Τόμῳ κἀν τῷ Περί Προσευχῆς δευτέρῳ λόγῳ τρανῶς ἀπεδείξαμεν. Ἀλλ᾽ αὖθις αὐτόν τόν Νύσσης ὅπως τοῖς αἱρετικοῖς συνέταξεν ἄκουσον˙ εἰπόντα γάρ περί τοῦ πρωτομάρτυρος Στεφάνου ὡς «οὐκ ἐν τῇ ἀνθρωπίνῃ φύσει τε καί δυνάμει μένων τό θεῖον βλέπει, ἀλλά πρός τήν τοῦ ἁγίου Πνεύματος χάριν ἀνακραθείς, ὅτι τῷ ὁμοίῳ καθορᾶσθαι τά ὅμοια παρά τῆς Γραφῆς μεμαρτύρηται˙ εἰ γάρ ἀνθρωπίνῃ φύσει ἡ τοῦ Πατρός καί τοῦ Υἱοῦ δόξα χωρητή κατέστη, ψευδής ὁ ἀχώρητον ἀποφηνάμενος εἶναι τό θέαμα˙ ἀλλά μήν οὐδέ ἐκεῖνον ψεύδεσθαι καί τήν ἱστορίαν ἀληθεύειν ἐπάναγκες»˙ ταῦτα τοῦτον ἐν τῷ πρός τόν θεῖον Στέφανον ἐγκωμίῳ σαφῶς εἰπόντα, πολυτρόπως τοῖς αἱρετικοῖς ἐγκρίνει τόν ἅγιον διά τε τήν χάριν καί τήν ἀνάκρασιν (οὐ γάρ ἀσφαλῶς συνορᾷ τῶν λεγομένων τήν

δύναμιν), μάλιστα δέ πάντων ἐξοστρακίζει τοῦ χοροῦ τῶν ὀρθοδόξων τόν ταῦτ᾽ εἰπόντα, Μασσαλιανόν καί Βλαχερνίτην ἐπί διαβολῇ προσαγορεύσας διά τήν ὅρασιν, ἀντιτάξας αὐτῷ τούς ἀόρατον εἶναι τόν Θεόν λέγοντας.

(σελ. 702) «Τί δέ», φησίν, «ὅτι ὑπέρ ἄνθρωπον ὁ ἄνθρωπος γεγονώς, ὁρᾷ τόν Θεόν; ἄγγελος γάρ γένοιτ᾽ ἄν, ἀλλ᾽ ὁ κράτιστος τῶν παρ᾽ ἡμῖν θεολόγων ἀποδεῖ τοῦ τῶν ἀγγέλων ἐσχάτου˙ εἰ δέ καί ἄγγελον γενέσθαι δοίημεν», φησίν, «ἀλλ᾽ οὐδέ ἄγγελοι τήν οὐσίαν ὁρῶσι τοῦ Θεοῦ». Πρός ὅν ἄν τις φαίη δικαίως, "ἀγγέλων πονηρῶν παίδευμα˙ καί γάρ ἐκεῖθεν μυηθείς τῶν ἁγίων κατήγορος γέγονας". Ἀλλ᾽ οὐδ᾽ ὅταν ὁ βασιλεύς ἐθελήσῃ τῆς κατά πρόσωπον ὁμιλίας ἀξιῶσαι τόν στρατιώτην, στρατηγός ἄν εἴη δι᾽ αὐτό πάραυτα, οὐδ᾽ ὅτι ἐγγύτερος τότε παρίσταται, παρά τοῦτο τό τοῦ ἀρχισρατήγου σχῆμα παρήνεγκεν. «Ἀλλ᾽ οὐκ ἔνι», φησίν, «εἰ μή δι᾽ ἀγγέλου τόν Θεόν ἀνθρώπῳ συντυχεῖν˙ δι᾽ ἀγέλλων γάρ ἱεραρχούμεθα». Τί ποιεῖς, ἄνθρωπε; Ἀνάγκας ἐπιτίθῃς τῷ καί τῶν ἀναγκῶν δεσπότῃ, τῷ καί ταύτας ἡνίκ᾽ ἄν ἐθέλῃ λύοντι, ἐνίοτε δέ καί μετασευάζοντι τελέως; Εἰπέ δή μοι˙ τίς ἦν ἀγγέλων ὁ τῷ Μωϋσῇ εἰπών, «ἐγώ εἰμι ὁ ὤν, ὁ Θεός Ἀβραάμ καί Ἰσαάκ καί Ἰακώβ», εἰ μή ὁ τοῦ Θεοῦ Υἱός, ὡς καί Βασίλειος ὁ μέγας λέγει; Τί δέ ἐστι τό ἐν τῇ τοῦ Ἰσραήλ Ἐξόδῳ γεγραμμένον ὅτι «ἐλάλησε κύριος πρός Μωσῆν ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρός τόν ἑαυτοῦ φίλον»; Τῷ δέ Ἀβραάμ ὁ ὁμιλῶν, ἡνίκα «ὤμοσε καθ᾽ ἑαυτοῦ», εἴγε ἄγγελος ὑπῆρχε, πῶς ὁ ἀπόστολός φησιν ὡς «οὐκ εἶχε κατ᾽ οὐδενός μείζονος ὀμόσαι»; Εἰ δ᾽ ἐπί τῆς νομικῆς σκιᾶς αὐτός ὁ Θεός εὐδόκησεν ὁμιλῆσαι τοῖς πατράσι, πῶς, τῆς ἀληθείας ἐκφανείσης καί τοῦ τῆς χάριτος νόμου τρανωθέντος, καθ᾽ ὅν οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ᾽ αὐτός ὁ Κύριος ἔσωσεν ἡμᾶς καί αὐτό τό Πνεῦμα τοῦ Θεοῦ πᾶσαν τήν ἀλήθειαν ἐδίδαξεν ἡμᾶς, οὐκ ἐμφανισθήσεται δι᾽ ἑαυτοῦ τοῖς ἁγίοις ὁ Θεός; Ἤ γενέσθαι μέν ἄνθρωπος δι᾽ ἡμᾶς οὐκ ἀπηξίωσε καί σταυρόν ὑπέστη καί θάνατον ὑπέρ ἡμῶν, καί ταῦτα ἀσεβῶν (σελ. 704) ὄντων ἔτι κατά τόν ἀπόστολον, ἀνθρώπῳ δέ ἀμέσως ἀπαξιώσει καί ἐνοικῆσαι καί ἐμφανισθῆναι καί ὁμιλῆσαι, καί τοῦτ᾽ οὐκ εὐσεβεῖ μόνον, ἀλλά καί ἡγιασμένῳ καί διά τῆς τῶν θείων ἐντολῶν τηρήσεως προκαθηραμένῳ σῶμά τε καί νοῦν, καί τοῦ πάντα δυναμένου Πνεύματος ὄχημα καί ζεῦγος εὐθυές ταῦτ᾽ ἐξειργασμένῳ; Τοῦτο δή καί αὐτός ὁ Νύσσης θεῖος Γρηγόριος ἀποδεικνύς, μετά τό μνησθῆναι τῆς οὐρανίου καί

ὑπερφυοῦς ἐκείνης τοῦ Στεφάνου θεωρίας, «ἆρα», φησίν, «ἀνθρωπίνης φύσεως ἦν τό κατόρθωμα; Ἆρά τινος τῶν ἀγγέλων πρός τό ὕψος ἐκεῖνο τήν κάτω κειμένην φύσιν ἀναβιβάσαντος; Οὐκ ἔστι ταῦτα˙ οὐ γάρ οὕτω γέγραπται, ὅτι Στέφανος τῇ δυνάμει πολύς ἤ τῆς ἀγγελικῆς βοηθείας πλήρης γενόμενος εἶδεν ἅ εἶδεν, ἀλλ᾽ ὅτι Στέφανος πλήρης ὤν Πνεύματος ἁγίου εἶδε τήν δόξαν τοῦ Θεοῦ καί τόν μονογενῆ τοῦ Θεοῦ. Οὐ γάρ ἔστι, καθάπερ ὁ προφήτης εἶπε, τό φῶς ὀφθῆναι μή ἐν φωτί καθορώμενον. Ὅρασιν οὖν ἐνταῦθ᾽ εἶπε χωρητήν διά Πνεύματος, ἀλλ᾽ οὐχί γνῶσιν, καί τό «οὐδείς ἑώρακε Θεόν»˙ ἐπί ταύτης τῆς σημασίας ἐκλαβόμενος καί διαπορητικῶς ἀντιθείς τῇ πνευματικῇ τοῦ Στεφάνου θεωρίᾳ, τήν λύσιν ἐπήνεγκε κάλλιστά τε καί εὐσεβέστατα. Πρός δέ τούτοις οὐδέ τήν οὐσίαν εἶπε χωρητήν ἤ ὁρατήν, ἀλλά τήν δόξαν τοῦ Πατρός καί τήν χάριν τοῦ Πνεύματος.

«Ἀλλ᾽ ἐγώ», φησί, «τήν χάριν καί τήν δόξαν ταύτην ὑπερφυῆ καί ὁμοίαν ἀκούων τῷ Θεῷ, ”τῷ γάρ ὁμοίῳ”, φησί, “καθορᾶται τά ὅμοια”, διό καί, ἄκτιστον οὖσαν καί ἄναρχον, οὐσίαν ταύτην εἶναι λέγω τοῦ Θεοῦ». Καί οὐ δύναται εἶναι, ὦ τῶν ἁγίων ἀντικείμενε θεολόγε (λήσεις γάρ εὖ ἴσθι τούς εἰδότας οὐδαμῶς, εἰ καί τά ὀνόματα κρύπτων τήν ἁγίαν τῶν ἁγίων διάνοιαν ὡς ἀλλοτριόφρονός τινος προτείνεις περιέργως), οὐ δύναται τοίνυν ἐνέργεια Θεοῦ ὑπερφυής, ἄναρχός τε καί ἄκτιστος ὑπάρχειν καί διά τό τόν Θεόν ὅλον φανεροῦν (σελ. 706) δι᾽ ἑαυτοῖς τοῖς ὑπερφυῶς ἐν Πνεύματι ὁρῶσιν ὁμοία τῷ Θεῷ; «Ἄπαγε», φησίν˙ «ἕν γάρ ἄκτιστόν τε καί ἄναρχον, ἡ οὐσία τοῦ Θεοῦ˙ πᾶσα δέ ἐνέργεια αὐτοῦ κτιστή». Τῆς ἀσεβείας ἤ γάρ οὐκ ἔχει φυσικάς καί οὐσιώδεις ἐνεργείας ὁ Θεός καί ἄθεός ἐστιν ὁ τοῦτο λέγων (τοῦτο γάρ ἄντικρυς, φησίν, ὅτι οὐκ ἔστι ὁ Θεός, οἱ γάρ ἅγιοι πατέρες φανερῶς λέγουσι, κατά τόν Θεῖον Μάξιμον, μήτε εἶναι μήτε γινώσκεσθαι χωρίς τῆς οὐσιώδους αὐτῆς ἐνεργείας τήν οἱανδήποτε φύσιν), ἤ οὖν οὐκ εἰσίν οὐσιώδεις καί φυσικαί θεῖαι ἐρνέργεαι καί οὐδέ Θεός ἐστι λοιπόν, ἤ εἴπερ εἰσίν ἐνέργειαι θεῖαι, φυσικαί καί οὐσιώδεις, κτισταί δέ εἰσιν αὗται, κτιστήν ἔσται καί ἡ ταύτας ἔχουσα οὐσία τοῦ Θεοῦ˙ ἧς γάρ οὐσίας τε καί φύσεως αἱ φυσικαί καί οὐσιώδεις ἐνέργειαι κτισταί, καί αὐτή ἡ ταύτας ἔχουσα φύσις καί οὐσία κτιστή καί ἔστι καί γινώσκεται.

Εἰπέ δή μοι˙ πόθεν ἐν δυσίν ἐνεργείαις καί φύσεσιν ἔγνωμεν Χριστόν, εἰ μή αἱ τοῦ Θεοῦ φυσικαί ἐνέργειαι ἄκτιστοί εἰσι; Πόθεν δέ

καί ἐν δυσί θελήσεσι γινώσκομεν αὐτόν, εἰ μή καί ὁ Θεός θέλησιν εἶχε φυσικήν καί θείαν; Τί οὖν τό τοῦ Θεοῦ θέλημα, οὐχί φύσεώς ἐστιν ἐνέργεια Θεοῦ; Ἆρ᾽ οὖν κτιστόν ἐστι τό τοῦ ἀκτίστου θέλημα; Ἆρα δέ καί ὑπό χρόνον καί ἀρχήν ἐστι καί θέλησιν ἔσχεν, ἥν οὐκ εἶχε πρό αἰώνων; Τί οὖν; Ἀναγκασθείς ἤ μεταβουλευθείς; Οὕτω ταῖς καινοφωνίαις ὁ ταλαίπωρος οὗτος, οὐ τῇ θείᾳ φύσει μόνον ἀλλά καί τῇ διά σαρκός ἐπιδημίᾳ τοῦ σωτῆρος ἐπηρεάζει καί χριστιανοκατήγορος ἐθέλων εἶναι τοῦ χριστιανῶν εὐσεβοῦς πληρώματος ἑαυτόν ἐξέβαλε, μονοφυσίτης τε καί μονοθελήτης καί τῶν πώποτε ἀναφανέντων χείρων ὑπό τῶν οἰκείων λόγων ἐξελεγχθείς. Εἰ γάρ πᾶσα ἐνέργεια Θεοῦ, χωρίς τῆς τά πάντα πρώτως ἐνεργούσης οὐσίας τοῦ Θεοῦ, κατά τούς ἐκείνου λόγους, χρονικήν ἔσχεν ἀρχήν, καί κτιστή ἐστιν ἐξ ἀνάγκης πᾶσα ἐνέργεια Θεοῦ˙ λοιπόν οὐκ εἶχεν ὁ Χριστός κτιστάς καί ἀκτίστους ἐνεργείας φυσικῶς, (σελ. 708) ἀλλά κτιστάς μόνον, μιᾶς ἄρα ἐνεργείας ἦν καί ταύτης οὐ θείας, ὡς οἱ κακόδοξοι ἐκεῖνοι ἔλεγον, ὑπό γάρ τό κτιστόν ἅπασαί εἰσιν˙ εἰ δέ μιᾶς ἦν ἐνεργείας καί μιᾶς φύσεως ἐξ ἀνάγκης ἦν, καί ταύτης αὖθις οὐ θείας, κατά τούς πάλαι ποτέ μονοφυσίτας, ἀλλά κτιστῆς˙ ἧς γάρ φύσεως ἡ ἐνέργεια κτιστή, ἄκτιστος αὐτή οὐκ ἔστι.

Πρός δέ, εἰ μή ἀνάρχους ἔχει ἐνεργείας ὁ Θεός, τούτων ὧν ἐπέκεινα, καθ᾽ ὅσον τό ἐνεργοῦν οὕτω τῶν ἐνεργουμένων ὑπερέχει, πῶς προάναρχος καί ὑπεράναρχος ἐστιν; Ὡς γάρ ὑπέρθεος οὐκ ἄν ἦν, κατά τόν μέγαν Διονύσιον, εἰ μή θεότης ἐλέγετο τό χρῆμα τοῦ θεοποιοῦ δώρου, ὁ ἀεί ἔστιν ἐκ τοῦ ἀεί ὄντος Θεοῦ κατά τόν θεῖον Μάξιμον (εἰ γάρ μή τοῦτο δοίη τις, τῆς τοῦ Θεοῦ φύσεως μεθέξουσιν οἱ θεούμενοι καί φύσει ἔσονται θεοί)˙ ὡς οὖν, εἰ μή ἡ χάρις τῆς θεώσεως ἦν, οὐκ ἄν ὑπέρθεος ἐκαλεῖτο ὁ Θεός, οὕτως οὐδέ ὑπεράναρχος κληθείη ἄν, εἰ μή, καθάπερ ὁ θεῖος Μάξιμός φησιν, «ἄναρχα ἔργα τοῦ Θεοῦ ἐστιν ἡ ἀθανασία καί ἡ ἀπειρία καί ἡ ὀντότης καί ὅσα περί τόν Θεόν οὐσιωδῶς θεωρεῖται». Πῶς δέ καί κατά μέθεξιν τῆς τοιαύτης χάριτος, κατά τόν αὐτόν ἅγιον, ἄναρχος γίνεται ὁ ἄνθρωπος, καθάπερ ὁ Μελχισεδέκ, «μήτε ἀρχήν ἡμερῶν μήτε ζωῆς τέλος» ἐσχηκέναι μαρτυρούμενος, καί πᾶς ὁ κατά Παῦλον τήν τοῦ ἐνοικήσαντος λόγου ζῶν θείαν καί ἀΐδιον ζωήν, εἰ μή ἄναρχος ἡ χάρις εἴη;

«Ἀλλ᾽ εἰ καί τις δοίη», φησίν, «ἀκτίστους εἶναι ἐνεργείας θείας, οὐδείς ἑώρακεν αὐτάς, εἰ μή κτισταί γεγόνασιν». Ὅτι μέν οὖν

οὐδέποτε ἐκεῖναι γίνονται κτισταί, ἀλλά μόνα τά μετέχοντά ἐστι κτιστά, τῶν μεθεκτῶν προόντων ἐν Θεῷ, καί ὡς, εἰ μή τοῦτ᾽ εἴη, τῆς οὐσίας τοῦ Θεοῦ τά κτίσματα μεθέξουσιν, ὅ παντός μᾶλλον ἄτοπόν ἐστι, τοῦτο μέν οὖν ἀφῶμεν νῦν. Ἀλλ᾽ οὐδέ τά πόρρω ὡς ὑπ᾽ ὀφθαλμούς ἡμεῖς (σελ. 710) ὁρῶμεν, οὐδέ τά μέλλοντα ὡς ἐνεστῶτα, οὐδέ τό περί ἡμῶν θέλημα τοῦ Θεοῦ, εἰ μή ἐκβαίη, γινώσκομεν ἡμεῖς, οἱ δέ προφῆται καί τήν ἐν Θεῷ πρό τῶν αἰώνων ἐνυπάρχουσαν ἐγνώκασι βουλήν, μήπω ἀποτελεσθεῖσαν. Οὕτω καί οἱ ἔκκριτοι τῶν μαθητῶν, καθάπερ ἀκούεις ψάλλουσαν τήν Ἐκκλησίαν, εἰ μή ἐκκεκώφηται τά ὦτα, τήν οὐσιώδη τοῦ Θεοῦ καί ἀΐδιον εὐπρέπειαν εἶδον ἐν Θαβώρ, οὐ τήν ἀπό τῶν κτισμάτων δόξαν τοῦ Θεοῦ, ὡς αὐτός χαμαιζήλως ὑπείληφας, ἀλλ᾽ αὐτήν τήν ὑπέρφωτον τοῦ ἀρχετύπου κάλλους λαμπρότητα, αὐτό τό ἀνείδεον εἶδος τῆς θεϊκῆς ὡραιότητος, δι᾽ οὗ θεουργεῖται καί τῆς πρός πρόσωπον θείας ὁμιλίας καταξιοῦται ὁ ἄνθρωπος, αὐτήν τήν ἀΐδιον καί ἀδιάδοχον βασιλείαν τοῦ Θεοῦ, αὐτό τό ὑπέρ νοῦν καί ἀπρόσιτον φῶς, φῶς οὐράνιον, ἄπλετον, ἄχρονον, ἀΐδιον, φῶς ἀπαστράπτον ἀφθαρσίαν, φῶς θεοῦν τούς θεουμένους˙ αὐτήν γάρ εἶδον ἥν καί ἔνοικον ἐσχήκασιν ὕστερον τήν χάριν τοῦ Πνεύματος˙ μία γάρ χάρις Πατρός Υἱοῦ καί Πνεύματος, ἥν εἰ καί σωματικοῖς εἶδον ὀφθαλμοῖς, ἀλλά διανοιγεῖσιν, ὡς ἐκ τυφλῶν γενέσθαι βλέποντας, κατά τόν ἐκ Δαμασκοῦ θεῖον Ἰωάννην, καί ἰδεῖν τό ἄκτιστον ἐκεῖνο φῶς, ὅ κἀν τῷ μέλλοντι αἰῶνι τοῖς ἁγίοις μόνοις ἀκαταλήκτως ἔσται θεατόν, κατά τούς ἁγίου Διονύσιόν τε καί Μάξιμον.

Ὁρᾷς ὅτι τάς κτιστῇ δυνάμει ἀοράτους ἐν τῷ Θεῷ θείας ἐνεργείας οἱ ἅγιοι διά τοῦ Πνεύματος, ὑπεραναβάντες ἑαυτούς, ὁρῶσιν; «Ὁ γάρ ἀξιωθείς», φησίν, «ἐν τῷ Θεῷ γενέσθαι, πάντας εἴσεται τούς ἐν αὐτῷ τῶν ὄντων προϋφεστῶτας λόγους καθ᾽ ἁπλῆν τινα καί ἀδιαίρετον γνῶσιν»˙ καί πάλιν, «τήν ψυχήν πρός ἑαυτήν καί τόν Θεόν συναχθεῖσαν, οὐκ ἔσται ὁ εἰς πολλά καί κατ᾽ ἐπίνοιαν αὐτήν ἔτι διαιρῶν λόγος, τῷ πρώτῳ καί μόνῳ καί ἑνί λόγῳ τε καί Θεῷ κατεστεμμένην (σελ. 712) τήν κεφαλήν, ἐν ᾧ κατά μίαν ἀπερινόητον ἁπλότητα πάντες οἱ τῶν ὄντων λόγοι ἑνοειδῶς προϋφεστήκασιν, ᾧ ἐνατενίζουσα οὐκ ἐκτός αὐτῆς ὄντι, ἀλλ᾽ ἐν ὅλῃ ὅλῳ καθ᾽ ἁπλῆν προσβολήν, εἴσεται καί αὐτή τούς τῶν ὄντων λόγους, δι᾽ οὕς τυχόν πρίν νυμφευθῆναι τῷ Λόγῳ καί Θεῷ, ταῖς διαιρετικαῖς ὑπήγετο μεθόδοις». Ὁρᾷς ὡς οὐ καθ᾽ ἡμᾶς ὁρῶσιν οἱ ἐν Θεῷ γενόμενοι καί

θεωθέντες καί πρός αὐτόν ἐνθέως ἀτενίζοντες; Αἰσθήσει γάρ τά ὑπέρ αἴσθησιν καί νῷ τά ὑπέρ νοῦν ὁρῶσι θαυμασίως, ταῖς ἀνθρωπίναις ἕξεσιν ἐγγινομένης τῆς τοῦ Πνεύματος δυνάμεως, δι᾿ ἧς ὁρῶσι τά ὑπέρ ἡμᾶς. Ἡμῶν οὖν τῇ αἰσθήσει συναπτόντων ἀεί τό ὑπέρ αἴσθησιν, ὡς μετά τοῦ ὑπερφυοῦς καί τό ὑπερώνυμον δειχθῆναι τῆς ὁράσεως ἐκείνης, διαιρῶν σοφιστικῶς ὁ τῆς κακίας σοφιστής οἴεταί τι καθ᾿ ἡμῶν λέγειν καί τούς παιδαριώδεις τήν διάνοιαν ἐξαπατᾷ, καταφλυαρῶν τῶν αἰσθητόν τάχα τό θεῖον οἰομένων, ὥσπερ ἄν εἴ τις τῶν οὐσίαν ἔχειν τόν Θεόν φατε, ἤ τῶν καθόλου τί ἐστι ψιλῇ μόνῃ ἐπινοίᾳ θεωρούμενον καί οὐκ ἔστιν ἀληθῶς, ἤ τι τῶν ἀτόμων. Πρός ὅν ἄν εἶπον ὅπερ καί ἡμεῖς πρός τόν φερωνύμως λατινέλληνα δικαίως τοῦτον, ὡς "ἔοικας οὕτω τῶν περί Θεοῦ λόγων ἐπαΐειν ὡς βοῦς καί ὄνος τῶν ᾀδόντων". Οὕτω γάρ τό παρ᾿ ἡμῶν πνευματικόν καί ὑπέρ νοῦν λεγόμενον ὡς αἰσθητόν λεγόντων παρακούων ἡμῶν κατηγορεῖς, καί, διαφορωτάτου ὄντος τοῦ κατ᾿ αὐτόν τοῦ καθ᾿ αὐτό, ὡς ταὐτοῦ αὐτός ἀκούεις καί τῶν περί Θεόν ὅσοι φυσικά κατ᾿ αὐτόν ἡγῇ.

«Ἀλλ᾿ οὐδενός», φησίν, «ἔσται διαφέρων ὁ Θεός τῶν ὁρωμένων, εἰ ἐκ τῶν περί αὐτόν ὁρᾶται˙ καί γάρ ἕκαστον τούτων οὐκ ἐκ τῶν κατ᾿ αὐτό, ἀλλ᾿ ἐκ τῶν περί αὐτό ἐστιν (σελ. 714) ὁρώμενον˙ ἡλίου γάρ οὐ τῆς οὐσίας ἀντιλαμβάνεται ἡ ὄψις, ἀλά τῶν περί αὐτήν». Πρῶτον ἐν οὖν ἀπό τοῦ σοί προτεθέντος παραδείγματος συκοφάντης ἑκών ἀναφαίνῃ τοῦ Θεοῦ καί τῶν ἁγίων αὐτοῦ˙ ἥλιος γάρ καί ἡ ἀκτίς καί ὅθεν ἡ ἀκτίς καλεῖται, καί οὐ δύο παρά τοῦτο ἥλιοι˙ τοιγαροῦν εἷς Θεός, εἰ καί ἡ ἐκ Θεοῦ θεοποιός θεολογεῖται χάρις, καί τῶν περί τόν ἥλιόν ἐστι τό φῶς, οὔκουν οὐσία τοῦ ἡλίου. Πῶς οὖν οὐσία Θεοῦ τό ἐκ Θεοῦ τούς ἁγίους ἐπιλάμπον φῶς; Τί δέ τό τοῦ ἡλίου φῶς; Ὁρώμενον γίνεται ἤ καί πρό τοῦ ὁρᾶσθαι ἦν; Πολλῷ μᾶλλον δήπουθεν τό θεουργοῦν τούς θεωμένους φῶς. Ἔπειτα, εἰ μηδέν παρά τοῦτο μηδενός τῶν ὁρωμένων διαφέρει ὁ Θεός, πῶς ἆραί σοί τε καί τοῖς κατά σέ, μᾶλλον δέ καί τοῖς πολλῷ σου κρείττοσιν ἀνθρώποις, οὐχ ὁρᾶται; Οἱ σοί τοίνυν ὀφθαλμοί, τυφλοί ὄντες πρός τό τοῖς ἁγίοις φῶς ἐποπτευόμενον, καί τό σόν στόμα ἐμφραξάτωσαν, τοιαῦτα εἰς τό θεῖον φῶς ἐκεῖνο βλασφημοῦν, διδάξαντες ὡς οὐ φυσικόν, οὐδέ δι᾿ ἀέρος ἐκεῖνο ὁρατόν. Ὁ διαβεβαιούμενος αὐτός, οὐδέ τόν μέλλοντα αἰῶνα ἀνεπηρέαστον ἀφῆκας˙ τῶν θεηγόρων γάρ σαφῶς λεγόντων ὡς οὐκ ἀέρος καί τοῦ δι᾿ αὐτοῦ φωτός τότε δεησόμεθα, σύ τό μή ληπτόν αἰσθητικῇ δυνάμει τοῦτο φῶς, τήν καλλονήν τοῦ μέλλοντος

καί μένοντος αἰῶνος, αἰσθητόν ἀποφαίνῃ καί δι᾽ ἀέρος καί τότ᾽ εἶναι ὁρατόν.

«Ἀλλ᾽ εἰ καί πρός τό τοιοῦτο φῶς ἀκρασίαν περίκειμαι», φησίν, «ἀλλ᾽ ἀνεῳγμένα ὦτα ἔχων, τοῦ λέγοντος ἀκούω "ὡς ἐκ τῶν περί αὐτόν νῷ μόνῳ σκιαγραφεῖται ὁ Θεός, τοσαῦτα περιλάμπων ἡμῶν τό ἡγεμονικόν, καί ταῦτα κεκαθαρμένων, ὅσα καί ὄψιν ἀστραπῆς τάχος οὐχ ἱσταμένης"˙ Ὄντως ἔοικας τυφλῷ παρά του τῶν ὁρώντων περί φωτός διδασκομένῳ, ὅς, πρίν διακοῦσαι τοῦ διδάσκοντος, ὑπό τῆς ὑπερβεβαλούσης ἀπονοίας, ὡς αὐτός κρεῖττον εἰδώς τε καί διδάξων, (σελ. 716) ἐπανίσταται τῷ διδασκάλῳ. Τί γάρ προϊών φησιν ὁ θεολόγος οὗτος; «Διά τοῦτο περιλάμπει λίαν ἀμυδρῶς τῷ νῷ μόνῳ τήν ἀρχήν ὁ Θεός, ἵνα τῷ ληπτῷ μέν ἕλκῃ πρός ἑαυτόν, τῷ δέ ἀλήπτῳ θαυμάζηται, θαυμαζόμενον δέ ποθῆται πλέον, ποθούμενον δέ καθαίρῃ». Τί καθαίρει ποθούμενον; Τόν νοῦν ἄρα μόνον; Οὔ˙ καί γάρ οὗτος κατά τούς πατέρας οὐ πολλῆς σπουδῆς εἰς τό καθῆρασθαι δεῖται, ῥᾷδτά τε τῆς καθαρότητος πέφυκεν ἐκπίπτειν, διό καί χωρίς τοῦ θείου πόθου καθαρθείη ἄν ὡς ὁ θεολόγος οὗτος ἔδειξε, καί τοῖς εἰσαγομένοις ἡ τοιαύτη κάθαρσίς ἐστι κατάλληλος. Ὁ δέ θεῖος πόθος, πᾶσαν ἕξιν τε καί δύναμιν ψυχῆς τε καί σώματος καθαίρων καί τῷ νῷ μονιμωτέραν ἀπεργασάμενος τήν κάθαρσιν, δεκτικόν τῆς θεοποιοῦ χάριτος τόν ἄνθρωπον ποιεῖται. Διά τοῦτο τό θεῖον «παθούμενον καθαίρει, καθαῖρον δέ θεοειδεῖς ἀπεργάζεται˙ τοιούτοις δέ γενομένοις, ὡς οἰκείους ἤδη προσομιλεῖ - τολμᾷ τι νεανικόν ὁ λόγος - ὁ Θεός θεοῖς ἑνούμενός τε καί γνωριζόμενος˙ καί τοσοῦτον ἴσως, ὅσον ἤδη γινώσκει τούς γινωσκομένους». Ποῦ τό ἀμυδρόν ἐνταῦθα τῆς ἐλλάμψεως; «καθ᾽ ὅσον γάρ», φησί, γινώσκει ὁ Θεός αὐτούς, κατά τοσοῦτον ἴσως καί αὐτοί», φησί, «γινώσκουσι Θεόν». Πῶς; Οὐ διανοίας ἀμυδραῖς ἐπιβολαῖς, καθάπερ ἀρχόμενος τοῦ λόγου εἴρηκεν, ἐλλ᾽ ἐν Θεῷ Θεόν εἰδότες καί διά τῆς πρός αὐτόν ἑνώσεως θεοειδεῖς ἤδη γεγονότες καί θεοειδεῖ δυνάμει ταῖς θειοτάταις ἐπιβάλλοντες χάρισι τοῦ Πνεύματος, αἷς ἐνατενίζειν τούς μή θεοειδεῖς καί νῷ μόνῳ ζητοῦντας τά περί Θεόν ἀμήχανον. «

Ἀλλ᾽ ὡς μέν τῇ θεοειδῆ τόν ἄνθρωπον ποιούσῃ χάριτι τόν Θεόν γινώσκει ὁ παθών, ἤδη γέγονε σαφές. Πόθεν δ᾽ ὅτι καί φῶς αὕτη ἐστίν εἰσόμεθα; Παρά τοῦ αὐτοῦ πάλιν ἤ καί ἄλλου του τῶν διά πείρας διδασκόντων. Παρίτω τοίνυν ἕτερος, ὡς πλείους εἶναι τούς συμμαρτυροῦντας. Εἰπών γάρ (σελ.718) ὁ θεῖος Μάξιμος τήν

γενησομένην ἐπί τοῦ μέλλοντος αἰῶνος τῶν ἁγίων ἕνωσιν πρός τό τῆς θείας ἁπλότητος κρύφιον, ἐπάγει˙ «καθ᾽ ὅν τῆς ἀφανοῦς καί ὑπεραρρήτου δόξης τό φῶς ἐποπτεύοντες, τῆς μακαρίας μετά τῶν ἄνω δυνάμεων καί αὐτοί δεκτικοί γίνονται καθαρότητος». Ἀλλά πόθεν ὅτι καί θέωσις τουτί τό φῶς; Τοῦ αὐτοῦ πάλιν ἄκουσον˙ εἰπών γάρ τόν τρόπον ὡς ἐφικτόν τῆς τοῦ Θεοῦ πρός τούς θεοποιουμένους ἑνώσεως, ὡς ψυχῆς πρός σῶμα γίνεται τρόπον, ἵν᾽ ὅλος ἄνθρωπος θεωθῇ, τῇ τοῦ ἐνανθρωπήσαντος Θεοῦ χάριτι θεουργούμενος, ἐπάγει˙ «ὅλος ἄνθρωπος μένων κατά ψυχήν καί σῶμα διά τήν χάριν καί τήν ἐμπρέπουσαν αὐτῷ διόλου θείαν τῆς μακαρίας δόξης λαμπρότητα». Εἶδες ὡς λαμπρότης τοῦ Θεοῦ ἐστι τό φῶς ἐκεῖνο; Τί οὖν, ἡ λαμπρότης τοῦ Θεοῦ κτιστόν; Ἀλλά τῶν ἑξῆς ἄκουε˙ «μεθ᾽ ἥν οὐκ ἔστιν ἐπινοῆσαί τι λαμπρότερον ἤ ὑψηλότερον˙ τί γάρ θεώσεως τοῖς ἀξίοις ἐρασμιώτερον;». Ἤκουσας ὅτι ἡ λαμπρότης αὕτη θέωσίς ἐστι καί ὡς οὐδέν τοῖς ἀξιωθεῖσιν ὑψηλότερον τῆς θεωρίας ταύτης; Ἀλλά θέλεις μαθεῖν ὡς αὕτη ἐστί δι᾽ ἧς τοῖς ἀξίοις ὁ Θεός ἑνοῦται; Τῶν ἑξῆς αὖθις ἄκουσον˙ «καθ᾽ ἥν ὁ Θεός, θεοῖς γενομένοις ἑνούμενος, τό πᾶν ἑαυτοῦ ποιεῖται δι᾽ ἀγαθότητα». Τοῦτ᾽ ἄρα τό θεοποιόν ἐστι δῶρον, ὅ θεότητα καλέσας ὁ ἐξ Ἀρείου Πάγου τῶν Ἀθηνῶν φανότατος φωστήρ ἐπέκεινα ταύτης εἶναι λέγει τόν Θεόν. Ποῦ δή σοι ἡ γνῶσις καί ἡ μίμησις καί ἡ ἀφαίρεσις, δι᾽ ὧν σύ σπεύδεις ἀφαιρεῖσθαι τῶν πολλῶν καί τήν ἐκ πίστεως γνῶσιν τῆς ὑπέρ ἡμᾶς καί ὄντως θεομιμησίας;

«Ἀλλ᾽ οὐχί καί ὑπέρ τό καθ᾽ ὑπεροχήν μή ὄν τόν Θεόν εἴρηκε», φησίν, «εἰ καί ὑπέρ ταύτην τήν θεότητα προσεῖπε τοῦτον». Σοί γε οὐκ εἴρηκεν, εὖ οἶδα˙ λαλεῖ γάρ οὐκ εἰς (σελ. 720) τά σά, ἀλλ᾽ εἰς ὦτα ἀκουόντων˙ ἔστι γάρ μακάριος. Ὅταν γάρ λέγῃ τόν Θεόν ὑπερουσίως ἔχειν τό ὑπερούσιον, τί γε ἄλλο λέγει ἤ ὅτι ἐπεί ὑπερούσιόν ἐτι τό καθ᾽ ὑπεροχήν μή ὄν, ὑπέρ τοῦτο ὁ Θεός ἐστιν, ὑπερουσίως ἔχων τό ὑπερούσιον; Τί δέ ὁ λέγων, μᾶλλον δέ οἱ λέγοντες, "ἕν γάρ εἰσι" κατά τήν δεσποτικήν εὐχήν καί δι᾽ ἑνός τούς ἁγίους ἅπαντας προάγομεν, τί οὖν οἱ λέγοντες τῆς καθ᾽ ὑπερουσιότητα θέωσεως ἀπείρως ἐξῃρημένον εἶναι τόν Θεόν; Τί δέ ὁ εἰπών πάσης θέσεως καί ἀφαιρέσεως ἐπέκεινα εἶναι τήν τοῦ Θεοῦ ὑπεροχήν; Ἆρ᾽ οὐχ ὑπέρ τό καθ᾽ ὑπεροχήν μή ὄν, καί ὑπέρ τήν ἄκτιστον ἀθανασίαν καί ζωήν καί ἀγαθότητά φασιν εἶναι τόν Θεόν, εἰ καί σύ τούς τοῦτο λέγοντας, πρός τό τῆς αὐτῶν ἀσφαλοῦς θεολογίας ὕψος ἀτενίζειν οὐ δυνάμενος, φεῦ τῆς τόλμης, φεῦ τῆς ἀπάτης ἥν ἐπεπόνθεις, ἀσεβεῖς τρανῶς

προσείρηκας καί ἀπεκήρυξας ἅπαντας; Ἀλλ᾽ ἐκεῖνοι σοῦ καί τῆς σῆς χαμαιζήλου γνώμης καί τῆς πάντα τολμώσης γλώττης μηδένα λόγον ποιούμενοι, καί τό "ἀπειράκις ἀπείρως" ἐπί τῶν τοιούτων πάντων τῇ θείᾳ προσέθηκαν ὑπεροχῇ, κοινῇ πάσαις ἐννοίαις καί πᾶσι ρήμασιν ἄφραστον εἰδότες αὐτήν. Ἀλλά τούτων μέν ἅλις.

Ὅπως δέ καί τήν ἀρετήν κακίαν οὗτος ἐποίησεν, ὡς ἐν βραχεῖ δεικτέον. Ἀπάθειαν εἶναι λέγει τήν τοῦ παθητικοῦ καθ᾽ ἕξιν νέκρωσιν. «Αἱ γάρ τούτου», φησίν, «ἐνέργειαι μάλιστα πάντων ἐκτυφλοῦσι καί κατορύττουσι τό θεῖον ὄμμα˙ δεῖ δή κατά μηδεμίαν ἑαυτοῦ δύναμιν τοῦτο ἐνεργόν ἐᾶν». Βαβαί˙ πῶς κατορύττει τό θεῖον ὄμμα τά πρός τά πονηρά μῖσος καί ἡ πρός τόν Θεόν καί τόν πλησίον ἀγάπη; Καί ταῦτα γάρ τοῦ παθητικοῦ εἰσιν ἐνέργειαι˙ ταύτῃ γάρ τῇ δυνάμει τῆς ψυχῆς ἀγαπῶμέν τε καί ἀποτρεπόμεθα, οἰκειούμεθά τε καί ἀλλοτριούμεθα˙ μετάθεσιν τοίνυν οἱ ἐρασταί τῶν καλῶν (σελ. 722) ποιοῦται τῆς δυνάμεως ταύτης ἀλλ᾽ οὐχί νέκρωσιν, οὐκ ἀκίνητον κατακλείσαντες ἐν ἑαυτοῖς, ἀλλ᾽ ἐνεργόν δείξαντες ἐν τῇ πρός τόν Θεόν καί τόν πλησίον ἀγάπῃ, αἷς δυσίν ἐντολαῖς κατά τόν τοῦ Κυρίου λόγον «ἅπας ὁ νόμος καί οἱ προφῆται κρέμανται». Εἰ δ᾽ αὗται τό θεῖον ὄμμα κατορύττουσι καί τόν κατ᾽ αὐτάς ζῶντα ἐμπαθῆ ποιοῦσι, τίς τῶν ἄλλων ἀρετῶν οὐ κακία; Τούτων μέν οὖν ἕκαστον διά τε τῶν προτέρων ἡμετέρων λόγων κἀν τοῖς νῦν ἡμῖν προτεθειμένοις ἐδείξαμεν, καταλέξαντες καί ἐξελέγξαντες καί ὅσα καθ᾽ ἡμῶν καί τῶν ἐφ᾽ ἡμῶν πατέρων ἐντεκών τοῖς οἰκείοις λόγοις προὔθηκεν, ἐγκαλλωπιζόμενοι τῷ κοινωνοί γενέσθαι τῆς πρός τούς ἁγίους ὕβρεως˙ πάντως γάρ καί τῆς εὐλογίας κοινωνήσομεν αὐτοῖς.

Ἐκεῖνο μέντοι προσήκει συνιδεῖν, ὡς εἴ τις ἐθελήσειε σατανικόν οἷον σύγγραμμα τάς ἀπ᾽ αἰῶνος ἄχρι νῦν πονηράς αἱρέσεις ὀνομάσαι, κατά κεφάλαια διῃρημένον εἰς τάς ἄλλοτε ἄλλως ὑποβολαῖς ἐκείνου φυομένας, ἐπίλογον εἶναι τούτων ἁπασῶν τό τοῦ λατινέλληλος τουτί βιβλίον. Οὐδέ γάρ τῆς παλαιᾶς διαθήκης τοῦ Θεοῦ καταψευσάμενος, τῆς καινῆς ἐφείσατο, οὐδέ εἰς τήν θείαν φύσιν ἁμαρτών, τήν διά σαρκός τοῦ Θεοῦ ἐπιδημίαν εἴασεν ἀνεπηρέαστον, οὐδ᾽ εἰς τήν πνευματικήν ὑβρίσας θεωρίαν, τήν τῆς ἀρετῆς πρᾶξιν ἀδιάβλητον κατέλιπεν, οὐδέ τῷ τῶν μακαρίων ἀνδρῶν κατά τόν νῦν αἰῶνα ἐπιθέμενος ζωῇ, τοῖς τοῦ μέλλοντος αἰῶνος οὐκ ἐπέβαλε τάς χεῖρας, ἀλλά κατά παντός, ὡς εἰπεῖν, ἐχώρησε καλοῦ καί ἱεροῦ καί θείου, παρόντος τε καί παρελθόντος, ἐφ᾽ ἡμῖν τε ὄντος καί οὐκ ἐφ᾽ ἡμῖν,

ἐλπιζομένου τε καί ἀρτίως ὡς ἐν ἀρραβῶνος μέρει χορηγουμένου τοῖς ἀξίοις, τοῖς τε πρό νόμου καί τοῖς μετά νόμον ἁγίοις˙ ὧν πρός ὀλίγους (σελ. 724) ἕκαστος ἐν μέρει τῶν ταῖς αἱρέσεσι προϊσταμένων ἀντετάξατο, κοινῇ πᾶσιν οὗτος ἀντιπαραταξάμενος νῦν, ἀνάπλεων πάσης δεινῆς αἱρέσεως ἐξενήνοχε σύγγραμμα, πάντας τούς ἁγίους καί πάσας σχεδόν τάς τούτων δόξας πολυτρόπως διαβάλλον, ὡς εὐχερές εἶναι προθεμένους ἡμᾶς συλλαβάς ὀλίγας ἑκάστου τῶν ἁγίων, εἶτα, τήν πονηράν ταύτην δέλτον ἐπαναγινώσκοντας, σαφέ εὐθύς ποιῆσαι πᾶσιν, ὡς αἱρετικούς καί δυσσεβεῖς, ἀθέους τε καί πολυθέους καί ἀλιτηρίους τούς αὐτάς γράψαντας οὐ παραιτεῖται καλεῖν. Εἰ μέν οὖν ἀπιστῶν τις ἡμῖν ἐνεργῶς ἐθέλει τἀληθές ἰδεῖν, ἴτω παρ᾽ ἡμᾶς καί μανθανέτω, τῶν τοιούτων συγγραμμάτων προτεθέντων φανερῶς˙ εἰ δ᾽ εὐλόγως τε καί μή, τόν τῶν ἁγίων κατήγορον στέργειν ἀποδέχεται, αὐτός τοῦ ἑαυτοῦ βαστάσει κρῖμα, ὅστις ἄν ᾖ.

# *Άγιος Γρηγόριος ο Παλαμάς*

**(Τόμος 4ος)**

**ΠΕΡΙΕΧΟΜΕΝΑ**


ΠΡΟΣ ΤΟΝ ΤΑ ΘΕΙΑ ΣΟΦΟΝ ΑΡΣΕΝΙΟΝ....439
ΜΟΝΑΧΟΝ ΤΟΝ ΣΤΟΥΔΙΤΗΝ (σελ. 48)....439
ΙΩΑΝΝΗ ΤΩ ΓΑΒΡΑ....446
ΤΩ ΣΟΦΩΤΑΤΩ ΚΑΙ ΛΟΓΙΩΤΑΤΩ ΚΑΙ ΕΜΟΙ ΚΥΡΙΩ....446
ΠΟΘΕΙΝΟΤΑΤΩ (Σελ. 68)....446
ΠΡΟΣ....474
ΤΟΝ ΟΣΙΩΤΑΤΟΝ ΕΝ ΙΕΡΟΜΟΝΑΧΟΙΣ....474
ΚΥΡΙΟΝ ΠΑΥΛΟΝ ΤΟΝ ΑΣΑΝΗΝ. (Σελ. 150)....474
ΠΡΟΣ....484
ΤΟΝ ΙΕΡΩΤΑΤΟΝ ΚΑΙ ΤΑ ΘΕΙΑ ΣΟΦΟΝ....484
ΜΗΤΡΟΠΟΛΙΤΗΝ ΑΙΝΟΥ ΚΥΡ ΔΑΝΙΗΛ. (Σελ. 178)....484
ΠΡΟΣ....498
ΤΩ ΠΑΝΤΑ ΚΑΛΩ ΚΑΓΑΘΩ ΚΑΙ ΣΟΦΩ....498
ΝΟΜΟΦΥΛΑΚΙ ΣΥΜΕΩΝ (Σελ. 222)....498
ΠΡΟΣ....510
ΤΟΝ ΕΛΛΟΓΙΜΩΤΑΤΟΝ ΚΑΙ ΘΕΟΦΙΛΕΣΤΑΤΟΝ....510

ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΚΥΖΙΚΟΥ ΑΘΑΝΑΣΙΟΝ (Σελ. 258) ..................510
ΕΡΩΤΗΣΑΝΤΑ ΠΕΡΙ ΤΩΝ ΑΚΙΝΔΥΝΟΥ ΣΥΓΓΡΑΜΜΑΤΩΝ ......510
ΕΙ ΤΟΙΣ ΤΟΥ ΒΑΡΛΑΑΜ ΕΚΕΙΝΟΥ ΣΥΜΒΑΙΝΕΙ..............................510
ΠΕΡΙ ΤΟΥ ΘΕΙΟΥ ΦΩΤΟΣ ΚΑΙ ΤΗΣ ΘΕΙΑΣ ΧΑΡΙΤΟΣ ....................510
ΤΩ ΤΙΜΙΩΤΑΤΩ ΕΝ ΜΟΝΑΧΟΙΣ ..........................................................543
ΔΑΜΙΑΝΩ ΤΩ ΦΙΛΟΣΟΦΩ (Σελ.354) ..................................................543
ΠΡΟΣ ..........................................................................................................561
ΕΥΛΑΒΕΣΤΑΤΟΝ ΕΝ ΜΟΝΑΧΟΙΣ.......................................................561
ΚΥΡ ΔΙΟΝΥΣΙΟΝ (σελ. 404) ..................................................................561
ΟΜΟΛΟΓΙΑ (Σελ. 438)...............................................................................572
ΤΩ .................................................................................................................577
ΤΙΜΙΩΤΑΤΩ ΕΝ ΜΟΝΑΧΟΙΣ ................................................................577
ΤΩ ΑΣΚΗΤΙΚΩΤΑΤΩ ΚΥΡ ΒΗΣΑΡΙΩΝΙ (σελ. 452)...........................577
ΠΡΟΣ ..........................................................................................................580
ΤΟΝ ΙΔΙΟΝ ΑΔΕΛΦΟΝ.............................................................................580
ΤΟΝ ΤΙΜΙΩΤΑΤΟΝ ΙΕΡΟΜΟΝΑΧΟΝ ΚΥΡ ΜΑΚΑΡΙΟΝ (Σελ. 462)580
ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΤΩ ΑΓΙΩ ΟΡΕΙ .............................................................582
ΣΕΒΑΣΜΙΩΤΑΤΟΥΣ ΓΕΡΟΝΤΑΣ (Σελ. 468).........................................582
ΤΩι ...............................................................................................................587
ΟΣΙΩΤΑΩι ΕΝ ΙΕΡΟΜΟΝΑΧΟΙΣ ΚΑΙ ΕΜΟΙ ......................................587
ΕΝ ΚΥΡΙΩι ΦΙΛΤΑΤΩι ΚΑΙ ΑΔΕΛΦΩι ΚΑΙ ΠΑΤΡΙ ...........................587
ΚΑΙ ΔΕΣΠΟΗι ΤΩι ΟΝΤΩΣ ΦΙΛΟΘΕΩι (Σελ. 486) ............................587
ΠΡΟΣ ..........................................................................................................605
ΤΟΝ ΑΝΩΤΕΡΩ ΕΙΡΗΜΕΝΟΝ ΙΔΙΟΝ ΑΔΕΛΦΟΝ (Σελ. 538) ........605
ΤΗι ................................................................................................................609
ΚΡΑΤΙΣΤΗι ΚΑΙ ΕΥΣΕΒΕΣΤΑΤΗι ΔΕΣΠΟΙΝΗι..................................609
ΤΗι ΠΑΛΑΙΟΛΟΓΙΝΗι (Σελ. 550) ..........................................................609

## ΠΡΟΣ ΤΟΝ ΤΑ ΘΕΙΑ ΣΟΦΟΝ ΑΡΣΕΝΙΟΝ

**ΜΟΝΑΧΟΝ ΤΟΝ ΣΤΟΥΔΙΤΗΝ** (**σελ.** 48)

Εἰδέναι σε βούλομαι, θεσπέσιε πάτερ, ὡς ὅ νῦν αἰτεῖς παρ᾽ ἡμῶν ἕνεκα τοῦ πρόφασιν πᾶσαν ἐξαφανίσαι τῶν μάτην πολεμούντων ἡμῖν, ἐν τοῖς ἡμετέροις ἀνάγραπτον κεῖται λόγοις, κἄν εἰ

ἐθελοκωφοῦντες ἐκεῖνοι συκοφαντικῶς ἡμῖν, ἐπιτίθενται. Αὐτίκα ἐν τῷ Ἁγιορειτικῷ τόμῳ, ὅς ἔφθη πρό δύο ἐτῶν συγγραφείς παρ᾽ ἡμῶν, οὕτω φαμέν ἐπί λέξεως˙ «ἡ τῶν πάλαι προρρήσεων ἔκβασις σύμφωνα τοῖς φανεροῖς ἀνέδειξε τά τότε μυστήρια. Καί πιστεύομεν νῦν, εἰς Πατέρα καί Υἱόν καί ἅγιον Πνεῦμα, θεότητα τρισυπόστατον, φύσει μίαν, ἁπλῆν, ἀσύνθετον, ἄκτιστον, ἀόρατον, ἀπερινόητον», καί πάλιν, οὕτω καί τοῦ μέλλοντος αἰῶνος ἐν καιροῖς ἰδίοις ἀποκαλυφθέντος κατά τήν ἄφραστον ἔκφανσιν τοῦ ἐν τρισί τελείαις ὑποστάσεσιν ἑνός Θεοῦ», καί πάλιν, «τοῖς πέρασι τῆς γῆς ὕστερον ἐξεφάνη τό τρισυπόστατον τῆς θεότητος, τῷ λόγῳ τῆς μοναρχίας μηδαμῶς λυμαινόμενον». Ἀλλ᾽ εἰ καί μίαν ἐν τρισίν ὑποστάσεσι προσκυνοῦμεν θεότητα, καί τούς μή οὕτω φρονοῦντας ἀναθέματι καθυποβάλλομεν, ἀλλά καί τοῦ μεγάλου Διονυσίου λέγοντος ἀκούοντες ἐν τῇ δευτέρᾳ Πρός Γάϊον ἐπιστολῇ, τό τοῦ Θεοῦ θεοποιόν δῶρον «θεότητα καί θεαρχίαν, ἀγαθαρχίαν καί τόν τήν χάριν ταύτην τοῖς ἀξίοις παρέχοντα ὄντα Θεόν ὑπέρ ταύτην τήν θεότητα», καί ἀλλαχοῦ πάλιν, «αὐτοθεότητά (σελ. 50) φαμεν, ἀρχικῶς μέν καί θεϊκῶς καί αἰτιατικῶς, τήν μίαν πάντων ὑπεράρχιον καί ὑπερούσιον ἀρχήν καί αἰτίαν, μεθεκτικῶς δέ τήν ἐκδιδομένην ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προνοητικήν δύναμιν, τήν αὐτοθέωσιν», πειθόμεθα˙ πολυπλασιασμόν γάρ ὁ Θεός οὐ πάσχει οὐδέ δύο λέγει τις οὕτω θεότητας˙ ὥσπερ γάρ λέγομεν δύναμιν καί σοφίαν κοινήν Πατρός, Υἱοῦ καί Πνεύματος, ἀλλά καί δύναμιν καί σοφίαν τοῦ Πατρός τόν Υἱόν, αὐθυπόστατον μέντοι, ἐπεί δ᾽ ἀχώριστός ἐστι ταύτης τῆς αὐθυποστάτου δυνάμεως ἡ δύναμις ἐκείνη, μίαν εἶναι δύναμιν Πατρός, Υἱοῦ καί Πνεύματος ἥκιστα προσίσταται, τόν αὐτόν τρόπον θεότητος λεγομένης καί τῆς θεοποιοῦ χάριτος καί τῆς χορηγούσης τήν χάριν τρισυποστάτου φύσεως, μίαν εἶναι θεότητα οὐδέν τό προσιστάμενον. Ἡ γάρ θεοποιοός χάρις, ἥν καί προνοητικήν δύναμιν ὁ μέγας ὠνόμασε Διονύσιος, τῆς χορηγούσης τήν χάριν τρισυποστάτου θεότητος ἀχώριστός ἐστιν ἐνέργεια, σύνδεσμός τις ἀπόρρητος οὖσα καί ἕνωσις ὑπερφυής τοῦ τε Θεοῦ καί τῶν κατηξιωμένων ἕν πνεῦμα μετ᾽ αὐτοῦ γενέσθαι κατά τήν τοῦ ἀποστόλου φωνήν, «ὁ κολλώμενος τῷ Κυρίῳ ἕν Πνεῦμα ἐστιν».

Οὐκοῦν καθάπερ αὖθις Πνεῦμά ἐστιν ὁ ἐν Τριάδι προσκυνούμενος Θεός, κατά τήν πρός Σαμαρείτιδα τοῦ ἑνός τῆς Τριάδος φωνήν, ἀλλά Πνεῦμά φαμεν ἰδίως καί τό ἐκ τοῦ Πατρός ἐκπορευόμενον, ἔτι δέ καί τήν τοῦ Πνεύματος χάριν, «ἐνεφύσησε γάρ», φησί, «τοῖς μαθηταῖς καί

εἶπε, λάβετε Πνεῦμα ἅγιον», καί δύο ἤ καί πλειόνων πνευμάτων οὕτω λεγομένων, ἑνός οὐδέν ἧττον ἁπλοῦ καί ἀσυνθέτου Πνεύματός ἐσμεν προσκυνηταί, καί γάρ ἀδιαίρετά ἐστιν ἀλλήλων εἰ καί τῇ σημασίᾳ διενήνοχεν ἀλλήλων τά ὀνόματα˙ οὕτω θεότητα καλεῖν καί τήν θείαν φύσιν καί τήν θεοποιόν δωρεάν ὑπό τῶν (σελ. 52) ἁγίων παρελάβομεν. Ἀλλ᾽ ἐπειδή ἀδιαίρετοί εἰσιν ἀλλήλων αὗται, εἰ καί διενηνόχασιν ἀλλήλων κατά τό σημαινόμενον, ἐν μιᾷ προσκυνοῦμεν ἁπλῇ καί ἀσυνθέτῳ θεότητι τόν Πατέρα καί τόν Υἱόν καί τό Πνεῦμα τό ἅγιον. Ἄλλως τε, κἄν τήν φύσιν ὀνομάζῃ τις θεότητα, μία τῶν τριῶν ἡ φύσις, κἄν τήν ἐποπτικήν ἤ θεουργικήν αὐτῶν ἐνέργειαν, μία τῶν τριῶν ἐστιν˙ ὥστε καί οὕτω μία ἡ τῶν τριῶν ὑποστάσεων θεότης, καθάπερ καί ὁ μέγας φησί Βασίλειος.

Ἔτι πνευμάτων ἑπτά κατά τήν Ἠσαΐου προφητείαν ἐπαναπαυομένων τῷ ἀνθρωπίνῳ τοῦ Χριστοῦ, τίς ἀντερεῖ μή ἕν εἶναι τό συμπαρομαρτοῦν ἐκείνῳ Πνεῦμα; Τοῦτο γάρ καί Ἠσαΐας προεδήλωσεν˙ εἰπών γάρ, «ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καί ἄνθος ἐξ αὐτῆς ἀναβήσεται καί ἐπαναπαύσεται ἐπ᾽ αὐτόν Πνεῦμα Θεοῦ», τουτέστιν ἕν Πνεῦμα κατά τήν οὐσίαν, εἶτα ἐπιλέγει τάς ἑπτά τοῦ Πνεύματος ἐνεργείας˙ «πνεῦμα σοφίας καί συνέσεως, πνεῦμα βουλῆς καί ἰσχύος, πνεῦμα γνώσεως καί εὐσεβείας, πνεῦμα φόβου Θεοῦ», ὅν φόβον ἀσφάλειαν προσειπών ὁ μέγας Βασίλειος, τῷ Πνεύματι τοῦ Θεοῦ συνεῖναι ἀϊδίως ἡμᾶς ἐδίδαξεν. Ἀλλά τίς τοῦτο λέγει, ὅτι Πνεῦμα Θεοῦ ὁ Ἠσαΐας εἰπών, αὐτήν ἐδήλωσε τήν οὐσίαν; Ὁ Χρυσόστομος πατήρ ἐν τῷ Περί Πνεύματος λόγῳ, τίς ὁ τά ἑπτά πνεύματα τάς ἐνεργείας εἶναι λέγων τοῦ Πνεύματος. Ὁ Θεολόγος Γρηγόριος «τάς γάρ ἐνεργείας» φησί «τοῦ Πνεύματος, πνεύματα φίλον τῷ Ἠσαΐᾳ καλεῖν». Ἀλλά καί ἀπό τοῦ πρότερον εἰρῆσθαι τῶν ἑπτά τό Πνεῦμα τοῦ Θεοῦ συνειλημμένως τε καί ἑνιαίως ἐν ἑαυτῷ ἔχον δείκνυται τά ἐφεξῆς καί ἀπό τοῦ ἐξῃρῆσθαι καί μή συναριθμεῖσθαι τοῖς ἑπτά τό μοναδικόν ἐκείνου δείκνυται.

(σελ. 54) Καθάπερ οὖν τά πολλά πνεύματα τό μοναδικόν καί ἁπλοῦν καί ἀσύνθετον τοῦ Πνεύματος οὐκ ἀναιρεῖ, καί γάρ ἐνέργειαί εἰσιν αὐτοῦ, τόν αὐτόν τρόπον, κἄν πολλάς εἴπῃ τις κατά τούς ἁγίους θεότητας, τάς ἐνεργείας λέγων τῆς μιᾶς θεότητος τό μοναδικόν καί ἁπλοῦν καί ἀσύνθετον αὐτῆς οὐκ ἀναιρεῖ, πρός δέ τούτοις, κἄν πολλά σημαίνῃ τό τῆς θεότητος ὄνομα, ἀλλ᾽ οὐδέν τῶν σημαινομένων, ὅ μή καί τοῖς τρισίν ἐφαρμόζεται προσώποις, ὥστε καί οὕτω μίαν εἶναι τῶν

τριῶν θεότητα˙ «παρά τό θέοιν πανταχοῦ», γάρ φησίν ὁ Νύσσης θεῖος Γρηγόριος, «ἤ παρά τό θεᾶσθαι τά πάντα καί πρίν γενέσεως αὐτῶν ἤ παρά τό αἴθειν τουτέστιν ἀναλίσκειν πᾶσαν μοχθηρίαν», καί πάλιν ὁ αὐτός, «οὐ τήν φύσιν, ἀλλά τήν θεατικήν δύναμιν ἡ τῆς θεότητος προσηγορία παρίστησιν», ὁ δέ μέγας Βασίλειος, μή εἶναι φύσεως ὄνομα κυρίως τήν θεότητα διαβεβαιωσάμενος εἶτα «κἄν φύσιν, φησί, «σημαίνῃ τό τῆς θεότητος ὄνομα, κυρίως καί τῷ ἁγίῳ Πνεύματι τήν προσηγορίαν ἐφαρμόζεσθαι ταύτην».

Τίς δέ οὐκ οἶδε τό σεπτόν εὐαγγέλιον, ὅτι κοινωνίαν θεότητος ἐπαγγέλλεται; Τίς δ᾽ οὕτω χαμερπής τήν διάνοιαν, ὡς μεθεκτόν κατ᾽ οὐσίαν δοξάζειν τόν Θεόν καί κοινωνόν, φεῦ, ἑαυτόν τῆς ἀνεκφοιτήτου ἐκείνης καί ἀνεπάφου παντάπασιν ἀποφαίνεσθαι οὐσίας; Καί ταῦτα τοῦ μεγάλου Ἀθανασίου διαρρήδην φάσκοντος, ὅτι «τό Θεός εἶναι, δεύτερόν ἐστι τῆς φύσεως˙ καί γάρ θεοί μέν γινόμεθα, τῆς δέ αὐτῆς οὐσίας γενέσθαι οὐ δυνάμεθα»˙ καί πάλιν, «κατά μέν τήν θεοποιόν χάριν καί μετέχεται καί ὁρᾶται τοῖς ἀξίοις ὁ Θεός, κατ᾽ οὐσίαν δέ ἀμέθεκτός ἐστι»˙ καί τοῦ σεπτοῦ Μαξίμου, «κατά χάριν ὅλοι διόλου γινόμεθα θεοί, χωρίς τῆς κατ᾽ οὐσίαν ταυτότητος», καί τοῦ μεγάλου πάλιν Διονυσίου, (σελ. 56) «εἰ τήν ὑπερούσιον κρυφιότητα Θεόν ὀνομάσοιμεν, οὐδέν ἕτερον νοοῦμεν ἤ τήν εἰς ἡμᾶς προαγομένην ἐκθεωτικήν δύναμιν˙ αὐτῇ δέ κατά τήν πασῶν τῶν νοερῶν ἐνεργειῶν ἀπόλυσιν ἐπιβάλλομεν, οὐδεμίαν ὁρῶντες θέωσιν, ἥτις ἀκριβῶς ἐμφερής ἐστι τῇ πάντων ἐξῃρημένῃ κατά πᾶσαν ὑπεροχήν αἰτίᾳ».

Ἀλλά κτιστή ἐστι, φασίν, αὕτη ἡ θεότης, ἧς ὑπερκεῖσθαι τόν Θεόν ὁ μέγας ἔφη Διονύσιος – μίμησιν γάρ καί σχέσιν προσηγόρευσεν αὐτήν – μή συνορῶντες οἱ τάλανες ὅτι πολλά τῶν ἐπί Θεοῦ λεγομένων τά σημαίνοντα τήν σχέσιν˙ καί ἡ τοῦ Θεοῦ γάρ βασιλεία σχέσις τίς ἐστιν ὑπερφυής, ἀλλ᾽ οὐ παρά τοῦτο κτίσμα˙ τῷ δέ μιμήματι ὁ ἅγιος τό ἀμίμητον προσέθηκεν, οὐ μᾶλλον οὖν μίμησις ἤ ἀμιμησία˙ ἔστι γε μήν τό μίμημα καί ἐπί τῶν ἀκτίστων κατά τόν μέγαν θεολόγον Γρηγόριον˙ φησί γάρ ἐν τῷ δευτέρῳ τῶν Περί Υἱοῦ, «εἰκών ὁ Υἱός τοῦ Πατρός, ὡς ὁμοούσιος, καί ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ᾽ οὐκ ἐκ τούτου πατήρ˙ αὕτη γάρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου, καί οὗ λέγεται». Σαφῶς οὖν οὐχ ὑπ᾽ ἀγνοίας, ἀλλ᾽ ὑπ᾽ ἀγνωμοσύνης, οὐ πρός τοῦτο μόνον, ἀλλά καί πρός τἄλλα τῶν περί αὐτῆς εἰρημένων ἐκκεκώφωνται, οἱ περί τήν χάριν ἀχάριστοι. Πῶς

γάρ ἡ θεαρχία, ἡ ἀγαθαρχία, ἡ θέωσις, ἡ αὐτοθέωσις, ἡ τοῦ Θεοῦ θεότης, ἡ αὐτοθεότης, ἔσται ποτέ κτιστή; Πῶς τό ἀπολύτως καί ἀρχικῶς καί ὑπέρ τά ὄντα ὄν – καί ταῦτα γάρ περί αὐτῆς ὁ μέγας λέγει Διονύσιος - , κτιστοῖς συναριθμοῖτο ἄν; Πῶς τό θεοποιόν δῶρον ἀλλ᾽ οὐ θεοποιημένον ἔσται ποίημα; Πῶς ἡ πρόνοια τοῦ Θεοῦ, ἡ ἐκ Θεοῦ τοῦ ἀμεθέκτου προϊοῦσα καί (σελ. 58) ὑπερβλύζουσα καί μετεχομένη ὑπό τῶν πρός ἐκθέωσιν ἐπεστραμμένων, ἄγγελος ἔσται ἤ ψυχή ἤ τι τῶν κτιστῶν; Πῶς ἡ ἐκθεωτική καί ἀγαθοποιός τοῦ Θεοῦ δύναμις ἤ ἡ θεατική τοῦ εἰδότος πάντα πρίν γενέσεως αὐτῶν ἀρχήν τοῦ εἶναι λήψεται; Τίς νοῦν ἔχων καί τοῖς εὐσεβῶς φρονοῦσιν ἐγκατειλέχθαι προθυμούμενος τοιοῦτό ποτέ τι βάλοιτ᾽ ἐπί νοῦν;

Ὡς μέν οὖν ἄκτιστός ἐστιν ἡ χάρις αὕτη, καί οὐχ αὕτη μόνον, ἀλλά καί πᾶσα τοῦ Πνεύματος ἐνέργεια, πολλαχῶς καί αὐτός εὖ οἶδα παραστήσεις, ἅμα δέ καί πείσεις τούς μή διαβολικήν ἔχοντας τήν ἔνστασιν. Ὅτι δέ οἱ μή τοῦθ᾽ οὕτως ἔχειν πειθόμενοι Σαβελλίου καί Ἀρείου καί πολλῶν ἄλλων πονηράς αἱρέσεις εἰς μίαν τήν ἑαυτῶν συνεφόρησαν ψυχήν, κἄν ἐκ διαμέτρου πρός ἀλλήλας ἔχωσιν ἔνιαι αὐτῶν, τοῖς ἡμετέροις ἐντυχών συγγράμμασιν ἀκριβέστερον εἰδείης ἄν˙ δι᾽ αὐτό γάρ καί πάντα πράττουσιν ἀφανῆ γενέσθαι ταῦτα, ὡς στηλογραφίαν ὄντα τῆς αὐτῶν κακοδοξίας. Ὅρι δέ καί ὁ Βαρλαάμ τοῦθ᾽ ἡμῶν ἐτύγχανεν κατηγορῶν, καί αὐτός πρῶτος τά τοιαῦτα εἰς τό μέσον ἤγαγεν, ὁ Συνοδικός ἐναργές ποιήσει τόμος. «Ἀκούσας γάρ», φησίν, «ὁ Βαρλαάμ τῶν παρ᾽ ἡμῖν μοναχῶν λεγόντων ὡς ἀπό παραδόσεως ἐχόντων τῶν ἁγίων πατέρων, ὅτι οἱ διά τῶν ἐντολῶν τοῦ Θεοῦ κεκαθαρμένοι τάς καρδίας, ἐλλάμψεις θείας μυστικῶς καί ἀπορρήτως ἐγγινομένας αὐταῖς δέχονται, κατηγόρησεν αὐτῶν, ὡς τήν οὐσίαν τοῦ Θεοῦ μεθεκτήν λεγόντων. Τῶν δέ ἀπολογουμένων, οὐ τήν οὐσίαν, ἀλλά τήν ἄκτιστον καί ἀΐδιον καί θεοποιόν χάριν τοῦ Πνεύματος, διθεΐας αὐτοῖς ἐντεῦθεν ἔγκλημα προστρίψασθαι ἐπεχείρησεν». Ὁρᾷς σαφῶς, ὡς τοῦ Βαρλαάμ ὀπαδός ἐστι καί διάδοχος ἀκριβής (σελ. 60)ὁ Ἀκίνδυνος; Συνορᾷς δέ τοῦτο φανερῶς προκείμενον, ὡς τό θεοποιόν δῶρον, ὅ θεότητα μέν ὁ μέγας Διονύσιος ὀνομάσας ὑπερκεῖσθαι ταύτης ἔφη τόν Θεόν, ὁ δέ Ἀκίνδυνος κτιστόν εἶναι τοῦτο διατείνεται καί πάντας περινοστεῖ θορυβῶν καί ταράττων πολυτρόπως, ὡς μή ἄκτιστον εἶναι τοῦτο παραδέξασθαι, φανερῶς ἄκτιστον καί ἀΐδιον ὑπό τῆς ἐκκλησίας ἀνακηρυττόμενον, καί οὐ τοῦτο μόνον, ἀλλ᾽ ὡς καί ἡ χορηγοῦσα τοῦτο οὐσία τοῦ Θεοῦ ἄλλο

πως παρά τοῦτο; Οὐ γάρ τήν οὐσίαν φησίν ἀλλά τήν ἄκτιστον καί ἀΐδιον καί θεοποιόν χάριν τοῦ Πνεύματος.

Διό καί τοῦ Συνοδικοῦ τόμου προϊόντος, ὁ μέν μέγας Μάξιμος προάγεται λέγων, ὡς «ἡ μακαρία θεότης κατ᾽ οὐσίαν ἐστίν, ὑπεράρρητος καί ὑπεράγνωστος καί πάσης ἀπειρίας ἀπειράκις ἐξῃρημένη, οὐδ᾽ ἴχνος ὅλως καταλήψεως κἄν ψιλόν τοῖς μετ᾽ αὐτήν καταλείψασα», καί πάλιν, «ὁ τοῖς οὖσι μή κατ᾽ οὐσίαν ὑπάρχων μεθεκτός, κατ᾽ ἄλλον δέ τρόπον μετέχεσθαι τοῖς δυναμένοις βουλόμενος, τοῦ κατ᾽ οὐσίαν κρυφίου παντελῶς οὐκ ἐξίσταται»˙ ἀλλά καί ὁ μέγας Βασίλειος λέγων, «τό Πνεῦμα τό ἅγιον ἁπλοῦν τῇ οὐσίᾳ ποικίλον ταῖς δυνάμεσι», καί πάλιν, «αἱ μέν ἐνέργειαι τοῦ Θεοῦ ποικίλαι, ἡ δέ οὐσία ἁπλῆ˙ ἡμεῖς δέ ἐκ τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τόν Θεόν, τῇ δέ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα. Αἱ μέν γάρ ἐνέργειαι αὐτοῦ πρός ἡμᾶς καταβαίνουσιν, ἡ δέ οὐσία αὐτοῦ μένει ἀπρόσιτος», καί ὁ μέγας Ἀθανάσιος λέγων καί αὐτός σαφῶς, ὡς οὐ τήν οὐσίαν τοῦ Θεοῦ ἔβλεπον οἱ ἅγιοι, ἀλλά τήν δόξαν, ὡς καί περί τῶν ἀποστόλων γέγραπται, ὅτι "διαγρηγορήσαντες ὁ Πέτρος καί οἱ σύν αὐτῷ εἶδον τήν δόξαν τοῦ Χριστοῦ"».

(σελ. 82) Οὕτω τοίνυν τοῦ τε Βαρλαάμ καί Ἀκινδύνου τά αὐτά λεγόντων καθ᾽ ἡμῶν, μᾶλλον δέ κατά τῶν τοῦΘεοῦ ἁγίων, καί οὕτω παρρησίᾳ ἐξεληλεγμένων, τίς ἡ τελευταία ψῆφος καί συνοδική ἀπόφασις, ἐξ αὐτοῦ πάλιν ἄκουσον τοῦ τῆς Συνόδου τόμου, ἐν ᾧ καί περί τοῦ ἐν Θαβωρίῳ λάμψαντος φωτός προδιειλημμένου, ὡς ἐκ τούτου τά μάλιστα πρός τήν αὐτήν ὑπόθεσιν τείνοντος, ἐπιγέγραπται τελευταῖον, ὡς κοινῇ συνοδικῇ ψήφῳ, ἅτε κακῶς καί ἐπισφαλῶς τοῖς θείοις ἐπιβαλών ὁ αὐτός Βαρλαάμ καταψηφισθείς συγγνώμην ἐπί τούτοις δῆθεν ᾐτήσατο. «Καί γοῦν ἀποφαινόμεθα, ὡς εἰ μέν ἐνδείξεται ἀληθῶς μετάνοιαν καί οὐδαμῶς οὐκέτι περί τῶν τοιούτων λέγων καί συγγραφόμενος φωραθείη, εὖ ἄν ἔχοι˙ εἰ δ᾽ οὖν, ἀποκήρυκτος ἔσται καί ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καί ἀποστολικῆς ἐκκλησίας καί τοῦ ὀρθοδόξου τῶν χριστιανῶν συστήματος. Ἀλλά καί εἴ τις ἕτερός τι τῶν ὑπ᾽ ἐκείνου βλασφήμως καί κακοδόξως κατά τῶν μοναχῶν, μᾶλλον δέ τῆς ἐκκλησίας αὐτῆς, λαληθέντων ἤ συγγραφέντων φανείη πάλιν τῶν μοναχῶν κατηγορῶν, ἤ ὅλως τούτων ἐν τοῖς τοιούτοις καθαπτόμενος, τῇ αὐτῇ καταδίκῃ παρά τῆς ἡμῶν μετριότητος καθυποβαλλόμενος,

ἀποκήρυκτος ἔσται καί αὐτός καί ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καί ἀποστολικῆς ἐκκλησίας καί τοῦ ὀρθοδόξου τῶν χριστιανῶν συστήματος».

Τί τοίνυν; Ὅ βλασφήμως καί κακοδόξως ὁ Βαρλαάμ λέγων ἐξηλέγχθη κατά τῶν μοναχῶν, οὐ πρός τοῖς ἄλλοις καί πρό τῶν ἄλλων, ὡς, ἐπεί καί τήν ἀόρατον καί ἀμέθεκτον καί τοῖς ἁγίοις οὐσίαν τοῦ Θεοῦ καί τήν μεθεκτήν καί ὁρατήν τοῖς ἁγίοις θεοποιόν δωρεάν καί χάριν καί ἐνέργειαν ἄκτιστόν φασι, διθεΐᾳ περιπίπτουσι; Τοῦτο δή καί ὁ Ἀκίνδυνος οὐ διέλιπε κατηγορῶν (σελ. 64) ἡμῶν. Τοιγαροῦν ὡς καί αὐτός ἀφρόνως ἑαυτόν τῆς τοῦ Βαρλαάμ μερίδος ποιησάμενος, ἄν μή παύσηται καί μετάμελλον λάβῃ διορθώσας ἑαυτόν, κατά τήν ἀπόφασιν ταύτην τῆς συνόδου ἀποκήρυκός ἐστι καί ἀποτετμημένος τῆς ἁγίας τοῦ Χριστοῦ καθολικῆς καί ἀποστολικῆς ἐκκλησίας καί τοῦ ὀρθοδόξου τῶν χριστιανῶν συστήματος. Ἀλλά τί τό ἐφεξῆς τοῦ τόμου; «Μετ᾽ ἐμβριθείας μέντοι καί πνευματικῆς αὐστηρίας καί ἐπιτιμήσεως λέγομεν μηκέτι ἀπό τοῦ νῦν δογματίζειν ὅλως τινά τῶν ἁπάντων, κινοῦντα περί τούτων τε καί ἄλλων δογματικῶν λόγων». Ὁρᾷς κἀνταῦθα τόν κινοῦντα, ταὐτόν δ᾽ εἰπεῖν τόν κατηγοροῦντα, ἐπιτιμώμενον, ἀλλ᾽ οὐ τόν ἀπολογούμενον; Τίς οὖν ὁ κατηγορῶν; Οὐ φανερῶς ὁ Ἀκίνδυνος; Ἄλλως τε, εἰ μέν ἦν αὐτός πεπαυμένος ὅλως μετά καί τήν τοῦτον ἐξελέγξασαν δευτέραν σύνοδον, ἴσως ἄν τις ὑπείληφεν ἕτερον εἶναι τόν κεκινηκότα. Τούτου δέ διαλιπόντος οὐμενοῦν οὐδέ μετρίως, πῶς ἄν ἔχοι τις ἕτερον εἶναι φάναι τόν κινοῦντα; Πρός δέ τούτῳ, κἄν κινῇ κἄν μή κινῇ, δῆλός ἐστι μή μετανοήσας, μηδ᾽ ἑαυτόν διορθωσάμενος, ἀλλά τάς αὐτάς ἔχων ἐνερριζωμένας τῇ ψυχῇ κακοδοξίας. Ὥστε καθυποβλημένος ἐστί τῇ καταδίκῃ τοῦ συνοδικοῦ ἀφορισμοῦ μέχρις ἄν οὖν τοιοῦτος διαμένῃ καί τάς αὐτάς τῷ Βαρλαάμ κατηγορίας λέγῃ καθ᾽ ἡμῶν.

Οὕτω καί ἡμεῖς ἀπόβλητον ἔχομεν αὐτόν καί τούς περί αὐτόν καί οὐκ ὀκνήσομεν τήν αὐτοῦ κακοδοξίαν ἐξελέγχοντες, κἄν ἐπιχαίρῃ τῇ νῦν συγχύσει τῶν πολιτικῶν πραγμάτων, ὡς ἕρμαιόν τι τόν καιρόν ἁρπάζων καθ᾽ ἡμῶν˙ φασί γάρ καί τούς λύκους ἐν ταῖς καταιγίσι (σελ. 66) τέρπεσθαι. Ἀλλ᾽ ἡμεῖς τῶν δεσποτικῶν ἐκείνων ἐπακούοντες φωνῶν, δι᾽ ὧν ὡς πρόβατα ἐν μέσῳ λύκων πέμπων τούς τῆς ἀληθείας κήρυκας μή φοβεῖσθαι παραγγέλλει, οὐχ ὑποπτήξομεν οὐδόλως, κἄν γυναίου μανίαν περιβεβλημένου τινά δυναστείαν καθ᾽ ἡμῶν ἐπάγεται, καθάπερ οἱ ἱερεῖς τῆς αἰσχύνης τήν Ἰεζάβελ καί οἱ περί

Θεόφιλον τήν Εὐδοξίαν. Ἀλλ᾽ ἡμεῖς ὁρῶντες τήν ἔκβασιν τήν τῶν ἁγίων ἐκείνων ἀναστροφῆς, μιμησόμεθα, σύν Θεῷ δ᾽ ὁ λόγος, τήν ὑπομονήν, τῇ ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες. Ἴτω τοίνυν πειραστής, ἴτω δήμιος, καιέσθω τό πῦρ, θηγέσθω τό ξίφος, ὀξυνέσθωσαν ὄνυχες˙κἄν πᾶσα βάσανος ἐπ᾽ ἐμέ κινῆται, δέξομαι σύν προθυμίᾳ, μενῶ τήν πληροφορίαν ἐκίνητος ἐν αὐτῷ τῷ πνεύματι στηριζόμενος τοσοῦτο μᾶλλον χαιρήσω, καθ᾽ ὅσον μᾶλλον ὑποίσω. Καί γάρ αὐξήσω μᾶλλον ἐμοί τό θειότατον δῶρον, ὅ σύζυγόν ἔχει τήν ἀναφαίρετον εὐφροσύνην, καί χωρητικώτερον ἔσομαι σκεῦος τοῦ πνεύματος καί τήν ὑπόστασιν ἐν ἐμαυτῷ σχήσω τῶν μακαρίων ἐλπίδων, ἀρραβῶνος ἐπιτυχών ἐμφανέστερον. Ἐγώ μαρτύρων νέφος ᾧ συνεπαρθήσομαι πρός τήν ἐπηγγελμένην ὑπάντησιν˙ ἔχω δικαίων στῖφος, καθ᾽ ὧν τῆς κρείττονος ἀναστάσεως τεύξομαι˙ τοῖς ὁμολογηταῖς συνεκκλησιάσω˙ τῇ πανηγύρει τῶν πρωτοτόκων συναρίθμιος ἔσομαι˙ γερῶν καί τιμῶν ἀναθάντων μεθέξω. Καί τί μοι πρός ταῦτα λοιδορίαι καί συκοφαντίαι καί καταβοήσεις αἱ τούτων, κἄν τι τούτων ἰσχύσωσιν ἐπαχθέστερον ἤ βιαιότερον;

### *ΙΩΑΝΝΗ ΤΩ ΓΑΒΡΑ*

### *ΤΩ ΣΟΦΩΤΑΤΩ ΚΑΙ ΛΟΓΙΩΤΑΤΩ ΚΑΙ ΕΜΟΙ ΚΥΡΙΩ*

### *ΠΟΘΕΙΝΟΤΑΤΩ (Σελ. 68)*

Φησί που τῶν Παροιμιῶν ὁ Σολομών, «δίδου σοφῷ ἀφορμήν καί σοφώτερος ἔσται». Πεπεισμένοι μέν οὖν ἡμεῖς ἐγκελευομένῳ καί παραινοῦντι τῷ σοφισθέντι κατά τό γεγραμμένον ὑπέρ πάντας τούς πρό αὐτοῦ παρέχομεν ἀφορμήν ὑπέρ εὐσεβείας τῇ σῇ σοφίᾳ διά τουτωνί τῶν γραμμάτων, τέχνῃ μέν καί χάρισιν ἀττικαῖς οὐκ ἐσταλμένην ἄγαν πρός κάλλος (ρήμασι γάρ ἀκομψότερον ἔχουσιν ὡς τά πολλά προενήνεκται), τῷ δέ φωτί τῆς ἀληθείας ἐνωραϊζομένην εὖ μάλα, συναπαστράπτον ἔνδοθεν κεκτημένῳ κατ᾽ ἐμήν δύναμιν τό τῆς ὑγιοῦς διανοίας εἰλικρινές καί συμπαραμαρτοῦν ὑποφαῖνον διαρκῶς, ὡς ἐγῷμαι, τό πρός παράστασιν τοῦ προκειμένου πάντοθεν ἠκριβωμένον. Τούτων γάρ ἐμοί καί λίαν ἐμέλησεν˙ εἰ δ᾽ ἀνύσιμός τε

καί λυσιτελής ἡ προτροπή τοῦ σοφοῦ τοῖς ὑπείκουσι, σόν ἔτι δεῖξαι τοῦ προσεμένου τήν ἀφορμήν.

Χθές τοίνυν περί δείλην ἑῴαν, τινά τῶν ἱερογράφων δέλτων ἐπί τώ χεῖρε λαβών, ἐκ τοῦ ἐνδοτέρου τῆς κέλλης ἐπί τό μᾶλλον ἀναπεπταμένον εἰς φῶς ἐξῄειν ἀναγνωσόμενος. Ὁ δέ τῆς μονῆς μοι πυλωρός ὑπαντήσας, ἥκειν ἐθέλειν ὡς ἐμέ τινα τῶν γνωρίμων ἀπήγγειλεν, ἐπί τῆς προαυλίου πύλης ἑστῶτα, τοὔνομα ἐπειπών. Ὁ δέ ἦν, ὡς ἐκ τοῦ ὀνόματος ἐγώ κατενόησα, τῆς Ἀκινδύνου ἑταιρείας, τά πρῶτα καί τῷ Βαρλαάμ ἐκείνῳ πεφοιτηκώς, Ἀκινδύνου πρότερος οἶμαι.

(σελ. 70) Προσίτω δ᾽ ὅμως, ἔφην τῷ ὑφεστῶτι τῇ πύλῃ καί τήν ἀνά χεῖρας παρῆκα βίβλον. Ἀπαντηκότος τοίνυν ἐκείνου, πίστευσον, καί πρίν ἤ καθίσαι διά στόματος ἔρει τά τῆς πονηρᾶς ἐνστάσεως ῥήματα, ἥν ἀπό τῆς Πύρωνος ἐφεκτικῆς οὗτοι κακῶς ἐπί τά θεῖα μετήνεγκαν. Ἐγώ δ᾽ ὑπομειδιᾶν ἐπήρθην ἀκούων, καί, κάθισον γοῦν, ἐπεφώνουν αὐτῷ πυκνά. Καθίζει μέν οὖν ἐκεῖνος· ἐμοί δ᾽ ἐπί νοῦν ἦλθεν ὁ μέγας Βασίλειος, μετά τό εἰπεῖν, «πῶς οὖν ἐγώ καινοτόμος, ὁ τοῖς διαπρεπέσιν ἐν δυνάμεις λόγου καί πνεύματος συμφθεγγόμενος, ἀλλά πλήρη πάντων τῶν ἡμετέρων διαοβολῶν», ἐπιφέρων, «λυπηρά μέν οὖν ταῦτα καί ὀδυνηρά ταῖς καρδίαις τῶν τήν εἰρήνην ζητούντων». Τούτου τοίνυν μνησθείς ἀντί τοῦ μειδιᾶν σκυθρωπάζειν ἠρξάμην. Ὡς δ᾽ ὁ παρακαθήμενος οὐκ ἀνῄει τοῖς παραλογισμοῖς, ἀλλόκοτά τινα καθ᾽ ἡμῶν συμπεραίνων, ἠναγκάσθην προσδιαλέγεσθαι. Καί ὁ πολύς τάς ἀποδείξεις, ὡς ᾤετο πρότερον, ἐμοῦ πρός τάς προτάσεις ἀπαντῶντος ἐκείνου καί ταύτας ἀνιστάντος σύν οὐδενί πόνῳ, συμπεραίνειν εἶχεν οὐδέν.

Καί τέλος ἀπειπών καί εἰπών, οὕτω καί τόν Ἀκίνδυνον ἔστιν ἐφ᾽ ὧν δοκεῖτε νικᾶν τάς διαλέξεις συγχέοντες, ἀλλ᾽ἄκουσον, ἔφη, τῶν γεγραμμένων αὐτῷ ῥητορικῶς τουτωνί πρός τήν Διάλεξιν, ἥν ἡμεῖς ὀρθοδόξου πρός βαρλααμίτην ἐπιγεγράφατε.

Ταῦτ᾽ οὖν εἰρηκώς, εἰς χεῖρας ἐκ τοῦ κόλπου λαβών καθ᾽ ἑαυτόν ἐπῄει τό σύγγραμμα, τά γενναιότερα τῶν ἐπιχειρημάτων ἐκλεγόμενος, ἅ καί κηρῷ προσημηνάμενος ἦν.

Ἐγώ δέ πρός αὐτόν ἔλεγον· οὐκοῦν ἔδειξε σαφῶς, (σελ. 72) ὅ πολλάκις ἀρνεῖται, βαρλααμίτης ὤν ὁ Ἀκίνδυνος ἀντιλέγει γάρ ὡς πρός αὐτόν οὔσης τῆς πρός Βαρλααμίτας πεποιημένης ἡμῖν Διαλέξεως. Τό δέ καί ῥητορικῶς περί Θεοῦ γράφειν αὐτόν, ὡς

κατάλληλόν τε καί πρεπωδέστατον. Ἀναγίνωσκε δ᾽ ὅμως ὅ βούλοιο˙ τάχα νῦν ὄψει τό τῆς παροιμίας, «ἵππον εἰς πεδίον ἕλκεις».

Ἀνάπλεως γάρ ἦν ἐγώ θάρσους ἅτε τά τοιαῦτα προεσκεμμένος, τοῦ σοφῶς ἐπίτηδες ὑποκρινομένου τήν πρός αὐτούς ὁμολογίαν πρό τριῶν ἡμερῶν ἐμοί πάντα προσενεγκόντος. Οἶσθα τοίνυν οὗ τῆς Διαλέξεως ἐκ τῶν πατερικῶν ἀναπέφηνε λόγων, ὡς πάσης δυνάμεως καί ἐνεργείας θείας ἡ οὐσία τοῦ Θεοῦ κατά τόν ἄφραστον καί ἀπροσπέλαστον διαφερόντως ὑπέρκειται. Μηδέν οὖν ἔχων πρός τήν φανεράν παράστασιν ἀντειπεῖν ὁ Ἀκίνδυνος πρός βδελυράν ἐρεσχελίαν ἐτράπετο, ἥν προβαλόμενος ὁ παρών ἀνεγίνωσκεν, ἔχουσαν οὕτω.

Μᾶλλον δέ ἐμοί μέν ἐρωτητέον, σοί δέ ἀποκριτέον.

Εἰπέ δή μοι˙ δημιουργούς τῶν ὄντων εἶναι λέγεις τάς ὑφειμένας ταύτας δυνάμεις τε καί θεότητας, ἤ θεούς μέν καί θεότητας ἀκτίστους καί τῷ μεγάλῳ καί πάντων ὑπερκειμένῳ συναϊδίους Θεῷ, μή μέντοι καίποιητάς τοῦ παντός; Εἰ μέν δή τό πρότερον, ἐναντία τοῖς θείοις ἡμῶν πατράσι καί τοῖς ὅροις τῆς εὐσεβείας λέγεις, ἐξ ὧν ἕνα καί μόνον δημιουργόν τοῦ παντός παρειλήφαμεν, τόν ἀνωτάτω Θεόν˙ εἰ δέ τό δεύτερον, ἄκουσον θείας φωνῆς, ἧσπερ οἱ θεοί τῶν Ἑλλήνων ἀκηκοότες ἀπώλοντο˙ «θεοί, οἵ τόν οὐρανόν καί τήν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν». Καί οἱ σοί τοίνυν θεοί τοῦτ᾽ ἀκούσαντες ἀπολέσθωσαν, οἱ ἀπειράκις ἀπείρως ὑφειμένοι τοῦ πάντων ὑπερκειμένου, καί εἰ δημιουργούς αὐτούς λέγεις καί εἰ μή δημιουργούς τοῦ παντός. Ὧν (σελ. 74) περί ἑνός σύ σύν παρρησίᾳ βοᾷς – πῶς γάρ οὐ Θεός τό θεοποιοιῦν ἐμέ; - θεοποιεῖν σε λέγων τήν ἀνούσιον χάριν καί ἐνυπόστατον καί ἐνεργουμένην καί ἀπειράκις ἀπείρως ὑφειμένην τῆς παντουργοῦ Τριάδος. Καί ὅ περί τοῦ μεγάλου Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ καί τοῦ παναγίου Πνεύματος οἱ θεῖοι πατέρες ἡμῶν ἔλεγον πρός τούς κτιστά ταῦτα δυσσεβεῖς ἡγουμένους, τοῦτο σύ λαβων, περί τῆς ἀνουσίου καί ἀνυποστάτου καί ἐνεργουμένης καί ἀπειράκις ὑφειμένης ἀπείρως τοῦ πάντων ἐπέκεινα τρισυποστάτου Θεοῦ ἐνεργείας ἀγαθῶς ἀποφαίνῃ καί ουτωσί δυσσεβῶς, ὥστε δυοῖν θάτερον ἐξ ἀνάγκης συμβαίνειν, ἤ τάς τοιαύτας ἐνεργείας τοῦ ἐκείνων κοινωνεῖν ἀξιώματος καί ὑποστάσεις εἶναι καί πρόσωπα, ὡς εἶναι μηκέτι τήν Τριάδα Τριάδα, μυριάδα δέ τοῖς προσώποις καί ὑποστάσεσιν, ἤ ἐκεῖνα τοῦ τούτων ὡς εἶναι τόν Υἱόν τοῦ Θεοῦ Πατρός καί Θεόν ἡμῶν καί τό Πνεῦμα τό ἅγιον ἀνούσια καί

ἀνυπόστατα ἐνεργούμενα, καί οὕτω τῆς θείας οὐσίας ἀλλότρια καί ὑφειμένα, ὡς τά ἐνεργούμενα τοῦ ἐνεργοῦντος καί τά ἀνούσια τῆς οὐσίας καί τοῦ ἀμερίστου τά μεριστά καί τοῦ ἀοράτου τά ὁρατά καί ὅλως εἰπεῖν ἀπειράκις ἀπείρως˙ ὧν ἀσεβέστερόν τι τίς ἄν ἐννοήσειεν;

Ἐγώ δ᾽ ἐκαθήμην ἀκούων ὁμοῦ τε τό καταγέλαστον ἐπ᾽ ἐμαυτοῦ λογιζόμενος τῆς φλυαρίας τοῦ συγγραφέως καί τό τῆς ἀναπεφυρμένης αὐτῇ δυσσεβείας ἐλεεινόν. Ἅ δέ καί πρός τόν ἀνεγνωκότα διῆλθον, μᾶλλον δέ τούτων πρός ἅ μηδ᾽ ἀντιλέγειν ἐκεῖνος εἶχε, δοκεῖ μι παίζειν, ἔφην, ἐν οὐ παικτοῖς ὁ Ἀκίνδυνος καί σκιαμαχεῖν μέν, ἀλλά κατά τῆς ἑαυτοῦ κεφαλῆς τε καί ψυχῆς καί τῶν τοῖς αὐτοῦ λόγοις προσεχόντων ὑμῶν. Τίς γάρ ἡμῶν πολλούς εἶναι λέγει δημιουργούς; Τίς δέ μεγάλους δοξάζει καί μικρούς θεούς; Τίς δέ τάς θείας (σελ. 76) δυνάμεις καί ἐνεργείας τῆς θείας οὐσίας ἀποτεμόμενος, εἶτα ποιητάς ἤ μή ποιητάς τῶν ὄντων ἐδόξασε; Τίς δέ πλήν αὐτοῦ καί τῶν ὁμοφρόνων αὐτῷ τάς δυνάμεις τοῦ Θεοῦ, τήν θεατικήν, τήν θεοποιόν, αὐτήν τήν ἐπ᾽ ὄρους παραδεχθεῖσαν τοῦ Θεοῦ λαμπρότητα καί τά παραπλήσια τούτοις, ἅτε μή οὐσίας ὄντα, τῆς ἀκτίστου θεότητος ἀπαλλοτριώσας τοῖς κτιστοῖς συνέταξεν ἀφρόνως; Τοιγαροῦν ἤ μάτην κατ᾽ οὐδενός ἤ καθ᾽ ἑαυτοῦ τάς φληνάφους ταύτας συνέθηκεν ἀντιρρήσεις. Ἐπεί δέ καί τό ὑφειμένον καί ὑπερκείμενον πολύ πανταχοῦ τῶν λόγων αὐτῷ, ἐνταῦθα δέ μή μόνον ἀρχόμενος καί μεταξύ λέγων καί τελευτῶν εἰς διαβολήν ἡμετέραν προὔθηκεν, ἀλλά καί τό ἀπειράκις ἀπείρως προσέθηκε, ποῦ τοῦθ᾽ εὗρε τῶν ἐμῶν συγγραμμάτων; Οὐδαμοῦ γάρ ἐγώ τοῦτ᾽ οἶδα παρ᾽ ἐμαυτοῦ γεγραμμένον. Ὁ δέ προσδιαλεγόμενος, ἐν αὐτῇ, φησί, τῇ Διαλέξει κἀν τῷ Ἁγιορειτικῷ τόμῳ κεῖται. Κόμισόν μοι τοίνυν τῷ ὑπηρετουμένῳ τόν τόμον ἐκεῖνον εἰπών, ὑπό τό πρός κεφαλῇ πίλον κείμενον, τῷ συντυχάνοντι ἔφην. Οὐκοῦν ὁ Ἀκίνδυνος τῷ ἐπωνύμῳ τῆς ἁγιότητος ὄρει προστρίβεται τάς δυσσεβείας, ἐναγής αὐτός ὡς ἔοικεν ὤν. Εἶτα λαβών εἰς χεῖρας τόν τόμον καί ἀναπτύξας εὕρων κἀκείνῳ ὑπέδειξα, οὐ τόν Παλαμᾶν, ἀλλά τόν θεῖον Μάξιμον τοῦτο γράφοντα. Τούτου γάρ ἐκ τῆς πρώτης τῶν θεολογικῶν ἑκατοντάδος ὁμοῦ τρία κεφάλαια προενήνεκται, πρός μαρτυρίαν τοῦ τῶν θείων ἐνεργειῶν ἀκτίστου. Τά δύο τοίνυν τούτων ἑκατέρωθεν τό ἄκτιστον ταῖς μετοχαῖς ἁπάσαις προσμαρτυρεῖ. «Τά μέν γάρ τούτων», φησί, «μετέχοντα χρονικῶς ἦρκται, τουτέστιν ἄγγελοί τε καί ἄνθρωποι καί ἡ κατά φύσιν ἐν αὐτοῖς ζωή τε καί ἀθανασία˙ μόνον γάρ τό θεῖον

ἄχρονόν ἐστιν». «Οὐκ ἦρκται δέ χρονικῶς»,. φησί, «τά μεθακτά, οἷον ἡ (σελ. 78) ἀγαθότης καί ἡ ὀντότης καί ἡ ζωή καί ἡ ἀθανασία καί ἁπλῶς ὅσα περί τόν Θεόν οὐσιωδῶς θεωρεῖται, κἄν τά μετέχοντα αὐτῶν κατ᾽ αὐτά ἦρκται τοῦ εἶναι χρονικῶς»˙ μή ἦρχθαι δέ τά μεθακτά εἰπών, προσέθηκε τό χρονικῶς, ἐπεί κατ᾽ αἰτίαν ταῦτ᾽ οὐκ ἔστιν ἄναρχα, τόν Θεόν ἀρχήν ἑαυτῶν ἔχοντα ὡς αἴτιον τούτων κατ᾽ οὐσίαν, καθάπερ καί αὐτός τελευτῶν τοῦ προτέρου κεφαλαίου φησίν˙ «ἄναρχος πᾶσα ἀρετή μή ἔχουσα τόν χρόνον ἑαυτῆς πρεσβύτερον, οἷα τόν Θεόν ἔχουσα τοῦ εἶναι μονώτατον ἀϊδίως γεννήτορα». Χρόνον δέ ἐνταῦθα καί τόν αἰῶνα προσηγόρευσε, καθάπερ καί ὁ περί τοῦ Υἱοῦ θεολογῶν εἰ δέ τήν ἀπό χρόνου», φησί, λαμβάνεις ἀρχήν, καί ἄναρχος ˙ ποιητής γάρ χρόνου, οὐχ ὑπό χρόνου. Ὁ δέ κτίσματα πάντα λέγων Ἀκίνδυνος καί τά μεθακτά καί τά μετέχοντα, μανθανέτω μηδέν εἶναι τῶν κτισμάτων, ὅ μή μετοχῇ τό εἶναι ἔχει, καί ἀκουέτω τοῦ λέγοντος «μόνος ὁ Θεός μετέχεται μόνον, ἡ δέ κτίσις μετέχει μόνον τοῦ εἶναι, ἀλλ᾽ οὐ μεταδίδωσι τοῦ εἶναι». Εἰ μέν οὖν τά μεθεκτά ταῦτα, δηλονότι τήν μετεχομένην ὀνότητά τε καί ζωήν, μή μετοχῇ φησιν ὁ Ἀκίνδυνος τό εἶνα ἔχειν, οὐκ ἐκτός ἐστι ταῦτα τοῦ Θεοῦ˙ μόνος γάρ οὗτος ὁ μή μετοχῇ τό εἶναι ἔχων. Οὐκοῦν φανερῶς κτίσμα τόν Θεόν ποιεῖ τοῖς κτιστοῖς αὐτά συντάττων, οὐδ᾽ ἐκεῖνο λογισάμενος, ὡς τεχνητοῦ παντός ἐν τῷ τεχνίτῃ αἱ ἀρχαί. Εἰ δέ μετοχῇ τό εἶναι ἔχειν καί τά μεθεκτά φησι, τῶν μετεχόντων καί ταῦτ᾽ ἔσται πάντως, ἀλλ᾽ οὐ τῶν μεθεκτῶν. Δεῖ δή ζητεῖν ἕτερ᾽ ἄττα μεθεκτά, κἄν ταῦτα πάλιν μετοχῇ τό εἶναι ἔχῃ, πάλιν ἕτερα ζητεῖν καί τοῦτο ἐπ᾽ ἄπειρον, μέχρις ἄν ἔλθωμεν εἰς τάς ἀκτίστους ἐνεργείας τῆς θείας φύσεως, δηλονότι τήν μετεχομένην μέν ὑπό τῶν ἠργμένων (σελ. 80) πάντων εἶναι, μηδενός δέ αὐτήν μετέχουσαν ὀντότητα καί τήν συντηρητικήν τῶν ὄντων πρόνοιαν, ἧς τά ὄντα μετέχοντα τηρεῖται καί συνέστηκε, καί τήν ζωήν, ἧς τῇ μετοχῇ τά ζῆν ἠργμένα πάντα ζῇ, κατ᾽ αἴσθησιν καί νοῦν καί λόγον.

Ἡ μέν οὖν τοῦ αὐτοεῖναι μετοχή κατ᾽ οὐδένα τρόπον οὐδενός μετέχει, καθάπερ καί ὁ μέγας Διονύσιός φησι, τά δ᾽ ἄλλα μεθεκτά, ᾗ μέν ὑπάρχει μεθεκτά καί τῶν ὄντων ἀρχαί μετέχει τό παράπαν οὐδενός (οὐδέ γάρ ἡ πρόνοια προνοίας οὐδέ ἡ ζωή ζωῆς μετείληχεν), ᾗ δ᾽ ἔχουσι τό εἶναι, μετέχειν λέγονται τοῦ αὐτοεῖναι, ὡς χωρίς αὐτοῦ μή οὖσαι μηδέ μετεχόμεναι, καθάπερ οὐδ᾽ ἡ πρόγνωσις χωρίς τῆς γνώσεως. Διό καί κοινῇ περί αὐτῶν ἁπάντων ἐν τοῖς Κεφαλαίοις

τούτοις καί ὁ θεῖος Μάξιμός φησιν˙ «οὐ γάρ ποτε πρεσβύτερον ἀρετῆς τό οὐκ ἦν οὐδέ τινος ἄλλου τῶν εἰρημένων»˙ καί πάλιν «ἄναρχος γάρ πᾶσα ἀρετή μή ἔχουσα τόν χρόνον ἑαυτῆς πρεσβύτερον, οἷα τόν Θεόν ἔχουσα τοῦ εἶναι μονώτατον ἀϊδίως γεννήτορα». Καί μικρόν ἀνωτέρω τελέως ἐμφράττων ἔτι τό ἀπύλωτον Ἀκινδύνου στόμα, τοῦ κατασπῶντος διά τούτων εἰς κτίσμα τό θεῖον «περί τόν Θεόν» φησί «ταῦτ᾽ οὐσιωδῶς θεωρεῖσθαι», κἀν τῷ πεντηκοστῷ τῶν Κεφαλαίων ὡς «οὐκ ἦν ὅτε οὐκ ἦν τα τοιαῦτα» φανερῶς ἀποφαίνεται. Τοσοῦτον γάρ ἀπέχει τοῦ εἶναι κτίσμα τό μεθεκτόν καί μή μετέχον, ὡς καί τόν μέγαν ἐν θεολογίᾳ Γρηγόριον τοῦτ᾽ ἀναφέρειν εἰς ὕμνον τῷ θείῳ Πνεύματι, τό Πνεῦμα, λέγοντα, τό ἅγιον μεταληπτόν ἐστιν, οὐ μεταληπτικόν, καί τόν μέγαν Ἀθανάσιον ἐντεῦθεν παραστῆσαι τό ἄκτιστον αὐτοῦ (σελ. 82) γράφοντα, «πάλιν καί ἐκ τούτων ἄν τις ἴδοι τό Πνεῦμα τό ἅγιον ὡς μεθεκτόν ἐστι καί οὐ μετέχον – τά αὐτά γάρ λέγειν οὐκ ὀκνητέον - “ἀδύνατον γάρ”, φησί, ”τούς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τοῦ ἐπουρανίου καί μετόχους Πνεύματος ἁγίου γενομένους καί καλόν γευσαμένους Θεοῦ ῥῆμα». Εἰ δέ ἄγγελοι καί τά ἄλλα κτίσματα μετέχοντά ἐστιν αὐτοῦ τοῦ Πνεύματος (διά τοῦτο γάρ ταῦτα μέν καί ἐκπίπτειν οὗ μετέπειτα δύναται), τό δέ Πνεῦμα ἀεί τό αὐτό ἐστι καί μεθεκτόν, τά δέ κτίσματα μετέχοντά ἐστιν αὐτοῦ τοῦ Πνεύματος (διά τοῦτο γάρ ταῦτα μέν καί ἐκπίπτειν οὗ μετέσχον δύναται), τό δέ Πνεῦμα ἀεί τό αὐτό ἐστι καί μεθεκτόν, τά δέ κτίσματα μετέχοντά ἐστιν αὐτοῦ, οὐκ ἄν εἴη τό Πνεῦμα τό ἅγιον οὔτε ἄγγελος οὔτε ὅλως κτίσμα. Μεθεκτόν δέ ἐστι τό Πνεῦμα τό ἅγιον κατά τάς ἐνεργείας, ἀλλ᾽ οὐ κατ᾽οὐσίαν». Πάλιν γάρ ὁ αὐτός Μάξιμος βοᾷ, «κατ᾽ οὐσίαν ἀμέθεκτόν ἐστι τό θεῖον˙ οὐκοῦν καί ἄκτιστά ἐστι τά μεθεκτά, ὧν μετέχουσιν ἄγγελοί τε καί ἄνθρωποι, καί οὐσία θεία οὐκ ἔστι». Ταῦτ᾽ἄρα τά μέν ἑκατέρωθεν ἐκεῖνα τοῦ σεπτοῦ Μαξίμου Κεφάλαια τάς μετεχομένας θείας ἐνεργείας φησίν ἀνάρχους, θάτερον δέ τό μεταξύ τοῖς δυοῖν πάντων, φησί, καί τῶν μετεχόντων καί τῶν μεθεκτῶν ἀπειράκις ἀπείρως ὁ Θεός ὑπερεξήρηται, κατ᾽ οὐσίαν πάντως. Εἰ δέ τις πρός τό ἀπειράκις ἀπείρως δυσχεραίνει, μετρήσας αὐτός ἐξαγγελέτω τήν ὑπεροχήν ὅση τῶν τε μεθεκτῶν πρός τά μετέχοντα καί τῆς θείας οὐσίας πρός τά μεθεκτά.

Ἀλλά γάρ ταῦτα δείξας παρακαθημένῳ τῷ προσδιαλεγομένῳ, οὐκ ἄρα κατά τῶν ἁγίων φανερῶς μέμηνεν ὁ Ἀκίνδυνος, ἔφην, καί τόν

Παλαμᾶν καθάπερ τι προσωπεῖον τῆς εἰς αὐτούς βλασφημίας διατελεῖ προβαλλόμενος; Εἶτα καί τῆς πρός Βαρλααμίτας ἐνεχθείσης Διαλέξεως εὕρομεν καί ἐν αὐτῇ ταύτῃ γεγραμμένον, «πάντων τῶν μετεχόντων ὡς μή μετοχῶν ὄντων, (σελ. 84) ἀρχήν τοῦ εἶναι σχόντων». Αἱ μετοχαί οὐδέποτε τοῦ εἶναι ἤρξαντο κατά τόν θεῖον Μάξιμον, καίτοι κατ᾽ αὐτόν καί τούτων πασῶν ἀπειράκις ἀπείρως ὁ Θεός ὑπερεξῄρηται. Πῶς οὖν ὑπεύθυνος ἐγκλήμασιν ὁ Παλαμᾶς, ὅτι ὁ Μάξιμος εἶπεν οὕτω, μᾶλλον δέ πῶς οὐ πάσης διαβολῆς ὑψηλότερος ὁ Παλαμᾶς, αἰσχύνῃ λαμπρᾷ περιβάλλων τούς αὐτοῦ κατηγόρους, ὅτι τε τῷ θείῳ Μαξίμῳ συμφωνεῖ καί ὅτι τοῦτον αὐτόν θεολογοῦντα προάγει;

Καί πῶς, φησίν ἐκεῖνος, ὁ ἅγιος Μάξιμος οὕτως ἔγραψεν;

Ἕπεσθαι τοῖς ἁγίοις, ἔφην, ἐδιδάχθημεν ἡμεῖς, ἀλλ᾽ οὐ λογοθετεῖν τε καί λογοπραγεῖν αὐτούς. Οὐ μήν ἀλλ᾽ ἴσμεν καί πάντων τῶν ὅπως ποτέ λεγομένων τε καί νοουμένων καί μετεχομένων κατ᾽ οὐσίαν ὑψηλότερον τό θεῖον ὄν˙ πάσαις γάρ ἐπινοίαις ἄψαυστον ἐκεῖνο τό ὕψος, ὡς κατ᾽ αὐτήν πάντων ἀπολελυμένον, διό καί ὑπέρ πᾶσαν ἔκφρασιν καί μετοχήν ὑπάρχον. Οὐ μήν διά τοῦτο πάντα τά περί αὐτήν θεοπρεπῶς νοούμενα κτιστά νοοῦμεν τοῦ λέγοντος ἀκούοντες, «πᾶν ὅ,τι πέρ ἐστι περί τόν Θεόν νοούμενον, τοῦτο πρό τῆς τοῦ κόσμου συστάσεως ἦν, ἀλλ᾽ ὀνομάζεσθαι ταῦτά φαμεν μετά τό γενέσθαι τόν ὀνομάζοντα», καί παρά τοῦ μεγάλου διδασκόμενοι Ἀθανασίου, ὅς μετά τό εἰπεῖν, οὐχ ἕνεκεν κτιστῶν πραγμάτων ἔφη ὁ σωτήρ, «πάντα ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστιν», ἀπαριθμούμενος ταῦτα τά κοινά Πατρός, Υἱοῦ καί Πνεύματος, «τό ἀγαθόν εἶναι», φησί, «καί τό δίκαιον καί τό ἄπειρον καί τό ἀθάνατον καί πάντα τά περί τήν οὐσίαν», ὡς αὐτός ἐν ἄλλοις διδάσκει, θεωρούμενα καί θεολογούμενα καί ὑμνούμενα, «ὧν ἕκαστον», ὡς αὐτός πάλιν καί τοῦτό φησιν, «οὐκ οὐσία ἐστίν, ἀλλά περί τήν οὐσίαν».

(σελ. 86) Ὑμεῖς δ᾽ οἱ πᾶν ὅ,τι διενήνοχεν ὁπωσοῦν τῆς οὐσίας τοῦ Θεοῦ καί πᾶν ὅ μή ἐφικνεῖται τοῦ κατά τό ἀμέθεκτον καί ἀνέκφραστον καί παντάπασιν ἀπερινόητον ἐκείνης ὕψους κάτω τιθέντες μετά τῆς κτίσεως καί τήν ὑπερουσιότητα ῥᾳδίως ἄν κατασπάσαιτε. Καί ταύτης γάρ ὑπερεξῃρῆσθαι τόν Θεόν ὁ μέγας ἐθεολόγησε Μάξιμος, ἐπέκεινα τῶν λεγομένων πάντων τιθέμενος, ὡς ἀνώνυμόν τε καί ὑπερώνυμον, ἐπεί καί ὁ μέγας Διονύσιος πάσης θέσεως καί ἀφαιρέσεως ὑπερκεῖσθαι τόν Θεόν φησίν, ἡ δ᾽

ὑπερουσιότης θέσις ἐστί, κἄν ὑπεροχικῆς ἀφαιρέσεως ἔχῃ δύναμιν˙ ἀλλά καί ταύτης ὑπερκεῖσθαι τό θεῖον, ὡς ἀκήκοας, οἱ θεολόγοι φασίν. Ὑμᾶς δ᾽ ἔοικεν ὁ φθόνος οὐ κατά τοῦ Παλαμᾶ κινεῖν, ἀλλά κατ᾽ αὐτῆς τῆς μεγαλωσύνης τοῦ κτίσαντος. Οὐδέν γάρ ἕτερον ὁ Παλαμᾶς ε ἶπεν ἤ ὅτι πάντων τῶν λεγομένων καί μετεχομένων καί νοουμένων ὁπωσοῦν ὁ Θεός κατ᾽ οὐσίαν ἀνώτερος, ὑπερυψώσας εὐγνωμόνως τόν ἀπαναστήσαντα τῆς κάτω τύρβης αὐτόν, τό δ᾽ ἔτι μεῖζον εἰς εὐλαβείας λόγον, ὅτι μηδέ παρ᾽ ἑαυτοῦ τόν θεῖον ὕμνον συντίθησί τε καί δείκνυσι, καίτοι πρός ἀνάγκην τοῖς κτιστόν ἅπαν ὅπερ οὐκ οὐσία θεία καί πᾶν ἄκτιστον οὐσίαν τοῦ Θεοῦ τιθεμένοις ἀντιφθεγγόμενος, ἀλλά διά τῶν πατερικῶν φωνῶν ὑπερηψοῖ τόν τῶν πατέρων Θεόν καί τούς ὑπεναντίως τοῖς πατράσι θεολογοῦντας κατά κράτος αἱρεῖ. Τί γάρ εἰ θορυβοῦσι πάλιν, καιροῦ λαβόμενοι λίαν αὐτοῖς προσήκοντος; Εἰ μέν οὖν ἐλπίς ἐστι τῷ Ἀκινδύνῳ μηδέποτε πεπαῦσθαι τήν νῦν κατέχουσαν ἐμφύλιον στάσιν καί τά συνηγοροῦντα ταῖς τατερικαῖς παραδόσεσιν ἐν γωνίᾳ που κεῖσθαι τόν ἅπαντα χρόνον, αὐτόν δέ κατορχεῖσθαι τῆς ἀληθείας ἀνέδην, ὡς κατάλληλον ὄντα τῇ τοιαύτῃ καταστάσει τοῦ βίου, μή ἀνείτω γράφων τά τοιαῦτα παραληρήματα παρ᾽ οὐδέν τιθέμνος τήν (σελ. 88) ἄνωθεν δίκην˙ εἰ δέ τά τῆς στάσεως λήξει, πολύν ὀφλήσων, ἴστω, τόν γέλωτα˙ παρίημι γάρ λέγειν ὅτι καί νῦν ὀφλισκάνει τοῖς εὖ φρονοῦσι.

Τίσι μέν οὖν προσάπτει τήν μέμψιν διά τοῦ ὑφειμένου καί ὑπερκειμένου; Φανερόν πάντως γέγονεν, ὅτι τοῖς ἁγίοις πατράσιν, ὅτι τε πρός τήν κτίσιν κατασπᾷ φρενοβλαβῶς αὐτός τά περί τόν θεόν οὐσιωδῶς, τουτέστι φυσικῶς, θεωρούμενα, ταὐτό δ᾽ εἰπεῖν τά περί τήν θείαν οὐσίαν υθολογούμενα καί ὑμνούμενα, διασπάσας ἐκείνης σαφῶς καί ὡς παρ᾽ ἑαυτόῦ εἰσάγει κατά τῶν ἁγίων τό ὑφείμενον, οὐ παρ᾽ ἡμῶν εἰρηκότων προτέρων εὑρηκώς, ἀλλ᾽ ὡς ταῖς τῶν ἁγίων θεολογίαις ἑπόμενον, καθάπερ καί ὁ Βαρλαάμ πρό αὐτοῦ. Τό δέ ἀμφίκρημνον λῆμμα καί τό ἀμφίστομον φάσγανον, ὅ προὔτεινε καθ᾽ ἡμῶν, ὡς κἄν δημιουργούς φῶμεν τάς τοῦ Θεοῦ δυνάμεις κἄν μή δημιουργούς, ἀσεβήσομεν, τῷ μέν δημιουργούς τάς θείας δυνάμεις λέγειν ἄλλου ποιοῦντες ἔργα τά κτίσματα καί οὐ τοῦ μόνου Θεοῦ, τῷ δέ μή λέγειν δημιουργούς τάς θείας δυνάμεις καί ἐνεργείας ἀσεβοῦντες πάλιν ὅτι λέγομεν ἄκτιστον εἶναί τι καί θεολοῦμεν ὅ μή τόν οὐρανόν ἐποίησε καί τήν γῆν. Καί τοῦτο τοίνυν τό ἀμφίθηκτον ξίφος οὐ καθ᾽ ἡμῶν μόνον, ἀλλά καί κατά τοῦ τῆς θεολογίας

ἐπωνύμου Γρηγορίου καί Δαμασκηνοῦ τοῦ θεοσόφου θεολόγου καί τῶν ἄλλων πάντων ἁγίων ἐπανατείνεται.

Ὁ μέν γάρ ἐκ Δαμασκοῦ θεολόγος φησίν ἐν ὀγδόῳ κεφαλαίῳ τῶν Δογματικῶν˙ «ἡ μέν γέννησις ἐπί Θεοῦ ἄναρχος καί ἀΐδιος, φύσεως ἔργον οὖσα καί ἐκ τῆς οὐσίας αὐτοῦ προάγουσα, ἵνα τροπήν ὁ γεννῶν μή ὑπομείνῃ καί ἵνα μή Θεός πρῶτος καί Θεός ὕστερος εἴη καί προσθήκην δέξηται˙ ἡ δέ κτίσις θελήσεως ἔργον οὖσα, (σελ. 90) οὐ συναΐδιός ἐστι τῷ Θεῷ, ἐπειδή οὐ πέφυκε τό ἐκ τοῦ μή ὄντος εἰς τό εἶναι παραγόμενον συναΐδιον εἶναι τῷ ἀνάρχῳ καί ἀεί ὄντι». Ὁ δέ μέγας θεολόγος Γρηγόριος πρός τούς λέγοντας θελήσεως, ἀλλ᾽ οὐ τοῦ Πατρός Υἱόν εἶναι τόν Υἱόν, εἰ θέλων ὁ Πατήρ ἐγέννησεν αὐτόν, «ἀλλ᾽ ἕτερον», φησί, «θέλων ἐστί καί θέλησις, γεννῶν καί γέννησις, λέγων καί λόγος, εἰ μή μεθύομεν˙ τά μέν ὁ κινούμενος, τά δ᾽ οἷον ἡ κίνησις. Οὔκουν θελήσεως τό θεληθέν οὐδέ τό γεννηθέν γεννήσεως οὐδέ τό ἀκουσθέν ἐκφωνήσεως, ἀλλά τοῦ θέλοντος καί τοῦ γεννήσαντος καί τοῦ λέγοντος». Ὅτι μέν οὖν ἡ θεία θέλησις διενήνοχε τῆς θείας φύσεως καί ἄκτιστός ἐστι, παραστήσει διά βραχέων καί ὁ Δαμασκηνός θεολόγος˙ φησί γάρ ἔχειν τόν Χριστόν καταλλήλως ταῖς δύο φύσεσι διπλᾶ τά τῶν δύο φύσεων φυσικά ἰδιώματα, δύο τε θελήσεις φυσικάς, τήν τε θείαν καί ἀνθρωπίνην, καί ἐνεργειάς δύο φυσικάς, θείαν τε καί ἀνθρωπίνην, καί αὐτεξούσια δύο φυσικά, θεῖόν τε καί ἀνθρώπινον. Πῶς γάρ τά ἰδιώματα τῆς φύσεως οὐ διαφέρει τῆς φύσεως, ἧς ἐστιν ἰδιώματα, καί ταῦτα καταλλήλως εἶναι ταύτῃ λεγόμενα; Πῶς δέ ἡ φυσική τοῦ Θεοῦ θέλησις καί ἐνέργεια καί αὐτεξουσιότης οὐκ ἄκτιστός ἐστι; Κατά γάρ τόν αὐτόν πάλιν εἰπεῖν, ἡ θεία τοῦ Χριστοῦ θέλησις ἄναρχός τε ἦν καί παντουργός, ἑπομένην ἔχουσα τήν δύναμιν. Τί οὖν; Ἐπειδήπερ ὁ μέγας Γρηγόριος ὁ θεολόγος, «ἕτερόν ἐστι», φησί, «θέλων καί θέλησις κἀπί Θεοῦ» καί τά θελήματα προηγμένα τοῦ Θεοῦ, μή τῆς θελήσεως, φησίν, ἀλλ᾽ αὐτοῦ τοῦ θέλοντος – κοινόν γάρ ἐπί πάντων ἀποδέδωκε λόγον - , ἐρεῖ πρός αὐτόν ὁ Ἀκίνδυνος μετά τῆς φίλης αὐτῷ τοῦ ἤθους ἀναιδείας, «ἄκουσον θείας φωνῆς, ἧς οἱ θεοί τῶν Ἑλλήνων ἀκηκοότες (σελ. 92) ἀπώλοντο θεοί, οἵ τόν οὐρανόν καί τήν γῆν ἐκ μή ὄντων οὐκ ἐποίησαν ἀπολέσθωσαν»; Καί οἱ σοί τοίνυν θεοί, ὧν οὐ φῄς ἔργα εἶναι τά ποιήματα, τοῦτ᾽ ἀκούσαντες ἀπολέσθωσαν.

Ἀλλ᾽ οὐχί τήν τοῦ Θεοῦ θέλησιν καί θεότητα κέκληκεν ὁ τῆς θεολογίας ἐπώνυμος, ὁ προσδιαλεγόμενος εἴρηκεν.

Ἀλλ᾽ ὑμεῖς, αὖθις ἔφην ἐγώ πρός ἐκεῖνον, οὐχ ὡς πολλάς ἡμῶν λεγόντων ἁπλῶς θεότητας κατηγορεῖτε, ἀλλ᾽ ὡς ἄκτιστον ἕτερόν τι καί διαφέρον ὁπωσοῦν τῆς οὐσίας τοῦ Θεοῦ. Τῇ γάρ προσηγορίᾳ τετιμῆσθαι τῆς θεότητος καί ὑμεῖς ἔστιν ἅ τῶν παρά τήν οὐσίαν τοῦ Θεοῦ φατε, ἀλά πάντα τά τοιαῦτα κτιστάς καλεῖτε θεότητας.

Ἐπεί τοίνυν καί ὁ θεολογικώτατος τῶν Γρηγορίων ἕτερον ἔφη τοῦ θέλοντος Θεοῦ τήν ἄκτιστον οὖσαν, ἅτε φυσικῶς προσοῦσαν τῷ Θεῷ θέλησιν, ὑπόκειται καί οὗτος τῷ παρ᾽ ὑμῶν καθ᾽ ἡμῶν ἐγκλήματι. Κἀπειδήπερ οὐ δημιουργόν τῶν θεληθέντων, δηλονότι τῶν κτιστῶν, τήν ἄκτιστον ταύτην θέλησίν φησι – μή γάρ εἶναι τῆς θείας θελήσεως εἴρηκε τό θεληθέν -, τῇ τοῦ Ἀκινδύνου λοιδόρῳ γλώττῃ καί χειρί μεθ᾽ ἡμῶν ὑποβεβλῆσθαι δίκαιος˙ καί ἡμεῖς γάρ δημιουργικήν δύναμιν καί ἐνέργειαν ἔχειν φαμέν τήν ἐν τρισίν ὑποστάσεσι προσκυνούμενον ἡμῖν παντοδύναμον Θεόν ἄκτιστον καί μίαν καί κοινήν, φυσικῶς προσοῦσαν τοῖς τρισίν, ἀλλ᾽ οὐ φύσιν οὖσαν τῶν τριῶν˙ «ὡς γάρ ἕτερον θέλησις καί θέλων, οὕτως ἄλλο ἐνεργῶν καί ἄλλο ἐνέργεια˙ τά μέν γάρ ὁ κινούμενος, τά δ᾽ οἷον ἡ κίνησις». Καί ὁ μέν ἐνεργῶν καί θέλων ἡ ὑπόστασίς ἐστιν, ἡ δέ θέλησις καί ἡ ἐνέργεια ἡ τῆς φύσεως κίνησις, ὡς καί ὁ ἐκ Δαμασκοῦ φησι θεορρήμων, «ἕτερόν ἐστι», λέγων, «ἐνεργῶν καί ἄλλο ἐνεργητικόν καί ἄλλο ἐνέργεια καί ἄλλο ἐνέργημα. (σελ. 94) Ἐνέργημα μέν γάρ ἐστι τό τῆς ἐνεργείας ἀποτέλεσμα, ἐνέργεια δέ ἡ δραστική καί οὐσιώδης τῆς φύσεως κίνησις˙ ἐνεργητικόν δέ ἡ φύσις, ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν˙ ἐνεργῶν δέ ὁ κεχρησμένος τῇ ἐνεργείᾳ, ἤτοι ἡ ὑπόστασις».

Φαμέν τοίνυν καί ἡμεῖς δημιουργικήν ἐνέργειαν ἔχειν τόν ἐν τρισίν ὑπστάσεσι προσκυνούμενον ἡμῖν Θεόν, ἑπόμενοί τε τῷ μεγάλῳ Γρηγορίῳ τοῦ παντοδυνάμου τε καί ἐνεργοῦντος εἶναι τά δημιουργήματά φαμεν, ἀλλ᾽ οὐ τῆς δημιουργικῆς ταύτης δυνάμεως καί ἐνεργείας, καί οὕτως ἡμῖν εἷς τοῦ παντός δημιουργός. Ὁ δ᾽ Ἀκίνδυνος τοῖς ὑπ᾽αὐτοῦ πλαττομένοις πολλοῖς θεοῖς, δημιουργοῖς τε καί μή δημιουργοῖς, συναπολαυέτω τῆς ὑπ᾽ αὐτοῦ προτεθειμένης γραφικῆς ἀρᾶς. Γένοιτο δέ, μηδ᾽ αὐτόν ἐκεῖνον, ἀλλά τό σκαιόν ἦθος καί τήν ἔνοικον αὐτῷ δεινήν βασκανίαν καί τάς πονηράς ἐκείνου δόξας ἀπολέσθαι. Τήν γε μήν δημιουργικήν δύναμίν τε καί ἐνέργειαν οὐδ᾽ ἡμεῖς θεότητα καλοῦμεν ὥσπερ οὐδέ τήν θελητικήν ὁ θεολόγος. Ἤ τοίνυν κἀκεῖνος ἡμῖν τοῦ μώμου κοινωνήσει, λέγων ἕτερόν ἐστι θέλων καί θέλησις, ἀλλά τοῦ θέλοντος οὐ τῆς θελήσεως τά

θεληθέντα (καθάπερ ἡμῖν ἕτερον ἐνεργῶν τε καί ἐνέργεια, ἀλλά τοῦ ἐνεργοῦντος οὐ τῆς ἐνεργείας τά πεποιημένα), ἤ τοίνυν κἀκείνῳ μετέσται τῆς παρ᾽ Ἀκινδύνου μέμψεως ὑπ᾽ ἀδεκάστῳ δικαστῇ ἤ μετ᾽ ἐκείνου καί ἡμεῖς τῷ Ἀκινδύνῳ διαβολῶν παντάπασιν ἀνώτεροι, τῶν ἁπάντων ἕνα σέβοντες δημιουργόν. Ἀλλ᾽ ἡ μέν δημιουργική δύναμις θεότης οὐ καλεῖται παρά τῶν πατέρων, ἡ δέ τοῦ Θεοῦ θεατική δύναμις ταύτην ἔχειν τήν προσηγορίαν· προηγάγομεν γάρ ἡμεῖς ἐν αὐτῇ τῇ Διαλέξει τόν Νύσσης θεορρήμονα Γρηγόριον γράφοντα, «ἡ θεία φύσις ἄφραστός τε καί ἀνεκφώνητος μένει, ὑπερβαίνουσα (σελ. 96) πᾶσαν τήν διά φωνῆς σημασίαν. Οὐκοῦν οὐ τήν φύσιν, ἀλλά τήν θεατικήν δύναμιν τοῦ Πνεύματος ἡ τῆς θεότητος προσηγορία παρίστησιν». Ὁ δέ μέγας Βασίλειος, «κἀν φύσιν σημαίνῃ», φησί, «τό τῆς θεότητος ὄνομα, κυρίως καί τῷ ἁγίῳ Πνεύματι τήν προσηγορίαν ἐφαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συντίθεται, ἀλλ᾽ οὐκ οἶδ᾽ ὅπως ἐπί τήν τῆς φύσεως ἔνδειξιν τήν προσηγορίαν τῆς θεότητος φέρουσιν οἱ πάντα κατασκευάζοντες· ἐξουσίας γάρ τινος εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει, ἡ δέ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι, καθό ἐστι, μένει ἀσήμαντος, ὡς ὁ ἡμέτερος λόγος».

Οὗτοι μέν οὖν τήν θεατικήν δύναμιν καί τήν ἐνεργητικήν καί ἐποπτικήν ἐξουσίαν ἐνταῦθα θεότητα καλοῦσιν, ἀλλαχοῦ δέ τῶν λόγων καί δυνάμεις ἑτέρας τοῦ Θεοῦ. Ὁ δέ μέγας Διονύσιος καί τήν ἐκ Θεοῦ καί ἀμεθέκτου προϊοῦσαν προνοητικήν δύναμιν, τήν αὐτοθέωσιν, ἧς τά ὄντα μετέχοντα ἔνθεά ἐστί τε καί λέγεται. Τήν μέν οὖν ἐποπτικήν ἐξουσίαν τοῦ Θεοῦ, ταὐτό δ᾽ εἰπεῖν τήν πρόνοιαν καί τήν θεατικήν δύναμιν τοῦ εἰδότος πάντα πρίν γενέσεως, οὐδείς ἄν τῶν ἁπάντων μετά τῶν κτισμάτων θεῖτο, μή τελέως τῶν οἰκείων φρενῶν ἐκπεπτωκώς. Ἀλλά καί ἡ θεοποιός δύναμις μετοχή οὖσα φανερῶς, ὡς μετεχομένη παρά τῶν ἐνθέων, ἄκτιστός ἐστι· πᾶσαν γάρ μετοχήν ἄναρχον ὑπάρχειν ἀνωτέρω μικρόν ὁ πολύς τά θεῖα Μάξιμος ἐδίδαξεν. Ὅτι δέ τούτων ἡ οὐσία τοῦ Θεοῦ κατά τό ἄφραστον καί ἀμέθεκτον ὑπέρκειται, μετά τοῦ μεγάλου Βασιλείου καί ὁ Νύσσης Γρηγόριος ἐδήλωσεν ἐνταῦθα. Καί τοῦτο προσεδήλωσεν, ὡς εἰ καί ἄκτιστός ἐστιν, ἀλλ᾽ οὐκ (σελ. 98) ἐστίν ἡ τοῦ Θεοῦ θεατική δύναμις ὁ τοῦ Θεοῦ Υἱός ἤ τό Πνεῦμα τό ἅγιον· ἄφραστον γάρ καί τούτων ἑκάτερον, καί οὐχ ἁπλῶς ἄφραστον, ἀλλ᾽ ἐπίσης τῷ Πατρί. Πρός δέ τῷ μεγάλῳ Βασιλείῳ καί τῷ Νύσσης ἐνθέῳ Γρηγορίῳ καί ὁ μέγας

Διονύσιος καί ὁ θεηγόρος Μάξιμος καί τῶν ἀκτίστων μετοχῶν ὡς μετεχομένων ὑπερκεῖσθαι κατ᾽ οὐσίαν τόν Θεόν φασι, παρ᾽ ὧν καί τοῦτο γίνεται καταφανές, ὡς καί τῆς θείας οὐσίας καί πολλούς τρόπους αὗται διενηνόχασιν. Ὅτι δέ μηδ᾽ ἑτέρα τούτων, τῆς θεατικῆς λέγω καί θεοποιοῦ, δημιουργική ἐνέργειά ἐστι καί ὡς οὐκ αὐτῶν ἐστι τά ὄντα, ἀλλά τοῦ τά πάντα ἐνεργοῦντος, καί ταῦτα καταφανῆ τοῖς νοῦν ἔχουσίν ἐστι, τό μέν ἀπό τῆς τοῦ μεγάλου Γρηγορίου παραινέσεως, τοῦ ἐνεργοῦντος εἶναι λέγοντος τῶν ἐνεργηθέντων ἕκαστον ἀλλ᾽ οὐ τῆς ἐνεργείας, ὥσπερ καί τό ἐκφωνηθέν τοῦ λέγοντος ἀλλ᾽ οὐ τῆς ἐκφωνήσεως, τό δέ πρότερον ἀπό τοῦ θεᾶσθαι μέν τόν Θεόν καί πρό γενέσεως τά ὄντα, μή δημιουργεῖν δέ αὐτά καί πρό γενέσεως, τῶν τε γεγονότων ἔστιν ἅ θεοῦν, ἀλλ᾽ οὐχ ἅμα τῇ γενέσει. Τί οὖν; Ἐρεῖ καί πρός τούτους πάντας ὁ Ἀκίνδυνος ἀναιδεῖ προσώπῳ τό κομψότατον ἐκεῖνο, «ἀκούσατε θείας φωνῆς, ἧς οἱ θεοί τῶν Ἑλλήνων ἀκηκοότες ἀπώλοντο, θεοί, οἵ τόν οὐρανόν καί τήν γῆν ἐκ μή ὄντων οὐκ ἐποίησαν, ἀπολέσθωσαν», καί «αἱ παρ᾽ ὑμῶν τοίνυν ἄκτιστοι κεκλημένοι θεότητες ἀκούσαντες ταὖτ᾽ ἀπολέσθωσαν ὡς ὑφειμέναι τοῦ πάντων ὑπερκειμένου, κἄν εἰ δημιουργοί εἶεν κἄν εἰ μή δημιουργοί», τάς θείας τοῦ Θεοῦ δυνάμεις ὁ τάλας τοῖς ψευδωνύμοις συντάττων θεοῖς καί τούτοις ἐκείνας συγκαταρώμενος;

Ἐπεί δέ καί τούτων ἑκάστη δύναμις ἤ ἐνέργεια αὐτός ἐστιν ὁ Θεός (ὡς γάρ ἐν ἑαυτῷ προέχων καί ὑπερέχων πᾶσαν δύναμιν καί ὡς ἀπειροδύναμος κατά τόν (σελ. 100) μέγαν Διονύσιον δύναμίς ἐστιν, ἅμα δέ καί τῶν ἀδυνάτων ἐστί τοῦ κινουμένου τήν κίνησιν διαζεύξαντα καταλαβεῖν ἐφ᾽ ἑαυτοῦ τό λειπόμενον, ἀλλ᾽ ὁ τοῦ ἐνεργοῦντος μνησθείς καί τήν ἐνέργειαν πάντως κατά τό σιωπώμενον αὐτῷ συνεσήμανε, καί ὁ τήν ἐνέργειαν εἰπών, τόν κατ᾽ αὐτήν ἐνεργοῦντα τῷ λόγῳ συμπεριέλαβεν), αὐτόν ἄρα τόν Θεόν ὁ Ἀκίνδυνος, ὤ τῆς φρικωδεστάτης ἀκοῆς, οὐκ εἰς κτίσμα κατήνεγκε μόνον, ἀλλά καί τοῖς ψευδωνύμοις θεοῖς, ταὐτό δ᾽ εἰπεῖν τοῖς δαιμονίοις συνέταξεν – οἱ γάρ θεοί τῶν ἐθνῶν δαιμόνια - , καί τούτοις, ὤ τῆς τόλμης, ἐκεῖνον συγκατηράσατο. Εἰς τοῦτο καταστρέφει τά διεστραμμένα καθ᾽ ἡμῶν τοῦ Ἀκινδύνου συγγράμματα. Τοιαύτην αὐτῷ παρίστησι τήν ἀκριβεστάτην εὐσέβειαν, ὡς εἴ τίς ποτε τῶν ἁπάντων ἐπί τοῖς ἄγαν αἰσχίστοις δι᾽ ἐφέσεως ἔσχεν ὑπερβαλέσθαι τούς κατ᾽ αὐτόν, οὐκ ἄν οἶμαι κατά τούτου τό κράτος ἄρασθαι.

Τοσοῦτον ὑπερβάλλει τῇ πονηρίᾳ τούς πονηρούς, ἀκλεές κλέος νίκης κατ᾽ αὐτῶν φερόμενος.

Ἡμεῖς δέ τῆς ἀμφιλαφοῦς αὐτῷ πάγης θάτερον μέρος γενναίως ὑπεραλλόμενοι, μᾶλλον δέ κατάξαντες καί συντρίψαντες καί δι᾽ αὐτοῦ τήν τοῦ νοητοῦ ὄφεως συνθλάσαντες κεφαλήν δι᾽ αὐτοῦ βλασφημίαν εἰς τό ὕψος λαλοῦσαν (εἷς γάρ ἡμῖν ἀναπέφηνε δημιουργός, ὁ τρισυπόστατος Κύριος, μηδέν τῆς ἀκτίστου ἐνεργείας λυμαινομένης τῷ ἑνιαίῳ˙ τοῦ γάρ ἐνεργοῦντος ἀλλ᾽ οὐ τῆς ἐνεργείας λέγονται τά ποιήματα), φέρε καί τό ἕτερον διασπάσωμεν μέρος˙ κἂν γάρ τῆς θείας ἐνεργείας ἤ δυνάμεως φῶμεν εἶναι τά ποιήματα καί οὕτως ἡμῖν εἷς ἔσται δημιουργός. Ὁ δ᾽ Ἀκίνδυνος οἰμώξει μετά τῶν αὐτοῦ διλημμάτων καί σοφισμάτων. Ἀκήκοας γάρ τοῦ εἰπόντος, ἔργον μέν θείας φύσεως ἡ γέννησις, ἔργον δέ θείας θελήσεως ἡ κτίσις. Ἀμφοτέρων (σελ. 102) οὖν οὐσῶν ἀκτίστων, ἕτερόν ἐστι τῆς φύσεως ἡ θέλησις, ἑκατέρας γάρ ἕτερον ἔργον, ὡς ἀκούεις. Ἔστω δή καί οὗτος διθεΐτης καθ᾽ ὑμᾶς, ὁποῖός ἐστιν ὁ Παλαμᾶς˙ διάφοραν γάρ καί οὗτος ἀκτίστου φύσεως καί ἐνεργείας, δηλονότι τῆς θελήσεως, ὑπέδειξεν ἡμῖν. Ἀλλ᾽ ἐπειδή φησί καί τήν κτίσιν ἔργον εἶναι τῆς θείας θελήσεως, ἀλλ᾽ οὐχί τῆς θείας φύσεως, ἆρα οὐχ ἕνα παρά τοῦτό φησι δημιουργόν, οὐδ᾽ αὐτόν τόν κατά φύσιν ἐπί πάντων Θεόν, καί ταῖς Ἀκινδύνου παροινίαις ὁ Δαμασκηνός θεῖος Ἰωάννης ὑπεύθυνος; Ἄπαγε τῆς παρανοίας!

Ἀλλά καί δεύτερος παρίτω μάρτυς τόν ἴσον τρόπον θεολογῶν˙ φησί γάρ ἐν τοῖς θησαυροῖς ὁ μακάριος Κύριλλος περί τῆς ἀνωτάτω γεννήσεως γράφων˙ «εἰς τό γεννᾶν ταὐτόν ἐστι τῷ ποιεῖν, ὁ γεννῶν ἔσται ποιῶν τό γεννώμενον καί ὁ ποιῶν γεννῶν τό ποιούμενον. Ἀλλά τό μέν ποιεῖν ἐνεργείας ἐστί, φύσεως δέ τό γεννᾶν. Φύσις δέ καί ἐνέργεια οὐ ταὐτόν». Ἔστω δή καί οὗτος καθ᾽ ὑμᾶς διθεΐτης, ὁποῖος ὁ Παλαμᾶς˙ φύσιν γάρ καί οὗτος ἐνέργειαν οὐ ταὐτόν εἶναι φανερῶς ἀπεφήνατο. Πρός ὅ δέ νῦν ἡμῖν ὁ λόγος. Καί οὗτος τό ποιεῖν τῆς ἐνεργείας, ἀλλ᾽ οὐχί τῆς φύσεως ὑπάρχειν ἔφη, καθά καί ἀνωτέρω, θεραπεύει, λέγων, ὁ Χριστός ἐξουσιαστικῶς, οὐκ εὐχῆς ἔργον ἐπιδεικνύων, καθάπερ οἱ ἅγιοι, ἀλλ᾽ οἰκείας καί οὐσιώδους ἐνεργείας ἀποτελέσματα. Μή τοίνυν καί οὗτος πολλούς δημιουργούς φησιν ἤ τόν ἕνα καί κατά φύσιν ἐπί πάντων ἀθετεῖ δημιουργόν, ὅτι μή ταὐτόν φησι τῇ ἀκτίστῳ φύσει τήν ἄκτιστον ἐνέργειαν; Πῶς γάρ οὐκ ἄκτιστος, ἧς τό ποιεῖν τά ποιητά καί ἧς ἀποτελέσματα τά θαύματα;

Καί ὅτι ταύτης τό ποιεῖν ἐστιν, ἀλλ᾽ οὐ τῆς φύσεως, τούτοις καί τοῖς τοιούτοις καί οὕτω διαπρέπεσιν ἐν δυνάμει λόγου καί (σελ. 104) πνεύματος ὁμόλογος ἡ παρά τοῦ Παλαμᾶ συγγεγραμμένη συνηγορία τῆς εὐσεβείας καί τῇ τούτων θεολογίᾳ συγκατειλέχθαι καί συνεπεινεῖσθαι δικαία τοῖς γε νοῦν ἔχουσι καί μή τῷ ἀρχεκάκῳ φθόνῳ πεπηρωμένοις τό τῆς ψυχῆς λογιζόμενον.

Ὁ δέ κατήγορος τῶν ἐπαινουμένων Ἀκίνδυνος, ἐπεί μηδέν διαφέρειν οἴεται τῆς θείας φύσεως τήν θείαν ἐνέργειαν, εἰ μέν μή τυγχάνειν ἔργα τῆς θείας ἐνεργείας τά κτίσματα λέγει, φανερόν ὅτι μηδέ τῆς φύσεως˙ οὐ γάρ διαφέρουσι κατ᾽ αὐτόν ἀλλήλων ἄκτιστος φύσις τε καί ἐνέργεια. Τοιγαροῦν, ὅν αὐτός λέγει μέγαν Θεόν καί τοῦ παντός ὑπερκείμενον, οὐκ αὐτός ἐστιν ὁ ποιητής τοῦ παντός. Καί ἀκουέτω δικαίως ὁ τοιοῦτον εἰσάγων θεόν τῆς παρ᾽ αὐτοῦ καθ᾽ ἑαυτοῦ προτεθειμένης γραφικῆς ἀρᾶς˙ «θεοί, οἵ τόν οὐρανόν καί τήν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν». Καί εἰ μή βούλοιτο συναπολέσθαι τούτοις συντεταγμένος, ὁμολογησάτω τήν διαφοράν, ἥν μεμυήμεθα παρά τῶν ἁγίων, ὡς ἀνωτέρω φανερῶς ἀναπέφηνε, τῶν μηδαμῇ μηδέποτε χωριστῶν ἀπ᾽ ἀλλήλων τούτων, τῆς ἀκτίστου καί θείας ἐνεργείας καί φύσεως. Ἀλλά μηδέ τήν μέν τούτων λεγέτω Πατέρα, τήν δέ Υἱόν, ἵνα μή πλείοσι καί χείροσι περιπέσῃ ταῖς ἀσεβείαις˙ τό τε γάρ ἀπερινόητον καί ἄφραστον καί ἀμέθεκτον ἐπίσης αὐτοῖς, καί τό δύνασθαι καί θέλειν καί ποιεῖν αὐτοῖς ἕν. Ἔστιν οὖν ὁ Πατήρ καί ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον μία ἐνέργεια, μία δύναμις, μία φύσις, ἀλλ᾽οὐ παρά τοῦτο τῆς θείας δυνάμεως καί ἐνεργείας ἡ θεία φύσις οὐ διενήνοχεν. Ὧν γάρ μία δύναμις καί ἐνέργεια, τούτων καί ἡ οὐσία ἡ αὐτή, σχεδόν πάντες οἱ θεολόγοι φασι, καί ὡς ἡ ἄκτιστος ἐνέργεια ἄκτιστον χαρακτηρίζει οὐσίαν˙ παρ᾽ ὧν δείκνυται ἡ ταὐτόν παντάπασιν εἶναι οὐσίαν καί δύναμιν καί ἐνέργειαν, ἀεί γάρ (σελ. 106) ἐκ τῶν κειμένων ἕτερόν τι τό συναγόμενον καί τό χαρακτηρίζον τοῦ χαρακτηριζομένου διενήνοχεν. Εἰ δέ τῆς κατ᾽ αὐτόν ἐχούσης διαφοράν οὐδεμίαν πρός τήν ἄκτιστον φύσιν ἀκτίστου ἐνεργείας ἔργα τά κτίσματα διατελεῖ τιθέμενος ὁ Ἀκίνδυνος, ἔργα ταῦτα τίθεται τῆς φύσεως˙ διαφέρει γάρ οὐδέν ἡ φύσις τῆς ἐνεργείας κατ᾽ αὐτόν. Ἀλλά κατά τόν θεῖον Κύριλλον τό γεννᾶν ἐστι τῆς φύσεως, καί κατά τόν Δαμασκηνόν θεολόγον ἔργον θείας φύσεως ἡ γέννησις˙ οὐκοῦν ὁ Ἀκίνδυνος ἤ τά κτίσματα γεννήματα δοξάζει καί τῷ γεννήσαντι Θεῷ ὁμοούσια, καί οὕτω πάλιν θεόν εἰσάγει μηδενός ποιητήν ἤ καί τόν

Υἱόν καί τό Πνεῦμα τό ἅγιον κτίσματα νομίζει, ὡς τῆς τοῦ Πατρός φύσεως, ταὐτό δ᾽ εἰπεῖν κατ᾽ αὐτόν θελήσεως, μετά πάντων γεννήματα. Καί τοίνυν ἤ τοῖς τόν οὐρανόν εἰς γῆν κλίνασι καί μετά τῆς κτίσεως ἀριθμοῦσι τόν κτίστην ἴστω συντεταγμένος ἤ τῆς καθ᾽ ἑαυτόῦ παρ᾽ αὐτοῦ προενηνεγμένης γραφικῆς ἀρᾶς πάλιν ἀκροάσθω δικαίως˙ «θεοί, οἵ τόν οὐρανόν καί τήν γῆν οὐκ ἐποίησαν ἀπολέσθωσαν». Καί εἰ μή βούλοιτο τούτοις συναπολέσθαι καί μετά τῶν ἐπανιστάντων τήν κτίσιν κατά τοῦ κτίσαντος συντετάχθαι, τήν διάφοράν ὁμολογησάτω τῆς ἀκτίστου καί θείας ἐνεργείας τε καί τῆς φύσεως καί πρός τόν Παλαμᾶν μή διαφερέσθω μάτην, συνῳδά τοῖς ἁγίοις κατά πάντα φθεγγόμενον.

Εἰ γάρ μή καθ᾽ ἡμᾶς καί αὐτός ἔστιν ὡς ἐρεῖ διενηνοχέναι τῆς θείας φύσεως τήν θείαν δύναμιν καί ἐνέργειαν, ἀθέλητον ἡμῖν εἰσάγει φύσιν Θεοῦ καί τούς μονοθελήτας παρελάσας ἐπί τό χεῖρον˙ ἡ γάρ θέλησις τῆς θείας φύσεως ἐνέργειά τε καί δύναμις, ἥν, εἰ μηδέν διάφερει τῆς φύσεως, οὐδέ δυνησόμεθα τῆς φύσεως λέγειν ἤ ἐκ τῆς φύσεως. Πῶς γάρ ἡ αὐτή τῆς αὐτῆς (σελ. 108) εἰρήσεται ἤ ἐξ αὐτῆς; Τίς δ᾽ εἴρηκέ ποτε τῆς θείας φύσεως εἶναι τήν θείαν φύσιν ἤ τήν φύσιν ἔχειν καί φύσιν; Οὕτως ἀλόγιστον τό λέγειν ἀδιάφορον παντελῶς οὐσίαν τε καί ἐνέργειαν. Πῶς δέ καί τό ἐν Θαβώρ τούς ἀποστόλους περιλάμψαν φῶς οὐκ ἔσται πάλιν κτιστόν κατά τόν Βαρλαάμ, εἰ πᾶν ἄκτιστον μηδαμῇ διενήνοχε τῆς οὐσίας τοῦ Θεοῦ; Τό μέν γάρ ὦπται καί κατά τόν μέλλοντα αἰῶνα τοῖς ἀξίοις ὀφθήσεται καί κατ᾽ αὐτό λάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος καί συνδιαιωνίσουσιν αὐτό θεώμενοι, καί ὑπ᾽ αὐτοῦ λαμπρυνόμενοι καί αὐτῷ συνεκλάμποντες. «Οὐδείς δ᾽ ἔστη ἐν ὑποστήματι καί οὐσίᾳ Θεοῦ κατά τό γεγραμμένον καί Θεοῦ φύσιν ἤ εἶδεν ἤ ἐξηγόρευσε». Καί τό μέν μέτρῳ δίδοται, σωστικῇ δικαιοσύνῃ τοῦ μεταδιδόντος ἑκάστῳ κατ᾽ ἀξίαν ἀμερίστως μεριζόμενον, ὅ τῆς θείας ἐνεργείας, ἀλλ᾽ οὐ τῆς θείας οὐσίας εἶναι ὁ Χρυσόστομος Ἰωάννης ἐδίδαξεν, εἰ καί ὁ βαπτιστής αὐτό τό πνεῦμα εἶναι ταύτην ἀπεκάλυψεν ἡμῖν. Μερίζεται μέν οὖν αὕτη ἀμερίστως, ἡ δέ τοῦ Θεοῦ οὐσία παντάπασίν ἐστιν ἀμέριστος. Καί τό μέν φῶς ἐκεῖνο λαμπρότης θείας φύσεως, ἡ δέ θεία φύσις, ἧς ἐστι λαμπρότης τοῦτο. Καί κατά τοῦτο μέν «ἡ λαμπρότης τοῦ Θεοῦ ἡμῶν ἐφ᾽ ἡμᾶς» ὁ μελῳδός προφήτης ψάλλει˙ καί γάρ οὐχ ὁρῶσι μόνον, ἀλλά καί μακαρίως πάσχουσιν οἱ ἅγιοι τήν τοῦ Θεοῦ λαμπρότητα. Καί μία λαμπρότης ἐστίν αὐτῶν καί τοῦ Θεοῦ αὐτῶν, ὡς καί μίαν ἐνέργειαν

τοῦ Θεοῦ καί τῶν ἁγίων εἶναι ὁ πολύς τά θεῖα Μάξιμός φησι. Μίαν δέ φύσιν Θεοῦ καί τῶν ἁγίων οὐδείς πω μέχρι καί νῦν ἐτόλμησεν εἰπεῖν.

Προάγειν δή με περαιτέρω τόν περί τοῦ θειοτάτου φωτός ἐκείνου λόγον προθυμούμενον διέκοψεν ὁ τάς (σελ. 110) Ἀκινδύνου ρητορείας ἐκείνας προβαλλόμενος, ἀλλ᾽ οὐ δοκεῖ σοι, λέγων, ἐναντία τόν ἱερόν Δαμασκηνόν τῷ τῆς θεολογίας ἐπωνύμῳ μεγάλῳ Γρηγορίῳ φάναι; Τούτῳ γάρ εἰπόντι μή εἶναι τῆς θελήσεως τό θεληθέν, ὁ Δαμασκηνός πατήρ τῆς θελήσεως ἔφησεν εἶναι τά ποιήματα. Ταῦτα δέ ἐστι τά θεληθέντα πάντως. Οὐκ ἔστιν ἐπ᾽ οὐδενός τῶν τοιούτων ἐναντία λέγειν τούς ἁγίους ἤ γοῦν διαφωνεῖν πρός ἐκεῖνον, αὖθις εἶπον αὐτός, εἰ καί ὑμεῖς ὑπ᾽ ἀμαθίας οὐ πρός ἀλλήλους μόνον, ἀλλ᾽ οὐδέ πρός ἑαυτούς συμβαίνοντας διά πολλῶν εἰσάγετε τούς θεοφόρους. Ἀκούοντες γάρ αὐτῶν θεότητα τήν τε θείαν φύσιν καί τήν λαμπρότητα τῆς θείας φύσεως ὀνομαζόντων, οὐ ταύτην δέ μόνον, ἀλλά καί τήν ἐξουσίαν καί τήν θεατικήν δύναμιν τοῦ πάντα πρίν γενέσεως εἰδότος, ἥτις καί ἄκστιστός ἐστι σαφῶς – πῶς γάρ οὐ; - καί τήν θείαν φύσιν κατά τό ἄφραστον πάντη καί ἐμέθεκτον καί ἀπερινόητον ὑπερκειμένην ἔχει ἑαυτῆς, ὡς ἐναντιουμένοις αὐτοῖς ἀντεπιφέρετε τούς λέγοντας, εἷς Θεός, ὅτι μία θεότης. Καί ὥσπερ ἕνα Θεόν φρονεῖν παρελάβομεν, οὕτω καί μίαν θεότητα ὁμολογεῖν ἐδιδάχθημεν, καίτοι μηδετέρων θάτερον λεγόντων, ἀλλά τῶν αὐτῶν ἀμφότερα. Διό καί ἡμῶν ὡς δύο λεγόντων ἀκτίστους θεότητας κατηγορεῖτε, μή εἰδότες μήτε τί λέγετε μήτε περί τίνων διαβεβαιοῦσθε. Καί γάρ ἡμεῖς ὥσπερ ἕνα Θεόν ἐν τρισί προσώποις παρελάβομεν φρονεῖν, τόν αὐτόν οὐ μόνον ἀπολύτως καί ἀσχέτως καί ὑπερεξῃρημένως ὄντα, ἀλλά καί παντοκράτορα ὄντα καί προνοητήν ἁπάντων καί σοφόν καί δίκαιον καί ἀγαθόν καί συνελόντα φάναι παντοδύναμον, οὕτω κάι μίαν θεότητα ὁμολογεῖν ἐδιδάχθημεν οὐκ ἐν μιᾷ μόνον ὑπερουσιότητι τῶν τριῶν προσκυνητῶν προσώπων, ἀλλά καί μιᾷ ἀκτίστῳ ἐξουσίᾳ καί μιᾷ ἀκτίστῳ προνοίᾳ καί τοῖς ἄλλοις ἅπασιν. Οὕτως ἡμῖν εἷς Θεός, ὅτι μία θεότης, καί οὕτω (σελ. 112) μίαν θεότητα ὁμολογοῦμεν Πατρός, Υἱοῦ καί Πνεύματος, οὐ καθάπερ ὑμεῖς ἀθέσμως ἀποσχίζειν τολμῶντες τήν ὑπερηνωμένην παντοδύναμον μονάδα εἰς ἄκτιστον οὐσίαν καί κτιστάς τινας δυνάμεις τάς ἐξ αὐτῆς καί ἐν αὐτῇ ἀεί κατά τούς θεολόγους.

Καί πῶς οὐχί καί ὑμεῖς τοῦ Θεοῦ φανερῶς χωρίζετε τάς ἀκτίστους, ἅς φατε, δυνάμεις καί ἐνεργείας; Ὁ τοῦ Ἀκινδύνου συμφοιτητής

ἐκεῖνος ἔφη τοῦ Θεοῦ γάρ αὐτάς φατε καί περί τόν Θεόν καί ὑπερκεῖσθαι τούτων τόν Θεόν. Πρός ὅν αὐτός ἀπολελόγημαι, μή τομήν ἐνεργάζεσθαι τό πεφυκέναι τόν λόγον οὕτω πως διατίθεσθαι τήν ἑρμηνείας· οὐ γάρ ὅτε λέγομεν κεφαλήν ἤ καρδίαν ἀνθρώπου χωρίς κεφαλῆς καί καρδίας ἄνθρωπον εἶναί φαμεν, οὐδ᾽ ὅτε περί τόν νοῦν εἶναι τήν δόξαν καί τήν διάνοιαν, εἶναι νοῦν λέγομεν χωρίς αὐτῶν, οὐδ᾽ εἰ τάς ὑποστάσεις περί τήν οὐσίαν εἴποι τις, εἶναι λέγει χωρίς ὑποστάσεως οὐσίαν ἤ χωρίς οὐσίας ὑπόσταστιν. Καί τοίνυν οὐ μόνον ἡμεῖς κτιστήν καί ἄκτιστον θεότητα Θεοῦ ἥκιστά φαμεν, ἀλλ᾽ οὐδέ πολλάς ἀκτίστους λέγομεν θεότητας.

Ἀλλ᾽ ὑμῶν ἅμα πονηρῶς τε καί ἀθέως κατατομήν ἔκφυλον καί περιτομήν ἀλλόκοτον καινοτομούντων ἐπί τῆς μιᾶς θεότητος, τό μέν διά τοῦ λέγειν ἀδιάφορον τῆς ἀκτίστου οὐσίας τήν ἄκτιστον ἐνέργειαν, οὐσία γάρ ἄν οὕτως εἴη μόνον ὁ Θεός, πάσης ἀπεστερημένος ἐνεργείας, τήν δ᾽ ἔκφυσον κατατομήν διά τοῦ λέγειν πᾶσαν δύναμιν κτιστήν, ἥτις οὐκ οὐσία, μηδέ γοῦν τῆς θελητικῆς δυνάμεως ἐπιμνησθέντων, ὑπέρ ἧς πολλά καί εἰρήκασιν οἱ πατερες καί πεπόνθασι. Ταῦτ᾽ οὖν ὑμῶν οὕτω λεγόντων καί μή κατά τάς τῶν πατέρων ὑποθήκας καί (σελ. 114) συναγόντων τήν τῶν τριῶν ὑποστάσεων θεότητα καί διαιρούντων, εἰς ἀνάγκην ἤλθομεν ἡμεῖς οὐ τήν θεοπρεπεστάτην μόνον αὐτῆς ἁπλότητα κατά τό ἐγχωροῦν δηλοῦν, ἀλλά καί τήν οὐχ ἧττον εὐσεβῆ τῶν αὐτῆς ἐνεργειῶν διάκρισιν. Ὥσπερ οὖν εἴ τις ἔφη μία δύναμις ἄκτιστος, ἡ ἀγεννήτως ὑφεστῶσα, παρ᾽ αὐτά τήν δυσσεβῆ φωνήν οὐκ ἐνεγκών πᾶς τις εὖ φρονῶν ἐξεβόησεν ἄν, ἄπαγε τῆς ἀσεβείας, καί ἡ γεννητῶς γάρ ὑφεστῶσα θεία δύναμις ὁμοίως ἄκτιστός ἐστι, κατά μέν τόν τῆς αἰτίας λόγον ἐκείνης δευτερεύουσα τῷ ἐξ ἐκείνης εἶναι, κατά δέ τόν τοῦ ἀκτίστου λόγον ἀχώριστον οὖσα καί ὁμότιμος ἐκείνη, καθάπερ καί τό ἐκπορευτῶς ὑπάρχον Πνεῦμα ἅγιον, καί οὕτω μία δύναμις ἄκτιστος ἐν Πατρί καί Υἱῷ καί Πνεύματι προσκυνουμένη· οὕτω καί ὑμῶν λεγόντων, μία μόνη ἄκτιστος θεότης, ἡ πᾶσι καί ἀεί ἀνέκφαντός τε καί ἀπερινόητος φύσις τοῦ Θεοῦ, συγχωρεῖν ἡμεῖς οὐκ ἀνεχόμεθα, λέγοντες, ὡς οὐχ ἡ θεία φύσις μόνον, ἀλλά καί ἡ λαμπρότης τῆς θείας φύσεως ἄκτιστος ἐστιν, οὐ καθ᾽ ἑαυτήν μέν ὑφεστῶσα, τοῖς ἀξίοις δέ τῆς θείας κοινωνίας ἐκεῖθεν ἐγγινομένη τε καί ἐπιφαινομένη θείως· εἰς τοῦτο γάρ ἐμέ, φησί, φέρει τό μέτριον ἐνταῦθα φέγγος τῆς

ἀληθείας, λαμπρότητα Θεοῦ καί ἰδεῖν καί παθεῖν, ἥν ἐξυμνῶν ἅμα καί αἰνῶν Μητροφάνης ὁ θεῖος μουσικός φησιν.

«ἡ φυσικήν συναΐδιον δόξαν
προβαλλομένη μοναρχικωτάτη Τριάς ἁγία,
τούς ἀνυμνοῦντας ὀρθοδόξῳ σε πίστει
τῆς σῆς δόξης ἰδεῖν ἀξίωσον
ἄφθεγκτον καί μίαν αὐγήν τήν τρισήλιον».

Αὕτη τοίνυν ἡ δόξα καί ἡ λαμπρότης, ἡ καί κατά τό Θαβώριον ἑωραμένη Πέτρῳ καί τοῖς σύν αὐτῷ, κατά μέν τόν τῆς αἰτίας λόγον καί τό μετέχεσθαί γε καί (σελ. 116) ὁρᾶσθαι, εἰ καί τοῖς ἀξίοις μόνοις, καί τούτοις ἀπορρήτως, ὑποβέβηκε τήν ἐξ ἧς ἐστι πηγήν, κατά δέ τόν τοῦ ἀκτίστου λόγον καί τοῦ ἀΰλου καί ἀσωμάτου καί τό ἡνῶσθαι ταύτῃ ἀϊδίως, ὡς λαμπρότης καί δύναμις φωτιστική τῆς ἀρχιφώτου φύσεως, ἀχώριστός ἐστιν αὐτῆς καί οὕτω μία θεότης ἄκτιστος ἐν οὐσίᾳ θείᾳ καί θεοποιῷ δυνάμει καί χάριτι γνωριζομένη. Τοῦτον δή τόν τρόπον καί πολλῶν πνευμάτων παρά τῶν πατέρων λεγομένων καί τῶν τοῦ Πνεύματος ἐνεργειῶν ἕν ἡμῖν ἐστι τό Πνεῦμα, κἄν ὁ Ἀκίνδυνος ἐν αὐτῇ προϊών τῇ Διαλέξει πλῆθος ἀκτίστων πνευμάτων ἡμᾶς συκοφαντῇ δοξάζειν, αὐτός ἵνα μή τοῦτο πάθῃ, κτιστάς ἰσχυριζόμενος εἶναι τάς δυνάμεις καί ἐνεργείας καί τά θεοπρεπῆ χαρίσματα τοῦ Πνεύματος. Καί ταῦτα τοῦ μεγάλου Βασιλείου φανερῶς λέγοντος, ὅτι πάντα ταῦτα ἀϊδίως ἔχει τό Πνεῦμα τό ἅγιον μηδέν ἔχον ἐπίκτητον, ἀλλά τό μέν ἐκ Θεοῦ πηγάζον ἐνυπόστατόν ἐστι, τά δέ ἐξ αὐτοῦ πηγάζοντα ἐνέργειαι αὐτοῦ εἰσιν, ὧν καί τήν μίαν ἐν Αἰγύπτῳ τε τόν χοῦν εἰς ζῷα μεταβαλοῦσαν καί κατά τήν ἐπί γῆς τοῦ Σωτῆρος ἐπιδημίαν τήν πληθύν τῶν παραδόξων ἐκτελοῦσαν, δάκτυλον Θεοῦ κεκλῆσθαι ὁ αὐτός φησιν.

Ἅ δέ λέγει πάλιν ὁ Ἀκίνδυνος περί τῆς θείας βασιλείας ὡς δῆθεν ἐντιλέγων τοῖς μή προσκυνοῦσι μίαν θείαν βασιλείαν, ὅπου καί τά εἰρημένα τῷ σεπτῷ Μαξίμῳ προάγει πρός ἐκεῖνο τό τοῦ Ζοροβάβελ, ὡς ὑπερισχύουσιν αἱ γυναῖκες καί ὑπερνικᾷ ἡ ἀλήθεια, νομίζων αὐτῷ συνάρασθαι πρός τό κτιστήν δεῖξαι τήν παραδειχθεῖσαν ἐπ᾽ ὅρους τοῦ Θεοῦ βασιλείαν˙ ταῦτα δέ καί τήν περικεχυμένην ἐν τούτοις τοῖς ἐκείνου ῥήμασιν ἄνοιαν καί ληρωδίαν, πῶς ἄν σοι δι᾽ ὀλίγων ἐνδειξαίμην; (σελ. 118) Οὗτος γάρ ὁ ἄνθρωπος τά μέν τῶν τοιούτων δοκεῖ πάσχειν μᾶλλον ἤ ποιεῖν, παντελῆ τῶν θείων περικείμενος ἄγνοιαν καί ἀμύητος καθάπαξ ὤν. Πόθεν γάρ ἄν ταῦτα καί μεμύηται;

Παρά τῶν γεννησάντων; Ἀλλ᾽ οὐδ᾽ ὄνομα τούτων ἔχει τις εἰπεῖν, πλήν ὅτι τῶν ἔσθ᾽ ὅπου τῶν δυτικῶν ἐσχατιῶν ὁδοστατούντων καί λωποδυτούντων ἤ τῶν τοῦτο πασχόντων μᾶλλον δέ ἀντιπασχόντων παρά τῶν ὁμόρων ἦσαν˙ τοιούτοις τήν ἀρχήν ἐντεθραμμένος ἤθεσι, νῦν ἀξιοῖ προκαθηγεῖσθαι μοναχῶν τε καί μοναζουσῶν. Ἀλλά παρά τῶν διδασκάλων, οἷς ἐχρήσατο παραγενόμενος ἐκεῖθεν, μετεδιδάχθη τόν βελτίω τρόπον καί τό τῶν δογμάτων ἀκριβές; Ἀλλά τούτων ὁ μέν, ᾧ καί θητεύων ὑπῆρχεν, αὐτοφόνῳ κακίᾳ βρόχον ἑαυτῷ, φεῦ, ἀνάψας τόν βίον ἔλιπεν, ὁ δέ τῇ εὐσεβείᾳ φανερῶς ἐπαναστάς, εἶτα φυγάς ἐπ᾽αἰσχύνης γεγονώς τοῖς δυσσεβέσι διά βίου προῄρηται συζῆν. Ἀλλά παρά τῶν ἑταίρων, οὕς ἥγηται φιλτάτους; Ἀλλά καί οὗτοι τῶν τοῖς αὐτοῖς αὐτῷ πεφοιτηκότων καί μή τῆς περί λόγους παιδείας μόνης, ἀλλά καί τῆς περί τά θεῖα κακονοίας μετειληχότων. Τοῖς μέν οὖν ὑπό παντελοῦς ἀμαθίας κακοηθείᾳ συμμιγοῦς ὁ Ἀκίνδυνος ἀντίκειται, καθάπερ ἡνίκα κατ᾽ αὐτήν ταύτην τήν Διάλεξιν καί τήν αὐτοζωήν καί αὐτοαγαθότητα καί τά τοιαῦτα τίθεται κτιστά, ὅτι μετέχει τῆς τῶν ὄντων κοινῆς ἐπωνυμίας, μή συνιείς ὅλως, ὡς εἰ καί ὄντα λέγεται, ἀλλά καί ὑπέρ τά ὄντα ἐστί, καθά καί αὐτός ὁ μέγας Διονύσιός φησι, ῥᾳδίως δ᾽ ἄν ὁ διά τοῦτο τάς αὐτομετοχάς τοῖς κτίσμασι συντάττων καί τό Πνεῦμα τό ἅγιον μετά τῶν κτισμάτων θοῖτο, τοῦ μεγάλου Βασιλείου λέγοντος μετέχειν αὐτό τῶν θεοπρεπῶν ὀνομάτων, τοῖς δέ ὑπό κακοηθείας μόνης ἐπαιρομένης ἀντικαθίσταται, καί δῆλον (σελ. 120) ἀπό τοῦ μηδ᾽ ἐπιθέσθαι δύνασθαι μή πρότερον συκοφαντικῶς περιτρέψας εἰς ἕτερον τόν λόγον, ὁποῖόν ἐστιν αὐτῷ μετά πολλῶν ἑτέρων καί τό κατά ταύτην αὖ τήν Διάλεξιν ἐκεῖνο.

Καί μήν «εἰ ἄλλοις ἄλλη Θεοῦ ἄκτιστος δύναμις καί θεότης μετέχεται» (δυνάμεως γάρ θείας ἄλλο ἄλλης μετέχειν καί ὁ μέγας Διονύσιός φησι˙ τά μέν γάρ ἁπλῶς ὄντα τῆς οὐσιοποιοῦ, τά δέ ζῶντα τῆς ζωοποιοῦ καί τἆλλα καταλλήλως ἑαυτοῖς, θεότητος δέ ἄλλης ἄλλο μετέχειν, τίς ὁ εἰρηκώς, πλήν αὐτοῦ τοῦ καί πρός τοῦτο ἀντιλέγοντος;)˙ ἀλλ᾽ «εἰ ἄλλοις ἄλλη», φησί, «τοῦ Θεοῦ ἄκτιστος δύναμις καί θεότης μετέχεται καί ἄλλων ἄλλη κτισμάτων ἐπιτροπεύει», τοῦτο δέ πάλιν τό ἐπιτροπεύειν τάς δυνάμεις τοῦ Θεοῦ τῶν κτισμάτων, παρά τίνος ἤκουσε; Τό γάρ ἐπιτροπεύειν οὐ τῶν φύσει τό ἄρχειν ἐχόντων ἐστί καί τῶν συγκεκληρωμένην ἐξ ἀρχῆς ἐχόντων τήν διοίκησιν τῶν ἐπιτετραμμένων σφίσιν. Αἱ δέ τοῦ παντοδυνάμου Θεοῦ προνοητικαί δυνάμεις οὐκ ἦν ὅτε μή τοιαῦται ἦσαν. Ὁ δ᾽

Ἀκίνδυνος οὕτω διατίθεται τόν λόγον, ὡς ἄν ἡμῶν λεγόντων κεχωρισμένας εἶναι τάς τοῦ παντοδυνάμου Θεοῦ δυνάμεις ἀλλήλων τε καί τοῦ Θεοῦ καί μηδέ τοῦτ᾽ αὐτό τήν ἀρχήν οὐσῶν προνοητικῶν τῶν προνοητικῶν δυνάμεων, ἀλλ᾽ ἄλλο τι πρότερον, εἶτα τήν ἐξουσίαν τοῦ προνοεῖσθαι τῶν κτισμάτων ἐξ ἐπιτροπῆς εἰληχυιῶν.

Ὁρᾷς αὖθις τήν συκοφαντίαν ὅση; Ἀλλ᾽ «εἰ ἄλλοις ἄλλη Θεοῦ ἄκτιστος δύναμις καί θεότης μετέχεται καί ἄλλων ἄλλη κτισμάτων ἐπιτροπεύει, φησί, καί τῶν ἀνθρώπων οὐ πάντες μιᾶς θεότητος ἀπολαύουσιν, ἀλλ᾽ ἄλλων ἄλλοι μετέχουσι καί ἄλλαις ἄλλοι ἐπιτροπεύονται». Ἰού, ἰού, κατ᾽ αὐτόν γάρ, ὡς ἔοικε, πάντες ἄνθρωποι καί οἱ δυσσεβεῖς καί οἱ ἀσεβεῖς ἀπολαύουσι τῆς (σελ. 122) θεότητος ἐν μετουσίᾳ καί ἀπολαύσει ταύτης ὑπάρχοντες, ὅ μόνων τῶν ἁγίων ἐδιδάχθημεν εἶναι˙ «ἕκαστον γάρ», φησί, «τῶν ἀνθρώπων ὁ Κύριος προσάξει τῇ συναφείᾳ τῆς θεότητος εἰ μηδέν ἐπάγοιτο τῆς πρός τό θεῖον συμφυΐας ἀνάξιον. Ἀλλ᾽ εἴ τις ἀληθῶς εἴη ναός Θεοῦ μηδέν κακίας εἴδωλον καί ἀφίδρυμα ἐν ἑαυτῷ περιέχων, οὗτος ὑπό τοῦ μεσίτου πρός μετουσίαν τῆς θεότητος παραληφθήσεται». Τῆς μέν γάρ δημιουργικῆς δυνάμεως καί τούς πονηρούς καί ἀνόμους μετόχους ὄντας ὡς ἀποτελέσματα ἐκείνης ἴσμεν, καθάπερ καί τά ἄλογα τῶν ζώων καί τά ἄψυχα καί τούς δαίμονας αὐτούς, τῷ δέ δημιουργικῇ δυνάμει προῆχθαι ἐκ μή ὄντων ἐν ἀπολαύσει καί μετουσίᾳ εἶναι τῆς θεότητος καί τούς ἀνόμους οὐδέπω καί τήμερον ἀκηκόαμεν˙ ὁ γάρ τοῦτο λέγων καί αὐτόν τόν ἀρχέκακον ἤ μή εἶναι κτίσμα τοῦ Θεοῦ φησιν ἤ καί τοῦτον ἐν ἀπολαύσει καί μετουσίᾳ τυγχάνειν τῆς θεότητος. Τά δέ τῆς ἑξῆς κατηγορίας, ἥν συνηρτημένην ἔχει καθ᾽ ἡμῶν ὡς λεγόντων, ὅτι τῶν ἀνθρώπων ἄλλαις ἄλλοι θεότησιν ἐπιτροπεύονται, δείκνυσιν αὐτόν ἐπιτροπεύειν ἁπάντων δοξάζοντα, τήν μίαν ἧς ἀπολαύειν τούς πάντας, φησί, θεότητος, καί οὕτω περιπίπτων αὐτός ἀληθῶς πεφώραται τῇ καθ᾽ ἡμῶν παρ᾽ αὐτοῦ συκοφαντίᾳ. Τήν γάρ μίαν, ἥν αὐτός φησι πρεσβεύειν θεότητα, οὐκ ἐξ ἀρχῆς φησι τό κράτος ἔχειν τοῦ παντός˙ ἐπιτροπεύειν γάρ αὐτήν φησιν, ὁ δ᾽ ἐπιτροπεύων ἐπίκτητον ἔχει τήν ἀρχήν. Ἀλλά γάρ ὡς ἡμῶν λεγόντων τήν ἀτοπίαν, ᾗ περιέπεσεν αὐτός, ἐπιφέρει φθέγμα θαυμαστῆς κομψείας γέμον˙ «εἰ γάρ ἄλλαις ἄλλοι τῶν ἀνθρώπων ἐπιτροπεύονται», φησί, «θεότησι καί δυνάμεσι, πῶς οὐκ ἔστησεν ὁ Θεός ὅρια ἐθνῶν κατά ἀριθμόν τῶν θεοτήτων αὐτοῦ καί τῶν ἀκτίστων δυνάμεων, ἀλλά κατά ἀριθμόν (σελ. 124) ἀγγέλων αὐτοῦ;

ὑφ᾽ ὧν γάρ ἐπιτροπεύονται καί διοικοῦνται, κατά τούτων τόν ἀριθμόν εἰκός ἦν αὐτούς ὑπό Θεοῦ στῆναι».

Φαῖμεν δ᾽ ἄν ἡμεῖς ἀντερωτῶντες τόν τῆς πρός ἑαυτήν ἀνακολούθου ταύτης λέσχης συγγραφέα, κατά τήν αὐτοῦ σοφίαν αὐτῷ διαλεγόμενοι καί τό μεγαλεπήβολον τῆς οἰκείας διανοίας τῷ ποριστῇ τῶν τοιούτων ἀντεπάγοντες˙ ἐπειδή μίαν σύ φῄς θεότητα ἐπιτροπεύειν πάντων, πῶς οὐχ ἕν ἔστησεν ὅριον ἐθνῶν ὁ Θεός κατά τήν μίαν ταύτην, ἀλλ᾽ εἰς πλείω διεῖλε τά ὅρια κατά ἀριθμόν ἀγγέλων αὐτοῦ; Καί ἡ μία δέ, ἥν φῄς αὕτη, πῶς ἐπιτροπεύει; Παρίημι γάρ νῦν, ὅτι τό ἐπιτροπεύειν οὐ τῶν φύσει προεχόντων καί προϊσταμένων, ὡς κυρίως δεσποζόντων˙ ἀλλ᾽ ἡ μία θεότης, ἥν αὐτός εἰσφέρεις πάσης δυνάμεως ἐστερημένην, ὡς μή δῆθεν σύνθετος εἴη, καί σοι περιθείη διθεΐας ἔγκλημα, πῶς χωρίς προνοητικῆς δυνάμεως ἐπιτροπεύει; Τό γάρ ἐπιτροπεύειν προνοίας˙ ἀλλ᾽ ἐρεῖς τήν πρόνοιαν αὐτήν ὑπάρχειν; Ἀλλ᾽ οὐ τοῦτ᾽ ἄν εἴη ταύτῃ φύσις, ἡ πρόνοια˙ καί γάρ οὐδέ τοῖς ὑπ᾽ αὐτῆς διοικουμένοις τοῦτο μόνον φύσις, τό προνοίας παρ᾽ αὐτῆς τυγχάνειν. Οὐκοῦν εἰ μή ταύτῃ φύσις ἡ πρόνοια, προνοητικήν ἄρα δύναμιν ἔχουσα δι᾽ ἐκείνην πρόνοια καλεῖται τῶν διοικουμένων, αὐτή καθ᾽ ἑαυτήν ὅ,τι ποτέ ἐστιν ἡ τοῦ Θεοῦ θεότης, ἄσχετος οὖσα καί ἀπολελυμένη πάντων καί ἀνώνυμος ὡς ὑπερώνυμος, πῶς οὖν, εἰπέ, μή καθ᾽ ἑκατέραν τούτων τά τῶν ἐθνῶν ὅρια διέστησεν ὁ Θεός, ἀλλά κατά ἀριθμόν ἀγγέλων αὐτοῦ; Λέγω γάρ οὕτω καί αὐτός κατά τήν σήν ἀγροικίαν, ὅς οὐδέ τοῦτο συνιδεῖν ἐδυνήθης, ὡς εἰ κατά ἀριθμόν ἀγγέλων Θεοῦ τά τῶν ἐθνῶν ὅρια διέστη, ποῖον ἄν πλάτος οἰκουμένης ἐχώρησεν τό (σελ. 126) πλῆθος; Παρίημι γάρ τάς ὑπό Δανιήλ ἑωραμένας μυρίας μυριάδας τῶν παρεστηκότων. Ἀλλ᾽ ἐπεί καί χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, ἄρα κατά τόν ἀριθμόν τούτων καί χίλιαι χιλιάδες ἐθνῶν ὁρίων εἰσί; Καί μήν ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη, οὕς διέσπειρεν υἱούς Ἀδάμ, καί ἔστησεν ὅρια ἐθνῶν κατά ἀριθμόν, τοῦτο δέ κατά τήν ἱστορίαν ἐπί τῶν υἱῶν καί υἱιδῶν τοῦ Νῶε γέγονε καί τῆς περιβοήτου δι᾽ αὐτῶν πυργοποιίας, τηνικαῦτα τοίνυν, οὐ τῶν ἑβδομήκοντα πλείους ἦσαν οἱ διαμεμερισμένοι. Τοιγαροῦν οὐ κατά ἀριθμόν ἀγγέλων τά ὅρια τῶν ἐθνῶν, ἀλλά καθ᾽ ἕκαστον ἀριθμόν τῶν ἐθνῶν ὅρια ἔστησεν ἀγγέλων ὁ Θεός, τουτέστιν εἰς περιοχήν φυλακήν ἑκάστου ἔθνους ἀγγέλους ἐπέστησεν ἤ ἄγγελον. Ὁ δέ Ἀκίνδυνος, «εἰ δέ κατά ἀριθμόν ἀγγέλων Θεοῦ καί μή τῶν δυνάμεων ὑπέστησαν», φησίν, «οὐδ᾽ ἔστι τούτων ἀριθμός οὐδέ

πλῆθος». Οὐκ ἔχει τοίνυν ὁ Θεός ἐνεργητικήν δύναμιν, οὐ θεατικήν, οὐ θεοποιόν, οὐ παντοκρατορικήν; Πῶς οὖν ὁ μέγας Διονύσιός φησιν, «εἰ τήν ὑπερούσιον κρυφιότητα Θεόν ἤ ζωήν ἤ οὐσίαν ἤ φῶς ἤ λόγον ὀνομάσαιμεν οὐδέν ἕτερον νοοῦμεν ἤ τάς ἐξ αὐτοῦ προαγομένας δυνάμεις ἐκθεωτικάς ἤ οὐσιοποιούς ἤ ζωογόνους ἤ σοφοδώρους, ἅς καί ἀλλαχοῦ που τῶν θεωνυμιῶν ὑπέρ τά ὄντα τίθεται; Τούτων γάρ, φησί, «τά ὄντα μετέχοντα οἰκείως ἑαυτοῖς καί ὄντα καί ζῶντα καί ἔνθεά ἔστι τε καί λέγεται». Ἀλλά καί ὁ μέγας Βασίλειος, «τό Πνεῦμα», φησί, «τό ἅγιον ἁπλοῦν τῇ οὐσίᾳ, ποικίλον ταῖς δυνάμεσιν». Ὁ δ᾽ Ἀκίνδυνος, «οὐδ᾽ ἔστι», φησί, «πολλάς ἀκτίστους δυνάμεις φάναι τοῦ Θεοῦ, ἀλλ᾽ εἷς μέν, ὁ πάντων δημιουργός καί ἐπίτροπος». Τίνος, ὦ νέε θεολόγε, τήν ἐπιτροπήν αὐτῷ (σελ.128) παρασχόντες; Εἰ μέν γάρ δημιουργός καί Κύριος, οὐκ ἐπίτροπος, εἰ δ᾽ ἐπίτροπος, οὐκ ἐκεῖνο· πῶς γάρ; Πῶς δ᾽ ὤν ὅλως καί εἷς, ὁ μηδεμίαν κατά τόν Ἀκίνδυνον δύναμιν ἔχων; Τό γάρ μηδεμίαν ἔχον δύναμιν οὔτε ἔστιν, οὔτε τί ἐστιν, οὔτε ἔστι παντελῶς αὐτοῦ θέσις οὐδέ ἀφαίρεσις κατά τούς θεολόγους. Οὐκοῦν τοῦτ᾽ ἔστι κατάλληλον τῷ οἰκείῳ δόγματι λέγειν τόν Ἀκίνδυνον, ὡς οὐδείς ὁ πάντων δημιουργός. Πόθεν δέ καί δημιουργόν ὀνομάζει τόν Θεόν; Παρά τό δημιουργεῖν αὐτόν ἐρεῖ; Τοιγαροῦν εἰ τοῦτ᾽ αὐτοῦ φύσις, ἀλλά μή πρόσεστι τῇ θείᾳ φύσει, πρός δέ τούτῳ καί δύναμις θελητική, συναΐδια ἔσται τῷ Θεῷ τά δεδημιουργημένα. Εἰ δ᾽ ὅτε ἠθέλησεν, ἐδημιούργησεν, ἔχει ἄρα ταῦτ᾽ ἀμφότερα προσόντα τῇ φύσει ὁ Θεός, ἀλλά καί ὅτε μήπω ἤθελε δημιουργῆσαι, τότε δύνασθαι θελῆσαι καί δύνασθαι δημιουργῆσαι εἶχεν ἡνίκ᾽ ἄν βουληθείη. Ἀλλά τό μέν δύνασθαι εἶχε, δύναμιν δέ οὐκ εἶχε; Καί τίποθ᾽ ἕτερόν ἐστι τό δύνασθαι παρά τό δύναμιν ἔχειν; Ὄντως φρενός κατεφθαρμένης τά τοιαῦτα διανοήματα.

Τό δέ λέγειν ὡς, ἐπεί κατά ἀριθμόν ἀγγέλων Θεοῦ τά ὅρια ἔστη τῶν ἐθνῶν, οὐκ ἔστιν ἐπί Θεοῦ ὅλως ἀριθμός, ἀναιροῦντός ἐστι καί τήν τῶν ὑποστάσεων Τριάδα. Καί Σαβέλλιος γάρ ἄν ἡδέως φαίη· πῶς οὐ κατά τόν ἀριθμόν τῶν ὑποστάσεων, εἴπερ εἶεν πλείους ἀληθῶς, ἀλλά κατά ἀριθμόν ἀγγέλων τά ὅρια διέστη τῶν ἐθνῶν; Διά τούτου καί αὐτός κατασκευάζων προσώπων θείων ἀριθμόν μή εἶναι. Τί δέ ὁ μέγας Διονύσιος καί Βασίλειος ὁ μέγας καί ὁ ἀδελφός καί ἀδελφά φρονῶν καί πᾶς τῶν θεολόγων ὁ χορός, καί τήν θείαν (σελ. 230) φύσιν ὀνομάζοντος θεότητα, μᾶλλον δέ προσήκειν τοὔνομα λέγοντες τῇ προνοίᾳ τοῦ Θεοῦ καί τῇ ἐξουσίᾳ καί τῇ θεατικῇ δυνάμει καί τοῖς

παραπλησίοις, ἆρ᾽ οὐχ ἕνα ἴσασιν ὄντα τόν δημιουργόν ἁπάντων, ἤ ἕνα μέν, ἀλλά τρισυπόστατον καί παντοδύναμον καί ὡς μέν τρεῖς ὑποστάσεις ἔχοντα τρισυπόστατον αὐτόν, ὡς δέ πολλάς καί διαφόρους δυνάμεις μᾶλλον δέ πάσας παντοδύναμον; Εἰ δέ τις φαίη πάλιν τῷ πάντα δύνασθαι, ἀλλ᾽ οὐ τῷ δυνάμεις ἔχειν, καλεῖσθαι παντοδύναμον, οὐκοῦν οὐδέ τῷ τρεῖς ὑποστάσεις ἔχειν, ἀλλά τῷ τρισσῶς ὑφίστασθαι, τρισυπόστατος ἔσται κατ᾽ αὐτόν.

Κἄν τούτοις διακόψας τόν λόγον ὁ τήν ἀρχήν προκομιστής τῆς Ἀκινδύνου λέσχης, ὡς εἶδε μή μόνον τό παρ᾽ ἐκείνου προενηνεγμένον, ἀλλά καί τἄλλα τῶν πεποιημένων Ἀκινδύνῳ κατά τῆς ἀληθείας ἐμέ πρός ἀκρίβειαν εἰδότα, σύνα θαύματι λέγειν ἤρξατο˙ «καί πόθεν ἔχεις ταῦτ᾽ εἰδώς καί ποῦ ποθ᾽ εὑρηκώς καί ταῦθ᾽ ἅπαντα συλλήβδην»; Ὁ γάρ ταλαίπωρος ἐκεῖνος ἀθεάτους ἡμᾶς τούτων οἴεται διαγενήσεσθαι καί εἰς τόν ἔπειτα χρόνον, μοχλοῖς τε καί κλείθροις ἀσφαλίζεται, μᾶλλον δέ σκότῳ δή τινι καί ἀφανείᾳ, ὡς πλήν ἑνός ἤ δύο τῶν γνησιωτάτων μηδ᾽ εἰδέναι τούς ἄλλους ποῦ γῆς ἐκεῖνα κεῖται. «Πόθεν οὖν καί ὅπως ἐπί τάς ὑμετέρας ἥκει χεῖρας οὐκ ἔχω συνιδεῖν. Οἶδα, πρός αὐτόν ἔφην, φυλαττόμενον τάς ἡμῶν ὄψεις τόν Ἀκίνδυνον καί τά συγγεγραμμένα οἱ καθ᾽ ἡμῶν λίαν ἐκθύμως περιστέλλοντα καί ταῦτα κατά τήν νῦν ἐμφύλιον στάσιν παρρησίας μετειληφότα καί καταπολαύοντα τῆς τοῦ καιροῦ μοχθηρίας. Οἶδα τοίνυν ἐκεῖνον καί νῦν περιφεύγοντα τάς ἡμετέρας ὄψεις. Καί τούς ἱεροσύλους γάρ ἴσμεν κρυπτομένους τάς τῶν ἱερέων ὄψεις, ἀφ᾽ ὧν τά τε κλέμματα ἐκεῖνα καί τάς κατά τῶν ἱερῶν σκευῶν ἀνιέρους ἐγχειρήσεις ἐς τά μάλιστα (σελ. 132) περιαιροῦσιν. Ἀλλ᾽ ὁ Θεός οὐκ ἀφίησιν τά παρακεχωρημένα γεγενῆσθαι εἰς τό καταπαίζεσθαι ὑπό τῶν θεραπευτῶν τῆς ἀληθείας.

Φέρε δή νῦν, ἐπειδή διέκοψας τήν ἐπί τἄλλα τῶν Ἀκινδύνου πρόοδον τῆς ὁμιλίας, ἐπί τήν ἀνεγνωσμένην παρά σοῦ τήν ἀρχήν ἥν αὐτός ἔφης ἐκείνου ρητορείαν ἐπανέλθωμεν, ἀνετάσοντες τό πρώην ὑπολελειμένον εἰ μή καί τοῦτο ληρωδία μᾶλλον ἤ ρητορεία. Φησί τοίνυν πρός ἡμᾶς, ἵνα συνελών ὡς οἷόν τε πάλιν ἐνταῦθα προκομίσω˙ πῶς θεοποιεῖν λέγετε τήν ἀνούσιον καί ἀνυπόστατον τοῦ Θεοῦ χάριν καί ἐνέργειαν, καί ὅ περί τοῦ Υἱοῦ καί τοῦ Πνεύματος οἱ πατέρες ἔλεγον, πῶς οὐ Θεός τό θεοποιοῦν, τοῦθ᾽ ὑμεῖς περί τῆς τοιαύτης χάριτος ἀμαθῶς καί δυσσεβῶς φατε, ὥστε δυοῖν θάτερον, ἤ τάς τοιαύτας ἐνεργείας κοινωνεῖν τοῦ ἐκείνων ἀξιώματος καί ὑποστάσεις εἶναι πάσας ἤ τόν Υἱόν καί τό Πνεῦμα τοῦ ἐκείνων ὡς εἶναι καί ταῦτα

ἀνούσια καί ἀνυπόστατα καί ἀλλότρια τῆς θείας οὐσίας καί ὅσα τούτοις ἕπεται». Πρός ὅν φαῖμεν ἄν ἡμεῖς˙ ἆρ᾽ οὐκ αἰσθάνη σύ σαυτοῦ καταμαρτυρῶν ἀρτίως; Σύ γάρ νῦν τυγχάνεις ἀποφαινόμενος ἴδιον εἶναι τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος τό θεοποιεῖν καί ὁμολογεῖς τούς ἁγίους φάναι, πῶς οὐ Θεός τό θεοποιοῦν. Ἡνίκα τοίνυν τοῦ μεγάλου Διονυσίου λέγοντος ἀκούων, «εἰ θεότητα νομίσαις τό χρῆμα τοῦ θεοποιοῦ δώρου καθ᾽ ὅ θεούμεθα καί τοῦτό ἐστιν ἀρχή τοῦ θεοῦσθαι, τῆς οὕτω λεγομένης θεότητος ὁ ὑπεράρχιός ἐστιν ἐπέκεινα», κτιστόν ἀποφαίνη τό χρῆμα τοῦ θεοποιοῦ δώρου καί τήν θεοποιοῦσαν θεότητα, δηλαδή τήν χάριν τοῦ Πνεύματος, ὡς ἀρχήν τῶν θεουμένων οὖσαν, δῆλος εἶ τό Υἱόν καί τό Πνεῦμα τό ἅγιον εἰς κτίσμα κατασπῶν. Ἐπειδή γάρ ἰδιαίτατον καί μόνου τοῦ Υἱοῦ καί τοῦ Πνεύματος εἶναί τε λέγεις τό θεοποιεῖν καί κτίσμα (σελ. 134) τό θεοῦν καί τό θεοποιόν, τό δέ θεοῦν καί τό θεοποιεῖν καί τό θεοποιόν διενήνοχεν οὐδέν, πῶς οὐχ ὁ Θεός καί αὐτός ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον τό θεοποιόν τε καί θεοῦν καί κτίσμα ὑπάρχον κατά σέ; Σύ μέν οὖν, εἰ μή μετάμελον λήψη τῆς ἀσεβείας μετ᾽ Ἀρείου καί Εὐνομίου καί Μακεδονίου κείση καί τοῦ καταλόγου τῶν ἀποκηρύκτων ἔση δι᾽ αἰῶνος. Ἡμεῖς δέ οὐ τοῦ Υἱοῦ μόνου καί τοῦ Πνεύματος εἶναι τό θεοποιεῖν φαμεν, ἀλλά καί τόν Πατέρα θεοποιόν οὐχ ἧττον ἴσμεν˙ μετ᾽ αὐτοῦ γάρ ἐπί τούς ἀξίους κατά τήν ἐπαγγελίαν ἀφικνεῖται καί ἑνοῦται τούτοις ὁ Χριστός, πάντως δέ οὐκ ἄνευ τοῦ ἁγίου Πνεύματος. Τριῶν δέ τοῖς ἑνουμένοις ἐνθεωρουμένων, οὐσίας, ἐνεργείας, ὑποστάσεως, ἑνί τούτων ἤ δυσίν, ἀλλ᾽ οὐ πᾶσιν ἡνῶσθαι τά ἐκ διαφόρων ἡνωμένα ἀναγκαῖον, εἰ μή μέλλει πείσεσθαι τήν πρός ἄλληλα σύγχυσιν, ἀλλά δι᾽ ἑνός ἀμφοτέρων ὄντος τοῦ αὐτοῦ συνδούμενα τῆς τε οἰκείας καταλλήλου σωτηρίας ἀραρότως ἔχειν καί τῆς πρός ἑκάτερα ἀλληλουχίας. Ἡνῶσθαι τοίνυν Θεόν ἀνθρώπῳ κατ᾽ οὐσίαν, ὡς μίαν εἶναι τήν οὐσίαν τοῦ Θεοῦ καί τοῦ ἀνθρώπου, μηδ᾽ εἰς νοῦν ἔλθοι ποτέ τινι τῶν πάντων, τό δέ καθ᾽ ὑπόστασιν ἡνῶσθαι θείαν ὡς μίαν εἶναι τῶν ἀσυγχύτως ἡνωμένων τήν ὑπόστασιν, μόνου τοῦ δεσποτικοῦ προσλήμματος, ὅ παντός ἀνεπίδεκτον ὑπάρχον σπίλου καί τήν θείαν χάριν καί ἐνέργειαν ὁλόκληρον ἐπλούτησεν˙ οὐ γάρ ἐκ μέτρου διδόναι τό Πνεῦμα τόν Πατέρα, ταὐτό δ᾽ εἰπεῖν, λαμβάνειν τόν Υἱόν ὡς ἄνθρωπον, ὁ βαπτιστής φησιν.

Ὁ δέ μετ᾽ ἐκεῖνον ἑρμηνεύς ἀξιολογώτατος ἐκείνου μή τήν οὐσίαν τοῦ θείου Πνεύματος ἐνταῦθά φησιν εἰπεῖν τόν βαπτιστήν, ἀλλά τήν

ἐνέργειαν˙ αὕτη γάρ ἡ μεριζομένη. Καί τοίνυν ἐπεί μήτε οὐσίᾳ μήτε ὑποστάσει (σελ. 136) θείᾳ τῶν θεουμένων ἕκαστος θεοῦται τῷ Θεῷ ἑνούμενος, λείπεται τοιγαροῦν ἐξ ἀνάγκης κατά τήν θείαν θεοῦσθαι χάριν τε καί ἐνέργειαν, ὅ καί Γρηγόριος συνιείς ὁ τῆς θεολογίας ἐπώνυμος, «Χριστός», φησί, «διά τήν θεότητα, χρίσις γάρ αὕτη τῆς ἀνθρωπότητος οὐκ ἐνεργείᾳ κατά τούς ἄλλους χριστούς ἁγιάζουσα, παρουσίᾳ δέ ὅλου τοῦ χρίοντος». Ὁ δέ θεόληπτος Μάξιμος, «νεύματι», φησί, «Θεοῦ ἐκινοῦντο καί Μωϋσῆς καί Δαβίδ καί ὅσοι τῆς θείας ἐνεργείας χωρητικοί, τῇ ἀποθέσει τῶν ἀνθρωπίνων καί σαρκικῶν ἰδιωμάτων γεγόνασιν», οὕς ὁ αὐτός καί ζῶσας καί ἀλλαχοῦ φησιν εἰκόνας Χριστοῦ καί ταὐτόν αὐτῷ μᾶλλον κατά τήν χάριν ἤ ἀφομοίωμα. Καί πάλιν, «τῆς εἰκόνος ἀνελθούσης πρός τό ἀρχέτυπον, ὡς τῆς θείας ἐπειλημμένης ἐνεργείας καί πλέον ἡδομένης τῇ ἐκστάσει τῶν ἐπ᾽ αὐτῆς καί ὄντων καί νοουμένων διά τήν ἐκνικήσασαν αὐτήν χάριν τοῦ Πνεύματος ὥστε εἶναι μίαν καί μόνην διά πάντων ἐνέργειαν τοῦ Θεοῦ καί τῶν ἀξίων Θεοῦ». Ὁρᾷς ὅτι κατά τήν τοιαύτην χάριν τε καί ἐνέργειαν ἑκάστῳ τῶν θεουμένων ὁ Θεός ἑνούμενος τό ἡνωμένον θεοῖ μίαν δεικνύς τήν ἑαυτοῦ τε κἀκείνων ἐνέργειαν; Τοιαύτην οὖν δύναμιν καί ἐνέργειαν ἔχων ὁ Πατήρ καί ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον καί Θεός καί θεοποιός ἐστί τε καί λέγεται. Καί ὁ θεοποιόν ἕκαστον τούτων εἰρηκώς κατά ταύτην τήν ἐνέργειαν θεοποιόν προσεῖπε˙ καθ᾽ ἑαυτό γάρ, τουτέστι κατ᾽ οὐσίαν, τό θεῖον ἀνώνυμον. Καί ὁ ταύτην εἰρηκώς θεοποιόν, ὡς τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος δύναμιν καί ἐνέργειαν οὕτω προσηγόρευσε, καί δι᾽ αὐτῆς ἐκεῖνον καί οὐχ ἕτερόν φησι θεοποιόν. Οὐ γάρ ἐστι τῆς δυνάμεως καί ἐνεργείας τόν ἐνεργοῦντα καί δυνάμενον (σελ. 138) διαζεύξαντα καταλαβεῖν ἐφ᾽ ἑαυτοῦ τό λειπόμενον. Ταῦτ᾽ ἄρα καί ὁ μέγας Διονύσιος ὡς θεαρχίαν καί ἀγαθαρχίαν καί θεοποιόν θεότητα καί ἀρχήν τῶν θεουμένων ἐξυμνήσας ταύτην, καί ἄκτιστόν τε καί ἄναρχον διά τῶν ὑψηλῶν τούτων ὀνομάτων δείξας (πῶς γάρ ἄν εἴη ἡ ἀρχή τῶν θεουμένων ἀγγέλων καί ἀνθρώπων κτίσμα, ἡ μετεχομένη παρά τῶν ὑπερκοσμίων ἁπασῶν λειτουργικῶν δυνάμεων καί τήν ἐν Θεῷ μονήν αὐταῖς παρεχομένη καί θεότης ὑπάρχουσα καί θεαρχία, ὡς θέωσις ἁπάντων, ἀλλ᾽ οὐχ ὡς θεώσεως μεταλαχοῦσα; Πῶς γάρ ἔσται θέωσις θεώσεως;)˙ ταύτην οὖν ἐξυμνήσας ὁ μέγας ἐκεῖνος ὡς θεοποιόν, ἀλλ᾽ οὐ θεοποιημένην, καί ἀμίμητον μίμημα, εἶτα φυλαττόμενος τήν τῶν

πολλῶν διάνοιαν, μή τις τήν οὐσίαν τοῦτ᾽ εἶναι νομίσῃ τοῦ Θεοῦ, καί πρός Γάϊον ἐρόμενον πῶς ὑπέρθεος ὁ Θεός ἀποκρινόμενος, οὐχ ὡς τῶν θέσει θεῶν ὑπερέχων ὁ Θεός ὑπέρθεός ἐστι, φησίν, οὐ γάρ ἄν ἦν καί πρό τῆς κτίσεως ὑπέρθεος, ἀλλ᾽ ὡς καί τῆς θεοποιοῦ ἐνεργείας καί θεαρχικῆς θεότητος ὑπερκείμενος, ἅτε κατ᾽ οὐσίαν ὑπεράρχιος ὑπάρχων καί ἀμέθεκτος, οὐ δύο θεούς καί θεαρχίας ἐνουσίους καί ἀνουσίους, ἐνυποστάτους καί ἀνυποστάτους, ὑπερκειμένους τε καί ὑφειμένους δεικνύς, κατά τούς Βαρλαάμ καί Ἀκινδύνου λήρους, ἀλλά τά ἀδιαίρετα τῷ λόγῳ διαιρῶν καί τήν διαφοράν αὐτῶν ἡμῖν γνωρίζων, ἀλλ᾽ οὐ διιστάς ταῦτα καί χωρίζων ἀπ᾽ ἀλλήλων.

Οὕτω γάρ καί ὁ μέγας Βασίλειος ἐν τοῖς πρός Ἀμφιλόχιον, τήν ἀγάπην, τήν χαράν, τήν εἰρήνην, τήν χρηστότητα, τήν σοφίαν, τήν σύνεσιν, καί τά παραπλήσια τούτοις διελών τοῦ Πνεύματος καί ἀπαριθμησάμενος, εἶτά φησι, ταῦτα πάντα ἀϊδίως ἔχει τό Πνεῦμα τό (σελ. 140) ἅγιον, ἀλλά «τό μέν ἐκ Θεοῦ πηγάζον, ἐνυπόστατόν ἐστι, τά δέ ἐξ αὐτοῦ πηγάζοντα ἐνέργειαι αὐτοῦ εἰσιν», οὐχ ὡς ἀνυπάρκτους, ἀνυποστάτους τιθέμενος τάς ἀϊδίους ἐνεργείας τοῦ Πνεύματος (πῶς γάρ ἄν ἀπαριθμεῖτο ταύτας;) ἀλλ᾽ ὡς μή ἐν ἰδίᾳ ὑποστάσει θεωρουμένας. Καί τήν ὑπόστασιν γάρ τῆς οὐσίας διαιροῦμεν καί τήν πρός ἐκείνην διαφοράν ἐπιδείκνυμεν περί αὐτῆς διαλεγόμενοί τισιν, ἀλλ᾽ οὐκ ἔστιν ἰδεῖν ὑπόστασιν χωρίς οὐσίας. Εἰ δή χωρίσας ὁ λόγος ἑκάτερον ὁρώῃ καί περί ἑκατέρου σκέπτοιτο καί ἰδίᾳ διεξίοι, πρός τούς δύο ὑποστάσεις λέγοντας ἐπί Χριστοῦ κατά Νεστόριον, ἐπεί καί δύο φύσεις, ἤ μίαν τῆς ἁγίας Τριάδος ὑπόστασιν κατά Σαβέλλιον, ἐπεί καί μία ἡ οὐσία, δύο θεούς ἤ ἕνα σύνθετον ἐξ ἀνουσίων καί ἐνουσίων ἐδημιούργησεν. Ἄπαγε τῆς φρενοβλαβοῦς ὄντως ὑπονοίας καί τῶν κατηλογημένων λόγων. Τό δ᾽ ἡμῖν ἐπάγειν τόν Ἀκίνδυνον τοῖς διαφοράν δεικνῦσι τῆς θείας οὐσίας τε καί ἐνεργείας καί πάντων τῶν κατ᾽ εὐσεβῆ διάκρισιν θεωρουμένων ἐπί τοῦ ἑνός Θεοῦ, ὅτι μεταλήψονται τῶν ἀλλήλων ἕκαστα ἰδιοτήτων, ὡς εἶναι μέν τάς ἐνεργείας καθ᾽ ἑαυτάς ἐν ὑποστάσει, τήν δ᾽ οὐσίαν ἀνούσιον, τόν Υἱόν τε καίτό Πνεῦμα τό ἅγιον ἀνυπόστατον, καί μή συνορᾶν ὡς τοῦτ᾽ ἐπ᾽ ἀληθείας πέπονθεν αὐτός, ὁ τήν διαφοράν καί τήν κατ᾽ αὐτήν διάκρισιν τῶν θείων ἐνεργειῶν καί τῆς θείας οὐσίας ἠρνημένος, πῶς οὐ περιφανῶς ἀνοηταίνοντος; Καί γάρ ἔστιν οὗ τῶν κατά τῆς αὐτοῦ δυσσεβείας ἐξενηνεγμένων μοι βιβλίων, πεντήκοντα ταῖς μεγίσταις τῶν πονηρῶν αἱρέσεως περιπίπτων ὁ Ἀκίνδυνος ἀριδήλως

ἀποδέδεικται, τῷ μηδεμίαν διαφοράν λέγειν οὐσίας τε καί ἐνεργείας θείας.

Ἐνταῦθα δή τῶν λόγων, ἅλις τῶν τοιούτων, ἐπεφώνησεν ὁ προσδιαλεγόμενος˙ σύ γάρ ὥς γε νῦν πάρεστιν ὁρᾶν, οὐκ ἀναιροῦντι τά συγγράμματα καί (σελ. 142) ἀνασκευάζοντι τάς Ἀκινδύνου καθ᾿ ὑμῶν ἔοικας κατασκευάς, ἀλλ᾿ οἷον ἐκφυσῶντι ταύτας οἱονεί τινα χοῦν ἤ τήν ἀχύρου λεγομένην ἄχνην πρός ἄνεμον λικμῶντι. Τῶν τοιούτων οὖν ἀπόχρη. Βίᾳ τοίνυν κατασχών σαυτόν, ῥᾳδίως γάρ οὐκ οἶμαί σε διεσπάσθαι σχεῖν τῆς πρός τούς ἀντιλέγοντας ἐναγωνίου συμπλοκῆς, ἐκεῖνο φράσον ὅ καί πρότερον ἠρόμην, πῶς οὐκ ἐναντία δοκοῦσι πρός ἀλλήλους λέγειν, ὅ τε θεολόγος Γρηγόριος καί ὁ Δαμασκηνός πατήρ, ὁ μέν θελήσεως τά θεληθέντα λέγων, ὁ δέ μή εἶναι θελήσεως τά θεληθέντα;

Πρός ὅν αὐτός ἔφην αὖ˙ μή πολύς ἴσθι τῷ τῆς θεολογίας γράμματι προσκείμενος˙ ἀποκτείνει γάρ τούς μή περαιτέρω διορῶντας. Οὐκοῦν ἀναπεταννύς ἀεί τά πρόθυρα τῆς θεορρημοσύνης, εἴσω πέμπε τό τῆς διανοίας ὄμμα καί τόν σκοπόν καί τό νόημα κατανόει μοι τῶν ἐνθέων συγγραφέων˙ οὐδέν γάρ ἐν αὐτοῖς σκολιόν οὐδέ στραγγαλιῶδες, ἀλλά πάντα εὐθέα ἐστί τοῖς νοοῦσι καί ὀρθά τοῖς εὑρίσκουσι γνῶσιν. Ὁ μέν γάρ θεολογικώτατος τῶν Γρηγορίων πρός τούς διατεινομένους μή τοῦ Πατρός Υἱόν εἶναι τόν Υἱόν, ἀλλά τῆς γεννήσεως, ἔτι δέ καί τῆς θελήσεως καί ἁπλῶς τῆς οἱασοῦν ἐνεργείας καί κινήσεως τά γεγονότα, μή εἶναι, φησί, τῆς θελήσεως τό θεληθέν ἤ τῆς οἱασοῦν κινήσεως τό τελεσθέν, ἀλλά τοῦ κινουμένου καί τοῦ θέλοντος˙ αὕτη γάρ ἐκείνου εἶναι παρίστησιν αὐτό. Καί παρά τοῦτο τῆς ἐκείνου θελήσεως τό θεληθέν καί τῆς κινήσεως εἴη ἄν τό τελεσθέν, ἐπειδήπερ ἐκείνου τοῦτό ἐστι τοῦ προκαταρκτικοῦ αἰτίου. Εἰ δέ σύ τό δεικτικόν τῆς πρός τόν θέλοντα σχέσεως τοῦ θεληθέντος, δηλαδή τήν θέλησιν, ὡς διαιρετικόν ἀπατώμενος ἐκδέχῃ, τό ὑφεστός καί μᾶλλον (σελ. 144) αἴτιον τοῦ θεληθέντος σκόπει μοι, φησίν, αὐτόν τόν θέλοντα, τούτου τιθέμενος τό θεληθέν˙ ἡ γάρ κίνησις καί θέλησις οἱονεί τις σύνδεσμός ἐστι τούτων μεταξύ, οὐχ ἑαυτῆς, ἀλλά τοῦ θέλοντος τό θεληθέν δεικνῦσα. Ταῦτα μέν ὁ μέγας θεολόγος. Ὁ δ᾿ ἐκ Δαμασκοῦ τῶν θείων εἴπερ τις ἀσφαλής διδάσκαλος, πρός τούς ὁμοίως τοῖς κτίσμασιν τόν Υἱόν λέγοντας ἐκ τοῦ Πατρός καί ὁμοίως ἔχειν ἰσχυριζομένους πρός ταῦτ᾿ ἄμφω τόν Πατέρα, τῶν οἱονεί συνδέσμων τούτων, ὧν ἔφθημεν εἰπόντες τήν διαφοράν ἐπιδεικνύς, «ἡ μέν τοῦ Θεοῦ δημιουργική»,

φησίν, «ἐνέργεια, τουτέστιν ἡ χρῆσις καί ἡ διά τῶν ἀποτελεσμάτων φανέρωσις τῆς τοῦ Θεοῦ δημιουργικῆς δυνάμεως, αὐτό τό κτίζειν, θελήσει καί ἀθελησίᾳ ὑπόκειται. Ἡ δέ γέννησις, δηλονότι τό γεννᾶν, ἕπεται τῇ φύσει, ἀλλ᾽ οὐχ ὑπόκειται θελήσει. Διό φύσεως ἔργον οὖσα μόνης, ἀλλ᾽ οὐχί καί θελήσεως, ἄναρχος καί ἀΐδιός ἐστιν, ἅμα τῇ πηγαίᾳ καί θεογόνῳ τοῦ Πατρός θεότητι καί ἀδιαστάτως παντάπασι συνεπινοουμένη». Ἡ γάρ κτίσις, δηλαδή τό τε κτίζειν ἤ καί αὐτό τό τελεσθέν, ἔργον θελήσεως˙ ὅτε γάρ ἠθέλησεν ὁ Θεός ἐφανέρωσε διά τῶν ἀποτελεσμάτων τήν δημιουργικήν δύναμιν αὐτοῦ. Διό οὐ συναΐδιον τῷ Θεῷ τό κτίζειν καί τό κτίσμα, τό δέ γεννᾶν καί τό γεγεννημένον φύσει συναΐδιον. Οὔκουν ὁ Δαμασκόθεν θεολογικός φωστήρ εἶναι τοῦ θέλοντος τό θεληθέν ἀπαγορεύει, καθάπερ ἐκεῖνοι πρός οὕς ὁ θεολόγος ἀντιλέγων τοῦ θέλοντος εἶναι κατεσκεύασε τό θεληθέν, ἀλλά καί οὗτος διά τῆς θελήσεως τοῦ δι᾽ ἀγαθότητα θελήσαντος προαγαγεῖν εἶναι κατασκευάζει τά τεθελημένα καί διά τῆς γεννήσεως Υἱόν τε τοῦ Πατρός τόν Υἱόν καί συναΐδιον αὐτῷ. Βλέπεις πῶς ἕν τό παρ᾽ ἀμφοτέρων περαινόμενον; Ἡμεῖς οὖν κἄν περί τόν (σελ. 146) λέγον κάμνειν δέῃ τό γε εἰς ἡμᾶς ἧκον οὐδέν τῶν ἁπάντων ἀνήσομεν νομίζειν, ἀλλ᾽ οὐδ᾽ ἄλλου του λέγοντος παραδεξαίμεθ᾽ ἄν ὑπεναντίας ἑαυτοῖς καί ἀλλήλοις τούς πατέρας ἡμῶν θεολογεῖν, ὅ καί ὑμεῖς εἴπερ ἐζητεῖτε, πάλαι ἄν ὁμόλογοι διετελεῖτε τοῖς γε ἁγίοις καί ἡμῖν. Ἀλλά γάρ ἐπί τῶν ἄρτι μοι προειρημένων, πόσας οἴει τόν Ἀκίνδυνον συμπλάσαι διθεΐας; Πολλοί γάρ, νῦν ἀνεπεφήνασι διαφοραί καί κατ᾽ αὐτάς πολλά τά ἄκτιστα, ἡ ἀΐδιος φύσις, ἡ ἀΐδιος γέννησις˙ ἡ μέν γάρ ἔργον, ἡ δέ θεία φύσις ἧς ἡ θεία γέννησις ἔργον. Ἡ δ᾽ αὖ θεία θέλσηις καί αὐτή διαφέρει τῆς θείας φύσεως - ἄλλο γάρ ἔργον ἑκατέρας - ἀλλά καί τῆς γεννήσεως˙ ἡ μέν γάρ ἔργον εἴρηται τῆς φύσεως, τῆς δέ θελήσεως ἔργον ὅ μηδαμῶς προσήκει τῇ γεννήσει.

Πρός ταῦτα μειδιάσας ἡδύ λίαν ὁ προσδιαλεγόμενος, ἐξαναστάς τε καί τά τελευταῖα προσειπών, οὐκέτι μετά τοῦ ὁμοίου θράσους ἐπανήκει πρός τάς φίλας αὐτῷ διατριβάς. Ἐγώ δέ ταῦτ᾽ ἐπέστειλα τῇ σῇ συνέσει, κἄν μή πόρρω βάλλω τοῦ εἰκότος καί τἄλλα τῆς Ἀκινδύνου κακονοίας ὑμῖν ἀντί σκοποῦ προθείς, τούτων εὐθύ πέμπειν παρακαλέσω τάς ἐκ λόγων βολίδας˙ χρῆσθαι γάρ ὑπέρ εὐσεβείας τῇ δυνάμει τῶν λόγων τοῖς καθ᾽ ὑμᾶς διά βίου περί λόγους ἐσχολακόσι τῶν ὀφειλομένων διαφερόντως. Εἰ γάρ καί βίος ὑμῖν ὁ

λόγος, ἀλλά καί πρό τοῦ βίου τό εὐσεβεῖν, ἄνωθεν ἐκ προγόνων οἷά τινα κλῆρον ὑπερκόσμιον ὄντως ἐφ᾽ ὑμᾶς εἰλικρινῆ καί ἀμείωτον καταβαίνοντα κεκτημένοις, τό τά θεῖα φρονεῖν, ὡς εἶναι πολλαχῶς, ἀλλ᾽ οὐχ ἑνί τρόπῳ, πρός ὑμᾶς λέγειν ἐκεῖνο τό ἀποστολικόν, «ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε ἐν Χριστῷ Ἰησοῦ, (σελ. 148) ὅς ἐγενήθη ἡμῖν σοφία ἀπό Θεοῦ καί δικαιοσύνη καί ἁγιασμός καί ἀπολύτρωσις».

Ἐρρωμένος μοι διαβιῴης καί τῆς συουργοῦ τροφῆς παραβαλλομένης δαψιλοῦς παρά τῆς Ἀκινδύνου Κίρκης ἄγευστος μετά τῶν φίλων ἑταίρων· ἀνύσιμον δ᾽ ἕξεις τήν εὐχήν, εἰ παρ᾽ εὐαγοῦς Ἑρμοῦ λαβών ἔχεις τό λωτόν, καί μάλιστ᾽ ἐπί νοῦν, τούς τῇ εὐσεβείᾳ δηλονότι συνηγόρους λόγους.

***ΠΡΟΣ***

***ΤΟΝ ΟΣΙΩΤΑΤΟΝ ΕΝ ΙΕΡΟΜΟΝΑΧΟΙΣ***

***ΚΥΡΙΟΝ ΠΑΥΛΟΝ ΤΟΝ ΑΣΑΝΗΝ. (Σελ. 150)***

Ἔναγχος ἡμῖν ἐντυγχών ὁ καθ᾽ αἷμα μέν τοῖς βασιλεύουσι προσήκων σύ, κατά πνεῦμα δέ παῖς καί ἀδελφός εἶναι προῃρημένος τῶν ἐλαχίστων ἡμῶν διά τήν ὑπό τοῦ Κυρίου μακαριζομένην πτωχείαν τοῦ πνεύματος, ποθεῖν εἴρηκας μαθεῖν, τίς, ἥν προστησάμενος Ἀκίνδυνος δόξαν, καί τίνος τῶν ἐκ τοῦ παντός αἰῶνος ἄθεσμα Θεοῦ περί πεφρονηκότων, κατά τῆς αὐτοῦ παραδειχθείσης ἐν Θαβώρ κεχωρηκέναι δόξης ἔργῳ καί λόγῳ καί συγγράμμασι πολυλέσχοις τεθάρρηκεν. Ἡ δέ οὐ δόξα μᾶλλον, ἀλλ᾽ ἀδοξία τις εἶναι δοκεῖ καί πᾶσα μᾶλλον ἤ τις· περιπίπτει γάρ πᾶσιν ὁ ταύτης ἀντεχόμενος οὗτος οἷς ἐφαρμόζει τοὔνομα, τήν τε θείαν ἐκείνην ἀτιμάζων δόξαν καί τούς ἐκ τοῦ παντός αἰῶνος καί τό νῦν εἶναι ταύτην ἀνυψοῦντας πρός δύναμιν, ἀληθέστερον δ᾽ εἰπεῖν ἑαυτόν, καί κακοδοξίαν ἐντεῦθεν τήν αἰσχίστην νοσῶν· καί τρίτον, ὅ καί μάλιστ᾽ ἄν ἀντιδιαστέλλοιτο πρός τήν τῆς σῆς σεβασμιότητος πεῦσιν, μηδεμιᾷ δόξῃ καί ὑπολήψει περί ταύτης στοιχῶν εἰ τέλος, ἧς ἠρώτησας, δόξης. Μάθοις δ᾽ ἄν τοῦτο σαφῶς, παρά τῶν αὐτοχείρων ἐκείνου παρ᾽ ἡμῖν συγγραμμάτων. Ἥν γάρ ἄν ἔχοι τις περί τοῦ φωτός ἐκείνου τήν δόξαν, εὑρήσει παρά τούτοις τήν ἐναντίαν· τοῦτο γάρ ὡς ἔοικεν

ἐξεμελέτησεν ὁ συγγραφεύς τῶν τοιούτων, ἐφ᾽ ἑαυτόν μέν (σελ. 152) ἀεί διά τινων ἐναντιώνεται στρέφεσθαι καί ἀντιλέγειν ἑαυτῷ μέν πρῶτον ἐν πᾶσι καί πολλαχῶς, ἐφ᾽ ἑκάστου παρισταμένου, τῶν δ᾽ ἄλλων ἑκάστῳ πλεοναχῶς μέν, οὐκ ἐν ἅπασι δέ˙ τίς γάρ ἄν εὑρεθείη τῶν πάντων, πάντα περί τοῦ αὐτοῦ καί αὐτά τά ἐναντιώτατα λέγων, καθάπερ οὗτος; Τίνα γάρ δή καί σχοίη τις ἄν περί τοῦ θειοτάτου φωτός ἐκείνου τήν δόξαν, ὅπερ ἀπορρήτως εἶδον οἱ τῶν ἀποστόλων ἀριστίνδην ἐξειλεγμένοι καί τῷ Κυρίῳ τηνικαῦτα τό ὄρος συναναβάντες ὅτι ἄκτιστον;

Ἀλλ᾽ εὐθύς εὑρήσει τήν πολεμίαν τῷ φωτί χεῖρα γράφουσα «οὐδεμιᾷ γεγενημένῃ φύσει οὐδέ αὐταῖς ταῖς ἀνωτάτω περί τό θεῖον δυνάμεσι καί πρώταις, ὁρᾶν οἷόν τέ τι ἄκτιστον»˙ καί πάλιν, «οὐδέν ὅπερ αὐτό τοῦτο εἰς ὅρασιν ἔρχεται σωματικῶν ὀφθαλμῶν ὁπωσδήποτε ἄκτιστόν ἐστι, κἄν Μωυσῆς, κἄν Παῦλος ὁ εἰς τρίτον οὐρανόν ἀνελθών, κἄν ἄγγελος ᾖ, ὁ τῆς θείας θεωρίας ἁπτόμενος»˙ καί πάλιν, «τό μόνον ἄκτιστον φῶς καί ἡ ἄκτιστος δόξα, ἤγουν ἡ θεία φύσις, παντελῶς ἐστι καθ᾽ ἑαυτήν ἀόρατος». Ἆρ᾽ οὐ κτίσμα τό φῶς ἐκεῖνο σαφῶς ὑπέδειξε; Κἄν ἐνέργειάν τις εἶναι φῇ τοῦτο θείαν, ἀλλ᾽ οὐκ οὐσίαν, ἐγγύς πάλιν ἡ τῆς πολεμίας χειρός καί γνώμης ἀντίθεσις, «οὐ γάρ ἄν ἴδοι τις τήν συμπληρωματικήν ἐνέργειαν τῆς ἀνωτάτω θεότητος, γράφουσα, σωματικοῖς ὀφθαλμοῖς ὁπωσδήποτε»˙ καί πάλιν, «πῶς ἡ κτιστή φύσις τήν ἄκτιστον ἐνέργειαν ὄψεται σωματικοῖς ὀφθαλμοῖς, κἄν ἰσάγγελος ᾖ τις κἄν ἄγγελος;». Ἀφείς οὖν τοὔνομα τῆς ἐνεργείας θείαν ἔλλαμψιν ἐρεῖ τις τοῦτο καί χάριν ἐκ τῶν καταλλήλων ὀνομάτων δυσωπῶν οἷον; Ἀλλ᾽ ὄψεται τήν αὐτήν χεῖρα, ῥηματίοις ἐμμέτροις ἀμέτρῳ φορᾷ χρωμένην καί κατ᾽ αὐτοῦ πάλιν γράφουσαν.

(σελ. 154) «Ἔπειτα τήν ἄκτιστον ἡγεῖται χάριν,
ἥν εἶδεν οὐδείς οὐδ᾽ ἰδεῖν ἔχει φύσιν
κἄν ἀγγέλου χάρισμα προσλάβῃ φύσιν».

Καί τί δεῖ προσγράφειν ἐνταυθοῖ τά πλείω, κἄν ᾖ μακρῷ χείρῳ, τῶν αὐτῷ προγραφέντων;

Ἀλλ᾽ ἐπεί καί ἡ ἄκτιστος οὐσία παντάπασιν ἐστιν ἀόρατος καί τήν ἄκτιστον χάριν καί ἐνέργειαν, ὡς αὐτός φησιν, οὐδείς οὐδ᾽ ἄγγελος εἶδε, κτιστόν ἐροῦμεν τό τοῖς ἀποστόλοις ἑωράμενον ἐπ᾽ ὄρους τῇ δυνάμει τοῦ Πνεύματος ἐκεῖνο φῶς, καί οὕτως Ἀκινδύνου τό φιλοπόλεμον κατευνάσομεν ἦθος; Ἀλλ᾽ ἔστιν ὁρᾶν παρά τῆς αὐτοῦ

πάλιν γεγραμμένον χειρός, «καί πάρεστι τοῖς βουλομένοις παρ᾽ ἡμᾶς ἀφιγμένοις ὄψει λαβεῖν τήν πίστιν, ὡς εἴ τις τό ἐν τῷ Θαβωρίῳ ὄρει λάμψαν ὑπέρλαμπρον φῶς, διά τό εἰρῆσθαι θεότητα παραδειχθεῖσαν τῷ θεολόγῳ καί τῷ θείῳ Ἰωάννῃ τῷ Δαμασκηνῷ ἄκτιστον καί ἀΐδιον, ἕτερον τοῦτο λέγει τό ἄκτιστον τῆς οὐσίας τοῦ Θεοῦ, οὐκ ἀσφαλῶς αὐτόν ὑπολαμβάνω θεολογεῖν. Καί γάρ φῶς μέν ἄκτιστον εἴρηται καί προαιώνιον καί ἀΐδιον, ἕτερον δέ παρά τήν οὐσίαν τοῦ Θεοῦ οὐκ εἴρηται. Οὐκοῦν οὐδέ ἐγώ λέγω τοῦτο». Κατά τοῦτον οὖν, μᾶλλον δέ κατά τό νῦν αὐτῷ γεγραμμένον, τό ἑωραμένον ἐκεῖνο φῶς, ὅ κτίσμα προϋπέδειξεν ὑπάρχον, οὐσία τε Θεοῦ καί ἄκτιστόν ἐστι, καίτοι πρότερον εἰπόντι μηδέ τήν χάριν μηδέ τήν ἐνέργειαν τήν ἄκτιστον ὀφθῆναι δυνατόν εἶναι μηδέ τοῖς ἀγγέλοις αὐτοῖς. Ἔστι γε μήν καί οὗτος αὐτοῦ λόγος γραφῇ παραδεδομένος, αὐτολεξεί τε πολλαχοῦ κείμενος τῶν αὐτοῦ συγγραμμάτων, ὡς «ἡ θεία καί ἄκτιστος χάρις τε καί ἐνέργεια οὐχ ἕτερον τῆς θείας οὐσίας», ἀλλά κἀν τοῖς μικρόν ἀνωτέρω προτεθειμένοις, οὐκ ἄκτιστον μόνον, ἀλλά καί ἀόρατον (σελ. 156) ἀποφήνατο καθ᾽ ἑαυτήν τοῦ Θεοῦ τήν οὐσίαν. Ἐνταῦθα δέ φησι τό ἑωραμένον φῶς αὐτήν εἶναι τοῦ Θεοῦ τήν οὐσίαν˙ «οὐ γάρ ἐστι», φησί, «τῆς οὐσίας ἕτερον».

Ἀλλ᾽ ἐρεῖ τό λάμψαν ἐν Θαβώρ εἰπεῖν φῶς ἀλλά μή τό ἑωραμένον; Τῆς ἀφροσύνης! Πῶς γάρ ἐν Θαβώρ ἔλαμψεν, εἰ μή ἐν Θεβώρ ἑώραται; Ἀλλ᾽ ὀφθῆναι τήν παραδειχθεῖσαν ἐπ᾽ ὄρους θεότητα διά τοῦ φωτός ἐκείνου, τουτέστι νοηθῆναι, φαίη ἄν; Τῆς περινοίας, οἰκειότερον δ᾽ εἰπεῖν, τῆς ἀπάτης! Πῶς γάρ νοεῖται, ἀλλ᾽ οὐχ ὁρᾶται, ἡ μακροῦ στεροτέρα καί ὄψεως; Ἆρ᾽ οὐ κατά τῆς ἑαυτοῦ ψυχῆς τό νοῆσαι ἀντί τοῦ δι᾽ ὀφθαλμῶν ἰδεῖν, ἀπατηλῶς σοφιζόμενος ἐκδέχεται; Καί ταῦτ᾽ ἀκούων τοῖς ὀφθαλμοῖς τῶν ἀποστόλων ὀφθῆναι τό μάμψαν ἐπ᾽ ὄρους ἀπό τοῦ Σωτῆρος φῶς; «Σήμερον γάρ», φησίν, «ὡράθη τά τοῖς ἀνθρωπίνοις ἀθέατα ὄμμασι καί τήν θεϊκήν αὐτήν εἶδον δόξαν, εἰ καί μή ὅση τις ἦν, ἀλλ᾽ ὅσον ἐχώρουν οἱ σωματικούς ὀφθαλμούς περιφέροντες, ἵνα μή σύν τῇ ὁράσει καί τό ζῆν ἀπολέσωσιν». Οὐ μήν ἀλλ᾽ αὐτό τό ἑωραμένον τοῖς ὀφθαλμοῖς τῶν ἀποστόλων φῶς, δι᾽ οὗ φησιν οὗτος ὁρᾶσθαι, δηλαδή νοεῖσθαι, τοῖς ὁρῶσι τήν οὐσίαν τοῦ Θεοῦ, πότερον, κτιστόν ἤ ἄκτιστόν ἐστιν; Εἰ μέν γάρ κτιστόν ἰσχυρίζεται διατελεῖν, μετά τῆς ἄλλης ἀσεβείας καί ἄλλος ἐφ᾽ ἡμῶν ἀναπέφηκεν Εὐνόμιος˙ ἐκείνου γάρ καί τῶν κατ᾽ ἐκεῖνον, ἐκ τῶν κτισμάτων νοεῖν λέγειν τήν οὐσίαν, ἀλλ᾽ οὐ τήν

ἐνέργειαν τήν θείαν, καί ταῖς τοῦ μεγάλου Βασιλείου καί τοῦ ἀδελφοῦ καί ἀδελφά φρονοῦντος ἀντιρρήσεσι πρός αὐτόν ἀρκεσθησόμεθα. Εἰ δ᾽ ἄκτιστον εἶναι φησί καί τό δι᾽ οὗ ὁρᾶται φῶς ἐκείνη, τοῦτο κατ᾽ αὐτόν ἡ οὐσία τοῦ Θεοῦ ἐστι. Τό γάρ μόνον ἄκτιστον φῶς, αὕτη κατ᾽ αὐτόν. Οὐκοῦν ἀόρατον καθ᾽ ἑαυτήν καί (σελ. 158) ὁρατήν καθ᾽ ἑαυτήν εἶναι τήν οὐσίαν τοῦ Θεοῦ φησι. Καί τό φῶς ὅ πρότερον εἶναι διετείνατο κτιστόν, νῦν ἄκτιστον ὑπάρχει κατ᾽ αὐτόν. Ἆρ᾽ οὖν δυνήσεταί τις ὁμολογῆσαι τούτῳ, τό αὐτό κατά τό αὐτό κτιστόν τε καί ἄκτιστον, ὁρατόν τε καί ἀόρατον, οὐσίαν τε καί μή, καί ταῦτα θείαν κατασκευάζοντι καί ἀποφαινομένῳ, μή δι᾽ ὅσων ἄρτι προεθήκαμεν, ἀλλά διά πλείστων ὅσων;

Φέρε δ᾽ ὅμως θῶμεν συνειπεῖν τινα τῇ νεανικωτάτῃ ταύτῃ ἀφροσύνῃ˙ θῶμεν δ᾽ ὅμως, ἔφην, ὡς μηδενός ὄντος τοῦ συνάδοντος αὐτῷ. Μικροῦ με διέφυγεν ὑπό τοῦ περιφανοῦς τῆς ἀτοπίας ἐκκρουσθέν τῆς μνήμης, ὡς οὐκ ὀλίγοι τούτῳ δοκεῖν αἱροῦνται συμφωνεῖν ἀρτίως καί πρό τῶν ἄλλων ὁ τῆς πατριαρχικῆς ἀξίας, φεῦ, ἐπειλημμένος ἔτι, πρός ὅν καί τό βιβλίον ἅπαν ἔπεμψε, παρ᾽ οὗ τἀκείνου προβαλλόμεθα˙ καί γάρ ἐκεῖθεν παρ᾽ ἡμᾶς ἤνεγκαν οἱ κομίσαντες. Τούτου τοίνυν ὡς οὐ δοκοῦντος μόνον, ἀλλά καί κατ᾽ ἐκεῖνον ἀρτίως ὄντος καί ὑπέρ ἐκείνου πάντα κάλων, τό τοῦ λόγου, κινοῦντος, οἱ μέν ταῖς ἐπαγγελίαις καί ταῖς παρ᾽ αὐτοῦ προτεινομέναις τε καί διδομέναις ἀξίαις κλεπτόμενοι, οἱ δέ τάς ἀπειλάς καί τάς ἐπιφοράς καί πρός ταύταις τάς σφοδράς ἐπιτιμήσεις ὑποστελλόμενοι (καί γάρ ἀφορίζει καί ἀποκηρύττει καί λόγῳ καί γράμμασι τούς ὁμοφρονοῦντας τοῖς τῷ Ἀκινδύνῳ καί ὁπωσοῦν ἀντιλέγουσι), πολλοί τούτῳ συνῳδά φρονοῦσι ἤ ὑποκρίνονται. Ἀλλά γάρ οὐδ᾽ ὅστις κατά τό κτιστόν λέγειν τό αὐτό καί ἄκτιστον συφμωνήσειε, τό περιόν τῆς ἐκείνου περί ταῦτα σοφιστείας διαφεύξεται, σαφῶς οὕτω γράφοντος˙ «ἐγώ κακίζω καί τό ἄκτιστον καί τό κτιστόν τῆς θεουργοῦ σοφίας καί χάριτος. Οὔ τοι γάρ ἡμῖν ἐνταῦθα τήν ἀντίφασιν προσκυνητέον, ὥστ᾽ εἰ θάτερον ὑπό ἀνάθεμα, καί τό ἕτερον οὐδέν ἧττον». Ἆρ᾽ οὐ τῆς χάριτος ὁ τάλας ἐκπέπτωκε, (σελ. 160) μᾶλλον δέ καί ἀντικείμενος ἀναπέφηνεν, εἰ μή τι καί πλέον; Εἰ γάρ οἱ ἐν νόμῳ δικαιούμενοι τῆς χάριτος ἐκπεπτώκασιν, ὡς ὁ ἀπόστολος Γαλάταις ἐπιστέλλων φανερῶς ἀπεφήνατο, τόν κακίζοντα ἀναθεματίζοντα τῆς χάριτος καί τό κτιστόν καί τό ἄκτιστον, ποῦ θήσομεν;

Ἐχρῆν γε μήν κατά τόν αὐτοῦ βεβαιωτήν καί προστάτην, τόν νῦν ἀρχιεράρχην δηλονότι καί ἀρχιποίμενα, καί τόν ὑποφήτην αὐτοῦ καί διάκονον τουτονί πάντα πράττειν. Ὡς γάρ ἐκεῖνος ἀφορισμοῖς ὑποβάλλων τούς ἀντιλέγοντας Ἀκίνδυνῳ καί τούς τούτοις ὁμόφρονας, πάντας μέν ἀνθρώπους συλλήβδην ἀφώρισέ τε καί ἀπεκήρυξεν, Ἀκίνδυνον δέ καί τούς οἷος αὐτός, μεθ᾽ ὧν καί αὐτός ἐστιν οὗτος, μᾶλλον ἤ πάντας, καί γάρ οὗτος ἀντιλέγων ἑαυτῷ μᾶλλον ἤ τοῖς ἄλλοις προαποδέδεικταί τε καί νῦν ἀποδείκνυται (τεττάρων γάρ ὄντων τῶν ὑπ᾽ αὐτοῦ τεθειμένων ἀντικειμένων, ἑκάστῳ τούτων διπλῆ τις ἤ καί τριπλασίων ἐκ τῶν ἄλλων ἡ ἀντίθεσις ἕπεται, καί τοσαυτάκις αὐτός καί ὁ τούς ὑπέρ αὐτοῦ δῆθεν ἀφορισμούς ἐκφωνῶν ἐφ᾽ ἑκάστου τῶν εἰρημένων τοῖς τοιούτοις ὑπεύθυνος ἀναδείκνυται)˙ ὡς οὖν αὐτός ὁ τούτου προστάτης πάντας μέν τούς ἀνθρώπους, ἑαυτόν δέ καί τούς κατ᾽ αὐτόν περισσότερον ἀφώρισε πάντων, οὕτω καί οὗτος ὁ παρ᾽ αὐτοῦ λαβών ἀρτίως τήν παρρησίαν χρῆται τῷ ἀναθέματι. Τούτῳ γάρ ἀμφοτέρους καθυποβάλλων, καί τούς ἄκτιστον εἶναι φρονοῦντας τήν θεουργόν χάριν, ἥ κατά τούς θεοφόρους ἡ τῆς θείας φύσεώς ἐστι λαμπρότης, καθ᾽ ἥν καί ὁ Κύριος ἐπ᾽ ὄρους ἔλαμψε καί τήν κατά μέθεξιν λαμπρότητα τῶν ἁγίων ὑπέδειξε, καί τούς κτιστήν εἶναι διαβεβαιουμένους αὐτήν, «ἐπεί μέσον κτιστοῦ καί ἀκτίστου, κατά τόν θεολόγον Γρηγόριον, οὐδ᾽ ἄν οἱ τούς (σελ. 162) τραγελάφους πλάττοντες ἀναπλάσαιεν», καί ἀνάγκη πάντας οὑστινασοῦν ἤ κτιστήν ἤ ἄκτιστον εἶναι ταύτην φρονεῖν, οὐδείς ὅς οὐχ ὑποπίπτει τῷ κατά τόν Ἀκίνδυνον ἀναθέματι. Πολλαπλασίως γε μήν αὐτός τούτῳ καθυποβάλλεται˙ οὐ γάρ ἐκ τοῦ ἀμέσου μόνον τῆς ἀντιφάσεως οὗτος, ἀλλά καί ἀπό τοῦ φανερῶς νῦν μέν αὐτήν κτιστήν, νῦν δ᾽ ἄκτιστον ἀποφήνασθαι φθῆναι, περιπίπτει τῷ ἰδίῳ κατά παντός ἀναθέματι, τοῦ Θεοῦ πάντως ἐγκαταλιπόντος αὐτόν τε καί τόν αὐτοῦ βεβαιωτήν καί προστάτην δικαίως καί συμφερόντως τῷ κοινῷ τῶν εὐσεβούντων πληρώματι. Τούτων γάρ οὕτω τῶν καθ᾽ ἡμῶν οὕτω κεχωρηκότων, μή ὅτι ταῖς ἀπό τῶν μεγίστων ἐκείνων συνόδων φρικωδεστάταις ἀποκηρύξεσιν, ἀλλά καί τοῖς οἰκείοις βρόχοις ἁλισκομένων καί τοῖς παρ᾽ αὐτῶν ἀνεσκαμμένοις βαράθροις περιπιπτόντων, ἀθῷοι πάντως πάντες ἡμεῖς καί ἀνάλωτοι˙ ψαλμικῶς γάρ εἰπεῖν «ἡ παγίς συνετρίβη καί ἡμεῖς ἐρρύσθημεν» οἱ τάς διπλόας ταύτας ἀπαναινόμενοι. Οὕτω κρείσσων ὁ πορευόμενος ἐν ἁπλότητι, κατά τό Σολομώντειον ἔπος,

ὑπέρ στρεβλόχειλον ἄφρονα, τόν δόλους δηλονότι ποικίλους συμμιγεῖς ἀνοίᾳ προφέροντα.

Τόν μέν οὖν ἀδοξίαν εἶναι μᾶλλον ἤ δόξαν, καί ἄνοιαν ἤ διάνοιαν τήν Ἀκινδύνου κακόνοιαν, εἴτε τήν κατά διάθεσιν, εἴτε τήν κατά ἀπόφασιν ἐθέλοι τις λέγειν - ἄμφω γάρ αὕτη χωροῦσα φαίνεται – δεδεῖχθαι νομίζω τρανῶς ἐκ τῶν ἤδη ῥηθέντων. Τίνα δ᾽ ὅμως οὗτος οἰκουροῦσαν ἔχει μάλιστα περί τοῦ νῦν προτεθειμένου τήν δόξαν, ἡμᾶς μέν ἥκιστα λέληθεν οὐδ᾽ ὅσοι συνετόν ὑπέσχον οὖς, ἐξεληλεγμένου τούτου πολλάκις παρ᾽ ἡμῶν παρρησίᾳ. Σοί δ᾽ ἔσται καλῶς σκοπουμένῳ, ξυμβαλεῖν εὖ μάλα κἀκ τῶν νῦν εἰρημένων, ὡς κτίσμα καί (σελ. 164) φάσμα τό τῆς θεότητος μάλιστα δοξάζει φῶς, καθάπερ καί ὁ Βαρλαάμ ἐκεῖνος˙ τοῦτο γάρ δή καί διά πλειόνων παραστῆσαι πειρᾶται. Καί πολύ πανταχοῦ τῶν λόγων αὐτῷ μηδέν εἶναι τῶν ἀκτίστων ὀφθαλμοῖς ὁρατόν γεγονός ὁπωσδήποτε, κἀν τούτοις αὐτοῦ τοῖς ῥήμασι, δι᾽ ὧν κατασκευάζει καί ἀποφαίνεται τοῦτο τοιοῦτον, οὐδέν ἀντίξουν ὑφέρπει καί ὑποφαίνεται, περιτρέπον εἰς τοὐναντίον τήν γνώμην. Ὅταν δ᾽ ἄκτιστον αὐτό φῇ πᾶσα ἡ πρός τοῦτο κατασκευή περιέργως οἷόν τις ὑποκαθήμενος φώρ ὑποσυλᾷ καί μετάγει τό ἄκτιστον πρός τήν πᾶσι παντάπασιν ἀόρατον οὐσίαν τοῦ Θεοῦ, ἥν δή καί μόνην ἄκτιστον αὐτός εἶναι δογματίζει. Πᾶν γάρ τό ταύτης διαφέρον ὁπωσοῦν φανερῶς ἐναριθμεῖ τοῖς κτίσμασιν. Ἐπεί δέ μή ὅτι κτιστόν οὗτος, ἀλλά καί φάσμα, φεῦ, τό τῆς θεότητος δοξάζειν φῶς, ὅν κυρίως οὐδέποτε, πρός ταύτην ἄλλοτ᾽ ἐπερειδόμενος τήν διάνοιαν οὔτε κτιστόν οὔτε ἄκτιστον αὐτό φησιν. Ἔχεις, οἶμαι, συμβαλών τά τῆς ἀδόξου δόξης, δι᾽ ἥν περί τήν ἱεράν πίστιν ἐκινδύνευσεν ὁ Ἀκίνδυνος. Συμφέρεται δ᾽ οὗτος τοῖς ἐκ τοῦ παντός αἰῶνος ἄθεσμα Θεοῦ περιπεφρονηκόσι μικροῦ πᾶσι. Διπλῆν δ᾽ ἔχει τοῦτο τήν αἰτίαν˙ τάς μέν γάρ θείας ἐνεργείας ἀθετήσας, καθ᾽ ἅς καί μόνας ἔξεστι θεολογεῖν καί ἀφ᾽ ὧν μόνων τά τε οἰκεῖα τῇ εὐσεβείᾳ συνιστάναι καί ἀνιστάναι τά ἀλλότρια, πῶς οὐκ ἄν καί τήν οἰκείαν γνώμην ἔσφηλε καί πάνθ᾽ ἁπλῶς τά τῶν σφαλέντων ἔστερξε; Πρός δέ τούτῳ καί τά διαφωνεῖν δοκοῦντα τῶν ἐκ παλαιοῦ τεθεολογημένων, δι᾽ ὧν αἱ καθ᾽ ὑπερβολήν τε καί ἔλλειψιν πρός ἀλλήλας ἀντικείμεναι αἱρέσεις ἀναιροῦνται πᾶσαι, λέγειν ἀγνοεῖν οὗτος παραινῶν, ὡς ἐναντιούμενα πρός ἄλληλα, μηδενί (σελ. 166) τούτοις χρῆσθαι διακελεύεται. Καί τούς συμβιβάζοντας ὡς καινοτόμους ἀπαναίνεται, καινούς τε καί ὑπερηφάνους ὀνομάζει θεολόγους, ὡς μή τά συνετά

πᾶσιν ἐξηγεῖσθαι καί διδάσκειν ἐπαγγελομένους. Πῶς οὖν οὐκ ἄν αὖθις ἔστησεν ἅπαν δόγμα πονηρόν, πάντ᾽ ἀνελών αὐτός δι᾽ ὧν ἀναιρεῖται πάντ᾽ ἐκεῖνα;

Πᾶσι μέν οὖν τοῖς πονηροῖς αἱρεσιάρχαις οὕτω καί διά ταῦθ᾽ οὗτος ἐπήρθη συναινεῖν, μάλιστα δέ Ἀρείῳ καί Εὐνομίῳ καί Μακεδονίῳ, καί αὐτῷ Σαββελίῳ, κἄν ἐκ διαμέτρου πρός ἐκείνους οὗτος βεβήκει. Συγκλώθειν γάρ ἔξεστιν Ἀκινδύνῳ καί τά ἀσύγκλωτα. Καί γάρ Ἄρειός τε καί Εὐνόμιος καί ὅσοι κατ᾽ αὐτούς, ἐπεί παρά τήν τοῦ Πατρός ἑτέραν τοῦ Υἱοῦ δεῖξαι τήν οὐσίαν ἐκ τῶν κατ᾽ αὐτήν οὐκ εἶχον, ἐκ τῶν περί αὐτήν θεωρουμένων ἐπεχείρησαν κλέψαι τούς πολλούς καί τήν ἀγεννησίαν ὑποστατικῶς περί αὐτήν θεωρουμένην τήν ἄκτιστον οὐσίαν εἶναι ἀπεφήναντο· οὕτω γάρ ἐξ ἀνάγκης λείπεται τόν γεννητόν κτιστόν εἶναι κατ᾽ οὐσίαν, τῇ δ᾽ ἀγεννησίᾳ, ταὐτό δ᾽ εἰπεῖν τῇ τοῦ Θεοῦ οὐσίᾳ κατ᾽ ἐκείνους, τήν ἀτρεψίαν, τήν ἀπειρίαν, τήν σοφίαν, τήν ἀγαθότητα καί ἁπλῶς πάντα τά περί τήν θείαν οὐσίαν φυσικῶς θεωρούμενα μηδέν μηδαμῇ διαφέρειν συναπεφήναντο. Πᾶν δέ τό διαφέρον ἐκείνης ὁπωσοῦν μετά τῶν κτισμάτων ἔταξαν, ἵν᾽ ὁμοῦ τε μίαν δῆθεν αὐτοῖς ὁ Θεός οὐσίαν ἔχῃ καί ἁπλῆν, καί ὁ Υἱός, ἅτε γεννητός, ἑτέρας τε οὐσίας εἴη, καί τρεπτός καί πεπερασμένος καί ἀρκτός, ταὐτό δ᾽ εἰπεῖν κτιστός, καί οὐκ ὄντως ἀγαθός.

Ὅτι μέν οὖν ὁ Εὐνόμιος πάσας τάς περί τήν θείαν φύσιν ἀκτίστους ἐνεργείας καί ἁπλῶς πάντα τά περί αὐτήν φυσικῶς ὁρώμενα μηδέν διαφέρειν τῆς ἀκτίστου οὐσίας διατείνεται καί κτίσμα πᾶν εἶναι τό διενηνοχός ταύτης ὁπωσοῦν, καί ὁ λόγος μέν δι᾽ ὀλίγων ἐναργῶς (σελ. 168) παρέστησεν, ἀξιόχρεω δ᾽ ὅμως καί μάρτυρές εἰσιν οἱ τούτου καί κατά τοῦτο ἀναιρέται. Τό δ᾽ εἶναι τοῦτ᾽ αὐτό καί τό παρ᾽ Ἀκινδύνου νῦν δογματιζόμενον, ἥ τε πληθύς αὐτῷ πᾶσα τῶν περί τούτου συγγραμμάτων καί τῶν αὐτοχείρως γεγραμμένων καί ἡ γλῶσσα οἱ καί πάντες σχεδόν οἱ ἐντυγχάνοντες ἐκείνῳ μαρτυρήσουσι. Προκείσθω δ᾽ ὅμως καί ἀπό τῶν αὐτῷ συγγεγραμμένων ἔνια· «οὐ δυνάμεθα γάρ», φησί, «τί τῶν ἀκτίστων καί φυσικῶν τοῦ Θεοῦ ἕτερόν τι φρονῆσαι τῆς οὐσίας αὐτοῦ καί τῆς φύσεως»· καί πάλιν, «ὅσα λέγεται ἐπί Θεοῦ, οὐκ ἔστιν ἄλλο καί ἄλλο, καί πάντα διάφορα τῆς τε θείας οὐσίας καί ἑαυτῶν»· καί πάλιν, «πῶς οὐκ ἄκτιστοι δύο θεότητες, ἵνα μή λέγω πλείους, εἴπερ ἡ τοῦ Θεοῦ δύναμις καί παντουργός ἐνέργεια καί σοφία καί ζωή καί ἀγαθότης διάφορα τῆς τε θείας οὐσίας καί ἑαυτῶν;»· καί πάλιν, «τό μερίζεσθαι τόν Θεόν καί οὕτω πολλά ἄκτιστα γίνεσθαί τε

καί εἶναι διάφορα τῆς τε θείας οὐσίας καί ἑαυτῶν, ἀσεβέστατόν ἐστιν». Ἀλλ᾽ Ἀρείῳ μέν καί Εὐνομίῳ οὐ τοῦθ᾽ ὑπῆρχεν ἡ τῆς κακοδοξίας πρόθεσις, ἀλλά τό μή διαιρεῖσθαι κατά τάς ὑποστάσεις τόν μόνον κατ᾽ἐκείνους ἄκτιστον Θεόν καί κτιστόν ἐντεῦθεν εἶναι τόν ἐν ἰδίᾳ ὑποστάσει θεωρούμενον Υἱόν. Τό δέ μή κατά τάς φυσικάς ἐνεργείας ἐπιδέχεσθαι τήν ἡντινοῦν διαίρεσιν, ἐπακολούθημα τῆς ἐκείνων δυσσεβείας ἦν, ἐκ τῶν ὑποστατικῶς περί τόν Θεόν ὁρωμένων λαβόν τήν ἀφορμήν. Ἀκινδύνῳ δέ τοῦτ᾽ αὐτό ἐστιν ἡ πρόθεσις, καί τό κτιστήν ἐντεῦθεν δείκνυσθαι τήν ἑωραμένην ἐν Θαβώρ τοῖς ἀποστόλοις θείαν ἔλλαμψίν τε καί ἐνέργειαν, ἐπειδήπερ ἡ τοῦ Θεοῦ οὐσία πᾶσι παντάπασίν ἐστιν ἀόρατος. Ἐπακολουθεῖ δ᾽ αὐτῷ καί τῇ κατ᾽ αὐτόν κακοδοξίᾳ τό μηδέ κατά τάς ὑποστάσεις ἐπιδέχεσθαι διαίρεσιν τόν μόνον ἄκτιστον Θεόν˙ ἐξ οὗ γάρ ἐπιχειρεῖ (σελ. 170) κατασκευάζειν τό κατά τάς ἐνεργείας ἀδιαίρετον, τοῦτο δέ ἐστιν, ἵν᾽ εἴπω κατ᾽ αὐτόν, ὅτι ὁ Θεός ὅλου τε παντός ἐστι καί μέρους ἄνω, ἐκ τούτου καί τό κατά τάς ὑποστάσεις ἀδιαίρετον ἐν ἀνάγκης συγκατασκευάζεται˙ καί κατ᾽ αὐτάς γάρ ὁ Θεός, ὅλου τε παντός ἐστι καί μέρους ἄνω. Οὐδέ γάρ ὡς ἐκ μερῶν τῶν ὑποστάσεων, ἐν γάρ ἑκάστῃ ὅλη καί τελεία ἡ θεότης ἐστίν, ὁ δέ κατά τάς θείας ὑποστάσεις, ἐξ ὧν φησίν, ἀδιαίρετον κατασκευάζων, συγκατασκευάζει τἀναντία κακά καί ὁμογενῆ τήν δυσσέβειαν. Εἰ μέν γάρ μή ἄλλον εἶναι λέγει τόν Υἱόν τῆς μιᾶς ἐκείνης ὑποστάσεως, ἥν μόνην ἄκτιστόν φησι, Σαβέλλιος ἄντικρύς ἐστιν˙ εἰ δέ καθ᾽ ὑπόστασιν ἑτέραν λέγει τόν Υἱόν τῆς μόνης ἀκτίστου κατ᾽ αὐτόν, Ἀρείῳ παραπλησίως ἐξεμάνη.

Δεῖ μέντοι τῷ εὐσεβεῖν ᾑρημένῳ συνορᾶν, ὡς ἀδιαιρέτως καί κατά τάς ὑποστάσεις καί κατά τάς ἐνεργείας τό θεῖον διαιρεῖται, τοῦτο μέν, ὡς ἐπ᾽ αὐτοῦ διαφορᾶς τινος ἐντεῦθεν ἐπιφαινομένης, ἀλλ᾽ οὐ κατατομῆς – οὐ γάρ ὡς τά σώματα μερίζεται τά ἀσώματα, καί μάλιστα τό θεῖον – τοῦτό δέ, ὡς ἡνίκα διαιρεῖται κατά τάς ὑποστάσεις τό ἀδιαίρετον ἔχον κατά τάς ἐνεργείας, ἡνίκα δέ κατά τάς δυνάμεις καί ἐνεργείας διαιρεῖται μένον κατά τάς ὑποστάσεις ἀδιαίρετον. Ἅμα γάρ ὁ Πατήρ καί ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον πρό αἰώνων μέν προέγνω καί προώρισεν, ὅτε δέ ἠθέλησεν, ἐδημιούργησε˙ προνεῖ δέ τοῦ παντός διηνεκώς. Ἐπεί τοίνυν ὁ Θεός οὐχ ὡς τά σώματα μερίζεται καί μή μόνον ὑπεράνω τοῦ τε ὅλου καί τοῦ μέρους, ἀλλά καί ὅλον καί μέρος ἔσθ᾽ ὅπως λέγοιτ᾽ ἄν (ἐπ᾽ αὐτοῦ γάρ πλήν τῶν ἰδιαιτάτων πάντα λέγεται, (σελ. 172) καί τά ἀντιθέτως ἔχειν πρός ἄλληλα

δοκοῦντα), διά τοῦτο μερίζεται μέν καί κατά τάς θείας ὑποστάσεις καί κατά τάς θείας ἐνεργείας, θεοπρεπῶς δέ, ἀμερίστως δηλαδή. Τοῦτο δή μή συνείας Ἀκίνδυνος καί οἱ ἐκ παλαιοῦ κατά τοῦτον κινδυνεύσαντες, τελέως μέν τόν ἀμερῆ μερίζοντες, δυσσεβέστατα κατατέμνουσιν αὐτόν, ἑνοῦντες δέ δῆθεν, δυσσεβῶς οὐχ ἧττον περιτέμνουσιν ἤ συγχέουσιν αὐτόν καί τούς μή κατά τόν ἴσον αὐτοῖς τρόπον αἱρουμένους δυσσεβεῖν πολυθέους ὀνομάζουσιν.

Ὁ δ᾽ Ἀκίνδυνος καί ἀπό τοῦ πᾶν ἔργον ὁπωσδήποτε λεγόμενον ἀποφαίνεσθαι κτιστόν κτίσμα τόν Υἱόν ποιεῖ, τῶν θείων πατέρων πολλαχοῦ θεολογούντων ἔργον θείας φύσεως εἶναι τήν προαιώνιον γέννησιν. Ἀλλά καί ὁπηνίκα τῆς θείας φύσεως ἔργα λέγει τά ποιήματα, κακουργῶν ἤ ἀγνοῶν τοῦθ᾽ ὑποκατασκευάζει, καί ἡνίκα τήν φυσικήν τάξιν καθ᾽ ἥν ὁ Υἱός δευτερεύει τοῦ Πατρός, κατά τόν μέγαν Βασίλειον, μηδέν διαφέρειν τῆς φύσεως αὐτός φησίν». Ἐπεί δέ καί τήν θείαν θέλησιν διαφέρειν τῆς θείας προγνώσεως ἡμῶν λεγόντων καί τῆς δημιουργικῆς ἐνεργείας τήν θεουργόν χάριν καί ἐνέργειαν, τούτων τε καί τῶν τοιούτων ὑπερκεῖσθαι τήν θείαν οὐσίαν κατά τούς θεοφόρους ὡς αἰτίαν οὖσαν τῶν ἑαυτῆς ἐνεργειῶν, αὐτός ἄνισα καί ἀνόμοια πρός ἄλληλα ταῦτα λέγειν ἡμᾶς συκοφαντεῖ, τοῖς ἑαυτοῦ λόγοις ἀκολούθως καί τόν Πατέρα καί τόν Υἱόν καί τό Πνεῦμα τό ἅγιον ἄνισα καί ἀνόμοια πρός ἄλληλα παρίστησι, ἐπειδή καί ταῦτα διαφέρουσιν ἀλλήλων, τοῦ τε Υἱοῦ καί τοῦ Πνεύματος ὁ Πατήρ μείζων ὑπάρχει τῷ αἰτίῳ.

Διά τούτων οὖν καί ἑτέρων τοιούτων οὐκ ὀλίγων τά τε τῆς Ἀρείου μανίας συμπεραίνει καί τά πρός ταύτην ἀντικείμενα, μή μέντοι κατά τό δυσσεβές˙ ὅτε γάρ αὖ τῆς ἀκτίστου οὐσίας οὐδ᾽ ὁπωσοῦν διακρίνειν τήν (σελ. 174) ἄκτιστον ἐνέργειαν, εἶτα τόν Υἱόν τοῦ Πατρός ἐνέργειαν εἶναι τοιαύτην ἀποφαίνεται καί τό Πνεῦμα τό ἅγιον, τήν Σαββελίου συναλοιφήν κἀντεῦθεν παρεισάγει. Ἀλλά καί δύναμιν ἀΐδιον καί ζωήν καί σοφίαν καί ἀγαθότητα καί πάντα τά τοιαῦτα τοῦ Πατρός εἶναι λέγων τόν Υἱόν, οὐχ ὡς πάντα ταῦτα τῷ Πατρί καί αὐτόν ἀπαραλλάκτως ἔχοντα, ἀλλά μόνον ὄντα ταῦτα τοῦ Πατρός, περί τόν Πατέρα θεωρούμενον αὐτόν εἰσάγει, μή παρ᾽ ἐκεῖνον ἄλλην καί ἰδίαν κεκτημένον τήν ὑπόστασιν. Τοῦτ᾽ αὐτό κατασκευάζει καί φανερῶς ἀπαγορεύων κοινάς ἀκτίστους ἐνεργείας εἶναι τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, ἐξ ὧν ἁπάντων, διπρόσωπόν τι καί δυσξύμβολον τέρας, Ἀρείου καί Σαβελλίου φέρον εἶδος, ἐφ᾽ ἡμῶν

ἀναπέφηνε. Φιλοτιμούμενος δέ καί τούτων ἀμφοῖν ὑπερακοντίσαι τήν ἀπόνοιαν, ὅ μηδείς ἐτόλμησεν ἐκείνων, τό αὐτό φησιν οὗτος εἶναι κτίσμα καί οὐσίαν τοῦ ἀκτίστου Θεοῦ, οὐ κατά μόνης τῆς θείας λαμπρότητος τοιαῦτα σοφιζόμενος, ἀλλά καί κατά πάντων τῶν οὐσιωδῶς περί τόν Θεόν θεωρουμένων. Καί αὐτήν γάρ τήν ἀτρεψίαν καί τήν κατά πάντα ἀπειρίαν καί τήν ἀγαθότητα τήν θείαν καί πάνθ᾽ ἁπλῶς τά θεωρούμενα περί τόν Θεόν οὐσιωδῶς, ἅπερ αὐτός οὗτος ὡς περί τόν Θεόν ὄντα φυσικῶς οὐσίαν εἶναι διαβεβαιοῦται τοῦ Θεοῦ, κτιστά πάλιν οὗτος εἶναι γράφει καί ἀρκτά καί τούς μή ταῦθ᾽ οὕτω φρονεῖν ἀνεχομένους, ὡς διθεΐτας καί πολυθέους ἀποκηρύττει παρρησίᾳ˙ «πολλά γάρ», φησίν, «οὗτοί φασιν, ἀλλ᾽ οὐχ ἕν τό ἄκτιστον˙ καί τήν μέν, οὐσίαν, τά δέ, ἀνούσια˙ καί τήν μέν ὑπερκειμένην τούτων, δηλονότι τήν οὐσίαν, ὡς αἰτίαν τῶν περί αὐτήν, τά δέ ὑφειμένα ὡς ἐκ ταύτης ὄντα καί περί αὐτήν, ἀλλ᾽ οὐκ αὐτῇ ὑπάρχοντα».

Ὦ δ᾽ ἄπιστον δοκεῖ τό φάναι τόν Ἀκίνδυνον κτίσματα περί τόν Θεόν οὐδιωδῶς θεωρούμενα, καί αὐτήν τήν ἀτρεψίαν καί τήν κατά πάντα ἀπειρίαν, ἴτω παρ᾽ ἡμᾶς (σελ. 176) καί θεωρείτω, μή μόνον ἐν τοῖς διά πλάτους αὐτῷ συγγεγραμμένοις, ἀλλά καί δι᾽ αὐτοχείρων προκείμενον ἐν τοῖς ἀπεσταλμένοις αὐτῷ πρός τόν ἀνωτέρω δεδηλωμένον πατριάρχην. Τό δ᾽ αἴτιον ἀφ᾽ οὗ κατασκευάζει καί ἀποφαίνεται ταῦτα εἶναι κτίσματα, καί δι᾽ ἑκάστου τούτων κτιστόν ὁ τάλας ἀποφαίνειν τόν Θεόν, πολλαπλασίως, φεῦ, εἰς αὐτόν οὕτω βλασφημῶν, ὅτι ἔργα τοῦ Θεοῦ τοῦτ᾽ ὠνόμασεν ἐν τοῖς Θεολογικοῖς αὐτοῦ Κεφαλαίοις ὁ πολύς τά θεῖα Μάξιμος˙ εἰ δέ ἄναρχα προσεῖπε ταῦτα, φησίν ὁ Ἀκίνδυνος, καί ἀΐδια, καί μή εἶναι ὅτε οὐκ ἦσαν, ἀλλά χρονικῶς ὡς οὐκ ἐν χρόνῳ, ἀλλ᾽ ἐν αἰῶνι ταῦτ᾽ ἠργμένα τε καί ἐκτισμένα.

Τοιοῦτον δή καί τοῦτο. Σύ δ᾽ ἔχεις, σεβασμιωτάτη φιλότης, ὡς ἐγᾦμαι τό ζητούμενον˙ ἴσθι δέ καί τόν Βαρλαάμ ἐκεῖνον μηδέν ἀλλοῖον πεφρονηκότα, πλήν τοῦ περιττοῦ δόλου καί τῶν ποικίλων ἐν ἐπικρύψει τε καί ὑποκρίσει ψευσμάτων˙ πολλαπλασίῳ γάρ ὑπέδυ τά τοιαῦθ᾽ οὗτος μετά τήν ἐκείνου καί τήν αὐτοῦ μετ᾽ ἐκεῖνον συνοδικήν καταδίκην, ἀπρίξ τε τῶν αὐτῶν ἐχόμενος καί λανθάνειν τούς πολλούς πειρώμενος.

*ΠΡΟΣ*

*ΤΟΝ ΙΕΡΩΤΑΤΟΝ ΚΑΙ ΤΑ ΘΕΙΑ ΣΟΦΟΝ*

*ΜΗΤΡΟΠΟΛΙΤΗΝ ΑΙΝΟΥ ΚΥΡ ΔΑΝΙΗΛ. (Σελ. 178)*

Ὄντως αἰδοῦς οἰχομένης ἐκ ψυχῆς ὁρμαθός ἅπας ἀντεισάγεται κακῶν˙ ἔξω γάρ ἑαυτοῦ γεγονώς ὁ τήν αἰδῶ παρωσάμενος οὐδ᾽ ὅ,τι πράττει οὐδ᾽ ὅ,τι λέγει συνίησιν αὐτός αὑτόν. Πῶς οὖν οὗτος ἑτέρων εἴσεται λόγους ἤ προσήσεται; Πῶς δέ συνήσει τῶν περί Θεοῦ δογμάτων τήν ἀλήθειαν, ᾧ νόμος κεῖται κατασπᾶν μετεώρους κούφους, ὅς, «ἐάν μή γένησθε», φησίν, «ὡς τά παιδία οὐ μή εἰσέλθητε εἰς τήν βασιλείαν», οὐ ταῖς φρεσίν, ἀλλά τῇ κακίᾳ νηπιάζοντες; Τό γάρ ἀναιδές καί ὑπερήφανον ἦθος πληροῖ φρονήματος καί μωραίνει τούς σοφούς, ὡς μηδέ σοφίαν ἔτι χωρεῖν μηδέ παιδείαν τήν ἀληθῆ. Διά τοῦτο καί ὁ προφήτης αὐτούς ταλανίζει καί θρηνεῖ˙ «οὐαί», λέγων, «οἱ σοφοί παρ᾽ ἑαυτοῖς καί ἐνώπιον αὑτῶν ἐπιστήμονες», οἵ περί τήν σοφίαν εἰσίν ἀμαθεῖς καί περί τήν παιδείαν ἀπαίδευτοι, κεχρημένοι ταύταις καθ᾽ ἑαυτῶν, τῷ πιστεύειν αὐταῖς ἐν πᾶσι καί ζητεῖν ἐν λόγοις τά ὑπέρ λόγον, οἵ καί παραφθέγγονται μᾶλλον ἤ φθέγγονται καί τῶν βαθεῖ κάρῳ κατεχομένων γρηγορεῖν καί ὑγιαίνειν δοκοῦντες οὐκ ἔχουσιν ἄμεινον˙ ὡς γάρ ἐκεῖνοι τῆς αἰσθήσεως ἐπιλιπούσης αὐτούς, οὕτως οὗτοι τοῦ νοῦ καί τῆς ἀληθινῆς γνώσεως εἶναι δοκοῦσιν, ἅ φαντάζονται καί ζηλοῦσιν ἐπί τούτοις ζῆλον ἀζήλωτον, ὅν τις τῶν πατέρων ἔφη μωρόν, (σελ. 180) ὁ δ᾽ ἀπόστολος ζῆλον οὐ κατ᾽ ἐπίγνωσιν, ᾧ κατάκρας ἁλούς ὁ αὐτομαθής μᾶλλον δέ ἀμαθής οὑτοσί θεολόγος, οὐκ οἶδεν οὔτε ἅ λέγει οὔτε περί τίνων διαβεβαιοῦται. Φησί γάρ, τοῦτο πρῶτον τιθείς καί τοῦ καταλόγου τῶν ἡμῖν ἡμαρτημένων μεῖζον, ὡς ἕν πως εἰπόντες τήν θείαν ἐνέργειαν καί τήν οὐσίαν, εἶθ᾽ ὥσπερ ἐκ μεταμελείας ἡμῖν αὐτοῖς μαχόμενοι διαφέρειν ἔφημεν. Καί οὐδέ ἐκεῖνο συνεώρακεν, ὅτι πᾶν τό ἕν πως ἀναγκαίως ἔστιν ὡς οὐχ ἕν˙ τά γάρ ἕν τῷ γένει διάφορα τῷ εἴδει, καί τά ἕν τῷ εἴδει, διάφορα τῷ ἀριθμῷ, ἔστι δ᾽ ἅ καί τῶν ἐν τῷ ἀριθμῷ καί αὐτῇ τῇ ὑποστάσει διάφορά ἐστι ταῖς φύσεσι˙ πολλά δέ καί τῷ ὑποκειμένῳ ὄντα ἕν, οὐ διάφορα μόνον ἐστίν, ἀλλά καί ἐναντία.

Καί οὐ λέγω ταῦτα νῦν, ὡς οὕτως ἐχούσης τῆς ἐνεργείας πρός οὐσίαν ἡντινοῦν – μή πάλιν ἐπιφυέσθωσαν ἡμῖν οἱ κακομαχεῖν

προηρημένοι μάτην -, ἀλλά τοῦτο μόνον, ὅτι τά μή διαφέροντά πως καί διάφορά πως αὖθις, ἀριθμοῦ δέ χωρίς διαφοράν ἰδεῖν ἀνένδεκτον κατά τόν θεῖον Μάξιμον˙ πᾶσα γάρ αὖθις κατ᾿ αὐτόν διαφορά τό ποσόν τῶν διαφερόντων πραγμάτων, συνεισάγειν ἑαυτῇ πέφυκεν, εἴτε οὐσιῶν εἴτε ποιοτήτων εἴτε ἰδιοτήτων, καί ἁπλῶς εἰ διαφοράν εἴποιμεν, πάντως ἐν ποσῷ τά διαφέροντα θεωρήσαντες εἴτε αἰσθήσει εἴτε νοήσει τήν διαφοράν ἐγνωρίσαμεν. Ἀλλ᾿ ἵνα πάλιν κατά τόν αὐτόν εἴπω, τήν οἱανοῦν διαίρεσιν οὔτε ποιεῖν οὔτε πάσχειν οὔτε εἰσάγειν ὁ ἀριθμός δύναται˙ οὐ γάρ τό εἰδέναι ταῦτα μερίζειν ἐστίν.

Τοιαύτη μέν οὖν ἡ πρώτη καί μεγίστη λαβή καθ᾿ ἡμῶν. Ἡ δέ δευτέρα τίς; Ὅτι μή μόνον ἑαυτοῖς ἀντιλέγομεν, ἅ ταῦτά πως ἔφημεν καθ᾿ ἕτερον τρόπον οὐ (σελ. 182) ταυτά δεικνύντες, ἀλλά σύν ἡμῖν αὐτοῖς καί τοῖς ἁγίοις ἡμῶν πατράσι˙ καί συνείρει τούτων ῥήσεις ἐφεξῆς πολλάς, ταὐτό δεικνύσας ἐπί Θεοῦ τῇ οὐσίᾳ τήν ἐνέργειαν˙ τήν αὐτήν δ᾿ ἴδοις ἄν φερόμενον καί τόν καθηγητήν τῆς νέας ταύτης σοφίας καί θεολογίας. Ἀγνοοῦσι γάρ, ὡς ὁπόσας ἄν συναθροίσωσι τοιαύτας ῥήσεις, οὐχ ὑπέρ ἑαυτῶν, ἀλλ᾿ ὑπέρ ἡμῶν καί τῆς ἡμῖν χάριτι Χριστοῦ συμφθεγγομένης ἀληθείας πράξουσιν˙ οὐδέ γάρ ὁ Σαβέλλιος ἴσχυσε κατά τῆς ἐκκλησίας, «ἐγώ καί ὁ Πατήρ ἕν ἐσμεν» προφέρων καί τἄλλ᾿ ἐρανιζόμενος ἐκ τῶν Γραφῶν, ὅσα μίαν ἀναφαίνει τήν τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ Πνεύματος θεότητα˙ μίαν γάρ ἴσμεν καί ἡμεῖς ἀλλ᾿ ἐν τρισίν ὑποστάσεσι προσκυνουμένην. Οὕτω τοίνυν καί ταὐτόν οὖσαν ἴσμεν τήν ἐνέργειαν καί τήν οὐσίαν ἐπί τῆς θείας καί ὑπερφυοῦς ἁπλότητος καί οὐκ ἐπί ταύτης μόνον, ἀλλά καί ἐπί πάσης νοερᾶς οὐσίας, ὡς κἀν τῷ Περί θείων ἐνεργειῶν διά πολλῶν ἀποδέδεικται ἡμῖν˙ ἐπεί δέ τοῦτο καί τοῖς ἀντιλέγουσιν συνωμολόγηται, βραχύς ἡμῖν ἐν τοῖς ἄλλοις ὁ περί ταυτότητος λόγος.

Ἔστι μέν οὖν ταὐτόν πως οὐσία καί ἐνέργεια ἐπί Θεοῦ, ἀλλ᾿ ἔστιν ὡς καί διενηνόχασιν ἀλλήλων, ὡς ἀριδήλως ἐν τοῖς τῶν πατέρων λόγοις δείκνυται. Φησί γάρ ὁ θεῖος Ἰωάννης ὁ Δαμασκηνός περί Θεοῦ γράφων, «ἄλλο ἐνεργῶν καί ἄλλο ἐνεργητικόν καί ἄλλο ἐνέργεια˙ καί αὖθις ἕτερον τό τῆς ἐνεργείας ἀποτέλεσμα»˙ καί ὁ μέγας Γρηγόριος ὁ θεολόγος καί αὐτός ἐπί Θεοῦ, «ἕτερόν ἐστι θέλων καί θέλησις, γεννῶν καί γέννησις, λέγων καί λόγος, εἰ μή μεθύομεν˙ τά μέν γάρ ὁ κινούμενος, τά δ᾿ οἷον ἡ κίνησις». Ὁ δέ μέγας αὖθις Βασίλειος, «πῶς οὐ καταγέλαστον τό δημιουργικόν οὐσίαν (σελ. 184) εἶναι λέγειν, τό προνοητικόν οὐσίαν, τό προγνωστικόν πάλιν ὡσαύτως, καί ἁπλῶς

πᾶσαν ἐνέργειαν οὐσίαν τίθεσθαι»; Βλέπεις, πάτερ, πῶς μεθύοντές εἰσι καί καταγέλαστοι, καί, ὡς ἀνωτέρω ἔφην, ἔκφρανες οἱ μηδέν διαφέρειν οἰόμενοι τήν οὐσίαν καί τήν ἐνέργειαν ἐπί Θεοῦ; Καίτοι τίς ἄν δύναιτο πάσας τάς φωνάς παράγειν τῶν πατέρων, δι᾽ ὧν ἑτέρα ἡ ἐνέργεια τῆς οὐσίας ἐπί τοῦ Θεοῦ καί λέγεται καί δείκνυται; Ὡς γάρ οὐκ ἔστι τά ὑποστατικά ὑπόστασις, ἀλλά καί χαρακτηριτικά ὑποστάσεως, οὕτω καί τά φυσικά οὐ φύσις ἀλλά χαρακτηριστικά φύσεως˙ «φυσικά δέ φαμεν», φησίν ὁ ἱερός Δαμασκηνός, «τά θελήματα καί τάς ἐνεργείας, λέγω δή αὐτήν τῆς θελητικήν καί ἐνεργητικήν δύναμιν, καθ᾽ ἥν θέλουσι καί ἐνεργοῦσι τά θέλοντα καί ἐνεργοῦντα».

Καί τοίνυν ἡ μέν φυσική θέλησις καί ἡ ἐνέργεια τῆς φύσεως ἐστι – καί παρά τῶν πατέρων ἀναγέγραπται –, οὐ τῆς φύσεως δέ μόνον, ἀλλά καί ἐκ τῆς φύσεως, ἡ δέ φύσις οὐ τῆς θελήσεως οὐδέ ἐκ τῆς θελήσεως ἤ τῆς οἱασοῦν ἄλλης ἐνεργείας. Ὡς μέν οὖν ἐξ ἐκείνης αὕτη, ἄλλη καί οὐχ ἡ φύσις ἐστίν, ὡς δέ αὐτήν ἐκείνην ἐπί τῶν ἀσωμάτων καί οὐδέν ἄλλο χαρακτηρίζουσα οὐκέτ᾽ ἄν ἄλλο παρ᾽ ἐκείνην νοοῖτο˙ καί γάρ νοῦν ἐστι καί ἡ τοῦ νοῦ ἐνέργεια καί οὔτε διόλου τό αὐτό τῇ ἐξ ἧς ὑπάρχει φύσεως οὔτε παντάπασιν ἄλλη˙ τῷ γάρ ἐξ ἐκείνης εἶναι καί τῷ διαπορθμεύεσθαι δύνασθαι καθάπερ τινί χρωμένη πορθμείῳ τῷ λόγῳ πρός τούς ἀκούοντας καί πολλοῖς ἑτέροις τρόποις διῄρηται πρός τόν νοῦν. Τῷ δέ νοερά πως καί αὕτη εἶναι καί νοητή καί τῷ ταῦτα δεικνύειν ἐν ἑαυτῇ ἅ περί ἐκεῖνον ὁρᾶται καί τῷ ἀχωρίστως αὐτῷ συγκαταλαμβάνεσθαι, ἡ αὐτή ἐκείνῳ ἐστίν˙ ὁ γάρ ἐνέργειαν ἤ δύναμιν εἰπών, εὐθύς καί (σελ. 186) τήν φύσιν, ἧς ταῦτα, συνελογίσατο. Χρή οὖν ὁμολογεῖν ἄμφω, τήν διαφοράν τε καί τήν ταυτότητα, καί δι᾽ ἀμφοτέρων ἐν τῇ μεσότητι μένειν τῆς εὐσεβείας, ἀλλά καί αἰτίαν ὁμολογεῖν τῆς ἐνεργείας τήν φύσιν, ἵνα μήτε δύο εἶεν ἀρχαί μήτε μία μέν, ἀνενέργητος δέ, ἤ τῷ μή διάφορον ἔχειν ἑαυτῆς τήν ἐνέργειαν ἤ τῷ ἀλλοτρίαν, καταβαλλομένην εἰς κτίσιν καί ἀλλοτριουμένην θεότητος. Τί γάρ δεῖ Θεόν ἤ συντέμνειν κακῶς ἤ κατατέμνειν εἰς ἀνισότητας; Ἀλλά γάρ ἀμφότερα ταῦτα τῶν πατέρων διαγορευόντων σαφῶς καί ἡμῶν ἐκείνοις ὁμολογούντων, θάτερον αὐτοί πιστούμενοι διά τῶν μαρτυριῶν ἀντιλέγειν οἴονται ἡμῖν.

Τρίτον αὐτοῖς λῆμμα καθ᾽ ἡμῶν, ὅτι ἐξ ἀτελοῦς εἰς τελειότητα προκόψει ὁ Θεός, εἴπερ τῆς φύσεως ἔχει διαφέρουσαν τήν ἐνέργειαν. Εἴχομεν οὖν περιτρέπειν αὐτῶν τόν λόγον εἰς ἅπαν τοὐναντίον˙ οὐδέ

γάρ ὁ νοῦς χείρων ἑαυτοῦ γένοιτ᾽ ἄν, κατά τήν ὑπό τοῦ μεγάλου Διονυσίου ὀνομαζομένην ἕνωσιν τῶν νοήσεων ἀπολυθείς δυνάμεώς τε καί κατά τήν θύραθεν σοφίαν ἀτελοῦς τε καί τελείας οὔσης, ἡ τελεία χωρίς ἡστινοσοῦν φθορᾶς τε καί μεταβολῆς ἔχεταί τε καί ἀπολύεται τῆς ἐνεργείας. Ἀλλά τά τοιαῦτα ἀφέντες, τό τῆς ἁγίας καί οἰκουμενικῆς πέμπτης συνόδου πρός αὐτούς ἐροῦμεν˙ ὅ γάρ νῦν λέγουσιν οἱ ἀντιλεγόντες ἡμῖν, τοῦτ᾽ αὐτό τόν Ὠριγένην εἰπόντα καταμαθόντες, ἡ ἁγία σύνοδος, δικαίως ἀνεθεμάτισαν, γράφοντες ἐπί λέξεως˙ «ἔλεγεν ὁ Ὠριγένης, ὅτι ὁ Θεός ἀπό τοῦ μή κτίζειν ἐλθών εἰς τό κτίζειν, πάντως ἐτράπη ἀφ᾽ ἑτέρου εἰς ἕτερον», ὥσπερ οἱ νῦν ὠριγενισταί οὗτοι, ἀπό τοῦ ἀτελοῦς ἥξει, φασίν, εἰς τό τέλειον. Ἄκουσον δή καί τῆς πρός τοῦτο τῶν πατέρων ἀντιλογίας. Οὐ γάρ εἶπον (σελ. 188) δέν διαφέρειν τῆς οὐσίας τήν ἐνέργειαν, ἀλλά τί; «λέγομεν δέ ἡμεῖς φασιν, ὅτι οὐ κατά τήν φύσιν ἐτράπη, ἀλλά κατά τήν ἐνέργειαν». Ὁρᾷς τήν διαφοράν σαφῆ τῆς τε ἐνεργείας καί τῆς φύσεως; Ἀλλ᾽ ἄκουε τῶν ἐφεξῆς, μᾶλλον δέ οὐδέ κατά ταύτην˙ «εἶχε μέν γάρ ἀεί τήν δύναμιν τοῦ κτίζειν καί δημιουργεῖν, ἐνεργήθη δέ ἡ τοιαύτη δύναμις, ὅτε ἐβουλήθη ὁ Θεός». Ποῦ εἰσιν οἱ λέγοντες ἀεί τό ἐνεργούμενον κτιζόμενον δηλοῦν; Καίτοι τοῦ θεολόγου λέγοντος ἐν τῷ πρώτῳ τῶν Περί Υἱοῦ˙ «εἰ τό Πατήρ ὄνομα ἐνεργείας, αὐτό τοῦτο ἐνεργηκώς ἄν εἴη τό ὁμοούσιον». Κἀνταῦθα τοίνυν ἀκουέτωσαν, ὅτι ἐνεργήθη ἡ τοῦ Θεοῦ προαιώνιος δύναμις, τουτέστιν ἐχρήσατο αὐτῇ καί κατ᾽ αὐτήν ἐνήργησεν ὁ ταύτην ἔχων. Ἔστιν οὖν ἐνέργεια θεία κατά τούς πατέρας ἡ προαιώνιος τοῦ Θεοῦ δύναμις, φανερουμένη διά τῶν ποιημάτων. Κατά μέν οὖν τό φανεροῦσθαι ἦρκται, ἡ δέ δύναμις οὐκ ἦρκται. Διό καί ὁ μέγας Ἀθανάσιος τῶν ποιημάτων τάς θείας ἐνεργείας ἀποδιαστέλλει, γράφων, ἐν τῇ Πρός Ἀρειανούς Διαλέξει «ὅτι τοῦ Θεοῦ εἰσι καί αἱ ἐνέργειαι καί τά ποιήματα», Θεοῦ δέ ἐνταῦθα, οὐ τοῦ Πατρός φησι μόνου, ἀλλά καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος˙ οὐδέ γάρ τοῦ Πατρός μόνου τά ποιήματα.

Τέταρτον ὅτι ποιότητα ἕξει καί σύνθετος ἔσται ὁ Θεός, εἰ διαφέρουσαν ἔχει τῆς οὐσίας τήν ἐνέργειαν. Τό δέ θαυμάσιον, ὅτι πρός τά προγεγραμμένα πρός ἕκαστον τούτων παρ᾽ ἡμῶν οὐδέ γρύ, τό τοῦ λόγου, φθέγξασθαι δεδυνημένος – καί γάρ οὐδ᾽ ἐμνημόνευσεν –, εἶθ᾽ ὡς ἐκκεκωφημένος πάλιν τῶν αὐτῶν ἐπιχειρημάτων πρός τούς ἀπολελογημένους ἔχεται˙ καίτοι τῶν πατέρων φανερῶς καί διαφέρειν λεγόντων τήν ἄκτιστον ἐνέργειάν τε καί δύναμιν τῆς οὐσίας τοῦ

Θεοῦ, (σελ. 190) καί ἡμῶν αὐτοῖς ὁμολογούντων, οὐ πρός ἡμᾶς τούς ἑπομένους, ἀλλά πρός τούς ἡγουμένους ἐκείνους ἀνεφέρετ᾽ ἄν ἡ μέμψις, εἴπερ ὑπῆρχεν ἀληθής. Ἀλλ᾽ «ὁ πεσών», φησίν, «ἐπ᾽ ἐκεῖνον τόν λίθον συντριβήσεται˙ ἐφ᾽ ὅν δ᾽ ἄν πέσῃ, λικμήσει αὐτόν». Καί ἡμεῖς τοιούτων εὐτυχοῦντες τῶν προβόλων, ἀσινεῖς καί ἀπερίτρεπτοι διαμενοῦμεν. Ἐπεί δ᾽ ὅμως ἐν πᾶσι τῶν πατέρων ὑπεραπολογούμενοι κατηγορούμεθα, φέρ᾽ εἴπωμέν τι καί νῦν αὖθις περί τούτων˙ τόν γάρ Περί θείων ἐνεργειῶν καί τῆς ὑπερφυοῦς ἁπλότητος λόγον, ἐν ᾧ πλείω ποιούμεθα τήν περί τούτων σκέψιν, ἀποστεῖλαι νῦν οὐ ῥᾴδιον τῇ σῇ σεβασμιότητι. Ποιότητα τοιγαροῦν ἐπί τῆς θείας ὑπερουσιότητος λέγειν οἱ πατέρες ἀπηγόρευσαν, ἐνεργείας δέ φασιν οὐ μίαν οὐδέ δύο οὐδέ τρεῖς, ἀλλά καί πολλῷ πλείους καί ἀκτίστους πάσας. Φησί γάρ ὁ μέγας Βασίλειος ἐν τοῖς Ἀντιρρητικοῖς˙ «αἱ δέ ἐνέργειαι τοῦ Πνεύματος τίνες; Ἄρρητοι μέν διά τό μέγεθος, ἀνεξαρίθμητοι δέ διά τό πλῆθος. Πῶς γάρ νοήσομεν τά τῶν αἰώνων ἐπέκεινα; Τίνες αἱ πρό τῆς νοητῆς κτίσεως αὐτοῦ ἐνέργειαι; Τάς τοίνυν πρό τῆς νοητῆς κτίσεως καί τῶν αἰώνων ἐπέκεινα ταύτας ἐνεργείας τοῦ Πνεύματος κτιστάς μέν εἶναι ἀδύνατον, τό δ᾽ οὐσίαν εἶναι ταύτας τοῦ Θεοῦ ἤ τόν τοῦ Πατρός Υἱόν οὐκ ἔνι˙ μία γάρ οὐσία Πατρός Υἱοῦ καί Πνεύματος, καί εἷς ὁ τοῦ Πατρός μονογενής Υἱός καί αὐτό τό Πνεῦμα ἕν. Αἱ δέ τοῦ Πνεύματος ἐνέργειαι ἀνεξαρίθμητοι, φησί, διά τό πλῆθος». Καί τινα συνείρας ἄλλα περί τῶν ἐνεργειῶν, ἐπάγει˙ «Ἦν γάρ καί προῆν καί συμπαρῆν τῷ Πατρί καί τῷ Υἱῷ καί τό Πνεῦμα τό ἅγιον». Εἶτα συμπεραίνει λέγων, «ὥστε κἄν τι νοήσῃς τῶν αἰώνων ἐπέκεινα καί τοῦτό ἐστι τοῦ Πνεύματος κατωτέρω», τάς (σελ. 192) ἀκτίστους ἐνεργείας κατωτέρας, φανερῶς τοῦ Πνεύματος ἀποφηνάμενος εἶναι. Πῶς οὖν αὗται ἡ οὐσία τοῦ Θεοῦ ἤ ὁ τοῦ Πατρός μονογενής; Ὅ δέ τήν ἀρχήν εἴρηκεν ὁ μέγας, πῶς νοήσομεν τάς προαιωνίους ἐνεργείας, οὐ κατά τό εἶναι οὐδ᾽ ὡς δεικνύς πάμπαν ἀπερινοήτους, ἔφη, ἀλλ᾽ ὡς ἐπ᾽ ἀκριβείας˙ ἐπεί διά τό μέγεθος, φησίν, ἄρρητοι καί διά τό πλῆθος ἀνεξαρίθμητοι. Δείκνυσι δέ που τῶν ἐπῶν καί ὁ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος, ἔστιν ἅς τῶν προαιωνίων τοῦ Πνεύματος ἐνεργειῶν καί ἡμεῖς ἐν τῷ δευτέρῳ Πρός Βαρλαάμ Δευτέρων πολύν περί τούτων πεποιήμεθα λόγον, δεικνύντες καί πρό τῆς γενέσεως τῶν γενητῶν τήν πρόνοιαν ἐνεργουμένην, ἔτι δέ καί τῶν ταύτῃ συτοίχων οὐκ ὀλίγα, τοῦ Θεοῦ δι᾽ ἀγαθότητα σοφῶς προνοουμένου τοῦ τῇ γενέσει δέοντος καιροῦ.

Ἀλλά πρός ὅ νῦν ἡμῖν λόγος. Ἐπειδήπερ οἱ πατέρες ποιότητας μέν λέγειν ἀπαγορεύουσιν ἐπί Θεοῦ, ἐνεργείας δέ φασιν, οὐκ ἄρα κατ᾽ αὐτούς ἡ ἐνέργεια ποιότης˙ ὁ δέ λόγος τίς; Ὅτι κατά μέν τήν ποιότητα πεποίωται καί πέπονθε μᾶλλον ἤ ποιεῖ τό πεποιωμένον κατ᾽ αὐτήν, κατά δέ τήν ἐνέργειαν οὐχ οὕτως˙ τό γάρ πρώτως ἐνεργοῦν ἀκάματον καί ἀπαθές, ὡς ἐν τοῖς τεχνητοῖς ἡ τέχνη, καί ὁ ταύτης ἐπιγνώμων νοῦς. Εἰ δέ τά κτιστά καί ἐνεργοῦντα πάσχει τι (βελτίων γάρ ἡ τέχνη γένοιτ᾽ ἄν ἑαυτῆς ἐνεργουμένη καί ὁ ταύτην κεκτημένος νοῦς), ἀλλ᾽ ἡ αὐτοτελής καί ἀπαθής καί ἀναλλοίωτος φύσις, τήν θείαν δύναμιν ἐκφαίνουσα διά τῆς ἐνεργείας, ἀπαθής καί ἐνεργοῦσα μένει. Διά τοῦτο ἡ ἐνέργεια σύνθεσιν οὐκ ἐνεργάζεται τῇ θείᾳ φύσει, καί γάρ παρ᾽ ἧς μηδέν μηδαμῇ πάθος, οὐδέ σύνθεσις˙ ἀλλ᾽ οὐδ᾽ ἐνθεωρουμένην ἔχει τήν τοῦ ἐναντίου μῖξιν ἡ θεία δύναμις, δηλονότι τήν ἀδυναμίαν, παντοδύναμον γάρ τό θεῖον, οὐδέ κατά μετουσίαν ἔχει τήν δύναμιν ἡ θεία (σελ. 194) φύσις, ἅ ποιητικά ἐστι συνθέσεις ἐπί πάντων τῶν κτιστῶν˙ αὐτοζωή γάρ καί αὐτοαγαθότης καί πάντα τά τοιαῦτα ὁ Θεός ἐστιν, οὐχ ὡς ἕτερον μέν ὤν, ἕτερον δ᾽ οὐκ ὤν, ἀλλ᾽ ὡς μή κατά μετουσίαν τούτων ἕκαστον ὑπάρχων, ἐν ἑκάστῳ δέ ὅλος ἀμερῶς καί ἐν πᾶσιν ἀμερίστως ὤν. Ὅτι μέν οὖν ταῦθ᾽ οὕτως ἔχει, μεμυήμεθα, πῶς δέ τούτων ἕκαστον ἐπ᾽ ἀκριβείας οὔτε εἰπεῖν οὔτε ἐννοῆσαι δυνατόν.

Τί δέ καί περί τοῦ τρισυποστάτου τῆς μιᾶς θεότητος ἐροῦσιν οἱ διά τήν ἐνέργειαν ὑπονοοῦντες σύνθεσιν; Οὐ μήν, ἀλλ᾽ ἐκεῖνοι μέν φασιν, ὡς εἰ παρά τήν φύσιν τοῦ Θεοῦ ἕτερόν τι ἄκτιστόν ἐστι, σύνθετος ἔσται ὁ Θεός. Ἐγώ δ᾽ ἄν φαίην, ὡς εἰ μή καί ἕτερόν τι παρά τήν φύσιν ἄκτιστόν ἐστιν, οὐχ ἁπλοῦς ἔσται ὁ Θεός. Ὁ γάρ τῆς θεολογίας ἐπώνυμος Γρηγόριος περί αὐτοῦ φησι˙ «τί γάρ ὤν ἁπλῆς ἐστι φύσεως ἐπιζητήσωμεν˙ οὐ γάρ δή τοῦτο φύσις αὐτῷ, ἡ ἁπλότης». Ἡ τοίνυν ἁπλότης μή οὖσα φύσις, εἰ μή ἄκτιστος εἴη καί ἄναρχος, οὐκ ἔσται ὁ Θεός ἁπλοῦς ἐξ ἀϊδίου, μᾶλλον δέ οὐδέποτε. Τῶν ἀστειοτάτων ἄν εἴη τοιγαροῦν, τῇ διδασκαλίᾳ πειθαρχήσαντας ἡμᾶς αὐτῶν, μή τῇ τοῦ Θεοῦ φύσει προσεῖναι λέγειν τήν ἁπλότητα τολμᾶν, ὡς ἕτερον σημαίνουσα παρά τήν φύσιν, ἵνα μή παρά τοῦτο σύνθετον ἀποδείξωμεν αὐτήν. Ἡ δέ ἁπλότης αὕτη καί μία τῶν θείων ἐνεργειῶν ἐστι κατά τούς ἐν Πνεύματι λαλοῦντας τά τοῦ Πνεύματος˙ τῇ γάρ μεθέξει ταύτης ἄγγελοί τε καί ψυχαί καθεστήκασιν ἁπλοῖ. Τοιγαροῦν καί μετοχή ἐστιν αὕτη ἡ ἁπλότης, ὡς καί ὁ Ἀρεοπαγίτης οὐρανόφρων

Διονύσιός φησι· «μετοχή δέ πᾶσα κατ᾽ αὐτόν μετέχει μέν οὔ, μετέχεται δέ. Πᾶν δέ τό μετεχόμενον καί μή μετέχον κατ᾽ αὐτόν αὖθις ἄκτιστον.

(σελ. 196) Πέμπτον ἐστίν αὐτοῖς τό τοῦ Θεοῦ ἐνέργειαν εἶναι τόν Υἱόν μόνον καί τό Πνεῦμα τό ἅγιον, ἡμᾶς δ᾽ ἁμαρτάνειν, ὅτι λέγομεν καί κοινήν ἐνέργειαν Πατρός, Υἱοῦ καί Πνεύματος. «Τίς γάρ», φασί, «καί χρεία τῷ Υἱῷ ἐνέργειαν ἔχειν, ὅς ἐστιν αὐτοενέργεια;». Εἰ δέ τις φαίη, διά τό ἐκ τοῦ Πατρός ἀχωρίστως εἶναι τόν Υἱόν ἐνέργειαν αὐτόν εἰρῆσθαι, οὐδέ γάρ ἁπλῶς ἐστιν ἐνέργεια ἐν ἰδίᾳ ὑποστάσει ὤν, αὐτοί δισχυρίζονται μηδαμοῦ γεγράφθαι τόν Θεόν ἔχειν ἐνεργείας καί αὐθυποστάτους καί μή αὐθυποστάτους, πρός οὕς ἄν τις φαίη· πῶς ὦ σοφοί, ταὐτό λέγοντες καί ἀδιάφορον οὐσίαν καί ἐνέργειαν, εἶτα τήν μέν οὐσίαν κοινήν Πατρί, Υἱῷ καί Πνεύματί φατε, τήν δέ ἐνέργειαν οὐχί κοινήν; Πῶς δέ ἡ μέν οὐσία οὐχ ὑπόστασις οὐδέ ὑποστατικόν, οὐ γάρ τῶν τριῶν ἑνός οὐδέ μία ἡ ὑπόστασις, τήν δέ ἐνέργειαν ὑποστατική ποιεῖτε; Τά γάρ ἴδια Υἱοῦ ἤ Πνεύματος αἱ ὑποστάσεις καί τά ὑποστατικά εἰσι. Καί τίς τῶν εὖ φρονούτων, κατά τόν θεῖον Μάξιμον εἰπεῖν, ὑποστατικήν ἐνέργειαν εἴρηκέ ποτε; Συμβαίνει δέ τόν μέν Πατέρα δύο καί μόνας ἐνεργείας ἔχειν, τόν Υἱόν τε καί τό Πνεῦμα· τούτων δέ ἑκάτερον οὐδ᾽ ἡντινοῦν, καίτοι περί μέν τοῦ Πατρός οὐδ᾽ εὐχερές εἰπεῖν ποσαχῆ τῆς Γραφῆς ὁ τῶν ἐνεργειῶν διαθρυλεῖται πλοῦτος, περί δέ τοῦ Πνεύματος ἀνωτέρω σαφέστερον προτέθειται· περί δέ τοῦ Υἱοῦ καί ἡ ἕκτη σύνοδος ἐδίδαξεν ἡμᾶς, οὐκ ἐν δυσί μόνον φύσεσιν, ἀλλά καί δυσί καταλλήλως ἐνεργείαις καί δυσί θελήμασι προσκυνεῖν θεσπίσασα Χριστόν, ἀλλά καί ὁ προφήτης εἴρηκε Μιχαίας φησί γάρ προκηρύττων τήν ἐν Βηθλεέμ κατά σάρκα γέννησιν αὐτοῦ, «καί οἱ ἔξοδοι αὐτοῦ ἀπ᾽ ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος», ἀπ᾽ ἀρχῆς ἐξόδους λέγων, ἀκτίστους δηλονότι καί (σελ. 198) ἀνάρχους, τάς κατά τήν θεότητα τούτου ἐνεργείας, ὡς καί ὁ Νύσσης θεῖος Γρηγόριος τό προφητικόν ἐξηγούμενός φησιν. Εἰ δέ καί τήν γέννησιν ἐκδεξόμεθα λέγειν τόν προφήτην διά τῶν ἀπ᾽ ἀρχῆς ἐξόδων, καί οὕτω τό τῶν Βαρλααμικῶν δόγμα καταργεῖται· καί γάρ ἡ γέννησις οὐκ ἔστι φύσις, ἀλλά περί τήν φύσιν, ὡς καί ἡ ἀγεννησία. Μή οὖσα τοίνυν φύσις ἡ γέννησις, ἄκτιστός τε καί ἄναρχός ἐστιν. Ἐγκαλυπτέσθωσαν οὐκοῦν οἱ γράφοντες, ἕν μόνον ἄκτιστον, ἡ οὐσία τοῦ Θεοῦ οἱ γράφοντες, ἕν μόνον ἄκτιστον, ἡ οὐσία τοῦ Θεοῦ· πᾶν δ᾽ ὅ,τι παρ᾽ αὐτήν, κτιστόν. Εἰ δ᾽ ὡς τῆς οὐσίας ταὐτόν τῇ ἐνεργείᾳ οὔσης

ὁ Υἱός ὤν αὐτονενέργεια ἐνέργειαν οὐκ ἔχει κατά τούς ἐνεργείας θείας χωρίς θεολογοῦντας, καί ὁ Πατήρ τῆς αὐτῆς οὐσίας ὤν, αὐτοενέργειά ἐστι καί οὐδ᾽ ἐκεῖνος ἐνέργειαν ἕξει κατ᾽ αὐτούς, οὐδέ τόν Υἱόν.

Ὁρᾷς τῶν ἀτόπων τήν σωρείαν, ἥν ταῖς κεφαλαῖς κακῶς ἐπεσώρευσαν αὐτῶν; Δημιουργός δέ τῶν ποιημάτων ὁ Πατήρ μόνον ἤ καί ὁ Υἱός; Πάντως καί ὁ Υἱός καί τό Πνεῦμα τό ἅγιον. Καί ποιήματά ἐσμεν ἅπαντες οὐ τοῦ Πατρός μόνου ἀλλά καί τοῦ μονογενοῦς Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, καί οὐ μή ποτ᾽ ἄν τις ἄλλως φαίη, εὐσεβεῖν βουλόμενος, ἐπί δέ τοῦ ἐνεργείᾳ ἐνεργοῦντος, αὐτοῦ μέν τοῦ ἐνεργοῦντος λέγεται τά ἐνεργήματα, τῆς δ᾽ ἐνεργείας ἔστιν ὅτε μή. Καί μάρτυς ὁ μέγας θεολόγος Γρηγόριος˙ φησί γάρ πρός τούς θελήσεως Υἱόν εἰπόντας τόν Υἱόν, «εἰ θέλων ὁ Πατήρ ἐγέννησεν αὐτόν, ἕτερον θέλων ἐστί καί θέλησις, γεννῶν καί γέννησις, λέγων καί λόγος, εἰ μή μεθύομεν˙ οὔκουν θελήσεως τό θεληθέν οὐδέ τό γεννηθέν γεννήσεως οὐδέ τό ἀκουσθέν ἐκφωνήσεως, ἀλλά τοῦ θέλοντος καί τοῦ γεννήσαντος καί τοῦ λέγοντος». Εἰ τοίνυν καί τοῦ (σελ. 200) Πατρός ὁ Υἱός μέν ἐστιν ἐνέργεια, ἐνέργειαν δ᾽ οὐκ ἔχει, οὐκ αὐτοῦ ἐσμεν κατ᾽ αὐτούς ποιήματα, ἀλλά μόνου τοῦ Πατρός. Οὐκ ἀκηκόασι δέ τοῦ αὐτοῦ θεολόγου καί ἀλλαχοῦ που λέγοντος θεοπρεπές εἶναι τό τόν Πατέρα διά μέσης τῆς τοῦ Υἱοῦ θεότητος ἐλθεῖν ἐπί τά κτίσματα; Ἆρ᾽ οὖν καί ὁ τῇ οἰκείᾳ ἐνεργείᾳ ἐνεργῶν οὐκ ἀμέσως ἐνεργεῖ, καί ὁ κατά πρόσωπον ποιούμενος τήν ὁμιλίαν, ὅτι λόγῳ συγγινόμενός ἐστιν, οὐκ ἀμέσως συντυγχάνει; Ἀλλ᾽ ἐπεί διαρρήδην φασίν οἱ ἀντιλέγοντες ἡμῖν μή εἶναι ἐνεργείας ἀκτίστους οὐκ ἐνυποστάτους ἐπί τοῦ Θεοῦ, τί φήσουσι πρός τό τοῦ μεγάλου Βασιλείου φάσκοντος, παρά τῷ ἁγίῳ Πνεύματι πάντα τέλεια, ἀγάπη, χαρά, εἰρήνη, καί τά ἑξῆς, οὗ δή καί πάνθ᾽ ὅσα σχεδόν ἐπί Θεοῦ λέγεται συλλαβών καί ἀπαριθμησάμενος οὗτος, ἐν οἷς κατά τήν ἀπαρίθμησιν τῶν χαρισμάτων καί τόν φόβον ἀσφάλειαν προσηγόρευσεν, ἐνερμοζόμενος τῷ θείῳ Πνεύματι θείως, εἶτ᾽ ἐπαναλαμβάνων γράφει, «ταῦτα δέ πάντα ἀϊδίως ἔχει τό Πνεῦμα τό ἅγιον, ὡς Πνεῦμα Θεοῦ καί ἐξ αὐτοῦ πεφηνός, ἀλλά τό μέν ἐκ Θεοῦ πηγάζον ἐνυπόστατόν ἐστι, τά δέ ἐξ αὐτοῦ πηγάζοντα ἐνέργειαι αὐτοῦ εἰσιν». Ὁρᾷς καί πολλάς ἐνεργείας καί ἀκτίστους καί οὐκ ἐνυποστάτους; Ταῦτα γάρ, φησίν, ἀϊδίως τό Πνεῦμα ἔχει τό μόνον ἐνυπόστατον. Ἐν δέ τοῖς Κατ᾽ Εὐνομιανῶν συλλογισμοῖς πρός τούς

ἐνέργειαν τοῦ Πατρός τόν Υἱόν λέγοντάς φησιν˙ «εἰ ὁ Υἱός ἐνέργεια καί οὐ γέννημα, οὔτε ὁ ἐνεργήσας οὔτε μήν τό ἐνεργηθέν αὐτός ἐστιν, ἕτερον γάρ ἡ ἐνέργεια παρά ταῦτα˙ ἀλλά καί ἀνυπόστατος, οὐδεμία γάρ ἐνέργεια ἐνυπόστατος, τουτέστιν αὐθυπόστατος». Εἰ δέ τις τά κτίσματα τολμήσει φάναι τάς μή ἐνυποστάτους ταύτας ἐνεργείας, δότω λόγον, πῶς οὐδέν τῶν (σελ. 202) κτισμάτων ἐνυπόστατον, καί ταῦτα τοῦ Θεοῦ μή ποιότητας μόνον, ἀλλ᾽ οὐσίας πεποιωμένας κτίσαντος;

Τί δέ καί ὅτι τό αὐθυπόστατον οὐ κατάλληλον ἐπί τῶν θείων; Τά γάρ ἐφεξῆς καί τινα τῶν προεξητασμένων μεταξύ παρήσειν ἔγνων δεῖν ὡς σαφεῖς ὄντα φλυαρίας. Τό δ᾽ αὐθυπόστατον οὐ κατάλληλον φασί τοῖς θείοις, ἐπειδή φησιν ὁ Χρυσόστομος πατήρ πρός τούς καταληπτήν οἰομένους τήν οὐσίαν τοῦ Θεοῦ˙ «πῶς ἐστι νοῆσαι οὐσίαν, μήτε παρ᾽ ἑτέρου μήτε παρ᾽ ἑαυτῆς ὑποστᾶσαν»; Ὁρᾷς ὡς οἱ νεοφανεῖς οὗτοι θεολόγοι τό παρ᾽ ἑαυτοῦ ὑφεστηκός οἴονται τό αὐθυπόστατον σημαίνειν; Ἡμεῖς δ᾽ ἴσμεν αὐθυπόστατον τό ἐν ἰδίᾳ ὑποστάσει ὄν. Εἰ τοίνυν ὁ Υἱός ἐν ἰδίᾳ ὑποστάσει, πῶς οὐκ αὐθυπόστατος; Τό μέντοι ἐνυπόστατον ἀμφοτέρων ἐστί σημαντικόν, τοῦ τε αὐθυποστάτου καί τοῦ ἐν ἑτέρῳ θεωρουμένου, κατά τάς πατερικάς καί τοῦτο παραδόσεις. Δι᾽ ἀμφότερα τοίνυν ἐνυπόστατος καλεῖται ὁ Υἱός, καθ᾽ ἑαυτόν τε ὑφεστηκώς καί τοῦ Πατρός διατελῶν ἀχώριστος. Εἰ δέ ἀμφότερα ταῦτ᾽ ἔχει, πῶς οὐχί καί ἑκάτερον; Μᾶλλον δέ τό μέν πρότερον τῶν σημαινομένων ἀνωμολόγηται Χριστιανοῖς, εἰ δέ τις εὐσεβεῖ διανοίᾳ ἐναρμόζειν ἐθέλει καί τό δεύτερον, οὐ προσιστάμεθα. Δέον τοίνυνζητεῖν καί μανθάνειν παρά τῶν εἰδότων ἅπερ ἀγνοοῦσιν, αὐτοί, μηδ᾽ ἐπιστάμενοι τήν σημασίαν τῆς λέξεως μηδ᾽ ἐζητηκότες πρός ὅν τείνει νοῦν ὁ σκοπός τοῦ κεχρημένου, λίαν ἀμαθῶς καί κακοβούλως ἐπιτίθενται τοῖς θείοις, ἀλόγους καί σκαιούς ἑαυτούς ἀποδεικνύντες, ὡς καί τῷ μεγάλῳ δοκεῖ Διονυσίῳ˙ «ἄλογον γάρ», φησί, «καί σκαιόν καί τῶν μή τά θεῖα νοεῖν ἐθελόντων ἴδιον τό μή τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλά ταῖς λέξεσιν».

(σελ. 204) Ἀλλ᾽ ὅτι μέν ὁ νῦν ἡμῖν ἀντιπεῖν προῃρημένος τά τοῦ Βαρλαάμ ἄντικρυς καί τά τοῦ Ἀκινδύνου φθέγγεται, τῶν πάνυ δήλων˙ οὐδέ γάρ τό προσωπεῖον λέληθεν ἡμᾶς ὑποφαῖνον τήν ἐκείνων συμμορίαν ἐπιστεῖλαι νῦν ἡμῖν προῃρημένην. Φησί δέ καί τούς παρ᾽ ὑμῖν σοφούς ἅπαντας συμφθέγγεσθαι καί συναινεῖν, ᾧ πολλοῦ δέω πείθεσθαι˙ μεταπείθει γάρ με τό πρός αὐτόν τοῦ Ἀκινδύνου γράμμα,

δι᾿ οὗ καί αὐτός ἰσχυρίζεται, τούς τε ἐλλογιμωτέρους τῶν ἐνθάδε καί τούς ἡσυχίᾳ προσανέχοντας καί τούς ἄλλους ἁπλῶς πάντας συμφωνοῦντας ἔχειν. Φιλοκρινεῖν μέν οὖν τούς ἄλλους δυσχερές˙ σοφώτεροι δ᾿ ἐν ἀρχιερεῦσι τίνες; Οὐχ ὁ Ἐφέσου τε καί ὁ Κυζίκου, καί μετ᾿ αὐτούς ὁ Δυρραχίου τῶν θείων ἐπιγνώμων; Τοσοῦτον οὖν οὐκ ἔστι τις τούτων συναινῶν αὐτῷ καί μάλιστα μετά τήν δι᾿ αὐτόν γεγονυῖαν σύνοδον καί τήν ἀκριβῆ καθ᾿ ἑαυτούς ἐξέτασιν, ὡς καί τάς τῶν τοιούτων ἀποκηρύξεις, εἰ μή μεταμέλοιντο, στέρξαι τε καί ὑπογράψαι, τόν δέ θεσπεσιώτατον Κυζίκου καί προθυμηθῆναι οἴκοθεν προσπαραθεῖναι τῷ Συνοδικῷ τόμῳ ἐπί λέξεως ταῦτα˙ «συνέβη τινάς ἐνεγκεῖν μοι μέρη τινά ἀπό τῶν συγγραμμάτων τοῦ τιμιωτάτου ἱερομονάχου Γρηγορίου τοῦ Παλαμᾶ. Ἦσαν δέ παρακεχαραγμένα, ὡς ὕστερον ἰδών καί ἀναγνούς τά ἐκείνου συγγράμματα ἔμαθον τήν ἀλήθειαν. Μαθών οὖν ὅτι ἐν πᾶσι ταῦτα σύμφωνά εἰσι τοῖς ἁγίοις ἀκριβῶς κατά πάντα, τούς τε λόγους αὐτῶν ἀκούσας καί αὐτούς συμφώνους εὑρών, τοῖς ἁγίος κατά πάντα, εἰς μαρτυρίαν καί ἀσφάλειαν τῆς ἀληθείας τῶν λεγομένων καί γεγραμένων ὑπό τε τοῦ τιμιωτάτου ἱερομονάχου κῦρ Γρηγορίου τοῦ Παλαμᾶ καί τῶν λοιπῶν μοναχῶν ὑπέγραψα».

Ταῦτα μέν ὁ Κυζίκου μετά τῶν συνυπογραψάντων πάντων, ἑπτά τόν ἀριθμόν ὄντων, καί τῶν ἄλλων, ὡς (σελ. 206) κρειττόνων ἐξειλεγμένων καί ἀντί πάντων ὑποσημηναμένων τόν τόμον. Περί δέ τῶν ἄλλων ἀρχιερέων, εἴ γε τούτοις νῦν ἕπονται, καί ποῖοί τινες ἄν εἶεν οἱ μή ἑπόμενοι, καί διατί, πᾶς τις νοῦν ἔχων συνορᾷ. Τῶν δ᾿ ἡσυχαστῶν τούς πλείους οἶδας. Ἀλλά τί χρή καί περί τούτων λέγειν, ὧν ἐπηρεαζομένων, αὐτός ἐκτός ὤν τῆς ἐπηρείας, ἑκών ὑπέδυν τόν ἀγῶνα τῆς ἀπολογίας, κρεῖττον ἡγησάμενος τούτοις συγκατηγορεῖσθαι ἤ δοκεῖν χωρίς αὐτῶν ἀνεύθυνος, ὅπερ καί αὐτοί συνίσασι;

Τῶν δ᾿ ἄλλων ἐλλογίμων ἴδοι τις ἄν ἔστιν ὧν, εἴπερ ἐθελήσει, μακρούς τε καί γενναίους λόγους ὑπέρ τε τῆς ὑφ᾿ ἡμῶν πρεσβευομένης ἀληθείας καί κατά τῶν ἡμῖν ἀντικειμένων ἐξενηνεγμένους. Ὁ δέ «πολλά εἰδώς φυᾷ», τό τοῦ Πινδάρου φάναι, καί τά πάντα συνετός καί τῆς ἀνεπιλήπτου κρίσεως ἔκκριτος προστάτης Ματαράγγος τῶν εὐαγγελικῶν κηρυγμάτων καθαιρέτας καί τῆς ἑλληνικῆς κακοφροσύνης νέους ὀνομάζει κήρυκας τούς ἡμῖν ἀντιλέγοντας, εἰ καί νῦν ἡ τῶν πολιτικῶν πραγμάτων σύγχυσις τῷ

ψεύδει παρέχει τήν παρρησίαν. Οὐκ οἶμαι τοίνυν οὐδέ τούς παρ᾽ ἡμῖν σοφούς τοῖς τοιούτοις συναινεῖν.

Ἐπεί δ᾽, ὡς ἀπό τοῦ νέου τούτου Βαρλαάμ ἠκούσαμεν, ἔδοξεν ὑμῖν, ὡς ἡμεῖς ἐπί τῆς ἁπλῆς καί ἀσωμάτου φύσεως τήν τῆς οὐσίας τε καί ἐνεργείας οὐ παραδεχόμεθα ταυτότητα, ἀναγκαίως ἀντεγράψαμεν δηλοῦντες, ὡς οὐδ᾽ ἡμεῖς ἀπαγορεύομεν τοῦθ᾽ οὕτως ἔχειν, ἀλλ᾽ ἐπειδήπερ τοῖς τῶν πατέρων λόγοις καί διαφερούσας πρός ἀλλήλας πολυτρόπως εὕρομεν, τήν δέ διαφοράν ταύτην Βαρλαάμ καί Ἀκίνδυνος τίθενται μεγάλων ἀτόπων ἀφορμήν, τῶν πατέρων ἡμεῖς ὑπεραπολογούμενοι πρός δύναμιν πολλαῖς μᾶλλον ἀτοπίαις περιπίτοντας ἐπαιδείκνυμεν τούς μή καί τό διαφέρειν στέργοντας. Οὕτως οὐδέ δύο θεότητας λέγομεν ἡμεῖς (σελ.208) οὐδ᾽ ὑπερκειμένην τε καί ὑφειμένην, ἀλλά μίαν οὐκ ἐν οὐσίᾳ δέ μόνον, ἀλλ᾽ ἐν τῇ διά πάντων τελειότητι θεωρουμένην, ὡς καί ὁ Νύσσης θεῖος Γρηγόριός φησι. Τίνων τούτων; Αὐτεξουσιότητος, σοφίας, ἀγαθότητος, δημιουργικῆς, θεοποιοῦ, θελητικῆς δυνάμεως καί τῶν παραπλησίων, ἅ πάντα ἐνεργείας θείας οἱ ἅγιοί φασι, φυσικῶς μέν νοουμένας περί τόν Θεόν, ἀλλ᾽ οὐχί φύσιν οὔσας, ὡς ἀνωτέρω τοῦ λόγου τούς αὐτούς προηνέγκαμεν εἰπόντας, ὅτι τά φυσικά οὐ φύσις, ὥσπερ οὐδέ τά ὑποστατικά ὑπόστασις. Ἐπεί δέ καί αὐτό τό τῆς φύσεως καί τῆς οὐσίας ὄνομα κυρίως οὐκ ἔστι τῆς ὑπερουσιότητος ἐκείνης, ὡς καί ὁ θεοφάντωρ Διονύσιός φησιν – αὕτη γάρ παντάπασιν ἀνώνυμος –, χρῶνταί που τῇ προσηγορίᾳ ταύτῃ σπανίως οἱ πατέρες καί ἐπί τῶν φυσικῶν. Ὁ δ᾽ εἰς νοῦν, τό τοῦ λόγου, βάπτων καί μή προσπάσχων ἤχοις καί φθόγγοις καί συλλαβαῖς ἀνοήτως, ἐφίστησι καί συνίησι, τί τό βούλημα τοῦ γράφοντος˙ οὐ μήν ἀλλ᾽ ὁ τῆς ἀληθείας συνήγορος καί ζητητής τά τοιαῦτα ὑγιῶς σκοπούμενος τῶν εἰωθόντων ὄψεται κἀπί τῶν κάτω φυσικῶν τιθεμένην τήν τῆς φύσεως ἐπωνυμίαν, ὡς εἴ τις φαίη φύσιν ἔχειν τό πῦρ ἀνωφερές εἶναι, τουτέστι φυσικῶς˙ οὐ γάρ δή τό φέρεσθαί ποι φύσις ὁτῳοῦν, ἐπεί μηδ᾽ ἁπλῶς ἡ κίνησις φύσις, ἀλλ᾽ ἡ τῆς ἐν ἑκάστῳ κινήσεως ἀρχή.

Καί μήν, κατά τόν πολύν ὄντως καί πνευματοκίνητον νοῦν τῶν ἱερῶν πατέρων φαίη ἄν τις καί οὐσίαν εὐσεβῶς ἑκάστην τῶν τοῦ Θεοῦ ἐνεργειῶν. Κατ᾽ αὐτάς γάρ ὁ Θεός γένεσίς ἐστι τῶν γινομένων καί τῶν ὄντων οὐσία καί τῶν κατά τινα σάλον τοῦ ὄντος ἐκπιπτόντων ἐπανάκλησις. Καλός γάρ καί ἀγαθός καί τά τοιαῦτα πάντα παντάπασιν ἀπροσδιορίστως τε καί (σελ. 210) ἀπολύτως ὤν, καί τῶν

καλῶν αὐτός ἐστιν ἡ καλλονή, ὡς τοῦ καλοῦ φύσις ὤν, καί τῶν ἀγαθῶν ἡ ἀγαθότης, ὡς οὐσία καί πηγή πάσης ἀρετῆς, καί τῶν ὄντων ἁπλῶς πάντων ἡ ὀντότης, ὡς αἴτιος τῶν ὄντων. Ἔχει τοίνυν ὁ ὑπερούσιος ὤν καί ὑπεράγαθος οὐσίαν τήν ἀγαθότητα καί τά τοιαῦτα, οὐ δι᾽ ἑαυτόν οὕτω καλουμένην (πῶς γάρ ὑπερουσίως ὑπερούσιος καί ὑπεράγαθος ὑπάρχων), ἀλλά τῶν μετεχόντων ἕνεκεν, ὡς ἀγαθοποιόν δύναμιν αὐτῶν. Ὧδε νοεῖν κέλομαί σε λόγους σοφίας βαθυκόλπου, θεολογικῶς ἅμα καί ποιητικῶς εἰπεῖν. Μίαν μέν οὖν καί ἡμεῖς θεότητά φαμεν˙ ἐπεί δ᾽ ἐκεῖνοι παρά τινων πατερικῶν λόγων παρ᾽ ἡμῶν προτεινομένων δύο φασί θεότητας συνάγεσθαι, ὑπερκειμένην τε καί ὑφειμένην, καί κατά τοῦτο πάλιν ἡμεῖς τῶν πατέρων ὑπεραπολογούμενοι δείκνυμεν κατά τήν ἡμετέραν δύναμιν, ὡς οὐδέν προσίσταται τό ἐκβαῖνον ἐκ τῶν ἱερῶν ἐκείνων λόγων πρός τό μίαν εἶναι καί ἁπλῆν θεότητα.

Δεῖ δέ καί τοῦτ᾽ εἰδέναι, ὡς οὔτε περί θεότητος ἁπλῶς ἐστιν ἡμῖν ἡ πρόθεσις καί ὁ ἀγών οὔτε περί ἐνεργείας θείας, ἀλλά περί τοῦ θείου καί ἀπορρήτου φωτός, καθ᾽ ὅ λάμψας ὁ Σωτήρ ἐπ᾽ ὄρους τήν λαμπρότητα τῆς θείας φύσεως, καθ᾽ ἥν κοινωνεῖ τοῖς ἁγίοις ὑπέδειξε. Τοῦτο γάρ ὁ Βαρλαάμ κτιστόν καί περιγραπτόν καί κυρίως αἰσθητόν γινόμενόν τε καί ἀπογινόμενον ἐτόλμησεν εἰπεῖν, καί ἡμᾶς πρός τήν συνηγορίαν τῆς κοινῆς ἡμῶν ἐλπίδος, τοῦ φωτός τοῦ μέλλοντος καί μένοντος αἰῶνος, ἀναγκαιότατα διανέστησεν. Ὡς οὖν ἡμεῖς ἐδείξαμεν, ἄκτιστον, ἀΐδιον, ἀπερίγραπτον, οὐχ ὑπέρ τήν καθ᾽ ἡμᾶς αἴσθησιν ὑπάρχον μόνον, ἀλλά καί ὑπέρ τόν νοῦν, εἰ καί τοῖς τῶν ἀποστόλων ὀφθαλμοῖς ὤφθη, τήν τοῦ μέλλοντος αἰῶνος εἰληφόσι τηνικαῦτα δύναμιν καί χάριν. Ἔτι δέ καί θεότητα τοῦτο παρά τῶν ἁγίων προσαγορευόμενον, πρῶτον μέν ἐκεῖνος ἐπεχείρησε τοῖς μεθεκτήν και θεατήν τήν οὐσίαν τοῦ Θεοῦ (σελ. 212) κακῶς δοξάζουσι Μασσαλιανοῖς ἡμᾶς συντάττειν˙ ὡς δ᾽ αὖθις ἀκήκοεν ἡμῶν ἔλλαμψιν καί χάριν καί δόξαν καί λαμπρότητα Θεοῦ τοῦτο καλούντων κατά τούς πατέρας, ἀλλ᾽ οὐ φύσιν («οὐδείς γάρ ἔστη ἐν ὑποστήματι καί οὐσίᾳ Θεοῦ, κατά τό γεγραμμένον, οὐδέ Θεοῦ φύσιν ἤ εἶδεν ἤ ἐξηγόρευσεν») ὡς οὖν τοῦτ᾽ ἀκήκοεν, ἐξετράπη πρός τό λεγειν ὡς ἄτοπον τό δύο συνάγεσθαι θεότητας ἀκτίστους, ὥσπερ ἄν εἴ τις ἔλεγε δύο νοῦς ἔχειν ἕκαστον ἀνθρώπων, ἐπειδή νοῦς λέγεται καί ἡ διάνοια, ἤ δύο κατ᾽ οὐρανόν ἡλίους, ἐπεί καί ἡ ἀκτίς ἥλιος καλεῖται παρ᾽ ἡμῶν. Ἀλλ᾽ ὁ μέν ἐπί τούτοις συνοδικῶς ἀναφανείς κακόδοξος, ἀειφυγίαν

ἑαυτοῦ κατεψηφίσατο· τῶν δέ τἀκείνου νοσούντων, καί μετά τήν ἐκείνου φυγαδείαν, δευτέρα σύνοδος κατεψηφίσατο τά ἴσα.

Νῦν δ᾽ ἐνεαρίζοντες αὐτοί τῷ περισχόντι, φεῦ, δεινῷ χειμῶνι τό καθ᾽ ἡμᾶς χριστώνυμον γένος καί καθ᾽ ἡμῶν εἰληφότες χώραν ἀναπαλαίσασθαι, τάχα τήν ἧτταν φιλονεικοῦσι καί τούς ἐπ᾽ ἐξουσίας γνόντες ἀπεχθῶς διακειμένου πρός ἡμᾶς, ἅτε μή τοῖς νῦν πραττομένοις συναινεῖν καί κοινωνεῖν δοκιμάζοντας, τί μέν οὐ λέγοντες, τί δ᾽ οὐκ εἰσφέροντες, ἐπί τοσοῦτον ἔτι καθ᾽ ἡμῶν παρώξυναν, ὡς ἐνδοτάτω καθεῖρξαι τῶν ἐνταυθοῖ βασιλείων, ἠλπικότες τι παρ᾽ ἡμῶν χεῖρον τῶν αὐτοῖς τε καί πᾶσι τά λυσιτελῆ παντί τρόπῳ καί βουλομένων καί εὐχομένων ἀεί καί προτρεπόντων εἰς ταῦτα πρός δύναμιν. Ἡμεῖς μέν οὖν καθειργμένοι διατελοῦμεν, οἱ δέ τά τοῦ Βαρλαάμ ἐπεκδικοῦντες, λαθόμενοι τοῖς ἐκ πολλοῦ ποθουμένης ἀδείας, κενολογοῦσιν αὖθις ἐκτῖνα καί ἐνέργειαν θείαν τόν Υἱόν εἶναι μόνον καί τό Πνεῦμα τοῦ Θεοῦ.

Ἀλλά γνώτωσαν, ὡς ἐν ὑποδείγματος λόγῳ τά (σελ. 214) τοιαῦτα τοῖς πατράσιν εἴρηται, νῦν μέν ἐπί τοῦ τρισυποστάτου τῆς θεότητος, νῦν δ᾽ ἐπί τῆς κοινῆς χάριτος. Πατρός, Υἱοῦ καί Πνεύματος. Ἐπιστήσας δ᾽ ἴδοις ἄν τῇ τοῦ Θεοῦ λαμπρότητι μᾶλλόν πως τάς τοιαύτας εἰκόνας καταλλήλους, ἥν καί ὁρῶσιν ἀπορρήτως καί μακαρίως πάσχουσιν οἱ ἅγιοι. Διό καί ὁ μέγας ἐν θεολογίᾳ Γρηγόριος ἐν τοῖς πρός Κληδόνιον, «τῆς κακοδοξίας», φησίν, «εἶναι Ἀπολιναρίου τόν Υἱόν ἀκτῖνα λέγειν, ὡς ἡλίου τοῦ Πατρός». Καί γάρ ἄλλος ἥλιός ἐστι, τήν αὐτήν ἔχων τῷ γεννήσαντι δύναμιν καί χάριν, ἐνέργειάν τε καί λαμπρότητα, καθά καί ὁ αὐτός θεολόγος ἀλλαχοῦ φησιν, ὥσπερ ἐν τρισίν ἡλίοις μία τοῦ φωτός σύγκρασις. Καί πάλιν, «ὧν πλοῦτος ἡ συμφυΐα καί τό ἕν ἔξαλμα τῆς λαμπρότητος». Ἀλλά καί ἡ διάνοια τοῦ νοῦ ἐνέργεια διατελοῦσα, καί εἴ τις ἄλλη τούτῳ προσεχεστέρα κίνησς ἤ καί πορρωτέρω ταύτης, ἔχει μέν ὁμοιότητα πρός τόν ἀνωτάτω νοῦν, ὡς ἐν ὑποδείγματι θεωρουμένη, καί γάρ εἰκών ἐστιν ἔμφυτος τοῦ νοῦ, καί ὁ Υἱός τοῦ Πατρός ἐστιν ἔμφυτος εἰκών, ἀλλ᾽ ὁμοούσιος καί ἐν ἰδίᾳ ὑποστάσει καί ἀπαράλλακτος, ἡ δέ διάνοια τό ἀπαράλλακτον οὐκ ἔχει πρός τόν νοῦν· νοῦς γάρ ἐστι καί αὕτη, ἀλλά διεξοδικός. Ἀλλ᾽ οὐδ᾽ ὦπταί ποτε διάνοια ἐν ἰδίᾳ ὑποστάσει οὔτε μήν ὁμοούσιος τῷ νῷ· καί γάρ οὐδέ οὐσία. Καλῶς ἄρ᾽ εἶπεν ὁ Νύσσης θεῖος Γρηγόριος, ὅτι ὁ Θεός ἐνεργοῦντα δηλοῖ, θεότης δέ ἐνέργειαν, οὐδέν δέ τῶν τριῶν ἐνέργεια, ἀλλά μᾶλλον ἐνεργοῦν ἕκαστον αὐτῶν.

Μαθεῖν δέ καί πάνυ βούλομαι παρά τινος τῶν εὖ εἰδότων˙ ἐπειδή κοινόν δόγμα καί τῶν ἔξωθεν καί τῶν καθ᾽ ἡμᾶς σοφῶν ἐπί ἁπλῆς καί ἀσωμάτου φύσεως τόν αὐτόν λόγον ἐπιδέχεσθαι τῇ οὐσίᾳ τήν ἐνέργειαν, (σελ. 216) ἡ διάνοια ἐνέργεια τοῦ νοῦ ὑπάρχουσα, φύσεως ἀσωμάτου καί ἁπλῆς, ἔχει τινά διαφοράν πρός ἐκεῖνον ἤ οὐδεμίαν; Ὅτι γάρ, ὡς ὁ νοῦς τάς ἐπιστήμας προσλαμβάνων σύνθετος οὐ γίνεται, τόν αὐτόν τρόπον, μᾶλλον δέ καί πολλῷ μᾶλλον, τό προγνωστικόν, τό προνοητικόν καί πάσας ἁπλῶς τάς τοιαύτας δυνάμεις τε καί ἐνεργείας φυσικῶς ἡ θεία ἔχουσα σύνθετος οὐκ ἔστι, φανερῶς οἱ ἅγιοί φασιν. Ἐπεί δέ καί τό δημιουργικόν τε καί προνοητικόν οὐδέν ἕτερον ἤ ἑτοιμότης πρός τό ἐνεργεῖν ὁπότε βούλοιτο – τοιοῦτο γάρ ἡ θεία δύναμις - ἆρ᾽ ὅτι σύνδρομον ἔχει τῇ βουλήσει τήν δύναμιν παρά τοῦτο σύνθετον τό θεῖον; Καί πῶς ἡ ἑτοιμότης σύνθεσιν ἐνδείξαιτ᾽ ἄν; διδαχθείην δ᾽ ἄν ἄσμενος καί τοῦτο. Τά τόν αὐτόν λόγον ἐπιδεχόμενα δύο ἐστίν ἤ ἁπλῶς ἕν; Καί εἰ δύο, πῶς χωρίς ἡστινοσοῦν πρός ἄλληλα διαφορᾶς; Εἰ δέ καί διαφέρουσί πως καί τόν αὐτόν ἐπιδέχονται λόγον, κατά τάς προσούσας ἰδιότητας διενηνοχέναι πρός ἄλληλα ταῦτα ἀναγκαῖον, πρός ἅς βλέπων αὖθις ὁ μέγας Βασίλειος ἀλλαχοῦ μή τόν αὐτόν ἔχειν ἀποφαίνεται λόγον τῇ οὐσίᾳ τήν ἐνέργειαν ἐπί τῶν θείων. Ἀλλά μή μερισμόν ἐκ τούτου νομίσῃς ἐπ᾽ ἐκείνων˙ οὐ γάρ τό εἰδέναι ταῦτα μερίζειν ἐστί. Τίνα δέ καί λόγον, τουτέστιν ὁρισμόν, ἀποδοίη ἄν τις τῆς ἀπεριλήπτου φύσεως, ἵνα τόν αὐτόν λάβοι καί ἐπί τῆς ἐνεργείας;

Ἐπεί δ᾽ ἐπ᾽ ἐκείνης ὁρισμόν εὑρεῖν οὐκ ἔνι, τήν τῶν ὀνομάτων κοινωνίαν ἀντί τῆς τοῦ ὅλου ταυτότητος ἐκδεξόμεθα πάντως. Τά δ᾽ ὀνόματα τῶν ἐνεργειῶν ἐστι τῶν θείων, ὡς καί κοινῇ πᾶσι συνδοκεῖ τοῖς πατράσιν. Ἡ δ᾽ οὐσία τοῦ Θεοῦ ἀνώνυμος, ὡς ὑπερώνυμος, εἰ καί πόθῳ τοῦ περί αὐτῆς τι λέγειν, ἐφόσον δέδοται καί ἐγχωρεῖ, τοῖς ὀνόμασι τῶν ἐνεργειῶν κἀπί ταύτης χρώμεθα, (σελ. 218) γινώσκοντες ὡς οὐκ ὀνομάσαι μόνον, ἀλλ᾽ οὐδέ φαντασίαν τινά περί αὐτῆς λαβεῖν δυνατόν τινι τῶν πάντων, ἥτις ἐστίν. Ὅτι γάρ ἐστιν, ἀπό τῶν ἐνεργειῶν ἀκριβῶς κατανοοῦμεν, τάς δέ δυνάμεις τε καί ἐνεργείας ταύτας ἀπό τῶν ποιημάτων˙ «σοφίας γάρ», φησίν ὁ μέγας Βασίλειος, «καί τέχνης καί δυνάμεως, ἀλλ᾽ οὐχί τῆς οὐσίας αὐτῆς ἐνδεικτικά ἐστι τά ποιήματα˙ καί οὐδέ αὐτήν πᾶσαν τοῦ δημιουργοῦ τήν δύναμιν ἀναγκαίως παρίστησιν». Τά δέ διά τῶν ποιημάτων ἐνδεικνύμενα, ταῦτα δήπου καί νοοῦμεν, εἰ καί ἀμυδρῶς πρός τήν ἐν πᾶσιν ὑπέρ

πάντα νοῦν μεγαλειότητα ἐκείνην. Ἅ δέ νοοῦμεν, ταῦτα καί ὀνομάζομεν˙ οὐ μήν ὅτι ὀνομάζομεν, καί ὑστερογενῆ νομίζομεν (πάντα γάρ ὅσα περί τόν Θεόν νοοῦμεν, ἐν τοῖς Ἀντιρρητικοῖς φησιν ὁ Νύσσης θεῖος Γρηγόριος, πρό τῆς τοῦ κόσμου συστάσεως ἦν), ἀλλ᾿ ὀνομάζεσθαι ταῦτά φαμεν μετά τό γενέσθαι τόν ὀνομάζοντα. Καί ἡ θεότης τοιγαροῦν δυνάμεως καί ἐνεργείας ὄνομά ἐστιν, ἀλλ᾿ οὐχί τῆς οὐσίας, εἰ καί ἀπό ταύτης καί ἐπ᾿ ἐκείνην τίθεται, καί οὐχ ἁπλῶς ἐνεργείας, ἀλλ᾿ ἐνεργειῶν τοῦ θεᾶσθαι τά πάντα τόν Θεόν καί πρό τῆς γενέσεως αὐτῶν καί τοῦ θεοποιεῖν καί δύνασθαι καί βούλεσθαι τά δεκτικά θεώσεως, πρός δέ ταύταις καί πολλῶν ἑτέρων ὡς ὑπό τῶν ἁγίων διδασκόμεθα διαρρήδην πολλαχοῦ τῶν ἱερῶν συγγραμμάτων διαγορευόντων. Ἆρ᾿ οὖν διενήνοχε τοῦ θεᾶσθαι τό θεοποιεῖν ἤ καί θεοποιεῖ πάνθ᾿ ὅσα θεᾶται ὁ Θεός; Ἐπεί δέ διενήνοχε, μή τι τούτων ἐστί κτιστόν; Καί πῶς τά πρό τῆς κτίσεως; Ἐπεί δέ καί διάφορα ἄκτιστα, μήτι τοῦτο κωλύσει μίαν εἶναι θεότητα Πατρός, Υἱοῦ καί Πνεύματος; Οὐ μήν, ἀλλ᾿ ἐπεί διαφέρουσιν (σελ. 220) ἀλλήλων, καί τῆς ὑπερουσιότητος ἐκείνης ἐξ ἀνάγκης διενήνοχεν ἑκάτερον αὐτῶν˙ τά γάρ αὐτῷ ταὐτά καί ἀδιάφορα καί ἀλλήλοις ἀδιάφορά ἐστιν. Ὄντως «ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν˙ φάσκοντες εἶναι σοφοί ἐμωράνθησαν, οἱ σφᾶς αὐτούς ἀθεΐᾳ περιβαλόντες, ἵν᾿ ἡμῶν διθεΐαν κατηγορήσωσιν. Ἡ γάρ μή ἐν πᾶσι τούτοις θεωρουμένη θεότης ἀτελῆ καί οὐ Θεόν τόν ἔχοντα Θεόν ἀποδεικνύουσιν˙ εἰ δέ τις τούτων τῶν ἐνεργειῶν ἐστι κτιστή, κτιστός, ἀλλ᾿ οὐ Θεός καί ὁ ταύτην κεκτημένος.

Ἀλλ᾿ εὔχου τῷ Θεῷ βραβεῦσαι τήν εἰρήνην τῇ πολιτείᾳ. Τότε γάρ αὐτοῦ διδόντος καί ἡ τῆς εὐσεβείας ἀλήθεια τό κράτος αὖθις ἕξει.

### *ΠΡΟΣ*

### *ΤΩ ΠΑΝΤΑ ΚΑΛΩ ΚΑΓΑΘΩ ΚΑΙ ΣΟΦΩ*

### *ΝΟΜΟΦΥΛΑΚΙ ΣΥΜΕΩΝ (Σελ. 222)*

Γράμματα πρῴην ἔπεμψας ἡμῖν τά φερωνύμως γαῦρα. Γνώμας ἔπειτ᾿ ἐντυχών ᾔτησας ἡμᾶς τῶν ἐνθέων θεολόγων, εἰ μή πρός τάς λέξεις τῷ κατ᾿ ἐκείνους θεολογεῖν ἠρημένῳ διοιστέον. Δέχου δή τάς

τῶν θεολήπτων γνώμας καί πρός τά γράμματα ταὐτί τεινούσας καί ταῦτ᾽ ἄντικρυς ἐξελεγχούσας, «ὥς ἔστιν ἄλογον καί σκαιόν καί τῶν μή τά θεῖα νοεῖν ἐθελόντων ἴδιον», φησίν ὁ μετά τούς αὐτόπτας τοῦ Θεοῦ Λόγου τῶν θεολόγων περιφανέστατος, «τό μή τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλά ταῖς λέξεσι». Τοῦτ᾽ αὐτό καί ὁ τῆς ἀθανασίας ἐπώνυμος θεηγόρος ῥήμασιν οὐ τοῖς αὐτοῖς φησίν, «οἱ πολλοί», γράφων, «οὐ τήν πίστιν οὐδέ τόν σκοπόν τοῦ γράφοντος ἐξετάζουσιν, ἀλλά διά φθόνον ἤ ἔριν, ἧς προελήφθησαν κατά διάνοιαν δόξης, ὡς θέλουσιν αὐτοί δέχονται, καί μεταποιοῦσι τά φραφέντα κατά τήν ἰδίαν ἡδονήν». Τούτοις συνῳδά καί ὁ μέγας γράφει Βασίλειος˙ «οὐ χρή προσέχειν λέξεσιν, ἀλλά τῇ τοῦ σκοποῦ δυνάμει˙ κἄν γάρ ἀγράφους τις λέγῃ λέξεις, οὐδέν διαφέρει, ἕως ἄν εὐσεβῆ τήν διάνοιαν ἔχῃ˙ οἱ δέ αἱρετικοί κἄν ταῖς ἀπό τῶν Γραφῶν χρήσωνται, οὐδέν ἧττον ὕποπτοι καί τόν νοῦν διεφθαρμένοι». Τούτων κατ᾽ οὐδέν ἀπᾷδον καί ὁ τῆς θεολογίας ἐπώνυμος διδάσκει (σελ. 224) Γρηγόριος˙ «οὐδέ γάρ ἐν ῥήμασιν ἡμῖν, ἀλλ᾽ ἐν πράγμασι», φησίν, «ἡ εὐσέβεια˙ οὐδέ περί τῶν ὀνομάτων ζυγομαχήσομεν οὐδέ περί ταῦτα ζυγομαχοῦντες ἀσχημονήσομεν, ὥσπερ ἐν ὀνόμασι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ᾽ οὐκ ἐν πράγμασιν. Οἱ δέ σφόδρα προπολεμοῦντες τοῦ γράμματος, ἴστωσαν ἐκεῖ φοβούμενοι φόβον, οὗ μή ἔστι φόβος, καί σαφῶς γινωσκέτωσαν, ὡς ἔνδυμα τῆς ἀσεβείας αὐτοῖς ἐστιν ἡ δειλία τοῦ γράμματος». Τούτοις συμφθέγγεται καί ὁ θεσπέσιος Κύριλλος, «ἀμαθίας ἔμπλεων εἶναι λέγων, τό ταῖς τῶν ὀνομάτων ποιότησι πάντῃ τε καί πάντως ἀπονέμειν τό κράτος». Διό Μάξιμος ὁ θεῖος ἀποφαίνεται λέγων «λέξεως κίνδυνον μηδένα εἶναι, ἐάν μή περί τήν ἔννοιαν ἡ ἁμαρτία γένηται». Δαμασκηνός δέ ὁ θεορρήμων κοινήν εἶναι πάντων τῶν θεολήπτων μαρτυρεῖ τήν γνώμην, «εἴωθε», γράφων, «ἐξ ἀρχῆς οὐ μόνον ἡ θεία Γραφή, ἀλλά καί οἱ τῆς εὐσεβείας διδάσκαλοι περί τάς λέξεις ἀδιαφορεῖν, εἰδότε ὅτι οὐδέν ἀδικοῦσιν αἱ λέξεις, ὅταν ἄλλως ἔχῃ τά πράγματα. Διό ἡμεῖς ποιότητα λέξεως οὐ πάντως ἐξετάζομεν˙ οὐ γάρ ἄξιον ἐν θείοις δόγμασιν ἐρεσχελεῖν καί σκοπόν ἔχειν τό κακῶς νικῆσαι». Ἰωάννης δέ ὁ χρυσοῦς τήν γλῶτταν καί θεοειδής τήν διάνοιαν, «οὐ δεῖ», φησί, «τά ῥήματα γυμνά ἐξετάζειν, ἐπεί πολλά ὄψεται τά ἀτοπήματα, οὐδέ τήν λέξιν καθ᾽ ἑαυτήν βασανίζειν, ἀλλά τῇ διανοίᾳ προσέχειν τοῦ γράφοντος˙ ἄν γάρ μή τήν γνώμην τοῦ γράφοντος ἐξετάζωμεν, πολλάς ὑποστησόμεθα τάς ἀπεχθείας καί πάντα ἀνατραπήσεται».

Οὐ ταῦτά ἐστιν ἄντικρυς τά νῦν τελούμενα; Οὐκ ἄλογον ὄντως πέπονθε πάθος, ᾧ βίος ὁ λόγος οὗτος, (σελ. 226) οὗ τά κατηλογημένα βιβλία πέπομφας ἡμῖν ἔναγχος; Καί ἵν᾽ εἴπω τό τῆς Γραφῆς, οὐκ ἐμωράνθη φάσκων εἶναι σοφός, ὡς μή τῇ δυνάμει τοῦ σκοποῦ προσχών, ἀλλά κατά τῆς λέξεως τοῦ ὑφειμένου, μηδ᾽ ὑφειμένως χωρήσας; Οὐ σκαιόν ἀπέδειξεν ἑαυτόν καί ἀνέραστον τῆς ἐπιγνώσεως τῶν περί θεοῦ λεγομένων; Καί τί λέγω τό μή ταύτης ἐφικέσθαι τῆς ἐπιγνώσεως αὐτόν ἐφίεσθαι; Οὗτος γάρ τῷ μή τά θεῖα νοεῖν ἐθέλειν, ὡς ἔγωγ᾽ ἄν φαίην καί πᾶς τις οἶμαι τῶν εὖ φρονούντων ἐντυχών τοῖς παρ᾽ αὐτοῦ γεγραμμένοις, ὑπό τοῦ διδάσκοντος ἄνθρωπον γνῶσιν ἐγκαταλειφθείς δικαίως, καί οὕτως ἐγκαταλειφθείς, ὡς μηδέ γοῦν τά ἀνθρώπινα συνιέναι δύνασθαι, τό τῆς ἐσχάτης γέμον ἀβελτηρίας προὔθηκε τῶν λόγων εὐθύς ἀρχόμενος, ὡς οὐκ ἀνέχεται ἄκτιστός τις διαγίγνεσθαι τῷ μή ἀρχήν λαβεῖν ἐλέγχειν λόγῳ, ἅ γε ἤρξατο. Καί ὡς ἔοικεν οὗτος ὁ σοφός κατά τήν μεγαλεπήβολον αὐτοῦ σοφίαν, πρίν ἀρχήν τουτωνί ποιήσασθαι τῶν λόγων, ἄναρχός τε καί ἄκτιστος ὑπάρχων, ὑπ᾽ αὐτός αὑτοῦ νῦν ἔκτισται, ἀρξάμενος τοῦ λέγειν, οὐκ οἶδ᾽ ὁποτέρῳ πλέον μωρανθείς, ἤ τῷ πρίν τῶν ἄρτι γεγραμμένων ἄρξασθαι νομίζειν ἄκτιστόν τινα τελεῖν αὑτόν ἤ τῷ ὑπ᾽ αὐτόν αὑτοῦ κτισθῆναι νῦν ᾐργμένον, τόν καί πρίν τοῦ λέγειν ἦρχθαι τοῖς βροτοῖς ἡμῖν ἐναριθμούμενον. Τό δ᾽ αὖ νομίζειν ἄκτιστον, οὐ τό ἀνάρχως ὄν, ἀλλά τό μή ἀρχήν ὁτουδήποτε καταβαλλόμενον καί τό ἐκτίσθαι τό ἀρχῆς ἡστινοσοῦν ἡμμένον, οὐκ ἀβελτηρίας μόνον, ἀλλά καί δυσσεβείας ἐστίν ὑπερβολή. Καί γάρ τῶν ὄντων ἕκαστον ἔστιν οὗ μή πεποίηται ἀρχήν· οὐκοῦν ἄκτιστα τά πάντ᾽ἔσται κατ᾽ αὐτόν, ὅ τε Θεός, εἰ καί μήπω ἤρξατο τῆς μελλούσης ἐπηγγελμένης τε καί ἠπειλημένης ἐκείνης ἀποφάσεως καί τῆς καταλλήλου (σελ. 228) πρός πάντας τούς ἀκουσομένους τότε διαδόσεως, ἀλλ᾽ ἄρξεταί γε κατά καιρόν τόν ὡρισμένον ὑπ᾽ αὐτοῦ, τοιγαροῦν κατά τόν περιττόν τήν ματαιοφροσύνην τοῦτον, τηνικαῦτα καί κτισθήσεται, ἀρξάμενος κἀκεῖνος λέγειν καί ἀποδιδόναι κατ᾽ ἀξίαν ἑκάστῳ τῶν βεβιωμένων.

Εἰ δ᾽ ἄρα, φησίν οὗτος ὁ ἀμαθῶς οὕτω καί σκαιῶς συγγραφόμενος σοφός, ὡς ἑτέραν κρύπτειν διάνοιαν αὐτοῦ τά ῥήματα, γνώτω, μή τοῦ κρύπτειν ἕνεκεν, ἀλλά τοῦ ἐκφαίνειν τήν τοῦ λέγοντος διάνοιαν, λεγόμενά τε καί γραφόμενα τά ῥήματα. Διό κατά τήν ὑγιᾶ δήπουθεν ἀντιστροφήν ἄσοφον τό ἀσαφές, ὥσπερ τό σοφόν σαφές. Ὁ γάρ γνούς

καί μή σαφῶς διδάξας, ἐν ἴσῳ καί εἰ μή ἐνεθυμήθη, ὅσον γε πρός τούς ἀκούοντας. Εἰ δέ καί τἀναντία ὧν βούλεται τοῖς ἀκροωμένοις διά τήν προσοῦσαν ἀσάφειαν ἐκφαίνει τά λεγόμενά τε καί γραφόμενα, κατ᾽ αὐτός αὑτοῦ φθέγγεταί τε καί λογογραφεῖ, καθάπερ οὗτος ἐνεργές πεποίηκεν ἀρτίως, καί τόν Λοξίαν ἐκεῖνον παρελαύνων κατά τό γρῖφον καί σκολιόν καί στομφόν καί ἀσαφές τῶν λόγων. Ταῦτ᾽ ἄρα καί πολύ τό δέος μή ὑπ᾽ ἐκείνου ἐργούμενος, τοιαῦτά τε καί τοῦτον φθέγγεται τόν τρόπον, ἐπεί καί τό ἐμφανές αὐτοῦ πολλήν ἔχει πρός ἐκεῖνον τήν συγγένειαν. Τίνα γάρ τά ἐφεξῆς, ἵν᾽ ὡς ἐκ κρασπέδου τινός τό πᾶν ὕφασμα γένοιτο καταφανές; Οὔ φησιν ἔχειν ἐξειπεῖν τήν ὑπερβολήν τοῦ τολμήματος τῶν ἀντιλεγομένων ὑπ᾽ αὐτοῦ˙ τοσοῦτον ἐπισφαλές τό εἰρημένον τούτοις. Εἶτα τοῦτο τό ἐπισφαλῶς καί τολμηρῶς ἄγαν εἰρημένον εἰπεῖν φησιν ἅπαξ μέντοι τόν μέγαν Διονύσιον καί μεθ᾽ ὑποστολῆς (ὑποστολή λέγων οὗτος τήν κατασκευήν καί τό δυσέφικτον αὐτῷ τῆς ἐκείνου διανοίας), ὥσπερ ἄν τό ἅπαξ φάναι σφαλερῶς, καί ταῦτ᾽ ἐπιεικῶς περί Θεοῦ, μή τῆς ἁγιότητος ἐκβάλλον τόν εἰπόντα, μᾶλλον δέ καί γεγραφότα καί τοῖς ἔπειτα πᾶσι παραδόντα, (σελ. 230) καί τοσούτῳ μᾶλλον, ὅσῳ καί διά τῆς τῶν ρημάτων ἐπικρύψεως ἤ καί ὑποκρίσεως, κλέπτειν ἐκεῖνος καί ὑποσύρειν τούς ἐντευξομένους ἐμηχανήσατο σύν δόλῳ. Καίτοι νῦν οἱ παρά τοῦ θαυμαστοῦ τούτου λογοποιοῦ κατηγορούμενοι τοῦτ᾽ εἶπον καταστάντες εἰς ἀνάγκην χρείας, ὅ καί αὐτός γράφων ὡμολόγησεν ὡς ὁ μέγας Διονύσιος τοῦτ᾽ ἔφη. Εἰ τοίνυν κατηγορίας ἄξιοι καί τολμητίαι παρά τοῦτ᾽ ἐκεῖνοι, καί οὗτος οὐδέν ἧττον ἁπάσαις ψήφοις πάσαις ἔνοχος ἄν εἴη ταῖς οἰκείαις ἐρεσχελίαις, ὁ τούτου χάριν κατειπεῖν αὐτῶν προῃρημένος, ὥστ᾽ οἴκοθεν οἴκαδε τά τῆς κατηγορίας ἥκει κατά τήν παροιμίαν.

Οὕτως ὁ καθ᾽ ἑαυτοῦ μεμηνώς οὗτος λογογράφος καί αὐτοκατάκριτος λογοποιός καί τἀναντιώτατα πρός ἄλληλα καθ᾽ ἑαυτοῦ τε καί ἡμῶν λογογραφεῖν οὐκ ὤκνησε. Τό γάρ αὐτό νῦν μέν καινήν καλεῖ θεολογίαν, μᾶλλον δέ καί πονηράν, καί αὐτονόμους ἡμᾶς φησιν εἶναι καί καινοτόμους κατά ταύτην, νῦν δέ τόν μέγαν Διονύσιον εἰπόντα ἅπαξ ὑποδύντας ἡμᾶς παρρησιάζεσθαι μηδενός ὄντος τοῦ κινοῦντος μήτε μήν ὑποτρέχουσαν δυσσέβειαν ἐκ μέσου ποιουμένους. Ἄλλος οὖν ἄρ᾽ ἐστιν Ἐπιμενίδης οὗτος μυθικός ἤ παῖς ὡς ἀληθῶς Ἐφέσιος ἤ Βαρούχ ὁ παλαιός ἐκεῖνος, ὕπνῳ κάτοχος πολυετεῖ˙ ὁ γάρ ἐπί δυσσεβείᾳ νεωτερισμός τοῦ Βαρλαάμ ἐκείνου καί

τῶν οἷος αὐτός καί ἡ τῶν ἐπί τούτῳ συγκεκροτημένων ἐφ᾽ ἡμῶν δυοῖν μεγίστων συνόδων ψῆφος οὐμενουν οὐδένα τῶν ἐγρηγορότων λέληθε, μάλιστα Ρωμαῖον ὄντα καί πολίτην ἡμέτερον. Οὐχ ἡμῶν δέ μόνων οὗτος καταψεύδεται λέγων ἡμᾶς φάναι παρ᾽ ἡμῶν αὐτῶν τό δοκοῦν ὑπεύθυνον αὐτῷ, καί πρώτους τοῦτο φάναι, μή προτέρου τοῦ Βαρλαάμ εἰπόντος, καί μετά γνώμης δυσσεβοῦς, ἀλλά καί τοῦ μεγάλου˙ καί γάρ οὐχ ἅπαξ ἐκεῖνος οὐδέ μεθ᾽ ὑποστολῆς, ἀλλά καί πολλάκις (σελ. 232) καί διά πολλῶν καί παρρησίᾳ μετά θεολογικωτάτης μέντοι διανοίας ἔγραψε καί ἀνεκήρυξεν, ὡς καί τό Περί θεωνυμίας ἐξενηνεγμένον αὐτῷ βιβλίον ἅπαν, τοῦτ᾽ ἔχειν πρόθεσίν τε καί ὑπόθεσιν, ὑποδεῖξαι καί ὑπερυψῶσαι τόν Θεόν, ὡς μή τῶν κτισμάτων μόνων, ἀλλά καί τῶν ἀκτίστων ἐνεργειῶν τε καί χαρίτων κατ᾽ οὐσίαν ὑπερκείμενον εἰκότως. Οὐδέ γάρ ἡμῶν δεῖται πρός τό τελεῖν ὑπέρθεος αὐτός, οὐδ᾽ ἐπίκτητον τοῦτ᾽ ἔσχε καί ταῦτ᾽ ἐκ τοῦ ἥττονος προκόψας, ἀλλ᾽ ὅπερ ἐστιν, ἦν τε καί ἔσται καί ἔστιν. Εἶεν. Ἀλλά τί πάλιν τό μεταξύ τῶν εἰρημένων κἀν τοῖς ἐφεξῆς διά πάντων ἄχρι τέλους προχωροῦν τῷ καταψευδομένῳ τούτῳ καί Θεοῦ καί τῶν θείων καί ἡμῶν; Ἐπειδήπερ, φησίν αὐτός, ὑπάρχει ὑφειμένος καί εἴ τι κατ᾽ αὐτόν ἀδύνατον εὐσεβῶς ἐπί τῶν θείων λέγεσθαι τό ὑφειμένον, ἆρ᾽ οὖν οὐκ ἐκ τοῦ ἀκολούθου καί τοῦτ᾽ ἄν φαίη ῥᾷσθ᾽ οὗτος ὁ πολύς, ὡς, ἐπειδήπερ αὐτός υἱός ἐστι καί γεννητός καί κατά τοῦτ᾽ αἰτιατός, οὐ τόν τοῦ Θεοῦ Υἱόν, υἱόν ἤ γεννητόν ἤ αἰτιατόν κατά τοῦτο τοῖς εὐσεβῶς φρονοῦσι καλεῖσθαι δυνατόν, τόν τε Πατέρα καί Θεόν ἀδύνατον πατέρα καί γεννήτορα καί αἴτιον καλεῖσθαι τοῦ φύσει ἐξ αὐτοῦ υἱοῦ, ἐπεί καί ἄνθρωπος μετά τό γεννῆσαι τοῦτ᾽ ἔχει καί καλεῖται; Οὐ γάρ συνεώρακεν, ὡς στοιχείοις τε καί λέξεσι καί ρήμασιν ἐπί τῶν ἀκτίστων, οἷς κἀπί τῶν κτισμάτων χρώμεθα, σημείοις δέ τούτοις οὐ τῶν αὐτῶν γε νοημάτων, ἀλλ᾽ ἐπί μέν τῶν κτισμάτων χαμερπῶς καί τοῖς προκειμένοις καταλλήλως καί τά ὑψηλά νοοῦμεν, ἐπί δέ τῶν ἀκτίστων καί τά ταπεινά θεοπρεπῶς.

Τί γάρ; Εἴ τις εἴποι τήν Υἱόν τε καί τό Πνεῦμα τοῦ Θεοῦ ἐκ τοῦ Θεοῦ, καί τά πάντ᾽ ἐκ τοῦ Θεοῦ ἤ τόν Θεόν τε καί Πατέρα αἴτιόν τε τοῦ Υἱοῦ καί ἡμῶν αἴτιον ἁπάντων, ὥσπερ οὖν ἐστίν, ἆρ᾽ ὁμοίως τά λεγόμενα νοήσωμεν; Ἄπαγε τῆς ἀσεβείας! Τί δ᾽ εἴ τις φαίη (σελ. 234) ἅπαντα δεύτερα θέσθαι τοῦ Θεοῦ ἤ τινα τῶν ὄντων εἶναι ταπεινά ἤ καί ὑποβεβηκότα καί ὑπήκοα Θεῷ ἤ πεμπόμενα ἤ λαμβάνοντα παρά Θεοῦ ἤ τι τῶν τοιούτων, οὐχί πρέπειν τοῖς κτιστοῖς νομίσομεν ταύτας

τάς φωνάς; Καί πάνυ μέν οὖν. Τί δ᾽, ὅτι καταλλήλως οὕτω τά κτιστά καλεῖται, τολμητίαν Γρηγόριον τόν θεολόγον, Βασίλειον τόν μέγαν, Κύριλλον τόν θεηγόρον καί ἁπλῶς τόν τῶν θεολόγων ἅπαντα χορόν, ὅτι νῦν μέν ἄμφω τόν Υἱόν τε καί τό Πνεῦμα δευτερεύειν τοῦ Πατρός φασι, νῦν δέ τόν μέν δευτερεύειν τοῦ Πατρός ὡς ἐξ αὐτοῦ, τό δέ καί τοῦτον ὑποβεβηκέναι, ὡς δι᾽ αὐτοῦ χορηγούμενον καί πεμπόμενον καί φανερούμενον, εἰ καί μή κατά φύσιν, ἄλλοτε δ᾽ αὐτόν μέν ὑπακούειν τῷ Θεῷ καί λαμβάνειν παρά τοῦ Θεοῦ μή κατά τό ἀνθρώπινον μόνον, ἀλλά καί ὡς Θεόν, λόγῳ φύσεως ἀλλ᾽ οὐ χάριτος, τό δέ δώρημα καλεῖσθαι καί χάρισμα καί ἐμφύσημα ταπεινότερον, ἵνα τό ἐξ οὗ δειχθῇ; Τολμητίας οὖν τούς ταῦθ᾽ οὕτω θεολογήσαντας καί δυσσεβεῖς ἐροῦμεν, ὡς ὁ φρενοβλαβής ὄντως ουτοσί σοφός ταῦτ᾽ ἄντικρυς λέγοντος ἡμᾶς φησι, (τό γάρ ὑφειμένον τῷ ταπεινῷ καί ὑποβεβηκότι ταὐτό γε δήπου παντάπασιν ἐστιν), ἤ καί τά ταπεινά τῶν ὀνομάτων θεοπρεπῶς ἐπί Θεοῦ νοήσομεν, ὡς μή τό ὕψος καθαιροῦντα τοῦ Υἱοῦ τε καί τοῦ Πνεύματος, ἀλλά τήν πρός τόν Πατέρα διαφοράν ἐπιδεικνύντα τούτων καί τό ἐξ αἰτίας εἶναι συμφυοῦς προσμαρτυροῦντα τούτοις, ὅ μηδέν ἔλαττον ἔχει τῶν ὑψηλοτάτων; Εἰ γάρ μέγα καί ὑπέρ τό μέγα τῷ Πατρί τό τοιούτων συμφυῶς ἐνόντων καί αἴτιον, πῶς οὐ μέγα καί ὑπέρ τό μέγα τῷ Υἱῷ τε καί τῷ Πνεύματι τό ἐκ τοιαύτης συμφυοῦς αἰτίας εἶναι;

(σελ. 236) Ἀλλά τί τά τῶν ὀνομάτων ταπεινῶς ἐφ᾽ Υἱοῦ καί Πνεύματος εἰρημένα τοῖς πατράσι καταλέγω; Τό γάρ πάντων τῶν ταπεινῶν καί ὑφειμένων ὀνομάτων περιεκτικώτατον, αὐτό τό μικρόν εἰς ὕμνον ἀναφέρεται τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος. Μέγα τε καί μικρόν ἐστι τό θεῖον˙ μέγα μέν, ὡς πάντων περιληπτικόν καί παντός ὑπερεκτεινόμενον μεγέθους, μικρόν δέ ὡς διά πάντων χωροῦν καί ἐνεργοῦν καί «διικνούμενον ἄχρι μερισμοῦ ψυχῆς καί σώματος, ἁρμῶν τε καί μυελῶν καί ἐννοιῶν καρδίας», δηλονότι τῇ τῆς διορατικῆς ἐνεργείας καί δυνάμεως ὑπερφυεῖ ὀξύτητι. Διό καί τοῦτ᾽ εἰπών ἐπήνεγκεν ὁ θεῖος Παῦλος˙ «οὐ γάρ ἐστι κτίσις ἀφανής ἐνώπιον αὐτοῦ». Οὕτω κατά τόν μέγαν Διονύσιον, οὐ τό μέγα μόνον, ἀλλά καί τό μικρόν ἀνατίθεται τῷ πάντων αἰτίῳ, κἀν τοῖς λογίοις ὑμνεῖται ὁ Θεός ἐν αὔρᾳ λεπτῇ, τήν θείαν ἐμφαινούσῃ σμικρότητα, καί τό σμικρόν ἐπ᾽ αὐτοῦ λέγεται, τό παντός ὄγκου καί διαστήματος ἐκβεβηκός, καί ὅτι πάντων αἴτιον τό μικρόν˙ οὐδαμοῦ γάρ εὑρήσεις τήν τοῦ μικροῦ ἰδέαν ἀμέθεκτον. Ὁρᾷς κατά τήν

μετοχήν τό μικρόν εἰς ὕμνον τῷ Θεῷ ἀνατιθέμενον; Οὕτως οὖν ἐκληπτέον ἐπί τοῦ Θεοῦ τό μικρόν καί τό ὑφειμένον, ὡς καί κατά τόν Ἠλίαν ἅμα καί τόν θεῖον Μάξιμον εἰπεῖν˙ «ἰδού φωνή αὔρας λεπτῆς καί ἐν αὐτῇ Κύριος ὡς περιεχόμενος ὑπό τῆς λεπτῆς αὔρας, ὅ ἐστι σμικρότητος». «Καταβαίνει γάρ ἐκ τῆς οἰκείας περιωπῆς» κατά τόν θεολόγον Γρηγόριον, «ἵνα χωρηθῇ, μετρίως γοῦν γενητῇ φύσει καί ὅσον ἀσφαλές ὁ ἀχώρητος».

Καί τοῦτό ἐστιν ἡ θεοποιός χάρις καί ἐνέργεια, ἡ ἐκείνου τῆς οἰκείας περιωπῆς φιλάνθρωπος ὕφεσίς τε (σελ. 238) καί κατάβασις καί ἡ περί τι τῶν ἔξω ἑαυτοῦ δι᾽ ἐμφύτου ἀγαθότητος ὑπερβολήν ἀγαθαρχικωτάτη κίνησις, ἐπί σωστικῇ προμηθείᾳ τε καί ἀσφαλείᾳ τῶν ἠξιωμένων τῆς αὐτοῦ παρουσίας καί ἐπιφανείας, συναφείας δ᾽ εἰπεῖν οἰκειότερον. «Ἔξω γάρ ἑαυτοῦ», κατά τόν μέγαν Διονύσιον αὖθις φάναι, «δι᾽ ὑπερβολήν ἀγαθότητος γίνεται, ταῖς εἰς τά ὄντα προνοίαις καί οἷον ἀγαθότητι καί ἀγαπήσει καί ἔρωτι θέλγεται˙ καί ἐκ τοῦ ὑπέρ πάντα καί πάντων ἐξῃρημένου πρός τό ἐν πᾶσι κατάγεται». Ὁρᾷς ὡς τό τοῦ Θεοῦ ὑφειμένον καί κατηγμένον καί μικρόν καί πᾶν ὁτιδήποτε τοιοῦτον τοῖς ἁγίοις εἰρημένον ὕμνος ἐστί θεοπρεπής τοῦ καθ᾽ ὑπερβολήν ὑπερβάλλοντος τῆς αὐτοῦ φιλανθρωπίας, κἄν οἱ σοφοί τοῦ αἰῶνος τούτου τῆς τηλικαύτης ἀγαθότητος ἀνεπαισθήτως ἔχοντες, ἀχάριστα κτίσματα περί τόν εὐεργέτην ὄντες ἀτεχνῶς, τόν ἐντεῦθεν ὕμνον ἀπαρέσκωνται; Καί τοίνυν ἡμῖν ἔπεισι λέγειν δικαιότατα μή διεξιέναι ἔχειν πρός ἀξίαν τήν ὑπερβολήν τοῦ τολμήματος αὐτῶν, πῶς ἀκούοντες τό μέγα καί μικρόν εἰς ὕμνον τῷ Θεῷ ἀνατιθέμενον εἶθ᾽ ὡς μέγαν μέν, ἄκτιστον αὐτόν φασιν, ὡς δέ μικρόν, κτιστόν, τό αὐτό θεότητά τε λέγοντες ἅμα καί κτιστήν, καί οὕτως ὄντως ὑφειμένην καί μικράν, ὅπερ ἡμῖν ἀνοήτως μᾶλλον δέ τοῖς ἁγίοις ἐγκαλοῦσιν, αὐτοί πάσχοντες ὡς ἀληθῶς, οὐδέ γοῦν ὑπό τοῦ θεσπεσίου Παύλου διδαχθέντες, ἵν᾽ ὡς ἐκεῖνος κατά τόν μέγαν Διονύσιον εἰπεῖν ὑμνῆσαι λέγεται μωρίαν Θεοῦ, τό φαινόμενον ἐν αὐτῷ παράλογον καί ἄτοπον εἰς τήν ἄρρητον καί πρό λόγου παντός ἀναγαγών ἀλήθειαν, οὕτω καί αὐτοί τό τοῦ Θεοῦ φαινόμενον μέτριον καί ὑφειμένον καί μικρόν ὑπερυψώσωσι, τό ὑπερβάλλον μέγεθος τῆς θείας φιλανθρωπίας καί ἀγαθότητος ἐντεῦθεν κατιδόντες, ἀλλά τῷ πρός αἴσθησιν φαινομένῳ κλεπτόμενοι (σελ. 240) καί τοῖς καθ᾽ ἡμᾶς τά θεῖα παραβάλλοντες, ἐπειδή τό καθ᾽ ἡμᾶς μικρόν ὄντως ἐστί μικρόν, καί τό τοῦ Θεοῦ μικρόν εἶναι τοιοῦτον ὄντως ἀποφαίνονται,

κτιστόν εἶναι διατεινόμενοι. Καίτοι συνορᾶν ἐκ τῶν καθ᾽ ἡμᾶς ἐχρῆν, ὡς καθάπερ ἐφ᾽ ἡμῶν καί τῶν φυσικῶς ἡμῖν προσόντων μικρόν ὄντως καί τό μέγα – καί γάρ ἀνθρώπινον – οὕτως ἐπί Θεοῦ καί τό μικρόν ὄντως μέγα˙ καί γάρ θεῖόν τέ ἐστιν ὡς ἀληθῶς καί ἀπ᾽ ἀρχῆς αὐτῷ προσόν. Καί τοσοῦτόν ἐστι μέγα καί ὑψηλόν τό ὑποβεβηκός τε καί μικρόν, ὡς καί τούς ἐξ αἰῶνος κατ᾽ αὐτοῦ χωρήσαντας ἅπαντας τροπώσασθαι καί τούς μή ἑκόντας ὑποπτεκωκότας διά μεταμελείας τῷ τῆς ἀπωλείας βαράθρῳ παραπέμψαι. «Τό γάρ μωρόν τοῦ Θεοῦ», πάλιν κατά τόν Παῦλον εἰπεῖν, «σοφώτερον τῶν ἀνθρώπων ἐστί, καί τό ἀσθενές ἰσχυρότερον».

Ἀλλά γάρ ταῦτ᾽ εἴπομεν διά τάς ἐν μετριότητος προσχήματι γαύρους καθ᾽ ἡμῶν λογολεσχίας, μᾶλλον δέ κατά τοῦ θεοφάντορος Διονυσίου καί τῶν οἷος αὐτός, οἵ πολλαχοῦ τῶν λόγων, νῦν μέν ὑπερέχειν, νῦν δέ ὑπερκεῖσθαι, νῦν δ᾽ ἐπέκεινα κατ᾽ οὐσίαν εἶναι τόν Θεόν θεολογοῦσι τῆς βουλῆς, τῆς προνοίας, τῆς ἐξουσίας, τῆς ἁγιότητος καί αὐτῆς τῆς θεότητος, ὅταν μή ἐπί τῆς οὐσίας τάττηται τουτί τό ὄνομα, ἀλλ᾽ ἐπί τῆς θεατικῆς ἤ τῆς θεοποιοῦ ἐνεργείας τε καί χάριτος αὐτοῦ, ὡς καί τόν μέγαν Ἀθανάσιον τῆς Ἀρείου παραφορᾶς εἶναι λέγειν˙ «τό μέν τῇ θείᾳ βουλήσει ἀντικείμενον ὁρᾶν, τό δέ μεῖζον καί ὑπερκείμενον τῆς βουλήσεως μή συνορᾶν, καί τό μέν βούλεσθαι περίτῶν μή ὄντων διδόναι τῷ Θεῷ, τό δέ ὑπερκείμενον τῆς βουλήσεως οὐκ ἐπιγινώσκειν τοῦ Θεοῦ». Εἰ μή γάρ ὑφειμένη ἤ ὑπερηχομένη ἤ ὑποβεβηκυῖα ἤ τι τοιοῦτον εὐσεβῶς ἡ ἐνέργεια λεχθείη, οὐκ (σελ. 242) ἀληθῶς ὁ μέγας καί ὅσοι κατ᾽ αὐτόν ὑπερκειμένην εἶναι τούτων διδάσκουσι τήν οὐσίαν τοῦ Θεοῦ˙ οὐ γάρ ἔστιν ὑπερκεῖσθαί του, μή ὄντος ὑποβεβηκότος. Τό γε μήν ἐκ τοῦ ἀκολούθου τοῦτο ὑφειμένον οὐχ ἡμεῖς εἰρήκαμεν, ἀλλ᾽ ὁ Βαρλαάμ ἐκεῖνος, δεικνύς, ὡς ἐνόμιζε, κτίσμα τήν θείαν καί θεοποιόν ἐνέργειαν καί χάριν ἐκ τοῦ ὑπερκεῖσθαι ταύτης τήν οὐσίαν εἰρηκέναι τούς ἁγίους. Τί οὖν ἡμᾶς ἐκείνῳ ἀντειπεῖν ἐχρῆν πρός τό ὑφειμένην φάναι τήν θείαν ἐνέργειαν καί χάριν; Καί ἀντείπομεν μέν οὖν˙ τό γάρ μή κτιστήν εἶναι δεῖξαι τήν θείαν καί θεοποιόν ἐνέργειαν καί χάριν ἀντίθεσις πρός τό ὑφειμένον ἦν˙ τό γάρ κτιστόν ἐστι τό ὄντως ὑφειμένον. Ἀλλ᾽ ἀντιλέγειν ἔδει καί πρός αὐτήν τήν λέξιν; Ἀλλά τοῦτ᾽ ἀπηγόρευται τοῖς ὄντως θεολόγοις, ὡς προαποδέδεικται, καί θεολογικῶς χρεών τά κατά θεολογίαν ἐπιέναι θεολογικοῖς κανόσι στοιχοῦντα κἀν ταῖς ἀντιλογίαις, ἀλλ᾽ οὐχ ὡς οἱ νῦν νεωτερισταί τῶν

ἱερῶν δογμάτων, ἐπεί καί νομίμως τό νόμιμον διώκειν καί τό δίκαιον δικαίως παράγγελμα παλαιόν τε καί κοινόν, εὖ ἔχον ἐς τά μάλιστα. Τό γάρ καλόν οὐ καλόν, ὅταν μή γένηται καλῶς.

Ἔπειτα πρός τήν λέξιν ἐκείνην ἡμῶν ἀντιλεγόντων, πῶς οὐκ ἄν εὐθύς ἐκεῖνος ἀνθυπήνεγκε τόν μέγαν Ἀθανάσιον γράφοντα, «τό Θεός εἶναι δεύτερόν ἐστι τῆς φύσεως, καί ἄνθρωπος γάρ», ὡς αὐτός φησι κατασκευάζων, «γίνεται Θεός, τῆς δέ αὐτῆς τῷ Θεῷ φύσεως οὐ γίνεται, πρός δέ καί τόν μέγαν Βασίλειον τάς προαιωνίους ἐνεργείας τοῦ Θεοῦ, δηλονότι τούς προορισμούς, κατωτέρας εἶναι λέγοντα τοῦ θείου Πνεύματος˙ καί τόν ἀδελφόν αὐτῷ καί ἀδελφά φρονοῦντα Γρηγόριον ὅς, «διαιρῶν», φησίν, «ὁ Εὐνόμιος τοῦ Πατρός καί τοῦ Υἱοῦ τήν φύσιν συνδιατέμνει τῇ φύσει τήν βούλησιν καί διά (σελ. 244) τούτου μάλιστα κατασκευάζει τό τῆς οὐσίας ἀλλότριον, τῷ ὑπεβεβηκότι πρός τό προὖχον συνδιασχίζων τόν τῆς θεότητος λόγον»; Ταῦτα δ᾽ ἐκεῖνος μέν ἄν προὔτεινεν ὡς πρός τήν λέξιν συνήγορα˙ κατ᾽ ἐκείνου δ᾽ ἄλλως καί τῶν κατ᾽ ἐκεῖνον χωρεῖ. Ὡς γάρ ἄμφω κατιδών ὁ Εὐνόμιος, τό ὑποβεβηκός καί τό προὖχον ἐν τῇ βουλήσει τε καί φύσει κἀν ταῖς ὑποστάσεσι πρός ἀλλήλας, εἰς κτιστά καί ἄκτιστα τό θεῖον κατέτεμεν, οὕτω Βαρλαάμ καί Ἀκίνδυνος ἐπί τῆς θείας οὐσίας καί ἐνεργείας τήν διαφοράν ταύτην κατανοήσαντες τά παραπλήσια πράττουσιν.

Ἀλλά τοῖς ἀπηριθμημένοις τῶν θεολόγων ἑτοίμως ἄν ὁ Βαρλαάμ προσεμαρτυρήσατο καί Γρηγόριον τόν τῆς θεολογίας ἐπώνυμον, βραχείᾳ τοῦ μεγάλου φωτός ὡμιληκέναι λαμπηδόνι τόν Παῦλον εἰρηκότα, ἡνίκα τήν πρός Δαμασκόν ἰών τῷ ἀπορρήτῳ φωτί περιελάμφθη, καί τούς ἀμυδράν αὐγήν, ἀκτῖνα, βολίδα θεότητος καί τά τοιαῦτα λέγοντας τήν ἐπ᾽ ὄρους ἐκφανεῖσαν τοῦ Κυρίου λαμπρότητα, καί προσέτι τόν χρυσορρήμονα Πατέρα, «τό μικρόν», γράφοντα, «καί ἡ ρανίς καί ἡ σταγών τῆς θείας χάριτος τήν οἰκουμένην ἐνέπλησε τῆς γνώσεως, καί δι᾽ αὐτῆς τῆς μικρᾶς ρανίδος καί τοῦ μέρους τῆς ἐνεργείας τά σημεῖα ἐγίνετο, τά ἁμαρτήματα ἐλύετο», καί προστιθέντα, «τό μέρος λέγω τῆς ἐνεργείας (οὐ γάρ δή ὁ παράκλητος μερίζεται), ὡς δή τοῦ βραχέος καί μικροῦ καί τῶν τοιούτων ἐπί τῆς ἀκτίστου ἐνεργείας καί οὕτως, ἀλλ᾽ οὐκ ἐπί τῆς οὐσίας λεγομένου». Πρός δέ τούτοις καί τοῖς τοιούτοις θεολόγοις πᾶσι καί τόν θεῖον ἄν Κύριλλον ὑπέδειξε λέγοντα σοφῶς, «ἔλαττον εἶναι τό Θεόν εἶναι τοῦ Πατέρα εἶναι τόν Πατέρα καί Θεόν˙ ᾗ μέν γάρ Θεός,

ταὐτό δ᾿ εἰπεῖν θεωρός τε καί ἔφορος ἁπάντων, τοῦτο δέ ἐστι τῆς θεατικῆς πάντως (σελ. 246) δυνάμεως καί ἐνεργείας, πρός τά δοῦλα τήν σχέσιν ἔχει˙ ᾗ δέ Πατήρ, πρός τόν ἴδιον καί ὁμότιμον Υἱόν». Πρός δέ τοῖς ἀξιολόγοις τούτοις μάρτυσι τῆς ἀληθείας, καί τό σμικρόν ἔδειξεν ἄν ὁ Βαρλαάμ ἐπί τοῦ Θεοῦ λεγόμενον, ἔτι τε τό ταπεινόν καί ὑποβεβηκός ἐπί τοῦ θείου Πνεύματος, καί τό δευτερεῦον ἐπί τοῦ Υἱοῦ.

Διά ταῦτα τοίνυν πρός τήν τοῦ ὑφειμένου λέξιν ἀντειπεῖν ἐκείνῳ, τοῖς νοῦ καί μετρίως εὐμοιροῦσιν ἥκιστα ἐχρῆν. Οὔκουν τοῦτόν γε τόν τρόπον οὐδ᾿ ἀντείπομεν ἡμεῖς, ἐπεί μηδ᾿ ὁ μέγας Βασίλειος ἀντεῖπε πρός τήν λέξιν Εὐνομίῳ εἰρηκότι τό θεῖον Πνεῦμα ὑποβεβηκός, ἀλλά καί αὐτός ἐπίτοῦ Πνεύματος ἐχρήσατο τῇ λέξει. Καλῶς γε μήν καί κατ᾿ εὐσεβῆ διάνοιαν αὐτός ταύτῃ κεχρημένος ἐκεῖνον ἐξήλεγξε, κακῶς καί δυσσεβῶς αὐτῇ χρησάμενον, ἅτε δι᾿ αὐτῆς εἰς κτίσμα τό Πνεῦμα κατασπῶντα. Τόν αὐτόν δή τρόπον καί τῇ παρά τοῦ Βαρλαάμ ἐκ τοῦ ἀκολούθου τῇ θεολογίᾳ κακῶς μέντοι καί κατά δυσσεβῆ διάνοιαν προβεβλημένῃ λέξει καλῶς ἡμεῖς χρησάμενοι κατά μίμησιν τῶν ἐνθέων θεολόγων καί κατ᾿ εὐσεβῆ διάνοιαν, ἐξηλέγξαμεν αὐτόν δυσσεβῶς ταύτῃ κεχρημένον, ἅτε διά ταύτης τήν τοῦ Θεοῦ θείαν ἐνέργειαν καί χάριν εἰς κτίσμα κατασπᾶν ἐπιχειροῦντα.

Νῦν οὖν οἱ τήν μέν ἐν πράγματι πρός ἐκεῖνον ἡμετέραν τηλικαύτην διαφοράν ἤ ἀγνοήσαντες ἤ ἀλογήσαντες, πρός δέ τήν λέξιν τόν πόλεμον ἀναρριπίσαντες, μετά τοῦ ἀμαθίας σφᾶς αὐτούς ἔμπλεως δεικνύναι καί σκαιότητος, ἀλογίστου τε φόβου καί ἀνευλαβοῦς ὄντως εὐλαβείας καί δειλίας, ἥτις ἔστιν οἷς ἔνδυμα τῆς ἀσεβείας ἐστί, καθάπερ οἱ θεόσοφοι πατέρες ἔφθησαν ἀποφηνάμενοι διά τῶν τήν ἀρχήν προτεθειμένων ῥήσεων, μετά τούτου δή καί τῷ Βαρλαάμ διδόασι κτιστήν (σελ. 248) ἀποδεικνύναι τήν θεατικήν τοῦ Θεοῦ δύναμιν καί τήν θεοποιόν χάριν καί ἐνέργειαν, αὐτήν τήν λαμπρότητα τῆς θείας φύσεως, καθ᾿ ἥν καί τόν Παῦλον ἐπί τῆς ὁδοῦ καί πρό αὐτοῦ τούς συναναβάντας ἐπ᾿ ὄρους περιήστραψεν ὁ Κύριος, καί ἁπλῶς πᾶσαν θείαν δύναμίν τε καί ἐνέργειαν. Ἐπεί γάρ τό ὑφειμένον ἐκ τῶν τοῖς ἁγίος εἰρημένων συνήγαγεν ἐκεῖνος, ἅτε τῆς οὕτω λεγομένης θεότητος ἐπέκεινα τόν Θεόν εἰπόντος εἶναι τοῦ τῶν θεολόγων ἄκρου, καί τῆς προνοίας ἀλλαχοῦ καί τῆς ἁγιότητος καί τῶν τοιούτων ὑπεριδρῦσθαί τε καί ὑπεραίρειν, τοῦ τε μεγάλου Βασιλείου καί τοῦ Νύσσης ἐνθέου Γρηγορίου ὑπερέχειν τῆς θεότητος κατά τό ἄφραστόν τε καί ἀνώνυμον τήν θείαν φύσιν εἰρηκότων, ὡς

τήν θεατικήν δύναμιν καί τήν προνοητικήν ἐξουσίαν σημαινούσης τῆς ἐπωνυμίας, τοῦ τε θείου Μαξίμου καί πρό αὐτοῦ πάλιν Διονυσίου τοῦ μεγάλου, καί πασῶν τῶν θείων ἐνεργειῶν καί μετοχῶν ὑπερκεῖσθαι τόν Θεόν εἰπόντων, ὡς ἐνεργουμένων, καθάπερ καί ὁ λόγος λέγεται παρά τοῦ λέγοντος, ταὐτό δ᾽ εἰπεῖν ἐνεργεῖται φυσικῶς˙ ἐπεί τοίνυν ὁ Βαρλαάμ ἐκ τῶν οὕτω τοῖς ἁγίοις εἰρημένων συνήγαγεν ἐκεῖνο καί προσεβεβαίωσεν ἐκ τοῦ κατωτέραν οἷς εἰρῆσθαι καί δευτέραν τῆς φύσεως τήν θείαν ἐνέργειαν, οὗτοι δέ τό ὑφειμένον ὁπωσδήποτε λεγόμενον κτιστόν εἶναι ἀποφαίνονται, πῶς οὐκ ἐκείνῳ συνῳδά κτιστήν εἶναι δογματίζουσι καί ὄντως ὑφειμένην πᾶσαν τε θείαν τοῦ Θεοῦ ἐνέργειαν καί χάριν καί τήν οὕτω λεγομένην θεότητα; Εἰ δέ καί πρός ἐκεῖνον ἐρίσαι φιλοτιμήσονται, λέγοντες μή γεγράφθαι τό ἐκ τοῦ ἀκολούθου τοῦτο συναγόμενον, ἐκεῖνος πρός τοῖς ἄλλοις καί τό τοῦ θεολόγου Γρηγορίου πρός αὐτούς ἐρεῖ˙ «πόθεν τό ἀγένητον λαβόντες ἔχομεν καί τό (σελ. 250) ἄναρχον καί τό ἀθάνατον; Ἤ δῆλον ὅτι ἐκ τῶν ταῦτα συναγόντων, κἄν μή ταῦτα λέγηται; Οὐ γάρ τοῦ λέγοντος μᾶλλον οἱ λόγοι ἤ τοῦ λέγειν συναναγκάζοντος. Ἐκ τοῦ λέγειν ἐκεῖνα πάντως ἐξ ὧν ἐκεῖνοι συνάγονται. Οὕτως οὖν οὐδ᾽, εἴ τι ἄλλο τῶν μή λεγομένων ἤ μή σαφῶς ἐκ τῆς Γραφῆς νοούμενον εὕρισκον, ἔφυγον ἄν τήν ἐκφώνησιν, σέ φοβηθείς τόν συκοφάντην τῶν ὀνομάτων».

Εἰ δ᾽ ἄρα ὑπερβαίνειν φαῖεν τήν γνῶσιν αὐτῶν τό προκείμενον, ἀκουέτωσαν τοῦ τῆς ἀθανασίας ἐπωνύμου λέγοντος˙ «τούς θείους ἱεροκήρυκας οὐ πρός τήν ἀσθένειαν τῆς ἀκροάσεως δεῖ ἀποβλέπειν, ἀλλά πρός τήν ἀπαιτουμένην δύναμιν καί ὑπόθεσιν καί αἰτίαν, ἥν ἐπιθεωροῦντας, προσῆκε καταστοχάζεσθαι τοῦ κηρύγματος», καί τοῦ προτρεπτικῶς ἐγκελευομένου καί λέγοντος τοῖς ἀναβάσεις ἐν τῇ καρδίᾳ διαθεμένοις καί κτησαμένοις ἐντεῦθεν τό φῶς τῆς γνώσεως, «Λαλῶμεν Θεοῦ σοφίαν τήν ἀποκεκρυμμένην ἐν μυστηρίῳ καί τοῖς ἄλλοις ἐκλάμπωμεν». Οὐ γάρ, ἐπειδή μή πάντων ἡ γνῶσις, ὡς ὁ ἀπόστολος ἔφη, τῶν ἱερογράφων δέλτων καί τῆς διανοίας τῶν συνιέναι δυναμένων τά κρείττω τῆς ἐφικτῆς ἡμῖν θεογνωσίας ἀπαλείψωμεν, ὅτι τήν τῶν πολλῶν ταὖθ᾽ ὑπερβαίνει γνῶσιν, καί συνιέντες ἔπειτα λήθης βυθοῖς παραπέμψομεν ἤ σιωπῆς χώματι κατακρύψομεν, ὡς ὁ κατορύξας ἐκεῖνος τό πεπιστευμένον αὐτῷ τάλαντον παρά τοῦ δεσπότου τῶν ὅλων πονηρός καί κατάκριτος δοῦλος, καί ταὖθ᾽ ἡνίκα καιρός ἐργασίας ἐστί καί πρός ἀντιθέτους ἡμῖν ὁ λόγος, οὕς τά μείζω καί ὑψηλότερα τῆς Γραφῆς ἐπηρεάζειν

εἰκός, ὡς ἐντεῦθεν κλέπτειν τούς πολλούς ἔχειν, ἅτε χαμαιζήλους τόν νοῦν.

(σελ. 252) Οὔκουν καλῶς νοούμενον κακόν ἄν εἴη τό ὑφειμένον˙ ἐκ γάρ τῶν λόγων τῶν θεολόγων, ὡς καί οἱ ἀντίθετοι μαρτυροῦσι, συνάγεται. Ἀλλά τοῦτο κακῶς ὁ Βαρλαάμ, ὡς ἔφημεν, ἐξεδέξατο, κτίσμα νομίσας καί κατασκευάσας ἐκ τούτου τήν θεοποιόν δωρεάν καί χάριν τοῦ Πνεύματος, ἥτις ὡς ἄκτιστος οὖσα καί θεότητα ἔχει τήν προσηγορίαν. Ἡμεῖς δέ τήν λέξιν καλῶς ἐξειλήφαμεν, κἀκεῖνον περιφανῶς δυσσεβήσαντα δι᾽ αὐτῆς ἐξηλέγξαμεν. Οἱ τοίνυν πρός ἡμᾶς διά τήν λέξιν, καίτοι καλῶς ἐξειλημμένην καί διηυκρινημένην, μαχόμενοι φανεροί καθίστανται δυσχερίνοντες ὅτι δυσσεβεῖν τόν Βαρλαάμ ἀπηλέγξαμεν, εἰς κτίσμα κατασπᾶν ἐγχειροῦντα τήν θείαν δωρεάν καί χάριν τοῦ Πνεύματος, ὥσπερ ἄν, εἴ τις κατά τόν ἴσον λόγον καί πᾶν τό καθ᾽ οἱανδήποτε τρόπον ὑποβεβηκός κτιστόν εἶναι ἀποφαίνεται καί πρός τόν ἄκτιστόν τι καί ὑποβεβηκός εἰπόντα δυσχεραίνει, τοῦ μεγάλου Βασιλείου δῆλός ἐστιν ἅπτεσθαι τολμῶν, ὡς τήν Εὐνομίου κακοδοξίαν οὕτως ἀνελόντος. Εἰ δέ τό ὑποβεβηκός τε καί ὑφειμένον κατ᾽ οὐδέν σχεδόν ἀλλοῖα, Βαρλααμῖται καί Εὐνομιανοί πάντες ὄντες ἀναφαίνονται σαφῶς οἱ τό ὑφειμένον ὁπηδήποτε κτιστόν ἀποφαινόμενοι καί ἀπαγορεύοντες ἐκ τῶν ταπεινοτέρων ὀνομάτων, θεοπρεπῶς μέντοι νοουμένων, τόν Θεόν ὑμνεῖν. Καίτοι πάλιν ὁ μέγας ἱεροφάντης Διονύσιος, «τούς μυστικούς θεολόγους», φησίν, «εὑρήσομεν οὐ μόνον ἐκ τῶν φαινομένων τιμίων ὑμνοῦντας τάς θεαρχικάς ἀκφαντορίας, ἀλλά καί ἀπό τῶν μέσων, οὐδέ ἀπό τῶν μέσων μόνον, ἀλλά καί ἀπό τῶν ἐσχάτων»˙ ἆρ᾽ οὖν οὐχί τά ἔσχατα καί ὑφειμένα ἔν γε πράγμασί τε καί ὀνόμασι, μᾶλλον δέ καί αὐτά τά μέσα, μή μόνον ἐν τοῖς καθ᾽ ἡμᾶς, ἀλλά καί ἐν αὐτοῖς τοῖς θείοις; σ

(σελ. 254) Οὕτω γάρ δή καί αὐτός ὁ μέγας αὖθις ἐν τοῖς περί τἀγαθοῦ φησιν, ὡς ἡ διά πάντων φοιτῶσα παντελής ἀγαθότης ἐκτείνεται ἄχρι τῶν ἐσχάτων, τοῖς μέν ὁλικῶς παροῦσα, τοῖς δέ ὑφειμένως, ἄλλοις δέ ἐσχάτως, ἀλλά καί κατά τήν εἰς τό θεοειδές καί τήν ἐκ Θεοῦ φωτοδοσίαν ὑφειμένην καί προὔχουσαν κοινωνίαν τῶν κατηξιωμένων, ὡς ὁ αὐτός πάλιν ἀλλαχοῦ φησι. Τό τοίνυν ὑφειμένον τοῦ ἐσχάτου ὑπερκείμενόν ἐστιν. Ἀλλ᾽ ἔστι κἀν τοῖς ἐσχάτοις καί αὐτοῖς τοῖς καθ᾽ ἡμῶν πράγμασί τε καί ὀνόμασιν εὑρεῖν ὑψηλάς καί θεοπρεπεῖς ἐννοίας τε καί θεωρίας. Εἰ δέ τις ἐκ τῶν ταπεινοτέρων τῆς

θεολογίας τόν Θεόν οἴεται σμικρύνεσθαι καί τήν τῶν οὐρανῶν βασιλείαν ἀτιμάζεσθαι νομίσει, ὅτι μικρᾷ ζύμῃ καί κόκκῳ σινάπεως ἀπεικάζεται, καί ἀγροῖς δή τισι καί ἀμπελῶσι καί ἑστιατορίαις, ἤ καί τῆς Ἰησοῦ μεγαλειότητος τόν ἀντικείμενον ὑπεραίρεσθαι, κατά τόν θεολόγον Γρηγόριον, ὅτι ὁ μέν ὄρος μέγα καλεῖται καί Λευιάθαν καί κοσμοκράτωρ καί βασιλεύς τῶν ἐν τοῖς ὕδασιν, ὁ δέ ἀμνός καί σταγών καί μαργαρίτης καί τά τοιαῦτα προσαγορεύεται, εἰ δέ βούλει κατά μυστικωτέραν ἔτι θεορρημοσύνην καί σκώληξ, ἀλλ᾽ οὐκ ἄνθρωπος, ἔστιν ἄρα κἀν τοῖς ἐσχάτοις καί ὑφειμένοις πράγμασί τε καί ὀνόμασι θεοπρεπεῖς καί ὑψηλάς ἐννοίας καί θεωρίας, ὧν μή ἐφικνούμενος ὁ παρ᾽ ἑαυτῷ σοφός οὗτος, ἀλλ᾽ ἀδιάβατον ἔχων ἐπί τά κρείττω τό τῆς ψυχῆς λογιζόμενον, «ἅ μή ἑώρακεν ἐμβατεύων εἰκῇ φυσιούμενος ὑπό τοῦ νοός τῆς σαρκός αὐτοῦ», πολλαῖς μέν καί δειναῖς βλασφημίαις περιπίπτει προϊών, πολλαῖς δέ κατεφθαρμέναις ἄλλως διανοίαις καί ἀνακολούθως ἐχούσαις πρός ἀλλήλας. Ὁ δέ μή κακόν μέν, ἀκούσιον δ᾽αὐτῷ (σελ. 256) παντάπασι, καί ὡς ἀκούων αὐτῷ τοῖς ἐντευξομένοις τῶν εἰδότων ὑπέρ οὗ ὁ λόγος οὐκ ἄκομψον, εἰ καί καταγέλαστον, ὅτι τό πλεῖστον αὐτῷ τῶν γεγραμμένων τήν Ἀκινδύνου δόξαν καθαιρεῖ, ἄκοντος τοῦ γράφοντος καί ἀγνοοῦντος.

## *ΠΡΟΣ*

## *ΤΟΝ ΕΛΛΟΓΙΜΩΤΑΤΟΝ ΚΑΙ ΘΕΟΦΙΛΕΣΤΑΤΟΝ*

## *ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΚΥΖΙΚΟΥ ΑΘΑΝΑΣΙΟΝ (Σελ. 258)*

## *ΕΡΩΤΗΣΑΝΤΑ ΠΕΡΙ ΤΩΝ ΑΚΙΝΔΥΝΟΥ ΣΥΓΓΡΑΜΜΑΤΩΝ*

## *ΕΙ ΤΟΙΣ ΤΟΥ ΒΑΡΛΑΑΜ ΕΚΕΙΝΟΥ ΣΥΜΒΑΙΝΕΙ*

## *ΠΕΡΙ ΤΟΥ ΘΕΙΟΥ ΦΩΤΟΣ ΚΑΙ ΤΗΣ ΘΕΙΑΣ ΧΑΡΙΤΟΣ*

Πυνθάνῃ περί τῶν Ἀκινδύνου συγγραμμάτων κατά τοῦ φωτός τῆς χάριτος, εἰ συμβαίνει τοῖς τοῦ Βαρλαάμ. Εὖ ἴσθι τοίνυν ὅτι καί συμβαίνει τούτοις καί ὑπερβαίνει ταῦτα τῇ δυσσεβείᾳ καί πρός ἐκεῖνα καί ἑαυτά τελέως ἐστίν ἀσύμβατα. Τοῦτο μέν οὖν καί ἰδιαίτατον

αὐτῶν ἐστιν, ὅτι ἀστατεῖ ἀεί. Καί νῦν μέν καθάπερ ἐν κύκλῳ διά τῶν ἀντικειμένων ἰόντα πολλάκις περιέρχεται εἰς τό αὐτό, οὐ κατά ἁπλῆν τινα περιφοράν, ἀλλά κατά διττήν καί ἀντίθετον˙ νῦν δέ καί τῆς περιφορᾶς ταύτης ἐκτρεπόμενα κατά τούς πλανήτας, ἀπ᾽ ἄλλου εἰς ἕτερον βαδίζει, μᾶλλον δέ παραπλησίως τοῖς ἐν ἔργοις, ὥς φασι, ποικίλμασι Δαιδάλου, καί μᾶλλον ἤ κατά Στησίχορον ἐφ᾽ ἑκάστου τῶν ἐν αὐτοῖς προβεβλημένων πυκνάς τινας ᾄδει παλινῳδίας, τοῦτο πάντῃ ἀνόμοιον ἔχοντα τοῖς εἰρημένοις, ὅτι ἀνίδρυτά ἐστι τελέως καί οὐδαμῇ ἐστήρικται, βέβαιόν τι παρεχόμενα μηδ᾽ ὁπωσοῦν˙ ἀλλ᾽ οὐδ᾽ ἐπί κόσμῳ καί ὠφελείᾳ δή τινι καί μετανοίᾳ λυσιτελεῖ περιστρέφεταί τε καί ποικίλλεται, (σελ. 260) ἀλλ᾽ ἐπ᾽ ἀκοσμίᾳ καί λύμῃ περιττῇ τῆς ὑποκειμένης τοῖς τοιούτοις δόγμασι ψυχῆς.

Ἵνα δέ μή καταψεύδεσθαι τοῦ ἀνθρώπου τά τοιαῦτα δόξωμεν, αὐτά σοι πέμψομεν συνειλοχότες τά ἐκείνου ρήματα, δι᾽ ὧν εἰς τάς ἐναντίας δόξας πολυστρόφως στρέφεται, συγκρούσαντες μέντοι καί οἷον διακωδωνίσαντες αὐτά καί τό σαθρόν οὕτω καί ἀπηχές πρός ἄλληλα διαδείξαντες αὐτῶν.

Διατείνεται τοίνυν οὗτος, μακράν τινα πλάττων ὡς ἐπί συνόδου τήν ὁμιλίαν, ἐντόνως ἀντιστῆναι τῷ Βαρλαάμ, οὐχ ὡς κατ᾽ ἐξουσίαν ἁπλῶς συλλογιζομένῳ μόνον καί καινοφωνοῦντι μετρίως περί τοῦ θείου φωτός, ἀλλά καί ὡς κακουργοῦντι καί κακῶς φρονοῦντι καί βλασφήμως καί κακοδόξως. Ἐπιμαρτυρεῖ δέ καί τῷ Συνοδικῷ τόμῳ πᾶσαν ἀσφάλειαν καί ἀκρίβειαν, ὡς ἐπί πολλάς ἡμέρας ἐξεταζομένῳ καί ἀνακαθαιρομένῳ. Φησί δέ καί ὁ τόμος οὗτος ἀνιέρως καί ἐπισφαλῶς ἐπιβαλεῖν τοῖς περί τοῦ θείου φωτός τόν Βαρλαάμ καί βλασφήμως συγγράψασθαι καί κακοδόξως. Τί δή περί τούτου τοῦ φωτός εἰπών, βλασφήμως καί κακοδόξως ἐκεῖνος εἶπε, κακουργήσας καί κακῶς φρονήσας καί ἐπισφαλῶς ἐπιβαλών; Οὐδέν ἄλλο πάντως ἤ κτιστόν εἶναι ἀποφηνάμενος, ἅτε ὁρατόν ὀφθαλμοῖς γεγενημένον σώματος καί προσπεσόν διά τοῦ ἀέρος ὄψεσιν, ὡς ἐκεῖνος ᾤετο, καί ὑποπεσόν αἰσθητικῇ δυνάμει, καθάπερ ἐκείνου τε τά συγγράμματα καί ὁ Συνοδικός αὐτός πάλιν τόμος παρίστησι σαφῶς.

Ἐπεί δ᾽ ἐναντίως ἔχει τό ἄκτιστον πρός τό κτιστόν, πλεῖστον ὅσον ὅτι μάλιστα διεστηκός καί μεταξύ τῶν ἐναντίον τούτων, οὐδ᾽ ἄν οἱ τούς τραγελάφους πλάττοντες ἀναπλάσαιεν, περιφανῶς ἐστι καταφανές, ὡς ἡμεῖς (σελ. 262) ὑπέρ τοῦ θείου φωτός ἀντικείμενοι τῷ Βαρλαάμ ἄκτιστον αὐτό δοξάζομεν ἀσφαλῶς καί εὐσεβῶς, ὅ καί τά

ἡμῶν αὐτῶν συγγράμματα παρίστησι καί ὁ Συνοδικός ἐπικυροῖ τόμος. Σύν ἡμῖν οὖν ἀντιστῆναι τῷ Βαρλαάμ περί τοῦ φωτός ὁ Ἀκίνδυνος οὐμενοῦν ἠρέμα διατεινάμενος καί πολλά μεγαλαυχήσας, ὡς αὐτός παντός μᾶλλον τρόπαια στήσας, ἀπ᾽ ἀρχῆς ἄχρι τέλους κατ᾽ἐκείνου βλασφημοῦντος, εἶτ᾽ οὐκ οἶδ᾽ ὅπως κατά τῶν τροπαίων τούτων ὡς ἡττημάτων μεταξύ λέγων μανικῶς καταφέρεται. Κατηγορεῖ γάρ ἡμῶν αὖθις φανερῶς, ὅ καί Βαρλαάμ ἐκεῖνος, ὅτι ἄκτιστον ἔφημεν τήν ὁρατήν ὀφθαλμοῖς γεγενημένην ὁπωσδήποτε τήν ἄκτιστον ἔφημεν δόξαν τοῦ Θεοῦ˙ καί γεγενῆσθαι ὁρατήν ὁπωσδήποτε τήν ἄκτιστον ἔφημεν δόξαν τοῦ Θεοῦ. Καί τοῦτο οὐχ ἅπαξ ἤ δίς εἰπών ἀπήλλαξεν, ἀλλά κατεποποίκιλται πᾶς ὁ λόγος τοῖς δυσί τούτοις, ὅτι τε διανέστη καί ἀντέστη καί νενίκηκε τόν Βαρλαάμ εἰς τό φῶς ἐκεῖνο βλασφημοῦντα, καί ταῦτα μηδέ τῇ συνόδῳ τηνικαῦτα παρών, ἀλλ᾽ ἀποδράς ἐπίτηδες, καί ὅτι μηδέν ὁρατόν ὁπωσδήποτε γεγονός, κἄν ἀπορρήτως, ἄκτιστόν ἐστι, τἀναντιώτατα διαρρήδην ἑαυτῷ προσμαρτυρῶν, καί τοῦτο πάντων ἔργῳ δῆλος ὤν κατηγορῶν ἡμῶν, ὅτι μή τάς ἐναντιωτάτας δόξας περί τοῦ αὐτοῦ, καί ταῦτα τηλικαῦτα τηλικούτου πράγματος, κεκτήμεθα, καί ὅτι μή πρός ὅν ἀντειπεῖν βλασφημοῦντα προειλόμεθα, συμφωνεῖν αὖθις ἀνεχόμεθα κατ᾽ αὐτήν τήν ἐπ᾽ ἐκκλησίας ὑφ᾽ ἡμῶν ἐξεληλεγμένην βλασφημίαν.

Οὐκοῦν τό πολλάκις λέγειν τόν Ἀκίνδυνον καί πολλαχῶς κτιστόν ἅπαν τό γεγονός ὁρατόν ὁπωσδήποτε, κἄν ἀπορρήτως, ψεύστην ἀπελέγχει καί δυσσεβῆ ψεύστην (σελ. 264) μέν ὅτι φησίν ἀντιστῆναι πρώτῳ, ᾧ καί καθ᾽ ὅ φαίνεται μέχρι τήμερον συνιστάμενος καί συμφωνῶν, δυσσεβῆ δ᾽ ὅτι κατ᾽ ἐκεῖνον καί αὐτός εἰς τό φῶς ἐκεῖνο βλασφημεῖ, μηδέ μετά τήν συνοδικήν ἐκείνου καταδίκην καί τήν αὐτοῦ μετ᾽ ἐκεῖνον καί τάς μετά ταύτας τῶν οὕτω φρονούντων ἐγγράφους ἀποκηρύξεις τῶν κακῶς ἐγνωσμένων μετάμελον λαβών. Δῆλος δ᾽ ἐστί κτιστόν εἶναι τό φῶς τοῦτο κατασκευάζων καί φρονῶν, οὐ μόνον ἀπό τοῦ γράφειν, καί ταῦτ᾽ οὐχ ἅπαξ, «ὡς οὐδέν ὅπερ αὐτό τοῦτ᾽ εἰς ὅρασιν ἔρχεται σωματικῶν ὀφθαλμῶν ὁπωσδήποτε ἄκτιστόν ἐστι, κἄν Μωϋσῆς κἄν Παῦλος ὁ εἰς τρίτον οὐρανόν ἀνελθών κἄν ἄγγελος ᾖ ὁ τῆς θείας θεωρίας ἁπτόμενος», ἀλλά καί ἀπό τοῦ πολλάκις καί διά πολλῶν ἐπιχειρεῖν δεικνύειν καί πολλαχοῦ τῶν λόγων ἀποφαίνεσθαι, μόνην ἄκτιστον τήν θείαν φύσιν, τό δέ φῶς ἐκεῖνο μηδέ φυσικόν σύμβολον ἀνέχεσθαι καλεῖν, ἀλλ᾽ ἀλλότριον καί ἀπεσχοινισμένον ἐκείνης παντελῶς, ὡς ὑπ᾽ αὐτῆς κτιζόμενον. Διό καί

κατηγορεῖ πάλιν καί αὐτός κατά τόν Βαρλαάμ, ὡς δύο θεότητας λεγόντων τῶν ἄκτιστον αὐτό φρονούντων, γράφων˙ «θεότητα ἄκτιστον παρά τήν θείαν φύσιν οὐ δέχεται τῆς εὐσεβείας ὁ λόγος». Καί προάγει κατ᾽ αὐτῶν τό, «μιᾶς θεότητος, ᾧ οὗτοι, τήν Τριάδα ὁμολογήσατε», καί πάνθ᾽ ὅσα τούτῳ παραπλήσια παμπληθῆ πολλαχόθεν ἐρανιζόμενος, οὐδέ τοῦτο συνορῶν, ὡς τά τοιαῦτα κατά τῶν εἰς κτιστά καί ἄκτιστα διαιρούντων τήν θεότητα τοῖς ἁγίοις εἴρηται πατράσιν.

Οὐκοῦν κατ᾽ αὐτοῦ πρόκειται, τοῦ ταῦτα συνειλοχότος καί προενεγκόντος˙ αὐτός γάρ ἐστιν ὁ νῦν αὖθις κατατέμνων εἰς κτιστά καί ἄκτιστα τόν ἕνα Θεόν καί δύο ποιούμενος ἐκφύλους θεότητας τήν μίαν, τήν μέν (σελ. 266) θείαν φύσιν ἄκτιστον θεότητα καλῶν, τό δέ θεῖον φῶς, αὐτήν τήν λαμπρότητα τῆς θείας φύσεως, καθ᾽ ἥν ἀπορρήτως κοινωνεῖ τοῖς ἀξίοις ὁ Θεός, ἀποφαινόμενος θεότητα κτιστήν, καί πρός τούτῳ τάς δυνάμεις τοῦ Θεοῦ, τήν θελητικήν καί ἐνεργητικήν καί ἁπλῶς πᾶν τό διαφέρον ὁπωσοῦν τῆς θείας φύσεως, οὐδέ γοῦν τόν θεῖον Μάξιμον λέγοντα δυσωπηθείς, «ὥσπερ ἡ θεία φύσις ἡ τρισυπόστατος ἄναρχος, ἄκτιστος, ἀπερινόητος, οὕτω καί τό ταύτης θέλημα», οὐκοῦν εἶχε τοῦτο καί ὁ κύριος. Ἀκίνδυνος οὖν ἐστιν ὁ τήν διθεΐαν νοήσας ἀληθῶς. Ἡμῖν δ᾽ ἄκτιστον εἶναι καί τήν θείαν φύσιν τήν τῆς θείας φύσεως λαμπρότητα μεμυημένοις παρά τῶν πατέρων, πρός δέ, καί πᾶσαν δύναμίν τε καί ἐνέργειαν θείαν, οὐδέν τό προσιστάμενον μίαν προσκυνεῖν θεότητα. Κἄν γάρ τήν δύναμιν εἴπῃ τις θεότητα, κατά τόν Νύσσης θεῖον Γρηγόριον ὅς φησιν, «ἡ θεία φύσις ἄφραστός τε καί ἀνεκφώνητος μένει, ὑπερβαίνουσα πᾶσαν τήν διά φωνῆς σημασίαν, οὐκοῦν οὐχί φύσιν, ἀλλά τήν θεατικήν δύναμιν ἡ τῆς θεότητος προσηγορία παρίστησι», μία τῶν τριῶν προσώπων ἡ θεότης, μία γάρ αὐτῶν ἡ δύναμις, κἄν τήν λαμπρότητα τῆς θείας φύσεως, ὡς καί ὁ πολύς ἐν θεολογίᾳ φησί Γρηγόριος, «φῶς ἡ παραδειχθεῖσα θεότης ἐπί τοῦ ὄρους τοῖς μαθηταῖς», μία τῶν τριῶν προσώπων ἡ θεότης, «τούτων γάρ», φησί, «πλοῦτος ἡ συμφυΐα καί τό ἕν ἔξαλμα τῆς λαμπρότητος»˙ κἄν τήν φύσιν αὐτήν, μία τῶν τριῶν προσώπων ἡ θεότης, ὡς καί ὁ μέγας φησί Βασίλειος, ὅτι «κἄν φύσιν σημαίνῃ τό τῆς θεότητος ὄνομα, κυρίως καί τῷ ἁγίῳ Πνεύματι τήν προσηγορίαν ἐφαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συντίθεται˙ ἀλλ᾽ ἐξουσίας τινός εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν (σελ. 268) ἡ προσηγορία φέρει»˙καί γάρ ἕνα Θεόν ἐν τρισίν ὑποστάσεσι,

κατά τόν μέγαν Ἀθανάσιον φάναι, θεολογοῦμεν, μίαν ἔχοντα τήν οὐσίαν καί τήν δύναμιν καί τήν ἐνέργειαν καί ὅσα ἄλλα περί τήν οὐσίαν θεωρεῖται θεολογούμενα καί ὑμνούμενα. Πάντα δ᾽ ἑξῆς οὗτος ἀπαριθμησάμενος ὅσα περί τήν οὐσίαν κατά τε θέσιν καί ἀφαίρεσιν θεολογεῖται, εἶτ᾽ ἐπάγει περί τούτων λέγων˙ «οὐχ ἕκαστον οὐσία λέγεται, ἀλλά περί οὐσίαν, ὡς ἐκ δύο καί πλειόνων ἐπί ἕν ἔχοντα τήν ἀναφοράν, κατά τό ἐπιμεριζόμενον, ὡς ἐμάθομεν, ἅ καί ἄθροισμα καί πλήρωμα λέγεται θεότητος κατά τήν Γραφήν, καθ᾽ ἑκάστην τῶν ἁγίων τριῶν ὑποστάσεων ἐπίσης θεωρούμενα καί θεολογούμενα˙ πάντα γάρ ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστι καί δεδόξασμαι ἐν αὐτοῖς».

Οὕτως ἡμεῖς μίαν προσκυνεῖν θεότητα παρελάβομεν, ἀλλ᾽ οὐχ ὡς ἀδιαφόρου παντάπασιν οὔσης τῆς θείας φύσεως καί τῶν περί αὐτήν θεωρουμένων καί θεολογουμένων, ὡς ὁ Ἀκίνδυνός φησιν˙ οὐδ᾽ ἕκαστον τῶν περί τήν οὐσίαν τούτων οὐσίαν ὡς αὐτός φαμεν, μηδεμίαν διάκρισιν εἰδότες θείας οὐσίας καί ἐξουσίας, λαμπρότητός τε καί θελήσεως καί δυνάμεως καί τῶν παραπλησίων, οὐδέ ταῦτα πάντα ἤ συγχέοντες πρός ἄλληλα κακῶς ἤ τῆς μιᾶς καί ἀκτίστου θεότητος ὑπεροριζόντες καί τοῖς κτίσμασι συντάττοντες, εἶτα μίαν οὕτω λέγομεν θεότητα κατά τήν Βαρλαάμ καί Ἀκινδύνου δόξαν, ὡς εἶναι τόν Θεόν οὐσίαν μόνον, φυσικῆς δυνάμεως καί θελήσεως καί ἐνεργείας ἔρημον. Οὐ μήν, ἀλλ᾽ εἰ καί διενήνοχεν ἡ ἐξουσία τῆς οὐσίας, ὡς καί ὁ μέγας φησί Βασίλειος, ἥ τε θέλησις καί ἡ τῆς θείας φύσεως λαμπρότης, καί ἁπλῶς ἡ δύναμις τῆς θείας φύσεως, ἀλλ᾽ οὐκ ἔστι χωριστή τῆς θείας φύσεως ἡ τῆς φύσεως (σελ. 270) λαμπρότης καί δύναμις˙ οὐδ᾽ ἔνι τῆς ἑτέρας τήν ἑτέραν διαστήσαντα καταλαβεῖν τήν λειπομένην τῆς ἑτέρας ἔρημον. Ἀλλ᾽ ὁ δύναμιν ἤ λαμπρότητα βουλόμενος ἐπί νοῦν, εὐθύς καί τήν φύσιν ἧς ἑκάτερον τούτων, ἀχωρίστως συγματενόησε, καί πολλῷ μᾶλλον ἐπί τῶν θείων, ἐφ᾽ ὧν κατά τούς θεοσόφους πατέρας αἱ ἑνώσεις τῶν διακρίσεων ἐπικρατοῦσι καί προκατάρχουσι, μήτ᾽ ἀναιροῦσαι ταύτας μήτ᾽ ἐμποδιζόμενοι παρά τούτων μηδέν.

Οὕτως ἡμῖν εἷς Θεός ἐν μιᾷ θεότητι˙ καί γάρ «ἄλλο μέν θέλων καί θέλησις κἀπί Θεοῦ», κατά τόν μέγαν θεολόγον Γρηγόριον, ταὐτό δ᾽ εἰπεῖν «ἄλλο ἐνεργῶν καί ἄλλο ἐνέργεια», κατά τόν ἐκ Δαμασκοῦ θεορρήμονα˙ τό μέν γάρ ὁ κινούμενος, τά δ᾽ οἷον ἡ κίνησις˙ ἀλλ᾽ οὐ διά τοῦτο χωριστά. Πῶς γάρ ἄν τις διαστήσειε τοῦ κινουμένου τήν κίνησιν; Ἀλλ᾽ οὐδέ τό μέν κτιστόν τό δέ ἄκτιστον˙ πῶς γάρ τά μή

χωριστά, μηδέ νῷ γοῦν ληφθῆναι χωριστῶς δυνάμενα; Τί οὖν, ὅτι ἄκτιστα ἀμφότερα, οὐχ εἷς Θεός; Ἤ σύνθετος ἐκ τούτων εἴπερ εἷς; Τίς ποτ᾽ ἄρα μερισμός ἤ σύνθεσις κινουμένου τε καί κινήσεως; Καί ταῦτα κινήσεως θεοπρεποῦς, καθ᾽ ἥν οὐδεμία γίνεται πρόσληψίς τε καί ἀφαίρεσις; Ἤ τό ταὐτ᾽ εἰδέναι καί τοῖς ἀντιλέγουσι τοῖς ταῦτα λέγουσι πατράσιν ἀντικεῖσθαι, συντιθέναι ἤ μερίζειν ἐστίν; Ὄντως οὐ μόνον ἀμυήτου τά θεῖα τοιαῦτα συνάγειν ἐκ τοιούτων, ἀλλ᾽ ούδέ τήν καθ᾽ ἡμᾶς μετρίως γοῦν ἐπεσκεμμένου φύσιν, ὅς καί τῷ λέγειν ἄκτιστον ἐκεῖνο τό φῶς, ἀλλ᾽ οὐ καθ᾽ ἑαυτό, καί τοῖς τῶν ἀποστόλων ὀφθαλμοῖς ὁρατήν ἐπ᾽ ὄρους γενέσθαι τήν ἄκτιστον δόξαν, ἀλλ᾽ οὐ καθ᾽ ἑαυτήν, ἀλλ᾽ ὡς ὑπό τῆς κτίσεως δόξης κτισθεῖσαν, κτιστόν εἶναι φανερῶς τό θεῖον φῶς δείκνυσιν (σελ. 272) οἰόμενος, ὑπ᾽ ἀνοίας ἄκρας, οἰκειότερον δ᾽ εἰπεῖν δυσσεβείας, εἰς τό καί τά κτίσματα λέγειν ἄκτιστα συνελαυνόμενος. Τίς γάρ ποτε τόν οὐρανόν ἤ τι ἄλλο τῶν τοιούτων εἶπεν ἄκτιστον, διότι ὑπό τοῦ Θεοῦ ἐκτίσθη καί τήν δόξαν καταγγέλλει τοῦ Θεοῦ; Διότι γάρ ἐκτίσθη παρά τοῦ Θεοῦ, κτιστόν, ἀλλ᾽ οὐ ἄκτιστον, λέγεται, κἄν οὐρανός κἄν δόξα κἄν ὅ τι ποτέ τις εἴπῃ. Τί δ᾽ ἄλλο καί ὁ Βαρλαάμ ἔλεγεν ἐκεῖνος ἤ ὅτι ἐκτίσθη παρά τῆς ἀκτίστου δόξης ἐκεῖνο τό φῶς, ἀλλ᾽ οὐκ ἐκεῖθεν ἀπορρήτως ἤστραψεν; Ὁ δέ Ἀκίνδυνος πάλιν· «ἀλλ᾽ οὐκ ἄν εἶδον οἱ ἀπόστολοι τήν δόξαν ἐκείνην, εἰ μή διά τοῦ λυτοῦ σώματος». Πῶς οὖν ἐκεῖνοι διά τοῦ δεσποτικοῦ σώματος ἐν Θαβώρ τήν δόξαν εἶδον; Εἰ μέν ὡς ὁρῶντες μέν τό σῶμα, συνημμένην δέ τούτῳ ταύτην, κεκρυμμένην οὖσαν τεκμηρίοις τισί μανθάνοντες, οὐκ ἐν Θαβώρ εἶδον οὐδ᾽ οἱ τρεῖς μόνον οὐδ᾽ ὁ τῶν ἀποστόλων μόνον χορός, ἀλλά πάντες οἱ τηνικαῦτα πεπιστευκότες. Εἰ δέ κατά τό ἐπ᾽ Ἐκκλησίας ἱερόν ᾆσμα τήν κεκρυμμένην ἀστραπήν ὑπό τήν δεσποτικήν ἐκείνην σάρκα τῆς οὐσιώδους τοῦ Χριστοῦ καί θείας εὐπρεπείας εἶδον ἀπορρήτως ἐκφανεῖσαν ἀπό τῆς σαρκός ἐκείνης, αὐτήν ἐκείνην εἶδον τήν ἀθέατον θεϊκήν δόξαν τοῦ Χριστοῦ, ὡς καί ὁ Χρυσόστομος θεολόγος φησίν· «εἰ καί ἀμυδρῶς, ἵνα μή σύν τῇ ὁράσει καί τό ζῆν ἀπολέσωσιν». Ὁ δέ Ἀκίνδυνος προϊών ἐν τοῖς αὐτοῦ συγγράμμασι καί παραινεῖ μή δεῖν ἐκλαμβάνειν τά εἰς τήν θείαν μεταμόρφωσιν τοῖς ἁγίοις ἐγκώμια εἰς τό δεῖξαι ἄκτιστον θεότητα καί τό κατ᾽ ἐκείνην φῶς.

Ἆρ᾽ οὖν οὐκ ἀριδηλότατα κτιστήν τοῦτο θεότητά φησιν; Ἀλλά στρέφεται πάλιν ὁ λόγος ὥσπερ (σελ. 274) πῶλος καί τήν νύσσαν, πονηροτέραν μέντοι τῆς προτέρας μακρῷ, καθάπερ μή λογικόν τινα

τρέχων δίαυλον μηδ᾿ ὑπ᾿ ἔμφρονος ἡνιοχούμενος νοῦ καί συμφερόντως μεταφερόμενος, ἀλλ᾿ ὑπό κατηλογημένης ὡς ἀληθῶς καί νεανικῆς ἄγαν ἀπονοίας τοῦ διά τόν φθόνον ἀρχεκάκου Βελίαρ. Ὁ γάρ ἐκ τοῦ ἀντιστῆναι καί διαπτύσαι, ὡς αὐτός γράφει, τά τοῦ Βαρλαάμ περί τούτου τοῦ φωτός, ἄκτιστον αὐτό δεικνύς, καί διά τοσούτων αὖθις δι᾿ ὅσων ὑπέδειξεν ὁ λόγος κτιστόν αὖ ἀποφαινόμενος εἶναι, πάλιν δι᾿ἄλλων οὐκ ὀλίγων ἄκτιστον αὐτό κατασκευάζει καί οὐχ ὅπως ἄκτιστον, ἀλλ᾿ αὐτήν εἶναι τήν οὐσίαν τοῦ Θεοῦ τοῦτ᾿ ἐπιχειρεῖ δεικνύναι, γράφων˙ «οὐδείς ὁμολογούμενος θεολόγος κοινόν ἐκεῖνο τό φῶς καί τοῖς ἄλλοις ἐδίδαξε, κἄν εἰς ἄκραν τις Θεοῦ θεωρίαν ἀνέλθῃ, ἀλλ᾿ ἐπί τῶν θείων ἀποστόλων ἐμαρτύρησαν μόνον˙ ὅ τοίνυν οὐχ ὁρᾶται, κἄν εἰς ἄκραν τις ἀνέλθῃ θεωρίαν, καί ταῦτα τοῦ Θεοῦ, τί ἄλλο ἤ ἡ θεία φύσις ἐστίν»; Ἀλλ᾿ ὡς μέν κοινόν τῶν ἁγίων ἐστί τό μέγα ἐκεῖνο καί ἀπόρρητον θέαμα, κοινόν βραβεῖον ὄν τῶν ὡς ἀληθῶς Χριστιανῶν ἁπάντων, καί τοῦτ᾿ αὐτό κοινῇ πᾶσιν ἀνωμολόγηται τοῖς ὁμολογουμένοις θεολόγοις διά πλειόνων ἐν τῷ πέμπτῳ λόγῳ τῶν ἡμῖν πρός τά τούτου συγγράμματα πεποιημένων ἀριδήλως ἐπιδείκνυμεν. Ἐνταῦθα δ᾿ οὗτος μηδέν μελλήσας εἰς τοὐναντίον εὐθύς περιάγει τόν λόγον, «ἀλλ᾿ ἐπί τῶν θείων», λέγων, «ἀποστόλων ἐμαρτύρησαν μόνων, καί τούτων θείας γενομένης συγκαταβάσεως», συγκατάβασιν λέγων, οὐχ ὡς ὁ Χρυσόστομος πατήρ, ὅς φησι «τεθεᾶσθαι τούς ἀποστόλους ἐν Θαβώρ τήν ἀθέατον δόξαν τοῦ Χριστοῦ, οὐχ ὅση τις ἦν, ἀλλ᾿ ὅσον ἠδύναντο χωρεῖν». Οὗτος δέ διά (σελ. 276) τῆς συγκαταβάσεως κτιστήν αὖ ἐκείνην τήν δόξαν ἀποφαίνειν ἐγχειρεῖ, καί δῆλον ἐκ τῶν ἐπιφερομένων ἐφεξῆς αὐτῷ˙ προσγράφει γάρ, «ἐπεί ἐναντιοῖντο ἄν ἑαυτοῖς καί ἀλλήλοις οἱ θεολόγοι μηδενί δυνατόν εἶναι ἄλλως ἰδεῖν τόν Θεόν ἤ ἀπό τῶν κτισμάτων ἰσχυριζόμενοι, κἄν Μωϋσῆς τις ᾖ κἄν Παῦλος ὁ εἰς τρίτον οὐρανόν ἀναβάς κἄν ὑπέρ ἐκεῖνον ἔτι ἀγγελικῆς τυχών ἤ ἀρχαγγελικῆς στάσεώς τε καί τάξεως». Τί μέν οὖν οἱ θεολόγοι περί τούτου διισχυρίζονται καί τίς ἡ σημασία τοῦν ἰδεῖν ἐν τοῖς τοιούτοις, καί ὅτι τό, «Θεόν οὐδείς ἑώρακε πώποτε», καί «ὅν εἶδεν οὐδείς ἀνθρώπων οὐδέ ἰδεῖν δύναται», καί τά τοιαῦτα, τό κατ᾿ οὐσίαν καί αὐτοῖς τοῖς ἁγίοις ἀνέκφαντον τοῦ Θεοῦ παρίστησιν ἔν τε τοῖς πρός Βαρλαάμ κἄν τῷ τρίτῳ καί πέμπτῳ λόγῳ τῶν ἐξενηνεγμένων ἡμῖν πρός τά τοῦ Ἀκινδύνου συγγράμματα τρανότατα διαδείκνυται. Σύ δ᾿ ὅρα πάλιν, τῶν ἐφ᾿ ἡμῶν σοφῶν ἀρχιερέων ἀκροθίνιον, ἀπό τῶν

αὐτοῦ λόγων τήν εἰς τἀναντιώτατα περιτροπήν αὐτοῦ. Τί γάρ φησι τοῖς αὐτῷ νῦν εἰρημένοις ἐφεξῆς; «Οἱ δέ τῶν ἁγίων πατέρων παντός ὡς φῶς ἤ ὡς πῦρ ἤ ὡς ἄλλο τι μορφοῦντος τόν νοῦν τῶν θεωρητικῶν ἀποτρέποντες τούς θείας ἐπιφανείας ἐφιεμένους, οὐκ ἠπίστατο τήν ἐν τῷ ὄρει, ἐν ᾧ μετεμορφώθη, τοῦ Κυρίου λαμπρότητα; Πῶς οὖν ταῦτα εἰπόν τε καί ὑπέθεντο; Ἀλλ᾽ ὡς ἔοικεν, ἕτερος ὁ λόγος ἐκείνου τοῦ μυστηρίου καί ἄλλος ὁ τῆς τῶν ἄλλων ἀνθρώπων θεωρίας καί θεολογίας ὡντινωνοῦν ἁπάντων».

Εἰ τοίνυν ἡ ἐν Θαβώρ θεωρία τοῦ φωτός ἐκείνου ἑτέρα παρά τήν ἁπάντων ὡντινωνοῦν ἀνθρώπων ὡς ὑπεξῃρημένη, καί Παῦλος ἄρα καί ὁ λοιπός τῶν δώδεκα χορός πλήν ἐκείνων τῶν τριῶν ἀθέατοι διά τέλους ὑπῆρξαν ἐκείνου τοῦ φωτός, ὅ κτιστόν εἶναι διισχυρίζετο (σελ. 278) πρότερον ὁ Ἀκίνδυνος. Καίτοι τίνος κτίσματος καί μόνης θέας οἱ θεοειδεῖς ἐκεῖνοι καί μεγάλοι φωστῆρες ἀνάξιοι, καί ταῦτ᾽ εἰς τό διηνεκές; Ὅ μέντοι καί αὐτῷ Παύλῳ τῷ ἐπόπτῃ τῶν μεγίστων ὡς ὑπέρ τήν ἐκείνου θεοπτίαν πάντῃ καί ἀεί ἀόρατον, τί πόθ᾽ ἕτερον ἤ ἡ τοῦ Θεοῦ οὐσία ἐστί; Τοιγαροῦν ἡ ἐν Θαβώρ ἐκφανεῖσα λαμπρότης τοῦ Θεοῦ, νῦν πάλιν κατά τόν Ἀκίνδυνον αὐτή καθ᾽ ἑαυτήν ἡ φύσις τοῦ Θεοῦ ἐστιν. Ἀλλ᾽ ὡς μέν οἱ θεῖοι πατέρες τάς δι᾽ αἰσθητικῆς δυνάμεως ἐπιφαινομένας πλάνας, ἀλλ᾽ οὐχί τάς ὑπέρ αἴσθησιν καί νοῦν ἀληθεῖς Θεοῦ θεωρίας ἀποτρέπονται, δείκνυμεν ἐν τῷ ἑβδόμῳ τε καί τελευταίῳ τῶν πρός αὐτόν ἡμῖν πεποιημένων λόγων. Σύ δέ πάλιν, θειοτάτη φιλότης, τῶν αὐτοῦ τοιούτων συγγραμμάτων τήν αἰσχίστην ἐπί τά κτιστά περιτροπήν ἐκ τῶν αὐτοῦ διδάσκου συγγραφομένου φανερῶς, ὡς ἐναντιοῦται τοῖς θεολόγοις πᾶσιν ὁ λέγων ἤ Θεόν εἶναι ἄκτιστον τό καί σωματικοῖς ὀφθαλμοῖς ὁρατόν τοῦτο φῶς ὁπωσδήποτε ἤ ἕνα Θεόν ἐκ τούτου τε καί τῆς οὐσίας τοῦ Θεοῦ.

Τήν μέν οὖν ὑπερβολήν τῆς ἐν τοῖς τοιούτοις δυσσεβείας ἐν τῷ τετάρτῳ τῶν πρός αὐτόν ἡμῖν συγγεγραμμένων ἀπηλέγξαμεν. Τό δέ κτιστόν αὐτόν διά τούτων ἀποφαίνεσθαι τό περιλάμψαν ἐν τῇ μεταμορφώσει τοῦ Σωτῆρος τούς αὐτῷ συνόντας θειότατον ἐκεῖνο φῶς οὐδ᾽ ἐλέγχου δεῖται, φανερῶς μάλιστα παρ᾽ αὐτοῦ λεγόμενον ἀρτίως. Ἀλλ᾽ ἀπόχρη μέν τῆς αὐτοῦ ταύτης ἀλλοκότου καί δυσσεβεστάτης δίνης. Ὅρα δέ τούς αὐτοῦ λόγους ἀπό ταύτης ἐπί τά χείρω βαδίζοντας, μᾶλλον δέ καθάπερ τῆς ἱερᾶς ἐκείνης τοῦ ὄρους κορυφῆς καί τῶν ἐν αὐτῇ τελουμένων καθάπαξ ἐκπεσόντας, κατά (σελ. 280) κρημνῶν πονηρῶν ἀσχέτως φερομένους καί κατά βυθοῦ

δεινοῦ σκότους τῆς ἀσεβείας κυβιστῶντας. Καί γάρ ἐν τοῖς ἐφεξῆς, ὡς ἐγώ φρίττω φάναι, κἄν ὡς παρ᾽ αὐτοῦ λεγόμενον, καί σατανικόν τουτί τό φῶς ὑποφαίνειν πειρᾶται καί κατασκευάζειν, τοῖς νῦν αὐτῷ προκομισθεῖσι γράφων ἐφεξῆς, ἀναιρεῖται δέ καί τά ρητά τῶν ἁγίων, ἅ λέγουσι καί παραινοῦσιν ὡς ἀπό σατανικῆς πλάνης φεύγειν πᾶσαν αἰσθητήν φωτοφάνειαν ὁπωσδήποτε. Διό καί μικρόν ἀνωτέρω προήνεγκεν ὅτι «πᾶν τό ἐν σχήματι φαινόμενον τοῖς ἀγωνιζομένοις εἴτε ὡς φῶς εἴτε ὡς πῦρ ἐκ τῆς τοῦ ἐχροῦ κακοτεχνίας γίνεται». Ὡς μέν οὖν πᾶσα ἡ δι᾽ αἰσθητικῆς δυνάμεως γινομένη τοῖς ἀγωνιζομένοις φωτοφάνεια καί πᾶν τό ἐν σχήματι φαινόμενον εἴτε ὡς φῶς εἴτε ὡς πῦρ καί μορφοῦν δυνάμενον τόν νοῦν, δηλονότι τόν παθητικόν, ὅς ἐστιν ἡ φαντασία -, ταύτης γάρ μόνης τό παρά τῶν αἰσθητῶν μορφοῦσθαι -, ἐκ τῆς τοῦ ἐχθροῦ κακοτεχνίας γίνεται καί ἡμεῖς τῶν πατέρων διδασκόντων ἀκηκόαμεν, ἀλλ᾽ οὐχί καί τά πνευματικῇ δυνάμει δι᾽ ἀποκαλύψεως τοῖς ἀξίοις ὁρώμενα˙ ταῦτα γάρ οὐκ αἰσθήσεως καί φαντασίας μόνον, ἀλλά καί νοῦ τοῦ καθ᾽ ἡμᾶς, ὑφηλότερά φασιν, ἀμφότερα γάρ τόν τοῦ ὁρῶντος νοῦν ἑαυτοῦ ἐξίστησιν, ἔσθ᾽ ὅτε δέ καί τόν ὁρῶντα σχεδόν ὅλον ἔξω ἑαυτοῦ ποιεῖται.

Ἀλλ᾽ ἡ μέν ἐκ τῆς κακοτεχνίας τοῦ ἐχθροῦ ἐπί τά χείρω τούς ἀσυνέτως παραδεχομένους ἐκβάλλει ἑαυτῶν, ἡ δέ θεία φωτοφάνεια τοῖς μακαριστοῖς ἐπιτυχοῦσιν ἐπί τά κρείττω καί ὑπερφυῆ ἐξίστησι τόν νοῦν, τοῖς ὑπέρ νοῦν συνάπτουσα, καθάπερ ἐν τοῖς Πρός τόν Βαρλαάμ ἡμῖν συγγεγραμμένοις κἀν τοῖς πρός τόν ἐκεῖνον τουτονί διάδοχον κατά τό ἐγχωροῦν ἐδείξαμεν. Ὁ δέ παρελκύσας ραδίως διά τό σύνεγγυς - ἀγχίθυρος γάρ, ὡς εἰπεῖν, ἡ πλάνη τῇ ἀληθείᾳ - τῶν ὀνομάτων τά (σελ. 282) σημαινόμενα καί καθάπερ τι πονηρόν ζιζάνιον τῷ καλῷ σπέρματι τῶν πατερικῶν παραγγελμάτων παρ᾽ ἑαυτόῦ ἐπισπείρας, τό ὁπωσδήποτε διά τῆς προσθήκης ταύτης τοῖς τε πονηροῖς ἀφρόνως συνέταξε τά θεῖα, εἰς τόν Βελίαρ, φεῦ, τήν τοῦ ἀγαθοῦ πνεύματος παραγνωρίσας χάριν καί τόν χορόν τῶν κεχαριτωμένων θείως τοῦ φωτός ἀπεστέρησε τῆς χάριτος. Ἀλλ᾽ ὄντως αὐτός τοῦ τῆς ἀληθείας φωτός διαπεσών κατά σκότον ἠλάσκει καί παραπαίει καί συντρίβεται διακενῆς. Ὄντως ἐματαιώθη ἐν τοῖς διαλογισμοῖς αὐτοῦ, φάσκων εἶναι σοφός ἐμωράνθη καί κατά τόν Ἰερεμίαν «ὁδόν ἐπιστήμης οὐκ ἔγνω», καί κατεδίωξεν αὐτόν πλάνησις», ὡς ὁ Ἠσαΐας φησίν˙ ᾧ δή καί ὡς εἰς ἀδόκιμον νοῦν

παραδοθείς τελέως πάντας καί τούς πρός τοῦ εὐαγγελίου καί τούς μετά τό εὐαγγέλιον τῆς χάριτος ἁγίους πεπλανημένους ὄντας ἐκ τῶν οἰκείων τούτω νἀποφαίνει λόγων. Μετά γάρ τό εἰπεῖν σατανικήν πλάνην πᾶσαν αἰσθητήν φωτοφάνειαν ὁπωσδήποτε καί πᾶν τό ἐν σχήματι φαινόμενον ἐκ τῆς τοῦ ἐχθροῦ κακοτεχνίας, ἐπιφέρει˙ «ὁρᾶν δέ δεῖ ποτε καί φῶς οἴεσθαι τήν ταπεινήν καί καθαράν καρδίαν, ἀλλά φῶς παρακλήσεως, ἤ τό ἑαυτοῦ φῶς τόν νοῦν ὁρᾷν, οὐ τό ἄκτιστον καί ὑπερούσιον καί ὁράσεις θείας, ἀλλ᾽ ἐν σχήματι καί τύποις καί συμβόλοις, καθάπερ οἱ προφῆται ἑώρων καί οἱ τῆς χάριτος ἐν εἴδει περιστερᾶς καί πυρίνων γλωσσῶν καί οὗτοι τό Πνεῦμα τό ἅγιον ἑωρακότες, ἤ διά τοῦ θείου τοῦ Σωτῆρος Θεοῦ σώματος τήν αὐτοῦ δόξαν τε καί θεότητα».

Τί μέν οὖν τό τῆς παρακλήσεως φῶς, τό ταῖς καθαραῖς καρδίαις ἐπιφαινόμενον, ἐν τοῖς Πρός τόν Βαρλαάμ κἀν τῷ ἑβδόμῳ τῶν ἐξενηνεγμένων ἡμῖν πρός τά τούτου συγγράμματα λόγων δέδεικται διά πλειόνων. (σελ. 284) Πρός ὅ δέ νῦν ἡμῖν ὁ λόγος. Πῶς οὐχ ὑπεύθυνοι τῇ πλάνῃ πάντες ἄν τοῦτοι εἶεν, εἰ πᾶσα αἰσθητή φωτοφάνεια ὁπωσδήποτε πλάνη καί πᾶν τό ἐν σχήματι φαινόμενον ἐκ τῆς τοῦ ἐχθροῦ κακοτεχνίας κατά τήν Ἀκινδύνου ταύτην ἀκριβεστάτην εὐσέβειαν καί θεορρημοσύνην; Ἄμφω γάρ δεῖν εἰδέναι παραινεῖ καί σατανικήν πλάνην πᾶν τό τοῖς ἐφιεμένοις θείας ἐπιφανείας ἐν φωτί καί τύπῳ καί σχήματι ἑωραμένον ὁπωσδήποτε καί τούς ἐξ αἰῶνος θεόπτας τε καί θεολήπτους ἰδεῖν καί ὁράσεις θείας καί φῶς, ἀλλ᾽ ἐν σχήμασι καί τύποις, μηδέν διαστέλλων μεταξύ Θεοῦ καί μαμωνᾶ, δαιμονώντων τε καί θεοφορουμένων. Τί δέ καί τό εἶδος τῶν γλωσσῶν καί τῆς περιστερᾶς κατά τῆς λαμπρότητος τῆς θείας φύσεως προβάλλεται; Περιστερᾶς γάρ εἶδος ἤ γλωσσῶν ἀϊδίως κεκτῆσθαι τό Πνεῦμα τό ἅγιον ἐθεολόγησεν ἤ ἐνενόησεν οὐδείς˙ ἀνάρχως δέ ὁ Υἱός ἐκ τοῦ Πατρός γεννηθείς, τήν φυσικήν ἀκτῖνα ἄναρχον κέκτηται τῆς θεότητος, οὐχ ὕστερον τό εἶναι οὐδέ αὐτήν τήν δόξαν προσλαμβανόμενος, καί ἡ τῆς θεότητος δόξα καί δόξα τοῦ σώματος γίνεται. Τίς ὁ ταῦθ᾽ οὕτω θεολογῶν; Ἡ κοινή γλῶττα τῶν θεολόγων, ὁ ἐκ Δαμασκοῦ λογικός καί φανότατος καί ἱερός φωστήρ ἐξυμνῶν τήν ἐπ᾽ ὄρους ἀποκαλυφθεῖσαν ἀστραπήν τῆς τοῦ Χριστοῦ θεότητος. Ἐχρῆν γε μήν κατά τήν Ἀκινδύνου γνώμην καί παραίνεσιν μηδένα τῶν ἐπί τῆς Ἰουδαίας ὀφθαλμούς ἐχόντων ἀθέατον τηνικαῦτα λέγεσθαι τοῦ φανέντος φωτός ἐν Θαβωρίῳ. Καί γάρ πάντες ἑώρων τό

σῶμα τοῦ Κυρίου, σύμβολον ὑπάρχον κατά τόν Ἀκίνδυνον τοῦ θεϊκοῦ φωτός, ὡς ἡ ἑωραμένη τῷ βαπτιστῇ περιστερά σύμβολον τοῦ Πνεύματος. Ἡμεῖς δέ οὐχ οὕτως ἐδιδάχθημεν˙ ἡ μέν γάρ περιστερά σύμβολον, ἀλλ᾽ οὐ σῶμα γέγονε Θεοῦ˙ τό δέ Χριστοῦ σῶμα, σῶμα Θεοῦ (σελ.286) ὡς ἀληθῶς, ἀλλ᾽ οὐ σύμβολον. Τούτων μέν οὖν καί τῶν τοιούτων εἰ βούλει διακοῦσαι, πάλιν ἐπί τάς ἡμετέρας ἐκείνας βίβλους παραπέμψομεν τήν σήν ἱερωτάτην σύνεσιν, ἐν αἷς διεξοδικωτέρα τις ἡμῖν ἡ περί τούτων ἔρευνα. Νῦν δέ δήπου συνορᾷς ὡς ὁ τῷ μεγάλῳ φωτί τήν οἰκείαν ἄνοιαν ἐπιστρατεύσας οὐδέ τήν θείαν ἐνανθρώπησιν ἀνεπηρέαστον ἀφῆκε˙ τοῖς γάρ ἱεροῖς φάσμασιν αὐτήν συνέταξεν. Ἀνωτέρω μέν οὖν αὐτῷ τῶν λόγων οὗτος αὐτός ἐκεῖνο τό φῶς σύμβολον, καί σύμβολον οὐ φυσικόν, εἶναι διετείνετο. Νῦν δέ τό δεσποτικόν εἶναι σῶμα σύμβολον αὐτοῦ φησιν, ὡς εἶναι τό τοῦ Χριστοῦ σῶμα κατ᾽ αὐτόν σύμβολον συμβόλου. Εἰ δέ κατ᾽ αὐτόν ὑπογραφαί καί πλάσεις πάντα τά θεῖα σύμβολα (τά γάρ παρατεθεωρημένα παρ᾽ αὐτοῦ τῶν πατερικῶν ρημάτων οὐκ ἐκείνων ἀλλ᾽ αὐτοῦ), τί τό τοῦ συμβόλου σύμβολον, αὐτός ἀξιόχρεως διδάσκειν αὖθις.

Οὕτω μετά τοῦ μηδέν καινοτομεῖν, ὡς αὐτός φησι, τῷ Βαρλαάμ ἀντέστη καί τάς αὐτοῦ κατεστόρεσε καινοτομίας, ὁ μηδέπω καί νῦν αὐτάς ἐκθύμως ἐπεκδικεῖν πεπαυμένος καί τοσοῦτο μείζους ἐπί τό χεῖρον αὐξήσας οὕτως ἐν τοῖς θείοις τήν εὐλάβειαν προτετίμηκεν ὁ τῆς δυσσεβείας ἔνδυμα τό ταύτης ποιούμενος ὄνομα˙ οὕτω τῆς ἁπλότητος ἀπρίξ τῶν θείων ἔχεται δογμάτων, ᾗ διαγέγονε συντεθραμμένος, ὡς αὐτός αὐχεῖ. Καίτοι τίς ἄν δύναιτο μιαρωτέραν καί δυσσεβεστέραν τῆς αὐτοῦ ταύτης ἐπιδεῖξαι διπλόης, μᾶλλον δέ πολυειδοῦς καί πολυμόρφου πλάνης; Ὁ δέ καθάπερ ἐπιδαψιλευόμενος αὐτῇ, κἀν τῇ ἑαυτοῦ αἰσχύνῃ διαφερόντως φιλοτιμούμενος καί περί τῆς θεοποιοῦ χάριτος γράφειν ἐπιβαλλόμενος, αὐτήν ἑαυτῇ ἀντίστροφον ἡμῖν εἰσάγει καί ἀντίθετον˙ καί οὐχ ἁπλῶς ἀντίθετον, ἀλλ᾽ εἰς τἀναντιώτατα, τό κτιστόν δηλαδή καί (σελ. 288) τό ἄκτιστον, διεσπασμένην. Καίτοι ἡ θεοποιός δωρεά τοῦ Πνεύματος ἐκεῖνό ἐστι τό φῶς, αὐτή ἡ τῆς θείας φύσεως λαμπρότης, καθ᾽ ἥν κοινωνεῖ τοῖς ἀξίοις ὁ Θεός, χωριστή μέν οὖσα μηδαμῶς ἐκείνου, θεοῦσα δέ καί τῷ Θεῷ ἑνοῦσα τούς ὑπ᾽ αὐτῆς λαμπρυνομένους, λαμπρότητα Θεοῦ ἰδόντας καί παθόντας κατά τόν θεολόγον Γρηγόριον˙ «ἐπεί καί φῶς», φησίν, «ἡ ἐκεῖθεν λαμπρότης

τοῖς ἐνταῦθα κεκαθαρμένοις ἡνίκα ἐκλάμψουσιν οἱ δίκαιοι ὡς ὁ ἥλιος, ὧν ἔσται ὁ Θεός ἐν μέσῳ θεῶν· ἆθλον γάρ ἀρετῆς Θεόν γενέσθαι καί τῷ ἀκραιφνεστάτῳ φωτί καταστράπτεσθαι τῆς τῆς ἡμέρας ἐκείνης Υἱόν γενόμενον, ἥ μή διακόπτεται ζόφῳ· ἄλλος γάρ ταύτην ποιεῖ ἥλιος, ὁ τό ἀληθινόν φῶς ἀπαστράπτων». Κληθείη δ᾽ ἄν καί ἀρετή θοποιός, ἀλλ᾽ ὡς δεκτικούς ἡμᾶς ποιοῦσα τῆς λαμπρότητος ἐκείνης. Ἐπεί καί ἡ διά τῆς πρός Θεόν ἀδιαλείπτου προσευχῆς μνήμη τοῦ Θεοῦ ἐνοίκησις Θεοῦ κληθείη, ἀλλ᾽ ὡς ἐπιτηδειότητα παρεχομένη πρός ὑποδοχήν καί διά τῆς διηνεκοῦς αἰτήσεως προξενοῦσα τήν ἐνοίκησιν ἐκείνην· «δώσει γάρ», φησί περί τοῦ Πατρός ὁ Κύριος, «Πνεῦμα ἅγιον τοῖς αἰτοῦσιν αὐτόν ἡμέρας καί νυκτός».

Ὡς γάρ ὀφθαλμῶν σώματος φωτιστικόν οὐδέν ἄλλο, πλήν φωτός, φωτίσαι δ᾽ ἄν τις φαίη καί τά θεραπευτικά κολλούρια τούς ὀφθαλμίᾳ περιπεσόντας ὀφθαλμούς, ὡς δεκτικούς αὖ φωτός τούς ὀφθαλμούς ποιοῦντας καί ἀπαλλακτικά τῶν ὀφθαλμοῖς συμβαινόντων νοσημάτων, ἀφ᾽ ὧν παραποδισμός τοῦ ὁρᾶν ἐγγίνεται, τόν αὐτόν τρόπον καί θεοποιός κυρίως χάρις ἡ λαμπρότης τῆς θείας φύσεώς ἐστι, καθ᾽ ἥν κοινωνεῖ τοῖς ἁγίοις ὁ Θεός, εἰ καί ἡ ἀνθρωπίνη ἀρετή καί προσευχή, ὡς ἐκείνης πρόξενος καί τῶν φερόντων εἰς ἐκείνην, (σελ. 290) ἔσθ᾽ ὅτε τυγχάνει τῆς ἐπωνυμίας ταύτης. «Ἕκαστον γάρ», φησί, «προσάξει τῇ συναφείᾳ τῆς θεότητος ὁ Χριστός εἰ μηδέν ἐπάγοιντο τῆς πρός τό θεῖον συμφυΐας ἀνάξιον». Ἡ μέν οὖν θεοποιός χάρις, ἡ λαμπρότης τῆς θείας φύσεώς ἐστιν· ὁ δέ τοῦτο συνιείς οὐμενοῦν οὐδ᾽ ὁπωσοῦν, ἑτέρας συνθείς λογολεσχίας, περί χάριτος καί ἐλλάμψεως καί θεώσεως καί θείας ἐνεργείας ἐπέγραψεν αὐτάς. Τήν μέν οὖν ἐν αὐταῖς τοῦ ψεύδους σύρροιαν καί τάς ἄνευ προφάσεως συκοφαντίας, οὐ καθ᾽ ἡμῶν μόνον, ἀλλά καί κατά τῶν ἁγίων, καί τό παντάπασιν ἀκατάλληλον τῆς φλυαρίας καί τόν τῶν βλασφημιῶν ἑσμόν καί ἁπλῶς πάντα τόν συμπεφορημένον συρφετόν αὐτῇ καθ᾽ ἡμῶν τε καί τῆς εὐσεβείας παριστᾶσι, διαρκῶς οἱ διά πλάτους Ἀντιρρητικοί Λόγοι πρός αὐτόν.

Καί νῦν δέ σήν χάριν, ὡς ἔχοις ἐξ ὀλίγων τεκμαίρεσθαι τό πᾶν, ἔστιν ὧν μνησθείς, ἐπί τήν τῶν νῦν λόγων ἐπανήξω πρόθεσιν, τήν πρός ἄλληλα διαφωνίαν τῶν αὐτοῦ δεικνύς. Τίς οὖν ἡμῶν ἐκτός Θεοῦ ἕτερόν τι ἄκτιστόν φησι, τίς δέ μείζω καί ἐλάττονα Θεόν; Τίς δ᾽ οὐκ οἶδεν, ὡς αἱ φυσικαί χάριτες ἅπασαι κτισταί; «Τί γάρ ἔχομεν ὅπερ οὐ ἐλάβομεν»; Ὁ δέ πρός γενναῖον ἀποδύεται τόν ἀγῶνα, πανταχόθεν

ὡς τούτων ἀθετουμένων ἐρανιζόμενος τά συνιστάντα. Τί δ᾽ ὅτε τάς θείας ἐνεργείας τοῦ Θείου Πνεύματος ἀκτίστους εἶναι πυνθανόμενος ἡμῶν, φρενοβλαβῶς αὐτός ἀντιλέγειν ᾑρημένος καθ᾽ ἡμῶν οἴεται προβάλλεσθαι τούς λέγοντας μόνος ὁ Θεός ἄκτιστός ἐστι καί μόνη ἄκτιστος ἡ ἁγία Τριάς καί οὐδέν τῷ Θεῷ συναΐδιον καί τά τοιαῦτα, ὥσπερ ἄν εἴ τις ἐκτός εἶναι τοῦ Θεοῦ τάς ἀκτίστους ἐνεργείας ἔλεγεν, οὗ μηδέν ἄκτιστον ἐκτός; Τί δ᾽ ὅτε πάλιν δείκνυσι μή διαιρεῖσθαι τό θεῖον μηδέ μετρεῖσθαι (σελ. 292) βαθμοῖς τε καί ὑποστάσεσι, πανταχόθεν συλλέγων τά τοῖς πατράσιν εἰρημένα κατά τῶν εἰς κτιστά καί ἄκτιστα διαιρούντων τόν Θεόν καί οὕτω βαθμοῖς καί ὑποστάσεσι μετρούντων καί καθ᾽ ἡμῶν ταῦτα προτιθείς, τῶν μηδέν κτιστόν ἐπί Θεοῦ λεγόντων, ὡς καί αὐτός ἄκων ἡμῖν συμμαρτυρεῖ, κατηγορῶν ἡμῶν ὡς ἄκτιστα πολλά λεγόντων, ἅτε κατ᾽ οὐσίαν καί κατ᾽ ἐνέργειαν τόν Θεόν ἄκτιστον φρονούτων, καί ταῦτ᾽ αὐτός ὤν, ὁ καί νῦν αὖθις διαιρῶν εἰς κτιστά καί ἄκτιστα τό θεῖον; Οὐκοῦν ταῦτ᾽ ἀφρόνως αὐτός καθ᾽ ἑαυτοῦ συνέλεξν, ἅπερ οἱ θεῖοι πατέρες προεῖπον κατ᾽ αὐτοῦ.

Τί δ᾽ αὖθις ἡνίκα πάλιν οὗτός φησιν, ὡς οἱ θεοφόροι πατέρες ὕδωρ ζῶν, οὐ τινα χάριν, ἀλλ᾽ αὐτό τό Πνεῦμα ἅγιον, αὐτήν τήν θείαν ἀποκαλοῦσι φύσιν; Καί ταῦτα τοῦ Χρυσοστόμου πατρός ἀριδήλως γράφοντος, «τοῦ Πνεύματος τήν χάριν ἡ Γραφή ποτέ μέν πῦρ, ποτέ δέ ὕδωρ καλεῖ, δεικνῦσα ὅτι οὐκ οὐσίας ἐστί ταῦτα ὀνόματα, ἀλλ᾽ ἐνεργείας˙ οὐ γάρ ἐκ διαφόρων συνέστηκεν οὐσιῶν τό Πνεῦμα, ἀόρατόν τε καί μονοειδές ὄν». Οὐκοῦν κατά τήν Ἀκινδύνου σύνεσιν, ἥν ἐν τοῖς τῶν πατέρων περί τοῦ Πνεύματος ἔχει λόγοις, οὐχ ἁπλοῦν οὐδέ μονοειδές ἐστι τό Πνεῦμα τό ἅγιον. Εἰ γάρ ὕδωρ καί πῦρ αὐτό παρά τῶν θεοφόρων πατέρων ὀνομαζόμενον κατά τήν φύσιν καλεῖται, καί ἐκ διαφόρων, ὤ τῆς ἀσυνέτου συνέσεως, κατ᾽ αὐτόν συνέστηκε φύσεων. Καλεῖται μέντοι καί ἡ θεία φύσις καί αὐτό τό Πνεῦμα τό ἅγιον ὕδωρ ζῶν, ἀλλ᾽ οὔτε τοὖθ᾽ οὕτω καλεῖται κατά τήν φύσιν, οὔθ᾽ ἡ φύσις αὕτη καθ᾽ ἑαυτήν, ἀλλ᾽ ἀπό τῆς ἐπί μόνους τούς πιστούς ἐκχεομένης θείας ἐνεργείας καί χάριτος˙ ἀνώνυμος γάρ οὖσα καθ᾽ ἑαυτήν ἡ θεία φύσις καί ὑπερώνυμος, ὡσαύτως καί τό θεῖον Πνεῦμα κατ᾽ αὐτήν, τάς τῶν θείων ἐνεργειῶν (σελ. 394) ἐπωνυμίας ἑκάτερον εἰκότως προσίεται, ἀπό τῶν ἐνεργειῶν τοῖς ἐνθέοις θεολόγοις καλούμενον. Οὐκοῦν ὕδωρ ζῶν ἡ θεία χάρις διατελεῖ τε καί

λέγεται καί τοῖς ἀξίοις παρέχεται, ἡ δέ φύσις οὔτ᾿ ἔστιν οὔτε δίδοται, κληθείη δ᾿ ἄν ὕδωρ ζῶν ἀπό τῆς ἐνεργείας αὐτῆς ὡς ἀνώνυμος.

Ὁ δέ χάριν καί αὐτοχάριν τόν Θεόν αὐτόν φησι λέγεσθαι ταπεινότερον καί προάγει τόν μέγαν ἐν θεολογίᾳ Γρηγόριον εἰς μαρτυρίαν, γράφοντα, «ὅσα δέ περί τοῦ Πνεύματος λέγεται ταπεινότερον, τό χάρισμα, τό δώρημα, τό ἐμφύσημα, εἴτε τι ἄλλο τοιοῦτον, ἐπί τήν πρώτην αἰτίαν ἀνακτέον, ἵνα τό ἐξ οὗ δειχθῇ», παντάπασιν ἀμαθῶς καί ἀμυήτως ἐκλαμβανόμενος τό ταπεινότερον, ἅμα δέ καί μηδέν οἰόμενος διαφέρειν τοῦ χαρίσματος τήν χάριν. Καίτοι πάλιν αὐτός, οὐ τόν Υἱόν μόνον καί τό Πνεῦμα, ἀλλά καί αὐτόν τόν Πατέρα χάριν ἐνταῦθα τούς ἁγίου προήνεγκεν εἰπόντας. Εἰ οὖν κατά τόν Ἀκίνδυνον χάρις ὁ Υἱός καί τό Πνεῦμα ταπεινότερον λέγεται, ἵνα τό ἐξ οὗ δειχθῇ, διδαξάτω πάλιν αὐτός, ἐκ τίνος ὑπάρχων ὁ Πατήρ καί αὐτός καλεῖται χάρις. Ἐπεί δέ καί κατά τόν Νύσσης θεῖον Γρηγόριον, «τό μακαριστόν ὡς ἀληθῶς αὐτό τό θεῖόν ἐστιν, ὅ,τι περ ἄν εἶναι αὐτό ὑποθώμεθα, τό ἄρρητον καί ἀκατανόητον ἀγαθόν, ἡ αὐτοχάρις καί σοφία καί δύναμις, τοῦτο δέ ἐστι πάντως ἡ μόνη τρισυπόστατος φύσις, ὡς καί ὁ Ἀκίνδυνος τίθεται, διδαξάτω πάλιν ὁ Ἀκίνδυνος οὗτος ἐκ τίνος ἡ θεία καί τρισυπόστατος φύσις ὑπάρχουσα Θεοῦ χάρις καί αὕτη κατ᾿ αὐτόν ταπεινότερον λέγεται, ἵνα τό ἐξ οὗ δειχθῇ. Ἀλλ᾿ ἐρρέτω μέν ἡ τοῦ Ἀκινδύνου διδασκαλία˙ βλασφημία γάρ ἐστι προφανής. Διδασκέτω δέ τό ὑψηλόν καί διαφερόντως ἀταπείνωτον τῆς χάριτος αὐτός ὁ νῦν τό θεῖον, ὅ,τι ποτ᾿ ἄν εἶναι ὑποθώμεθα, (σελ. 296) χάριν ἐπονομάσας. Φησί τοίνυν ἐν τῷ Πρός Εὐνόμιον ἕκτῳ περί τοῦ Σωτῆρος˙ «ὤν γάρ ὅπερ ἦν, καί Θεός Λόγος καί ζωή καί φῶς, χάρις τε καί ἀλήθεια, καί Κύριος καί Χριστός καί πᾶν ὑψηλόν τε καί θεῖον ὄνομα». Ἀκούεις ὅτι τῶν ὑψηλῶν ὀνομάτων, ἀλλ᾿ οὐ τῶν ταπεινοτέρων, ἡ χάρις καί τῇ Θεός καί Κύριος φωνῇ κατά τό ὕψος ἴση, τούτοις συναριθμουμένη ὧν οὐδέν ὑψηλότερον, καί ταῦθ᾿ ἡνίκ᾿ ἄν ἀπό ταύτης ὁ Υἱός καλῆται, κἄν Ἀκίνδυνος ἀπαρέσκηται; Ὁ δέ καί ταπεινῶς εἰρῆσθαί φησι τῷ μεγάλῳ Βασιλείῳ περί τοῦ Πνεύματος, ὅτι ἐφ᾿ ἡμᾶς ἐκκέχυται, καί περί τῆς οὐσίας εἰρῆσθαι καί τῆς ὑποστάσεως αὐτῆς τοῦ Πνεύματος, ὅτι ἐφ᾿ ἡμᾶς ἐκκέχυται˙ καί ἡ πρόφασις ὅτι περί αὐτῆς πρός τούς πνευματομάχους ὑπῆρχε μαχόμενος.

Ἆρ᾿ οὖν οὐ δυσσεβοῦς καί ἀνοηταίνοντος περιφανῶς ὁ λόγος, πολύ μέν ἔχων τό ἄλογον, πλεῖον δέ τό δυσσεβές; Τό μέν γάρ τήν οὐσίαν

τοῦ Θεοῦ ἐκχεῖσθαι λέγειν, καί ταῦτα ἐφ᾽ ἡμᾶς, οὐ μετρίως δυσσεβοῦς, τό δέ καί κατά τήν ὑπόστασιν τοῦ Πνεύματος, λατινόφρονος καί ἄντικρύς ἐστι. Τό δέ μή δυνηθῆναι συνιδεῖν, ὡς κατ᾽ οὐσίαν καί ἐνέργειαν εἰδώς ἄκτιστον τό Πνεῦμα τό ἅγιον ὁ μέγας Βασίλειος, ἀλλ᾽ οὐ κατ᾽ οὐσίαν μόνον, τήν ἐφ᾽ ἡμᾶς χεομένην θεοποιόν αὐτοῦ χάριν καί ἐνέργειαν ἄκτιστον δείξας διά τῆς τοῦ ἐξέχεε φωνῆς (οὐ γάρ ἔκτισεν φησίν, ἀλλ᾽ ἐξέχεε) καί τήν φύσιν τοῦ Πνεύματος ἄκτιστον ἀπέδειξε˙ τό τοίνυν τοῦτο μή δυνηθῆναι συνιδεῖν, ἀσυνέτου τά θεῖα διανοίας, μηδαμῶς εἰδυίας, ὡς τήν ὑπερουσίτητα ἐκείνην οὔτε εἰπεῖν ἐστιν οὔτε ἐννοῆσαι οὔτε ὅλως πως θεωρῆσαι καί αὐτούς τούς ἀπειλικρινημένους καί ὑψηλούς τήν διάνοιαν, εἰ μή ἀπό (σελ. 298) τῆς θεαρχικῆς καί ἀγαθοποιοῦ προνοίας, ταὐτό δ᾽ εἰπεῖν, τῆς θείας καί παναιτίου κινήσεως καί ἐνεργείας. Ἄλλωστε καί κατά τόν πολύν τά θεῖα Μάξιμον, «ἀπό τῆς ἑκάστου ἐνεργείας ἡ ἑκάστου φύσις χαρακτηρίζεται, τῆς μέν κτιστῆς κτιστήν δεικνύσης φύσιν, τῆς δ᾽ ἀκτίστου ἄκτιστον». Ὁ δ᾽ Ἀκίνδυνος ἀνερυθριάστως καί ταπεινῶς φησι τόν μέγαν Βασίλειον ἐνταῦθα φάναι περί τοῦ Πνεύματος, ὅτι ὁ Θεός ἐξέχεεν αὐτό καί ἔδωκε καί ἐχαρίσατο, καίτοι φανερῶς ὁ μέγας ἐνταῦθα τοσοῦτο πάσης ταπεινότητος ἐπέκεινα ταύτας τάς φωνάς δείκνυσιν οἰόμενος, ὥστε ἀπ᾽ αὐτῶν καί τό πρός τόν Πατέρα τοῦ ἁγίου Πνεύματος ὁμοφυές καί ὁμότιμον παρέστησεν, «ἐξέχεε», λέγων, «οὐκ ἔκτισεν, ἐχαρίσατο οὐκ ἐδημιούργησεν, ἔδωκεν οὐκ ἐποίησεν». Ἀλλ᾽ ὁ θεολόγος Γρηγόριος τό χαρίζεσθαι καί δίδοσθαι καί εἴ τι ἄλλο τοιοῦτον ταπεινότερον φησί λέγεσθαι περί τοῦ Πνεύματος; Οὐκοῦν δεῖ ζητεῖν, πῶς ὅ ταπεινότερον οὗτος εἶπεν, ἐκεῖνος ὑψηλῶς ἐξεδέξατο καί διά τούτου τήν ὁμοτιμίαν παρέστησεν. Ὁ δ᾽ Ἀκίνδυνος οὐδέ τοῦθ᾽, ὅτι δεῖ ζητεῖν συνιδεῖν ἐδυνήθη˙ καί γάρ εἰ συνεώρακεν ἐζήτησεν ἄν, εἰ δ᾽ ἐξήτησεν, εἶδεν ἄν, ἤ παρά τῶν συνετῶς εἰδότων ἐδιδάχθη συνετῶς μετιέναι τά τοιαῦτα καί ὁρᾶν, ὡς παρά τῷ θεολόγῳ Γρηγορίῳ τῷ ταπεινοτέρῳ πρόσκειται «ἵνα τό ἐξ οὗ δειχθῇ», τουτέστιν ἵνα αἰτιατόν ἀναφανῇ τό Πνεῦμα τό ἅγιον, ὡς αἴτιον ἔχον τόν Πατέρα. Πᾶν δέ τό οὕτω ταπεινόν, ὡς τοῦ αἰτιατοῦ εἶναι δεικτικόν, ἄκτιστόν ἐστι˙ καί γάρ καί τό γεννητόν καί τό ἐκπορευτόν, αὐτή τε ἡ γέννησις καί ἡ ἐκπόρευσις, δεικνύντα τό αἰτιατόν καθ᾽ ὅ καί δευτερεύειν τοῦ Πατρός τά ἐξ αὐτοῦ φαμεν, ἄκτιστά ἐστι˙ τό γάρ ὑπερέχον καί μεῖζον ἐπί τῶν τοιούτων οὔτε τῇ κατά τό ἄκτιστον ἰσότητα λυμαίνεταί τι καί τό ἑνιαῖον ἐς τά (σελ. 300)

μάλιστα συνίστησι, μίαν ἀποφαῖνον τῶν διακεκριμένων τήν κατά τό αἴτιον ἀρχήν.

Ὁρᾷς τό ὕψος τῆς ταπεινότητος ἐκείνης; Καί τοῦτο δεικνύς τό ὕψος ὁ μέγας Βασίλειος, «ἐξέχεεν ἐφ᾽ ἡμᾶς», φησίν, «οὐκ ἔκτισεν, ἐχαρίσατο οὐκ ἐδημιούργησεν, ἔδωκεν οὐκ ἐποίησε», περί τῆς ἐφ᾽ ἡμᾶς χάριτος καί ἐνεργείας ταῦτα λέγων τοῦ Πνεύματος καί ἀπό ταύτης, ὡς εἴρηται, καί τήν αὐτοῦ φύσιν ἄκτιστον ἀποδεικνύς. Ἡ γάρ χάρις κατά τήν ἐπαγγελίαν ἐφ᾽ ἡμᾶς, ἀλλ᾽ οὐχ ἡ φύσις, ἐκχεῖται˙ οὐ γάρ ἁπλῶς τό Πνεῦμα ἐκχεῶ, φησίν, ἀλλ᾽ ἀπό τοῦ Πνεύματός μου. Πᾶν δέ τό οὕτως ἐκχεόμενον καί παρεχόμενον, ὡς ἑνοῦν τῷ παρέχοντι καί χαριζομένῳ καί ἐκχέοντι τά πρός ἅ ἐκχεῖταί τε καί δίδοται, τοῦ ἐκχέοντος καί χαριζομένου καί διδόντος ἀχώριστόν ἐστι. Πῶς γάρ ἄν τήν ἕνωσιν τῶν ἄλλων ἐξεργάσαιτο χωριζόμενον αὐτό; Τοιγαροῦν ἐξ αὐτοῦ τοῦ ἐκχέοντός ἐστι καί ἐν αὐτῷ, κἄν κτιστόν ᾖ θάτερον αὐτῶν καί τό ἕτερον, ὡς ἥλιός τε καί ἡ ἐκχεομένη ἀκτίς καί ἐνέργεια αὐτοῦ, δι᾽ ἧς ἑνοῖ πρός ἑαυτόν ἡλιοειδεῖς τούς ἐλλαμπομένους ὀφθαλμούς ἀπεργαζόμενος, ὅ τε νοῦς καί ἡ διάνοια, δι᾽ ἧς νοῦν ἐντιθείς ἑτέρῳ νῷ σοφίζει τόν μή πρότερον τοιοῦτον. Εἰ δ᾽ ἄκτιστον εἴη θάτερον αὐτῶν, καί τό ἕτερον, ὡς ἡ θεία φύσις καί ἡ θεοποιός χάρις καί ἐνέργεια, δηλονότι ἡ τῆς θείας φύσεως λαμπρότης˙ τοῦτο γάρ ἡ χάρις ἡ θεοποιός. Ὥσπερ δέ οὐ δύο διά τήν ἀκτῖνα ἥλιοι ἤ δύο νόες διά τήν διάνοιαν, οὕτως οὐδέ δύο θεοί διά τήν χάριν, ἀλλά τοῖς μέν ὀφθαλμιῶσιν ἄγαν οὐ φῶς ὁρᾶται ἡ ἀκτίς καί τοῖς ἀνοηταίνουσι μή νοῦν ἔχειν οἱ νουνεχεῖς δοκοῦσι κατά τό ᾀδόμενον, τοῖς δέ δυσσεβέσιν οὐκ ἄκτιστος πιστεύεται (σελ. 302) διατελεῖν ἡ τῆς θείας φύσεως λαμπρότης τε καί δύναμις.

Οἱ διδασκόμενοι παρά τοῦ πνεύματος τῆς πλάνης «τοῦ ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθίας», ὡς ἀπό τοῦ τόν Κύριον εἰπεῖν ὅτι, «ὁ Πατήρ μου μείζων μού ἐστιν», ἵνα τό ἐξ οὗ δειχθῇ, κτίσμα τοῦτον κατεσκεύασεν ὁ Ἄρειος, οὕτως οὗτοι, διότι χάρισμα καλεῖται τό παρά τοῦ Θεοῦ ἐκχεόμενον, καί τοῖς ἁγίοις ἐγγινόμενον Πνεῦμα ἅγιον, ἵνα τό ἐξ οὗ δειχθῇ, κτίσμα κατασκευάζουσιν αὐτό. Καί καθάπερ Ἄρειος ἀκούων Θεοῦ Υἱόν τόν Κύριον καί Θεόν μέν καθ᾽ ἑαυτόν λεγόμενον, οὕτως οὗτοι τοῦ Χρυσοστόμου πατρός ἀκηκοότες εἰρηκότος, οὐχ ὁ Θεός, ἀλλ᾽ ἡ χάρις ἐκχεῖται, διδαχθῆναι δέον, ὡς τό «ἐξέχεεν, ἀλλ᾽ οὐκ ἔκτισεν», οὐ περί τοῦ οὐσίας, ἀλλά περί τῆς χάριτος ὁ μέγας ἔφη Βασίλειος, οἱ δέ ἐκεῖ μέν ἐκχεῖσθαι τήν οὐσίαν

φασίν εἰρῆσθαι, κτίσμα δέ τήν θείαν ἐνέργειαν καί χάριν ἐνταῦθα φάναι τόν θεῖον Χρυσόστομον, ἵν᾽ ἀμφοτέρων τῶν ἁγίων καταψευσάμενοι δι᾽ ἀμφοτέρων τῶν εἰρημένων, φεῦ, ἀδικίαν εἰς τό ὕψος ἐκμελετήσωσι. Τῶν ἁγίων τοίνυν πάλιν λεγόντων ὡς οὐχί τήν φύσιν, ἀλλά τήν θεατικήν δύναμιν ἡ τῆς θεότητος προσηγορία παρίστησι, καί ὡς αὐτό τό χρῆμα τοῦ θεοποιοῦ δώρου θεότης ὀνομάζεται καί ὡς ἡ θεότης κυρίως τῆς ἐνεργείας, ἀλλ᾽ οὐχί τῆς φύσεως ὄνομά ἐστιν - ἡ γάρ θεία φύσις κυρίως ἀνώνυμος, ὡς ὑπερώνυμος - ἆρ᾽ ὅτι ταῦτα κυρίως ἡ θεότης, ἀλλ᾽ οὐχί ἡ φύσις, τήν φύσιν κτιστήν ἐροῦσιν, ἵνα μή πολυθεΐᾳ περιπέσωσι; Καί τοῦ μεγάλου Διονυσίου πάλιν γράφοντος, (σελ. 304) «ὅταν Θεόν εἴπωμεν οὐδέν ἕτερον νοοῦμεν ἤ τήν εἰς ἡμᾶς ἐξ αὐτοῦ προαγομένην δύναμιν», οὐ Θεόν ἐροῦμεν καί τόν ἔχοντα τήν δύναμιν ἐκείνην, ἵνα μή διθεΐᾳ περιπέσωμεν, ἤ κοινόν ὄνομα γινώσκοντες εἶναι τό Θεός καί τῆς οὐσίας καί τῆς ἐνεργείας καί τῶν ὑποστάσεων, ἕκαστον τούτων ποτέ μέν ἀπό τῆς ἰδίας προσηγορίας, ποτέ δέ Θεόν ἤ θεότητα ὀνομάζοντες οὐχ ἁμαρτήσομεν;

Ἀλλ᾽ ἐπειδή τό τοῦ χρυσορρήμονος ἐνταῦθα στρεβλοῦντες καί παρερμηνεύοντες Πατρός εἰς κτίσμα τήν θείαν κατασπῶσι χάριν, φέρε παρ᾽ αὐτοῦ διδαχθῶμεν, τίς ἡ χάρις ἡ ἐκχεομένη. Προθείς τοίνυν οὗτος ἐκεῖνο τό προφητικόν, «ἐξεχύθη χάρις εἰς χείλεσί σου», «τίς ἐστι», φησίν, «αὕτη ἡ χάρις; Δι᾽ ἧς ὁ Χριστός ἐδίδασκε, δι᾽ ἧς ἐθαυματούργει. Τήν χάριν, λέγει, τήν ἐλθοῦσαν ἐπί τήν σάρκα». Κτιστή τοίνυν ἡ ἐπ᾽ ἐκείνην ἐλθοῦσα τήν σάρκα χάρις; Ἤ τοῦτο μέν ὁ Ἀκίνδυνος οὐκ ὀκνήσει φάναι, καί γάρ καί τήν θέωσιν τοῦ δεσποτικοῦ προσλήμματος κτιστήν εἶναι ὁ τάλας ἀποφαίνεται καί κατά τόν προφήτην ἐπί τό ἄνθος ἐπαναπεπαυμένα τό ἐκ τῆς Ἰεσσαί ῥίζης ἀνασχόν ἑπτά πνεύματα, τουτέστι τάς ἐνεργείας τοῦ πνεύματος κτιστά φησιν˙ ἀλλ᾽ ἐπεί πάλιν οὗτος τήν κτιστήν παρ᾽ αὐτοῦ λεγομένην χάριν καί ἐνέργειαν ἐνεργεῖσθαι μόνον φησίν, ἀλλ᾽ οὐκ ἐνεργεῖν, ἐνταῦθα τήν ἐκχεομένην χάριν ἐνεργοῦσαν ἀκούων (αὕτη γάρ ἐστι, φησί, δι᾽ ἧς ἐδίδασκε, δι᾽ ἧς ἐθαυματούργει), αὐτήν εἶναι τήν οὐσίαν καί τήν ὑπόστασιν ἐρεῖ τοῦ ἁγίου Πνεύματος, τήν ἐλθοῦσαν ἐπί τήν σάρκα, ἵνα μή τόν Υἱόν μόνον, ἀλλά καί τό Πνεῦμα τό ἅγιον ἐνανθρωπῆσαν ὑποδείξας, μηδεμίαν ὑπερβολήν ἀπολίπῃ καινοφωνίας; Ἐπεί γάρ καί αὐτός ὁ Κύριος (σελ.306) ἐν εὐαγγελίοις εἶπεν, ἐν Πνεύματι Θεοῦ ἐκβάλλειν τά δαιμόνια, καί ὁ Χρυσόστομος

πατήρ ἐνταῦθ᾽ εἰπών τήν χάριν εἶναι τήν ἐλθοῦσαν ἐπί τήν σάρκα, τό πρός τόν βαπτιστήν εἰρημένην παρά τοῦ Θεοῦ ἐπήγαγεν, ἐφ᾽ ὅν ἄν ἴδοις τό Πνεῦμα καταβαῖνον ὡσεί περιστεράν καί μένον ἐπ᾽ αὐτόν, οὗτός ἐστιν ὁ Υἱός τοῦ Θεοῦ, πᾶσα γάρ ἡ χάρις ἐξεχύθη εἰς τόν ναόν ἐκεῖνον», αὐτό πάντως τό Πνεῦμα τό ἅγιον ἦν ἡ ἐπί τήν σάρκα ἐκείνην ἐκχυθεῖσα χάρις, κατά δέ τόν Ἀκίνδυνον αὐτή ἡ οὐσία καί ἡ ὑπόστασις τοῦ παναγίου Πνεύματος, ἀλλ᾽ οὐχ ἡ χάρις καί ἡ ἐνέργεια˙ μηδέ γάρ εἶναί φησιν ἄκτιστον μηδ᾽ ἐνεργόν πνεῦμα ἤ ἐνέργειαν τῆς οὐσίας ἐκείνης ὁπωσδήποτε διαφέρουσαν.

Ἀλλ᾽ ἀκουέτω τῶν ἑξῆς τοῦ Χρυσοστόμου πατρός˙ προσεπάγει γάρ τό παρά τοῦ βαπτιστοῦ περί τοῦ Κυρίου εἰρημένον, «οὐ γάρ ἐκ μέτρου δίδωσιν αὐτῷ τό Πνεῦμα ὁ Πατήρ». Ὅπερ αὐτός πάλιν τόν εὐαγγελιστήν Ἰωάννην ἐξηγούμενος, οὐ τήν οὐσίαν, ἀλλά τήν ἐνέργειαν εἶναι τοῦ Πνεύματος ἐδίδαξεν ἡμᾶς. «Ἡμεῖς μέν γάρ», φησί, «πάντες μέτρῳ τήν τοῦ Πνεύματος ἐνέργειαν ἐλάβομεν». Πνεῦμα γάρ ἐνταῦθα τήν ἐνέργειαν λέγει˙ αὕτη γάρ ἐστιν ἡ μεριζομένη. Οὗτος δέ ἀμέτρητον ἔχει καί ὁλόκληρον πᾶσαν τήν ἐνέργειαν. Εἰ δέ ἡ ἐνέργεια αὐτοῦ ἀμέτρητος, πολλῷ μᾶλλον ἡ οὐσία. Τοιγαροῦν κατά τόν Χρυσόστομον τοῦτον θεολόγον, αὐτό μέν ἐστι τό ἐκχεόμενον τό Πνεῦμα τό ἅγιον, ἀλλ᾽ οὐ κατ᾽ οὐσίαν, κατά δέ τήν ἄκτιστον χάριν τε καί ἐνέργειαν.

Ἀλλ᾽ ἀκουστέον ἄν εἴη καί τῶν ἑξῆς λεγομένων τῷ χρυσορρήμονι˙ καί γάρ εἰπών, «οὐ γάρ ἐκ μέτρου δίδωσιν ἐκείνῳ τό Πνεῦμα, ἀλλ᾽ ὁλόκληρον τήν χάριν ὁ ναός ἔλαβεν», ἐπάγει κἀνταῦθα πάλιν, «ἡμεῖς δέ μικρόν τι (σελ. 308) καί ῥανίδα ἀπό τῆς χάριτος ἐκείνης ἔχομεν. Ἐκ τοῦ πληρώματος γάρ, φησίν, αὐτοῦ πάντες ἐλάβομεν, ὡς ἄν εἴποι τις, ἐκ τοῦ ὑπερβλύζοντος, ἐκ τοῦ περιττεύοντος». Καί πάλιν, «οὐκ εἶπε δίδωμι τό Πνεῦμα, ἀλλ᾽ ἐκχεῶ ἀπό τοῦ Πνεύματός μου ἐπί πᾶσαν σάρκα. Τοῦτο γοῦν καί ἐξέβη˙ πᾶσαν γάρ τήν οἰκουμένην ἡ σταγών αὕτη καί ἡ ῥανίς τοῦ Πνεύματος ἐνέπλησε τῆς γνώσεως˙ διά ταύτην τά σημεῖα ἐγένετο, τά ἁμαρτήματα ἐλύετο. Ἀλλ᾽ ὅμως ἡ ἐν τοσούτοις κλίμασι διδομένη χάρις, μέρος τι τῆς δωρεᾶς ἐστι καί ἀρραβών˙ δούς γάρ, φησί, τόν ἀρραβῶνα τοῦ Πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν». Πάλιν οὖν ἐνταῦθα ὁ Ἀκίνδυνος, ἐπειδή τήν οὐσίαν μόνην καί τήν ὑπόστασιν ἐνεργεῖν φησί τά πάντα, ὡς τῆς ἐνεργείας τοῦ Πνεύματος τῶν ἐνεργουμένων, ἀλλ᾽ οὐχί τῶν ἐνεργούντων οὔσης κατ᾽ οὐδέν τρόπον, ἡ δέ σταγών αὕτη καί ἡ ῥανίς τοῦ Πνεύματος τήν οἰκουμένην

ἐνέπλησε τῆς γνώσεως, τήν ῥανίδα καί τήν σταγόνα ταύτην τήν ὑπόστασιν εἶναι τοῦ Πνεύματος ἐρεῖ; Καί πάλιν, «δι᾽ αὐτήν τά σημεῖα ἐγένετο, τά ἁμαρτήματα ἐλύετο». Τίς οὖν ἄλλο τοῦτο ἤ αὐτό τό Πνεῦμα τό ἅγιον; Κατά δέ τόν Βαρλαάμ καί τόν Ἀκίνδυνον, αὐτή ἡ ὑπόστασις τοῦ Πνεύματος. Ἀλλ᾽ ἀκουόντων μετά ταῦτα πάντα τοῦ χρυσορρήμονος ἐπενεγκόντος, «τό μέρος λέγει τῆς ἐνεργείας˙ οὐ γάρ δή ὁ παράκλητος μερίζεται». Ὁρᾷς πῶς οὐκ ἐκχεῖται ἡ τοῦ Πνεύματος ὑπόστασις, ἀλλ᾽ ἡ χάρις καί ἡ ἐνέργεια; Καί τοῦτό ἐστι, ὅ κἀκεῖ ἐδήλωσεν εἰπών, «οὐχ ὁ Θεός ἀλλ᾽ ἡ χάρις ἐκχεῖται». Κτιστή τοίνυν, ὅτι μή οὐσία καί ὑπόστασίς ἐστιν ἡ ἁγιάζουσα, ἡ σοφίζουσα, ἡ νόσους καί δαίμονας ἀπελαύνουσα, ἡ θανάτου καί πλάνης καί σῶμα καί ψυχήν ἀπαλλάττουσα καί πρός τήν ὄντως ἀλήθειαν καί ζωήν ἐπανάγουσα χάρις τοῦ Πνεύματος; Ἄπαγε τῆς ἀσεβείας!

(σελ. 310) Ἀλλ᾽ ὁ τήν εὐλάβειαν ἐν τοῖς θείοις προτετιμηκέναι λέγων Ἀκίνδυνος, τῷ μή μετά τῆς τοῦ Θεοῦ οὐσίας καί τήν τοῦ Θεοῦ θείαν χάριν ἄκτιστον ἐθέλειν ὁμολογεῖν, εἰς τοστοῦτο προκεχώρηκε τόλμης, ὡς καί τήν τοῦ δεσποτικοῦ προσλήμματος θέωσιν ἀποφήνασθαι κτιστήν. Συκοφαντῶν δή τόν ἐκ Δαμασκοῦ τά θεῖα σοφόν, ἐκ τῶν ἐκείνου λόγων συνάγειν οὗτος τό τοιοῦτό φησι, γράφοντος περί τοῦ Σωτῆρος ἡμῶν καί Θεοῦ τῶν πάντων Χριστοῦ, «κυηθείς μέν ἐκ τῆς παρθένου, προελθών δέ Θεός μετά τῆς προσλήψεως ἤδη καί αὐτῆς ὑπ᾽ αὐτοῦ θεωθείσης ἅμα τῇ εἰς τό εἶναι ταύτης παραγωγῇ, ὡς ὁμοῦ γενέσθαι τά τρία τήν πρόσληψιν, τήν ὕπαρξιν, τήν θέωσιν αὐτῆς ὑπό τοῦ λόγου». Συνάγων τοίνυν ὡς οἴεται αὐτός καί συμπεραίνων ἐκ τούτων, φησίν˙ «εἰ οὖν ἅμα γεγένηται ἡ τῆς τοῦ Θεοῦ Λόγου προσλήψεως θέωσις αὐτῇ τῇ παραγωγῇ τῆς προσλήψεως καί τῆς ὑπάρξεως τοῦ ἀνθρωπίνου τοῦ προαιωνίου Λόγου, πῶς ἄκτιστος;». Κακουργεῖ μέν οὖν τό τῆς προσλήψεως ὄνομα καί διπλῆν ἔχον τήν σημασίαν (ποτέ μέν γάρ αὐτό δηλοῖ τό προσειλῆφθαι μόνον, ποτέ δέ τό προσειλημμένον πρᾶγμα), καί τοῦ Δαμασκηνοῦ πατρός φανερῶς ἐπ᾽ ἀμφοτέρων ἐνταῦθα τούτῳ χρησαμένου, συνήγαγεν ὁ Ἀκίνδυνος εἰς ἕν κακούργως. Ἀγνοῆσαι δ᾽ ἔοικεν ὅτο τό γενέσθαι, διαφόρους σημασίας ἔχον, ἐπί διαφόρων τῷ ἁγίῳ τέθειται πραγμάτων. Οὐ μήν ἀλλ᾽ εἰ διά τό γεγράφθαι γεγενῆσθαι τοῦ δεσποτικοῦ προσλήμματος θέωσιν κτιστήν εἶναι ἀποδείξει, πῶς οὐχί καί τόν Θεόν αὐτόν φανερῶς ποιήσει κτίσμα, διά τό πρός αὐτόν τόν ψαλμῳδόν εἰπεῖν, «γενοῦ μοι εἰς Θεόν

ὑπερασπιστήν»; Εἰ τοίνυν “γίνεται”, μᾶλλον δέ καί “γέγονεν” , ἐπακούσας, (σελ. 312) καί ταῦτα εἰς Θεόν πρός ὅν ὁ προφήτης εὔχεται, πῶς ἄκτιστος κατά τόν Ἀκινδύνου λῆρο; Ἀλλά καί τοῦ εὐαγγελιστοῦ γράφοντος ὅτι «ὁ λόγος σάρξ ἐγένετο», μή καί οὗτος κτίσμα; Καί τοῦτο γάρ, ἅμα τῇ τῆς σαρκός ὑπάρξει καί προσλήψει γέγονεν. Οὕτος ἄρ᾽ ἡ θέωσις ἐκείνου τοῦ προσλήμματος, ὁ λόγος τοῦ Θεοῦ. Τί γάρ ἡ θέωσις; Οὐχί ἡ χρίσις τοῦ προσλήμματος; Παντί που δῆλον. Τίς οὖν ἡ χρίσις ἐκείνου τοῦ προσλήμματος; Τοῦ τῆς θεολογίας ἐπωνύμου Γρηγορίου λέγοντος ἀκούσωμεν˙ «Χριστός διά τήν θεότητα˙ αὕτη γάρ ἡ χρίσις τῆς ἀνθρωπότητος, οὐκ ἐνεργείᾳ κατά τούς ἄλλους χριστούς ἁγιάζουσα, παρουσίᾳ δέ ὅλου τοῦ χρίοντος˙ ὁ αὐτός οὖν ἥ τε χρίσις καί ὁ χρίων ἦν, ἥ τε θέωσις καί ὁ θεοποιῶν˙ δι᾽ ἑαυτοῦ γάρ ἔχρισεν ὡς ἠθέλησε τό ἡμέτερον φύραμα, δι᾽ ἄφατον φιλανθρωπίας πέλαγος». Ἀλλά καί ὁ παρ᾽ Ἀκινδύνου συκοφαντηθείς θεολόγος τοῦτο διδασκέτω, γράφων κατά τῶν μίαν φύσιν ἐπί Χριστοῦ κακῶς δογματιζόντων˙ «τό Χριστός ὄνομα τῆς ὑποστάσεως λέγομεν, οὐ μονοτρόπως λεγόμενον, ἀλλά τῶν δύο φύσεων ὑπάρχον σημαντικόν˙ αὐτός γάρ ἑαυτόν ἔχρισε, χρίων μέν ὡς Θεός τό σῶμα τῇ θεότητι αὐτοῦ, χριόμενος δέ ὡς ἄνθρωπος˙ αὐτός γάρ ἐστι τοῦτο κἀκεῖνο˙ χρίσις δέ ἡ θεότης τῆς ἀνθρωπότητος».

Οὕτως ἡ θέωσις ὑπό τοῦ λόγου τῷ προσλήματι γέγονε, δι᾽ αὐτοῦ χρίσαντος τό ἀνθρώπινον καί αὐτοῦ χρηματίσαντος ὑποστάσεως τῷ προσλήματι. Ἡ δ᾽ ὕπαρξις τοῦ προσλήμματος ὑπό τοῦ λόγου γέγονεν, ὡς αὐτοῦ τοῦτο κτίσαντος ἐκ τῶν παρθενικῶν αἱμάτων. Ὁρᾷς τό διάφορον ὅσον; Ἐπεί τοίνυν θέωσις τοῦ προσλήμματος, ἡ χρίσις τοῦ προσλήμματος, χρίσις δέ τοῦ προσλήμματος, ἡ θεότης τοῦ μονογενοῦς, ὡς ἀριδήλως ἠκούσαμεν, κτιστήν λέγων ὁ Ἀκίνδυνος τήν θέωσιν ταύτην, αὐτήν τήν (σελ. 314) θεότητα τοῦ μονογενοῦς κτίσμα παρίστησιν ἡμῖν. Ραδίως δ᾽ ἄν οὗτος ὡς καί ἀνωτέρω εἶπον, τοῦ ψαλμῳδοῦ Δαβίδ λέγοντος, «ἐγένετό μοι ὁ Θεός εἰς καταφυγήν», κτίσμα καί ἀπό τούτου παραστήσει τόν Θεόν. Ἀλλά τίς ἄν εὖ φρονῶν κτιστήν εἴποι τήν προφητικήν καταφυγήν; Ὁ γάρ Θεός αὐτός ἐστιν αὐτοῦ καταφυγή. Τό δ᾽ “ἐγένετο” διά τό ἄρξασθαι. Τίς οὖν ἤρξατο; Πάντως ὁ καταφυγών. Κἀκεῖ τί τό ἀρξάμενον θεοῦσθαι; Πάντως τό ἀνθρώπινον. Ὥστε μάλιστα τούτοις ἐφαρμοστέον τό γενέσθαι. Καί ἡμῶν γάρ ἐγγιζόντων ἔργοις ἤ μακρυνομένων τοῦ Θεοῦ, τόν Θεόν

ἐγγίζειν ἡμῖν ἤ μακρύνεσθαί φαμεν. Οὕτω τοίνυν καί τό γενέσθαι νοήσομεν ἐπί Θεοῦ.

Εἰ δ᾽ ἄρα καί ἐπ᾽ αὐτοῦ τρόπον ἕτερον θέλεις ἐκλαβεῖν, τό γίνεσθαι φανεροῦσθαι ἤ ἑνοῦσθαι νόμισον. Οὕτω γάρ «καί ὁ Λόγος σάρξ ἐγένετο», τουτέστιν ἥνωται σαρκί καί πεφανέρωται διά σαρκός. Καί μήν οὐδ᾽ ἔχει προφασίσασθαι μή τό χρίσμα τοῦ ἀνθρωπίνου τοῦ Χριστοῦ θέωσιν κτιστήν ἐνταῦθα λέγειν ὁ Ἀκίνδυνος. Τῶν γάρ αὐτοῦ λόγων ἀνωτέρω πάντα φύρων καί τῷ ψεύδει σαμφύρων καί κατά πολλήν ἐξουσίαν ὑβρίζων, φεῦ, εἰς τήν τοῦ Πνεύματος χάριν, νῦν μέν ἀποφαίνεται, ταύτην εἰς κτίσμα κατασπῶν, μηδεμίαν εἶναι χάριν ἄκτιστον ἄλλην, παρά τήν θείαν φύσιν, ἵνα καί εἰς αὐτήν ὁ τάλας βλασφημήσῃ τήν θείαν φύσιν, φυσικῆς χάριτος ἔρημον ἀποφηνάμενος εἶναι τήν ἀένναον πηγήν τῆς χάριτος, νῦν δέ φανερῶς τήν κυρίως, ὡς καί αὐτός γράφει, χάριν, αὐτήν τήν ἐκχεομένην ἀπό τοῦ Πνεύματος, κτιστήν ὑποδείκνυσιν, οὐδ᾽ αὐτό τό τοῦ ὀνόματος ἐμφαντικώτατον δυσωπηθείς. Πᾶν γάρ τό ἐκχεόμενον ἀπό τοῦ Πνεύματος πρός τούς ἐν αὐτῷ κατά τό εὐαγγέλιον τῆς χάριτος βαπτιζομένους καί πνευματικούς ἐκτελουμένους ἤρτηται δήπου τῆς πηγῆς, ἐξ αὐτῆς τέ ἐστι (σελ. 316) καί ἐν αὐτῇ ὄν τε καί προόν. Ὁ δέ καί ἀπαριθμεῖται τά εἴδη τῆς κυρίως χάριτος, τῆς ἐκχεομένης παρά τοῦ Πατρός ἀπό τοῦ Πνεύματος αὐτοῦ˙ καί φησιν εἶναι τό ἀσώματον καί ἀόρατον καί ἀτελεύτητον, καί ταῦτα οὐ μόνον τό προσόν ἀγγέλοις καί ψυχαῖς, ἀλλά καί αὐτοῖς τοῖς δαίμοσιν, ὡς αὐτός ἐκεῖ φησιν (ὤ ψυχῆς παντόλμου μᾶλλον δέ μαινομένης δαιμονίως), κατά τῆς παρά τοῦ Σωτῆρος Χριστοῦ τοῖς μαθηταῖς ἐπηγγελμένης καί πρός μόνους τούς ἀληθῶς πιστούς ἐκκεχυμένης χάριτος τοῦ Πνεύματος, ἥν καί αὐτός ὁ Πατήρ ἀνακηρύξαι θέλων πᾶσιν ἄκτιστον, διά τοῦ Ἰωήλ προανεφώνησεν, «ἐκχεῶ ἀπό τοῦ Πνεύματός μου ἐπί πᾶσαν σάρκα», δηλαδή τήν πιστεύσασαν, ὡς ὁ ἐν θεολογίᾳ μέγας φησί Γρηγόριος. Ὅ τοίνυν ὁ Πατήρ ἀπό τοῦ ἰδίου τοῦ Πνεύματος ἐξέχεε, καί ἐπί μόνους τούς ἀξίους κατά τήν ἑαυτοῦ καί τοῦ Υἱοῦ ἐπαγγελίαν, κτίσμα; Καί τοιοῦτον οἷον καί δαίμοσι προσεῖναι;

Ἀλλά πόθεν τοῦτο νῦν, ὁ καί τό θεῖον φῶς πρότερον ἀποφηνάμενος κτιστόν, καί εἰς τόν Βελίαρ, φεῦ, παραγνωρίσας; Πόθεν οὖν τήν ὄντως θείαν χάριν, τήν παρά τοῦ Πατρός ἀπό τοῦ Πνεύματος ἐκχεομένην, κτιστήν δεῖν οἴεται κατασκευάζειν καί αὐτό ταύτην εἶναι τό ἀσώματον καί ἀόρατον καί ἀτελεύτητον, ὧν καί τό

δαιμόνιον οὐκ ἀμοιρεῖ φῦλον; Ἀπό τοῦ λέγειν τούς πατέρας, ὅτι χάριτι Θεοῦ ταῦτ᾽ἔσχον, ἅπερ ἔσχον, ἀλλ᾽ οὐκ ἀφ᾽ ἑαυτῶν. Μόνος γάρ ὁ Θεός οὐ ταῦτ᾽ ἔχει χάριτι, τό δεδόσθαι τούτοις δηλοῦντος ἐνταῦθα τοῦ τῆς χάριτος ὀνόματος, καί τό δι᾽ ἀγαθότητα Θεοῦ δωρεάν παρῆχθαι ἐκ μή ὄντων. «Τί γάρ ἔχομεν ὅπερ οὐκ ἐλάβομεν»; Τίς δέ ἔδωκε Θεῷ καί ἀνταποδοθήσεται αὐτῷ; Τίς γοῦν κοινωνία τοῦ χάριτι, τουτέστι δι᾽ ἀγαθότητα, (σελ. 318) τήν κτίσιν κτισθῆναι, πρός τήν ἐκχεομένην ἀπό τοῦ Πνεύματος χάριν τοῖς ἀξίοις; Ἐκείνη γάρ οὐκ ἔκτισται, ἀλλά ἐκκέχυται, ὡς καί ὁ μέγας ἔφη Βασίλειος, «κἀκείνη μέντοι χάριτι καί δωρεάν ἐκκέχυται». Τοιγαροῦν ἕτερον τό χάριτι διδόσθαί τι καί ἄλλο τό διδόμενον, εἰ καί μηδέ τοῦτο δῆλός ἐστι συνείς ὁ Ἀκίνδυνος. Ἀλλά καί πᾶν τό διδόμενον ἡμῖν ὑπό Θεοῦ καί χαριζόμενον οὐκ ἴσον, οὐδέ κτίσμα πᾶν˙ «δώσω γάρ ὑμῖν καρδίαν καινήν καί πνεῦμα καινόν δώσω ὑμῖν καί ἀφελῶ τήν καρδίαν τήν λιθίνην ἐκ τῆς σαρκός ὑμῶν καί δώσω ὑμῖν καρδίαν σαρκίνην, καί τό πνεῦμά μου δώσω ἐν ὑμῖν», διά τοῦ Ἰεζεκιήλ ἔφη ὁ Θεός. Ὁρᾷς δομάτων διαφοράν; Τό μέν γάρ καινόν πνεῦμα καί ἡ καινή καρδία, κτίσμα˙ τοῦτο γάρ ἐστιν ὅ καί ἀπόστολος καινήν ὀνομάζει κτίσιν, ὡς ἀναπλασθεῖσαν καί ἀνακαινισθεῖσαν τῇ διά σαρκός ἐπιδημίᾳ τοῦ καί τήν ἀρχήν πλάσαντος. Τό δέ τῇ καινῇ καρδίᾳ διδόμενον Πνεῦμα Θεοῦ, τό Πνεῦμα τό ἅγιόν ἐστιν, ὡς καί μετά τοῦ Ἰεζεκιήλ καί ὁ μέγας Ἀθανάσιός φησι, καί πρός τούτοις ὁ μέγας Βασίλειος «καινή πάλιν», λέγων, «ἡ κτίσις, μεταλαμβάνουσα τοῦ Πνεύματος, οὗ περ ἐστερημένη πεπαλαίωτο».

Ἀλλά καί τόν Υἱόν ὁ Πατήρ ἐχαρίσατο ἡμῖν καί αὐτός ἑαυτόν ὁ Υἱός ἐκένωσεν ὑπέρ ἡμῶν. Καί διά ταύτην τήν ἀπόρρητον κένωσιν καί χάριν, ἕτερον πάλιν ἀπόρρητον τρόπον ἐκχεῖται πρός ἡμᾶς ἀπό τοῦ Πνεύματος ἡ τοῦ Πνεύματος χάρις, τῶν ἀξίων ἕκαστον ναόν ποιοῦσα ἑαυτῆς. Ὁ δ᾽ Ἀκίνδυνος οὐκ ὀλίγα πλημμελήσας μεταξύ λέγων καί πάντα συγχέας, ἐκ τοῦ μή συνεῖναι τήν πολυειδῆ σημασίαν τοῦ τῆς χάριτος ὀνόματος, εἶτα προϊών, τήν ἐκχεομένην ἀπό τοῦ Πνεύματος χάριν (σελ. 320) τό αἷμα εἶναι τοῦ Χριστοῦ φησι καί ἡ πρόφασις κἀνταῦθα, ἐπειδή τήν ἀπολύτρωσιν δι᾽ ἐκείνου τοῦ αἵματος ἐλάβομεν, χάριτι δοθέντος ὑπέρ ἡμῶν. Πῶς δέ παρά τοῦ Πατρός ἀπό τοῦ Πνεύματος αὐτοῦ τό αἷμα χεῖται, μόνος αὐτός ἄν εἴη δίκαιος διδάσκειν, ὅς μετά τοῦτο τήν τοῦ θείου Πνεύματος θείαν χάριν, ἥν ὁ Θεός ἄνωθεν ἐξέχεεν ἐπί τούς ἠξιωμένους δι᾽ αὐτῆς ἕν Πνεῦμα μετ᾽

αὐτοῦ γενέσθαι, τήν ζωήν εἶναι λέγει τῶν ἀλόγων ζώων καί τήν αἴσθησιν. Ἐν δέ τοῖς λογικοῖς ζώοις καί τόν λόγον ἀλόγως ὄντως οἰόμενος καί δυσσεβῶς ἐκχεῖσθαι παρά τοῦ Πατρός ἀπό τοῦ Πνεύματος αὐτοῦ, μή μόνον ἐπί τούς ἀσεβεῖς τε καί κτηνώδεις τόν τε βίον καί τόν λόγον, ἀλλά καί ἐπ᾽ αὐτά τά μηδαμῶς πρός λόγον πεφυκότα. Πλάτων μέν οὖν καί πρό τούτου Πυθαγόρας τό τῶν ἀνθρώπων ἔφησαν πνεῦμα θηρίοις καί κτήνεσιν ἐγγίνεσθαι μεταγγιζόμενον. Ὁ δ᾽ Ἀκίνδυνος ἀπό τοῦ θείου Πνεύματος κἀπί ταῦτα χεῖσθαι δογματίζει, λίαν ὡς ἐγῷμαι δυσσεβεστέραν τῆς Πυθαγόρου καί Πλάτωνος εἰσάγων δόξαν. Εἰ δέ μή, τό γε ταύτης πάλιν δυσσεβέστερον, κτίσμα πείθων εἶναι τό παρά Χριστοῦ τοῖς κατ᾽ αὐτόν ζῶσι θεῖον Πνεῦμα παρεχόμενον. Διό, τήν γεννησαμένην τόν Χριστόν παρθένον ἐξυμνῶν ὁ ἐκ Δαμασκοῦ θεοφόρος μουσικός, φησίν˙ «ὢ συναλλαγμάτων τῶν ἐν σοί; ἀγαθῶν γάρ ἀφθόνων παρεκτικόν ὡς Θεός Πνεῦμα θεῖον δούς ἡμῖν σάρκα ἐκ σοῦ, κόρη, προσελάβετο». Τούτου γάρ ἕνεκεν Ἀκίνδυνος τῶν προακτειλεγμένων ἕκαστον τήν ἐκχεομένην παρά τοῦ Πατρός ἀπό τοῦ Πνεύματος αὐτοῦ διατελεῖν ἰσχυρίζεται χάριν, νομίζων περιβάλλειν ἡμᾶς ἀτόποις ὡς ἄκτιστα ταῦτα πάντα τιθεμένους, ἐπειδήπερ ἄκτιστον εἶναί φαμεν τό Πνεῦμα τό ἅγιον, τό ἐπί τούς ἀποστόλους καί τούς (σελ. 322) μετ᾽ αὐτούς ἀξίους ἐκχυθέν τε καί δοθέν, οὐ μέντοι κατ᾽ οὐσίαν ἀλλά κατ᾽ ἐνέργειαν καί χάριν.

Ἐπεί τοίνυν, περί τούτου πρός ἡμᾶς ποιούμενος τόν λόγον, ὅ λαμβάνοντες οἱ θεούμενοι θεοῦνται, καί περί ταύτης τῆς ἑνώσεως, ἥν οἱ λαβόντες οὐκ ἀπολιπόντες τήν ἰδίαν φύσιν, ἀλλ᾽ ὑπεραναβάντες ταύτην θείως θεοποιοῦνται, καί ταύην κτίσμα θέλων δεῖξαι, προαγαγεῖν εἰς παράστασιν ἐτόλμησε τήν τοῦ δεσποτικοῦ προσλήμματος θέωσιν καί ταύτην ἀποφήνασθαι κτιστήν, δῆλός ἐστι τοῦτο κἀν τούτῳ λέγων θέωσιν, ὅπερ εἰληφυῖα τεθέωται ἡ σάρξ ἐκείνη (τοῦτο δέ ἦν ἡ τοῦ Λόγου τοῦ Θεοῦ ὑπόστασις), ἥ καί ἕνωσις ρηθείη ἄν˙ αὕτη γάρ ἡ ἕνωσις γέγονε τῆς θεότητος καί τῆς σαρκός, καί κατ᾽ αὐτήν ὁ Θεός ἥνωται τῇ ἀνθρωπίνῃ φύσει. Τόν αὐτόν δέ τρόπον καί ἡ χάρις καί ἡ ἐνέργεια τοῦ Πνεύματος ἕνωσις λεχθείη ἄν, τοῦ τε Θεοῦ καί τῶν ἁγίων˙ αὕτη γάρ ἐστι καθ᾽ ἥν ὁ Θεός ἑνοῦται τοῖς ἁγίοις ὥσπερ καί ἡ τοῦ ἡλίου ἀκτίς ἕνωσίς ἐστιν ὀφθαλμῶν πρός ἥλιον˙ αὕτη γάρ ἐστι καθ᾽ ἥν ἑνοῦνται τῷ ἡλίῳ οἱ τῶν ὁρώντων ὀφθαλμοί, οὐ γάρ ἐστιν ἔξω τῆς ἀκτῖνος γενόμενον ἡλίῳ προσορᾶν.

Γίνεται μέν οὖν φῶς τῶν ἤδη τεθεαμένων ὀφθαλμῶν ὁ ἥλιος, ἀλλά καί πρό τοῦ θεαθῆναι φῶς ὑπῆρχειν οὗτος, ἡνίκα δ᾽ ὤφθη, περανέρωται φῶς καί φωτισμός ὑπάρχον. Οὐκοῦν, οὐ διά τό φῶς, ἀλλά διά τόν φωτισθέντα τό γίνεσθαι.

Οὕτω τοίνυν, καί πολλῷ μᾶλλον οὐδ᾽ ὅσον εἰπεῖν, ὁ Θεός ἀεί μένων ἐπί τοῦ αὐτοῦ καί ὁ αὐτός ἀεί διατελῶν καί τῆς καθ᾽ ἑαυτόν μονιμότητος ἐξιστάμενος οὐδ᾽ ὁπωσοῦν, ὤν τε ὅπερ ἦν τε καί ἔστιν ὡς ἀληθῶς, φῶς καί χάρις καί ζωή, λαμπρότης τε καί θέωσις πεφανέρωται μέν ἅπαξ, ὡς εὐδόκησε, τοιοῦτος ὤν διά σαρκός οἰκείας, ἥν ἀνείληφεν ἐκ τῆς Παρθένου, καί ᾗ κατά (σελ. 224) μίαν τῶν ἑαυτοῦ θείων ὑποστάσεων ὑπερφυῶς ἡνώθη, φανεροῦται δέ διηνεκῶς διά τῶν ἐκ τῆς αὐτοῦ χάριτος θεουργουμένων, καί οὕτω χάρις αὐτός αὐτοῖς γίνεται, λαμπρότης τε καί θέωσις, αὐτῶν γινομένων καί ἀλλοιουμένων καί αὐτῶν ἠργμένων, ἀλλ᾽ οὐ τῆς λαμπρότητος καί τῆς χάριτος καί τῆς θεώσεως. Ἠργμένων δέ καί τούτων, τί; Κτίσμα τι προσλαμβάνειν; Οὐμενοῦν, ἀλλά Θεόν. Οὐ μήν ἀλλ᾽ ἐπεί τῷ ἀκτίστῳ καί τό ἄναρχον πρός ἡμᾶς ἀντιλέγων ὁ Ἀκίνδυνος συναπηγόρευσεν, ἰσχυριζόμενος αὐτός μήτε ἄκτιστον μήτε ἄναρχον εἶναι τήν τοῦ δεσποτικοῦ προσλήμματος θέωσιν, εἰ μέν τό θεούμενον ἀρχήν φησί λαμβάνειν, τίς ἐστιν ὁ λέγων, ὡς οὐκ ἤρξατο θεοῦσθαι τό θεούμενον, εἰ καί μή διά κτίσματος; Οὐ μέντοι περί τούτου πρός αὐτόν ἡμῖν ὁ λόγος, ὥστ᾽ εἰ τοῦτό φησι περί ἡμῶν αὐτός, συκοφάντης ἐστί περιφανής˙ εἰ δέ θέωσίν φησιν ὅ λαμβάνον τό θεούμενον θεοῦται καί δι᾽ οὗ ἑνός αὐτοῖν ὄντος μετά τήν τῶν ἡνωμένων ἕνωσιν ἀμφότερα συνδεῖται, περί οὗ ἡμῖν ὁ λόγος, εἰ τοῦτο κτιστόν ὁ Ἀκίνδυνός φησιν, ὥσπερ οὖν φησι, φανερόν ὅτι καθάπερ πρότερον τήν λαμπρότητα τῆς θείας φύσεως καθ᾽ ἥν ἑνοῦται τοῖς ἁγίοις ὁ Θεός ἔλεγε κτιστήν, οὕτω νῦν αὐτήν φησι κτιστήν τήν τοῦ Λόγου τοῦ Θεοῦ ὑπόστασιν. Αὕτη γάρ ἐπί Χριστοῦ μία ἐστί μετά τήν ἕνωσιν τῆς θεότητος καί τῆς σαρκός καί διά ταύτην ἡ σάρξ ἐκείνη τεθεωμένη τε ὁμοῦ καί ὁμόθεος ὑπῆρξεν.

Ἀλλά ταῦτα μέν τό νῦν ἔχον ἐατέον, ἐπειδή κἀν τῷ τρίτῳ τῶν πρός αὐτόν μοι λόγων διατετράνωται. Τήν δ᾽ ἐπί τῶν αὐτοῦ λόγων περί τῆς χάριτος ἐμφύλιον στάσιν καί τῷ καιρῷ καθ᾽ ὅν ἔτυχε τῆς παρρησίας οὐκ ἀπᾴδουσαν, διασκεψώμεθα καί ταύτην ὡς ἔνι δι᾽ ὀλίγων, (σελ. 326) ἐπεί κἀν τοῖς ἄνω λόγοις περί τῆς αὐτῆς χάριτος ἀνετάζοντες αὐτόν, μαχόμενον ἑαυτῷ καί αὐτέλεγκτον ἐδείξαμεν.

Οὗτος δή κἀνταῦθα νῦν μέν διά πολλῶν ἐπιχειρημάτων καί μακρῶν μαρτυριῶν αὐτήν οἴεται κατασκευάζειν ἄκτιστον ἔλλαμψιν καί χάριν εἶναι διδομένην ἡμῖν παρά Θεοῦ τήν οὐσίαν τοῦ Θεοῦ, καί αὐτήν τήν ὑπόστασιν τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν δ᾽ αὖ μηδέν μελλήσας, μεταβαλών ἐν τῷ αὐτῷ συγγράμματι, κτίσμα ταύτην εἶναι λέγει φανερῶς, ταῖς τῆς κτιστῆς φύσεως χάρισιν αὐτήν συντάττων, καί ἀσεβεῖν διατείνεται περιφανῶς ἀθεΐᾳ περιπίπτοντας τούς μή κτίσμα λέγοντας τό παρά Θεοῦ ἐκχεόμενον καί διδόμενον καί ἀγγέλοις καί ἀνθρώποις, καί πνευματικούς καί ἁγίους τούτους ἐκτελοῦν. Τό μέν οὖν τίθεσθαι καί ἐπί τοῦ κτιστοῦ καί ἐπί τοῦ ἀκτίστου τοὔνομα τῆς χάριτος, καί χάριν εἶναι μέν τινα κτιστήν, εἶναι δ᾽ ἄλλην ἄκτιστον, θαυμαστόν οὐδέν˙ ἀλλ᾽ οὐδέ τό ποτέ μέν αὐτό τό δωρεάν δίδοσθαι δηλοῦν, ἔσθ᾽ ὅτε δέ τό δωρεάν διδόμενον, ὅ μή συνιείς μηδέ διαιρεῖν ὑγιῶς δυνάμενος ὁ καινός οὗτος θεολόγος, πολλοῖς καί ἀπό τούτου κινδυνεύει περιπίπτειν ἀτοπήμασιν, ὡς ἐν ἀδιακρίτῳ σκότῳ πυκνά προσπαίων ὑπ᾽ ἀνοίας. Ἡ δέ χάρις ἔσθ᾽ ὅτε οὐ τό δόμα οὐδέ τό δωρεάν δίδοσθαι διατελει δηλοῦσα τοῖς ἐπαΐουσιν, ἀλλ᾽ αὐτήν ὡς ἄν εἴποι τις τήν καλλονήν καί εὐπρέπειαν καί ἀγλαΐαν τῆς ἑκάστου φύσεως. Καί ἡγεμονικοῦ γάρ καί λόγων χάριν λέγομεν τό φύσει χαρίεν αὐτῶν δεικνύντες, καθ᾽ ὅ σημαινόμενον καί ἡ τοῦ Θεοῦ λαμπρότης χάρις λέγεται, ἀφ᾽ ἧς, ουχ ὁ Υἱός μόνον ἤ τό Πνεῦμα τό ἅγιον, ἀλλά καί ὁ Πατήρ καλεῖται˙ κοινή γάρ καί ἡ τοιαύτη δόξα καί χάρις καί ἐνέργεια τῶν τριῶν προσκυνητῶν προσώπων ἡ καί τοῖς (σελ. 328) καταξιουμένοις ἐπιφαινομένη θείως. Διό καί ψάλλομεν ἐπ᾽ ἐκκλησίας˙ή

«φυσικήν συναΐδιον δόξαν προβαλλομένη
μοναρχικωτάτη Τριάς ἁγία,
τούς ὑμνοῦντας ὀρθοδόξῳ σε πίστει
τῆς σῆς δόξης ἰδεῖν ἀξίωσον
ἄναρχον καί μίαν αὐγήν τήν τρισήλιον.

Τό μέν οὖν ὁμώνυμον εἶναι φωνήν καί πολυσήμαντον τήν χάριν θαυμαστόν οὐδέν. Τό δ᾽ αὐτό τό ἐκ Θεοῦ τοῖς ἁγίοις παρεχόμενον καί ἐγγινόμενον κάι ἑνοῦν πρός τόν Θεόν αὐτούς καί πνευματικούς ἀπεργαζόμενον, ὡς ἕν εἶναι Πνεῦμα μετά τοῦ Κυρίου, νῦν μέν λέγειν ἄκτιστον καί αὐτήν τήν ὑπόστασιν τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, νῦν δέ κτίσμα λέγειν τοῦτ᾽ αὐτό, διιστάν Θεοῦ μᾶλλον ἤ συνάπτον τούς αὐτό λαμβάνοντας, ἅτε πρῶτον αὐτό διεστηκός τοῖς ἄλλοις

ἅπασιν ὁμοίως – τίς γάρ φυσική συνάφεια κτίσματος πρός ἄκτιστον; - , ταῦτα τοίνυν τά οὕτως ἐναντία λέγειν, οὐκ ἔχω συνιδεῖν τίνος ἐστί φρενός. Ἡνίκα μέν γάρ κτίσμά φησι τήν ὑπό τοῦ Θεοῦ πρός τούς ἀξίους χεομένην χάριν, ἀναιρεῖ φανερῶς τήν πρός τόν Θεόν τῶν ἁγίων ἕνωσιν καί ἀθετεῖ τήν κοινωνίαν τῆς θεότητος, εἰς ἥν κατά τούς θεολόγους ἕκαστος ἄγεται ὑπό τοῦ Χριστοῦ, εἰ μηδέν ἐπάγοιτο τῆς πρός τό θεῖον συμφυΐας ἀνάξιον. Ἡνίκα δ᾽ αὖ φησί τήν ὑπόστασιν αὐτήν τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος τήν ἐκχεομένην τε καί διδομένην τοῖς ἁγίοις εἶναι, πάντες ὁμοθέους ποιεῖ καί ὁμοτίμους τῷ Χριστῷ, ἅτε καθ᾽ ὑπόστασιν ἡνωμένους τῷ Υἱῷ, καί μή τούτῳ μόνον - ὤ βλασφημίας - , ἀλλά καί τῷ Πνεύματι, ὡς μετά τῆς ἄλλης δυσσεβείας καί σαβέλλειον συναλοιφήν ὑποφαίνεσθαι τῶν ὑποστάσεων. Ἀλλά, «κτίζει», φησίν, «ἡ ὑπόστασις τοῦ παναγίου Πνεύματος (σελ. 330) ἐν τοῖς ἁγίοις τήν θεοποιόν χάριν, καί παρά τοῦτο ἡ κτιστή χάρις αὕτη ὑπόστασις εἶναι λέγεται τοῦ παναγίου Πνεύματος˙ καί οἱ τήν κτιστήν χάριν λαβόντες τό Πνεῦμα τό ἅγιον λέγονται λαβεῖν, αὐτήν τήν οὐσίαν καί ὑπόστασιν τοῦ Πνεύματος». Καί τί τῶν ἐν τοῖς οὖσι πᾶσιν οὐκ ἔκτισται παρά τοῦ παναγίου Πνεύματος; Οὐκοῦν πάντ᾽ ἔλαβον ἄνωθεν ἐκχυθεῖσαν κατ᾽ αὐτόν τήν οὐσίαν καί ὑπόστασιν τοῦ Υἱοῦ καί τοῦ Πνεύματος. Καί μετά τῆς ἐκβαινούσης ἐντεῦθεν ἀτοπίας καί τῆς ἄλλης δυσσεβείας καί παραπληξίας οὐδ᾽ ἐπαγγελία ἦν οὐδέ προφητεία τό «καί ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις, ἐκχεῶ ἀπό τοῦ Πνεύματός μου», ἀλλ᾽ οὐδ᾽ ἐπί τούς πεπιστευκότας μόνους τήν ἔκβασιν ἐδέξατο, μᾶλλον δέ κατά τόν Ἀκίνδυνον, ἐπήγγελται μέν οὐκ ἀληθῶς˙ ἡ γάρ ἔκβασις κατά τήν αὐτοῦ μύησιν κτίσμα παρέστησεν ἡμῖν τό προφητευόμενον ὡς Πνεῦμα θεῖον.

Καί τό νῦν δ᾽ αὖ ἡμῖν δεδόσθαι Πνεῦμα θεῖον λέγεσθαι φενακισμός αὖθις ἕτερος οὐδ᾽ ἀφανής˙ καί γάρ κτίσματος ἡμῖν δοθέντος κατ᾽ αὐτόν, Πνεῦμα ἅγιον ἡμῖν λέγεται δεδόσθαι. Βαβαί, τίς ἡ περί ἡμᾶς τοσαύτη κυβεία καί ἀπάτη καί κλοπή, ναούς λέγεσθαί τε καί προλέγεσθαι Πνεύματος, καί κατοικητήρια τελεῖσθαι κτίσματος; Τί δέ; Οὐχί καί ἡμῶν ἕκαστος ἔκτισται παρά τοῦ παναγίου Πνεύματος; Οὐκοῦν ἕκαστος ἡμῶν αὐτή ἄν εἶναι λέγοιτο ἡ οὐσία καί ἡ ὑπόστασις τοῦ παναγίου Πνεύματος, ὡς ὑπ᾽ αὐτοῦ κτισθείς, εἴπερ κατά τόν Ἀκίνδυνον λῆρον ὡς ὑπό τοῦ Πνεύματος κτισθεῖσα ἡ ἐν ἡμῖν χάρις ἡ οὐσία καί ὑπόστασις εἶναι λέγοιτο τοῦ Πνεύματος. Εἰ δέ ὁ κτισθείς

ὑπό τοῦ Πνεύματος οὐσία λέγοιτ᾿ ἄν τοῦ Πνεύματος κατά τό ἀπό τῶν Ἀκινδύνου λόγων συναγόμενον, πόσῳ μᾶλλον ὁ ἀναγεννηθείς ὑπό (σελ. 332) τοῦ Πνεύματος, ἐπεί «καί τό γεγεννημένον ἐκ τοῦ Πνεύματος, Πνεῦμά ἐστι» κατά τό γεγραμμένον.

Ἆρ᾿ οὐ δαιμονῶντος τά τοιαῦτα δόγματα; Πᾶσι δέ τούτοις ἑαυτόν περιβάλλει τοῖς ἀνηκέστοις ἀτοπήμασιν, ἐπεί μή βούλεται πιστεύειν, ὡς ὁ Θεό κατ᾿ οὐσίαν καί ἐνέργειαν ὑπάρχων ἄκτιστος, κατά μέν τήν ἐνέργειαν μετέχεται, κατ᾿ οὐσίαν δέ ἀμέθεκτός ἐστιν. Οὕτω γάρ καί Πνεῦμα γίνεται ὁ γεγεννημένος ἐκ τοῦ Πνεύματος, ὡς τῆς χάριτος καί ἐνεργείας τοῦ Πνεύματος μετέχων, ἀλλ᾿ οὐ τῆς οὐσίας καί ὑποστάσεως τοῦ Πνεύματος. Ἡμῖν μέν οὖν περί τούτων ἔν τε τῷ Περί θείων ἐνεργειῶν καί τῆς κατ᾿ αὐτάς μεθέξεως βιβλίῳ κἀν τῷ διαλόγῳ ὅς Περί τοῦ ἀμεθέκτου τῆς θείας φύσεως ἐπιγέγραπται διαρκέστερον διείληπταί τε καί διηυκρίνηται. Νῦν δ᾿ εἴ τις δυσχερῶς ἔχει τοῦ πιστεύειν ταῦθ᾿ ἅπερ ἀνωτέρω τῶν ἐνταῦθα λόγων ἐξελήλεγκται φρονεῖν καί κατασκευάζειν τόν Ἀκίνδυνον (εὐλόγως γάρ ἄν τις ἀπιστήσειε πρός τήν πληθύν καί τό μέγεθος τῶν ἀτόπων ἀπιδών καί τήν τῆς ἐναντιώσεως, καί ταῦτ᾿ οἴκοθεν, ὑπερβολήν), ἕτοιμα παρ᾿ ἡμῖν ὁρᾶν, καί παρ᾿ οἷς ἔπεμψεν αὐτός, τά τοῦ ἀνδρός συγγράμματα, μή τοσαῦτα μόνον κεκτημένα πονηρεύματα μηδέ διά τοσούτων χωροῦντα τῶν ἐναντιωμάτων μηδέ δι᾿ ὅσων ἐνταῦθα προὐθέμεθα τῶν ἐπιχειρημάτων, ἀλλά καί πλείω καί διά πλειόνων.

Ἡμῖν δ᾿ ἤδη σκεπτέον ἄν εἴη καί τόν Περί Ἐνεργειῶν αὐτῷ πεποιημένον λόγον καί τήν ἐν τούτῳ λίαν ἠκριβωμένην εὐσέβειαν, ἥτις ἐπί τοσοῦτον ἔχεται τῆς ἀσφαλείας, ὡς μηδ᾿ ἑαυτῇ συμβαίνειν μηδέ συναινεῖν μηδ᾿ ὁμολόγος κατά μηδέν ὑπάρχειν. Τοῦτο δή μόνον νῦν ἀνετάσαντες ἐκφήνωμεν, τό ἀσύμβατον καί ἀσύστατον καί ὡς εἰπεῖν ἀλληλοφθόρον ἐν αὐτῷ. Γράφει γάρ, ὅτι τό (σελ. 334) «ὅσα περί τόν Θεόν οὐσιωδῶς θεωρεῖται, οὐκ οὐσιώδη τοῦ Θεοῦ νοοῦμεν˙ οὐ γάρ τοῦτο δηλοῖ τό οὐσιωδῶς». Ἆρ᾿ ἔστιν εὑρεῖν νεανικώτερον εἰς ἀνοίας ἤ ἀναιδείας λόγον, ὅτι τό οὐσιωδῶς περί τι θεωρούμενον οὐκ ἔστιν ἐκείνου οὐσιῶδες; Ἀλλ᾿ εἰπέ, τί λοιπόν δηλοῖ τό οὐσιωδῶς περί τόν Θεόν θεωρεῖσθαι; Μᾶλλον δ᾿ ἐκεῖ τούτου γράφοντος, ἡμεῖς προθώμεθα νῦν, τό οὐσιωδῶς περί τόν Θεόν θεωρεῖσθαι τήν αὐτῶν τῶν λεγομένων οὐσίαν δηλοῖ καί τό κατά τήν αὐτῶν τῶν λεγομένων ὑπόστασιν. Τίνα δή τά λεγόμενα ταῦτα; Ἡ ἁγιότης, ἡ ἀγαθότης, ἡ ἁπλότης, ἡ ἀθανασία, ἡ ἀπειρία, ἡ ζωή καί ὅσα τούτοις παραπλήσια˙

ταῦτα γάρ ὁ θεῖος Μάξιμος ἀπαριθμεῖται καί τά τοιαῦτα πάντα περί τόν Θεόν οὐσιωδῶς φησι θεωρεῖσθαι κατά τό τεσσαρακοστόν ὄγδοον καί τεσσαρακοστόν ἔνατον καί πεντηκοστόν τῆς πρώτης ἑκατοντάδος τῶν Θεολογικῶν Κεφαλαίων, ἅ μεγαλοφυῶς ὁ Ἀκίνδυνος διερευνώμενος καί πανσόφως ἐξηγούμενος καί φιλευσεβῶς διαφερόντως, οὐσίας καί ὑποστάσεις εἶναι δογματίζει περί τόν Θεόν θεωρουμένας, ὑπ᾽ αὐτοῦ πρό τῶν ἀγγέλων ἐν αἰῶνι κτισθείσας, καί αὐτῶν μέν τῶν ἀγγέλων ὑπερτέρας, ὑπ᾽ αὐτῶν δέ μετεχομένας καί τῶν μετ᾽ αὐτούς κτισθέντων· τούτων γάρ τῇ μετοχῇ πάντ᾽ ἔστιν, ὅσα ἐστίν. Ἆρα τῶν πλατωνικῶν ἰδεῶν ταῦτα τί διενήνοχε; Μᾶλλον δέ μή κἀπί τό χεῖρον ταῦτα διενήνοχεν; Ἆρα τῶν προϋπάρξεις δοξαζόντων τῶν ἡμετέρων ψυχῶν οὐ δυσσεβέστερα διαφερόντως; Ἆρα τραγελάφων καί ἱπποκενταύρων καί τῶν τοιούτων ἀναπλασμάτων πάντων οὐ μυθωδέστερα καί τερατωδέστερα; Πῶς γάρ ἄν καί συσταίη καθ᾽ ἑαυτήν ἁγιότης ἤ ἀγαθότης ἤ ἁπλότης ἤ τι ἄλλο τῶν τοιούτων μήτε τῷ Θεῷ μήτε τινί τῶν ὑπ᾽ αὐτοῦ προηγμένων ἐκ μή (σελ. 336) ὄντος ἐνθεωρουμένη, φυσικῶς ἤ κατά χάριν; Πῶς δ᾽ ὅλως οὐσία ἡ ἀτρεψία καί ἡ ἀθανασία καί τἄλλ᾽ ὅσα κατά ἀφαίρεσιν προῆκται; Πῶς δ᾽ ὅλως οὐ φυσικά καί οὐσιώδη μόνου τοῦ Θεοῦ ἡ ἀτρεψία τε καί ἀπειρία; Πέρας γάρ κτιστῶν ἁπάντων τό τε ἦρχθαι καί ἡ κατ᾽ αὐτό τροπή· καί γάρ ἐκ μή ὄντος εἰς τό εἶναι, κἄν ἔστιν ἅ διαφεύγῃ τό τοῦ τέλους πέρας καί τήν κατ᾽ αὐτό τροπήν· εἰ δέ ταῦτα, καί τά συγκατειλεγμένα πάντως.

Ὁ δέ πρός τά οἰκεῖα παραληρήματα ἐκεῖνα ὡς κοινάς ἐννοίας καί ὁμολογούμενα δόγματα τῆς ἐκκλησίας τούς τῶν πατέρων ἕλκειν καί συμβιβάζειν εἰσηγεῖται λόγους, κἄν τι τῶν εἰρημένων τοῖς πατράσιν ἐπί τοσοῦτον ἐναντίον τούτοις ᾖ, ὡς μή δύνασθαι μεθέλκεσθαι, διαγράφειν καί ἀποδοκιμάζειν ἤ μή νοεῖν ὁμολογεῖν. Οὕτω γάρ, φησί, τῇ ἁγίᾳ Τριάδι μόνῃ τό ἄκτιστον κατά τούς τῶν ἁγίων ὅρους, βεβαίως ἄν φυλάττοιτο, καί οὕτως ἡμῖν εἷς ἄκτιστος Θεός, ἀλλ᾽ οὐ δύο καί πολλοί, εἰ μή καί ταῦτα εἶεν ἄκτιστα. Οὕτω μέν οὖν οὐχ εἷς, ἀλλ᾽ οὐδείς ἄκτιστος Θεός, οὐδ᾽ ἡ Τριάς αὐτή. Κτιστῶν γάρ ὄντων τῶν περί τόν Θεόν οὐσιωδῶς θεωρουμένων, καί αὐτός κτιστός ἐστιν· οὐ γάρ ἐκτός οὐδέ χωριστά τῆς φύσεως τά φυσικῶς περί αὐτήν θεωρούμενα. Καί μήν, καί «ὑμεῖς χωρίζετε», φησί, «ταῦτα τοῦ Θεοῦ· περί γάρ τόν Θεόν αὐτά φατε καί, εἰ μέν ἀτελής ἐκτός τούτων, πῶς ὅλως θεός, εἰ δ᾽ εἷς καί τέλειος ὁ Θεός ἐκτός τούτων, ἡ μακαρία Τριάς, πῶς ἄκτιστα καί

ταῦτα»; Τῆς ἀνοίας! Αὕτη γάρ ὑπόθεσις αὐτῷ γίνεται τῆς τοιαύτης φλυαρίας. Οὐδέ γάρ ὁ περί τόν νοῦν εἰπών θεωρεῖσθαι τήν δόξαν τε καί τήν διάνοιαν τοῦ νοῦ κεχωρισμένας εἶναι δείκνυσιν αὐτάς, ὡς εἶναί ποτε ταύτας νοῦ χωρίς ἤ δύο καί πολλούς γίνεσθαι τόν ἕνα (σελ. 338) νοῦν, ἐπεί καί αὗται νοῦς. Ἀλλά καί περί τούτων ἐν τῷ πρός σοφόν Γαβρᾶν ἐπιστολιμαίῳ λόγῳ διελάβομεν, δεικνύντες διαιροῦντά πως τόν λόγον τά ἀδιαίρετα, καί οὕτω τό ἀδιαίρετον αὐτῶν δεικνύντα.

Τῷ δέ Ἀκινδύνῳ ἡ μεγίστη πρόφασις, δι᾽ ἥν εἰς κτίσμα κατήνεγκε τά περί τόν Θεόν οὐσιωδῶς θεωρούμενα, τήν ἀγαθότητα, τήν ἁγιότητα, τήν ἁπλότητα καί τά παραπλήσια τούτοις, ὅτι ἔργα τοῦ Θεοῦ ταῦτ᾽ ὠνόμασεν ὁ θεῖος Μάξιμος καί ὑπερκεῖσθαι τούτων τόν Θεόν ἐθεολόγησεν. Ἀλλα καί περί τούτων, ἔν τε τοῖς ἐπιστολιμαίοις Λόγοις καί τῷ δευτέρῳ καί τοῖς ἄλλοις τῶν πρός αὐτόν Ἀντιρρητικῶν καί πρό τούτων ἐν τοῖς Πρός τόν Βαρλαάμ, τόν ἀσφαλῆ καί ἀνεπιθόλωτον νοῦν ἐδείξαμεν τοῦ τε θείου Μαξίμου καί τῶν ἄλλων ἱερῶν πατέρων, ἐν οἷς, ὅτι καί ἄναρχα καί ἀπ᾽ ἀρχῆς ὄντα καί ὑπέρ τά ὄντα πολλαχοῦ τά τοιαῦτα ἔργα παρά τούτων εἴρηται, δεδήλωται. Ἐρῶ δ᾽ ὅμως καί νῦν, ὅτι τῆς φύσεώς ἐστιν ἔργα τά τῇ φύσει φυσικῶς προσόντα καί ἀεί˙ τοῦ γάρ πυρός τό θερμαίνειν ἔργον, φυσικῶς αὐτῷ καί διηνεκῶς προσόν καί προσπελαζούσης ἐπιτηδείας ὕλης φανερούμενον, ὥσπερ καί τοῦ νοῦ τό νοεῖν καί ἡ νόησις τοιοῦτον ἔργον. Πάσῃ δέ φύσει καί τά φυσικά κατάλληλα, καί κτιστά μέν τά τῆς κτιστῆς φύσεώς ἐστιν, ἄκτιστα δέ τά τῆς ἀκτίστου φύσεως˙ πηγή δ᾽ οὖσα καί κατά τόν θεῖον Μάξιμον τῶν τοιούτων αὐτῆς ἐνεργειῶν ἡ δύσις καί τούτων ὑπέρκειται κατά τό αἴτιον, οὐ κατά χρόνον προτεταγμένη.

Ἀλλά ταῦτα μέν καί τάς ἄλλας περί τούτων ἐρεσχελίας τῶν ἡμῖν ἀντιλεγόντων, καθά πολλάκις ἔφημεν, ἐν ἄλλοις διηλέγξαμεν. Νῦν δέ τοῦτ᾽ ἔχει μοι πρό ὀφθαλμῶν, ἱεραρχῶν ἀκρότης, ὅτι κτιστάς οὐσίας (σελ. 340) ναί φησιν ὁ Ἀκίνδυνος πάντα τά περί τόν Θεόν οὐσιωδῶς θεωρούμενα, τήν ἀθανασίαν, τήν ἁπλότητα, τήν ἁγιότητα καί τά τοιαῦτα˙ καί γάρ αὐτός πάλιν ἀλλαχοῦ τῶν λόγων περί ἀθανασίας καί ἁπλότητος καί τῆς θεατικῆς τοῦ Θεοῦ δυνάμεως θεολογῶν, ματαιολογῶν δ᾽ εἰπεῖν οἰκειότερον, μᾶλλον δέ καί βλασφημῶν, ὅ καί ἀληθέστερον, εἶτ᾽ ἐπαναλαμβάνων καί συμπεριλαμβάνων πάντα τά τοιαῦτα γράφει, «καί ὅλως ὅσα τοῦ Θεοῦ εἶναι λέγεται, οὐκ ἔστι ταῦθ᾽ ἕτερα ἄκτιστα, τῆς θείας φύσεως

παρηλλαγμένα». Φανερῶς μέν οὖν ἄκτιστα ταῦτ᾽ εἶναι φάσκει νῦν, τήν ἀθανασίαν, τήν ἁπλότητα, τήν ἁγιότητα καί τά τοιαῦτα, οὐχ ἕτερα δέ καί παρηλλαγμένα τῆς θείας φύσεως, τουτέστι κατά μηδέν διαφέροντα τῆς θείας φύσεως. Τοῦτο μέν οὖν καί διά πάντων τῶν αὐτοῦ κατασκευάζει λόγων καί τοῦτό ἐστιν αὐτῶν ἡ πᾶσα πρόθεσις, ὅτι μόνη ἄκτιστος ἡ φύσις τοῦ Θεοῦ, τό δέ ὁπωσδήποτε ταύτης διαφέρον κτίσμα, κἄν εἰ φυσικῶς προσείη, τῷ Θεῷ, κἄν μή τοῦθ᾽ οὕτως ἔχειν φῶμεν καί ἡμεῖς, ἀλλά τι τῶν ἀκτίστων, ὡς φυσικῶς καί οὐσιωδῶς περί τόν Θεόν θεωρουμένων, τῆς θείας ὁπωσοῦν διενηνοχέναι φύσεως, εἰς πολυθεΐαν ἐκπεσούμεθα. Διό κἀνταῦθα φησί μέν ἄκτιστον εἶναι τήν ἀθανασίαν καί τήν ἁπλότητα καί τήν θεατικήν καί προνοητικήν καί θελητικήν καί ἁπλῶς τήν ἐνεργητικήν τῆς θείας φύσεως δύναμιν, ἀλλ᾽ ὡς μηδαμῇ μηδαμῶς τῆς θείας φύσεως διαφέρουσαν.

Ὡς μέν οὖν σαφής λῆρος πάντες οἱ τοῦτ᾽ ἐπιχειροῦντες συνιστάναι καί ἀποφαίνεσθαι τολμῶντες λόγοι, δι᾽ ὀλίγων ἐνδεικτέον νῦν, ἐπειδήπερ ἄλλοτε διά πολλῶν καί πολλάκις ἀποδέδεικται ἡμῖν. Ὡς γάρ οὐκ ἔστι τά ὑποστατικά ὑπόστασις, ἀλλά χαρακτηριστικά ὑποστάσεως, οὕτω καί τά φυσικά οὐ φύσις, ἀλλά χαρακτηριστικά φύσεως˙ «φυσικά δέ φαμεν», κατά τόν ἐκ Δαμασκοῦ (σελ. 342) θεολόγον, «τά θελήματα καί τάς ἐνεργείας, λέγω δή αὐτήν τήν θελητικήν καί ἐνεργητικήν δύναμιν, καθ᾽ ἥν θέλουσι καί ἐνεργοῦσι τά θέλοντα καί ἐνεργοῦντα». Τί οὖν; Ἆρα κτιστά ταῦτ᾽ ἔστιν, ὅτι φύσις οὐκ ἔστιν; Ἤ πολυθεΐαν συνίστησι, διότι διενήνοχεν τρόπον ἕτερον τῆς θείας φύσεως, εἰ καί τῷ ἀκτίστῳ μή διενήνοχεν; Ἀλλ᾽ ὁ πρότερον ταῦτα κτιστάς οὐσίας εἰρηκώς, νῦν δ᾽ ἄκτιστα καί αὐτήν εἶναι ταῦτα τήν οὐσίαν τοῦ Θεοῦ, μικρόν ἐκεῖ τῶν αὐτοῦ λόγων ἀνωτέρω γράφει πάλιν, «ὄνομα μετά νοήματος εἶναι τήν ἁπλότητα, δηλοῦντος τό μή μεριστόν˙ οὕτω δέ καί τήν ἀθανασίαν καί τά παραπλήσια τούτοις». Οὐκοῦν ὁ αὐτός ἐρεῖ καί τήν ἀγαθότητα ὄνομα μετά νοήματος δηλοῦντος τό μή πονηρόν, καί τήν ἁγιότητα ὄνομα μετά νοήματος δηλοῦντος τό μή κίβδηλον. Ἀναπλάσσει δ᾽ ἔτι κατά πολλήν ἐξουσίαν καί περί τῶν ἄλλων ἁπάντων καί αὐτῆς τῆς ἀρχῆς, ὅταν ὁ Υἱός εἶναι λέγηται ἀρχή (προσγέγραπται γά, ἀλλ᾽ οὐ φύσις αὐτῷ ἡ ἀρχή), τοῦθ᾽ ἡμᾶς αὐτός ἐνταῦθα πάλιν διδάσκων διά τῶν τοιούτων λόγων, ὅτι «τά τοιαῦτ᾽ ἐπί Θεοῦ νοήματά ἐστιν ἔρημα πραγμάτων, ἵνα μή πολλοί, φησί, γένοιντο ἄκτιστοι θεοί». Ἡμεῖς δ᾽ ἴσμεν ὑπό τῶν θείων πατέρων

μεμυημένοι, ὡς οὐδέν μέν τούτων δηλωτικόν ἐστι τῆς θείας φύσεως, οὐ μήν ψιλῆς ἐστι διανοίας ἀναπλάσματα, μή τά θετικῶς μόνον ἀλλά καί τά ἀφαιρετικῶς λεγόμενα καί περί τόν Θεόν οὐσιωδῶς θεωρούμενα καί δι᾽ ἑαυτῶν ἕνα παντοδύναμον Θεόν τόν διά πάντων αὐτῶν δεικνύμενον πᾶσι παριστῶντα καί τήν βαθυτάτην Ἀκινδύνου πλάνην καί ἀνακόλουθον καί αὐτεπίβουλον καί δαιμονιώδη ἔνστασιν κατά τῶν τῆς εὐσεβείας συνηγόρων ἐναργέστατα δεικνύντα τοῖς εὐ φρονοῦσι πᾶσι. Καί αὐτό γάρ τό μή μεριστός εἶναι, μηδέ (σελ. 344) πεπερασμένος μηδαμῇ, φυσικῶς καί ἐξ ἀϊδίου ἔχει ὁ Θεός. Ὅτι δέ πράγματά ἐστι κἄν οὐκ οὐσίαι περί ὧν ἡμῖν ὁ λόγος, ἐπισφραγίζων ἡμῖν τόν λόγον, διδασκέτω νῦν ὁ μέγας θεολόγος Ἀθανάσιος· φησί γάρ ἐν τῇ κατά Νίκαιαν συνόδῳ πρός Ἄρειον ἀποτεινόμενος· «οὐχ ἕνεκεν κτιστῶν πραγμάτων ἔφη ὁ Σωτήρ, "πάντα ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστιν", ἀλλ᾽ ὅσα ἀνῆκε τῇ θεότητι τοῦ Πατρός αὐτά ἴδια ἔφη ὁ Κύριος, οἷον τό ἀθάνατον, τό ἄφθαρτον, τό ἄτρεπτον, τό ἀκατάληπτον, τό δυνατόν, τό προγνωστικόν, τό ἀγαθόν, τό ἄπειρον, τό παντοδύναμον, τό ἀναλλοίωτον καί ὅσα ἐστίν ὁ Πατήρ, ταῦτα ἴδια τοῦ Υἱοῦ τυγχάνει».

Ἀλλά τῷ Ἀκινδύνῳ ρᾷον παραγράψασθαι τόν εἰρηκότα, κἄν μέγας ᾖ καί πολύς τά θεῖα, καί τοῦ χοροῦ περιγράψαι τῶν ὁμολογουμένων ὑπ᾽ αὐτῷ κριτῇ θεολόγων (οὕτω γάρ ἐκεῖνος ἄλλοτε ἄλλον ἐγκρίνων ἐπονομάζει κατά πολλήν ἐξουσίαν), ἤ πολλά φάναι τῶν ἱερῶν πατέρων αἱ θεῖαι σύνοδοι καί οἱ μετ᾽ αὐτούς ἀπεδοκίμασαν θεοειδεῖς, οὐκ οἶδα ποῖαι καί τίνες καί τίνων, καί ταῦτα τῶν ὑφ᾽ ἡμῶν εἰς μαρτυρίαν προαγομένων, ἤ διδάσκειν λέγειν μή νοεῖν, ὅτι πράγματα ταῦτ᾽ εἴρηκεν ὁ τῆς ἀθανασίας ἐπώνυμος, ὁ καί τῆς ἀσφαλείας εἴπερ τις ἀπρίξ ἀντιπεοιημένος καί κομψείας καί ἀσαφείας ἐπίσης ἐπεσχημένος· ἤ τό γε μετριώτερόν τε καί φίλτερον αὐτῷ καί τῶν ἄλλων ἐνδυμάτων τοῦ ψεύδους προχειρότερον, ἅτε πρός ἀπάτην ἀνυσιμώτερον, τῆς μέν ἐπωνυμίας τοῦ Πατρός τῶν λόγων ἀφέξεται, ἀντί δέ προσωπείου κεχρημένος ἡμῖν, τοῦ Παλαμᾶ μέγα καταβοήσεται ὡς ἄκτιστα πολλά πρεσβεύοντος καί πολλά πράγματα λέγοντος εἶναι τόν Θεόν.

Ἡμῶν οὖν αὐτῶν ἕνεκα καί τοῦ μεγάλου Πατρός λόγον ἀποδιδοῦσιν, ἐρωτητέον ἄν ἡμῖν εἴη τό ὄνομα μετά (σελ. 346) νοήματος ἀλλ᾽ οὐ πρᾶγμα τῶν περί Θεόν θεωρουμένων ἕκαστον τιθέμενον· ἐπειδή τῶν λεγομένων τό μέν οὐκ ἔστι, λέγεται δέ, τά δέ

καί ἔστι καί λέγεται, τό τοῦ Θεοῦ ἄτρεπτον καί ἁπλοῦν καί ἀΐδιον, καί τό προγνωστικόν καί παντοδύναμον καί τά τοιαῦτα ποῦ θήσομεν; Ἐν τοῖς λεγομένοις, μή οὖσι δέ; Καί πῶς Θεός, εἰ μή ταῦτ᾽ ἔστιν; Εἰ δ᾽ ἐν τοῖς οὖσι καί λεγομένοις, πῶς οὐχί πράγματα; Τό γάρ ὁπωσδήποε ὄν, πρᾶγμα, κἄν μέν μή ἐν ἑτέρῳ θεωρῆται, φύσις, τῶν δ᾽ ἐν ἑτέρῳ θεωρουμένων καί μή καθ᾽ ἑαυτά ὑφεστηκότων, τά μέν φυσικῶς ἐστι, τά δέ κατά συμβεβηκός. Κατά συμβεβηκός μέν οὖν πρόσεστι Θεῷ οὐδέν, φυσικῶς δέ τά προαπιριθμημένα τῷ μεγάλῳ πάντα. Καί ὁ σοφός γάρ τά θεῖα Κύριλλός φησιν˙ «οὐκ οὐσία τό ἀγέννητον ἤ τό ἄφθαρτον ἤ τό ἀθάνατον ἤ τό ἀόρατον˙ εἰ γάρ ἕκαστον τούτων οὐσίαν σημαίνει, ἐκ τοσούτων οὐσιῶν σύγκειται ὁ Θεός, ὅσαπερ ἄν αὐτῷ φυσικῶς προσόντα φαίνηται». Ὁ δέ Δαμασκηνός θεηγόρος, πάνθ᾽ ὅσα σχεδόν κατά θέσιν καί ἀφαίρεσιν θεολογεῖται προθείς ἀπαριθμησάμενος, καθάπερ καί ὁ μέγας Ἀθανάσιος, εἶτ᾽ ἐπάγει˙ «πάντα ταῦτα καί τά τοιαῦτα ἡ θεία φύσις ἔχει». Καί πάλιν˙ «καί ὅσα δέ λέγομεν ἐπί Θεοῦ καταφατικῶς, οὐ τήν φύσιν, ἀλλά τά περί τήν φύσιν δηλοῖ». Καί πάλιν˙ «τό δέ ἀγαθόν καί δίκαιον καί ὅσιον καί τά τοιαῦτα παρέπονται τῇ θείᾳ φύσει, οὐκ αὐτήν δέ δηλοῖ τήν οὐσίαν». Ἔστι δ᾽ ἄρα καί τι τῶν ἐπί Θεοῦ λεγομένων, ὅ μή ὄνομα μετά νοήματός ἐστιν; Οὐμενοῦν. Ὁ τοίνυν μή εἶναι πρᾶγμα τό τοιοῦτον ἀποφηνάμενος καί τήν θείαν φύσιν οὐκ εἶναι φήσει, κατ᾽ ἔλλειψιν οὐ καθ᾽ ὑποδοχήν, ὡς μηδαμῇ οὖσαν μηδαμῶς˙ καί ἡ φύσις γάρ ὄνομα μετά νοήματός ἐστιν, οὐ τό τί ἐστιν ἐπί Θεοῦ δηλοῦσα, ἀλλ᾽ ὅτι ἔστιν ὑπερούσιος οὐσία˙ ὥστε (σελ. 348) τοῦτο λέγει πάλιν ὁ ἀντικείμενος ἡμῖν, ὅ σχεδόν πανταχόθεν τῶν αὐτοῦ λόγων συναγόμενόν ἐστιν, ὅτι Θεός οὐκ ἔστιν.

Ἐπεί δέ καί τάς ἐπί Θεοῦ θέσεις οὗτος στρεβλῶν εἰς τάς ἀφαιρέσεις στρέφει, κατηγορείτω πάλιν τῶν θεολόγων, ἅτε διαφοράν τούτων οὐ μικράν εἰσαγόντων, καί μάλισθ᾽ ὅτι κἄν ταῖς τούτων διακρίσεσι πολύ τό ὑποβεβηκός καί ὑπερκείμενον ὁρᾶται. Κατά γάρ τόν θεῖον Μάξιμον, ἄμφω περί τόν αὐτόν θεόν εὐσεβῶς θεωρεῖται τό εἶναι καί τό μή εἶναι, κτιστῶς δ᾽ ἔχει πάλιν κατ᾽ ἐκεῖνον τήν ὕπαρξιν καί παντελῶς ἀνερμήνευτον, ὡς πάσης καταφάσεως καί ἀποφάσεως οὖσαν ἐπέκεινα. Καί κατά τόν μέγαν Διονύσιον αἱ ἀφαιρέσεις ὑπερέχουσι τῶν θέσεων ἐπί Θεοῦ˙ αὐτός δέ πάλιν ὑπέρ πᾶσαν καί θέσιν καί ἀφαίρεσίν ἐστι. Παρίημι γάρ λέγειν ὅτι κατά τόν αὐτόν θεολόγον κἀν ταῖς θέσεσιν ἐνθεωρεῖται τό μᾶλλον καί τόν ἧττον

εὐσεβῶς, ἀλλ᾽ οὐ κατά τό ἄκτιστον καί κτιστόν (τοῦτο γάρ τό δυσσεβές), ὡσαύτως κἄν ταῖς ἀφαιρέσεσιν˙ οὐ γάρ ἔστιν, οὐκ ἔστιν, ἐν ταῖς τοῦ ἑνός Θεοῦ διακρίσεσι, μή ταῦθ᾽ ὁρᾶσθαι τοῖς μετά συνέσεως ὁρῶσιν, εἰ μή κατατομή τις εἴη μᾶλλον ἄθεος, ἀλλ᾽ ἥ διάκρισις θεοπρεπής, ἀδιαιρέτως διαιροῦσα καί εἰς ἕν αἴτιον ἀναφέρουσα τά διακεκριμένα, καί κατά τό ἄκτιστον ἑνοῦσα τάς τε δυνάμεις καί τάς ἐνεργείας καί τάς ὑποστάσεις τοῦ Θεοῦ, καί Θεόν ἕνα δεικνῦσα τρισυπόστατον ἐνεργῆ τε καί παντοδύναμον, αὐτόν ἑαυτῷ ἴσον καί ὁμότιμον ὡς ἕνα, μᾶλλον δέ ὡς ἑνικῶς μέν ἁπάντων αἴτιον ὄντα, αὐτόν δέ κατά τόν μέγαν Διονύσιον καί ὑπέρ αὐτό τό ἕν ὄντα, κἄν Βαρλαάμ καί Ἀκίνδυνος ἀπαρέσκωνται˙ καί γάρ ὡς μέν (σελ. 350) ἑνικῶς ἁπάντων αἴτιος, ἐν σχέσει τινί θεωρεῖται, αὐτός δέ καθ᾽ ἑαυτόν πάντων ὑπερεξῃρημένος τε καί ἀπολελυμένος ὤν, καί ὑπέρ αὐτό τό ἕν ἐστιν ὑπερουσίως.

Οὐ μήν ἀλλ᾽ ὁ λέγων ὄνομα μετά νοήματος εἶναι τήν ἀθανασίαν καί τήν πρόνοιαν καί τήν ἁπλότητα καί πάνθ᾽ ὅσα περί τόν Θεόν θεωρεῖται φυσικῶς, εἰ μέν ἀναπλάσματα ταῦθ᾽ ἡγεῖται καί ψιλῆς ἁπλῶς ἐπινοίας καί κατά τούς τραγελάφους τελέως ἀνύπαρκτα, πῶς οὐχί καί περί τῆς φύσεως ἐκείνης τούς αὐτούς ἕξει λογισμούς; Εἰ δ᾽ εἶναι μέν φησι ταῦθ᾽ ὡς ἀληθῶς, μᾶλλον δ᾽ εἴπερ νῦν ὑπό τῆς τῶν λόγων ἀνάγκης συνελαυνόμενος, ὅ μή πρότερον ἔλεγεν, εἶναι ταῦθ᾽ ὡς ἀληθῶς φαίη, ἀλλ᾽ οὐκ οὐσίας οὐδέ ὑποστάσεις εἶναι καθ᾽ ἑαυτά ὑφεστῶτα, τό αὐτό λέγει πάντως τοῖς ταῦτα πράγματα προσαγορεύουσιν˙ οὐδέ γάρ ἐκεῖνοι ταῦτ᾽ οὐσίας φασίν˙ αὕτη γάρ οὐ τῶν ἐν ἑτέρῳ θεωρουμένων ἐστί. Μάτην τοίνυν αὐτῷ πρός αὐτούς πᾶς ὁ διά λόγων πόλεμος ἀναρριπίζεται, μᾶλλον δέ κατά τῆς ἑαυτοῦ μόνης καί τῆς τῶν αὐτῷ συναινούντων κεφαλῆς, ἥ τοσαύτας καί οὕτως ἀνακολούθους ἐπεσώρευσεν αἱρέσεις.

Μικρόν δ᾽ ἔτι προσερωτητέον αὐτόν, ἵν᾽ ἡμῖν ἀνελλιπές εἴη τό γράμμα τουτο. Τούτων τῶν τοῦ Θεοῦ ὄντων ἤ περί τόν Θεόν ὄντων φυσικῶς, ἅπερ εἶναι λέγεις αὐτός ὀνόματα μετά νοήματος, οἷόν τινα διανοίας ἀναπλάσματα, ἡμεῖς δέ θεοπαραδότους καί ἀληθεῖς ἐννοίας περί Θεοῦ καί θεολογίας τῶν ἐξ ἀϊδίου τῷ Θεῷ προσόντων, ἆρ᾽ ὑπέρκειται τό θεῖον κατ᾽ οὐσίαν; Ἤ τί φής; Εἰ γάρ μή ὑπέρκειται, καταληπτόν σοι καί πάντα γίνεται καί ἀνυπόστατον καθ᾽ ἑαυτό καί τοῖς ὑπό σοῦ σμικρυνθεῖσι συσμικρύνεται καί χωρεῖ πρός τό μή ὄν. Καί μάλισθ᾽ ὅτι σόν τούτων ἕκαστον λέγεις νόημα καί μηδέν πλέον.

(σελ. 352) Ἀλλά τοῦτον μέ ἐῶμεν ἑαυτῷ πρός ἀντίπαλον μοῖραν ἀντικαθιστάμενον καί αὐτόν ὑφ᾽ ἑαυτοῦ πολεμούμενόν τε καί βαλλόμενον, μᾶλλον δέ καταβαλλόμενον. Ἡμεῖς δέ τοῖς λέγουσι προσέχωμεν τόν νοῦν, ὅτι πάντων τῶν περί Θεόν νοουμένων ἄνω καί ὑψηλότερον τό θεῖόν ἐστι, πάντα δέ τά περί τόν Θεόν νοούμενα πρό τῆς τοῦ κόσμου συστάσεως ἦν, εἰ καί ὠνομάσθη μετά τό γενέσθαι τόν ὀνομάζοντα˙ καί μετά τοῦ μεγλάλου Βασιλείου «τήν μεγαλειότητα τοῦ Θεοῦ ἡμῶν ὁμολογοῦμεν εἰδέναι καί τήν δύναμιν καί τήν σοφίαν καί τήν ἀγαθότητα καί τήν πρόνοιαν, ᾗ ἐπιμελεῖται ἡμῶν, καί τό δίκαιον αὐτοῦ τῆς κρίσεως, ἀλλ᾽ οὐκ αὐτήν τήν οὐσίαν», πάντως ὡς κατ᾽ αὐτήν ὑπερκειμένου καί ὑπέρ πᾶσαν ἔκφρασίν τε καί μέθεξιν, παντάπασιν ὄντος. Καί γάρ πάλιν, ἵνα κατά τόν αὐτόν εἴπω, ἕκαστος αὐτός τῶν ἑαυτοῦ μείζων. Τοῦτο δέ φησι περί Θεοῦ καί τῆς αὐτοῦ περί μελλόντων γνώσεως τόν λόγον ποιούμενος.

Σύ δ᾽ εἴπερ ἔνι βουλομένῳ, θεσπισιώτατε, καί περί τούτων ἀκριβῶς ἀκοῦσαι, διαρκῶς οἶμαι τῆς ἐπιθυμίας ἕξεις, τῷ δευτέρῳ καί τρίτῳ μάλιστα τῶν πρός τουτονί, τόν ἐν ὑποκρίσει τοῦ ἐξαίρειν καθαιροῦντα, μᾶλλον δέ ἀθετοῦντα τελέως τόν Θεόν, εἰργασμένον μοι λόγων ἐντυχών.

## *ΤΩ ΤΙΜΙΩΤΑΤΩ ΕΝ ΜΟΝΑΧΟΙΣ*

## *ΔΑΜΙΑΝΩ ΤΩ ΦΙΛΟΣΟΦΩ (Σελ.354)*

Ἠνέχθη πολλαχόθεν τά τοῦ Ἀκινδύνου πρός ἡμᾶς συγγράμματα, κατ᾽ αὐτοῦ δέ ὄντα καί μηδαμῶς ἐνταῦθα φανέντα, μικροῦ γε ἄν ἠπιστήθη τούτου διατελεῖν, εἰ μή τά αὐτά καί μάλιστα κατά διάνοιαν πολλαχόθεν ἠνέχθη. Χωροῦσι δέ οὐ κατά τοῦ γράψαντος μόνον, ἀλλά καί καθ᾽ ἑαυτῶν. Τί γάρ δεῖ λέγειν, ὅτι κατά τῆς ἀληθείας καί τοῦ Θεοῦ τῆς ἀληθείας καί τῶν συνηγόρων ἐξ αἰῶνος αὐτῆς ἁγίων˙ τοῦτο γάρ οἷά τις μίτος συμπαθεκτείνεται παντί τῷ τῶν τοιούτων συγγραμμάτων ὑφάσματι˙ πλάττει γάρ ὁ συγγραφεύς τούτων οἴκοθεν κακοδοξίας τινάς καί φράζει ταύτας ὡς αὐτός βούλεται, μηδέ ῥήματος ὄντος ἑνός γοῦν τῶν πρός οὕς ἐρίζειν προῄρηται. Καί ταύτας ἀνασκευάζων πάλιν αὐτός, χείροσι περιπίπτει κακοδοξίαις, καί οὐδέ ταύταις ἀκολούθοις, ἀλλ᾽ ὡς ἐπίπαν καί πρός ἀλλήλας ἀντικειμέναις.

Κἄν που μετά τάς πολλάς αὐτοῦ τοιαύτας κατασκευάς μνησθῇ τινος ρηματίου τῶν ἡμετέρων καί τοῦτο πολυτροπώτατα κακουργήσας καί τῆς ὑγιοῦς διανοίας καταστήσας ἔρημον, δι᾽ αὐτοῦ πάλιν κατά κρημνῶν πολλῶν δυσσεβειῶν βάλλει ἑαυτόν, καί οὐδέ τούτων ἀλλήλαις ἀκολουθεῖν δυναμένων. Ὄντως αὐτεπίβουλον ἡ κακία καί ὁ τελέως κακός οὐδ᾽ ἑαυτῷ ἐστιν ἀγαθός. Οὕτω καί συνόδους πλάττει καί τά πρός αὐτάς διηγήματα, τοῖς αὐτοῖς κἀν τούτοις περιπίπτων βαράθροις, οὕτω καί (σελ. 356)τροπαίοις ἐπικομπάζει καί τῶν αὐτῶν πάλιν τροπαίων ὡς ἡττημάτων ὄντων μανικῶς καταφέρεται˙ καί σπίλους παντοίους πανταχόθεν εἰς ἑαυτόν ἐπισπώμενος, φρενοβλαβῶς οἴεται τούς ἀσπίλους σπιλοῦν. Ἵνα δέ καί κατά τήν παροιμίαν ἐκ τοῦ κρασπέδου γνοίῃς τό ὕφασμα, τῶν πρός αὐτά μοι πεποιημένων ἐλέγχων ἔπεμψα τῇ σῇ σοφίᾳ τό πρῶτον˙ οὐ γάρ ἐδυνήθημεν ἔτι μετεγράψαι τούς ἄλλους.

Ἐπεί δέ καί περί τῶν αὐτῷ πεποιημένων ἰάμβων ἔγραφες ἀκηκοέναι, ὅπως τοῦ Θεοῦ θαυματουργήσαντος εἰς τάς ἐμᾶς ἦλθον χεῖρας, τίνα τε πάλιν ἐστίν, ἅ κἄν τούτοις συγγράφεται μαθεῖν ἠτήσω, ἀνάγκη πρός τήν σήν ἐπιστέλλοντας νῦν ἁγιότητα καί τινας ἐξ αὐτῶν προθεῖναι καί τήν τοῦ ἰαμβοποιοῦ τούτου δυσσέβειαν κἀν τούτοις διελέγξαι. Πρός γάρ τούς ἄλλους σχεδόν ἅπαντας, ὅ τε τά πάντα θαυμάσιος Δαβίδ ὁ ἡμέτερος δι᾽ ἰάμβων, καί ἡμεῖς εὐσύνοπτον ἔλεγχον ἐγράψαμεν διά σχολίων. Τῶν δεόντων δ᾽ ἄν εἴη πρότερον ἐκθεῖναι τάς τῶν ἁγίων φωνάς, εἶθ᾽ οὕτω τήν πρός ταύτας τοῦ Ἀκινδύνου βλασφημίαν καί φανεράν ἀντίθεσιν προθεῖναι, τῆς πρός τούς θεολόγους ἐν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασιν ἐναντιώσεως, ἐκδηλοτέραν οὖσαν οὐχ ἧττον ὅτι μή καί μᾶλλον. Ὁ μέγας τοιγαροῦν Ἀθανάσιος τοῖς Ἀρειανοῖς ἀντιλέγων, κτιστόν εἶναι κατασκευάζουσι τόν δι᾽ οὗ τά πάντα γέγονεν, εἰ θέλων ὁ Πατήρ ἐγέννησεν αὐτόν, «τό μέν ἀντικείμενον», φησί, «τῇ βουλήσει ἑωράκασιν οἱ Ἀρειανοί, τό δέ μεῖζον καί ὑπερκείμενον, οὐ τεθεωρήκασιν˙ ὥσπερ γάρ ἀντίκειται τῇ βουλήσει τό παρά γνώμην, οὕτως ὑπέρκειται καί προηγεῖται τοῦ βούλεσθαι τό κατά φύσιν». Καί αὖθις, «εἰ τό βούλεσθαι περί τῶν μή ὄντων διδόασι τῷ Θεῷ, διατί τό ὑπερκείμενον τῆς βουλήσεως οὐκ ἐπιγινώσκουσι τοῦ Θεοῦ; (σελ. 358) Ὑπεραναβέβηκε δέ τῆς βουλήσεως τό πεφυκέναι καί εἶναι αὐτόν Πατέρα τοῦ ἰδίου Λόγου». Ὁ δέ θεσπέσιος Κύριλλος ἐν τῷ πέμπτῳ τῶν θησαυρῶν πρός τούς ἀθετοῦντας τό τοῦ Υἱοῦ ἐκ Πατρός προαιώνιον, «ἔλλατόν ἐστι», φησί,

«τό Θεόν εἶναι, τοῦ Πατέρα εἶναι τόν Πατέρα καί Θεόν˙ ᾗ μέν γάρ Θεός πρός τά δοῦλα τήν σχέσιν ἔχει, ᾗ δέ Πατήρ, πρός τόν ἴδιον καί ὁμότιμον Υἱόν. Οἱ λέγοντες τοίνυν, ὅτι Θεός μέν ἦν ἐξ ἀρχῆς, οὔπω δέ καί Πατήρ, τήν πρός τά δοῦλα σχέσιν προσάπτουσι τῷ Θεῷ τοῦ μείζονος ἀποστεροῦντες αὐτόν˙ κρεῖττον γάρ τόν Πατέρα γεννήματος εἶναι». Καί πάλιν, «οὐκ εἶπεν ὁ Σωτήρ, ὁ ἑωρακώς ἐμέ, ἑώρακε τόν Θεόν, ἀλλά τόν Πατέρα, τό μεῖζον ἀπονέμων αὐτῷ καί οὐ τό ἔλαττον. Οὐκοῦν πρῶτον ἔστω Πατήρ, εἶθ᾿ οὕτω Θεός, εἰ καί ἅμα καί συνημμένως». Ἀλλά καί τήν πρόγνωσιν τοῦ τῆς κτίσεως τέλους ἔχειν καί τόν Υἱόν κατασκευάζων, «εἰ πάσης», φησί, «γνώσεως ὑπεραναβέβηκε τό γινώσκειν τόν Πατέρα, πῶς ὁ τό μεῖζον εἰδώς ἀγνοήσει τό ἔλαττον»; Ὁ δέ μέγας Βασίλειος τοῦτ᾿ αὐτό καί αὐτός θέλων ἀποδεῖξαι, «εἰ ἕτερον», φησί, «τό τόν Πατέρα εἰδέναι καί ἕτερον τό τά τοῦ Πατρός, μεῖζον δέ τό εἰδέναι τόν Πατέρα, καθόσον ἕκαστος αὐτός τῶν ἑαυτοῦ μείζων, ὁ τό μεῖζον εἰδώς, πῶς τό ἔλαττον οὐκ ᾔδει»; Ὁ δέ τήν γλῶτταν χρυσοῦς τό ψαλμικόν ἐκεῖνο διασαφῶν, «ὄψομαι τούς οὐρανούς ἔργα τῶν δακτύλων σου», «οὐκ εἶπε», φησίν, «ἔργα τῶν χειρῶν σου, ἀλλά τῶν δακτύλων σου», τῆς ἐλαχίστης τοῦ Θεοῦ ἐνεργείας ἔργον εἶναι δεικνύς τά ὁρώμενα. Τό δέ κοινόν στόμα τῶν τοιούτων, ὁ τῆς εὐαγγελικῆς εὐκρινείας τήν σύνοψιν ποιησάμενος, τοῦ Κυρίου εἰρηκότος, «οὐδέ τόν Πατέρα τις ἐπιγινώσκει εἰ μή ὁ Υἱός», αὐτός ἑρμηνεύων ἐπιφέρει, «τό μεῖζον λέγει, ὅτι οὐδέν θαυμαστόν, εἰ πάντως εἰμί (σελ. 360) δεσπότης, ὅπου γε καί τό μεῖζον ἔχω, τό εἰδέναι τόν Πατέρα».

Ταῦτα τοίνυν τῶν ἁγίων φανερῶς καί συμφώνως ἀλλήλοις συγγραφομένων, ὁ Ἀκίνδυνος παρ᾿ οὐδέν τιθέμενος τάς τοιαύτας τῶν ἁγίων φωνάς, μᾶλλον δέ καί βλασφήμους κατά τάς αὐτοῦ θέσεις ἡγούμενος, καί τήν μίαν καί κοινήν τῆς τρισυποστάτου θεότητος ἐνέργειαν εἰς κτίσμα κατασπῶν καί τοῖς τοῦ Θεοῦ συντάττων δημιουργήσασιν, ὡς ἐν προσχήματι τοῦ καθ᾿ ἡμῶν γράφειν, τοῖς ἁγίοις τοῦ Θεοῦ ἀντικείμενος, τοιαῦτα στιχοπλοκεῖ˙

«Τριάς, μονάς, σῶσόν με σοῦ μόνης λάτρην,
ἧς πάντα τἄλλα δημιουργία μόνης.
Καί κτίσμα πᾶν ὄν τῆς ὑφειμένης ἕδρας˙
οὐχ ἧττονος γάρ δυσσεβείας ἐστί που,
τοῦ κτίσμα φάσκειν τήν ἀνωτάτω φύσιν,
τί τι φρονεῖν ἄκτιστον ἠλαττωμένον,

ἤ τι φρονεῖν ἔλαττον οὐκ ἐκτισμένον».

Εἰ οὖν κατά τόν Ἀκίνδυνον πᾶν τό ἔλαττον κτίσμα, καί τό δεσπότης εἶναι πάντων, κατ᾿ αὐτόν, κτιστῶς ἔχει ὁ Υἱός καί κτιστή ἐστιν ἡ καθ᾿ ἥν γινώσκει τά πάντα γνῶσίς τε καί πρόγνωσις, ὅτι τό εἰδέναι τόν Πατέρα καί ταύτης ὑπεραναβέβηκε καί τοῦ δεσπότης εἶναι πάντων μεῖζόν ἐστιν. Ἀλλά καί ἡ ἀπό τῶν κτισμάτων ἡμῖν γινωσκομένη τοῦ Θεοῦ δημιουργική δύναμις, ἧς ἔργον τά ποιήματα, ὡς ἐλαχίστη τῷ χρυσολόγῳ πατρί ρηθεῖσα, συμφώνως τῷ λέγοντι, «δυνάμεως καί σοφίας καί τέχνης, ἀλλ᾿ οὐχί τῆς οὐσίας ἐνδεικτικά ἐστι τά ποιήματα, καί οὐδέ πᾶσαν τοῦ δημιουργοῦ τήν δύναμιν ἀναγκαίως παρίστησι», κτιστή ἐστι κατά τόν Ἀκίνδυνον. Ἀλλά καί ὁ Θεός καί Πατήρ ὅτι πρῶτον Πατήρ (σελ. 362) εἶτα Θεός, καί τό μέν Πατήρ εἶναι μεῖζον τοῦ Θεός εἶναι, τοῦτο δ᾿ ἔλαττον ἐκείνου, κτίσμα ὡς Θεός ἔσται κατ᾿ αὐτόν. Ἐπεί δ᾿ ἄκτιστός ὁ Θεός καί Πατήρ, οὐ μόνον ὡς Πατήρ, ἀλλά καί ὡς Θεός, καί μή μόνον ἡ τοῦ Υἱοῦ γνῶσις ἄκτιστός ἐστι καθ᾿ ἥν γινώσκει τόν Πατέρα, ἀλλά καί καθ᾿ ἥν εἰδώς διατελεῖ τά πάντα, πρός δέ ταύτῃ καί ἡ κυριότης τούτου καθ᾿ ἥν τοῦ παντός ἐστι δεσπότης, καί ἡ δημιουργική τούτου ἐνέργεια, ἧς τά μεγέθη τῶν οὐρανῶν ἀποτέλεσμα, ὅ τε μέγας Βασίλειος καί ὁ θεῖος Κύριλλος, ὅ τε Χρυσόστομος θεολόγος καί οἱ τούτοις συνᾴδοντες πατέρες δυσσεβεῖς κατά τόν Ἀκίνδυνόν εἰσιν, ὡς ταυτί τά προδήλως ἄκτιστα φανερῶς ἐλάττονα εἰπόντες.

Ὁ δή κατά τῶν ἁγίων τοιαῦτα φανερῶς ἀποφαινόμενος καί δι᾿ ἐμμέτρων ρημάτων ἀμέτρως βλασφημῶν, εἴς τε τόν Θεόν καί τούς αὐτοῦ ἁγίους, οὐδέ Θεοῦ λάτρης, εἰ καί τοῖς συνήθεσι τοῖς εὐσεβέσι ρήμασι κρύπτει τήν αὐτοῦ κακόνοιαν, ἀλλά ψευδολάτρης ἐστί. Διό καί ὡς ἀπό τοῦ Θεοῦ δικαίως ἐγκαταλειφθείς, οὐ λαμβάνει καθάπερ τοῦ λέγειν ἀρχόμενος ηὔξατο δῆθεν, «νόησιν ἠκριβωμένην ἤ γλῶτταν εἰς ἔκφανσιν ἠσφαλισμένην», ἀλλά νοῦν κατεφθαρμένον, καί γλῶτταν ἐσφαλμένην ἄκρως καί βλάσφημον, ὅ καί τοῦ λόγου προϊόντος διά τῶν προτεθησομένων αὐτοῦ στίχων δειχθήσεται ἐναργέστερον. Οὐ μήν ἀλλ᾿ ἐπείπερ ἡ βούλησις καί τό βούλεσθαι Θεοῦ ἐνέργειά ἐστι καί ἄκτιστος ἐνέργεια - ἐβούλετο γάρ περί τῶν ὄντων ὁ Θεός καί μήπω ὄντων -, ὁ Ἀκίνδυνος μή ὑπερκεῖσθαι λέγων τῆς ἀκτίστου ἐνεργείας τήν ἄκτιστον οὐσίαν, Ἀρειανός ἐστιν ὡς ὁ μέγας ἀνωτέρω εἴρηκεν Ἀθανάσιος, ἅτε μή ἐπιγινώσκων τό μεῖζον καί ὑπερκείμενον τῆς τοῦ Θεοῦ βουλήσεως, ὅπερ οὐκ ἐπί τοῦ Θεοῦ μόνον, ἀλλά κἀπί τῆς

εὐτελοῦς (σελ. 364) καί κτιστῆς ἡμῶν φύσεώς ἐστι συνιδεῖν τῷ μετά νοῦ σκοποῦντι. Ἐπεί δέ καί ἀδιάφορον εἶναί φησι τήν ἄκτιστον οὐσίαν καί τήν ἄκτιστον ἐνέργειαν, ταὐτόν ἔσται κατ᾽ αὐτόν ἐκ τῆς οὐσίας τοῦ Πατρός εἰπεῖν καί ἐκ τῆς βουλήσεως εἶναι τόν Υἱόν, ὅ καί τοῦτο τῶν Ἀρειανῶν ἐστιν. Οὕτω γάρ καί κτιστός ἔσται ὁ Υἱός, ἐπειδήπερ ἐκ τῆς θείας βουλήσεως τά κτίσματα. Ἀλλαχοῦ δ᾽ αὖθις ὁ αὐτός τά τῶν θείων πατέρων παρερμηνεύων καί παρανοῶν καί τήν ἄκτιστον βούλησιν μόνον εἶναι λέγων τόν Υἱόν, ἀγνοῶν τό προηγούμενον τοῦ βούλεσθαι, ὡς ὁ μέγας Ἀθανάσιος ἐθεολόγησε, καί τό ὑπερκείμενον τῆς τοῦ Θεοῦ βουλήσεως, πάλιν τῷ αὐτῷ βαράθρῳ τῆς δυσσεβείας περιπίπτει.

Ἀλλά ταῦτα πέπονθεν ὁ τάλας μή πεισθείς τοῖς διδάσκουσι πατράσι, ὡς «οὐκ ἐν ρήμασιν ἡμῖν, ἀλλ᾽ ἐν πράγμασιν ἡ εὐσέβεια». Ἡμεῖς δ᾽οἱ πεπεισμένοι τούτοις, ὅταν ἀκούσωμεν ὑπερκείμενον ἤ προηγούμενον ἤ πρῶτον ἤ μεῖζον ἤ πάλιν ἔλαττον ἤ δεύτερον ἤ ὑφειμένον, ἐξετάζομεν τίνα τρόπον εἴρηται˙ κἄν μέν εὕρωμεν μή κατά φύσιν μηδέ κατά χρόνον εἰρημένα, ἀλλά κατά τήν τάξιν καί τό αἴτιον καί τό αἰτιατόν, καί ἁπλῶς ὅσα τῷ ἀκτίστῳ μηδαμῶς λυμαίνεται, τοῖς ἀκτίστοις ἐναριθμοῦμεν, ἄμφω τό τε πρῶτον καί τό δεύτερον καί τό μεῖζον καί τό ἔλαττον καί τά τοιαῦτα, τούς τε θεολόγους ἐπαινοῦντες καί τῇ τῆς εὐσεβείας ἀληθείᾳ τούτοις ἀκριβῶς ὁμολογοῦντες˙ εἰ δέ μή κατά τήν μεῖζον ἤ τό ἔλαττον, ἀλλά κατά φύσιν τε καί χρόνον, ὡς τό μέν ἄναρχόν τε καί ἄχρονον ὑπάρχειν, τό δέ κατά χρόνον καί φύσιν διεστώς ἐκείνου, τό μέν μεῖζον καί ὑπερκείμενον ἐν τοῖς (σελ. 366) τοιοῦτοις μόνον ἄκτιστόν φαμεν, τό δ᾽ ἔλαττον καί ὑφειμένον, κτίσμα. Κατά δή ταύτην τήν εὐσεβῆ διάνοιαν, οὐ τάς προγραφείσας μόνον, ἀλλά καί τάς ὑποτεταγμένας τῶν θείων ἡμῶν πατέρων θεολογικάς νοοῦμεν ρήσεις.

Ὁ μέν γάρ θεηγόρος Γρηγόριος ὁ Νύσσης ἐν τοῖς μακαρισμοῖς τό προφητικόν ἐκεῖνο προθείς, τίς ἐμέτρησε τόν οὐρανόν σπιθαμῇ καί τῇ χειρί τό ὕδωρ καί πᾶσαν τήν γῆν δρακί», «ὁρᾷς», φησί, «τήν μεγαλοφυΐαν τοῦ τήν ἄφραστον διαγράφοντος δύναμιν; Ἀλλά τί ταῦτα πρός τό ὄντως ὄν; Μέρος γάρ τι τῆς θείας ἐνεργείας ἐν ταῖς τοιαύταις μεγαληγορίαις ὁ προφητικός ἐνεδείξατο λόγος˙ αὐτήν δέ τήν δύναμιν ἀφ᾽ ἧς ἡ ἐνέργεια, ἵνα μή εἴπω τήν φύσιν ἀφ᾽ ἧς ἡ δύναμις, οὔτε εἶπεν οὔτε ἐμέλησεν». Ἐν δέ τῷ Πρός Εὐνόμιον τρισκαιδεκάτῳ, «ὁ μέν Θεός», φησίν, «ἔστι καθ᾽ ἑαυτόν ὅ,τι ποτέ καί

εἶναι πεπίστευται, ὀνομάζεται δέ παρά τῶν ἐπικαλουμένων οὐκ αὐτό ὅ ἐστιν (ἄφραστος γάρ ἐστιν ἡ φύσις τοῦ ὄντος), ἀλλ᾽ ἐξ ὧν ἐνεργεῖν τι περί τήν ζωήν ἡμῶν πεπίστευται˙ καί Θεόν γάρ αὐτόν λέγοντες τόν ἔφορον καί ἐπόπτην καί διορατικόν τῶν κεκρυμμένων ἐπινοοῦμεν. Προϋφέστηκε δέ τῶν ἐνεργειῶν ἡ οὐσία. Νοοῦμεν δέ τάς ἐνεργείας, δι᾽ ὧν αἰσθανόμεθα, ρήμασι δέ ταύτας, ὅπως ἄν ᾖ δυνατόν, ἐξαγγέλλομεν». Καί πάλιν, «τί οὐκ ἔστι», φησί, «τό θεῖον, τῆς τῶν ἀποφατικῶν ὀνομάτων σημασίας προδεικνυούσης, τί ἐστιν ἐκεῖνο κατά τήν φύσιν, ὅ ταῦτα οὐκ ἔστιν, ἐν ἀδήλῳ μένει. Ἀλλά καί τά λοιπά τῶν ὀνομάτων, ὧν ἡ σημασία θέσεώς τινός ἐστιν ἐνδεικτική καί ὑπάρξεως, οὐκ αὐτῆς τῆς θείας φύσεως, ἀλλά τῶν περί αὐτήν εὐσεβῶς θεωρουμένων τήν ἔνδειξιν ἔχει. Τό γάρ κάλλος καί μέγεθος τῶν ἐν τῇ (σελ. 368) κτίσει θαυμάτων κατανοήσαντες, ἐκ τούτων καί τῶν τοιούτων ἄλλα νοήματα περί τό θεῖον λαμβάνοντες, ἰδίοις ὀνόμασιν ἕκαστον τῶν ἐγγινομένων ἡμῖν νοημάτων διερμηνεύομεν˙ «ἐκ γάρ μεγέθους καί καλλονῆς τῶν κτισμάτων ἀναλόγως ὁ γενεσιουργός θεωρεῖται˙ καί δημιουργόν μέν τόν ποιητήν προσαγορεύομεν˙ δυνατόν δέ ᾧ ἐξήρκεσεν ἡ δύναμις οὐσίαν ποιῆσαι τήν βούλησιν, δίκαιον δέ ὡς ἀδέκαστον κριτήν. Ἀλλά καί τήν θείαν φωνήν, ἐκ τῆς ἐποπτικῆς ἐνεργείας κεκρατηκέναι κατελαβόμεθα, ὥστε καί διά τούτου μερικήν τινα τῆς θείας φύσεως ἐνέργειαν διδαχθέντες, τῆς οὐσίας αὐτῆς ἐν περινοίᾳ διά τῆς φωνῆς ταύτης οὐκ ἐγενόμεθα». Ἐν δέ τῷ Περί τελειότητος, «ὁ θεόπνευστος», φησίν, «ὡς ἀληθῶς καί θεοδίδακτος Παῦλος, ἀνέφικτόν τε καί ἄληπτον λογισμοῖς ἀνθωπίνοις τόν τῆς ὑπερκειμένης οὐσίας ἀποφαίνεται λόγον. Διό τά περί αὐτήν, θεωρούμενα λέγων, εἰρήνην καί δύναμιν καί ζωήν καί δικαιοσύνην καί φῶς καί ἀλήθειαν καί τά τοιαῦτα, τόν περί αὐτῆς ἐκείνης λόγον ἄληπτον εἶναι παντελῶς διωρίσατο, εἰπών μήτε ἑωρᾶσθαι ποτε τόν Θεόν μήτε ὀφθήσεσθαι˙ «ὅν εἶδε γάρ», φησίν, «ἀνθρώπων οὐδείς οὐδέ ἰδεῖν δύναται». Κἄν τῷ Περί θεότητος καί εἰς τόν Ἀβραάμ γεγραμμένῳ λόγῳ˙ «ἡ θεία φύσις ἄφραστος», φησί, «καί ἀνεκφώνητος μένει, ὑπερβαίνουσα πᾶσαν τήν διά φωνῆς σημασίαν. Οὐκοῦν οὐχί φύσιν, ἀλλά τήν θεατικήν δύναμιν ἡ τῆς θεότητος προσηγορία παρίστησιν».

Ὁ δέ τά πάντα μέγας καί τῆς ἀθανασίας ἐπώνυμος Κατά Μακεδονίου γράφων, «γίνωσκε», φησίν, «ὅτι τό Θεός εἶναι δεύτερόν ἐστι τῆς φύσεως˙ καί γάρ καί ἡμεῖς ἐάν μιμηταί γενώμεθα τοῦ Θεοῦ,

θεοί μέν γινόμεθα, τῆς δέ αὐτῆς οὐσίας γενέσθαι οὐ δυνάμεθα». (σελ. 370) Ὁ δέ Μέγας Βασίλειος περί τῆς ἁγίας Τριάδος Πρός Εὐστάθιον γράφων «κἄν φύσιν σημαίνῃ», φησί, «τό τῆς θεότητος ὄνομα, κυρίως καί τῷ ἁγίῳ Πνεύματι τήν προσηγορίαν ἐφαρμόζεσθαι ταύτην ἡ τῆς οὐσίας κοινότης συντίθεται˙ ἀλλ᾽ ἐξουσίας τινός εἴτε ἐποπτικῆς εἴτε ἐνεργητικῆς ἔνδειξιν ἡ προσηγορία φέρει, ἡ δέ θεία φύσις ἐν πᾶσι τοῖς ἐπινοουμένοις ὀνόμασι μένει ἀσήμαντος ὡς ὁ ἡμέτερος λόγος˙ εὐεργέτην γάρ καί κριτήν, ἀγαθόν τε καί δίκαιον, καί ὅσα ἄλλα τοιαῦτα καταμαθόντες, ἐνεργειῶν διαφοράς ἐδιδάχθημεν, τοῦ δέ ἐνεργοῦντος τήν φύσιν οὐδέν μᾶλλον διά τῆς τῶν ἐνεργειῶν κατανοήσεως ἐπιγνῶναι δυνάμεθα». Κἀν τῷ αὐτῷ πάλιν, «ἄλλο μέν ἐστι», φησίν, «ἡ οὐσία, ἧς οὔπω λόγος μηνυτής ἐξευρέθη, ἑτέρα δέ τῶν περί αὐτήν ὀνομάτων ἡ σημασία ἐξ ἐνεργείας τινός ἤ ἀξίας ὀνομαζομένων˙ εἴτε δέ ἐνεργείας ὄνομα ἡ θεότης, ὥσπερ μίαν ἐνέργειαν Πατρός καί Υἱοῦ καί ἁγίου Πνεύματος λέγομεν, οὕτω φαμέν εἶναι καί μίαν θεότητα, εἴτε κατά τάς τῶν πολλῶν δόξας φύσεως ἐνδεικτικόν ἐστι τό τῆς θεότητος ὄνομα, οὐκ ἀπεικότως καί οὕτω μιᾶς θεότητος τήν ἁγίαν Τριάδα ὁριζόμεθα». Ἐν δέ τοῖς Περί τοῦ ἁγίου Πνεύματος, «τά μέν οὖν ὀνοματα», φησί, «τοῦ ἁγίου Πνεύματος, ὑπερφυῆ καί μεγάλα οὐμενοῦν ἔχοντά τινα εἰς δόξαν ὑπερβολήν. Αἱ δέ ἐνέργειαι τίνες; Ἄρρητοι μέν διά τό μέγεθος, ἀνεξαρίθμητοι δέ διά τό πλῆθος. Πῶς γάρ νοήσομεν τά τῶν αἰώνων ἐπέκεινα, τίνες ἦσαν αὐτοῦ πρό νοητῆς κτίσεως αἱ ἐνέργειαι, πόσαι δέ αἱ ἀπ᾽ αὐτοῦ περί τήν κτίσιν χάριτες, τίς δέ ἡ πρός τούς αἰῶνας τούς ἐπερχομενους δύναμις; Ἦν μέν γάρ καί προῆν καί συμπαρῆν τῷ πατρί καί τῷ Υἱῷ πρό τῶν αἰώνων, ὥστε κἄν τι νοήσῃς τῶν αἰώνων ἐπέκεινα, καί τοῦτό ἐστι τοῦ (σελ. 372) Πνεύματος κατωτέρω». Ἀλλά καί πρός Ἀμφιλόχιον ἐπιστέλλων, «τήν μεγαλειότητα», φησί, «τοῦ Θεοῦ εἰδέναι λέγομεν καί τήν δύναμιν καί τήν σοφίαν καί τήν ἀγαθότητα καί τήν πρόνοιαν, ᾗ ἐπιμελεῖται ἡμῶν, καί τό δίκαιον αὐτοῦ τῆς κρίσεως, οὐκ αὐτήν τήν οὐσίαν. Ἀλλ᾽ ἁπλοῦς, φησίν, ὁ Θεός, καί ὅπερ ἄν αὐτοῦ ἀπαριθμήσῃ γνωστόν τῆς οὐσίας ἐστί. Τοῦτο δέ σόφισμά ἐστι μυρίας τάς ἀτοπίας ἔχον. Τοσούτων γάρ τῶν ἀπαριθμημένων ὄντων, πότερον, ταῦτα μιᾶς οὐσίας ὀνόματα καί ἰσοδυναμεῖ ἀλλήλοις τό φοβερόν αὐτοῦ, τό φιλάνθρωπον, τό δίκαιον, τό δημιουργικόν, τό προγνωστικόν καί τά τοιαῦτα ἤ, ὅπερ ἄν τούτων εἴπωμεν, οὐ τήν οὐσίαν δηλοῦμεν»; Καί μετά τινα, «ἀλλ᾽ αἱ μέν

ἐνέργειαι ποικίλαι, ἡ δέ οὐσία ἁπλῆ. Ἡμεῖς δέ ἐκ τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τόν Θεόν, τῇ δέ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα. Αἱ μέν γάρ αὐτοῦ πρός ἡμᾶς καταβαίνουσιν, ἡ δέ οὐσία αὐτοῦ μένει ἀπρόσιτος».

Οὕτω τοίνυν διά τῶν προτεταγμένων θεολογικῶν ἐνταῦθα ῥήσεων, Ἀθανασίου μέν τοῦ μεγάλου, προηγουμένην καί ὑπερκειμένην εἶναι τήν θείαν φύσιν δείξαντος τῆς θείας ἐνεργείας, κατά τήν τάξιν δήπου καί τό αἴτιον καί τά τοιαῦτα, καί τήν θείαν καί θεοποιόν ἐνέργειαν, καθ᾽ ἥν Θεός καλεῖται ὁ Θεός, ὡς σχέσιν οὖσαν αὐτοῦ πρός τούς τεθεωμένους, δευτέραν τῆς θείας φύσεως ὑπάρχειν, τοῦ τε χρυσολόγου πατρός καί τοῦ σεπτοῦ Κυρίλλου, καί τό ἔλαττον εἰπόντων ἐπί τῆς θείας ἐνεργείας, τοῦ δέ Νύσσης ἐνθέου Γρηγορίου, τό τε διενηνοχός ἅμα καί ὑπερέχον τῆς θείας φύσεως κατά τό ἄφραστον καί ὑπερώνυμον ἐνδειξαμένου, καί προϋφεστηκέναι τήν θείαν φύσιν καί τῆς θείας δυνάμεως διδάξαντος, εἰ καί μή κατά χρόνον, καί τήν θείαν ταύτην δύναμιν ἐκ τῆς θείας φύσεως ὑπάρχειν, καί τό τῆς (σελ. 374) θεότητος ὄνομα μερικῆς θείας δυνάμεως καί ἐνεργείας εἶναι σημαντικόν εἰπόντος, τήν δέ φύσιν ὑπερβαίνειν πᾶσαν τήν διά φωνῆς σημασίαν, τοῦ δέ μεγάλου Βασιλείου καί τῆς θείας φύσεως εἶναι λέγοντος ὄνομα τήν θεότητα, κυρίως δέ τῆς ἐνεργητικῆς καί ἐποπτικῆς ἐξουσίας, ὡς οὔσης τῆς θείας φύσεως ὑπερωνύμου, ἀλλά καί τάς θείας ἐνεργείας ἐξυμνήσαντος, καί προαιωνίους εἶναι ταύτας δείξαντος, ὡς καί πρό τῆς νοητῆς κτίσεως προσούσας τῷ Θεῷ καί ἀνεξαριθμήτους εἶναι ταύτας εἰπόντος διά τό πλῆθος καί ἐπενεγκόντος, ὡς «κἄν τι νοήσῃς τῶν αἰώνων ἐπέκεινα καί τοῦτό ἐστι τοῦ Πνεύματος κατωτέρω», καί οὕτω τάς ἀκτίστους ἐνεργείας κατωτέρας ἀποφηναμένου φανερῶς τοῦ θείου Πνεύματος καί τήν μεγαλειότητα τοῦ Θεοῦ καί τήν δύναμιν καί τήν πρόνοιαν εἰδέναι λέγοντος καί τό δημιουργικόν καί τό προγνωστικόν, ἀλλ᾽ οὐκ αὐτήν τήν οὐσίαν, ὡς μηδέ τῆς τοῦ Θεοῦ ἁπλότητος παραβλαπτομένης ὑπό ταύτης τῆς διαφορᾶς, καί προστιθέντος, ὅτι «αἱ μέν ἐνέργειαι τοῦ Θεοῦ ποικίλαι, ἡ δέ οὐσία ἁπλῆ», καί ὡς «αἱ μέν ἐνέργειαι τοῦ Θεοῦ πρός ἡμᾶς καταβαίνουσιν, ἡ δέ οὐσία αὐτοῦ μένει ἀπρόσιτος».

Ταῦθ᾽ οὕτω τῶν ἁγίων θεολογούντων καί ἐμοῦ τούτοις κατά ταῦθ᾽ ὁμολογοῦντος ὁ Ἀκίνδυνος μαρτυρεῖ μέν ἐμοί, κἄν μή βούληται, τήν πρός τούς ἁγίους συμφωνίαν, αὐτός δέ βάλλειν ὑποκρινόμενος ἐμέ,

πρός ἐκείνους σαφῶς δεινάς ὕβρεις καί βλασφημίας πάλιν ἀναπέμπει, δι᾿ ἰάμβων αὖθις γράφων˙

«οὐκ οὐσίας γάρ ἀλλ᾿ ἐνεργείας λέγων
τό πλῆθος αὐτοῦ τῶν ὑφειμένων θεῶν
ἤ θεοτήτων οὐ γάρ ἧττων ἡ πλάνη,
χάριν τε καί φῶς καί χαρισμάτων γένη, (σελ. 376)
γνῶσιν Θεοῦ, μόρφωσιν, ἰσχύν, ὡς ἔφην,
ἧττον νομίζειν δυσσεβεῖ ὁ γεννάδας».

Ὥς οὖν καί αὐτός ὁ κατήγορος ἐνταῦθα μαρτυρεῖ, μίαν μέν οὐσίαν ἔχειν λέγομεν ἡμεῖς τόν τρισυπόστατον Θεόν, πολλάς δέ τάς ἐνεργείας, ὡς καί οἱ θεοφόροι μικρόν ἀνωτέρω φθάσαντες ἐδίδαξαν ἡμᾶς, καί τήν θείαν φύσιν ὑπερκεῖσθαι τῶν τοῦ Θεοῦ ἐνεργειῶν εἰπόντες, αἵ κατά τούς αὐτούς καί πρός ἡμᾶς καταβαίνουσιν, δηλονότι φανερούμεναι καί παρ᾿ ἡμῶν μετεχόμεναι, διό καί μετοχαί καί δωρεαί θεοπρεπεῖς καλοῦνται παρά τοῦ θεοφάντορος Διονυσίου. Καί κατ᾿ αὐτάς ἀρχή ἐστι τῶν πάντων ὁ Θεός, ὑπέρ σχέσιν ὤν παντοίαν καί μέθεξιν κατά τήν φύσιν, καθ᾿ ἥν καί ὑπεράρχιός ἐστι, μᾶλλον δέ καί ὑπέρ θεαρχίαν καί ἀγαθαρχίαν, ὡς καί αὐτός πάλιν μέγας Διονύσιός φησι. Καί τήν θεουργόν χάριν, αὐτήν τήν λαμπρότητα τῆς θείας φύσεως, καθ᾿ ἥν καί ὁ Κύριος τούς μαθητάς ἀπορρήτως περιήστραψεν ἐπ᾿ ὄρους, οὐκ οὐσίαν, ἐδιδάχθημεν φρονεῖν, ἀλλ᾿ ἔλλαμψιν ὑπερφυᾶ καί δύναμιν καί ἐνέργειαν φωτιστικήν ἀπορρήτως καί θεοποιόν μόνοις τοῖς ἀξίοις μεθεκτήν˙ κατ᾿ αὐτήν γάρ καί οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, οὐκ ἰδόντες μόνον, ἀλλά καί παθόντες λαμπρότητα Θεοῦ, κατά τόν θεολόγον Γρηγόριον. Ἀλλά καί τήν θείαν πρόγνωσιν καί τήν θελητικήν τε καί προνοητικήν δύναμιν καί τά τοιαῦτα οὐκ οὐσίας, ἀλλά δυνάμεις καί ἐνεργείας ἴσμεν οὖσας τοῦ Θεοῦ καί οὕτω Θεόν ἕνα σέβομεν ἐν μιᾷ οὐσίᾳ καί θεότητι τρισυποστάτῳ καί παντοδυνάμῳ.

Ὁ δέ Ἀκίνδυνος διά ταῦτα πολυθέους καί πεπλανημένους καί δυσσεβεῖς τούς τε θεοφόρους πατέρας καί ἡμᾶς μετ᾿ ἐκείνων ἀποφαίνεται, ποικίλαις συκοφαντίαις τάς ὕβρεις ἀναμίξ προφέρων. Ὅτι δέ αὐτός ἐστιν ὡς ἀληθῶς ὁ πολλούς θεούς πρεσβεύων ὑπερκειμένους τε καί ὑφειμένους ὄντως, καί πολλάς τοιαύτας θεότητας (σελ. 378) ὡς ἀκτίστους καί κτιστάς, τήν μίαν ἀθέσμως εἰς ταύτας διασχίσας, κἀντεῦθεν πολύθεός τε ἅμα καί ἄθεος ἐφ᾿ ἡμῶν ἀναφανείς˙ ὅτι τοίνυν αὐτός ἐστιν ὡς ἀληθῶς τοιοῦτος, ἅπερ αὐτός ἐν

τοῖς αὐτοῖς ἰάμβοις περί τῶν τοῦ Θεοῦ ἐνεργειῶν γράφει παρίστησι σαφῶς. Φησί γάρ˙

«καίτοι καταρρεῖν φασι τάς ὑφειμένας
ἀνδρῶν θεαυγῶν οἱ θεηγόροι λόγοι,
ὡς καί μεθεκτάς οὐ τόν αὐτόν γε τρόπον,
ὅνπερ μεθεκτήν φασι τήν πρώτην φύσιν,
τήν οὐ μεθεκτήν τούς ὑφειμένους τρόπους,
ἀλλ᾽ οὖν γενητάς φασι τάς δώρων δόσεις,
ἀλλ᾽ οὐχί θειότητα ἀκτίστους. Πόθεν;
Οὐ γάρ κινητόν μή γενητή θειότης˙
ποῦ γάρ κινηθῇ; Ποῦ γάρ οὐκ ἔστι; Φράσον».

Ἰδού φανερῶς ἐνταῦθα οὗτος ὑφειμένας εἶναι λέγει κατά τούς θεηγόρους τάς εἰς ἡμᾶς καταβαινούσας ἄνωθεν ἐνεργείας τοῦ Θεοῦ, ὥστε φανερόν ἐντεῦθεν, ὅτι πρός ἀπάτην τῶν ἀκουόντων, περί τοῦ ὑφειμένου διατείνεται πρός ἡμᾶς ἔχειν τήν ἀντίθεσιν. Ἡ δ᾽ ἀληθής ἀντίθεσις τοῦτό ἐστιν˙ ὅτι τάς θείας ἐνεργείας ταύτας, ἡμεῖς μέν ἀκτίστους εἶναι λέγομεν, αὐτός δέ καί πρό αὐτοῦ ὁ Βαρλαάμ κτιστάς. Ὥσπερ δέ ὁ Ἄρειος ἐκ τοῦ μείζονα εἶναι τόν Πατέρα κτιστόν εἶναι τόν Υἱόν σηνῆγε καί κατηγόρει τῶν ἄκτιστον αὐτόν λεγόντων ὡς δύο δῆθεν θεούς λεγόντων ἀνίσους πρός ἀλλήλους, οὕτω καί οὗτος κατά μίμησιν ἐκείνου κτιστάς εἶναι συνάγων τάς ἐνεργείας τοῦ Θεοῦ ἐκ τοῦ ὑπερκεῖσθαι τούτων ὡς πηγήν τούτων οὖσαν τήν οὐσίαν ἡμῶν κατηγορεῖ ὡς δύο δῆθεν φρονούντων θεούς καί θεότητας ἀνίσους, ἅτε λεγόντων ἀκτίστους τάς πρός ἡμᾶς καταβαινούσας ἄνωθεν θείας (σελ. 380) ἐνεργείας, καίτοι τά κτίσματα ἡμεῖς ἐσμεν, πάντα λέγω τά ἐξ οὐκ ὄντων Θεοῦ θείᾳ θελήσει καί σοφίᾳ καί δημιουργικῇ δυνάμει παραχθέντα.

Κατά γοῦν τόν Ἀκίνδυνον, εἴπερ αἱ τοιαῦται ἐνέργειαι τά κτίσματα, ἡμᾶς ἔδει λέγειν καταβαίνειν ἄνωθεν. Ὁρᾶτε τῆς ἀνοίας ἅμα καί δυσσεβείας τήν ὑπερβολήν; «Ὁ γάρ ἄνωθεν ἐρχόμενος ἐπάνω πάντων ἐστίν», Ἰωάννης ὁ προφήτης καί πρόδρομος καί τοῦ Κυρίου βαπτιστής φησιν. Ἀλλά γάρ ἐντεῦθα τῶν αὐτοῦ ἰάμβων ὁ Ἀκίνδυνος καί πᾶσαν σχεδόν τήν οἰκείαν αὐτοῦ δόξαν, μᾶλλον κακοδοξίαν, φανερωτέραν ἐκτίθεται. Δύο γάρ εἶναι φησί τά μεθεκτά, τουτέστιν τά ὑπό πάντων μετεχόμενα. Τά δέ ὑπό πάντων μετεχόμενα καί ἀρχαί εἰσι τῶν πάντων. Ἐπεί δέ μόνος ὁ Θεός ἐστι κατά τούς θεοφόρους θεολόγους ὁ ὑπό πάντων μετεχόμενος, καί αὐτός ἐστιν ἡ πάντων

ἀρχή κατά τόν ἀπόστολον, δύο λέγων ὁ Ἀκίνδυνος τά ὑπό πάντων μετεχόμενα, δύο φησίν εἶναι τάς τῶν ὄντων ἀρχάς, ταὐτό δ᾿ εἰπεῖν, δύο θεούς καί θεότητας, τοσοῦτον ἐκφύλους καί ἀπεσχοινισμένους ἀλλήλων, ὡς καί κατ᾿ οὐσίαν εἶναι διῃρημένας παντάπασι.

Καί τήν μέν ὑπερκειμένην, οὐ κατά τήν τάξιν καί τό αἴτιον καί ἁπλῶς ὅσα τῶν κατ᾿ αὐτά διαιρουμένων ἀδιαίρετον ποιεῖται τήν διαίρεσιν, ἀλλά πάντῃ τε καί πάντως ὡς ἄκτιστον ὑπάρχουσαν οὐσίαν καί τοῦτο δή μόνον οὖσαν οὐσίαν γυμνήν πάσης φυσικῆς δυνάμεως καί ἐνεργείας, ὡς αὐτός καί φανερῶς ἐν τοῖς μέτροις τούτοις ἀμέτρως βλασφημῶν φησι˙

δέον γάρ εἰς ἕν τἀγαθόν μόνον βλέπειν
οὔτ᾿ ἔνδον οὔτ᾿ ἔξωθεν ἐξηρτημένον
οὐκ οὐσιωδῶς οὐκ ἀνουσίων ὄχλον
οὐδ᾿ ὡντινωνοῦν ὡς ἅπαν εἰπεῖν ἔπος»˙

(σελ. 382) Τήν μέν οὖν οὕτω φησίν ὑπερκειμένην καί πρώτην φύσιν, τήν δέ ταύτης ὑφειμένην καί κεχωρισμένην πάντῃ τε καί πάντως, ἅτε καί κτιστήν ὑπάρχουσαν, ὡς κἀνταῦθά τε καί ἀνωτέρω λέγει, γράφων φανερῶς.

«καί κτίσμα πᾶν ὄν τῆς ὑφειμένης ἕδρας».

Καί τήν μέν μίαν εἶναι καί ἀμέριστον παντάπασιν ὡς μή φυσικάς δυνάμεις τε καί ἐνεργείας ἔχουσαν, καθ᾿ ἅς ἄν ἀμερίστως μερισθείη, ταὐτό δ᾿ εἰπεῖν, ἀδύναμόν τε καί ἀνενέργητον καί ὡς ἀληθῶς μή οὖσαν μηδαμῶς. Πῶς γάρ ἄν δύναιτο ἤ ἐνεργήσειεν ἤ ὅλως εἴη, μηδεμίαν φυσικήν δύναμιν καί ἐνέργειαν ἔχουσα; Καί τήν μέν ὑπό πάντων ἐπίσης μετεχομένην, ὡς κἀνταῦθ᾿ ὑποφαίνει καί μικρόν ἀνωτέρω γράφει φανερῶς, λέγων τό θεϊκόν ἐν πᾶσι κατοικεῖν ἐξ ἴσου, μηδέ γοῦν Παύλου δυσωπηθείς, τό σκεῦος τῆς ἐκλογῆς, ὅς φησι, πρός μόνους τούς ἡγιασμένους, «τίς μερίς πιστῷ μετά ἀπίστου; Ὑμεῖς γάρ ναός Θεοῦ ἐστε, καθώς εἶπεν ὁ Θεός ὅτι ἐνοικήσω ἐν αὐτοῖς καί ἐμπεριπατήσω καί ἔσομαι αὐτῶν Θεός». Καί πάλιν, «οἶκος Θεοῦ ἡμεῖς ἐσμεν, ἐάν περ τήν παρρησίαν καί τό καύχημα τῆς ἐλπίδος μέχρι τέλους βεβαίαν κατάσχωμεν». Πανταχοῦ γάρ ὁ Θεός πάρεστιν, ἐνοικεῖ δέ ἐν μόνοις τοῖς ἁγίοις˙ τό γάρ ἐνοικεῖν, χρῆσθαι αὐτοῖς ἐστιν, ἐνδιαιτώμενον αὐτοῖς καί δι᾿ αὐτῶν ὡς ὀργάνων τῆς οἰκείας ἐνεργείας ἐνεργοῦντά τε καί γνωριζόμενον. Ἀλλά γάρ τῶν ἁγίων ταῦθ᾿ οὕτω διδασκόντων ὁ Ἀκίνδυνος πᾶσι φησίν ἐγκατοικεῖν τόν Θεόν, κἀν τοῖς ἀψύχοις κἀν τοῖς ἀλόγοις κἀν τοῖς δυσσεβέσι κἀν τοῖς δαίμοσιν αὐτοῖς

καί πᾶσιν ἐξ ἴσου, πάντας ναούς Θεοῦ ποιῶν καί μέλη τοῦ Χριστοῦ, καί ἕν Πνεῦμα μετά τοῦ Κυρίου. Βαβαί τῆς ἀσεβείας!

Τήν μέν οὖν οὕτω φησίν ἐπίσης ὑπό πάντων εἶναι μετεχομένην, ὡς παντάπασιν ἀμέριστον˙ τήν δέ πολλάς (σελ. 384) εἶναι καί μεμερισμένας καί ἀλλήλων ὑπερκειμένας τι καί ὑφειμένας, μᾶλλον δέ καί ἀνίσους πρός ἀλλήλας, ὡς αὐτός καί τοῦτ᾽ ἀνωτέρω φανερῶς ὑπέδειξε, γράφων,

«Οὐ γάρ τά βάθρα τῆς θεώσεως ἴσα»,

κτιστάς δέ ἁπάσας ὡς ἐνταῦθα δείκνυσι θεότητας, καί ὡς κτιστάς πάλιν πάσας ὑφειμένας τῆς μιᾶς ἐκείνης καί ὑπερκειμένης ὡς ἀκτίστου, ὡς ἐντεῦθεν μή δύο μόνον ἀρχάς εἶναι τῶν ὄντων κατ᾽ αὐτόν, ἀλλά καί πολλάς καί διαφόρους, καί τήν μέν οὐ καταρρεῖν ἤγουν καταβαίνειν ἐφ᾽ ἡμᾶς οὐδ᾽ ὁπωσοῦν οὐδέ κινεῖσθαι, τά δέ καταρρεῖν ἐφ᾽ ἡμᾶς τουτέστι καταβαίνειν ἄνωθεν, οὐκ οἶδ᾽ εἴτ᾽ ἐν ἄστροις κατοικούσας εἴτε ἐν τοῖς ἐπέκεινα τούτων, ταύτας δ᾽ εἶναι φησί γενητάς θεότητας, τάς καί μεθεκτάς πᾶσι τοῖς οὖσιν οὔσας καί αὐτοῖς τοῖς ἀγαθοῖς καί πονηροῖς ἀγγέλοις. Εἴ τις ἐντύχοι τοῖς Περί Ἐνεργειῶν αὐτοῦ λόγοις, οὕς εἰς τό διαστρέψαι τά περί θείων ἐνεργειῶν τοῦ θείου Μαξίμου κεφάλαια ἐξενήνοχεν, εἴσεται σαφῶς τίνες αὗται˙ καί γάρ ἐκεῖ σαφῶς οὗτος τά περί τόν Θεόν, ὡς ὁ πολύς τά θεῖα Μάξιμός φησιν, οὐσιωδῶς θεωρούμενα, τήν ἀγαθότητα, τήν ἁγιότητα, τήν ἁπλότητα, τήν ζωήν, τήν ἀθανασίαν, τήν ἀτρεψίαν, τήν ἀπειρίαν καί τά παραπλήσια τούτοις, οὐ φυσικάς δυνάμεις τε καί ἐνεργείας εἶναι τοῦ Θεοῦ φησίν ὁ Ἀκίνδυνος, ἀλλ᾽ οὐσίας καί ὑποστάσεις περί τόν Θεόν πρό τῶν ἀγγέλων ἐν αἰῶνι κτισθείσας, καί ὑπό τῶν ἀγγέλων καί πάσης τῆς κτίσεως μετεχομένας, εἰς τοσαύτας οὐσίας καί οὕτως ἀλλήλων ἀπηλλοτριωμένας καί ὡς ἀληθῶς ὑπερκειμένας τε καί ὑφειμένας διαρρήξας ὁ τάλας τήν μίαν θεότητα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, εἶτα συνηγορεῖν ὑποκρίνεται τῷ ἑνιαίῳ τῆς θεότητος καί τῇ μοναρχίᾳ συνίστασθαί φησιν˙ (σελ. 386) ὅς οὐ μόνον πολλάς καί διαφόρους εἶναι τῶν ὄντων φησίν ἀρχάς, ἀλλά καί τόν Θεόν οὐκ ἄναρχον εἶναι κατασκευάζει, ἀλλ᾽ οὐδέ τῶν ὄντων ἀρχήν, ταὐτό δ᾽ εἰπεῖν μηδαμῶς εἶναι μηδαμῇ˙ ὡς γάρ αὐτός ἔφη διά στίχων τῶν ἐνταῦθα προτεθειμένων ἀνωτέρω, «φύσις μόνον ὁ Θεός ἐστι, μηδέν περί αὐτήν ἔχων φυσικῶς θεωρούμενον».

Εἰ τοίνυν κατά τόν τῆς θεολογίας ἐπώνυμον, «οὐ φύσις τῷ Υἱῷ τό εἶναι ἀρχήν, ὥσπερ οὐδέ τῷ Πατρί τό εἶναι ἄναρχον, περί γάρ τήν φύσιν, οὐ ταῦτα φύσις», εἰ φύσις μόνον ὁ Πατήρ καί ὁ Υἱός κατά τόν Ἀκίνδυνον, τό εἶναι ἄναρχος οὐκ ἔχει, ἀλλ᾽ οὐδέ τό ἀρχή τῶν ὄντων εἶναι κατ᾽ αὐτόν˙ φυσικῶς γάρ ταῦτα περί τήν θείαν φύσιν, ἀλλ᾽ οὐ ταῦτα φύσις. Οὗτος τοίνυν οὕτω τόν μέν Θεόν οὐδαμῶς εἶναι κατασκευάσας καί τό ἄναρχον ἀνασκευάσας τούτου καί τό ἀρχήν τῶν ὄντων εἶναι, ἀρχάς δέ τῶν κτισμάτων ἀποφηνάμενος εἶναι τά κτίσματα, παρ᾽ ἑαυτῶν ὡς ἔοικε τό εἶναι λαβόντα καί αὐτόματα διατελοῦντα καί μόνα ἐν τοῖς οὖσιν ὄντα, ὡς μηδαμῇ μηδενός ὄντος ὑπέρ ταῦτα, πλήν τῆς κατ᾽ αὐτόν ἀμοίρου πάσης ἐνεργείας φύσεως, ταῦτα δοξάσας καί κηρύξας καί συγγραψάμενος οὕτω πονηρῶς καί ἀθέως, εἶθ᾽ ἡμῶν τῶν ἄρρηκτον ὡς ἀληθῶς τηρούντων τήν μίαν θεότητα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος ὡς ἐν πᾶσιν ἄκτιστον φρονούντων καί κατά τήν οὐσίαν καί κατά τάς ὑποστάσεις, τρισυπόστατον γάρ, καί κατά πάσας τάς δυνάμεις, παντοδύναμον γάρ, ἅτε λεγόντων ἀρχήν εἶναι τόν Θεόν ἁπάντων, οὐ κατά τήν φύσιν, οὐ γάρ φύσις αὐτῷ ἡ ἀρχή, ἀλλά κατά τάς περί αὐτήν ἐμφύτους αὐτοῦ δυνάμεις τε καί ἐνεργείας, διθεΐαν κατηγορεῖ καί ὡς πολυθέων καταψηφίζεται.

(σελ. 388) Ἀλλ᾽ ἐπειδή τούς θεηγόρους οὗτός φησι πατέρας καταβαίνειν ἐφ᾽ ἡμᾶς λέγειν, ἅς αὐτός φησιν ὑφειμένας ὡς κτιστάς θεότητας καί μεθεκτάς, τουτέστι μετοχάς καί δωρεάς ὀνομάζεσθαι πολλάς, φέρ᾽ ἴδωμεν πάλιν ἀναμνησθέντες, τίνας οἱ θεοειδεῖς πατέρες πρός ἡμᾶς ἔφησαν καταβαίνειν ἐνεργείας τοῦ Θεοῦ, ἅς καί ποικίλας καί πολλάς μετοχάς καί δωρεάς καλοῦσιν. Ὁ γοῦν μέγας Βασίλειος πρός τούς Εὐνομιανούς ἰσχυριζομένους εἰδέναι τήν οὐσίαν τοῦ Θεοῦ ποιούμενος τόν λόγον, «αἱ μέν ἐνέργειαι τοῦ Θεοῦ ποικίλαι», φησίν, «ἡ δέ οὐσία ἁπλῆ. Ἡμεῖς δέ ἐκ τῶν ἐνεργειῶν γνωρίζειν λέγομεν τόν Θεόν ἡμῶν, τῇ δέ οὐσίᾳ αὐτοῦ προσεγγίζειν οὐχ ὑπισχνούμεθα˙ αἱ μέν γάρ ἐνέργειαι αὐτοῦ πρός ἡμᾶς καταβαίνουσιν, ἡ δέ οὐσία αὐτοῦ μένει ἀπρόσιτος». Τοῦτο μέν οὖν ἤδη πρῶτον σαφές ἐνταῦθα, ὡς ἡ οὐσία τοῦ Θεοῦ παντάπασίν ἐστιν ἀπρόσιτος, ταὐτό δ᾽ εἰπεῖν ἀμέθεκτος, ἐπεί μηδέ προσεγγίζειν αὐτῇ δυνάμεθα, φησί, καθάπερ καί ὁ θεῖος ἔφη Μάξιμος κατ᾽ οὐσίαν ἀμέθεκτον εἶναι πᾶσι τόν Θεόν ἀποφηνάμενος. Ὁ δ᾽ Ἀκίνδυνος μεθεκτήν εἶναι φησί καί ταύτην, εἰ καί μή κατά τάς κατιούσας ἐνεργείας ἄνωθεν. Ἀλλά, πρός ὅ

νῦν ἡμῖν ὁ λόγος, ἴδωμεν τίνες εἰσίν αἱ κατά τόν μέγαν Βασίλειον πρός ἡμᾶς καταβαίνουσαι ποικίλαι τοῦ Θεοῦ ἐνέργειαι˙ προλαβών γάρ οὗτος ἀπηριθμήσατο ταύτας˙ αὗται γοῦν εἰσιν, ὡς αὐτός φησιν ὁ μέγας, τό προγνωστικόν, τό δημιουργικόν, τό φιλάνθρωπον, τό φοβερόν, τό δίκαιον, ἡ δύναμις, ἡ σοφία, ἡ ἀγαθότης, ἡ πρόνοια καί πᾶν ὅ,τι τούτοις παραπλήσιον. Καί αὗταί εἰσιν αἱ κατά τούς θεηγόρους ἐφ᾽ ἡμᾶς κατιοῦσαι ἄνωθεν, ἅς ὁ Ἀκίνδυνος κτιστάς εἶναι δογματίζει καί ὑφειμένας ὡς κτιστάς, ἅτε πρός ἡμᾶς καταβαινούσας καί τοῖς (σελ. 390) πᾶσιν οὔσας μεθεκτάς. Καί ἡ κατασκευή τοῦ κτιστάς εἶναι τάς θείας ἐνεργείας ταύτας, ὡς θαυμασιωτάτη˙

«οὐ γάρ κινητόν, φησίν, ἡ μή κτιστή θεότης˙
ποῦ γάρ κινηθῇ, ποῦ γάρ οὐκ ἔστι; Φράσον».

Οὐ γάρ συνεώρακεν, ὡς καί τόν Υἱόν μετά τοῦ Πατρός ἐντεῦθεν ἀποδείκνυσι κτιστόν. Ἀφικνεῖται γάρ καί ὁ Υἱός μετά τοῦ Πατρός κατά τήν ἐπαγγελίαν καί μονήν ποιεῖται παρά τοῖς ἀξίοις. Λεγέτω τοίνυν ὁ Ἀκίνδυνος καί τούτους τῶν κτισμάτων, «οὐ γάρ κινητόν, ὅ μή καί κτιστόν», καί τοῖς ἀντιλέγουσιν ἐπιφθεγγέσθω, «ποῦ γάρ οὐκ ἔστι, φράσον», ὁ ἄκτιστος Πατήρ τε καί Υἱός;

Οὕτω μέν οὖν ὁ Ἀκίνδυνος τῆς τοῦ Θεοῦ οὐσίας τάς θείας ἐνεργείας ἀποτεμόμενος καί εἰς κτίσμα κατασπάσας κατά βαράθρου πολυθεΐας τε καί ἀθεΐας καθῆκεν ἑαυτόν, διχοτομήσας ἐκτόπως εἰς κτιστά καί ἄκτιστα τό θεῖον. Ἡμεῖς δέ καί τήν τοῦ Πατρός καί τοῦ Υἱοῦ ἔλευσίν τε καί μονήν καί τήν τῶν ἐνεργειῶν ἐκείνων κάθοδον, θεοπρεπῶς ἀκούομεν, οὐ τήν ἀπό τόπου εἰς τόπον μετάβασιν νοοῦντες, ὡς ἐν τῇ πρός ἡμᾶς ἀφίξει περιγραπτόν οἴεσθαι τό θεῖον καί κτιστόν, ἤ κατά τάς ὑποστάσεις ἤ κατά τάς οἰκείας αὐτοῦ δυνάμεις τε καί ἐνεργείας, ἀλλ᾽ ἄφιξιν καί μονήν καί κάθοδον τήν ἐκ τοῦ ἐνεργεῖν τόν Θεόν φανέρωσιν αὐτοῦ νοοῦμεν. Φανεροῦται δ᾽ ἐκ τοῦ ἐνεργεῖν οὐχ ἡ οὐσία τοῦ ἐνεργοῦντος, ἀλλ᾽ ἡ δύναμις καί ἡ ἐνέργεια, ἥτις ἐν αὐτῷ καί πρό τῆς φανερώσεως ἦν. Καί οὕτως ἡμῖν εἷς Θεός ἐν ἀκτίστῳ οὐσίᾳ τε καί ἐνεργείᾳ, κἄν ὁ τήν μίαν θεότητα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος εἰς κτιστά καί ἄκτιστα διαρρήξας Ἀκίνδυνος (σελ. 392) διαρραγῇ. Ἐνῆν μέν οὖν καί τά τοῦ μεγάλου Διονυσίου προχειρισαμένοις, ἐν οἷς τάς τοιαύτας θείας ἐνεργείας μετοχάς καί ἀρχάς καί δωρεάς καλεῖ γράφων, «πρώτην οὖν τήν τοῦ αὐτοεῖναι δωρεάν ἡ αὐτοϋπεραγαθότης προβαλλομένη, τῇ πρεσβυτέρᾳ πρώτῃ τῶν μετοχῶν ὑμνεῖται καί ἔστιν ἐξ αὐτῆς καί ἐν

αὐτῇ καί αὐτό τό εἶναι καί αἱ τῶν ὄντων ἀρχαί», καί ὡς σύν γε τῷ ἱερῷ τε καί σοφῷ Μαξίμῳ καί ἐν τῷ Θεῷ διδάσκουσι τάς τοιαύτας εἶναι μετοχάς τε καί ἀρχάς ἐξ ἀϊδίου καί τῶν ἐν αὐτῷ τούτων μετοχῶν τε καί ἀρχῶν κατ᾽ οὐσίαν τόν Θεόν ἐπέκεινά φασιν˙ ἐνῆν οὖν ἡμῖν καί ταῦτα προθεῖσι διεξοδικώτερον τήν Ἀκινδύνου πολυθεΐαν τε καί ἀθεΐαν ἐξελέγχειν τοῦ τάς θείας ἐνεργείας εἰς κτίσμα κατασπῶντος καί πλῆθος κτιστῶν θεοτήτων καινουργοῦντος καί δι᾽ αὐτῶν μηδέ τήν θείαν οὐσίαν εἶναι συγχωροῦντος ἄκτιστον, εἰ καί δοκεῖ κενοῖς λόγοις ἀνυψοῦν κατασπῶν τῷ πράγματι. Πᾶσα γάρ ἐστιν ἀνάγκη κατάλληλον εἶναι ταῖς αὐτῆς οἰκείαις ἐνεργείαις.

Ἀλλ᾽ ἐπειδήπερ καί διά βραχέων τό συμπεριειλημμένον ἐν τοῖς αὐτῷ προτεθειμένοις μέγεθος τῆς δυσσεβείας καταφανές ἀποχρώντως γέγονεν, ἐφ᾽ ἕτερον τρέψομεν τόν λόγον˙ ὅτι γάρ διαιροῦνται καί
καί διαφέρουσιν ἀλλήλων αἱ τοῦ Θεοῦ ἄκτιστοι ἐνέργειαι, τῆς θείας οὐσίας οὔσης ὑπέρ πάντα μερισμόν, κἀν τοῖς ἄρτι ῥηθεῖσι τοῦ θεοφάντορος Διονυσίου ἀναπέφηνε, καί μάλιστα τῷ τήν μέν τῶν ἐνεργειῶν τούτων πρεσβυτέραν τε καί πρώτην εἶναι, κἄν εἰ μή κατά χρόνον, τάς δέ μετά τήν πρώτην. Ἀλλ᾽ ὁ Ἀκίνδυνος ταύτην τήν διαφοράν ἀπαναινόμενος, ἐπεί καί τά διαφέροντα ἀλλήλων οὐκ ἔστι μή καί πρός τήν οὐσίαν διαφέρειν, ταύτην οὖν τελέως τήν διαφοράν ἀπαναινόμενος καί τό παντοδύναμον (σελ. 394) εἶναι τόν Θεόν τελέως ἀθετῶν, οὐ τά προεξεληλεγμένα μόνον εἴρηκε βλάσφημα ταῖς προλαβούσαις τῶν ἁγίων περί Θεοῦ δόξαις ἀντικειμένως, ἀλλά καί αὖθις φησίν ἐν τοῖς αὐτοῖς ἰάμβοις˙

«μερίζεται γάρ μηδαμῶς, πλήν ὡς θέμις˙
θέμις δέ τριττῶς εἰς ἁγνάς ὑποστάσεις˙
οὐ γάρ μέρος πέφυκεν, εἴπερ οὐδ᾽ ὅλον˙
ὅλου δέ παντός ἐστι καί μέρους ἄνω,
καί τοῦτο δ᾽ αὐτό κἀκεῖνο καί πάνθ᾽ ὡς κτίτωρ».

Τοῦτο δή μή μόνον δυσσεβές, ἀλλά καί ῥίζα τῆς Ἀκινδύνου δυσσεβείας ἐστίν˙ ἐπί γάρ τοῦ Θεοῦ τό μερίζεσθαι οὐ τό εἰς μέρη τέμνεσθαι παρίστησιν, ἀλλά τό διαφοράν ἐνθεωρεῖσθαι τούτῳ κατά τινα τῶν ἐπ᾽ αὐτοῦ λεγομένων˙ οὕτω γάρ καί ἀμερίστως μερίζεται. Τοῦτο τοίνυν ἐνταῦθα φησίν ὁ Ἀκίνδυνος, ὅτι κατά τάς ὑποστάσεις μόνον ἔνι διαφορά τις ἐπί τοῦ Θεοῦ, τἄλλα δέ τῶν ἐπί Θεοῦ λεγομένων οὐδεμίαν ἔχει πρός ἄλληλα διαφοράν ἀλλά μίαν ἔχει

πάντα τήν σημασίαν. Ἆρ᾽ οὖν οὐ κατά τόν Εὐνόμιον, ὡς ὁ Νύσσης φησί Γρηγόριος, τάς ἐπιθεωρουμένας τῇ θείᾳ φύσει ἐνεργείας, εἰς μίαν τάς πάσας ἔννοιαν συντήξας, ἕν τά πάντα ἐποίησεν, ὡς ταὐτό σημαίνειν καί μηδεμίαν ἔχειν διαφοράν τήν θείαν ἀϊδιότητα πρός τήν θείαν ἁπλότητα, καί τήν ἀγαθότητα πρός τήν ἀτρεψίαν, καί τήν ἀφθαρσίαν πρός τήν φιλανθρωπίαν, ἐπειδήπερ οὐχ ἕκαστον τούτων ὑπόστασίς ἐστι, καθ᾽ ἅς μόνας διαφοράν θεωρεῖσθαι τῶν ἐπί Θεοῦ λεγομένων, δογματίζει νῦν ὁ Ἀκίνδυνος;

Οὐκοῦν, ὅ καί φθάσας ἔφην, οὐδέ παντοδύναμος κατ᾽ αὐτόν ἔσται ὁ Θεός˙ τό γάρ πᾶς ἐπί τῶν κατά τι πρός ἄλληλα διαφερόντων. Καί τί λέγω πάσας καί τοῦ Θεοῦ δυνάμεις; Κατά γάρ τήν Ἀκινδύνου ταύτην (σελ.396) θεηγορίαν οὐδέ γοῦν μίαν δύναμιν ἔχει ὁ Θεός – τό γάρ ἔχον οὗ ἔχει κατά τι διενήνοχεν – , οὐκοῦν οὐδέ οὐσίαν ἔχει κατ᾽ αὐτόν. Τί γάρ ὤν ἄλλο παρά τήν οὐσίαν ἐκείνου λέγοιτ᾽ ἄν εἶναι ἡ οὐσία; Ὑπόστασιν δέ χωρίς οὐσίας καί ἐνεργείας εἶναι ἀδύνατον. Ἆρ᾽ οὐ φανερόν ὡς τό τοῦ Ἀκινδύνου τοῦτο δόγμα συμπεριληπτικόν ἐστι πάσης δυσσεβείας τε καί ἀσεβείας; Τῶν γάρ ἐν τῷ Θεῷ παρίησιν ἀνεπηρέαστον οὐδέν. Διό καί πρός τόν Εὐνόμιον τῆς αὐτῆς κακοδοξίας ἕνεκεν φησίν ὁ μέγας Βασίλειος˙ «ταύτης τί ἄν γένοιτο τῆς συγχύσεως ἀτοπώτερον, ἀφελόμενον τήν ἰδίαν ἑκάστου τῶν ὀνομάτων σημασίαν, ἀντινομοθετεῖν τῇ τε κοινῇ χρήσει καί τῇ διδασκαλίᾳ τοῦ Πνεύματος»; Καί πάλιν, «πῶς οὐχί μανία σαφής, μή ἴδιον σημαινόμενον ἑκάστῳ τῶν θείων ὀνομάτων ὑποβεβλῆσθαι λέγειν;». Ὁ δέ Νύσσης θεῖος Γρηγόριος, «κατά τόν ἀριθμόν», φησί, «τῶν θείων ὀνομάτων καί αἱ συμφυεῖς ἀξίαι τοῦ Θεοῦ θεωροῦνται». Οὕτω καί ἡ τῶν θείων ἐνεργειῶν διάκρισις ἀνωμολογημένη τοῖς εὖ φρονοῦσι πᾶσιν, ἔν τε τῇ κοινῇ χρήσει καί τῇ διδασκαλίᾳ τοῦ Πνεύματος, καθάπερ ἡμεῖς καί ἐν ἰδίᾳ περί τούτου πραγματείᾳ προεξεθέμεθα, ἐκ τῆς πνευματοκινήτου τῶν θεολόγων γλώττης τοῦτο σαφῶς ἀποδεικνύντες. Ὁ δ᾽ Ἀκίνδυνος μερίζεσθαί φησι τό θεῖον οὐδαμῶς πλήν τῆς ὑποστατικῆς διακρίσεως, μηδέ γοῦν τό τοῦ Χριστοῦ στόμα, ἵνα μή τούς ἄλλους λέγω νῦν, αὐτόν φημι τόν μέγαν Παῦλον δυσωπηθείς, ὅς συνεπιμαρτυρεῖν τόν Θεόν τῇ σωτηρίᾳ τῶν πιστευόντων εἰς αὐτόν φησίν, «οὐ σημείοις μόνον καί τέρασιν, ἀλλά καί ποικίλαις δυνάμεσι καί Πνεύματος ἁγίου μερισμοῖς κατά τήν αὐτοῦ θέλησιν».

Τούς δ᾽ ἑξῆς στίχους τίθησι μέν ὁ Ἀκίνδυνος πρός (σελ.398) κατασκευήν τοῦ οἰκείου δόγματος, οἱ δέ πρός ἀνασκευήν αὐτοῦ κεῖνται φανερῶς, δυσσεβές τοῦτο παριστῶντες˙ διά τοῦτο γάρ, φησίν, οὐδαμῶς μερίζεται ὁ Θεός, ὅτι μή κατά τάς ὑποστάσεις, ἐπεί μήτε μέρος ἐστί, μήτε ὅλον, ἀλλ᾽ ἀνώτερος τούτων. Αὕτη οὖν ἡ κατασκευή καί τό κατά τάς ὑποστάσεις μερίζεσθαι τόν Θεόν ἀνασκεύασε τελέως˙ καί κατ᾽ αὐτάς γάρ ὑπεράνω καί τοῦ ὅλου καί τοῦ μέρους ὁ Θεός ἐστιν˙ οὐδέ γάρ ὅλος ὁ Θεός ὡς ἐκ μερῶν τῶν ὑποστάσεών ἐστι συγκείμενος, ἐπεί μηδέ μέρος τοῦ Θεοῦ ἐν ἑκάστῃ τῶν ὑποστάσεων, ἀλλ᾽ ἐν ἑκάστῃ ὅλη καί τελεία ἡ θεότης ἐστίν. Οὐκοῦν τοῦτο δείκνυσιν ἐκ τῆς κατασκευῆς ταύτης, ὥσπερ ἐκ μεταμελείας, ὅτι οὐδέ κατά τάς ὑποστάσεις μερίζεται τό θεῖον˙ καί κατά ταύτας γάρ ὅλου τε παντός ἐστι καί μέρους ἄνω. Ἆρ᾽ οὐ φανερόν, ὁ καί πρότερον ἔφην, ὅτι τά συνήθη τοῖς εὐσεβέσι ῥήματα ψιλά τίθησι μόνον εἰς ἐπίκρυψιν τῆς οἰκείας ἀθεΐας; Ἀλλ᾽ ἔστιν ὅπου καί αὐτά τά ῥήματα φανερῶς πάλιν ἀθετεῖ, ὡς κἀνταῦθ᾽ ἀναφαίνεται ποιῶν ἄμφω˙ τό γάρ τοῦ Θεοῦ παντοδύναμον ἀθετήσας φανερῶς, τῷ φάναι κατά τάς ὑποστάσεις μόνας εἶναι τήν διαφοράν ἐπί Θεοῦ, διά τούτου δολίως καί αὐταῖς ταῖς θείαις ὑποστάσεσιν ἐπηρεάζει, ὡς ὁ λόγος ἔδειξεν.

Ἀλλά τήν μέν τοιαύτην αὐτοῦ δυσσέβειαν καί προλαβών ἔδειξεν ὁ λόγος. Ἐπεί δέ φησι κατά τάς δυνάμεις καί ἐνεργείας μή μερίζεσθαι τό θεῖον, ὡς μήτε μέρος μήτε ὅλον ὄν, ἐάν φανῇ καί μέρος ὄν καί ὅλον, ἐξ ἀνάγκης μερίζεται˙ ὅτι δέ καί ὅλον ἐστί καί μέρος, ἀκουέτω πᾶς τις καί διά τοῦ ἐπιφερομένου στίχου μαρτυρούμενον˙

«καί τοῦτο γάρ, φησί, κἀκεῖνο καί πάνθ᾽ ὡς κτίτωρ»˙

Ὥστε καί μερίζεται κἄν Ἀκίνδυνος ἀπαρέσκηται. (σελ.400) Γράφει γάρ ἄκων ὑπό τῆς ἀνάγκης τῆς ἀληθείας ἀγχόμενος˙ καί τό “πάντα” γάρ σαφές τοῦ μερίζεσθαι δεῖγμα, ἀλλ᾽ “ὡς κτίτωρ” φησί, τουτέστιν ὡς κτίστης, κτίστης δέ πῶς εἰ μή δημιουργικόν θέλημα καί ἐνέργειαν ἔχει; Κατά ταὐτ᾽ ἄρα καί μερίζεται καί πολυπλασιάζεται, μένων κατ᾽ οὐσίαν εἷς καθάπερ καί ὁ θεῖος Μάξιμός φησι γράφων˙ «πληθύνεσθαι λέγεται ὁ Θεός τῷ καθ᾽ ἕκαστον εἰς παραγωγήν τῶν ὄντων βουλήματι, προνοητικαῖς προόδοις πολλαπλασιαζόμενος, μένειν δέ ἀμερίστως ἕν, ὥσπερ ἥλιος ἀκτῖνας πολλάς προπέμπων καί μένων ἐν τῇ ἑνότητι». Ἀλλά καί ὁ μέγας ὄντως καί ὑψηλός Διονύσιος, περί τῆς κατά τάς θείας ἐνεργείας ταύτης διακρίσεως, πολλά πρότερον εἰπών ἐν τῷ περί ἡνωμένης καί διακεκριμένης θεολογίας, καί τοῦτ᾽ εἶναι

σκοπόν αὐτῷ τοῦ λόγου φανερῶς ἀποφηνάμενος, εἶτ᾽ ἐπάγει˙ «διάκρισιν θείαν εἶναί φαμεν, ὡς εἴρηται, τάς ἀγαθοπρεπεῖς τῆς θεαρχίας προόδους˙ δωρουμένη γάρ πᾶσι τοῖς οὖσι καί ὑπερέχουσα τάς τῶν ὅλων ἀγαθῶν μετουσίας, ἡνωμένως μέν διακρίνεται, πληθύνεται δέ ἑνικῶς καί πολυπλασιάζεται τοῦ ἑνός ἀνεκφοιτήτως». Καί μετά τινα, «ταύτας ἡμεῖς τάς κοινάς καί ἡνωμένας τῆς ὅλης θεότητος διακρίσεις, εἴτουν ἀγαθοπρεπεῖς προόδους ὑμνῆσαι κατά τό δυνατόν πειρασόμεθα», καί ἑτέραν εἶναι σαφέστατα δεικνύς ἐπί τοῦ Θεοῦ διάκρισιν, ἀλλ᾽ οὐ τήν ὑποστατικήν μόνην. Ὁρᾷς δ᾽ ὅτι καί κατά τάς κοινάς θείας ἐνεργείας ἀμερίστως ὁ Θεός μερίζεται καί κατ᾽ αὐτάς διακρινόμενος τοῦ ἑνός ἀνεκφοιτήτως ἔχεται; Αἱ γάρ προνοητικαί πρόοδοι κοιναί τῆς τρισυποστάτου θεότητος ἐνέργειαί εἰσιν.

Ὁ δ᾽ Ἀκίνδυνος τήν κατά τάς κοινάς ταύτας ἀγαθοπρεπεῖς προόδους τε καί ἐνεργείας τοῦ Θεοῦ διάκρισιν (σελ. 402) τελέως ἀθετῶν, καί τήν μέν τρισυπόστατον θείαν φύσιν μόνην ἄκτιστον εἶναι δογματίζων, πᾶσαν δέ ταύτης κοινήν πρόοδον καί ἐνέργειαν τῆς φύσεως ὁπωσοῦν διαφέρουσαν τοῖς κτιστοῖς συντάττων, καί ἄθεος ὄντως καί πολύθεος ὤν αὐτός ὡς ἐκ τῶν προγεγραμμένων ἀναπέφηνε. Τίνα τῶν ἐνθέων θεολόγων διά τῶν αὐτοῦ τούτων ἰάμβων οὐ πολύθεον ἀπέδειξεν, ὡς ἄκτιστον δοξάζοντα τήν θείαν καί κοινήν τῆς τρισυποστάτου θεότητος ἐνέργειαν; Μάλιστα δέ πάντων τόν οὐρανόφρονα Διονύσιος ὑπεύθυνον ἀποδείκνυσιν, ὅς καί διά μακρῶν λόγων τάς διαφοράς τῶν ἐπί Θεοῦ λεγομένων διετράνωσε, καί τήν μέν πρώτην καί πρεσβυτέραν ἔφη τῶν ἐν Θεῷ ἐξ ἀϊδίου ἀρχῶν καί μετοχῶν, ἅς δήπου καί προορισμούς φησι καί θεῖα καί ἀγαθά θελήματα τῶν ὄντων ἀφοριστικά καί ποιητικά, τάς δέ μετά τήν πρώτην˙ ἀλλά καί ὑπερκεῖσθαι τούτων ἁπασῶν τόν ἀμέθεκτον αἴτιον ἐθεολόγησεν.

Ἀρκέσει δ᾽ ἡμῖν ἀρτίως, τόν λόγον μηκύνειν οὐκ ἐθέλουσι καί τά μυριόλεκτα πάλιν ἐπαναλαμβάνειν, ἀντί πάντων τε τῶν ἁγίων καί κατά πάντων τῶν ἐν τοῖς ἰάμβοις τούτοις γεγραμμένων τῷ τῶν ἁγίων συκοφάντῃ τούτῳ καί ὑβριστῇ τό συμπεριληπτικῶς εἰρημένον τῷ Δαμασκηνῷ πατρί˙ «ἄλλο ἐνεργητικόν ἐπί Θεοῦ καί ἄλλο ἐνέργεια˙ τό μέν γάρ ἡ φύσις ἐστί», φησίν, «ἐξ ἧς ἡ ἐνέργεια πρόεισιν, ἐνέργεια δέ ἡ οὐσιώδης τῆς φύσεως κίνησις». Τοῦτο τοίνυν καί μόνον ἱκανόν τήν ἐν μέτροις κεκοσμημένην Ἀκινδύνου ταυτηνί λέσχην ἄκοσμον

ἀμέτρως ἀποδεῖξαι καί δυσσεβῆ. Ζητείτω δ᾽ ὁ βουλόμενος καί τήν τελεωτέραν περί τούτων εἴδησιν ἐν τοῖς διά πλάτους μοι λόγοις πρός αὐτόν τε καί τούς κατ᾽ αὐτόν.

***ΠΡΟΣ***

***ΕΥΛΑΒΕΣΤΑΤΟΝ ΕΝ ΜΟΝΑΧΟΙΣ***

***ΚΥΡ ΔΙΟΝΥΣΙΟΝ (σελ. 404)***

Τριῶν ὄντων τῶν τῆς ἀθεΐας ὡς εἰπεῖν γενῶν, ἴδοις ἄν ἐξετάσας, ὦ καλέ κἀγαθέ Διονύσιε, μηδενός ἀπολελεῖφθαι τούτων ἐσπουδακότας τούς ἡμῖν ἀντικεῖσθαι διά τέλους προελομένους. Ἕν μέν δή γένος ἀθεΐας ἐστίν ἡ πολυειδής πλάνη τῶν ἑλληνιζόντων, ὧν οἱ μέν μηδαμῇ μηδαμῶς εἶναι Θεόν ἐνόμισαν, οἷος Ἐπίκουρος ἦν, πάντα τόν βίον ταῖς κατ᾽ αἴσθησιν ἐφείς ἡδοναῖς καί μηδέν τῶν αὐτήν τερπόντων ἐννενοηκώς ὑψηλότερον˙ οἱ δέ τῆς τετρακτύος ἑνί τῷ τῶν τοῦ κόσμου στοιχείων, ἄλλος ἄλλῳ τό τῶν ἄλλων ἔδωκαν κράτος, ὧν εἰσιν Ἐμπεδοκλεῖς καί Ἡράκλειτοι καί Ἀναξιμέναι τινές καί Δημόκριτοι καί ὅσοι κατ᾽ αὐτούς, οὐδ᾽ οὗτοι τῶν ἐμφαινομένων τοῖς ὁρωμένοις σφίσιν αὐτοῖς ἀναδῦναι δόντες κατά διάνοιαν˙ οἱ δέ καί τῶν ὄντων πάντων ἀκαταληψίαν ἐδογμάτισαν εἶναι πᾶσι παντελῆ, καθάπερ Ξενοφάνης ὁ Κολοφώνιος εἰπών, «οὐδείς οὐδέν οἶδε, δόκος δ᾽ ἐπί πᾶσιν τέτυκται»˙ εἰσί δ᾽ οἵ καί πρός τό δοκοῦν ἀξιοῦσιν ἀντιλέγειν ἀεί, Σέξτοι καί Πύῤῥωνες οὗτοι καί πάντες οἱ ἐφεκτικοί καλούμενοι˙ Σωκράτης δέ καί Πλάτων καί οἱ φοιτήσαντες αὐτοῖς ἐφαντάσθησαν μέν Θεόν, ἀλλά λίαν ἀμυδρῶς, παντάπασιν ἀσυστάτους δόξας περί αὐτοῦ συγγραψάμενοί τε καί (σελ. 406) προθεμενοι καί παρά τοῦτο τῆς ἑλληνικῆς ἀθεΐας οὐκ ἔξω κείμενοι.

Παρά τούτων ἔχει λαβών καί τῷ Ἀκινδύνῳ μεταδούς ὁ Βαρλαάμ ἐκεῖνος τό μηδέν διαφέρειν τῆς οὐσίας τοῦ Θεοῦ τήν ἐνέργειαν. Ὅτι δέ τοῦτο δόγματός ἐστιν ἑλληνικοῦ, καί ὁ ἐν μάρτυσι φιλόσοφος Ἰουστῖνος ἐν τῷ Πρός Ἕλληνας ἐξενηνεγμένῳ λόγῳ παρίστησιν, ὅτι γε μήν ὁ τοῦτο λέγων ἀναιρεῖ τό εἶναι Θεόν, ἐκεῖνός τε ὁ σοφός μάρτυς ἐν ἐκείνῳ τῷ λόγῳ καί οἱ ἄλλοι θεοφόροι πατέρες ἐν διαφόροις λόγοις ἀποδεικνύουσι. Τό γάρ μηδαμῇ διαφέρον πάντη τε

καί πάντως ἕν ἐστι καί μονώτατον, ἑτέρου παντός παντάπασιν ἄμοιρον. Εἰ τοίνυν ἐπί Θεοῦ διαφέρει μηδέν ἡ ἐνέργεια τῆς οὐσίας, ἡ τοῦ Θεοῦ οὐσία κατ᾽ αὐτούς ἐνεργείας ἐστί πάμπαν ἄμοιρος, ὁ δέ τοῦτο λέγων φανερῶς μηδαμῶς εἶναι Θεόν ἀποφαίνεται˙ τό γάρ μηδεμίαν ἐνέργειαν ἔχον οὔτε ἔστιν οὔτε τί ἐστιν, οὔτε ἔστι παντελῶς αὐτοῦ θέσις οὐδέ ἀφαίρεσις κατά τούς ἀληθεῖς θεολόγους. Καί ὥσπερ οὐδείς ποτε ἔφη τόν Θεόν οὐσίαν καί φύσιν ἔχειν, ἀδιαφόρων γάρ ὄντων τούτων ἐπ᾽ αὐτοῦ, θατέρῳ τῶν ὀνομάτων ἀρκούμεθα, τόν αὐτόν τρόπον οὐδ᾽ ὁ Βαρλαάμ καί Ἀκίνδυνος καί ὅσοι φρονοῦσι κατ᾽ αὐτούς, ἀκολούθως ἄν φαῖεν ἑαυτοῖς οὐσίαν καί ἐνέργειαν ἔχειν τόν Θεόν, ὡς διακένου ψόφου παρ᾽ αὐτοῖς ὄντος τοῦ τῆς ἐνεργείας ὀνόματος καί μηδέν παρ᾽ ἑαυτοῦ τῇ προσθήκῃ διαφέρον δεικνύντος. Ἀλλ᾽ οὐδ᾽ ἄν τις φαίη τήν τοῦ Θεοῦ οὐσίαν ἔχειν καί φύσιν ἤ τῆς οὐσίας εἶναι τήν φύσιν, ἐπειδήπερ ἀλλήλων οὐδέν διενηνόχασιν. Οὕτω τοίνυν οὐδέ Βαρλαάμ καί Ἀκίνδυνος τήν τοῦ Θεοῦ οὐσίαν καί ἐνέργειαν ἔχειν ἐροῦσιν, οὐδέ τῆς τοῦ Θεοῦ (σελ. 408) οὐσίας τήν ἐνέργειαν εἶναι, ἐπεί μήδ᾽ αὗται κατ᾽ αὐτούς διαφέρουσιν ἀλλήλων. Τό δέ μηδεμίαν ἐνέργειαν ἔχον ἀνύπαρκτον, ὡς οἱ θεοφόροι πατέρες ἐδίδαξαν. Ἕν μέν οὖν τοῦτ᾽ εἶδος ἤ γένος ἀθεΐας καί πρῶτον. Διό καί ὁ μέγας Παῦλος παντας τούς μή τοῦ διά Μωσέως δοθέντος νόμου μετειληχότας ἀθέους προσαγορεύει γράφων πρός Ἐφεσίους˙ «μνημονεύετε ὅτι ὑμεῖς ποτε τά ἔθνη ἐν τῇ σαρκί, οἱ λεγόμενοι ἀκροβυστία ὑπό τῆς λεγομένης περιτομῆς ἐν σαρκί χειροποιήτου, ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρίς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραήλ καί ξένοι τῶν ἐπαγγελιῶν καί τῆς διαθήκης, ἐλπίδα μή ἔχοντες καί ἄθεοι ἐν τῷ κόσμῳ».

Δεύτερον δέ γένος ἀθεΐας ἐστίν ἡ πολυσχεδής καί πολύμορφος ἀπάτη τῶν αἱρετικῶν, ὧν οἱ μέν πατέρα λέγουσιν ἄπαιδα τόν Θεόν, ὡς καί οἱ μετά τήν ἐπιφάνειαν τοῦ Υἱοῦ τοῦ Θεοῦ τῇ σκιᾷ τοῦ πάλαι νόμου δουλεύειν ἔτι ποθοῦντες καί παρακαθῆσθαι φιλονεικοῦντες τῷ γράμματι, οἱ δέ υἱοπάτορα τόν αὐτόν, ὡς οἱ περί τόν λίβυν Σαβέλλιον, οἱ δέ κτιστοῦ υἱοῦ καί Πνεύματος ἄκτιστον Πατέρα, ὡς οἱ Ἄρειοι καί Εὐνόμιοι καί Μακεδόνιοι. Πάντες δέ οὗτοι καί οἱ τοιοῦτοι οὐδέν τῶν ἀθέων διενηνόχασιν, ἅτε μηδέ τόν Πατέρα τιμῶντες κατά τό ὑπό τοῦ Κυρίου εἰρημένον, «ὁ μή τιμῶν τόν Υἱόν οὐ τιμᾷ τόν Πατέρα, τόν πέμψαντα αὐτόν». Διό καί ὁ μέγας Ἀθανάσιος, «ἄθεός ἐστι», φησίν, «ὁ διαιρῶν τόν Υἱόν ἀπό τοῦ Πατρός καί τό Πνεῦμα τό ἅγιον καί εἰς

κτίσμα κατασπῶν». Τόν αὐτόν δέ δήπου τρόπον καί ὁ συνάπτων κακῶς˙ ἀναιρεῖ γάρ δι᾽ ἀλλήλων ἑκάτερα.

Τούτους δ᾽ αὖ πολυτρόπως Βαρλαάμ καί Ἀκίνδυνος ἐζηλώκασιν˙ ἀναιροῦσι γάρ καί οὗτοι δι᾽ ἀλλήλων τήν θείαν οὐσίαν καί τήν ἐνέργειαν, ἀλλ᾽ οὐδέ τό (σελ. 410) τρισυπόστατον αὐτοῖς ἐπί θεοῦ φυλαχθήσεται, κοινήν καί τήν αὐτήν δύναμίν τε καί ἐνέργειαν μή τιθεμένοις Πατρός, Υἱοῦ καί Πνεύματος. Καί καθάπερ Ἄρειος τῇ τοῦ Θεοῦ ἁπλότητι συνιστάμενος ἀφρόνως κτίσμα τόν Υἱόν ἐτίθετο καί τούς μή οὕτω φρονοῦντας πολυθέους ἔλεγεν, ὡς πολλά ἄκτιστα δοξάζοντας, ἀγνοῶν ὁ τάλας ὡς αὐτός ἄθεος καί πολύθεος γίνεται, κατατέμνων εἰς κτιστά καί ἄκτιστα τόν ἕνα Θεόν καί διά τοῦ Υἱοῦ καί τόν Πατέρα πρός κτίσμα κατασπῶν ἤ καί συντιθείς τό θεῖον ἐξ ἀκτίστου καί κτιστῶν, οὕτω καί οὗτοι προφάσει τῆς ἁπλότητος κτίσμα ποιοῦσι πᾶν τό διαφέρον ὁπωσοῦν τῆς θείας φύσεως, ταὐτό δ᾽ εἰπεῖν τήν θείαν καί δύναμιν καί ἐνέργειαν, καί τούς ἄκτιστον κατ᾽ οὐσίαν καί ἐνέργειαν τόν Θεόν πρεσβεύοντας πολυθέους ὀνομάζουσιν, ἀγνοοῦντες ὡς αὐτοί συντιθέασιν ἀφρόνως καί αὐτοί γίνονται πολύθεοί τε καί ἄθεοι, κατατέμνοντες εἰς κτιστά καί ἄκτιστα τόν ἕνα Θεόν, καί διά τῆς θείας ἐνεργείας εἰς κτίσμα τοῦτο κατασπῶντες. Ἀπό γάρ τῆς ἑκάστου ἐνεργείας, κατά τούς θεοφόρους πατέρας, ἡ ἑκάστου φύσις χαρακτηρίζεται, τῆς μέν ἀκτίστου ἐνεργείας ἄκτιστον δεικνύσης φύσιν, κτιστήν δέ τῆς κτιστῆς. Τό δέ χαρακτηρίζον τοῦ χαρακτηριζομένου διενήνοχεν. Ἀλλά ταῦτα μέν καί τάς ἄλλας τῶν Βαρλααμιτῶν ἐρεσχελίας ἐν τοῖς πρός αὐτούς βιβλίοις διευκρινήσαμεν, ἐν οἷς καί περί τῆς ἁπλότητος τῆς θείας κατά τό ἐγχωροῦν εἴρηται ἡμῖν.

Τρίτον δέ ἐστιν εἶδος, οὐ πόρρω τῆς ἀνωτέρω πονηρᾶς ξυνωρίδος, τό παραιτεῖσθαί τι λέγειν τῶν δεδογμένων περί Θεοῦ καί μηδαμῶς ἐθέλειν ὑπ᾽ ἀνευλαβοῦς εὐλαβείας ἐκ τῶν ὑπερβαινόντων τήν τῶν πολλῶν διάνοιαν αὐτόν ὑμνεῖν, οὐκ ἐν κρίσει τούς λόγους (σελ. 412) οἰκονομοῦντα καί διά τῆς δοκούσης πρός καιρόν μετρίας ὑφέσεως ἑαυτῷ συνανυψοῦντα τούς ταπεινούς τήν διάνοιαν, ἀλλά συγκατασπώμενον τοῖς χαμαιζήλοις τόν νοῦν καί κατασμικρύνειν ἀνεχόμενον τήν ὑπέρ πάντα νοῦν μεγαλειότητα ἐκείνην, ἴσως φέροντά τισι χάριν ἄχαριν, καί τό τάς τῶν ἱερῶν πατέρων θεολογίας μή τοῖς οὐκ εἰδόσιν ἐξηγεῖσθαι, ἀλλ᾽ ἀποσείεσθαι καί ἀθετεῖν, προφασιζόμενον τό μεγαλόνουν καί ὑψηγόρον καί μή τοῖς πολλοῖς

εὔληπτον, μηδ᾽ ἀπόνως καί μετά ῥαστώνης τοῖς πᾶσιν ἐφικτόν. Καί ταῦτα Διονυσίου τοῦ μεγάλου, παρ᾽ οὗ σχεδόν πρώτου καί αὐτά τά στοιχεῖα τῆς ἀσφαλοῦς θεορρημοσύνης ἡ ἐκκλησία μεμύηται, καί τοῦ τήν ἀρετήν οὐδέν ἧττονος Ἀθανασίου, ὅς ἀνεῖλε καί τάς πρό αὐτοῦ φυείσας κακονοίας καί τάς μετ᾽ αὐτόν μελλούσας, ἐπιπνοίᾳ θείου Πνεύματος κεκινημένος, Βασιλείου τε τοῦ μόνῳ τῷ χρόνῳ τούτων ὑστερίζοντος καί Γρηγορίου τοῦ τῆς θεολογίας ἐπωνύμου καί ὅσοι κατ᾽ αὐτούς. Ἐπεί καί ὁ «ἀθετῶν ὑμᾶς ἐμέ ἀθετεῖ», φησίν ὁ Κύριος, «ὁ δέ ἐμέ ἀθετῶν ἀθετεῖ τόν ἀποστείλαντά με», τοιγαροῦν τοῦτ᾽ ἔστιν ἀληθής εὐσέβεια, τό μή πρός τούς θεοφόρους πατέρας ἀμφισβητεῖν. Καί γάρ τῶν προειρημένων ἁγίων αἱ θεολογίαι ὅρος εἰσί θεοσεβείας ἀληθοῦς καί χάραξ, ὥσπερ ἑκάστη τόν οἱονεί φραγμόν καί τό περιτείχισμα τῆς εὐσεβείας συμπληροῦσα, κἄν περιέλῃ τις μίαν γοῦν αὐτῶν, ἐκεῖθεν ὁ τῆς κακονοίας τῶν αἱρετικῶν ἑσμός εἰσρυήσεται πολύς.

Διά τοῦτο δεῖ θαρρεῖν αὐταῖς καί ἀδεῶς κατά τῶν δυσσεβοφρόνων χρῆσθαι, καί τοσοῦτο μᾶλλον ὅσον ἐκεῖνοι μᾶλλον ἀπαρέσκονται, καί δεδίττεσθαι μᾶλλον αὐτούς ἐκ τούτων, ἀλλ᾽ οὐκ εὐλαβεῖσθαι προβάλλεσθαι κατά τούτων αὐτάς. Καί τοῦτο συνείς ὁ διά περιουσίαν σοφίας τούς τῆς Κυρήνης ἀρχιερατικούς οἴακας ἐγκεχειρισμένος (σελ. 414) Συνέσιος, φησί πᾶσι καλῶς εἰσηγούμενος· «ἐγώ δέ τήν δεισιδαιμονίαν ἀξιῶ διαστέλλειν ἀπό τῆς εὐσεβείας κακία γάρ ἐστιν ἀρετῆς προσωπεῖον περικειμένη». Ἥν φιλοσοφία τό τρίτον οὖσαν τῆς ἀθεΐας εἶδος, ἐφώρασε, τί λέγων τρίτον ἀθεΐας εἶδος ἕτερον ἤ τό δι᾽ ἀλόγιστον δέος παραιτεῖσθαί τι λέγειν ἤ πράττειν, καί ταῦτα χρείας ἀναγκαίας καλούσης τῶν δεδογμένων περί Θεοῦ; Πρῶτον γάρ καί δεύτερον, ὥσπερ εἴρηται, τό τε μηδαμῶς εἶναι Θεόν νομίζειν, καί τό νομίζειν μέν, οὐκ ἀσφαλῶς δέ. Καί τί λέγω τό ἀλόγιστον δέος, ὅπου γε καί τῇ ἀσθενείᾳ τῶν ἀκροωμένων συγκαταβαίνειν οὐ πάντῃ καί διηνεκῶς ἀσφαλές; Διό καί ὁ μέγας Ἀθανάσιος εἰς τήν ἐπέτειον τοῦ εὐαγγελισμοῦ πανήγυριν, κηρυκτικόν λόγον συντιθείς, τοιούτῳ χρῆται τῷ προοιμίῳ· «τούς θείους ἱεροκήρυκας οὐ πρός τήν ἀσθένειαν τῆς ἀκροάσεως δεῖ ἀποβλέπειν, ἀλλά πρός τήν ἀπαιτουμένην δύναμιν καί ὑπόθεσιν καί αἰτίαν, ἥν ἐπιθεωροῦντες προσῆκε καταστοχάζεσθαι τοῦ κηρύγματος».

Ἡμῖν δέ οὐ πρός ἀκροωμένους ἁπλῶς, θεοφιλέστατε πάτερ, ἀλλά πρός ἐναντιουμένους ὁ λόγος ἦν, καί ἐναντιουμένους αὐτῇ τῇ

ἀληθείᾳ τῆς εὐσεβείας καί τῇ τῆς μιᾶς θεότητος εὐσεβεῖ διακρίσει καινότερον τρόπον πάλιν ἐπηρεάζοντας. Οἵτινες, ἐπειδήπερ ἐν ταῖς θεοπρεπέσι διακρίσεσιν αὐτῆς τό μεῖζον εὐσεβῶς ἀεί ὁρᾶται καί τό ὑπερκείμενον ὑπό τῶν πατέρων ἁπάντων θεολογούμενον, οὐ κατά τό χεῖρον οὐδέ κατά τό ἀρχαιότερον (ἀσεβές γάρ τοῦτο πρόσφατον ἤ χεῖρον λέγειν τι τῶν προσόντων τῷ Θεῷ), ἀλλά κατά τήν τάξιν καί τό αἴτιον, καί ἁπλῶς ὅσα τῷ μέν ἀκτίστῳ λυμαίνεται μηδέν, μίαν δέ ὑποφαίνει τῶν διακεκριμένων τήν ἀρχήν, πρός ἥν πάλιν ἀναφερομένων, εἷς Θεός καί μία δείκνυται θεότης, αὐτοί πᾶν τό (σελ. 416) ὑποβεβηκός καί δευτερεῦον ὁπωσδήποτε τοῖς προσφάτοις καί κτιστοῖς συνέταξεν ἀφρόνως, οὐδέ τοῦ μεγάλου Βασιλείου καί Κυρίλλου τοῦ θείου διδασκόντων ἀκηκοότες, «ὅτι δευτερεύει μέν τοῦ Πατρός ὁ Υἱός καί τό Πνεῦμα τῇ τάξει τόν Υἱόν ὑποβέβηκεν, ἀλλ᾽ οὐ τῇ φύσει», οὐδέ τοῦ μεγάλου Ἀθανασίου ἐν τῷ Κατά Ἀρειανῶν δευτέρῳ γράφοντος, «εἰ τά ἐκτός καί μή ὄντα πρότερον βουλόμενος αὐτά εἶναι ὁ Θεός δημιουργεῖ, πολλῷ πρότερον εἴη ἄν Πατήρ˙ εἰ γάρ τό βούλεσθαι περί τῶν μή ὄν των διδόασι τῷ Θεῷ, διατί τό ὑπερκείμενον τῆς βουλήσεως οὐκ ἐπιγινώσκουσι τοῦ Θεοῦ; Ὑπερανάβεβηκε τό πεφυκέναι εἶναι Πατέρα τόν Θεόν τοῦ βούλεσθαι περί τῶν μή πρότερον ὄντων, δηλονότι τῶν κτιστῶν, ἆρ᾽ αὐτό τό βούλεσθαι τοῦ Θεοῦ κτιστόν ἐστι; Καί πῶς ἄν βούλοιτο περί τῶν μή ὄντων, εἰ καί αὐτό τό βούλεσθαι μή ὄν; Ὁ αὐτός δέ καί μικρόν ἐκεῖ προϊών, «δεύτερόν ἐστι», φησί, «καθά προεῖπον, τό δημιουργεῖν τοῦ γεννᾶν τόν Θεόν. Ἆρ᾽ οὖν ὅτι τό δημιουργεῖν τοῦ γεννᾶν δεύτερον παρά τοῦτο τό δημιουργεῖν κτιστῶς ἔχει ὁ Θεός;» Κἀν τῷ τρίτῳ κατά τῶν αὐτῶν ὁ Θεός φησι πάλιν, ὅτι «τό μέν ἀντικείμενον τῇ βουλήσει ἑωράκασιν οἱ Ἀρειανοί, τό δέ μεῖζον καί ὑπερκείμενον οὐ τεθεωρήκασιν˙ ὥσπερ γάρ ἀντίκειται τῇ βουλήσει τό παρά γνώμην, οὕτως ὑπέρκειται τῆς βουλήσεως τό κατά φύσιν». Καί προϊών κἀκεῖ πάλιν ὁ αὐτός, «ὅσῳ γοῦν τοῦ κτίσματος ὁ Υἱός ὑπέρκειται, τοσούτῳ καί τῆς βουλήσεως τό κατά φύσιν».

Ὁρᾷς ὡς ἡ βούλησις οὐκ ἔστι κτίσμα καί ὁπόσον τῆς ἀκτίστου βουλήσεως (ταὐτό δ᾽ εἰπεῖν ἐνεργείας ἐνέργεια γάρ φύσεως ἡ βούλησις), (σελ. 418) ὁπόσον οὖν ὑπερέχει ταύτης ἡ θεία φύσις; Φησί γάρ καί ὁ ἐκ Δαμασκοῦ θεῖος Ἰωάννης ἐν ὀγδόῳ τῶν δογματικῶν˙ «ἔργον μέν θείας φύσεως ἡ προαίωνιος καί ἀΐδιος γέννησις, ἔργον δέ θείας θελήσεως ἡ κτίσις». Ἆρ᾽ οὖν κτιστή παρά τοῦτο ἡ τοῦ Θεοῦ θεία

θέλησις, ὅτι τε ἑτέρα φανερῶς παρά τήν θείαν φύσιν ὁρᾶται (καί γάρ ἑκατέρας ἕτερον ἔργον, ὡς καί ὁ θεῖος Κύριλλός φησιν, «ὅτι τῆς μέν ἐνεργείας ἐστί τό ποιεῖν, τῆς δέ φύσεως τό γεννᾶν»), καί ὅτι τά τῆς φύσεως τοσοῦτον ὑπεραναβέβηκεν αὐτῆς, ὡς καί τόν θεῖον Μάξιμον ἄπειρον φάναι τήν ὑπεροχήν; Καί πῶς ἔσται κτιστόν, οὗ ἡ κτίσις ἔργον, καί οὗ τό τά παρά τοῦ Θεοῦ γινόμενα ποιεῖν τε καί δημιουργεῖν;

Ἀλλά Βαραλαάμ καί Ἀκίνδυνος παρ᾽ οὐδέν θέμενοι τάς τῶν ἁγίων πατέρων θεολογίας, κτιστόν φασιν ἅπαν, οὗ ἡ φύσις τοῦ Θεοῦ ὑπέρκειται, καί τῶν μή πειθομένων σφίσι τούς ἀκεραιοτέρους κατά μίμησιν Ἀρείου τῇ θῇθεν πολυθεΐᾳ μορμολύττονται, ἵν᾽ ἐντεῦθεν καί τήν θεοποιοόν τοῦ Θεοῦ δύναμιν καί χάριν καί ἐνέργειαν ἀποδείξωσι κτιστήν. Ἡμεῖς δέ κεικνύντες, ὡς οὐκ ἔξω τοῦ πληρώματος τῆς θεότητος ἡ θεία καί θεοποιός δύναμις καί χάρις καί ἐνέργειά ἐστι, μετά τῶν ἄλλων πατερικῶν φωνῶν προηνέγκαμεν καί τούς θεαρχίαν καί ἀγαθαρχίαν καί θεότητα καί ταύτην προσαγορεύσαντας ἁγίους καί ταύτης ὑπερκεῖσθαι τόν Θεόν κατ᾽ οὐσίαν εἰρηκότας. Εἰ μέν οὖν αὐτολεξεί μή τοιαῦτα πολλοί τῶν ἁγίων ἔγραψαν, ἀλλ᾽ ἐκ τῶν ἐκείνων λόγων συναγόμενον ἦν, οὐδ᾽ οὕτως ἄν ἡμεῖς χρείας τηλικαύτης καλούσης, εἰπεῖν παρῃτησάμεθα τοῦ τῆς θεολογίας ἐπωνύμου Γρηγορίου λέγοντος ἀκούοντες ὡς «καθάπερ εἰ ἐκ τῶν δίς πέντε τά δέκα συνῆγον ἤ ἐκ τοῦ ζῷον λογικόν θνητόν τόν (σελ. 420) ἄνθρωπον, οὐκ ἄν ληρεῖν ἐνομίσθην, οὕτως οὐδ᾽ εἴ τι ἄλλο τῶν μή λεγομένων ἤ μή σαφῶς, ἐκ τῆς Γραφῆς δέ νοούμενον εὕρισκον, ἔφυγον ἄν τήν ἐκφώνησιν, φοβούμενος σέ τόν συκοφάντην τῶν ὀνομάτων». Ἐπεί δέ μή μόνον συναγόμενον εὕρομεν, ἀλλά καί λεγόμενον φανερῶς, πῶς οὐκ ἄν προηνέγκαμεν, ὅτι θεότης οὐ μόνον ἡ θεία φύσις, ἀλλά καί λαμπρότης τῆς θείας φύσεως λέγεται, καθ᾽ ἥν ἐπιφαίνεται τοῖς ἀξίοις ὁ Θεός, καί τῆς οὕτω λεγομένης θεότητος ὡς ἀρχῆς τῶν θεουμένων καί λαμπρότητα Θεοῦ ἰδόντων καί παθόντων κατά τούς θεοφόρους ὁ πάσης ἀρχῆς ὑπεράρχιος ὑπέρκειται. Βαρλαάμ δέ καί Ἀκίνδυνος μηδ᾽ ἐντεῦθεν ἐντραπέντες κτίσμα πάλιν λέγουσι τήν λαμπρότητα τῆς θείας φύσεως, ὅτι φύσις οὐκ ἔστι, μή πρός τήν λέξιν δυσχεραίνοντες ἁπλῶς˙ οὐ γάρ ἄν ἡμεῖς πολύν πρός αὐτούς λόγον πεποιήμεθα λέξεων ἕνεκεν. Ὀνομάτων γάρ καί ῥημάτων μικροῦ πᾶσι πάντων τοῖς βουλομένοις ῥᾳδίως παραχωρήσωμεν˙ νῦν δέ οὐ περί συλλαβῶν ἁπλῶς ἤ τοιᾶσδε φωνῆς ὁ

λόγος ἡμῖν πρός αὐτούς, ἀλλά περί πραγμάτων ἐν δυνάμει καί ἀληθείᾳ μεγίστην ἐχόντων διαφοράν. Οἱ δέ κακῶς φρονοῦντες πρῴην ἐξελεγχθέντες συνοδικῶς ἐπί τῶν πραγμάτων αὐτῶν, νῦν κακούργως ἄγαν ὑπέρχεσθαι πειρῶνται τούς ἁπλουστέρους, ὡς ὑπέρ τῆς μιᾶς θεότητος τό δύο λέγεσθαί τισι παραιτούμενοι, καίτοι πρῶτοι τοῦτ᾽ εἰπόντες αὐτοί καί κακῶς καί δυσσεβῶς εἰπόντες. Τοῦτο γάρ ἐστιν ὡς ἀληθῶς τό παρ᾽ ἡμῶν ἀναιρούμενον, καί δι᾽ ὅ πρός αὐτούς ἐνιστάμεθα διά τέλους. Ἀλλά τοῦτο δολίως αὐτοί νῦν προβάλλονται πάλιν, ἵν᾽ ἐντεῦθεν κλέψαντες τούς πολλούς, εὐθύς παραστήσωσι μόνην ἄκτιστον εἶναι θεότητα τήν οὐσίαν τοῦ Θεοῦ, κἀντεῦθεν πάλιν καί αὐτήν οἱ τάλανες κατασπάσωσιν εἰς κτίσμα, ὡς οὐκ (σελ. 422) οὖσαν τῆς αὐτῆς λαμπρότητα λέγοντες θεότητα κτιστήν.

Τῷ δέ φυλαττομένῳ τήν δεινήν ταύτην ἐκείνων βλασφημίαν δεῖ σκοπεῖν, ὡς μίαν θεότητα Πατρός, Υἱοῦ καί Πνεύματος οἱ ἅγιοι πατέρες, οὐ τήν οὐσίαν λέγουσι μόνην, ἀλλά καί τήν δύναμιν καί τήν ἐνέργειαν καί ἁπλῶς πᾶν τό πλήρωμα καί τό ἄθροισμα τῆς θεότητος, ὡς καί ὁ μέγας φησίν Ἀθανάσιος, ὥσθ᾽ ὅταν λέγῃ τις ἄκτιστον θεότητα τήν θείαν μόνην οὐσίαν οὐκ ἀσφαλῆ προΐεται λόγον˙ οὐ μόνη γάρ αὕτη ἡ ἄκτιστός ἐστι θεότης, ἀλλά καί ἡ ἀξία καί ἡ ἐξουσία τοῦ Θεοῦ κατά τόν μέγαν Βασίλειον, καί ἡ ἐποπτική καί θεατική δύναμις τοῦ Πνεύματος, ὧν ὑπέρκειται ἡ θεία φύσις κατά τό ὑπερώνυμόν τε καί παντάπασιν ἄφραστον, ὡς αὐτός τε καί ὁ Νύσσης θεῖος Γρηγόριος ἀμφότερά φασιν, ἥ τε θεοποιός δύναμις καί λαμπρότης τοῦ Θεοῦ, ὡς ὁ θεολόγος Γρηγόριος καί ὁ μέγας Διονύσιος γράφει πολλαχοῦ. Ὅταν δέ τις λέγῃ μόνην ἄκτιστον θεότητα τό ἄθροισμα καί πλήρωμα τῆς θεότητος, ταῦτα πάντα συμπεριειληφώς κατά τούς θεοφόρους θολόγους, τουτέστι τήν οὐσίαν τοῦ Θεοῦ καί τήν δύναμιν καί τήν ἐνέργειαν καί πάντα τά περί τήν οὐσίαν θεωρούμενα καί θεολογούμενα, λίαν ἀσφαλῶς φησι˙ μόνη γάρ αὕτη ἄκτιστός ἐστι θεότης. Διά τοῦτο γάρ κἀκείνων ἕκαστον θεολογούμενόν ἐστι καί ὑμνούμενον, ὅτι ἐκ τοῦ πληρώματός ἐστι τῆς θεότητος, καί διά τοῦτο ἄκτιστον, ὅτι ταύτης οὐ διώρισται˙ τῆς γάρ μιᾶς ἀκτίστου θεότητος ἐκτός ἄκτιστον οὐδέν˙ «πάντα γάρ ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστι καί δεδόξασμαι ἐν αὐτοῖς», ὁ Κύριός φησιν. Ὁ δέ μέγας Ἀθανάσιος, «οὐχ ἕνεκεν κτιστῶν πραγμάτων εἶπεν ὁ Σωτήρ πάντα ὅσα ἔχει ὁ Πατήρ ἐμά ἐστι». (σελ. 424) Γρηγόριος δέ ὁ τῆς θεολογίας ἐπώνυμός φησι˙

«πάντα ὅσα ἔχει ὁ Πατήρ τοῦ Υἱοῦ ἐστι πλήν τῆς ἀγεννησίας, καί πάντα ὅσα ὁ Υἱός, τοῦ Πνεύματος, πλήν τῆς γεννήσεως».

Τοιγαροῦν οὐχ ἡ οὐσία μόνη ἡ ἄκτιστός ἐστι θεότης, ἀλλά καί πάντα τά τῷ Θεῷ προσόντα φυσικῶς, ὧν ἕκαστον κατά τόν μέγαν πάλιν Ἀθανάσιον οὐκ οὐσία λέγεται, ἀλλά περί τήν οὐσίαν, ἅ καί ἄθροισμα καί πλήρωμα θεότητος λέγεται κατά τήν Γραφήν, καθ᾽ ἑκάστην τῶν ἁγίων τριῶν ὑποστάσεων ἐπίσης θεωρούμενα καί θεολογούμενα, ἐπεί καί ὁ Δαμασκηνός φησι θεολόγος, «ὁ τοῦ Θεοῦ λόγος τῷ μέν ὑφεστάναι διήρηται πρός ἐκεῖνον παρ᾽ οὗ τήν γέννησιν ἔχει, τῷ δέ ταῦτα δεικνύειν ἐν ἑαυτῷ, ἅ περί τόν Θεόν θεωρεῖται, ἕν ἐστι πρός αὐτόν κατά φύσιν, οὕτω Πατρός καί Υἱοῦ μία ἡ θεότης». Οὐ δή περί μόνης τῆς θεοποιοῦ χάριτος ἡμῖν ἡ ἔνστασις πρός τούς ἀντιλέγοντάς ἐστιν, ἀλλά περί πάσης δυνάμεως καί ἐνεργείας θείας˙ πάσας γάρ ἐκεῖνοι ταύτας εἰς κτίσμα κατασπῶσιν, ὥστε κἄν τις ταράττηταί τινας οὕτω θεωνυμουμένας παρά τῶν τοῖς ἁγίοις τεθεολογημένων ἀκούων ἐνεργείας, οὐκ ἀρνησόθεμα τήν θεοπρεπεστάτην διάκρισιν τῆς μιᾶς θεότητος, ἀλλά πληροφορήσομεν αὐτόν ἐκεῖνά τε τοῖς πατράσι καλῶς εἰρῆσθαι καί ἡμῖν καλῶς προβεβλῆσθαι καί κατά καιρόν, ὡς συντείνοντα μᾶλλον, ἀλλ᾽ οὐκ ἐμποδίζοντα πρός τό μίαν εἶναι τήν ἄκτιστον θεότητα. Ὁ δέ τοῦτο μή συνορῶν πῶς οὐ συναπαχθήσεται τοῖς φρενοβλαβῶς κηρύττουσιν ὅτι μόνη ἄκτιστός ἐστι θέοτης ἡ φύσις τοῦ Θεοῦ, πᾶν δ᾽ ὅ μή φύσις, κτίσμα, κἄν θεαρχία κἄν θεότης ὀνομάζηται; Πῶς δ᾽ οὐκ ἐγκαλέσει κατά ἐκλεκτῶν Θεοῦ, τῶν ἐκεῖνα λεγόντων ἁγίων δηλαδή, καί δι᾽ αὐτούς ἡμῶν τῶν (σελ. 426) αὐτοῖς ὁμολογούντων καί τούτων ὑπεραπολογουμένων πρός δύναμιν ἐκθύμως; Ἐγώ γάρ αὐτός λέγω τοὐμόν, ὡς καί ὑπέρ τούτων ἑνός, μή ὅτι γε τῆς ἁπάντων συμφωνίας, παθεῖν ἑτοιμότατος. «Ὁ γάρ δεχόμενος ὑμᾶς, ἐμέ δέχεται», φησίν ὁ Κύριος, οὐχ ὁμοῦ δηλονότι πάντας, ἀλλά καί τόν ἕνα πάντων. Τίς δέ καί διασχίσει τούς ἕν ὄντας κατά τήν δεσποτικήν εὐχήν καί διά τοῦ ἑνός Λόγου ἐν ἑνί Πνεύματι τῷ ἑνί Θεῷ συναφθέντας; Πῶς δ᾽ οὐ πάντας ὁ τοιοῦτος ἀναιρήσει δι᾽ ἀλλήλων τούς ὄντως ρήματος ζωῆς αἰωνίου γεγραφότας;

Εἰ γάρ ὑφηγεῖταί τις τούτων καί ταῦτά τι τῶν καιριωτάτων, ὅ διατελεῖ τοῖς ἄλλοις ἀπηγορευμένον, πῶς οὐκ ἀναιροῦνται δι᾽ ἀλλήλων; Ἀλλά καί τό λέγειν ἔστιν ἅ τούτων, ὡς ἐκεῖ κείσθω καί μηδείς αὐτοῖς χρήσθω, τῶν φανερῶς ἀθετούντων ἐστίν ἐκεῖνα καί

τούς τῶν ἁγίων κατηγόρους μηδαμῶς ἐπιστομίζεσθαι βουλομένων, οὐκ ἀπᾷδον δ᾿ εἰπεῖν, ὅτι καί τῶν συμπραττόντων καί συνεπιψηφιζομένων αὐτοῖς˙ ἐκείνων γάρ ἐπί διαβολῇ προφερόντων, αὐτός αὐτά κατορύττεσθαι δικαιοῖ, σιγῆς καί λήθης, ἵν᾿ οὕτως εἴπω, χώματι, ὡς οὐκ ἄμεμπτα δήπου. Δεῖ δή, προσφιλέστατε πάτερ, τοῦτο πείθειν πάντας ἐγχειρεῖν, ὡς οὐ προσίσταται, μᾶλλον δέ καί συνίσταται τό διακεκριμένον τῷ ἑνιαίῳ τῆς θεότητος, ἀλλά μή γωνίας ἄξια νομίζειν καί παραρριπτεῖν ἐπιχειρεῖν ἀφασίᾳ παραπέμποντας, καί ταῦτα διά τῶν βιβλίων προκείμενα τοῖς πᾶσι τά τοῖς θείοις πατράσι τεθεολογημένα θείως, παραινεῖν γε μήν τούς ἐπιόντας καί ἀκούοντας χρεών, μή τῷ γράμματι δουλεύειν, ἀλλά τόν ἐγκείμενον θηρεύειν νοῦν καί τήν εὐσεβῆ διάνοιαν ἀσπάζεσθαι καί μετά τοῦ θείου Κυρίλλου καί Δαμασκηνοῦ (σελ. 428) πατρός λέγειν πρός αὐτούς, «ὡς εἴωθεν ἐξ ἀρχῆς οὐ μόνον ἡ θεία Γραφή, ἀλλά καί οἱ τῆς ἐκκλησίας διδάσκαλοι περί τάς λέξεις ἀδιαφορεῖν, εἰδότες ὅτι οὐδέν ἀδικοῦσιν αἱ λέξεις, ὅταν ἄλλως ἔχῃ τά πράγματα», καί τό τοῦ θείου Μαξίμου, «λέξεως», γράφοντος, «κίνδυνον μηδένα εἶναι, ἄν μή περί τήν ἔννοιαν ἡ ἁμαρτία γένηται», καί τό τοῦ μεγάλου Βασιλείου λέγοντος, «οὐ χρή προσέχειν λέξεσιν, ἀλλά τῇ τοῦ σκοποῦ δυνάμει», καί τό τοῦ μεγάλου Γρηγορίου προστιθέναι τοῖς φιλονεικότερον ἐνισταμένοις, «ὅτι οὐκ ἐν ῥήμασιν ἡμῖν, ἀλλ᾿ ἐν πράγμασιν ἡ εὐσέβεια», καί πάλιν, «οὐ περί τῶν ὀνομάτων ζυχομαχήσομεν, ἕως ἄν εἰς τήν αὐτήν ἔννοιαν αἱ συλλαβαί φέρωσι», καί πάλιν, «οὐδέ γάρ περί ταῦτα ζυγομαχοῦντες ἀσχημονήσομεν, ὥσπερ ἐν ὀνόμασι κειμένης ἡμῖν τῆς εὐσεβείας, ἀλλ᾿ οὐκ ἐν πράγμασι», καί πρός τούτοις τό τοῦ Χρυσοστόμου πατρός, «οὐ δεῖ τήν λέξειν καθ᾿ ἑαυτήν βασανίζειν, ἀλλά τῇ διανοίᾳ προσέχειν τοῦ γράφοντος˙ ἄν γάρ μή τήν γνώμην τοῦ γράφοντος ἐξετάζωμεν, πολλάς ὑποστησόμεθα τάς ἀπεχθείας καί πάντα ἀνατραπήσεται». Οὐ ταῦτά ἐστιν ἄντικρυς τά νῦν τελούμενα; Προσακουστέον δή καί τοῦ μεγάλου Διονυσίου φάσκοντος, ὡς «ἔστιν ἄλογον καί σκαιόν καί τῶν μή τά θεῖα νοεῖν ἐθελόντων ἴδιον, το μή τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλά ταῖςλέξεσι». Καί ὄντως ἀποτυγχάνουσι τῆς ἐφικτῆς θεογνωσίας οἱ μή πρός τόν ἐντεθησαυρισμένον τοῖς ῥήμασι νοῦν διαβιβάζειν σπεύδοντες τό τῆς ψυχῆς λογιζόμενον καί οὕτω τήν παρ᾿ ἑαυτῶν ἐκφέροντες ψῆφον καί πρός τήν ἐναποκειμένην διάνοιαν τάς συλλαβάς ἤ στέργοντες ἤ ἀποστέργοντες, ἀλλά περιέποντες ἤχους

ρημάτων καί διδόντες χώραν ἐντεῦθεν, καί ταύτα μήπω πεπαυμένοις, τοῖς πρός τήν εὐσεβῆ (σελ. 430) διάνοιαν ἀντιλέγουσι, πρός οὗς χρή τό θεολογικόν ἐκεῖνο πάλιν εἰπεῖν˙ «οἱ σφόδρα προπολεμοῦντες τοῦ γράμματος, ἴστωσαν ἐκεῖ φοβούμενοι φόβον, οὗ μή ἔστι φόβος, καί σαφῶς γινωσκέτωσαν, ὥς ἔνδυμα τῆς ἀσεβείας αὐτοῖς ἐστιν ἡ δειλία τοῦ γράμματος». Ἀλλ᾿ οὗτοι μέν ὑπέρ αὐτῶν ἐν πατερικῶν λόγων τῶν πατέρων οἱ λόγοι προκείσθωσαν.

Ἐμοί δ᾿ ὑπέρ ἐμαυτοῦ νῦν πρός ἄνδρα φίλον ποιουμένῳ τήν ἀπολογίαν, οὐκ ἀποχρήσει μόνον, ἀλλά καί πλεονάσει τό τοῦ θείου Κυρίλλου προκομισθέν˙ Νεστόριον γάρ οὗτος ᾔσχυνε παρρησίᾳ καί κατά κράτος ἐπί συνόδου μεγίστης τό κατ᾿ ἐκείνου καί τῶν ὑπ᾿ ἐκείνου βλασφήμως κατά τῆς θείας ἐνανθρωπήσεως ἐξευρημένων ἀνεδήσατο κράτος. Τοῦτο φθόνου κέντρον οὐχ οἷον φέρειν ἐνίησι τῷ Κύροι Θεοδωρήτῳ, καθάπερ καί τῷ Ἀκινδύνῳ νῦν ἡ Βαρλαάμ ἧττα καί ἡ τούτου δι᾿ αἰσχύνην τῆς ἥττης ἀειφυγία˙ χωρεῖ πρός ἄμυναν ἀναιδῆ κατά τοῦ θείου Κυρίλλου ὁ Θεοδώρητος καί καταλογογραφεῖ πικρῶς τῶν κατά Νεστορίου τῷ ἁγίῳ συγγεγραμμένων, ὡς καί ὁ Ἀκίνδυνος ἀρτίως τῶν ἡμετέρων πρός τόν Βαρλαάμ συγγραμμάτων. Ἀλλ᾿ ὁ μήν Θεοδώρητος πανταχόθεν ἐφοδεύων καί κύκλῳ περιβαλλόμενος καί πάντα κάλων τό τοῦ λόγου κινῶν οὐδέν ἴσχυσε πλέον ἤ συχναῖς συκοφαντίαις τά τοῦ φθονουμένου περιβαλεῖν καί πρός αὐτάς μόνας τάς λέξεις κακοβούλως ἐρεσχελεῖν. Αὐτός μέντοι πρός τῇ Νεστορίου κακοδοξίᾳ καί πᾶσαν ἄλλην δυσσέβειαν ἱκανῶς ἐφυλάξατο. Τῷ δ᾿ Ἀκινδύνῳ τήν τοῦ Βαρλαάμ κακοδοξίαν ἐπεκδικοῦντι σαφῶς, πολλῷ πλείοσι καί μακρῷ δεινοτέραις περιπεσεῖν ἐξεγένετο δυσσεβείας ἤ ὁπόσας αὐτός τῶν ἡμετέρων καταψεύδεται συγγραμμάτων καί τόν καθηγησάμενον αὐτῷ τῆς πλάνης ἐκεῖνον κατά ταύτας παρενεγκών, (σελ. 432) παραπλήσιόν τι δράσας, μᾶλλον δέ παθών, ὥσπερ ἄν εἴ τις αὐτός ἐπίτηδες ἐγεγόνει σαπρία καί κόπρος ἄντικρυς ἤ πολύν περιεβάλλετο καί δυσωδέστατον βόρβορον, μόνον ἵνα σχῇ λυπῆσαι πρός ὥραν τῶν μεμισημένων μάτην παρ᾿ αὐτοῦ τήν ὄσφρησιν, ἀγνοῶν ὡς οἱ μέν ἐπιθέντες τήν χεῖρα τῇ ῥινί τοῦτον παραμείνουσιν ἀσινεῖς, ὁ δέ καί τοῖς ἄλλοις ὁπόσοις ῥίνεσι βδελυκτός μενεῖ καί παντάπασιν ἀποτρόπαιος.

Ἀλλ᾿ ὁ Θεοδώρητος ἐκεῖνος πρός τοῖς ἄλλοις ἐπιλαμβάνεται Κυρίλλου καί ὡς πρώτου πάντων εἰρηκότος τήν τοῦ λόγου πρός τήν σάρκα καθ᾿ ὑπόστασιν ἕνωσιν, «ἕνα μέν», γράφων, «ὁμολογοῦμεν

Χριστόν καί τόν αὐτόν διά τήν ἕνωσιν, Θεόν τε καί ἄνθρωπον, τήν δέ καθ᾽ ὑπόστασιν ἕνωσιν ἀγνοοῦμεν, ὡς ξένην καί ἀλλόφυλον τῶν θείων Γραφῶν καί τῶν ταύτας ἡρμηνευκότων πατέρων», εἶτα καί ὡς κρᾶσιν δῆθεν εἰσάγοντι καί σύγχυσιν εἰργασμένῳ τῶν φύσεων δι᾽ αὐτήν τῷ ἁγίῳ συκοφαντικῶς ἐπιτίθεται. Τί δή πρός ταῦθ᾽ οὗτος ὁ πρός ἀλήθειαν τήν εὐσέβειαν οὐκ ἄληπτος μόνον, ἀλλά καί πολλῶν καί μεγάλων ἐπαίνων ἐπάξιος; Ἰδοῦ δή πάλιν ὁ γεννάδας οὑτοσί, φησί, πρόφασιν τῆς καθ᾽ ἡμῶν ἀθυροστομίας τό παρατυχόν ποιεῖσθαι σπουδάζων, διασύρει τήν λέξιν, τήν καθ᾽ ὑπόστασιν λέγω, καθυβρίζει τε τό ἀσύνηθες αὐτῆς καί δή καί ξένως αὐτήν πεποιῆσθαι διισχυρίζεται, οὐκ ἐννοήσας ὅτι ταῖς τῶν ἀνοσίων αἱρέσεων εὑρεσιλογίαις ἡ τῶν λέξεων δύναμις τό ἀληθές ἀντεξάγουσα παραλύειν ἐπιχειρεῖν τό ἀντιτετάχθαι δοκοῦν». Ὁρᾷς ὅτι καί ἀσυνήθεις ἐπινοεῖν λέξεις τοῖς ἀντικειμένοις πρός τάς εὑρεσιλογίαις τῶν πονηρῶν αἱρέσεων ἔξεστιν; Οὕτω γάρ καί φυσικήν εὑρήσεις εἰπόντα τοῦτον ἐκεῖ τήν καθ᾽ ὑπόστασιν ἕνωσιν, διά τόν ἀθετοῦντα ταύτην Νεστόριον, ἵν᾽ ἐναργῶς παραστήσῃ τό ἀληθές τῆς (σελ. 434) θείας ἐνανθρωπήσεως, οὗ πάλιν ἐπιλαβόμενος Θεοδώρητος καταneανιεύεται τῶν ἀήθως μέν, εὐσεβῶς δ᾽ εἰρημένων, ὡς δῆθεν δυσσεβῶς γεγραμμένων.

Ἀλλ᾽ ἀκούει πάλιν αὐτός παρά τοῦ θείου Κυρίλλους, μεθύων καί κάρῳ κάτοχος, ὡς μή τό σημαινόμενον ἔστιν ὅτε διαβλέπων τῆς λέξεως (καί γάρ ἔσθ᾽ ὅπου τό φυσικόν εὕρηται σημαῖνον τό ἀληθές) καί σκώπτεται μᾶλλον δικαίως ἔτι, ὡς ἐπισεμνυνόμενος ψεύδει καί τῷ εἰδέναι συκοφαντεῖν εὖ μάλα κατωρθωκώς, ἅτε μή τῷ σκοπῷ τοῦ συγγεγραφότος προσέχων, ἀλλά ταῖς λέξεσιν. Ἴδοις δ᾽ ἄν ἐκεῖ τόν σεπτόν Κύριλλον καί τῷ τῆς ὑποστάσεως ὀνόματι χρώμενον ἀντί τῆς φύσεως˙ διόπερ ἐκεῖ μηδέ τιθέντα τήν ὑπόστασιν ἐπί Χριστοῦ ἑνικῶς, οὕτω τοῖς κακῶς φρονοῦσι καί συκοφαντοῦσιν ἀντιλέγων ἐκεῖνος τῆς περί τάς λέξεις σμικρολογίας ἀλογῶν, πρός μόνην ὁρᾷ τήν εὐσεβῆ διάνοιαν. Πόσα δ᾽ ὅμως πέπονθε παρά τῶν ἀπειθούντων, καίτοι παγκάλως ὑπεραπολελογημένος καί διά γραμμάτων πάλιν οἰκείων, οὐδέν ἀλλοῖον φρονήσας, οὐδέ τάς λέξεις μετασκευάσας, ἀλλ᾽ ἑρμηνεύσας τοῖς ἀγνοοῦσι καί ἀποδυσάμενος τά ἐγκλήματα, καθάπερ ἀρτίως πᾶσιν ἀνωμολόγηται, συνεῖσι τῶν ἀήθων τοῖς ἀπείροις δοκούντων ρημάτων τό εὐσεβές, ὅσας δ᾽ αὖθις ὑπέστησαν δυσφημίας παρά τῶν ἀντικειμένων τηνικαῦτα τῇ εὐσεβείᾳ οἱ τῷ

σεπτῷ συμβόλῳ τῆς πίστεως ἐγγεγραφότες τό ὁμοούσιον, σχεδόν οὐδ᾽ ἀπαριθμήσασθαι δυνατόν. Τό γάρ μᾶλλον αὐτοῖς ἀντιτεταγμένον, καί διαβαλεῖν μᾶλλον οἱ τῶν πονηρῶν αἱρέσεων ἀντεχόμενοι σπεύδουσι˙ τό δέ δι᾽ ἑκάστους ἰδίᾳ προτεταγμένον, ἐκεῖνο καί μᾶλλον ἀντιτεταγμένον αὐτοῖς ἐστιν. Ἡμεῖς δέ οὐ καινάς ἐξεύρομεν λέξεις, καίτοι καινῆς ἀρτίως ὑπ᾽ Ἀκινδύνου καί Βαρλαάμ κεκινημένης αἱρέσεως, ἀλλά ταῖς εἰρημέναις τοῖς ἁγίοις πατράσιν ὑπέρ τῆς τοῦ Θεοῦ χάριτος ἐχρησάμεθα, μᾶλλον δέ (σελ. 436) παρ᾽ ἐκείνων πρώτων ἐπί διαβολῇ προβεβλημέναις κακῶς, ἡμεῖς ὑπεραπολογούμενοι τῶν πατέρων, ἐξ ἀνάγκης αὐταῖς κεχρήμεθα καί ταύταις ἐν οἷς πρός τούς ἀντιφθεγγομένους τῇ ἀληθείᾳ τούς λόγους ποιούμεθα. Οὐδέ γάρ ἄν εὕροι τις ἡμέτερον σύγγραμμα μή πρός αὐτούς τεῖνον, ὅ τοιαύτας φέρει φωνάς, καί ταῦτ᾽ ἀνεύθυνον ὄν, εἴπερ οἱ προειρηκότες πατέρες ἀνεύθυνοι.

Τό δέ νῦν ἡμᾶς λέγειν ἕνεκά τινος τῶν τοιούτων παρά τῶν ἐπ᾽ ἐξουσίας ἐπηρεάζεσθαι, συκοφαντία περιφανής καί τοῖς ὀρθῶς ὁρῶσιν οὐκ ἀφανής. Τίς γάρ οὐκ οἶδεν, ὡς πρό τῆς ἐμφυλίου στάσεως καί συγχύσεως καί παρά τῆς ἐκκλησίας καί παρά τῆς βασιλείας πολλῇ τις ἡμῖν ὑπῆρχε φιλοφροσύνη καί σχεδόν ἡμέρας ἑκάστης εὐκλεεῖς ἀναρρήσεις, ὡς ἀντιστᾶσι γενναίως καί κεκρατηκόσι τελέως τῶν οὐχ ἅπαξ ἀλλά καί δίς ἐπαναστάντων ἀληθείᾳ τῇ κατ᾽ εὐσέβειαν; Ὅτι μέντοι καί ἡ τῆς καινῆς αἱρέσεως συμμορία νῦν ἐπηρεαζομένοις ἡμῖν συνεπέθεντο, συνηγόρους σχόντες τούς τάς γνώμας συμμεταβάλλοντας ταῖς τῶν πραγμάτων μεταβολαῖς, καί τοῦτο καταφανές. Σήν δ᾽ ὅμως μάλιστα χάριν πᾶσαν περιαιροῦντες ἀφορμήν τῶν ζητούντων ἀφορμήν, καί τά ὑποτεταγμένα ταῦτα τοῖς θείοις ἡμῶν ὁμολόγως ὅτι μάλιστα πατράσι συνετάξαμεν.

### *ΟΜΟΛΟΓΙΑ (Σελ. 438)*

Εἷς Θεός ὁ πρό πάντων καί ἐπί πάντων καί ἐν πᾶσι καί ὑπέρ τό πᾶν ἐν Πατρί καί Υἱῷ καί ἁγίῳ Πνεύματι παρ᾽ ἡμῶν πιστευόμενός τε καί προσκυνούμενος, μονάς ἐν Τριάδι καί Τριάς ἐν μονάδι, ἀσυγχύτως ἑνουμένη καί ἀμερίστως διαιρουμένη, μονάς ἡ αὐτή καί Τριάς παντοδύναμος˙ Πατήρ ἄναρχος οὐ μόνον ὡς ἄχρονος, ἀλλά καί ὡς κατά πάντα τρόπον ἀναίτιος, μόνος αἰτία καί ῥίζα καί πηγή τῆς ἐν

Υἱῷ Πνεύματι θεωρουμένης θεότητος, μόνος αἰτία προκαταρκτική τῶν γεγονότων, οὐ μόνος δημιουργός, ἀλλά μόνος ἑνός Υἱοῦ Πατήρ καί Πνεύματος ἑνός ἁγίου προβολεύς ἀεί ὤν, καί ἀεί ὤν Πατήρ καί ὤν Πατήρ καί ἀεί ὤν μόνος Πατήρ τε καί προβολεύς, μείζων Υἱοῦ καί Πνεύματος, τοῦτο μόνον ὡς αἴτιος, τἄλλα δέ πάντα ὁ αὐτός αὐτοῖς καί ὁμότιμος.

Οὗ Υἱός εἷς, ἄναρχος μέν ὡς ἄχρονος, οὐκ ἄναρχος δέ ὡς ἀρχήν καί ρίζαν καί πηγήν ἔχων τόν Πατέρα, ἐξ οὗ μόνου πρό πάντων τῶν αἰώνων ἀσωμάτως, ἀρρεύστως, ἀπαθῶς, γεννητῶς προῆλθεν, ἀλλ᾽ ού διῃρέθη, Θεός ὤν ἐκ Θεοῦ, καί ἄλλος μέν καθό Θεός, ἄλλος δέ καθό Υἱός, ἀεί ὤν καί ἀεί ὤν Υἱός καί μόνον Υἱός καί ἀεί πρός τήν Θεόν ἀσυγχύτως ὤν, οὐκ αἰτία καί ἀρχή τῆς ἐν Τριάδι νοουμένης θεότητος, ὡς ἐξ αἰτίας καί ἀρχῆς ὑπάρχων τοῦ Πατρός, ἀλλ᾽ αἰτία καί ἀρχή τῶν γεγονότων πάντων, ὡς δι᾽ αὐτοῦ πάντων γεγονότων, (σελ. 440) «ὅς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμόν ἡγήσατο τό εἶναι ἴσα Θεῷ, ἀλλ᾽ ἐπί συντελείᾳ τῶν αἰώνων ἑαυτόν ἐκένωσε, μορφήν τήν καθ᾽ ἡμᾶς δι᾽ ἡμᾶς λαβών καί ἐκ τῆς ἀειπαρθένου Μαρίας, εὐδοκίᾳ τοῦ Πατρός καί συνεργείᾳ τοῦ ἁγίου Πνεύματος, κυηθείς τε νόμῳ φύσεως καί γεννηθείς Θεός ὁμοῦ καί ἄνθρωπος καί ὡς ἀληθῶς ἐνανθρωπήσας, γέγονεν ὅμοιος ἡμῖν κατά πάντα πλήν ἁμαρτίας, μείνας ὅπερ ἦν, Θεός ἀληθινός, ἑνώσας ἀσυγχύτως καί ἀτρέπτως τάς δύο φύσεις καί θελήσεις καί ἐνεργείας καί μείνας εἷς Υἱός ἐν μιᾷ ὑποστάσει καί μετά τήν ἐνανθρώπησιν, ἐνεργῶν τά θεῖα πάντα ὡς Θεός καί τά ἀνθρώπινα πάντα ὡς ἄνθρωπος καί τοῖς ἀδιαβλήτοις ἀνθρωπίνοις ὑποκείμενος πάθεσιν, ἀπαθής μέν καί ἀθάνατος ὤν καί διαμένων ὡς Θεός, ἑκών δέ σαρκί παθών ὡς ἄνθρωπος καί σταυρωθείς καί θανών καί ταφείς καί τῇ τρίτῃ ἡμέρᾳ ἀναστάς, ὅς καί τοῖς μαθηταῖς μετά τήν ἀνάστασιν ἐπιφανείς καί τήν ἐξ ὕψους δύναμιν ἐπαγγειλάμενος καί παραγγείλας «μαθητεύειν πάντα τά ἔθνη καί βαπτίζειν εἰς τό ὄνομα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος καί τηρεῖν διδάσκειν ὅσα ἐνετείλατο», αὐτός ἀνελήφθη εἰς τόν οὐρανόν καί ἐκάθισεν ἐκ δεξιῶν τοῦ Πατρός, ὁμότιμον καί ὁμόθρονον ὡς ὁμόθεον ποιήσας τό ἡμέτερον φύραμα, μεθ᾽ οὗ πάλιν φυράματος ἥξειν μετά δόξης μέλλει κρῖναι ζῶντας καί νεκρούς καί ἀποδοῦναι ἑκάστῳ κατά τά ἔργα αὐτοῦ.

Τότε δέ πρός Πατέρα ἀνελθών, ἔπεμψεν ἐπί τούς ἁγίους αὐτοῦ μαθητάς καί ἀποστόλους τό Πνεῦμα τό ἅγιον, ὅ παρά τοῦ Πατρός

ἐκπορεύεται, συνάναρχον μέν ὄν τῷ Πατρί καί τῷ Υἱῷ ὡς ἄχρονον, οὐκ ἄναρχον δέ ὡς καί αὐτό ρίζαν καί πηγήν καί αἰτίαν ἔχον τόν Πατέρα, οὐχ ὡς γεννητόν, ἀλλ᾽ ὡς ἐκπορευτόν, ἐκ (σελ. 442) Πατρός γάρ καί αὐτό πρό πάντων τῶν αἰώνων, ἀρρεύστως καί ἀπαθῶς, οὐ γεννητῶς, ἀλλ᾽ ἐκπορευτῶς προῆλθεν, ἀδιαίρετον ὄν τοῦ Πατρός καί τοῦ Υἱοῦ, ὡς ἐκ τοῦ Πατρός προερχόμενον καί ἐν Υἱῷ ἀναπαυόμενον, ἀσύγχυτον καί τήν ἕνωσιν ἔχον καί ἀμέριστον τήν διαίρεσιν, Θεός ὄν καί αὐτό ἐκ τοῦ Θεοῦ, οὐκ ἄλλος μέν καθό Θεός, ἄλλος δέ παράκλητος καθό Πνεῦμα ἅγιον, αὐθυπόστατον, ἐκ Πατρός ἐκπορευόμενον καί δι᾽ Υἱοῦ πεμπόμενον, τουτέστι φανερούμενον, αἴτιον καί αὐτό τῶν γεγονότων πάντως, ὡς ἐν αὐτῷ τελεσιουργουμένων, τό αὐτό καί ὁμότιμον Πατρί τε καί Υἱῷ, χωρίς τῆς ἀγεννησίας καί τῆς γεννήσεως˙ ἐπέμφθη δέ παρά τοῦ Υἱοῦ πρός τούς οἰκείους μαθητάς, τουτέστι πεφανέρωται˙ πῶς γάρ ἄν ἄλλως παρ᾽ αὐτοῦ πεμφθείη τό μή χωριζόμενον αὐτοῦ; Πῶς δ᾽ ἄν ἄλλως ἔλθοι ποι τό ὑπάρχον πανταχοῦ; Διό μή μόνον παρά τοῦ Υἱοῦ, ἀλλά καί παρά τοῦ Πατρός καί διά τοῦ Υἱοῦ, ἀλά καί παρά τοῦ Πατρός καί διά τοῦ Υἱοῦ πέμπεται καί παρ᾽ ἑαυτοῦ ἔρχεται φανερούμενον. Κοινόν γάρ ἔργον ἡ ἀποστολή, δηλονότι ἡ φανέρωσις, Πατρός, Υἱοῦ καί Πνεύματος.

Φανεροῦται δέ οὐ κατά τήν οὐσίαν – οὐδείς γάρ ποτε Θεοῦ φύσιν ἤ εἶδεν ἤ ἐξηγόρευσεν - ἀλλά κατά τήν χάριν καί τήν δύναμιν καί τήν ἐνέργειαν, ἥτις κοινή ἐστι Πατρός, Υἱοῦ καί Πνεύματος˙ ἴδιον μέν γάρ ἑκάστῳ τούτων ἡ ἑκάστου ὑπόστασις καί ὅσα τείνει πρός αὐτήν, κοινά δέ οὐχ ἡ ὑπερούσιος οὐσία μόνον, ἡ παντάπασιν ἀνώνυμος καί ἀνέκφαντος καί ἀμέθεκτος, ὡς ὑπέρ πᾶσαν ἐπωνυμίαν οὖσα καί ἔκφανσιν καί μετοχήν, ἀλλά καί ἡ χάρις καί δύναμις καί ἐνέργεια καί ἡ λαμπρότης καί ἡ βασιλεία καί ἡ ἀφθαρσία καί πάνθ᾽ ἁπλῶς, καθ᾽ ἅ κοινωνεῖ καί κατά χάριν ἑνοῦται τοῖς ἁγίοις ἀγγέλοις τε καί ἀνθρώποις ὁ Θεός, μήτε διά τό μεριστόν καί διάφορον τῶν ὑποστάσεων μήτε διά τό μεριστόν καί ποικίλον τῶν δυνάμεών τε καί ἐνεργειῶν τῆς ἁπλότητος ἐκπίπτων. (σελ.444) Οὕτως ἡμῖν εἷς ἐστι παντοδύναμος Θεός ἐν μιᾷ θεότητι˙ οὔτε γάρ ἐξ ὑποστάσεων τελίων γένοιτ᾽ ἄν ποτε σύνθεσις οὔτε τό δυνάμενον ὅτι δύναμιν ἤ δυνάμεως ἔχει δι᾽ αὐτό τό δύνασθαι σύνθετον ἀληθῶς ποτε λεχθείη ἄν.

Πρός τούτοις προσκυνοῦμεν σχετικῶς τήν ἁγίαν εἰκόνα τοῦ περιγραφέντος, ὡς δι᾽ ἡμᾶς ἐνανθρωπήσαντος, Υἱοῦ τοῦ Θεοῦ, πρός

τό πρωτότυπον ἀναφέροντες εὐσεβῶς τήν προσκύνησιν, καί τό τίμιον τοῦ σταυροῦ ξύλον καί τά σύμβολα πάντα τῶν αὐτοῦ παθημάτων, ὡς ὄντα τρόπαια θεῖα κατά τοῦ κοινοῦ πολεμίου τοῦ γένους ἡμῶν. Πρός δέ καί τόν τύπον τοῦ τιμίου σταυροῦ, ὡς ὅπλον σωτήριον, καί τούς θείους ναούς καί τόπους καί τά ἱερά σκεύη καί θεοπαράδοτα λόγια, διά τόν ἐν αὐτοῖς ἐνοικοῦντα Θεόν. Ὡσαύτως προσκυνοῦμεν καί τάς τῶν ἁγίων πάντων εἰκόνας διά τήν πρός αὐτούς ἀγάπην καί τόν Θεόν, ὅν οὗτοι ἀληθῶς καί τελείως ἠγάπησάν τε καί ἐθεράπευσαν, ἐν τῇ προσκυνήσει πρός τάς ἐκείνων μορφάς ἀναφέροντες τήν διάνοιαν. Προσκυνοῦμεν καί τάς αὐτῶν ἁγίας σορούς, ὡς τῆς ἁγιαστικῆς χάριτος τῶν αὐτῶν οὐκ ἀποπτάσης ἱερωτάτων ὀστῶν, ὥσπερ οὐδέ τοῦ δεσποτικοῦ σώματος ἐν τῷ τριημέρῳ ἡ θεότης διῃρέθη θανάτῳ.

Κακόν κατ᾽ οὐσίαν ἴσμεν οὐδέν, οὐδ᾽ εἶναι τοῦ κακοῦ ἀρχήν ἑτέραν ἤ τήν ἐκτροπήν τῶν λογικῶν, κεχρημένων τῇ παρά τοῦ Θεοῦ δεδομένῃ αὐτεξουσιότητι κακῶς.

Στέργομεν πάσας τάς ἐκκλησιαστικάς παραδόσεις ἐγγράφους τε καί ἀγράφους καί πρό πάντων τήν μυστικωτάτην τε καί πανίερον τελετήν καί κοινωνίαν καί σύναξιν, παρ᾽ ἧς καί ταῖς ἄλλαις τελεταῖς ἡ τελείωσις, καθ᾽ ἥν εἰς ἀνάμνησιν τοῦ κενώσαντος ἑαυτόν (σελ.446) ἀκενώτως καί σάρκα λαβόντος καί παθόντος ὑπέρ ἡμῶν κατά τήν θεσπεσίαν ἐκείνου παραγγελίαν καί αὐτουργίαν, τά θειότατα ἱερουργεῖται καί θεουργεῖται, ὁ ἄρτος καί τό ποτήριον, καί αὐτό τό ζωαρχικόν ἐκεῖνο τελεῖται σῶμα καί αἷμα, καί τήν ἀπόρρητον Ἰησοῦ μετουσίαν καί κοινωνίαν τοῖς εὐαγῶς προσιοῦσι χαρίζεται. Πάντας δέ τούς μή ὁμολογοῦντας καί πιστεύοντας ὡς τό Πνεῦμα τό ἅγιον προεμήνυσε διά τῶν προφητῶν, ὡς ὁ Κύριος ἐθέσπισε διά σαρκός ἡμῖν ἐπιφανείς, ὡς οἱ ἀπόστολοι ἐκήρυξαν πεμφθέντες ὑπ᾽ αὐτοῦ, ὡς οἱ πατέρες ἡμῶν καί διάδοχοι αὐτῶν ἐδίδαξαν ἡμᾶς, ἀλλ᾽ αἱρέσεως ἰδίας ἤ ἄρξαντας ἤ τοῖς κακῶν ἄρξασιν εἰς τέλος ἐπηκολουθηκότας, ἀποβαλλόμεθα καί ἀναθέματι καθυποβάλλομεν.

Δεχόμεθα δέ ἀσπαζόμεθα τάς ἁγίας οἰκουμενικάς συνόδους, τήν ἐν Νικαίᾳ τῶν τριακοσίων δέκα καί ὀκτώ θεοφόρων πατέρων κατά τοῦ θεομάχου Ἀρείου, κατασπῶντος ἀσεβῶς εἰς κτίσμα τόν Υἱόν τοῦ Θεοῦ καί κατατέμνοντος εἰς κτιστά καί ἄκτιστα τήν ἐν Πατρί καί Υἱῷ καί ἁγίῳ Πνεύματι προσκυνουμένην μίαν θεότητα, τήν μετ᾽ αὐτήν ἐν Κωνσταντινουπόλει τῶν ἑκατόν πεντήκοντα πατέρων κατά Μακεδονίου Κωνσταντινουπόλεως, ἀσεβῶς εἰς κτίσμα κατασπῶντος

τό Πνεῦμα τό ἅγιον καί κατατέμνοντος μηδέν ἧττον καί τούτου εἰς κτιστά καί ἄκτιστα τήν μίαν θεότητα, τήν μετά ταύτην ἐν Ἐφέσῳ τῶν διακοσίων πατέρων κατά Νεστορίου πατριάρχου Κωνσταντινουπόλεως, τήν καθ᾽ ὑπόστασιν ἕνωσιν ἀθετοῦντος ἐπί Χριστοῦ τῆς αὐτοῦ θεότητος καί ἀνθρωπότητος, καί τήν ὡς ἀληθῶς τεκοῦσαν τόν Θεόν Παρθένον Θεοτόκον καλεῖν μηδαμῶς βουλομένου, καί τήν τετάρτην ἐν Χαλκηδόνι τῶν ἑξακοσίων τριάκοντα πατέρων κατά Εὐτυχοῦς καί Διοσκόρου, μίαν φύσιν ἐπί Χριστοῦ δογματιζόντων κακῶς, καί τήν μετ᾽ αὐτήν ἐν Κωνσταντινουπόλει τῶν ἑκατόν ἑξήκοντα πέντε (σελ. 448) πατέρων κατά Θεοδώρου τινός καί Διοδώρου, τά αὐτά τῶν Νεστορίῳ φρονούντων καί διά συγγραμμάτων τά ἐκείνου συνιστώντων, Ὠριγένους τε καί Διδύμου καί Εὐαγρίου τινός, τῶν παλαιῶν μέν ὄντων, μυθώδη δέ τινα ἐν τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ παρεισάγειν ἐπιχειρούντων, καί τήν μετά ταύτην ἐν τῇ αὐτῇ πόλει τῶν ἑκατόν ἑβδομήκοντα πατέρων κατά Σεργίου, Πύρου καί Παύλου Κωνσταντινουπόλεως ἀρξάντων, ἀθετούντων ἐπί Χριστοῦ τάς καταλλήλους ταῖς δύο φύσεσι δύο ἐνεργείας καί δύο θελήματα, καί τήν ἐν Νικαίᾳ πάλιν τῶν τριακοσίων ἑξήκοντα ἑπτά πατέρων κατά τῶν εἰκονομάχων.

Ἀσπαζόμεθα καί πάσας τάς κατά Θεοῦ χάριν κατά καιρόν ἤ τόπον πρός βεβαίωσιν εὐσεβείας καί εὐαγγελικῆς πολιτείας συναθροισθείσας ἁγίας συνόδους, ὧν εἰσι καί αἱ συγκροτηθεῖσαι κατά τήν μεγαλόπολιν ταύτην ἐν τῷ περιβοήτῳ ναῷ τῆς ἁγίας τοῦ Θεοῦ Σοφίας κατά τοῦ Καλαβροῦ Βαρλαάμ καί τοῦ μετ᾽ ἐκεῖνον τἀκείνου φρονοῦντος καί δόλῳ σπεύδοντος ἐπεκδικεῖν Ἀκινδύνου, οἵ τήν κοινήν χάριν Πατρός, Υἱοῦ καί Πνεύματος καί τό φῶς τοῦ μέλλοντος αἰῶνος, καθ᾽ ὅ καί οἱ δίκαιοι λάμψουσιν ὡς ὁ ἥλιος, ὡς καί ὁ Χριστός προϋπέδειξεν ἐπ᾽ ὄρους λάμψας, καί ἁπλῶς πᾶσαν δύναμίν τε καί ἐνέργειαν τῆς τρισυποστάτου θεότητος καί πᾶν τό διαφέρον ὁπωσοῦν τῆς θείας φύσεως κτιστόν εἶναι δογματίζουσι καί κατατέμνουσι καί οὗτοι δυσσεβῶς εἰς κτιστά καί ἄκτιστα τήν μίαν θεότητα καί τούς εὐσεβῶς ἄκτιστον τό θειότατον ἐκεῖνο φῶς καί πᾶσαν δύναμιν καί ἐνέργειαν πρεσβεύοντας θείαν, ὡς μηδενός ὄντος προσφάτου τῶν τῷ Θεῷ προσόντων φυσικῶς, διθεΐτας ὀνομάζουσι καί πολυθέους, ὡς καί Ἰουδαῖοι, σαβελλιανοί τε καί ἀρειανοί ὀνομάζουσιν ἡμᾶς. Ἀλλ᾽ ἡμεῖς τούτους τε κἀκείνους ὡς ὄντας ἀθέους τε καί (σελ. 450) πολυθέους

ἀποβαλλόμεθα καί τοῦ πληρώματος τῶν εὐσεβούντων, ὡς καί ἡ ἁγία τοῦ Χριστοῦ καθολική καί ἀποστολική ἐκκλησία διά τοῦ Συνοδικοῦ καί Ἁγιορειτικοῦ τόμου, τελέως ἐκκόπτομεν, πιστεύοντες εἰς μίαν θεότητα τρισυπόστατον καί παντοδύναμον, οὐδαμῶς τοῦ ἑνιαίου καί τῆς ἁπλότητος ἐκπίπτουσαν διά τάς δυνάμεις ἤ τάς ὑποστάσεις.

Ἐπί τούτοις πᾶσι προσδοκῶμεν ἀνάστασιν νεκρῶν καί ζωήν ἄληκτον τοῦ μέλλοντος αἰῶνος˙ ἀμήν.

*ΤΩ*

*ΤΙΜΙΩΤΑΤΩ ΕΝ ΜΟΝΑΧΟΙΣ*

*ΤΩ ΑΣΚΗΤΙΚΩΤΑΤΩ ΚΥΡ ΒΗΣΑΡΙΩΝΙ (σελ. 452)*

Εὐλογημένε τῷ Θεῷ καί ἐμοί ἐκ ψυχῆς ἠγαπημένε κῦρ Βησαρίων, τά μέν τῆς παρούσης γενεᾶς οὕτως ἔχει, ὡς καί ὁ ἀπόστολος προεῖπε καί ἡ ἁγιωσύνη σου ἔγραψε καί ἡμεῖς ὁρῶμεν. Ἀλλά καί ὁ διάβολος εὔθετον ἑαυτῷ τόν καιρόν ἰδών, ἐπεχείρησε καταστρέψαι καί αὐτά τά θεμέλια τῆς εὐσεβείας˙ καί οὕτω δολίως, ὡς τάχ᾿ ἄν εἰς τέλος ἤγαγε τήν πονηράν ἐγχείρησιν, μηδέ τῶν δοκούντων τῆς συμφορᾶς ἐπαισθανομένων, εἰ μή ὁ Θεός ὡς ἠθέλησε δι᾿ ἡμῶν τῶν ἐσχάτων κατάφωρον ἐποίησε καί διεσκέδασε τήν αὐτοῦ πονηρίαν. Τί οὖν ἡμᾶς ἔδει ποιεῖν ἐπαισθανομένους ὑφέρποντος καί διασαλεύειν πειρωμένου τά βάθρα τῆς εὐσεβείας; Ἀναχωρεῖν καί ἡσυχάζειν καί σιωπᾶν, ἀναλογιζομένους τήν τῶν πολλῶν νῦν ἐπί τά χείρω ῥοπήν καί τάς ἐκ τούτων ἐπιγενησομένας μέμψεις καί τάς παρά τῶν ἀντικειμένων ἐπαγωγάς, ἤ προαγωνίζεσθαι καί ὑπεραπολογεῖσθαι καί προκινδυνεύειν τῆς εὐσεβείας, πρός τόν τῆς εὐσεβείας ὁρῶντας Θεόν καί τήν ἐκεῖθεν ἀποδοχήν, μᾶλλον δέ τό πρός ἐκεῖνον ἀπαραίτητον χρέος; Τό δεύτερον πάντως˙ τοῦτο γάρ τοῖς πᾶσι λυσιτελέστερον. Τοῦ γάρ θεμελίου τῆς εὐσεβείας ἱσταμένου καλῶς, οὐκ ἔνι μή καί τινας ἐποικοδομεῖν τά ἔργα τῶν ἀρετῶν˙ ἀλλά καί τοῖς ῥαθυμότερον βιοῦσιν ἀεί μένει μετανοίας (σελ. 454) ἐλπίς. Ἐκείνου δέ κατασπασθέντος συγκατασπᾶσαι πᾶν ἀγαθόν.

Διά τοῦτο Θεοῦ συνεργοῦντος καί πολυειδῶς ἐπιρρωννύντος, τῆς εὐσεβείας ἐπηρεαζομένης προέστημεν, καί τόν ἐπηρεαστήν

κατησχύναμεν, μᾶλλον δέ καί τελέως ἀνείλομεν, τήν αὐτοῦ περιελόντες κεφαλήν. Ἡ δέ ἦν ὁ Βαρλαάμ, πανταχόθεν ἔχων τό δύνασθαι˙ καί γάρ καί τῇ ἐκκλησίᾳ μέγας ἐδόκει καί τῇ πολιτείᾳ, καί παρά τοῦ βασιλέως καί τῶν ἐν τέλει πολλῆς ἐτύγχανε τῆς ὑποδοχῆς. Ἀλλ᾽ ἐπί πάντων ἐξελεγχθείς, ὡς τῆς εὐσεβείας ἀντίθετος, πρός φυγήν ὑπ᾽ αἰσχύνης ἔδωκεν ἑαυτόν, ἐπειδή πρός μετάνοιαν οὐκ ἠθέλησε. Τῆς οὖν ἀρχῆς καί τῆς κεφαλῆς οὕτως ἀφαιρεθείσης ᾗ προσφύς τόν ὁλκόν ὁ ἀρχέκακος ὄφις κατά τῆς εὐσεβείας ἐχώρησε, τί θαυμαστόν, εἰ σπαίρων ἔτι τῷ οὐραίῳ τόν κονιορτόν ἡμῖν ἐπεγείρει τῶν πειρασμῶν; Ἀνάγνωθι τά παλαιά διηγήματα, καί πάντας εὑρήσεις τούς ὑπέρ εὐσεβείας ἀντιλεγομένης ἠγωνισμένους, μετά τήν ἐπί τῶν μεγάλων ἐκείνων συνόδων νίκην, ὕστερον τά τῶν καταδίκων αὐτούς ὑποστάντας. Εἰ τοίνυν ἐκεῖνοι οὕτως, οἱ καί δι᾽ ἑαυτούς ἐξιώτατοι παρά πάντων προσκυνεῖσθαι καί ζῶντες, πόσῳ μᾶλλον ἡμεῖς, οἱ καί διά τό ἀχρεῖον τοῦ καθ᾽ ἡμᾶς βίου μαστίγων ἄξιοι καί παιδείας δεόμενοι; Πῶς δ᾽ οὐκ ἄν ἦν σημεῖον τοῦ ἀνόμοιον εἶναι τοῖς τῶν πατέρων ὑπέρ εὐσεβείας ἀγῶσι τόν ὑπέρ τῆς πίστεως ἡμῶν δρόμον, εἰ ἐκτός ἦμεν τῆς ἐπακολουθούσης παιδείας, ἧς ἐκεῖνοι γεγόνασι μέτοχοι; Πῶς δ᾽ οὐκ ἄν εἶχεν ὁ διαβάλλων λέγειν, ὅτι διά δόξαν ἐδράμομεν, εἰ μή καί τά τῆς ἀτιμίας ὑπομείναντες οἱ αὐτοί διεμείναμεν; Διά τοῦτο μή ξενίζου, ἀγαπητέ ἀδελφέ, «τῇ ἐν ἡμῖν πυρώσει πρός πειρασμόν ἡμῖν γινομένῃ ὡς ξένου ἡμῖν συμβαίνοντος», ἀλλ᾽ ἀποδέχου, (σελ. 456) ὅτι κοινωνίας ἔτι φέρομεν ἴχνος τῶν κοινωνησάντων τοῖς παθήμασι τοῦ Χριστοῦ, «ὅς ἔπαθεν ὑπέρ ἡμῶν, ὑπολιμπάνων ὑπογραμμόν, καί ταῦτα ἵνα ἐπακολουθήσωμεν τοῖς ἴχνεσιν αὐτοῦ»˙ μηδέ ζήτει τήν ἐλευθερίαν, ἀλλ᾽ ἐπεύχου τήν καρτερίαν, μηδέ διέκρινε καλόν εἶναι τούς δι᾽ ἑαυτῶν τοῦ Θεοῦ συναιρομένου σβεννύντας τήν τοῦ πονηροῦ πυράν ἀποστῆναι ταύτης καί ἀπαλλαγῆναι τῆς ἀλέας καί τοῦ καπνοῦ πρό τοῦ τελέως αὐτήν σβενοῦντας ἤ καί μεμφομένους ἐνθυμήθητι, τί τό λεγόμενον σημεῖον, πῶς ὁ θεμέλιος καί ἀκρογωνιαῖος σκανδάλου πέτρα, πῶς ἡ τοῦ Χριστοῦ εὐωδία «οἷς μέν ὀσμή ζωῆς, οἷς δέ θανάτου εἰς θάνατον».

Δοκεῖ δέ μοι νομίζειν τινάς τοιοῦτον εἶναι τό νῦν κεκινημένον, οἷα τά ἀμφιλεγόμενα τοῖς παρακύπτουσιν παρακύπτειν δοκοῦσι πρός τά ἄδυτα τῆς κατά νοῦν ἡσυχίας. Ὕστερον δέ ποτε γνόντες ὡς ὑπέρ τοῦ στηριχθῆναι σαλευομένην τήν κοινήν ἁπάντων εὐσέβειαν ἐνέβαλον

αὐτός ἐμαυτόν εἰς τάς μέμψεις καί θλίψεις ταύτας, μή λογισάμενος τήν ψυχήν μου τιμίαν ἐμαυτῷ, πάντως εὐχαριστήσουσι καί ἀποδέξονται, κἄν μή νῦν πάντες, ἀλλ᾽ ἐν τῇ ἡμέρᾳ Κυρίου, καθ᾽ ἥν ἀποκαλυφθήσονται πάντα, καί τά τοιαῦτα μάλιστα. Γίνωσκε δέ, πλήν ὀλίγων, τούς ἄλλους μήπω καταλαβόντας τήν νῦν κεκινημένην περί τῆς εὐσεβείας ὑπόθεσιν. Κεκίνηται δέ οὐ παρ᾽ ἡμῶν, ἀλλά τοῦτο μᾶλλον ἡμᾶς κεκίνηκε καί κατέσχε πρός ἔνστασιν, τό πολλήν μέν ὁρᾷν, εἰ προχωρήσει, τήν ἀπό τῆς ὑποθέσεως ταύτης βλάβην. Τό γάρ μυστήριον ἅπαν ἀνατρέπει τῆς πίστεως, μηδέ τοῦ λωβᾶσθαι τῇ κατά Θεόν πολιτείᾳ τῶν ἀνθρώπων ἀποσχομένη, τῶν ἐπί λύμῃ παντός κεκινημένων ἐξ (σελ. 458) αἰῶνος αἱρέσεων ἀνακεφαλαίωσις οὖσα καί οἷον ἐπίλογος, ἐφευρημένος νῦν ἐν ταῖς ἐσχάταις ἡμέραις τοῦ ἐσχάτου αἰῶνος τῷ ἀρχηγῷ καί τελειωτῇ τῆς ἀπάτης, διά τήν πρό πᾶν ἀγαθόν τε καί ἀληθές ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἀντίθεσιν. οὕτω δέ λανθάνουσιν ἔχει τήν εἴσοδον, ὡς δυσφώρατον εἶναι τοῖς πλείοσι, διά τοῦτο καί δυσδιάφυκτον.

Τῷ ἐν ἱερομονάχοις ὁσιωτάτῳ καί προηγουμένῳ κῦρ Φιλοθέῳ μετάνοιαν ποιῶ, γράφων πρός αὐτόν, ὅτι φασίν οἱ πατέρες, «ἐκ ταπεινώσεως διάκρισις»˙ σύ δέ τά μέν τῆς ταπεινώσεως ἔδειξας, ἐν οἷς περί ἡμῶν ἔγραψας, δι᾽ ὧν καί σοφῶς ὑπέμνησας, ὁποίους εἶναι ἡμᾶς ἐχρῆν, τά δέ τῆς διακρίσεως οὐκ ἐπέδειξας˙ καί σεαυτόν γάρ προσοφείλων ἀποδοῦναι πρός συνεργίαν, τοῖς πρότερον μέν ὑπέρ τῆς ἐν Θεῷ ἀληθείας, νῦν δέ καί ὑπέρ τοῦ κοινοῦ γένους πάσχουσι, σύ δέ καί τούς συμπράττοντας καί συμπάσχοντας ἐπικεχείρηκας ἀποστῆσαι καί μεταστῆσαι πρός ἑαυτόν. Σαυτόν οὖν τούτου χάριν εὐθύνας, ποθεινότατε πάτερ, πρόσθες ταῖς ὑπέρ ἡμῶν εὐχαῖς.

Τῷ τιμιωτάτῳ ἐν ἱερομονάχοις καί μή κατά Πνεῦμα μόνον ἡμετέρων ἀδελφῷ κῦρ Μακαρίῳ, μετάνοιαν˙ καί εἰπέ πρός αὐτόν, ἐμποδισθείς καί πρό ὀλίγου, μή λυποῦ˙ οὔπω γάρ ἦν εὔκαιρος ἡ πρός ἡμᾶς ἐπιδημία.

Τοῖς ἐμοῖς κατά πάντα ἐν Χριστῷ, τῷ κῦρ Μάρκῳ τῷ Βλατῇ καί τῷ κῦρ Μωυσεῖ, μετάνοιαν˙ καί εἰπέ πρός τόν κῦρ Μάρκον, μή προφασίζου τά περιστοιχίζοντα καί ταῦτ᾽ ἐπί τοῦ ὄρους ὤν καί μετά Μωσέως, μᾶλλον δ᾽ ὅ καί θαυμασιώτερον καί τοῦ Μωσέως πράγων˙ ἀλλ᾽ ἑτοιμάζου σύμβολά μοι παρέξειν τῆς ἐπί τοῦ ἁγίου ὄρους διατριβῆς˙ ἐλπίζω γάρ σε ὄψεσθαι καί τόν μετά σοῦ Μωυσῆν, εἰ μηδέν ἄλλο, τάς γοῦν πλάκας τῆς καρδίας συντετριμμένας ἔχοντα, οὐκ ἀπό

τοῦ μή ἐνεγκεῖν (σελ. 460) ἐξυβρίσαντα δῆμον, ἀλλ᾽ ἀπό τοῦ μετά λόγου φέρειν τά ὡς εἰκός ἐκ τῆς πολυανθρώπους ταύτης συνοδίας ἐπαγόμενα τούτῳ σκώμματα. Πάντως ἀνέξεσθε καί δεσμίου ἐλευθεριάζοντος.

Πᾶσι τοῖς κατά Θεόν πατράσι καί ἀδελφοῖς μου, μετάνοιαν.

Εἴης μοι ὑγιαίνων καί ἀναβάσεις ἐπί τό κρεῖττον ἀεί διατιθέμενος ἐν καρδίᾳ χάριτι Χριστοῦ, καί τό κατά σαυτόν μετά πάντων εἰρηνεύων, μάλιστα δέ ἐν σεαυτῷ, ὅ καί ἡμῶν ὑπερευχόμενος μή διαλίπῃς.

### *ΠΡΟΣ*

### *ΤΟΝ ΙΔΙΟΝ ΑΔΕΛΦΟΝ*

### *ΤΟΝ ΤΙΜΙΩΤΑΤΟΝ ΙΕΡΟΜΟΝΑΧΟΝ ΚΥΡ ΜΑΚΑΡΙΟΝ (Σελ. 462)*

Οὔπω μοι δοκεῖτε καταλαβεῖν, ὅτι πῦρ καίεται καί κατισχύει φλόξ, οὐχ οἵα μετρίῳ φυσήματι σβεσθῆναι κατά τάς θρυαλλίδας, ἀλλά κἄν ἄνεμος ἐπιπνεύσῃ λάβρος, ἀρθῆναι μᾶλλον ἐπί τό μεῖζον. Ταύτην ἐντεῦθεν ὑποτυφομένην τήν ἀρχήν καί κατά παντός τοῦ γένους ὥσπερ ἔκ τινων αἰτναίων κρατήρων ἀναρρήγνυσθαι μέλλουσαν, τήν πυράν δηλαδή τῆς ἐμφυλίου στάσεως, ἐπέχειν ὡς εἶχον ἐπεχείρουν αὐτός παρών διά τήν τοῦ Θεοῦ ἐντολήν καί τήν ὀφειλομένην πρός τούς ὁμοφύλους ἀγάπην, καί τάχ᾽ ἄν ἤνυσα καί τό πᾶν ἤ τό πλεῖστον τῆς πανωλεθρίας ἐπέσχον, εἰ τούς συμπράττοντας εἶχον, ἀλλά μή σχεδόν πάντες, οἱ μέν, φεῦ, συνῆπτον τήν οὕτω πονηράν πυράν, οἱ δέ τούς συνάπτοντας ἐπῄνουν, οἱ δέ μετριώτερόν τι δοκοῦντες πράττειν ὁρῶντες ἡσυχίαν ἦγον, ἀναλγήτως ἔχοντες ἐπί τῇ συμφορᾷ καί κατά τό γεγραμμένον καί παρά τοῦ Θεοῦ διά τοῦ προφήτου πρός ὀνειδισμόν εἰρημένον, «μηδέν πάσχοντες ἐπί τῇ συντριβῇ τοῦ Ἰωσήφ». Οὐκ ἠγνόουν δέ ὡς ἑπταπλασίῳ κατ᾽ ἐμοῦ τήν κάμινον ἐκκαύσουσιν οἱ προστάται τῆς πυρᾶς, ἀλλ᾽ αὐτός ἔλεγον ἐπ᾽ ἐμαυτοῦ, δυνατός ἐστιν ὁ Θεός ἐξελέσθαι πάσης κακώσεως τούς ὑπεραλγοῦντας τῆς ἐκείνου κληρονομίας , καί πάντα λέγειν καί πράττειν ὑπέρ αὐτῆς αἱρουμένους, κἄν ἐξελέσθαι (σελ. 464) μή βούληται, κρίμασιν οἷς οἶδεν αὐτός, ἀλλ᾽ ἡμῖν συμπράττειν ἤ συναινεῖν παροῦσι ταῖς κοιναῖς

ἐπηρείαις ἀλυσιτελές καί ἐνώπιον Θεοῦ οὐκ ἀνεύθυνον. Διά ταῦτα περιχεθεῖσα περιέσχεν ἡ πυρά σχεδόν ἡμᾶς πρώτους. Ἀλλ᾽ ἴσθι μηδέ τῶν ἐπί τούς ἀβραμιαίους ἐν πυρί παῖδας ἀγεύστους ἡμᾶς θαυμάτων˙ ἵνα γάρ μικρόν ὑπαλλάξας εἴπω τό ψαλμικόν˙ «ὡσεί ἄνθρωπος ἀβοήθητος ὤν, ἐν καθειργμένοις ἐλεύθερός εἰμι». Τοῖς δέ καθειργνῦσι καί γειτονοῦσιν οὐ δῆλον˙ ἐκμῆναι γάρ ἄν αὐτούς μᾶλλον, ἀλλ᾽ οὐδέ κατά τούς Χαλδαίους δυσωπήσειε γνόντας.

Διό καί τά παρακλητικά πρός αὐτούς ὑπέρ ἡμῶν τῶν σεβασμίων γερόντων γράμματα μᾶλλον αὐτούς ἐπέπληξεν ἤ ἐπέστρεψε˙ πᾶς γάρ λόγος ὑπέρ ἡμῶν βέλος ἐστίν αὐτοῖς, ἐπ᾽ αὐτήν μέσην τήν αὐτῶν καρδίαν φερόμενον καί διερεθίζον μᾶλλον πρός ἄμυναν˙ ἡ γάρ πᾶσα τούτοις σπουδή, τό ὄνομα ἡμῶν ὡς πονηρόν ἐκβαλεῖν. Καί τούτου χάριν οὐδ᾽ αὐτῆς τῆς εὐσεβείας ἐφείσαντο καί τοῖς ἀντικειμενοις αὐτῇ, καίτοι πρῴην παρρησίᾳ καί συνοδικῶς ἐξεληλεγμένοις καί ἀφορισμῷ καθυποβεβλημένοις καί ἀποκεκηρυγμένοις καί ἀποκεκομμένοις ἐγγράφως παντός τοῦ χριστιανικοῦ πληρώματος, παρρησίας μετέδωκαν καί σύν παρρησίᾳ πάσῃ κηρύττειν τά τῆς ὑφ᾽ ἡμῶν ἀντιλεγομένης δυσσεβείας ἐπέτρεψαν, συνεπιμαρτυροῦντες αὐτοῖς πολυτρόπως τό ἀσφαλές, μόνον ἵν᾽ ἡμᾶς τοῖς πολλοῖς οὐκ ἀσφαλεῖς παραστήσωσιν.

Ἀλλά καί τούς ἐχθρούς αὐτῶν ὁρῶντες μετά τήν τοιαύτην καθ᾽ ἡμῶν φανερωτέραν ἐγχείρησιν ἰσχυροτέρους γεγενημένους ἤ πρότερον ἦσαν καί πληγαῖς ἐξαισίαις τυπτομένην ἄνωθεν τοῦ καθ᾽ ἡμᾶς οἰκουμένην (σελ. 466) καί τόν Θεόν τῆς κατ᾽ εὐσέβειαν ἀληθείας παροξυνόμενον, οὐχ ὑπέπτηξαν οὐδ᾽ ὑπεστάλησαν οὐδαμῶς. Ὅσον δ᾽ οὔπω καί τό πλήρωμα τῆς ὀργῆς ἥξειν ἀπειλεῖται, μᾶλλον ἐγγίζον ἤ πρότερον, οἱ δέ τάς αἰτίας τῆς ὀργῆς οὐ διαλείπουσιν αὔξοντες. Πῶς οὖν εἰσηγήσει γερόντων ἱερῶν πεισθήσεσθαι ἔμελλον;

Εὐχαριστῶ δ᾽ ὅμως τοῖς ἁγίοις μου πατράσι˙ τό γάρ ἑαυτῶν ἔπραξαν καί ταῦτα μηδέ ἡμῶν αἰτησάντων. Εὐχαριστῶ δέ μᾶλλον ὅτι σέ διά τούτων παραμυθησάμενοι τῆς πρός τά ἐνταῦθα ἀνέκοψαν ὁρμῆς, ἀνοήτου σχεδόν οὔσης˙ Θεοῦ γάρ μόνου θεραπεύσοντος δεῖται τά καθ᾽ ἡμᾶς, πρός ὅν ἐκτενῆ δέησιν ὑπέρ ἡμῶν αὐτούς ἀναπέμψαι δέομαι, καθάπερ καί τῆς σῆς ὁσιότητος.

Τήν ὀφειλομένην πᾶσιν ἀπονέμων μετάνοιαν.

*ΠΡΟΣ ΤΟΥΣ ΕΝ ΤΩ ΑΓΙΩ ΟΡΕΙ*

*ΣΕΒΑΣΜΙΩΤΑΤΟΥΣ ΓΕΡΟΝΤΑΣ (Σελ. 468)*

Ὑμεῖς μέ εὖ ποιοῦντες καί ὑμῖν αὐτοῖς πρεπωδέστατα τό γνήσιον τῆς ὑμετέρας πρός ἡμᾶς ἀγάπης διά τῶν ὑμετέρων ὑπέρ ἡμῶν ἐπεδείξατε γραμμάτων, ἐναργῶς καί τοῖς ἐνταῦθα παραστήσαντες, ὅτι ὁ Θεός ὄντως ἐν ὑμῖν ἐστιν˙ «ὁ γάρ μένων ἐν τῇ ἀγάπῃ ἐν τῷ Θεῷ μένει καί ὁ Θεός ἐν αὐτῷ». Καί καθάπερ μύρου προκείμενον πλῆρες σκεῦος οὐκ ἄν λάθοι τούς ἀκραιφνεστάτην κεκτημένους τήν ὄσφρησιν, γνωστόν δέ γίνεται πᾶσι καί τοῖς ἀμβλυτέροις τήν αἴσθησιν ἐν τῇ μεταδόσει πρός τά ἔξω χεόμενον, οὕτω καί ὁ τόν Θεόν ἐν ἑαυτῷ φέρων διά τῶν τῆς ἀγάπης ἔργων τοῖς πᾶσι καθίσταται γνώριμος. Καί τοῦτο δηλῶν ὁ Κύριος πρός τούς οἰκείους ἔλεγεν˙ «ἐν τούτῳ γνώσονται πάντες ὅτι ἐμοί μαθηταί ἐστε, ἐάν ἀγάπην ἔχητε ἐν ἀλλήλοις». Οὕτω τό χρήσιμον τῆς κατά Χριστόν ἀγάπης οὐ τούς εὖ πάσχοντας ὀνίνησι μόνον, ἀλλά καί πρός τούς εὖ ποιοῦντας ἐπανακάμπτον τό λυσιτελές ἐπιδείκνυσιν. Εἰ δέ καί μηδέν ἤνυσεν ὑπέρ ἡμῶν τά πρός τούς ἐπηρεάζοντας ἡμᾶς ἐπεσταλμένα παρά τῆς ὑμετέρας ἀγάπης, ἀλλ᾽ ἡμᾶς οὐ μετρίως παρεμυθήσατο, τούς ἐν ἁγίῳ κατοικοῦντας ἁγίους συμπαθοῦντας καί συμπάσχοντας ἐγνωκότας ἡμῖν. Τοῦτο μέν γάρ ὑμέτερον καί τῆς ἡμῖν ἐνδιαιτωμένης ἀγάπης ἔργον, ἐκεῖνο δέ τῶν ἐμῶν ὑπῆρξε (σελ. 470) πλημμελημάτων, ἅ δεῖται μικροτέρων, ὡς ἔοικε, καί πλειόνων ἐπιφορῶν, τάχα δέ καί τῆς τῶν ἐκεῖνα τά γράμματα δεξαμένων σκληρότητος, περί ὧν ἀκούσεσθε καιροῦ διδόντος.

Νῦν δ᾽ ὅ τοῖς πᾶσιν ἔσται κατάδηλον, οὐ μόνον ἀμείλικτοι πρός τάς παρ᾽ ὑμῶν παρακλήσεις διέμειναν, ἀλλά καί συκοφαντικοῖς αὐτάς, ὡς ἔμαθον, ἀμείβονται γράμμασι καί τοσαύτης δυστροπίας γέμουσιν, ὡς καί αὐτούς τούς αὐτά πέμψαντας, μᾶλλον δέ τόν πάντων τῶν τοιούτων ἔξαρχον, ὅς νῦν ὡς βούλεται καί τά βασίλεια στρέφει, κρυφῇ μέν ὅση δύναμις αὐτά συνθεῖναι, κρυφῇ δέ πρός ὑμᾶς διεκπέμψαι τήν ἀπό τῶν ἐνταῦθα τἀληθές εἰδότων κατάγνωσιν ὑφορώμενον. Τί γάρ ἕτερον δέος ἤ πόθεν τῷ πάντων ἀρτίως ἐπειλημμένῳ δυναστείας; Ἐγώ δέ κατά τόν ψαλμῳδόν, «ἐγενόμην ἄν ὡσεί ἄνθρωπος οὐκ ἀκούων καί οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς», εἰ μή καί περί εὐσεβείας ὁ λόγος ἦν. Ἐπεί δέ ταύτην

ἐνόμισαν εὐπρόσωπον οὗτοι πρόφασιν, ὡς αὐτοῖς καί τοῦτο δοκεῖ, συγκαλύψαι δυναμένην «ὅτι ἐμίσησαν ἐμέ καί τούς κατ᾽ ἐμέ δωρεάν», ἀναγκαῖον, εἰ καί μή πρότερον, ἀλλά νῦν μ ετρίως γοῦν τοὶς ἐμοῖς πατράσι καταστῆσαι τά τῆς ὑποθέσεως γνώριμα, πρός τό γεγραμμένα παρά τούτων ἀπολογούμενον. Γεγράφασι γοῦν, ὡς ἔμαθον, ἵνα τό πᾶν ἐκείνων εἴπω συνελών, κακούς ἡμᾶς ἐνταῦθα καί τῇ ἐκκλησίᾳ καί τῇ βασιλείᾳ, φανῆναι. Τό δ᾽ ἔγκλημα τοῦ Ναβουθαί τί; Ὅτι ἠλόγησε Θεοῦ καί βασιλέως. Ὁρᾶτε τήν ὁμοιότητα τῶν ἐγκλημάτων; Εἰ δέ μή καί ἡμεῖς παραπλησίως ἐκείνῳ συκοφαντούμεθα νῦν, πῶς πρό τῆς ἐμφυλίου στάσεως καί συγχύσεως καί παρά (σελ. 472) τῆς ἐκκλησίας καί παρά τῆς βασιλείας πολλή τις ἡμῖν ὑπῆρχε φιλοφροσύνη καί σχεδόν ἑκάστης ἡμέρας εὐκλεεῖς ἀναρρήσεις καί τόμοι συνεγράφοντο καί τοῖς πόρρω συστατικά γράμματα διεπέμπετο, πολλῶν γέμοντα τῶν ἡμετέρων ἐπαίνων; Πῶς δέ καί τῶν ἐκκλησιῶν τάς μείζους, εἴπερ βουλομένοις ἡμῖν ὑπῆρχεν, ἐπίστευον ὡς ἀντιστᾶσι γενναίως καί κεκρατηκόσι τελέως τῶν οὐχ ἅπαξ, ἀλλά καί δίς ἐπαναστάντων τῇ τοῦ Θεοῦ ἐκκλησίᾳ καί λόγοις κιβδήλοις ἐπικεχειρηκότων οὐ μικράν λύμην τοῖς δόγμασι τῆς εὐσεβείας ἐπενεγκεῖν; Πῶς δέ καί βουλομένους ἡμᾶς ἀπαίρειν τῆς Κωνσταντίνου μετά τήν ἧτταν ἐκείνων εὐθύς αὐτοί κατέσχον ἐπί πολλά δεηθέντες, ἅτε κοινόν ὄντας ὄφελος, ὡς αὐτοί τότε δισχυρίζοντο κοινῇ πάντες;

Ἀλλά τῆς στάσεως, ὡς μή ὤφελε, κινηθείσης, τι ποιεῖν ἡμᾶς ἔδει; Συνεξορμᾶν κατ᾽ ἀλλήλων τούς ὁμοφύλους ἤ παραινεῖν ἐπιγινώσκειν ὡς ἀλλήλων μέλη καί μή χρῆσθαι τοῖς ὁμογενέσιν ὡς ἀλλοφύλοις; Ἐν τῷ ἀγαθῷ τό κακόν ἰᾶσθαι τοῖς παρ᾽ ἡμῶν αἰτοῦσι συμβουλήν εἰσηγεῖσθαι καί νικᾶν ἐν τούτῳ τούς ἀντιταττομένους κατά τήν τοῦ Κυρίου φωνήν ἤ τοῖς κακοῖς ἀντεπάγειν τά χείρω καί μάχῃ μάχην ἐκκρούειν ἐπιχειρεῖν, ἀλλ᾽ οὐ διά τῆς εἰρήνης τάς ἔχθρας διδάσκειν λύειν, καί ταῦθ᾽ ἡμᾶς τούς τῆς εἰρήνης εἶναι διακόνους κεκληρωμένους; «Ναί, φησίν ὁ νῦν προστάτης, ὡς ἐχθρῷ δεῖ καί σέ χρῆσθαι τῷ δόξαντι νῦν ἡμῖν πολεμίῳ καί πάντα λέγειν καί πράττειν, δι᾽ ὧν ὁ πρός ἐκεῖνον ἀναρριπίζεται πόλεμος». Ἀλλ᾽ ἐμέ τό εὐαγγέλιον ἀγαπᾶν κελεύει καί τούς ἐχθρούς καί «τά ἔθνη πραΰνον» πρός Θεόν ἑκάστης ἡμέρας ἐδιδάχθην λέγειν εὐχόμενος, πόσῳ μᾶλλον Χριστιανούς, καί τήν ἄνωθεν εἰρήνην ἐπικαλεῖσθαι καί πρεσβεύειν ὑπέρ τῶν ἁπάντων εἰρήνης. (σελ. 474) Πῶς οὖν ὦ

εὐχόμεθα πᾶν τοὐναντίον εἰσηγησόμεθα τούτοις, ὑπέρ ὧν εὐχόμεθα; Καί μήν, εἰ μέν πεφώραμαι πρός ἐκεῖνον ἤ γράψας ἤ μηνύσας ἤ παρ᾽ ἐκείνου τι τοιοῦτον δεξάμενος, εἰ συνεργός ὤφθην τῶν πρός ἐκεῖνον ἀποδιδρασκόντων τινί ποτε, εἰ κοινωνός τῶν ὑπέρ ἐκείνου τι πραττόντων ἐνταῦθα (πλεῖστοι δέ εἰσιν ἑαλωκότες καί πως ἄν εἴποι τις ἀνηλεῶς ἐτασθέντες καί τούς συμφωνοῦντας καί συμπράττοντας ἐξειπόντες) εἴ τινι τοίνυν τούτων κατά τι καί τό βραχύτατον ἐφάνην ἐγώ συμπράττων, καί αὐτός ἐμαυτοῦ καταψηφιοῦμαι˙ δίκαιον γάρ. Εἰ δ᾽ ὅτι τήν ἀρχήν ἐνταῦθα παρατυχών καί τοῖς εἶναί τι δοκοῦσιν ἐναρίθμιος παρά τοῖς ἀρτίως ἐξουθενεῖν ᾑρημένοις ὤν, ἔστιν ὅτε συγκαλούμενός τε καί ἐρωτώμενος, εἶπον ὅ μοι ἐδόκει κοινωφελές, καίτοι μηδέν ἕτερον, πλήν τῶν εἰς εἰρήνην φερόντων καί τῶν εἰς ἅ πρότερον ἐκεῖνος εἶχεν ἐπαναγόντων, παρά τοῦτο κακός ἐγώ τῇ ἐκκλησίᾳ καί τῇ βασιλείᾳ, καί ταῦθ᾽ ὑπομνήσας μόνον, ἀλλ᾽ οὐκ ἀναγκάσας, τοῦτο γάρ οὐκ ἐμόν;

Ἀλλ᾽ ὡς εἶδον, ὦ θεσπέσιοί μι πατέρες καί φίλοι καί ἀδελφοί καί πᾶν ὅ,τι ποθεινόν τε καί τίμιον, τάς τε μαχαίρας ἑκατέρωθεν θηγομένας τῶν ἀνθεστηκότων μερῶν καί τούς θυμούς ἀκαθέκτους καί μηδέν ἕτερον ἀπειλοῦντας ἤ σφαγάς ἀνθρώπων καί κόσμου παντελῆ φθοράν, ἥν καί τοῦ τέλους ἐκ τῆς ἀρχῆς καταστοχαζόμενος αὐτοῖς προὔλεγον ἐγώ τηνικαῦτα, καθάπερ ἐκβᾶσα νῦν ἐπ᾽ αὐτῶν ὁρᾶται τῶν πραγμάτων τοῖς πᾶσιν˙ ὡς οὖν ταῦτ᾽ εἶδον, οὐκέτι μοι τόπος ἐνταῦθα πρός ἐμαυτόν εἰπών, ἀπανίσταμαι τῆς πόλεως καί πρός τήν ἀντιπέραν μονήν, τήν εἰς ὄνομα τῶν οὐρανίων ἀρχιστρατήγων τιμωμένην, παραγενόμενος, ἐμαυτόν καί τό νῦν γένος ἐκαθήμην πενθῶν. Ὁ δέ κοινός πρόεδρος ἔλεγεν, (σελ. 476) ὡς ἐμάνθανον, τοῖς βασιλεῦσιν, ὡς ἐμοί μᾶλλον πείθονταί τινες ἤ αὐτῷ, κἀντεῦθεν ἀφηνιάζουσιν, ὅποι τούτους ἄγειν ἐθέλει ῥᾳδίως μή μεθελκόμενοι˙ καί προσετίθει πολλά τῶν εἰς ὀργήν πεφυκότων βασιλέας κινεῖν. Ἀλλά καί τῷ Ἀκινδύνῳ καί τοῖς ἄλλοις Βαρλααμίταις μεταδίδωσι παρρήσιας καί καθ᾽ ἡμῶν ἐπιτρέπει θορυβεῖν ὅση δύναμις, ὡς καί προσχήματα συνόδων πλάττεσθαι καθ᾽ ἡμῶν ἀπόντων, οὐδ᾽ ἐκεῖνο βουλόμενος ἐπί νοῦν, ὡς οἱ αὐτοί τά αὐτά κατά τοῦ αὐτοῦ πάλιν λέγοντες, ὑφ᾽ οὗ καί ἐφ᾽ οἷς πρῴην παρρησίᾳ κατεδικάσθησαν ἀναιδείας μᾶλλον παρά τῶν εἰδότων ἀποίσονται δόξαν καί τῷ τρεψαμένῳ τήν ἀδοξίαν, ἀλλ᾽ οὐχί τῷ κατηγορουμένῳ, προσάψουσι φέροντες. Ἀλλ᾽ ἐγώ μαθών αὖθις ταῦτα, πάλιν πρός

ἐμαυτόν εἰπών, “οὐ νῦν ἐμοί καιρός λόγων, ἀλλ᾽ ούδέ σιγῶντα καθῆσθαι πλησίον χρή, δεῖ δέ πᾶσαν ἐκκόπτειν ἀφορμήν τῶν ζητούτων ἀφορμήν”, καί τῆς μονῆς ἐκείνης ἀναχωρῶ καί μακράν που διῆγον, μηδενί γινωσκόμενος˙ εἶτα πυθόμενος ἐν Ἡρακλείᾳ τόπον εἶναι πρός μετρίαν ἐπιτήδειον ἡσυχίαν, ἐκεῖσε δέ παραγίνομαι.

Μηνῶν δέ παρελθόντων ὡσεί τεσσάρων, γνούς οὐκ οἶδ᾽ ὅθεν ὁ καί πατριάρχης καί πολιτάρχης, ἐκπέμπει τούς ἡμᾶς ἄξοντας καί τά καθ᾽ ἡμᾶς ἐρευνήσοντας. Ὁρῶμεν ἐξαίφνης τόν ἐπί τῶν ἀναμνήσεων ἐφ᾽ ἡμᾶς ἀφιγμένον καί τό κελλύδριον καί τό ψιάθιον ἐρευνώμενον. Ἐρωτῶμεν˙ “τί τό ζητούμενον”; Ὁ δέ, “τά πρός σέ”, φησί, “τοῦ Καντακουζηνοῦ γράμματα”. Πρός αὐτόν δ᾽ ἐγώ πάλιν˙ “καί τίνα νομίζετε κομιούμενον ἐκεῖνον τήν ὠφέλειαν παρ᾽ ἐμοῦ, μόνου καί μόνον κεκτημένον τουτί τό ψιάθιον, περί πολλοῦ ποιεῖσθαι πρός ἐμέ γράφειν”; Ταῦτ᾽ ἀκούων, ὡς μηδ᾽ εὗρεν, ὧν ἐζήτει μηδέν, πραότερον εἶπεν˙ “οἶδα κἀγώ τήν ἁγιωσύνην σου, ἀλλά (σελ. 478) δεσποτικόν πληροῦμεν ἐπίταγμα”. Καί τά προστάγματα ἐξενεγκών ὑπεδείκνυ. Καί τόν εἰς κεφαλήν τῆς Ἡρακλείας συγκαλεσάμενος, ἐξέτασιν ἐποιήσαντο, τίνι τῶν ἁπάντων εἰς ὁμιλίαν συνῆλθον. Καί οὐδείς οὐδαμῶς ἐφάνη˙ καί γάρ οὐδ᾽ ἐγίνωσκον οὐδ᾽ αὐτός ὁ εἰς κεφαλήν τῆς πόλεως ὤν, ὅτι διατρίβων ἐκεῖ τυγχάνω. Γράφουσι τοῦτο μετά μαρτύρων καί ἀσφαλείας, ὡς «πλήν τοῦ πρός ὑπηρεσίαν συνόντος οὐδενί τῶν ἁπάντων ὑπῆρξεν οὗτος ὡμιληκώς, ἐπί τέσσαρας μῆνας ὧδε διάγων». Εἶτα κἀμέ μεθ᾽ ἑαυτῶν λαβόντες ἐπί τήν Κωνσταντινούπολιν ἥκομεν. Ὡς δέ τά βασίλεια κατελάβομεν, εἴσεισι μόνος ὁ ἐπί τῶν ἀναμνήσεων καί ἀναφέρει τῇ δεσποίνῃ τά καθ᾽ ἡμᾶς, καί τήν ἔγγραφον ἔρευναν ἀναγινώσκει τοῦ τε πατριάρχου καί τῶν ἀρχόντων παρόντων. Οἱ μέν οὖν ἄρχοντες, ὡς ἀκριβῶς ἐμάθομεν, εἶπον, “ἐπειδήπερ ἀναίτιός ἐστιν, ἐλεύθερος ἔστω”˙ ὁ δέ πατριάρχης καί πρός τόν ἐκείνων ἐδυσχέρανε λόγον. Ἐξελθόντων δέ καί ἀπελθόντων ἐκείνων ἡμεῖς ἦμεν ἐν τῷ παλατίῳ μέχρις οὗ κατά τήν τοῦ πατριάρχου βούλησιν παρεδόθημεν στρατιώταις καί εἰς μοναστήριον ἤχθημεν˙ καί συνῆσαν οὗτοι τηροῦντες ἡμᾶς ἐκεῖ. Μεθ᾽ ἡμέρας οὖν ἔγραψα τῷ μεγάλῳ δουκί˙ «τί κακόν ὑμῖν δράσαντας εὑρόντες ἡμᾶς τοῖς στρατιώταις φυλάττειν παραδεδώκατε; Τί κωλύσουσι τῶν πρότερον παρ᾽ ἡμῶν τελουμένων»; Μαθών ἐκεῖνος ἐκβάλλει τούς στρατίωτας ἐκεῖθεν. Τοῦτ᾽ ἀκούσας μετ᾽ οὐ πολύ πάλιν ὁ πατριάρχης, πέμπει καί λαβών ἡμᾶς ἐκ τῆς μονῆς ἐκείνης ἐν ἑτέρᾳ

μᾶλλον αὐτῷ προσκειμένη περιορίζει, παραγγείλας μήθ᾽ ἡμᾶς ἐξιέναι τῆς κέλλης ἐξεῖναι μήτε τινί συγχωρεῖν τῶν ἁπάντων πρός ἡμᾶς εἰσιέναι.

Καί μετά τοῦτο κοινωνεῖ καί συνάπτει ἑαυτόν Ἀκινδύνῳ τε καί τοῖς ἄλλοις τοῦ ἐκ Καλαβρίας Βαρλαάμ φοιτηταῖς, οὕς ἡ μεγίστη σύνοδος ἐκείνη, μᾶλλον δέ αἱ (σελ. 480) σύνοδοι, κακῶς φρονοῦντας ἐλέγξασαι τῆς ἐκκλησίας ἐξέβαλον, ἀφορισμοῖς εἰ μή μεταμεληθεῖεν ὑποβαλοῦσαι φρικωδεστάτοις αὐτούς ἐγγράφως καί παντός τοῦ χριστιανικοῦ πληρώματος τελέως ἐκκόψασαι. Τοῖς τοιούτοις οὖν μή μεταμεληθεῖσι συνελθών εἰς ἕν οὗτος λέγει τε καί πράττει καθ᾽ ἡμῶν καί τῆς ἡμῶν εὐσεβείας, ὅσα μηδέ λέγειν ἔξεστι νῦν. Ἀλλά καταπεῖσαι μή δυνάμενος τούς νοῦν ἔχοντας τῶν ἀνθρώπων, ἔτι μᾶλλον ὁσημέραι διά τοῦτο θυμοῦται καί ἡμῶν ὡς θορυβούντων καί ταραττόντων καί κοινά λεγόντων καταβοᾷ, τῶν ἐξ ὅτου τά τῆς πολιτείας συγκέχυται, τήν ἀρχήν μέν πεφευγότων ἑκόντων μικροῦ πᾶσαν παντός ἀνθρώπου καί θέαν καί ὁμιλίαν, ὕστερον δ᾽ ὑπ᾽ αὐτοῦ περικεκλεισμένων ἀκρίτως ἐπί δυσίν ὅλοις ἐνιαυτοῖς ἤδη. Πόσοι δέ ποσάκις πρός αὐτόν εἶπόν τε καί γεγράφασιν, “εἰ μή τάς μεγίστας ἐκείνας συνόδους στέργεις, γενέσθω πάλιν ἑτέρα μόνον ἐκ τῶν ἱκανῶν τά τοιαῦτα συνορᾶν”. Ὁ δέ καί ἐκείνας φησί στέργειν καί τόν ἐπ᾽ ἐκείναις γεγραμμένον τόμον ἀθετεῖν μή δύνασθαι, καί δι᾽ἔργων καί λόγων ἀκυροῖ τά παρ᾽ ἐκείνων ἐγγράφως κεκυρωμένα καί πρό τῶν συνόδων ἐκείνων ἐν τῷ Ἁγιορειτικῷ Τόμῳ διειλημμένα μηδέν ἧττον, καί πρό τούτου πάλιν ἐν αὐτοῖς τοῖς θεοπαραδότοις λογίοις, κἀν τοῖς ἱεροῖς τῶν θεοφόρων πατέρων συγγράμμασι. Τούτων οὖν ἁπάντων οὐκ οἶδ᾽ ὅπως οὗτος ἀλογήσας ἀρτίως, εἰς τήν ἐκκλησίαν αὖθις εἰσήγαγεν, ἅ ταῖς προϋπηργμένοις ἀπηγόρευται συνόδοις, ἵνα μή μόνον ἡ πολιτεία, φεῦ, ἀλλά καί ἡ ἐκκλησία τοῦ Θεοῦ στασιάζῃ τε καί ταράττηται˙ κἄν τις ἐπί τῷ παγκοσμίῳ καί πολλαπλῷ τούτῳ κλύδωνι φωραθῇ δυσφορῶν, οὗτος εὐθύς ὁ τῇ ἐκκλησίᾳ καί τῇ βασιλείᾳ παντάπασιν ἀπειθής, κἄν εἰ τῶν ἀρχιερέων εἶεν οἱ θρόνων (σελ. 482) ὕψει καί περιουσίᾳ σοφίας καί ἀρετῆς διαφέροντες, κἄν τῶν ἄλλως εὐλαβῶν.

Μακρόν ἄν εἴη τά ἑξῆς διηγεῖσθαι καί τά μετ᾽ ἐκεῖνα πάλιν, ὅπως τε προσπεφευγέναι τῇ ἐκκλησίᾳ πλεῖν ἤ ἕξ καί δέκα μοναχῶν τούς ἐκκρίτους ἐβιάσατο ταῖς ἀπειλαῖς, οἷς δικαιότατον εἶναι κρίνας καί αὐτός συνδιῆγον ἐφ᾽ ὅλοις δυσί μησί, καί μεθ᾽ οἵων αὖ δόλων καί

τίνας προτείνας τάς ὑποσχέσεις καί τοῦ ταύτῃ προσεδρεύειν ἀφεῖσθαι πείσας, εἶτα μηδέ τούς ἰδίᾳ τῇ ἐκκλησίᾳ ταύτῃ κειμένους αἰδεσθείς νόμους, ὑφαρπάσας ἡμᾶς ἐκεῖθεν δημοσίᾳ φυλακῇ παραδίδωσι. Καί ἅ γάρ διῆλθον, συντεμών διῆλθον ὁπόση δύναμις, εὐλαβοῦμαι γάρ ταῖς ἱεραῖς ὑμῶν ἀκοαῖς πολλά τοιαῦτα ἐπαντλεῖν˙ πλήν εἴ τις ἀνέγνω τά πάλαι συμβαίνοντα παρά τῶν ἀντιταττομένων τοῖς ὑπέρ εὐσεβείας ἐνισταμένοις, τούτων νῦν ἐπί τῶν ἔργων ὁράτω τά ὁμοιώματα. Τοῦτο δή σχεδόν λεῖπον ἤδη τετέλεσται παρά τῶν ἐπηρεαζόντων ἀρτίως, τό καί βασιλέας πείθειν καθ᾽ ἡμῶν γράφειν, ἵνα φοβήσαντες τούς ἀνθρώπους ἐντεῦθεν τῆς ἀληθείας καί ἡμῶν ἀποστήσωσιν.

Εἰ τοίνυν τό στέργειν μέν τά συνοδικῶς ἀναπεφηνότα πρῴην εὖ ἔχειν κατά τοῖς ἁγίοις ἡμῶν ἀνωμολογημένα πατράσι πᾶσι, τῶν δέ κινούντων αὖθις καί θορυβούντων ἀκαίρως ἐθέλειν ἀναχωρεῖν, συγχύσεώς τε τά κοινά κατεχούσης, ἀγαπᾶν τε καί συμβουλεύειν εἰρήνην τοῖς ὁμοφύλοις καί διά ταῦτα πάσχειν κακῶς, εἰ ταῦτ᾽ ἐστί τό εἶναι τῇ ἐκκλησίᾳ καί τῇ βασιλείᾳ κακόν, ὑμεῖς κρίνατε καί ἡμῖν ὑπερεύξασθε προθυμίαν φέρειν τάς ὑπέρ τῆς εὐσεβείας μάλιστα νυνί δυσχερείας˙ οὐ γάρ μικρόν τῶν ἄνωθεν ἡμῖν ἐπ᾽ εὐσεβείᾳ (σελ. 484) παραδεδομένων τό ἀθετούμενον. Εἰ δέ τινι τό λέγεσθαι ταῦτα δοκεῖ βαρύ, τό πράττεσθαι παρ᾽ ἐκείνου πόσῳ βαρύτερον; Ἡμῖν δ᾽ ἀρτίως ἅτε μή τά τοιαῦτα συμπράττουσι πάσχουσιν εἴ τις καί συμπάσχειν ὅπως ἄν οἷός τε ᾖ δικαιοῖ τε καί προθυμεῖται, μεμνήσθω τοῦ παθόντος ὑπέρ ἡμῶν καί τούς συμπάσχοντας συνδοξάσοντος καί εἰς ἑαυτόν ἀναφέροντος τά πρός ἀλλήλους ἡμῖν καί μάλιστα πρός τούς ἐλαχίστους πραττόμενα καί προσδοκάτω τήν ἐκεῖθεν ἀντιμισθίαν.

### *ΤΩι*

### *ΟΣΙΩΤΑΩι ΕΝ ΙΕΡΟΜΟΝΑΧΟΙΣ ΚΑΙ ΕΜΟΙ*

### *ΕΝ ΚΥΡΙΩι ΦΙΛΤΑΤΩι ΚΑΙ ΑΔΕΛΦΩι ΚΑΙ ΠΑΤΡΙ*

### *ΚΑΙ ΔΕΣΠΟΗι ΤΩι ΟΝΤΩΣ ΦΙΛΟΘΕΩι (Σελ. 486)*

Ὧ ἐδόθη πολύ, πολύ καί ἀπαιτήσουσιν αὐτόν τόν κατά τόν τοῦ Κυρίου λόγον˙ τῇ δέ σῇ ὁσιότητι διά πάντων δέδοται πολύ, εὐφυΐᾳ τε καί λόγων παιδείᾳ καί ἠθῶν κεκοσμημένῳ χρηστότητι καί πρός

τούτοις τῇ ὑπερκοσμίῳ κατά μοναχούς πολιτείᾳ καί τῇ κατά τό ὑπερκόσμιον ταὐτό δ᾽ εἰπεῖν, Ἅγιον Ὄρος, ἐπί τοσούτῳ καί οὕτω νουνεχεστάτῃ διατριβῇ καί μετά τοσαύτης ἐπιμελείας τε καί ἀκριβείας, ὡς καί ἄρχειν τῶν κατά Θεόν ζώντων ἀξιώτατόν τε κεκρίσθαι χάριτι Χριστοῦ παρά τῶν ἐν τῷ ὄρει τῆς ἁγιωσύνης ἐνδιαιτωμένων ἐκρίτων˙ ἀλλά καί τήν ἐπ᾽ εὐσεβείᾳ λύμην τῆς βαρλααμίτιδος πλάνης τῶν αὐτοῦ πάντων μᾶλλον ὡς ἐγῷμαι συνῆκας τοῖς τε ἡμετέροις συγγράμμασιν ἐντυχών καί πρό τούτουν τάς ἱεράς Γραφάς εἴπερ τις μεθ᾽ ἱερᾶς ἐπιστήμης ἐκμελετήσας. Δικαίως οὖν αὐτή τε ἡ τῆς εὐσεβείας ἀλήθεια καί ἡμεῖς οἱ ταύτης ἀρτίως προκινδυνεύοντες καταγωνίζεσθαι τῆς πλάνης ταύτης τῶν αὐτοῦ μᾶλλον ἄλλων ἀπαιτήσομέν σου τήν διά πάντων τελείαν σύνεσιν, ὡς μηδ᾽ ἡμᾶς δοκεῖν ἀπεῖναι τοῦ θείου ὄρους τό γε πρός ταύην ἧκον τήν χρείαν σοῦ γε παρόντος.

Ἴσθι δή νοῦν, φερωνύμως θεοφιλέστατε καί (σελ. 488) καί φιλόθεε πάτερ, ὡς ὁ νῦν μηχανῇ πάσῃ τῆς βαρλααμίτιδος πλάνης προεστηκώς, ἀφορμῆς λαβόμενος τοῦ γράψαι τούς ἁγίου ἡμῶν πατέρας ὑπέρ ἡμῶν, συσκευάσας οἷον ἐπ᾽ ἀγκίστρῳ δέλεαρ, ἱκανόν κλέψαι τούς μή πάνυ προσέχοντας, ἀφῆκεν ὥσπερ διά τινος ὁρμιᾶς ἐντεῦθεν αὐτόσε, καθάπερ ἠκούσαμεν. Τό δέ ἐστι πιθανόν ψεῦδος ἐπ᾽ ὀλέθρῳ τῶν πειθομένων, δι᾽ οὗ καί τήν ἀρχήν ὁ ἀρχέκακος ὄφις ἀπό τῆς ζωῆς, φεῦ, ἡμᾶς πρός θάνατον εἵλκυσεν. Ἐνταῦθα δή τοῦ κατά τῆς ἀληθείας ἐξηρτυμένου τούτου δελέατος δεῖν ἔγνωμεν ἔστιν ἅ τούτου δῆλα καταστῆσαι τῇ σῇ σοφίᾳ. Πάσχω δέ τι τοιοῦτον ἔγωγε˙ πίστευσον ἱερώτατε πάτερ, ἀνεράστως ἔχω διαφερόντως, φαίην δ᾽ ἄν ὅτι μικροῦ καί παντάπασιν ἀφυῶς, διηγούμενος λέγειν ἤ ἀντιλέγειν συκοφαντίαις, καίτοι πρός τούς ἀντιλέγοντας τῇ ἀληθείᾳ τοῦ θείου δόγματος οὐ πάνυ τόν αὐτόν ἔχων τρόπον. Ἀλλά τί πάθω; Ἀναγκαῖον καί πρός τό νῦν ἐπελθόν, τό ἐπελθόν γοῦν εὐχερῶς εἰπεῖν.

Ἐπανέστησάν ποτε τῇ Χελκίου Σωσάννῃ πρεσβύτεροι συκοφάνται, πεπελαιωμένοι κατά τό περί αὐτῶν γεγραμμένον ἡμερῶν κακῶν, τό σφῶν μύσος καί τόν ἀκόλαστον τρόπον τῆς σώφρονος ἐκείνης καταψευδόμενοι˙ καί ἐξήγειρε ὁ Θεός κατ᾽ αὐτῶν τό Πνεῦμα τό ἅγιον παιδαρίου νεωτέρου, ᾧ ὄνομα Δανιήλ. Ἐπανέστησαν νῦν ἐμοί συκοφάνται νεώτεροι μή τήν ἡλικίαν μόνον, ἀλλά καί τήν δυσσέβειαν, μᾶλλον δέ τήν ἀσέβειαν, ἀθεΐαν γάρ καί πολυθεΐαν εἰς τήν ἐκκλησίαν εἰσάγουσι καί τήν ἑαυτῶν τοιαύτην

καινοτομίαν ἀναιδῶς ἐμοῦ καταψεύδονται, καί ἐξήγειρεν ὁ Θεός κατ᾽ αὐτῶν τό (σελ. 490) Πνεῦμα τό ἅγιον γηραιῶν ἁγίων, ἀρετῇ τε καί πολιᾷ τετελειωμένων, ἵν᾽ ὥσπερ ἐκεῖ καί διά τοῦ ἐντικειμένου δηλονότι τῆς τοῦ Δανιήλ ἡλικίας ἡ ἀντικειμένη κακία τῶν πονηρῶν γερόντων ἠλέγχετο, οὕτω καί νῦν διά τοῦ ἀντικειμένου τῆς τῶν ἱερωτάτων ἡλικίας γερόντων, οἵ πλήρεις εἰσίν ἡμερῶν τε καί θείου Πνεύματος, τό δυσσεβές τῶν ἡμῖν ἐπεμβαινόντων ἐξελήγχηται νεωτέρων. Ἅ γάρ καί νῦν ἀντεγράφη πρός τά τοῖς ἱεροῖς γέρουσιν ὑπέρ ἡμῶν γεγραμμένα πρῴην, τοῖς τοιούτοις νεωτέροις ἐνταῦθα κρυφίως συνελθών ὁ πέμπων, αὐτοῖς ἐπέτρεψε καί πλάσαι τό δρᾶμα καί συνθεῖναι τό γράμμα. Σέ τοίνυν οἶμαι σπουδῇ λύειν τάς αὐτόθι ῥηθησομένας ἄν ἔστι πρ᾽ ὧν ἐνστάσεις. Ἄν γάρ τις φῇ, “καί μήν ἔστι τις καί γηραιός ἐν τοῖς κατά τοῦ ἱερομονάχου γράφουσι Γρηγορίου”, φαίης ἄν αὐτός πρός αὐτόν ἑτοίμως καί τοῖς κατά Σωσάννης τηνικαῦτα λέγουσι γηραιοῖς πολλούς ἄν ἴδοις συμφνωήσαντας νέους˙ ἐπίστευσεν γάρ, φησίν, ἡ συναγωγή καί κατέκριναν τήν Σωσάνναν ἀποθανεῖν˙ ἐν δέ τῇ συναγωγῇ καί νέοι παρῆσαν πάντως, ἀλλ᾽ ὥσπερ ἐκεῖ τῆς τῶν νέων ἀπάτης οἱ γέροντες ἔξαρχοι, τόν αὐτόν νυνί τρόπον, κἄν τις συναινῇ γέρων, ἀλλ᾽ οἱ νεώτεροι τῆς ψευδοῦς κατηγορίας ἐξάρχουσι.

Τοῖς δ᾽ ὑπέρ ἡμῶν κεκινημένοις πατράσι, πολιοῖς ὡς ἀληθῶς διατελοῦσι καί τήν ἀρετήν καί τῇ κατά Χριστόν ἡλικίᾳ προήκουσιν, ἐρεῖν, οἶμαι, δοκιμάσεις πάλιν αὐτός, ὡς «τελείαν ὑμῶν καί τήν πρᾶξιν ταύτην δεῖ γενέσθαι, θειότατοι, καί γάρ οὐδέν ὑμῶν ἀτελές καί πολλῷ κρεῖσσον ἦν μή ἄρξασθαι τοιούτου τινός ἤ ἄρξασθαι καί μή τελειῶσαι, τούς ἐπηρεάζοντας τόν ἡμέτερον ἐκεῖνον, οἱονεί πως παροξύναντας, ἀλλ᾽ οὐκ ἀπείρξαντας. Ἄλλως τε καί τό τέλος πέφυκεν ὡς (σελ. 492) ἐπίπαν στεφανοῦν τάς ἀρχάς, καί παρά τοῦ τέλους πᾶς τις τεκμηριώσαιτ᾽ ἄν ταύτας, εἴπερ ἀγαθαί, καί τῶν ἠργμένων ἕκαστος ἐκ τοῦ τέλους καθίσταται δῆλος, εἴτ᾽ ἀγαθῷ εἴτε μή τοιούτῳ κεκίνηται πνεύματι. Τοῦ μέντοι θείου Πνεύματος ἀτελές οὐδέν δόμα˙ «πᾶν γάρ δώρημα τέλειον ἄνωθέν ἐστι», κατά τόν ἀδελφόθεον θεολόγον. Ὑμῶν οὖν ὑπό τῆς ὑμῖν ἐκδιαιτωμένης ἀγάπης, ταὐτό δ᾽ εἰπεῖν τοῦ Θεοῦ, κεκινημένων ἔναγχος ἐπιμαρτυρῆσαι τῷ ἀδελφῷ Γρηγορίῳ καί δισχυρισαμένων ἐγγράφως εἰδέναι τά τε ἄλλα καί τήν τοῦ ἀνδρός εὐσέβειαν ἀκριβῶς καί τάς κεφαλάς ἑτοίμους εἶναι θεῖναι τῆς ὑφ᾽ ὑμῶν ἐγνωσμένης καί

μαρτυρουμένης ἀληθείας ἕνεκεν, ἐπειδήπερ ἀντίγραφα νῦν ἐδέξασθαι καταμαρτυροῦντα τοῦ τήν συνηγορίαν ταύτης παρ᾽ ὑμῶν δεδεγμένου καί σαφῶς οἷον ὑμῶν ψεῦδος εἶναι δεικνύντα τόν λόγον καί τήν γνῶσιν ἀπάτην, καί ταῦτα περί τῆς εὐσεβείας, νομίσατε νῦν ὑμῖν παρά Θεοῦ δεδόσθαι τήν κρίσιν τῷ Δανιήλ ἐκείνῳ παραπλησίως, ἐποφειλομένης ὑμῖν ὅτι μάλιστα τῆς πρός ἐκεῖνον μιμήσεως καί κυρίους ὑμᾶς ἀρτίως κατ᾽ ἐκεῖνον γενέσθαι μή τοῦ φάναι μόνον “καθαροί πάντες ἡμεῖς ἀπό τῆς καταδίκης τοῦ ἀδελφοῦ Γρηγορίου” ἀλλά καί τοῦ κατά τῶν ἀθετούντων εἰς τέλος ἐλέγχου καί τῆς κατά τόν ἔλεγχον τοῦτον ἀναλόγου καί προσηκούσης τῷ πράγματι ψήφου˙ νομίσατε τόν κινήσαντα τήν ἀρχήν ἀγάπης ἐγχαράξαι γραφάς, ἐκεῖνον καί νῦν κινεῖν συνάψαι τῇ κατ᾽ ἐκείνου ἀγάπῃ τῆς κατ᾽ ἐκεῖνον ἀληθείας τήν παρρησίαν, καί τό γε εἰς ὑμᾶς ἧκον, τρόπαιον στήσασθαι κατά τοῦ ψεύδους περιφανές καί δεῖξαι τήν τῆς εὐσεβείας ἀκρίβειαν, ἐπάνω τοῦ καθ᾽ ἡμᾶς ἱδρυμένην ὄρους, μή δύνασθαι κρυβῆναι κατά τήν τοῦ εὐαγγελίου φωνήν».

(σελ. 494) Εἰ γάρ φανείην ἀληθῶς ἐγώ, πάτερ, τήν ἐμαυτοῦ δόξαν στῆσαι ζητῶν, ἀλλά μή τήν ἄνωθεν παρά τοῦ Πνεύματος διά τῶν προφητῶν καί παρά Χριστοῦ διά τῶν ἀποστόλων αὐτοῦ καί τῶν μετ᾽ αὐτούς πατέρων ἀποκεκαλυμμένην καί κεκηρυγμένην καί παραδεδομένην ἡμῖν, εἰ τάς περί αὐτῆς ἀρτίως ἀμφισβητήσεις ἐγώ κινῶν, ἀλλά καί μή τοῖς ἐν προσχήματι τοῦ καθ᾽ ἡμῶν λέγειν τά ἀκίνητα κινοῦσιν ἀνθεστηκώς, εἰ τῶν ἐπί τούτοις γεγενημένων συνόδων καί τῶν ἐπ᾽ αὐταῖς τόμων ἐκτός τι πρότερον ἤ καί μετά τούτους πεφρονηκώς, εἰ μετά ταῦτα κινῶν αὐτός, ἀλλ᾽ οὐχί πρός τούς κινοῦντας αὖθις ἐπί στηριγμῷ τῶν προτέρων πάλιν ἀντιταττόμενος, εἰ συνόδους φεύγων, ἀλλ᾽ οὐχί μᾶλλον αὐτός ἀκρίτως πάσχων καί συνόδους ἐπικαλούμενος, εἰ θορυβῶν ὅλως, ἀλλ᾽ οὐχί κατευνάζων μᾶλλον τούς θορύβους ὁπόση δύναμις καί μετ᾽ εἰρήνης ποθῶν σαλευομένη αὖθις τῆς ἀληθείας τήν ἵδρυσιν, αὐτός ἐμαυτοῦ καταψηφιοῦμαι τάς βαρυτάτας εὐθύνας. Ἀλλά τί ταῦτα καί τά τοιαῦτα καταλέγω νῦν; Βουλοίμην ἄν ἔγωγε, μᾶλλον δέ καί εὐξαίμην ἄν, τῶν ἁγίων γερόντων τούς ὑπέρ ἡμῶν ἐνστῆναι κεκινημένους ἐνταῦθα παρεῖναι τούς κατ᾽ ἐμοῦ λέγοντας ἐρωτᾶν ἰδίᾳ τῶν παρ᾽ ἑκάστου τούτων λεγομένων τήν δύναμιν˙ τούτου γάρ εἴπερ ἦν τελεσθέντος, εἰ μή τοῖς ἐπί Σωσάννῃ πονηρευομένοις παραπλησίως καί οἱ κατ᾽ ἐμοῦ λέγοντές τε καί γράφοντες διαφωνοῦντες

ἀναπεφήνασι, μηδεμιᾶς ἄλλης ἐξετάσεως γενομένης, εἱλόμην ἄν ἐμοῦ καταψηφίζεσθαι τούς κριτάς. Ὅ δέ καί τούτου μεῖζον, ὡς οὐδέ κατά συνθήκην συμφωνῆσαι πρός ἀλλήλους δύναιτ᾽ ἄν (σελ. 496) σχεδόν οἱ καθ᾽ ἡμῶν μεμηνότες. Οὕτω πᾶς ἐκείνοις κατ᾽ ἐμοῦ λαμπρά τις καί περιφανεστάτη συκοφαντία. Σόν οὖν ἐστι κρίνειν, φιλοθεώτατε πάτερ.

«Ἆρ᾽ οὐ τῶν δικαιοτάτων ἄν ἦν ὑμᾶς φάναι πρός τούς κατεξανισταμένους τῶν πρός τόν Βαρλαάμ ἡμῖν εἰρημένων, τοῦτ᾽ αὐτό συκοφαντία περιφανής, τό τοῦ Παλαμᾶ λέγειν ἴδια τά παρ᾽ αὐτοῦ πρός ἀναίρεσιν τῆς τοῦ Βαρλαάμ εἰρημένα κακοδοξίας; Τοῦτ᾽ αὐτό καθ᾽ ἡμῶν ἐστιν αὐτῶν καί πάντων τῶν ὀρθοδόξως φρονούντων σύν ἡμῖν. Καί τί λέγομεν ἡμᾶς αὐτούς καί τούς ἐφ᾽ ἡμῶν ὀρθοτομοῦντας τόν λόγον τῆς ἀληθείας; Εἰ γάρ αὐτούς τούς ἀπ᾽ αἰῶνος ἁγίους ἡ διά τούτου τοῦ ρήματος ἀναφέρεται μέμψις. Εἰ ὅσα ἐκεῖνοι πρός τούς ἀντιταττομένους εἰρήκεσαν μή τοῦ εὐαγγελίου ἐστί καί Χριστοῦ τοῦ ἐν αὐτῷ λαλοῦντος καί τοῦ τήν ἀρχήν ἀποκαλύψαντος πνεύματος, ἀλλ᾽ αὐτῶν ἁπλῶς τῶν κεχρημένων ὕστερον, εἴπατε, πῶς ὁ Κύριος λέγει, “μή καλέσητε καθηγητήν ἐπί τῆς γῆς˙ εἷς γάρ ὑμῶν καθηγητής, ὁ Χριστός”; Πάντως ὡς τῶν μετ᾽ἐκεῖνον ἐκείνου πάντων τά ἐκείνου λεγόντων, ἅτε συμφωνούντων κατά διάνοιαν τοῖς ἐκείνου διδάγμασιν. Οὕτω γάρ εἷς καθηγητής, ὡς μιᾶς οὔσης τῆς κατ᾽ εὐσέβειαν διανοίας, εἰ καί τά ρήματα , τῷ πλήθει τῶν γεγραμμένων ἤ τῷ φαινομένῳ τῆς λέξεως διενήνοχεν˙ “οὐ γάρ ἐν ρήμασιν ἡμῖν, ἀλλ᾽ ἐν πράγμασιν ἡ εὐσέβεια”. Τά τοῦ Παλαμᾶ τοίνυν πῶς οὐκ ἔσται δεκτά, τοῖς ἐκ παλαιοῦ θεολόγοις καί τῷ Θεῷ τῶν θεολόγων ὄντα συνῳδά, καί ταῦτα πρός Βαρλαάμ καί Ἀκίνδυνον συγγεγραμμένα, τούς κατά τῆς θεοπνεύστου λυττήσαντας Γραφῆς καί φρενοβλαβῶς τήν τοῦ Θεοῦ θείαν χάριν εἰς κτίσμα κατασπῶντας (σελ. 498) καί διχοτομοῦντας εἰς κτιστά καί ἄκτιστα τήν μίαν θεότητα, καί τόν Παλαμᾶν ὡς ἄκτιστον ἀνακηρύττοντα κατά πάντα τήν μίαν θεότητα διθεΐτην ἀποκαλοῦντας, ὡς καί Εὐνόμιος τριθεΐτην ἐκάλει τόν μέγαν Βασίλειον, ἄκτιστον καί κατά τάς τρεῖς ὑποστάσεις ἀνακηρύξαντα τόν ἕνα Θεόν; Τά τοῦ Παλαμᾶ τοίνυν οὐ δέχεσθε, φατέ˙ καί πῶς οὐκ ἀποβάλλεσθε φανερῶς τά ἡμέτερα; Οὐχί Τόμος ἐστίν Ἁγιορειτικός τῇ τοῦ σεβασμιωτάτου πρώτου καί ταῖς ἡμετέραις ὑπογεγραμμένος χερσίν; Εἰ ὁ Παλαμᾶς τῷ τόμῳ τούτῳ καί πάνθ᾽ ὁμόλογός ἐστι καί ὑπέρ αὐτοῦ λέγει, ὥσπερ οὖν λέγει (καί γάρ αὐτός

ἐγώ πάτερ τήν ἐσχάτην ἐμαυτοῦ καταψηφιοῦμαι δίκην, εἴ τι φανείην ἐκτός τῆς ἐκείνου διανοίας καί τῶν τῶν ἁγίων φθεγγόμενος) ἐπεί τοίνυν ὁ Παλαμᾶς τά τοῦ τόμου φησί, τά ἡμέτερα φανερῶς φησι, πρός τούς ἀντιγράψαντας λέγειν ἄν ἦν αὖθις τούς πατέρας χρεών, καί ὅστις ἀποσείεται τά ἐκείνου, τά ἡμέτερα φανερῶς ἀποσείεται καί κλέπτειν ἡμᾶς πειρᾶται καθ᾽ ἡμῶν γράφων, τό τοῦ Παλαμᾶ δολίως ὑποβαλλόμενος ὄνομα, καί ἁπλῶς πᾶσα ἡ περί τούτων πρός αὐτόν λοιδορία τε καί ἐπήρεια πρός ἡμᾶς ἀναφέρεται. Καί τί λέγομεν ἡμᾶς αὐτούς; Πρός γάρ αὐτούς ἀνατείνεται τούς ἁγίους καί τόν τῶν ἁγίων Θεόν, ὧν ἡμεῖς ἐν τῷ τόμῳ τάς φωνάς ἐνεγράψαμεν καί τά τῇ εὐσεβεῖ καί ἀνεπιθολότῳ διανοίᾳ τούτων ἑπόμενα».

«Καλῶς ἄρα πρός αὐτόν τόν μέγαν δοῦκα τοῦ ἀνδρός ἕνεκεν ὑπέρ οὗ καί ὁ λόγος καί τῆς ἀνεπιλήπτου εὐσεβείας χάριν ἐγράφομεν, "φοβήθητε κἄν αὐτό τό κρῖμα τοῦ Θεοῦ». Καίτοι τούτους τούς λόγους καί μηδεμιᾶς ἐπί τοῖς τοιούτοις συνόδου γεγενημένης εἰκότως εἰρήκειμεν ἄν. Νῦν δέ δύο συνόδων συγκεκροτημένων (σελ. 500) μεγίστων καί ἐπ᾽ αὐτῶν παρρησίᾳ, κατά μέν τήν πρώτην δυσσεβοῦς ἀναπεφηνότος τοῦ Καλαβροῦ Βαρλαάμ, κατά δέ τήν δευτέραν τοῦ πριλαπηνοῦ Ἀκινδύνου, τοῦ δέ ἱερομονάχου Γρηγορίου μή μόνον εὐσεβεστάτου χάριτι Χριστοῦ, ἀλλά καί τῆς εὐσεβείας ὡς ἀληθῶς ὑπερμάχου, καθάπερ παρά πάντων τῶν ἐκεῖ παρατυχόντων πανταχοῦ μαρτυρεῖται – καί παρ᾽ ἡμῖν γάρ εἰσι νῦν, οἵ παρῆσαν τηνικαῦτα - , πῶς αὖθις νῦν καί πόθεν ὁ Παλαμᾶς ἀναπέφηνε δυσσεβής, καί παρά τοῦτο φυλακῆς ἄξιος; Ἀλλά φατέ, μᾶλλον δέ γεγράφατε, μή κυρωθῆναι καί ἅπερ ἔλεγεν ὁ Παλαμᾶς, ἀλλ᾽ ἐξελεγχθῆναι καί ἀποβεβλῆσθαι μόνον, ἅπερ ἔλεγεν ὁ Βαρλαάμ. Φεῦ τοῦ ρήματος πῶς ἄν τις ἄν ἐνέγκαι τόν ἄλογον τοῦτον λόγον; Ὄντως τῆς Ἀκινδύνου παραφροσύνης τά τοιαῦτα ρήματα˙ κατάδηλος γάρ ἐστιν οὐδείς ἄλλος, ἀλλ᾽ ἐκεῖνος αὐτός τά τοιαῦθ᾽ ὑποβαλλόμενος καί φθεγγόμενος. Τί γάρ ἀσυνετώτερον τοῦ λέγειν, ὡς ὑπέρ εὐσεβείας ἀντιλεγόντων ἀλλήλοις δυοῖν ἐπί δικαζούσης συνόδου, καί τοῦ ἑνός δυσσεβοῦς ἀναπεφηνότος, ἅτερος ὁ κατ᾽ ἐκείνου τό κράτος ἀράμενος οὐκ ἀναπέφηνεν εὐσεβής, καθ᾽ ὅ τήν νικῶσαν ἀπηνέγκατο ψῆφον; Πῶς γάρ οὐκ ἀντικείσεται ἡ ἀντίφασις; Ἤ πῶς συναληθεύσει τε καί συμψεύσεται, ἅ τῶν ἀδυνάτων ἐστι; Τῆς γάρ ἀντιφάσεως εἰ τό ἕτερον δυσεβές, εὐσεβές ἐξ ἀνάγκης τό ἕτερον. Καί ταῦτ᾽ ἦν χρεία λέγειν, εἰ μή Συνοδικός ἐπί ταῖς συνόδοις ἐκείναις προέβη τόμος καί τοῖς ἔπειτα

τάς ψήφους ἀπαγγέλλων σαφεῖς. Ἐπεί δέ μετά τό γενέσθαι μή μόνον τήν ἐπί τοῦ Βαρλαάμ ἐκεῖνον σύνοδον, ἀλλά καί τήν ἐπί τόν Ἀκίνδυνον, τόμος ἐγράφη καί ὑπεγράφη τῇ τε πατριαρχικῇ καί ταῖς ἄλλαις τῶν ἀρχιερέων ἱεραῖς χερσί, δι᾽ οὗ καταδικάζεται μέν ὁ Βαρλαάμ ὡς κακοδόξως φρονήσας καί βλασφήμως καί (σελ. 502) ἐπισφαλῶς ἐπιβαλών ταῖς τῶν ἁγίων γραφαῖς, δικαιοῦται δέ ὁ Παλαμᾶς μετά πάντων τῶν ὁμοφρονούντων, ὡς εὐσεβῶς καί ἀσφαλῶς ταύταις ἐπιβαλόντες, καί ταῖς τῶν ἁγίων ἐξηγήσεσί τε καί παραδόσεσιν ἐμμένοντες διό καί ἀπεδείχθησαν τῆς κατ᾽ αὐτῶν τοῦ Βαρλαάμ κατηγορίας ἀνώτεροι, καθάπερ ἐπί λέξεως ἐκεῖ κεῖται τίς ἔτ᾽ ἄν ἔχοι λέγειν εὐσεβεῖν βουλόμενος μή τό κῦρος ἔχειν τά τοῦ ἱερομονάχου Παλαμᾶ Γρηγορίου, τοῦ στέργοντος καί ἐμμένοντος ταῖς πατερικαῖς ἐξηγήσεσι καί παραδόσεσι; Πῶς δ᾽ ἀπεδείχθη τῆς ὑπό Βαρλαάμ ὁ Παλαμᾶς κατηγορίας ἀνώτερος, οὗπερ ὀνομαστί κατηγόρησεν ἐκεῖνος, ὡς αὐτός ἐμαρτύρησεν ὁ τόμος, εἰ μή ἐξήτασται καί ἀναπέφηνεν; Ἀλλ᾽ οὐ προήνεγκε ταύτην ὁ Βαρλαάμ; Καί πῶς ἄν τοῦ Παλαμᾶ κατηγόρησεν; Ἀλλά προενεγκών παρά τοῖς ἄρχειν λαχοῦσιν οὐχ εὗρε χώραν; Καί πῶς ὁ Παλαμᾶς μετεπέμφθη πόρρωθεν ὡς ἐγκαλούμενος; Ἀλλ᾽ ἐλθόντος καί καταστάντος ἐπί τῆς συναγειρομένης ἐπίτηδες συνόδου, ὁ Βαρλαάμ ἑαυτοῦ καταγνούς, ὡς καί τοῦθ᾽ ὁ τόμος φησίν, ἀντικαταστῆναι τούτῳ καί εἰς λόγους ἐλθεῖν οὐκ ἐπείθετο».

«Ναί, ἀλλ᾽ ἥκει ταύτης συνειλεγμένης εὐθύς, εἰπέ τε ὅσα εἶπε, καί ἅ κατ᾽ αὐτοῦ τότ᾽ εἶχε γράψας προὐβάλετο λήμματα καί ἥν πρότερον κατ᾽ αὐτοῦ συνεγράψατο κατηγορίαν εἰς ἐπήκοον ἀνεγνώσθη πᾶσι, καθάπερ ὁ τόμος καί τοῦτο μαρτυρεῖ. Φησί γάρ˙ "προεκομίσθησαν ἐπί τοῦ μέσου, ἅς ὁ Βαρλαάμ φθάσας ἐποιήσατο ἀναφοράς κατά τῶν μοναχῶν, ἐν αἷς ἦν μάλιστα κατηγορῶν, ὡς ἀνωτέρω εἴρηται, τοῦ τιμιωτάτου ἱερομονάχου κῦρ Γρηγορίου τοῦ Παλαμᾶ. Τί οὖν ὁ Παλαμᾶς οὗτος; Ἆρ᾽ οὐκ ἀπολελόγηται πρός τήν κατ᾽ αὐτοῦ καί (σελ. 504) τῶν σύν αὐτῷ κατηγορίαν ταύτην; Ἤ ἀπολελόγηται μέν, ἀλλ᾽ οὐκ ἀσφαλῶς οὐδέ ἱκανῶς οὐδ᾽ ὡς τῶν ἐγκλημάτων ἀπολελύσθαι καί τούς αὐτῷ συμφωνοῦντας ἀποφῆναι πάσης μέμψεως ὑπερτέρους; Καί πῶς ἀπεδείχθησαν οἱ μοναχοί τῆς κατηγορίας ἀνώτεροι, ὡς αὐτός μεμαρτύρηκεν ὁ τόμος, ὅς οὐδ᾽ αὐτό παρῆκε καταστῆσαι δῆλον, ὅτι καί ἀπολελόγηται καί προσηκόντως ἀπολελόγηται προτραπείς; Προστίθησι γάρ˙ «καί ἀναγνωσθεισῶν τῶν τοιούτων ἀναφορῶν,

προετράπη ὁ διαληφθείς ἱερομόναχος κῦρ Γρηγόριος ὁ Παλαμᾶς τήν ἐπ᾽ αὐταῖς ποιήσασθαι ἀπολογίαν, ὡς αὐτοῦ μάλιστα καθαπτομέναις, ὅστις καί εἰπών ἐν προοιμίου λόγῳ καί ἀπολογησάμενος ὅσα εἰκός, ἔπειτα διηγήσατο καί ὡς ἐπισυνέβη τά τῆς αὐτῶν διαφορᾶς, προτέρου τοῦ αὐτοῦ Βαρλαάμ συγγραψαμένου καί κατηγορήσαντος αὐτῶν ἅπερ ἀνωτέρω εἴρηται καί ἐναντία τοῖς τῶν πατέρων θείοις λόγοις, ὡς ἀπεδείχθη, ἐκθεμένου καί ὡς ἐξ ἀνάγκης καί αὐτός πρός τήν ἀπολογίαν καί ἀντίρρησιν κεκίνηται». Ποῦ εἰσιν οἱ τῷ Παλαμᾷ μέμψιν ὡς ἄρξαντι προσάπτοντες; Ἀκουέτωσαν τοῦ τόμου, δεικνύντος τόν Βαρλαάμ πρότερον καί κατηγορήσαντα καί συγγραψάμενον. Ποῦ εἰσιν οἱ καί τά τοῦ Βαρλαάμ δόγματα περιέποντες ὡς ἀσφαλῆ καί τόν τόμον στέργειν λέγοντες; Ὁράτωσαν ἐπ᾽ αὐτοῦ τοῦ τόμου γεγραμμένον, ὡς ἀπεδείχθη τἀναντία τοῖς τῶν πατέρων λόγοις ἐκθέμενος ὁ Βαρλαάμ. Διό καί ὁ Παλαμᾶς ἐξ ἀνάγκης κεκίνηται πρός τήν ἔκθεσιν τῆς ἀντιρρήσεως. Ποῦ εἰσι τά τοῦ Παλαμᾶ μή κεκυρῶσθαι λέγοντες καί καινά νομίζοντες; Μανθανέτωσαν ἐξ αὐτοῦ τοῦ τόμου μαρτυροῦντος, ὡς ἀναγκαίως πρός ἀντίρρησιν τῆς τοῦ Βαρλαάμ ἐκτεθειμένης δυσσεβείας κεκίνηται καί προσηκόντως ἀπολελόγηται καί, καθάπερ ἀνωτέρω εἴρηται, (σελ. 506) «τῇ Γραφῇ καί ταῖς παραδόσεσι τῶν ἁγίων ἡμῶν πατέρων ἐμμένων ἀποδέδεικται». Καί τοίνυν ὁ τά τούτου τολμήσας ἀκυροῦν δῆλος ἔσται τά τῶν ἁγίων ἀκυρῶν».

«Τί δέ καί τούτῳ γέγονε καί δέδοται κατέχειν πρός δικαίωσιν ὁ τόμος, εἰ μή τοῦτον ὑπάρχει δικαιῶν καί τῶν ὑπό τοῦ Βαρλαάμ κεκινημένων ἀπαλλάττων ἐγκλημάτων; Ἀλλά περί τοῦ θείου φωτός καί τῆς ἱερᾶς προσευχῆς ἐστι, φησίν, ὁ τόμος μόνων, περί οὐδενός δέ ἑτέρου. Ταῦτα λέγειν ἔδει πρός τούς οὐκ ἔχοντας ὦτά τε καί ὀφθαλμούς˙ καί γάρ οὐδέν τῶν ὑπό τοῦ Βαρλαάμ εἰρημένων, ὅ μή τῷ Συνοδικῷ τόμῳ συνεπτυγμένως μέντοι, συμπεριείληπται. Ἀλλά καί μετά τό τόν Παλαμᾶν ἐπί τοῖς κατ᾽ αὐτοῦ καί τῶν ἄλλων μοναχῶν ὑπό τοῦ Βαρλαάμ ἐγγράφως ἀνενηνεγμένοις ἀπολογήσασθαι τά εἰκότα, καθάπερ φησίν ὁ τόμος, ὁ περί τοῦ φωτός ἐκδηλότερον προτέθειται λόγος. Πρός δέ τούτοις, τίς οὐκ οἶδε τῶν νῦν ἐχόντων, ὡς καί χωρίς τοῦ τἄλλα τῶν ἐν τῷ τόμῳ γεγραμμένων ζητεῖν αὐτός ὁ περί τοῦ φωτός λόγος τά πάντα συμπεριβάλλει καί πάντες ἴσασιν οἱ τῆς ὑποθέσεως ἐπιγνώμονες ταύτης περί τοῦ φωτός μόνου καί τῆς ἱερᾶς προσευχῆς τῷ Παλαμᾶ πρός τόν Βαρλαάμ γεγονέναι τήν

ἔνστασιν· ἅ γάρ Βαρλαάμ πρός μέμψιν ἄκτιστα πολλά φησι καί ἥν συνάγειν οἴεται διθεΐαν, ἐκ τῶν εἰρημένων περί τοῦ φωτός τούτου τοῖς ἁγίοις πατράσι συνήγαγεν ἀφρόνως, τοῦ Παλαμᾶ σκεχρημένου τούτοις καλῶς. Περί τοῦ θείου τοίνυν φωτός ὁ πᾶς τῷ Παλαμᾷ λόγος, ὡς εἰς τοῦτο τοῦ Βαρλαάμ βλασφημοῦντος, τά δ᾽ ἄλλα τῆς ἐρεσχελίας ἅμα καί τῆς δυστροπίας τῶν ἀντιλεγόντων ἑπομένων, ἵν᾽ ἐντεῦθεν δύνωνται μᾶλλον κλέπτειν καί παράγειν τούς πολλούς, καί συκοφαντοῦντες καί ψευδόμενοι λανθάνειν. Ἐπεί δέ (σελ. 508) καί «φῶς ἡ παραδειχθεῖσα θεότης ἐπί τοῦ ὄρους τοῖς μαθηταῖς», κατά τόν θεολόγον Γρηγόριον, πῶς περί τοῦ φωτός ἡ ψῆφος τῇ συνόδῳ γέγονεν, ἀλλ᾽ οὐ περί θεότητος; Τοῦ γε μήν θείου τούτου φωτός ἀναπεφηνότος ἀκτίστου καί συνοδικῶς, εἰ καί μή φύσις ἐστίν, ὡς καί ὁ Συνοδικός διδάσκει τόμος («εἰ γάρ καί πρός τοσοῦτο», φησί, «θεωρίας ὕψος ἀνέδραμον ἐν Θαβώρ οἱ τῷ Ἰησοῦ συναναβάντες, χάριν καί δόξαν εἶδον θείαν, ἀλλ᾽ οὐ τήν φύσιν αὐτήν τήν χορηγοῦσαν τήν χάριν»)· τοῦ φωτός τούτου τοίνυν ἀκτίστου δεδειγμένου, συναποδέδεικται πάντως, ὅτι κἄν θεότης καί τοῦτο γένηται, κἄν ἀμυδρά τῆς θεότητος αὐγή, κἄν ὑπερέχῃ ταύτης ἡ θεία φύσις κατά τούς θεολόγους ὡς αἰτία, ὡς χορηγός, ὡς ὑπέρ πᾶσαν παντάπασιν ἐπωνυμίαν καί μέθεξιν, οὐδέν ἐμποδίζει ταῦτα πρός τό μίαν εἶναι θεότητα· μᾶλλον μέν οὖν πολυθέους καί ἀθέους καί κτισματολάτρας ἀποδείκνυσι τοῦ λέγοντος αὐτό κτιστόν».

Ἐπεί τοίνυν οὐχ ὁ Βαρλαάμ μόνος κτιστόν ἐτόλμησε τό φῶς τοῦτο φάναι, τήν λαμπρότητα τῆς θείας φύσεως καθ᾽ ἥν κοινωνεῖ τοῖς ἀξίοις ὁ Θεός, ἀλλά καί ὁ Ἀκίνδυνος κτιστόν αὐτό φησιν, ὡς καί ἐπί τῆς γεγονυίας δι᾽ αὐτόν συνόδου πρότερον ἐξελήλεκται καί ἀπό τῶν αὐτοῦ συγγραμμάτων ἀριδήλως δείκνυται ἀπό τῶν ἔτι καί νῦν ἀπό στόματος αὐτοῦ λόγων, εἰ καί δόλῳ φεύγων ἔσθ᾽ ὅπου τήν λέξιν δι᾽ ἑτέρων ὑποβάλλει τό δόγμα, πρός δέ καί ἀπό τῶν αὐτοῦ μαθητῶν ἤ συμμυστῶν, οἵ καί παρρησιαίτερον τοῦτο λέγουσι, πρός δέ τούτῳ καί ἀπ᾽ αὐτῆς τῆς ἔτι καί νῦν πρός τόν Παλαμᾶν κατηγορίας διά τοῦτο γάρ δύο λέγειν αὐτόν ἀκτίστους θεότητας κατηγορῶν ἐστιν, ὡς ἐν τοῖς πρός (σελ. 510) Βαρλαάμ ἐλέγχοις καί τήν θείαν φύσιν ἄκτιστον εἶναι καί θεότητα καλεῖσθαι δείξαντα καί τήν λαμπρότητα τῆς θείας φύσεως παρά τῶν λαμπρότητα Θεοῦ ἰδόντων καί παθόντων κατά τόν ἐπώνυμον τῆς θεολογίας Γρηγόριον. Ἐπεί τοίνυν καί ὁ Ἀκίνδυνος κτιστόν λέγων πολλαχόθεν δείκνυται τό τοῖς ἀποστόλοις ἐν Θαβώρ

ἑωράμενον ἀπορρήτως φῶς, πῶς τούτῳ παρρησίας μεταδεδώκατε; Πῶς τόν μέν ἄκτιστον κατά πάντα τόν Θεόν κηρύξαντα (διά τοῦτο γάρ καί τό φῶς ἐκεῖνο ἄκτιστόν ἐστι καί θεότητα ἔχει τήν προσηγορίαν, ἐπειδήπερ οὐ διώρισται τοῦ πληρώματος τῆς θεότητος˙ ἐκτός γάρ Θεοῦ ἄκτιστον οὐδέν) πῶς οὖν τοῦτον μέν τόν ὑπέρ τῆς ἀκτίστου θεότητος ἠγωνισμένον καί παρρησίᾳ λαλήσαντα καί παρρησίᾳ δεδικαιωμένον ἐπί συνόδου μεγίστης, νῦν ἀκρίτως ἐπί διαβολῇ κατακλείετε, τόν δέ κτίσμα ποιοῦντα τόν Θεόν (οὐ γάρ ἐκτός τῆς θείας φύσεως ἡ λαμπρότης τῆς θείας φύσεως, εἰ καί φύσις οὐκ ἔστι), τοῦτον δέ, καί ταῦτα μαθητήν ὑπηργμένον φανερῶς τοῦ παρρησίᾳ πρότερον ἐπ᾽ ἴσῃ δυσσεβείᾳ καταδεδικασμένον καί μετ᾽ ἐκεῖνον ὡς ἐκεῖνος ἐπί συνόδου μεγάλης ἐξεληλεγμένον, πάσης ἀδείας τυγχάνειν ἀξιοῦτε νῦν συγκροτοῦντες πάσῃ δυνάμει καί ταῖς ἐγγράφοις αὐτοῦ λογολεσχίαις, μεγάλων καί πολλῶν δυσσεβειῶν πεπληρωμέναις οὔσαις; Πῶς δέ τοῦτον αὐτόν κατά τοῦ ἱερομονάχου Γρηγορίου πάλιν παραδέξασθε τοιαῦτα λέγειν; Τό δ᾽ ἔτι πάντας ἐκπλῆξαι δυνάμενον ὅτι καί μετά τήν ἐπί τόν Ἀκίνδυνον ἐκείνην σύνοδον ὁ Συνοδικός τόμος γεγραμμένος ἐκφωνεῖ φρικωδέστατον ἀφορσιμόν καί ἀποκηρύττει καί ἀποκόπτει παντός τοῦ χριστιανικοῦ πληρώματος, τοῦτο δ᾽ εἰπεῖν ὅτι ἀναθεματίζει τόν τολμήσοντα πάλιν, ὅστις ἄν εἴη, τοῦ Παλαμᾶ καί τῶν (σελ. 512) συμφωνούντων αὐτῷ κατηγορεῖν ἤ ὅλως καθάπτεσθαι ἐφ᾽ οἷς ὁ Βαρλαάμ˙ εἶτ᾽ οὐκ ἄλλος, ἀλλ᾽ αὐτός ὁ Ἀκίνδυνος, οὗ μετά τήν κρίσιν ἡ τοιαύτη γέγονεν ἀπόφασις, κατηγορεῖ πάλιν ἐφ᾽ οἷς καί πρότερον αὐτοῦ τοῦ Παλαμᾶ καί ὑμᾶς ἔχει δεχομένους αὐτόν καί τά αὐτά σύν αὐτῷ κατηγοροῦντας τοῦ Παλαμᾶ καί χωρίς οἱασοῦν ἐξετάσεως εἱρκτῇ πολυετεῖ παραδόντας, ἵνα τούτου πᾶσιν ὡς καταδικασθέντος δῆθεν καθειργένου φαινομένου δόξωσιν ἀληθεύειν οἱ συκοφάνται, ἅμα δέ καί δύνωνται πείθειν καί παράγειν τούς πλείους, ὡς ἐκείνου μή παρόντος μηδ᾽ ἀπολογουμένου. Καί ταῦτα πρό τῆς ἐμφυλίου στάσεως καί τοῦ πρός τόν Παλαμᾶν ὑμῶν οὐκ ἴσμεν ὁθενδήποτε μίσους – οὐδέ γάρ αὐτοί θαρρεῖτέ τι λέγειν σαφές -, σχεδόν μηδέ γρύζειν Ἀκινδύνου παρρησίᾳ τολμῶντος, ἀλλ᾽ ὑπ᾽ αἰσχύνης καταδυομένου καί τῶν ἀνθρώπων τούς τάς συνόδους ἐκείνας εἰδότας ἐκτρεπομένου».

«Καί μήν ὅτι διά τό τούς συκοφάντας ἰσχῦσαι μᾶλλον ἐκεῖνον καθείρξατε, καί παρ᾽ ὑμῶν αὐτῶν καθίσταται φανερόν˙ καί γάρ ὡς λαλοῦντα φατε καθεῖρξαι τόν ἄνθρωπον, ἐλευθερστομεῖν δέ τοῖς

αὐτόν συκοφαντεῖν ἠρημένοις ἐφήκατε καί γλώττῃ καί γράμμασιν, ὥσπερ ἄν εἰ κατηγοροῦντα μέν ἐξῆν πᾶσι τρόποις καί πρός πάντας λαλεῖν, ἀπολογούμενον δέ λαλεῖν μηδένα μηδενί καί μηδένα τρόπον ἐξῆν. Ἀλλά θόρυβος, φησίν, ἀκαίρως συνέβαινε, καί διά τοῦτο τοῦτον καθείρξαμεν. Καί πῶς οὐ καθείρξατε τόν μετά τοῦ δυσσεβῶς λέγειν καί τοῦ θορύβου γινόμενον αἴτιον, ἀλλά τόν ἐκτός κατ᾽ ἄμφω τῆς αἰτίας ὑπάρχοντα; Καί ὁ Συνοδικός γάρ τόμος τοῦ Βαρλαάμ παραστήσας εἶναι τον κεκινηκότα καί πρότερον συγγεγραφότα καί τοῖς θείοις λογίοις ἐναντίως, εἰκότως κατ᾽ αὐτοῦ τούς ἀποτρέποντας περί (σελ. 514) δογμάτων κινεῖν προήγαγε κανόνας. Τοῦτο δή καί αὐτός ὁ τόμος δεικνύς, "ἐπέτρεψε", φησίν, "ἡ μετριότης ἡμῶν ἀναγνωσθῆναι εἰς ἐπήκοον πάντων τούς ἱερούς καί θείους κανόνας, δι᾽ ὧν ἀπηγόρευται καί οὐδαμῶς παρακεχώρηται μή μόνον τοῖς κατά τόν Βαρλαάμ, ἀλλά καί τοῖς ἄλλοις πᾶσι, μηδέν τι περί δογμάτων κινεῖν καί τοῖς ἄλλοις ἐντεῦθεν πάντως ἀνάγκην ἐπιτιθέναι περί τοιούτων ἀπολογεῖσθαι". Νῦν δ᾽ ἐκεῖθεν μεταλαβόντες τούς αὐτούς κανόνας ὑμεῖς χρῆσθε κατά τοῦ τήν ἀνάγκην τῆς ἀπολογίας ὑποστάντος, ὅς ἀναγκαίως κεκίνηται πρός τήν ἀντίρρησιν καί προσηκόντως ἀπολελόγηται, στέργων καί ἐμμένων ταῖς τῶν θείων πατέρων ἐξηγήσεσι καί παραδόσεσιν, ὡς αὐτός ὁ τόμος καί ταῦτα μαρτυρῶν ἐστιν, ὅς καί τελευτῶν πάλιν, μετά τό φρικώδεσιν ἀφορισμοῖς ὑποβαλεῖν καί τῶν Χριστιανῶν ἐκκόψαι τούς αὖθις τολμήσοντας τοῦ Παλαμᾶ κατηγορεῖν ἐφ᾽ οἷς ὁ Βαρλαάμ, μετά πνευματικῆς ἐπιτιμήσεως παραγγέλλει μηδένα δογματίζειν εἰς τό ἑξῆς κινοῦντα περί τούτων ἤ ἄλλων δογμάτων. Ὑμεῖς δ᾽ ἀποδεχόμενοι τούς αὖθις κινοῦντας νῦν, μᾶλλον δέ μηδέ μετά τούς ἀφορισμούς ἐκείνους πεπαυμένους, ἀλλά κατά τοῦ αὐτοῦ τά αὐτά δυσσεβῶς καί ἀναιδῶς προβαλλομένους πάλιν, τόν διά τῆς αὐτῆς εὐσεβείας πάλιν ἀναγκαίως, εἰ μή δι᾽ αὐτήν τήν εὐσέβειαν, δι᾽ ἑαυτόν γοῦν πρός τούς αὐτούς πάλιν ἀντιταττόμενον, ἐξουθενεῖτε καί ἀπείργετε καί φρουραῖς κατακλείετε, τό θορυβεῖν καί διδάσκειν ἐθέλειν προφασιζόμενοι, καί ταῦτα τοσοῦτον ἀπέχοντα τοῦ διδασκαλικόν τι μεταδιώκειν ἀξίωμα καί τοσοῦτον ὄντα τῶν παρά τοῦ Ἀκινδύνου κατ᾽ αὐτοῦ λεγομένων ἀνώτερον, ὡς καί μετά τήν ἐπ᾽ ἐκείνῳ σύνοδον, κοινῇ παρ᾽ ὑμῶν εἰς τοῦτο ψηφισαμένων (σελ. 516) αὐτόν λίαν παρακαλούμενον, μᾶλλον δέ καί λίαν ἀναγκαζόμενον, μηδαμῶς προελέσθαι δέξασθαί τι τοιοῦτον».

«Τί δ᾽ ἄν ἔχοι καί κοινόν ἡ ἀπολογία πρός τοιαύτην διδασκαλίαν καί τό θορυβεῖν βούλεσθαι πρός τό ἀνάγκην ὑφίστασθαι μή σιγᾶν, καί ταῦτα τόν ἐπ᾽ εὐσεβείᾳ κατηγορούμενον; Τίς δ᾽ οὐκ οἶδε καί χωρίς τῆς ἐγγεραμμένης τῷ τόμῳ συνοδικῆς ἀποφάσεως, ὡς ὁ κατηγορῶν, καί ταῦτα μετά τήν κρίσιν αὖ καί τήν ἔγγραφον ψῆφον, οὗτος τοῦ θορύβου καθέστηκεν αἴτιος, κἄν ὁ κατηγορούμενος αὖθις ἀπολογῆται, καί τῆς ἀπολογίας ὁ κατηγορῶν ἐστιν αἰτιώτατος; Πῶς δέ τό μέν κατηγορεῖν τήν Ἀκίνδυνον εὔκαιρον καί ἀθόρυβον, καί ταῦτ᾽ οὐ λέγοντα μόνον ἀλλά καί γράφοντα, τό δ᾽ ἀπολογεῖσθαι τόν Παλαμᾶν ἤ λόγοις ἤ γράμμασι θορυβῶδες καί ἄκαιρον; Πῶς δέ πρό μέν τῆς συνοδικῆς κρίσεως ἀντιλέγων τοῖς κατηγοροῦσιν ὁ Παλαμᾶς ἀνεύθυνος ἦν, μετά δέ τό συνοδικῇ κρίσει τήν δικαιοῦσαν ἀπενέγκασθαι τόν Παλαμᾶν ψῆφον, ὅτι τοῖς καταδικασθεῖσιν αὖθις ἀναισχυντοῦσι κατηγορεῖν ἀπολογεῖται πάλιν αὐτός, ὑπεύθυνος ἔσται; Καί ὁ Συνοδικός γάρ τόμος τοῖς περί τοιούτων αὖθις κινοῦσι δογματίζειν ἐπιτετίμηκεν, ἀλλ᾽ οὐχί τοῖς ἀναγκαίως ἀπολογουμένοις πρός τούς αὖθις κινοῦντας καί κατηγοροῦντας αὐτῶν. Τό γάρ τόν ἀπολογούμενον ἐπέχειν βίᾳ, καί ταῦτα περί εὐσεβείας, πῶς οὐκ ἐσχάτης ἀδικίας ἐστί; Καίτοι, ὡς καί ἀπό τῶν ὑμετέρων γραμμάτων καί ἀπό τῶν πραγμάτων αὐτῶν τοῖς πᾶσίν ἐστι κατάδηλον, ὁ Παλαμᾶς καί τήν διά στόματος ἀπολογίαν ἐκπέφευγε νῦν, ὡς μή κατά καιρόν οὖσαν, μηδ᾽ ἀτάκτου θορύβου χωρίς. Ἐκ γάρ τῶντῆς Ἡρακλείας ἀοικήτων μερῶν ὑμεῖς ἐπανηγάγετε τοῦτον βίᾳ καί κατεκλείσατε. Ἀλλά καί πρό τοῦ τά μέρη τῆς Ἡρακλείας τούς θορύβους φεύγων καταλαβεῖν, (σελ. 518) τῆς πόλεως ἐκτός ἐν ταῖς περί αὐτήν ἐρημίαις διέτριβεν, ὡς καί ὑμᾶς ὅτε λέγετε καλεῖν αὐτόν ἐπί σύνοδον μηδαμῶς εὑρεῖν δυνηθῆναι».

Μανθάνω γάρ, σεβάσμιε πάτερ, καί τοῦτο γραφῆναι κατ᾽ ἐμοῦ πρός ὑμᾶς˙ ὅτι κληθείς ἐπί τήν σύνοδον ἐπί τήν Ἡράκλειαν ᾠχόμην φεύγων. Ἀλλ᾽ ἴσθι καί τοῦτο ψεῦδος λαμπρότατον, ἄκουσον δέ τ᾽ ἀληθές ὡς ἔχει˙ δεῖ γάρ σοι καί τά τῆς τοιαύτης ἐκφῆναι συνόδου, μικρόν ἀνωτέρω τόν λόγον ἀναλαβόντα καί κατά τό ἐγχωροῦν συνελόντα. Τῆς πολιτικῆς, ὡς μή ὤφειλε, συγχύσεως κινηθείσης, τῷ πατριάρχῃ καί τοῖς ἄλλοις ἄρχουσιν ἀρέσκειν οὐκ ἠδυνήθημεν ἡμεῖς. Ὅμως μετ᾽ εἰρήνης διαστάντες αὐτῶν, ἐκαθήμεθα κατά τήν ἀντιπέραν μονήν, τήν εἰς ὄνομα τῶν οὐρανίων ἀρχιστρατήγων τετιμένην. Εὐθύς οὖν ὁ πατριάρχης, ὡς ἔοικεν, ἐνδομυχοῦσαν ἔτ᾽

ἔχων καθ᾽ ἡμῶν τήν ὀργήν, μεταδίδωσι παρρησίας Ἀκινδύνῳ τῷ πρῴην συνοδικῶς καταδεδισμένῳ καί τοῖς ἄλλοις τοῦ Βαρλαάμ μαθηταῖς καί θορυβεῖν ἐφίησι τούτοις καθ᾽ ἡμῶν ὅση δύναμις. Ἔστι δ᾽ ὅτε τοῦθ᾽ ἡμεῖς ἀναφέροντες ὡς δῆθεν λανθάνον τῷ πατριάρχῃ, κἄν μή διά τόν τοῦ δικαίου λόγον καί τήν εὐσέβειαν, ἀλλά διά τήν κατασχοῦσαν τηνικαῦτα τά πολιτικά στάσιν, καταστεῖλαι δεόμενοι τοῦτον τόν θόρυβον, τό τοῦ λόγου, κενήν ἐδοκοῦμεν ᾄδειν˙ ἀλλά καί βολίδες ἐνίοτε λόγων πρός τούς ἀναφέροντας ἐπέμποντο λίαν πικραί.

Χρόνου δέ τινος παραρρύεντος, περί που τά μέσα τῶν πρό τοῦ σωτηρίου πάθους νηστίμων ἡμερῶν, ὁ πατριάρχης τινά πρός ἐμέ πέμπει τῶν ἀξιολόγων ἀνδρῶν (ὅς καί καιροῦ καλοῦντος μαρτυρήσει τῇ ἀληθείᾳ τῶν ὑπ᾽ ἐμοῦ λεγομένων ἀρτίως), τοῦτον οὖν πέμψας ὁ πατριάρχης, ταὐτί πρός ἐμέ μηνύει˙ «πρότερον εἰς (σελ. 520) προσκύνησιν τῶν βασιλέων ἐρχόμενος κἀμέ βλέπων, νῦν δέ μετά τήν συμβᾶσαν στάσιν σχολάσας ἄγαν, ὑπόνοιάν πως ἐνῆκας τῇ καρδίᾳ τῆς κρατίστης δεσποίνης ὡς νεύων πως πρός τό ἀντίθετον μέρος, ἐπεί καί τήν ἀρχήν ἐπί τοῖς τελουμένοις ἀχθόμενος ἔδειξας. Ἧκε δή παρ᾽ ἐμέ καί πρός αὐτήν ὁμοῦ ἴωμεν καί παρρησίᾳ λαλήσας, δεῖξον σύμφωνος ὤν ἡμῖν ἐπί τοῖς γινομένοις ἀρτίως˙ κἄν τοῦτο δράσῃς, εὖ σοι τά πάντα παρ᾽ ἡμῶν ἔσται, σοί τε καί τοῖς σοῖς οὐ τά τυχόντα προσέσται». Καί κατέλεγε ταῦθ᾽ ἅπερ ἐμοί λέγειν νῦν οὐ χρεών, ὕστερον καί τοῦτο προσθείς, ὡς «ἐπεί καί ὁ Ἀκίνδυνος πάλιν ἤρξατο ληρεῖν καί θορυβεῖν ὥσπερ πρότερον, σοῦ φανέντος μόνον ἐνταῦθα, σφοδρότερον ἐπιτιμήασντες τόν λῆρον ἐκείνου κατασιγάσομεν». Ἐγώ δ᾽ ἀντεμήνυσα διά τοῦ πεμφθέντος πρός ταῦτα.

«Τῆς πρός ἐμέ κηδεμονίας χάριν ὁμολογῶ χάριτας τῷ δεσπότῃ μου, τῆς δ᾽ ἐμφυλίου στάσεως κινηθείσης ἀληθῶς ἀχθόμενος ἐγώ διετέλουν οὐδ᾽ ἠρέμα, θειότατε δέσποτα, ἀλλ᾽ ὑπέρ τοῦ γένους καί τῶν ἐκ Θεοῦ κεκληρωμένων βασιλεύειν τοῦ γένους ἡμῶν˙ διό καί τά κοινῇ μοι δοκοῦντα συνοίσειν λέγειν μέν οἴκοθεν ἠναγκαζόμην παρών, πάλιν δέ, λογιζόμενος ἐπ᾽ ἐμαυτοῦ μή ἄρα τοῦ λυσιτελήσειν ἄν δυνηθέντος οὐ καταστοχάζομαι νουνεχῶς, ἰδίᾳ καί πεφεισμένως ὡς ἐνῆν ὑπεμίμνῃσκον. Ἐπεί δέ καί συνεκλήθημεν καί τά τελούμενα κοινοῦσθαι πρός ἡμᾶς ἠξίωσας, ἐκινήθην καί αὐτός ὑπό τῆς συνειδήσεως τρανότερον εἰπεῖν τό δοκοῦν, τί δ᾽ ἕτερον ἤ τά πρός εἰρήνην φέροντα; Καί ταῦτα προσελάλουν τῷ δεσπότῃ μου κατά μόνας. Σύ δ᾽ ὀργισθείς, οὐκ οἶδα τοῦ χάριν, ἐκεῖνα καθ᾽ ἡμῶν

ἐκπεφώνηκας, δι᾽ ἅ (σελ. 522) τάχ᾽ ἄν ἐπ᾽ αὐτοφώρῳ τά πάνδεινα τότ᾽ ἐπάσχομεν, εἰ μή δούξ ὁ μέγας παρελθών εἰς τό μέσον τό ἡμέτερον ἐξηγήσατο σκοπόν, ὅτι χρητός τε καί κατά Χριστόν εἴη. Ἀλλ᾽ ἐντεῦθεν ὅμως ὑπωπτεύθημεν ἐξ ἐκείνου τῇ κρατίστῃ δεσποίνῃ. Σόν οὖν αὖθις καί σοῦ βουλομένου ρᾷον λελῦσθαι τήν ὑπόνοιαν ταύτην».

«Τοῦ δ᾽ Ἀκινδύνου πολλάκις ἤδη τοῖς ἀπηγορευμένοις ἐπικεχειρηκέναι τετολμηκότος καί τήν μεγίστην ἁγιωσύνην σου λαθεῖν μή δεδυνημένου, τίς ὁ πρός ἐμέ λόγος, ὅς τοῦτο μαθών οὐδέν δρᾶσαί τι πλέον εἶχον ἤ ταύτῃ γνωρίσαι τοῦτο; Ταῦτ᾽ ἄρα καί νῦν ἀναφέρω ταύτῃ. Τάς συγκεκροτημένας ἐπί τούτῳ μεγάλας ἐκείνας συνόδους καί τόν ἐπ᾽ αὐταῖς τόμον καί τούς κατά τῶν ἔτι τολμώντων ἡμῶν καί τῶν καθ᾽ ἡμᾶς μοναχῶν τοιαῦτα κατηγορεῖν ἐγγεγραμμένους τῷ τόμῳ φρικωδεστάτους ἀφορισμούς ὑπό τῆς δεδομένης τῇ ὑμετέρᾳ θειότητι παρά τοῦ Πνεύματος ἐξουσίας παντός μᾶλλον οἶσθα. Σόν οὖν ἔστι καταστεῖλαι καί τήν τοῦ Ἀκινδύνου ταύτην μυσαράν αὖθις τόλμαν. Εἰ δέ μή τῆς τοιαύτης οὗτος ἐπισχεθείη βδελυρᾶς ἀπονοίας, ἡμεῖς μέν ἀπρίξ ἑξόμεθα τῆς ἡμῶν αὐτῶν ἀσφαλείας καί τοῖς βουλομένοις ἡμῶν ἀκούειν πρός δύναμιν παντί τρόπῳ πληροφορήσομεν τήν ἡμῶν τε καί τῆς εὐσεβείας ἀλήθειαν. Εἰ δέ τινες τῆς ἀληθείας ἀνεπιγνώμονες ὑπό τῶν ἀντιθέτων κατασπασθεῖεν πρός τό ψεῦδος καί τήν δυσσέβειαν, σοί τοῦτο μελήσει τῷ κοινῷ ποιμένι, μᾶλλον δέ ἀρχιποίμενι. Νῦν δ᾽ ἐμοί, θεσπέσιε δέσποτα, προσελθεῖν τῇ σῇ θειότητι μή προθυμουμένῳ διά τό τῶν ἡμερῶν αἰδέσιμον ἵλαθι, παρελθούσης δέ τῆς ἱερᾶς τεσσαρακοστῆς ἐλεύσομαι πρόθυμος».

(σελ. 524) Ἀλλ᾽ ὁρᾷς αὐτός, θεοφιλέστατε πάτερ, τόν πατριάρχην αὐτόν μαρτυροῦντα τόν Ἀκίνδυνον εἶναι τόν αὖθις κινοῦντα περί ὧν κινεῖν ἀπηγόρευσεν ὁ τόμος, ἀλλ᾽ οὐχ ἡμᾶς; Τούτου δή καί νῦν μάλιστα καί τά ἐγγύς καί τά πόρρω κυκῶντος καί χειρί καί γλώττῃ καί πᾶσι τρόποις, ὁ πατριάρχης, πανταχοῦ σχεδόν ἡμῶν καταμαρτυρεῖ κἀκείνῳ συνίσταται.

Ἀλλά τῆς τῶν Βαΐων Κυριακῆς ἐπιστάσης, μαθών ἐγώ μετά τῶν σεβασμιωτάτων ἡμῶν πατέρων καί τόν ὁσιώτατον πρῶτον ἀφικνούμενον ἐνταῦθα καί προσπλέοντα ἤδη, τῇ πόλει παραγίνομαι καί αὐτός· καί κατάραντα τοῦτον, ἐν τοῖς ἐμοῖς ἐντός τῆς πόλεως τήν ἀρχήν ξεναγῶ κελλίοις ἐπί δύο συνδιάγων ἡμέρας, οὐ συνεξῄειν δέ τούτῳ πρός τά βασίλεια. Τῆς δ᾽ ἑβδομάδος τῶν σωτηρίων

παρελθούσης παθῶν καί τῆς μετ᾽ αὐτήν ἐπιούσης, ὑπῆρχον καί αὐτός ἔσθ᾽ ὅτε τῷ τε πατριαρχείῳ καί τοῖς βασιλείοις ἐπιδημῶν. Μιᾶς οὖν ἡμέρας ἐκαθήμην μόνος μόνῃ τῇ κρατίστῃ δεσποίνῃ τά δέοντα ἐντυγχάνων καί μετά μικρόν ἦλθεν ὁ πατριάρχης καί μετά τοῦτον οἱ τῶν ἐν τέλει. Συγκαθημένων οὖν ἡμῶν κοινῇ πάντων τῆς δεσποίνης καί τοῦ πατριάρχου ἐνώπιον καί παρατεινομένης τῆς ὁμιλίας, ἤρξαντο τῶν ἀρχόντων οἱ μείζους προτείνειν, πῶς ἄν εἴπω, τά τοῖς ἐμαῖς ἀκοαῖς ἀκατάλληλα. Τοιαῦτα τοίνυν τούτων ἠργμένων λέγειν, ἐπέχειν αὐτούς ἐπεχείρουν αὐτός. Οἱ δέ πρός ἐμέ φασι˙ «σχολάζων καί μακρυνόμενος τῶν ἐνταῦθα, τά τελούμενα οὐ μανθάνεις, ἀλλ᾽ ἡμῖν ἀναγκαῖον καί ὑμᾶς τά τοιαῦτα εἰδέναι». Καί προσετίθεσαν τά ἑξῆς ὧν λέγειν ἐπεχείρησαν τηνικαῦτα συνείροντες. Ἐγώ δ᾽ ἐπ᾽ ἐμαυτοῦ, πίστευσον πάτερ, τό τῆς Σωσάννης, ἔλεγον˙ «στενά μοι πάντοθεν˙ ἐάν εἴπω τι τῶν ἐμοί δοκούντων εἶναι δεόντων, βαρύς ἔσομαι τοῖς (σελ. 526) συνοῦσι, τηλικούτοις περ᾽ οὖσιν˙ ἐάν συγίσω τελέως, οὐκ ἐκφεύξομαι τό κρῖμα τό θεῖον. Αἱρετικώτερόν ἐστιν ἐπαχθῆ δόξαι τισίν ἤ ἁμαρτεῖν εἰς Θεόν καί τό χριστώνυμον γένος ἅπαν». Τήν ἔνδον γοῦν ψῆφον μή ἀνεχόμενος διακρούσασθαι λόγων ἀπάρχομαι πρός αὐτούς τοιῶνδε˙ «τούτων παρ᾽ ὑμῶν εἰρημένων, ἐμοί τό συνειδός ἐντός τό μέλλον ἐπανατείνεται φρικωδέστατον δικαστήριον καί καταψηφιεῖσθαί μου διισχυρίζεται τοῦ αἰωνίου βασιλέως ἐνώπιον, εἰ μή νῦν ἐφ᾽ ὑμῶν ἐρῶ τό δοκοῦν μοι συμφέρον καί δέον καί ἀληθές˙ ὁ δ᾽ ἀντιστρατευόμενος ἐν ἐμοί τῷ συνειδότι λογισμός ἀπειλεῖ με καταδικάσειν καί δεινοῖς τοῖς ἐσχάτοις ὑπεύθυνον ἐνώπιον ὑμῶν ἀποδείξειν, εἰ μή τό συνειδός ἀθετήσας σιγήσαιμι παρ᾽ οὐδέν θέμενος τόν ἄνωθεν φόβον. “Δεῖ δή πειθαρχεῖν Θεῷ μᾶλλον ἤ ἀνθρώποις”. Εἶθ᾽ οὕτω κατά τό ἐγχωροῦν, μέλιτι κιρνῶν, προσηνέσι δηλαδή λόγοις, τό σωτήριον τῆς ἀληθείας φάρμακον ταῖς ἀκοαῖς προσῆγον τῶν διά στόματος ἐκεῖνα λεγόντων˙ καί μικρά τις καί κοινή πρός ἀλλήλους γέγονεν ἡ ὁμιλία πάντων ἐκεῖ καί τῶν ἄγαν ὑπερεχόντων. Οὐ μήν εἰς τέλος ἐτηρήθη τό πρᾶον τοῖς ὑπερέχουσιν. Ὅμως ἡμεῖς πάλιν, μειλιχίοις ὡς ἐνῆν χρησάμενοι λόγοις καί τέλος ἐπευξάμενοι τέλος τοῖς πράγμασι παρά Χριστοῦ τό χρηστότατον, ἀπηλλατόμεθα.

Τοὐντεῦθεν ἐς τά μάλιστα καί μή παροῦσιν ἡμῖν ὠργισμένος ὁ πατριάρχης ἑκάστης, ὡς εἰπεῖν, ἡμέρας διά πλείστων ἐδείκνυ καί πολύς ἦν πάντα ἐφοδεύων καί πολλούς κύκλους περιβαλλόμενος καί

πάντα κάλων, τό τοῦ λόγου, κινῶν λαβέσθαι τινός ἀφορμῆς καθ᾽ ἡμῶν καί κακώσει παραδοῦναι δεινῇ. Θεῷ δέ θαρροῦντες ἡμεῖς, οὐ καί ζητοῦμεν εἶναι πρός δύναμιν, κἄν πάσχωμεν (σελ. 528) κἄν μή πάσχωμεν, ἐνδιῃτώμεθα μεταξύ τῶν καθ᾽ ἡμῶν πάντα μηχανωμένων μέχρι τῆς Κυριακῆς τῶν ἁγίων πατέρων. Μετά δέ ταύτην εὐθύς ἐπί τήν ἀντιπέραν ἐκείνην μονήν ἐστειλάμεθα πάλιν. Ἐπεί δέ κατά τήν ἔαρος ὥραν πολύς ἔχει τόν χῶρον ἐκεῖνον θόρυβος, τῶν πρός τόν Εὔξεινον Πόντον ἐμπορίας χάριν ἀναπλεόντων ἐκεῖ τά πολλά συσκευαζομένων, ἀνωτέρω μέντοι τῆς μονῆς ἐκείνης μᾶλλον δέ καί πολλαχοῦ κύκλῳ, τόποι πρός μετρίαν ἠρεμίαν εἰσίν ἐπιτηδειότατοι (καί ὁ στῦλος γάρ τοῦ τῆς καρτερίας στύλου Δανιήλ ἐνταῦθ᾽ ἐστίν ἱδρυμένος καί ἀσκητήρια πολλῶν ἑτέρων παλαιοτέρων ἁγίων) ἔστι δ᾽ οὗ καί ἄλση πυκνοῖς τε καί συνηρεφέσι κομῶντα δένδροις καί παρά τῶν κεκτημένων φυλαττόμενα τοῖς πολλοῖς ἐπίτηδες ἄβατα, τούτοις καί ἡμεῖς προσκεχωρηκότες ἠρεμίας μετρίας ἐνδιετρίβομεν. Μανθάνομεν δέ τῇ μεθ᾽ ἥν ἀνήλθομεν ἑβδομάδα τινά τῶν ἐκκλησιαστικῶν ἀφιγμένον ἐπί τήν εἰς ὄνομα τῶν οὐρανίων ἀρχιστρατήγων τετιμημένην μονήν μετά σπουδῆς ὅτι πλείστης ἡμᾶς ζητῆσαι καί μή εὑρόντα παλινδρομῆσαι. Τοῦτο μαθών ἐγώ, κάτειμι πρός τήν πόλιν ἐκεῖθεν καί τοῖς φίλοις συγγενόμενος πατράσιν ἠρόμην, εἰς γνωστόν γέγονεν αὐτοῖς, τίς ἡ τῆς οὕτω σπουδαίας περί ἐμοῦ ζητήσεως αἰτία παρά τῆς πατριαρχικῆς ἐξουσίας. Οἱ δέ πρός ἐμέ φασι˙ «τῆς τοῦ Θεοῦ προνοίας ἦν ὄντως ἔργον τό μή χθές εὑρηκέναι σε τόν ἀπεσταλμένον μετακαλέσασθαι πρός τήν λεγομένην σύνοδον, ἐν ᾗ τῶν μέν ἑκάστοτε κατ᾽ἔθος συνεδρευόντων ἀρχιερέων τῷ πατριάρχῃ συγκέκληταί τις ἕτερος οὐδαμῶς, τῶν δ᾽ ἀρχόντων οἱ τῆς Χουμναίνης συγγενεῖς βασιλίσσης καί τούτων οἱ τῶν ἄλλων νεώτεροι (σελ. 530) παρῆσαν ἐκεῖ δούλων κατάλληλον ἑσμόν ἐπαγόμενοι. Καί μεταξύ τούτων ὁ Ἀκίνδυνος ἦν, ἴδιόν τι κἀκεῖνος σμῆνος τῶν τοῦ Βαρλαάμ μαθητῶν ἐπαγόμενος καί μοναχῶν οὐκ ὀλίγους, τοιούτους ὡς ἔστιν οὕς ἐκείνων ὑπό τούς σφῶν μανδύας καί ῥόπαλα κατέχειν ἁδρά. Σπουδή δ᾽ ἦν πάσα λαθεῖν πάντας καί σέ μόνον πράῳ μέν τῷ σχήματι μετακαλέσασθαι, καταδικασθέντα δέ συνοδικῶς δῆθεν ἐμπαιγμῷ παραδοθῆναι καί μάστιξιν». Ἐγώ δέ πρός τούς ἐξηγουμένους ταῦτα, πίστευσον πάτερ, «νῦν οὖν», ἔφη, «ἴωμεν πρός τόν πατριάρχην, ἐπεί καί ἡ τῆς καταιγίδος ἐκείνην ἀκμή παρῆλθε». Τοῖς δέ μή δοκιμάζουσι τοῦτο πεισθείς ἐγώ, παρῆκα μέν τήν πρός τόν

πατριάρχην ὁδόν, ἄλλοτε δ᾿ ἄλλῳ τῶν φίλων παρών, ἐντός διῆγον τῆς πόλεως ἐφ᾿ ἡμέρας συχνάς.

Μιᾷ τοίνυν συνόντως μου τῷ σεβασμιωτάτῳ πρώτῳ τοῦ Ἁγίου Ὄρους, ἐκκλησιαστικοί δύο παραγενόμενοι καί προσειπόντες καί παρακαθήσαντες ἡμῖν, εἶτα πρός ἐμέ μόνον εἶπον κἀκείνου ἀκούοντος˙ «ἡ κυρία ἡμῶν ἡ Δέσποινα καί ὁ αὐθέντης ἡμῶν ὁ βασιλεύς ὁρίζει, ἵνα ἔλθῃ ἡ ἁγιωσύνη σου εἰς τό παλάτιον». Πρός αὐτούς δ᾿ ἀπεκρινάμην αὐτός˙ «ἀπίθανόν τι δοκεῖ τό παρ᾿ ὑμῶν εἰρημένον˙ τῆς ἐκκλησίας μέν ὑμεῖς ὑπηρέται, διακομισταί δ᾿ εἶναι λέγετε βασιλικοῦ προστάγματος˙ πῶς; Ἆρ᾿ οὐκ ἦν ἄρχων οὐ μικρός οὐ μέγας ὑπηρετήσων τῷ δεδογμένῳ τοῖς ἡμῶν καί δεσπόταις καί βασιλεῦσιν»; Πρός ὅ πάλιν ἔλεγον ἐκεῖνοι˙ «τοῦ πατριάρχου σήμερον ἀξιόντος τῆς Ἁγίας Σοφίας καί τῆς πρός τά βασίλεια φερούσης ἡμμένου, ταύτην ἡμεῖς ἐκεῖθεν δεδεγμένοι τήν ἐντολήν, σέ ζητῆσαι καί πρός σέ ταῦτα φάναι, τοῦτ᾿ αὐτό πεπράχαμεν καί εἰρήκαμεν. Ἄγε δή συναπίωμεν». Ἐγώ δ᾿ ὑπολαβών, «τοῦτ᾿» ἔφην, «αὖ πολλῷ τῶν προτέρων ρημάτων ἀπιθανώτερον˙ ἆρα γάρ πρωί (σελ. 532) σήμερον τῇ μεγίστῃ τῶν ἐκκλησιῶν οἱ βασιλεύοντες ἐπεδήμησαν»; Οἱ δέ πάλιν˙ «καί τις σήμερον ἐπιδημίας ἐκεῖ τοῖς βασιλεῦσι καιρός˙ ἀλλ᾿ ἐλθέ συναπίωμεν». Ἐγώ δ᾿ αὖ˙ «ἔοικεν εἶναι τι δι᾿ ὅ ζητοῦμαι τῶν προσηκόντων τῇ ἐκκλησίᾳ. Νῦν οὖν – μεσημβρία γάρ ἤδη καί καιρός οὐκέτι συνόδου – μάτην ἥκειν ἐμέ συμβήσεται˙ τῷ δεσπότῃ μου γοῦν τῷ πατριάρχῃ δι᾿ ὑμῶν νῦν μηνύω, κατά τήν σήν κέλευσιν ἔρχομαι τῇ πρωΐᾳ». Τοῦτ᾿ ἀκούσαντες ἐκεῖνοι βαρέως ἔφερον.

Μετακαλεῖται τοίνυν ὁ πρῶτος τόν ἐν ἱερομονάχοις τιμιώτατον κῦρ Λάζαρον, τόν τῆς Φιλοθέου μονῆς ἡγούμενον, καί πέμπει πρός τόν πατριάρχην αὐτός μηνύσας˙ «εἰ μέν δι᾿ ἕτερόν τι ὁ Παλαμᾶς μετεκλήθη, πρόθυμος ἥξειν, εἰ δέ τῶν παρά τοῦ Βαρλαάμ καί Ἀκινδύνου κινηθέντων ἕνεκεν, οὐ τοῦ Παλαμᾶ ἐστιν ἡ ὑπόθεσις αὕτη, τῶν δέ χριστιανῶν ἁπαξαπλῶς ἁπάντων καί μάλιστα τῶν μοναχῶν, καί τούτων αὖ μᾶλλον τοῦ Ἁγίου Ὄρους αὐτοῦ. Τάξον οὖν ἡμέραν, ἐν ᾗ σύνοδος ἔσται πρός τήν περί τοιούτων ἀποχρῶσα ζήτησιν καί καταξίωσον προδηλωθῆναι ἡμῖν, ὡς ἄν ἑτοιμασθέντες, ἥκωμεν ὁμοῦ πάντες καί διευρινηθῇ τἀληθές». Φιλοθέου λέγων ἀποκριθῆναι τόν πατριάρχην˙ «σύνοδον μέν περί τοιούτων ἐξετάζουσαν οὐδ᾿ εἰς νοῦν ἡμῖν ἀνέβη συγκροτεῖν, τά δέ περί τῆς ὑποθέσεως ἐκείνης ζητῶ συγγράμματα». Παρ᾿ ἐμοῦ δ᾿ ἀκούσας ὁ πρῶτος πρός τόν πατριάρχην

αὖ καιροῦ λαβόμενος εἶπε˙ «καί μή ζητοῦντί σοι προσήνεκγαν ἄν, εἰ μή πρός ἐκείνους ὠργισμένον ἑώρων».

Ἐγώ δ᾽ ἀπιέναι πάλιν πρός ἐκεῖνον προθυμούμην οἱ δέ προσφιλέστατοι τῶν πατέρων ἀνέκοψαν πάλιν, (σελ. 534) «μεῖνον ἔτι», λέγοντες, «ἵν᾽ ἡμεῖς σοῦ χωρίς ἀφιγμένοι πρός αὐτόν, μάθωμεν Ὅ,τι λέγει». Καί δή λιπόντες ἐμέ πρός τόν πατριάρχην ἤκουσιν οὗτοι, πρός αὐτόν λέγοντες˙ «ἡ μεγάλη ἁγιωσύνη σου τά τοῦ Βαρλαάμ συγγράμματα προαναγνοῦσα, εἶτα καί τά πρός ἐκεῖνον ἀντιρρητικά τοῦ Παλαμᾶ συγγράμματα, σύν οὐκ ὀλίγοις τῶν ἐλλογίμων ἡμῶν τε παρόντων ἐπήνεσας μέν καί τεθαύμακας μετά τῶν συνακροωμένων ἁπάντων τά τοῦ Παλαμᾶ, πᾶσαν ἀσφάλειαν ἐπιμαρτυρήσας αὐτοῖς». Ἔγνως δέ διά τούτων καί κατέγνως τῶν τοῦ Βαρλαάμ συγγραμμάτων τήν δυσσέβειαν καί τῷ Παλαμᾶ τούτου χάριτας ὡμολόγεις μεγίστας. Εἶτα καί συνόδου, μᾶλλον δέ συνόδων συναγηγερμένων μεγάλων, ἐπί πάντων τοῦτ᾽ αὐτό πάλιν γέγονεν. Οὐ γάρ ἁπλῶς δυοῖν ἀνθρώπων, ἀλλ᾽ ἀντιρρητικῶν πρός ἀλλήλους λόγων εὐσεβείας γεγενημένων, ἡ σύνοδος τούς μέν τοῦ Βαρλαάμ πρότερον, ὕστερον δέ καί τούς τοῦ Ἀκινδύνου, τοῦ τἀκείνου καί μετ᾽ ἐκεῖνον ἐπεκδικοῦντος καταδικάσασα λόγους καί δυσσεβεῖς ἀποφηναμένη, τούς τοῦ Παλαμᾶ, ταὐτό δ᾽ εἰπεῖν, ἡμετέρους καί τοῦς τοῦ Θεοῦ ἐκκλησίας, ὡς καί ὁ τόμος φησίν, ἐδικαίωσε καί ἀνεκήρυξε καί ἐστήριξε. Τίνος γάρ δή καί χάριν τῷ Παλαμᾷ τόμος δέδοται πρός δικαίωμα, εἰ μή δικαιοῖ τά ἐκείνου»; Ταῦτ᾽ ἀκούσας ὁ πατριάρχης ὑπολαβών καί διακόψας τόν λόγον, ἑτέραν ἐτράπετο καί λέγειν ἤρξατο θυμοῦ πλέων «εὑρέθη νῦν ὁ Παλαμᾶς οἷος˙ ἐλήφθη γάρ τις τῶν ὑπ᾽αὐτόν μοναχῶν πρός τόν Καντακουζηνόν ἀπιών καί γραφάς ἐπιφερόμενος τοῦ Παλαμᾶ τέσσαρας, δύο μέν γεγραμμένας πρός τούς Ἀσάνας, δύο δέ πρός ἐκεῖνον αὐτόν τόν Καντακουζηνόν καί τινα τῶν ἐκείνου». Ταῦτ᾽ ἀκηκοότες οἱ τάς ψυχάς ἕτοιμοι κατά Χριστοῦ μίμησιν (σελ. 536) ὑπέρ τῶν φίλων τιθέναι, «τάς κεφαλάς ἡμεῖς», ἔφησαν, «ὑπέρ ἐκείνου τοῦ ἀνθρώπου τίθεμεν νῦν, εἴπερ ἀληθές τοῦτο˙ συκοφαντία, δέσποτα, συκοφαντία τό πρᾶγμα σαφής˙ οὐδέν οὐδέποτ᾽ ἐκεῖνος τοιοῦτον πράττει. Ὅμως ἐγγύς ἡ δεῖξις ἐνεχθήτω νῦν ἐνώπιον ἡμῶν ὁ τῶν ἐκείνου νῦν ἐπί τοῖς τοιούτοις ληφθείς». Ὁ δ᾽εὐθύς μετ᾽ ὀργῆς ἀποστραφείς τούτων, πρός ἑτέρους ἔβλεψε.

Κἀκεῖνοι πρός ἡμᾶς ἐπανήκοντες διηγήσαντο ταῦτα κἀμοί συνεβούλεσαν λέγοντες˙ «μετάστηθι τῶν ἐνθάδε νῦν, εἰ μή σαὐτόν βούλει παραδοῦναι θανάτῳ».

Διά τοῦτο, πάτερ, καί τῶν περί τήν πόλιν ἀπάρας, ἐπί τήν Ἡράκλειαν ἦλθον, ἀλλ᾽ οὐχί σύνοδόν τινα φεύγων, ὡς αὐτοί γράφουσιν˙ ἀνωτέρω γάρ ἀκήκοας εἰπόντων, μηδ᾽ εἰς νοῦν ἀφικέσθαι τούτοις, ἥν φασι σύνοδον. Ἀλλά καί πᾶς αὐτοῖς ὁ περί τοῦ δόγματος λόγος σκῆψίς ἐστιν, ἐξευρημένη πρός ἐπίκρυψιν τοῦ μισεῖν τούς τήν εἰρήνην ποθοῦντας. Εἴση δέ τοῦθ᾽ οὕτως ἔχον καί ἀπό τῶν ἐπεσταλμένων μοι πρός τούς πατέρας, ἐν οἷς καί τά κατά τήν Ἡράκλειαν ἐπ᾽ ἐμοί πεπραγμένα καί τίνος ἕνεκα καί μεθ᾽ οἵαν ἔρευναν ἡμᾶς ἐπανήγαγον ἐκεῖθεν. Τά δ᾽ ἑξῆς τῆς διηγήσεως τῶν γεγονότων ὑπέτεμον οἱ διακομισταί κατασπεύδοντες˙ ὑμεῖς δέ ταῖς πρός Θεόν εὐχαῖς τά ἑξῆς τῶν ὁμοίων γενησομένων τελέως ἐκτέμοιτε.

### *ΠΡΟΣ*

### *ΤΟΝ ΑΝΩΤΕΡΩ ΕΙΡΗΜΕΝΟΝ ΙΔΙΟΝ ΑΔΕΛΦΟΝ (Σελ. 538)*

«Τοῦτο κόπος ἐστίν ἐνώπιόν μου», φησίν ὁ ψαλμῳδός προφήτης, «εὐθηνοῦντας ὁρῶν τούς πονηρούς, ἕως οὗ εἰσελθών εἰς τό ἁγιαστήριον τοῦ Θεοῦ καί συνῶ εἰς τά ἔσχατα αὐτῶν», διά τῆς προφητικῆς δηλονότι χάριτος καί δυνάμεως. Ἐμοί δέ τοσοῦτον ἀπολειπομένῳ τῆς δυνάμεως ταύτης, ὁπόσον καί τῆς προφητικῆς ἁγιότητος, πρίν ἰδεῖν τό νῦν παρ᾽ ἐλπίδας ἀπαντῆσαν τέλος, δυσδιάκριτον ὑπῆρχε, πῶς τό ἀγαθόν συνεργόν ἐγεγόνει τῷ κακῷ πρός ἐπίδοσιν. Τῶν γάρ ὑπό τῆς ὑμετέρας ἀγάπης ὑπέρ ἡμῶν γεγραμμένων ἐπεσταλμένων τῆτες τῷ πατριάρχῃ καί τῇ βασιλευούσῃ καί τοῖς ἐν τέλει, προσελάβοντο παρρησίαν ἐντεῦθεν οἱ πονηροί καθ᾽ ἡμῶν. Ἀνέπεισε γάρ ὁ πατριάρχης τούς βασιλεύοντας καθ᾽ ἡμῶν ἀντιγράψαι καί προφασίσασθαι τήν εὐσέβειαν ὡς μή δοκοῖεν ἀθώοις οὖσιν ἐπηρεάζειν ἀδίκως ἐφ᾽ οἷς καί αὐτός ἡμῶν καταψηφιζόμενος ἔγραψεν, εἰ καί μή πρός ὑμᾶς ταῦτα πέπομφεν, ὡς ὕστερον ἐγνωρίσαμεν, ἐνταῦθα δέ τά γεγραμμένα κατασχών εἰς οἰκείαν ὡς ἐδόκει βεβαίωσιν, ἤρξατο παρρησιάζεσθαι κατά τῆς ἡμῶν εὐσεβείας, ὡς οὔπω πρότερον. Καί οὕτω τηνικαῦτα τό τῆς ἀγάπης ἔργον

πρόξενον ἐδόκει βλάβης τοῖς ἀγαθωμένοις ὑπάρξαι καί τῇ πονηρίᾳ συνάρασθαι. Τό δέ νῦν ἐκβάν τέλος ἔδειξεν ἐκεῖνο ἀληθές ὄν, (σελ. 540) ὡς οὐ τῷ κακῷ τό ἀγαθόν, ἀλλά τῷ ἀγαθῷ τό κακόν συνεργεῖ, κἄν μή κατά πρόθεσιν οἰκείαν, ὡς καί οἱ πατέρες διδάσκουσιν. Ἤρθη γάρ ἡ καθ᾽ ἡμῶν ἐνεργουμένη κακία, οὐχ ἵν᾽ ὑψωθῇ καί μένῃ περιφανής, ἀλλ᾽ ἵνα σφοδροτέρα κατασπασθῇ καί μετ᾽ ἤχου τῇ ἀπωλείᾳ παραπεμφθῇ καί μηδέ τούς πόρρω δυνηθῇ λαθεῖν.

Θαρρήσας γάρ ὁ νῦν τοῖς Βαραλααμίταις προσκείμενος πατριάρχης, ὡς ἤδη πανταχόθεν τό ἐνδόσιμον ἔχων, ἅτε καί βασιλικοῖς ὠχυρωμένος γράμμασιν, ἐπιχειρεῖν πρόεδρον ἐκκλησίας καθιστάναι τόν τοῦ Βαρλαάμ μύστην καί διάδοχον καί ὀπαδόν Ἀκίνδυνον. Ὡς οὖν διαλανθάνειν οὐκ εἶχε, μέλλων ἤδη τοῖς ἱεροῖς διακόνοις ἐγκαταλέγειν τόν μή τόν βίον μόνον, ἀλλά καί τό σέβας ἀνίερον, μαθοῦσα τοῦτο παρά τινων ἡ κρατίστη βασιλίς καί παραυτά συνεῖσα δόλους ὄντα πάντα ἐκεῖνα τά πρῴην ὡς ἐπί προμηθείᾳ δῆθεν ἄλλῃ παρ᾽ αὐτοῦ τελούμενα, πέμψασα ὀνειδίζει καί τοῦ ἐγχειρήματος ἀπάγειν λόγῳ καί πρός τό εἰκός ἐπανάγειν πειρᾶται τόν ἱεράρχην τῶν θείων φανερῶς ἐκτραπόμενον νόμων, ἀλλά καί προκαταγγέλλει τήν μέλλουσαν ἔσεσθαι τῆς ἐκκλησίας ταραχήν, εἰ μή πείθοιτο. Ὡς δ᾽ ἐκεῖνος ἀπειθήσας τήν ἄθεσμον ταύτην ἤνυσε πρᾶξιν καί ὁ θόρυβος παρά τῆς πόλεως ἤρθη πολύς εὐθύς καί οἱ μέν κατεβόων, οἱ δέ καί ῥῆξιν ἠπείλουν, οἱ δέ καί ἀπερράγησαν ἤδη τῆς ὑπ᾽ αὐτόν ἐκκλησίας, ὁ δέ ἀντέκειτο πρός πέρας ἄγειν τό βούλημα προθυμούμενος - ἀρχή γάρ ἦν, ἀλλ᾽ οὐ τέλος τῆς κακοβουλίας τό γεγονός – καί τοῖς βασιλείοις ἐπιδημήσας, καθ᾽ ἡμῶν δεινόν ἔπνει καί δεινῶς ἐμεμήνει καί πάντα πράττων ἑωρᾶτο καί πάντα λέγων ἠκούετο, συμμορίαν ἑαυτῷ περιστήσας, ἐνταῦθ᾽ ἀνεφάνη μᾶλλον εἴπερ ποτέ τῆς ἀληθείας ἡ δύναμις. (σελ. 542)Ἦν γάρ ὁρᾶν θῦμα ξένον, ὑπέρ τῶν ἐν φρουρᾷ καθειργμένων τούς φρουροῦντας καί φρουρᾷ παραδόντας ὑπεραπολογουμένους, ὑπεραγωνιζομένους προκινδυνεύοντας, ὥσπερ συνηγόρους καί προασπιστάς καί δορυφόρους, ἀλλ᾽ οὐ φύλακας αὐτῶν ὄντας οὐδ᾽ ἀπεχθανομένους. Καί δή βουλή καί ψῆφος συγκλήτου δικαιοτάτη, συναινούντων καί τῶν ἐν ἀρχιερεῦσιν ἐκκρίτων, ἀκυροῖ μέν ὡς ἄθεσμον τήν ἐπ᾽ Ἀκινδύνῳ χειροτονίαν, ἐκβαλοῦσα σέ τοῦτον τῆς Ἐκκλησίας ὥσπερ τι κοινόν ἄγος πόρρω ποι ῥιπτεῖσθαι διακελεύεται καί καταιχύνει μέν πάντας τούς αὐτῷ προσκειμένους πολυειδῶς καί μάλιστα τήν ὄνομα μέν δυναστείας

περικειμένην, δουλεύειν δέ ἡρημένην πάσῃ σπουδῇ ταῖς Ἀκινδύνου κακοσχόλοις ὁρμαῖς, ὁρισμῷ δέ λύει τάς κατά τῶν εὐσεβῶν ἐπηρείας καί καταστέλλει τούς διωγμούς, ἐπιμαρτυροῦσα τούτοις τό ἀσφαλές κατ᾽ εὐσέβειαν.

Γνώσεται τοίνυν, οἶμαι, πᾶς τις ἐντεῦθεν καί θαυμάσεται τῆς παρ᾽ ἡμῶν πρεσβευομένης ἀληθείας τήν δύναμιν, ὅτι μή μόνον ἡνίκα πᾶσα στάσις ἀπῆν, ἐν δυσί συνόδοις ἐξετασθεῖσα τό κράτος ἔσχεν, ἀλλά καί τῆς ἐμφυλίου στάσεως ἐγερθείσης, ἡνίκα καί τοῖς βασιλεύουσιν ἡμεῖς ἐδόξαμεν ἐπαχθεῖς καί τῶν συκοφαντούντων χώραν ἐπί τοσοῦτον ἤδη χρόνον καθ᾽ ἡμῶν λαβόντων καί πάντα λεγόντων τε καί πραττόντων ἐκείνων ἀνέδην, ἡμεῖς καθειργμένοι διατελοῦμεν, ὅμως κατά τήν τῶν θείων δογμάτων ἀλήθειαν οὐδέν ἧττον ἤ πρότερον περιεγενόμεθα. Καί ταὐτό γέγονεν, ὥσπερ ἄν εἴ τις γλῶτταν ἤ χεῖρά τινος δεσμήσας εἶτ᾽ εἰς ἅμιλλαν προκαλοῖτο λόγων ἤ συγγραμμάτων, καί μηδ᾽ οὕτω συγχωρεῖται τούτου κατά ταῦτα κρατεῖν. Ἀλλά τό ἀποστολικόν ἐκεῖνο νῦν ἐρεῖς, ὅτι «ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται»· τοῦτο μέν οὖν ἐστιν ὅ καί αὐτός λέγω, ὅτι τῆς τοῦ Θεοῦ (σελ. 554) δυνάμεως ὑπῆρξε τό πᾶν, ἥτις «ἐν ἀσθενείᾳ τελειοῦται», καθάπερ αὐτός πρός τόν ἀπόστολον ἔφη. Τότε γάρ ὄντως τελειοῦται, ὅτε καί πολεμουμένη τό περιόν ἐπιδείκνυται καί κατασπᾶσθαι δοκοῦσα διά τῶν εἰς τούς ἀντεχομένους αὐτῆς κινδύνων ὑψηλοτέρα τῶν κατασπώντων καί ἀχείρωτος διακείκνυται.

Σκόπει γάρ· ὡς ἐχροῖς ἡμῖν προσεῖχον οἱ αὐτοκράτορες, στασιαστάς ἡμᾶς ἐκάλουν οἱ τούτοις χαριζόμενοι πάντες, ὡς μή συμβαίνουσαν τοῖς καιροῖς παρασχόντας τήν γνώμην· πόσῳ μᾶλλον οἱ καί λίαν ἀπεχθῶς πρός ἡμᾶς διακείμενοι καί πάντα τρόπον ἐπιτίθεσθαι προαιρούμενοι. Φανερῶς οὖν μετά τῶν ἀποστατῶν καί δεσμωτῶν κατεκρίθημεν συντετάχθαι καί προσῆν τό καινοφωνίαν ἡμῖν ἐν τοῖς δόγμασιν ἐγκαλεῖν, ἐπειδή τῷ δι᾽ ὅ λέγειν ἀληθῶς ὑπέτρεχέ τις τούς κακοῦντας αἰδώς. Τούτοις θαρρήσαντες οἱ Βαρλααμῖται καί μᾶλλον τῶν ἄλλων ὁ μᾶλλον ἐκείνου μύστης καί διάδοχος καί ὀπαδός Ἀκίνδυνος ὑπέρχονται τόν φλεγμαίνοντα καθ᾽ ἡμῶν, ἅτε μή συναινεῖν αἱρουμένων τῷ καιρῷ, πατριάρχην, εὔνοιαν αὐτοί πρός αὐτόν τε καί τούς κρατοῦντας ὑποκρινόμενοι καί μισθούς ἁδρούς, τούς μέν ἤδη προσάγοντες παρά τῆς δεῖνος, τούς δ᾽ ὑπισχνούμενοι, μόνον εἰ συμμαχήσει τούτοις καθ᾽ ἡμῶν, καιρόν ἤδη λαβοῦσι χωρῆσαι καί τήν ἧτταν ἀναπαλαίσασθαι. Ὁ δέ καθ᾽ ἡμῶν

ὠργισμένος ἄγαν καί λημμάτων ἥττων οὐχ ἧττον, ὡς μικροῦ πάντες ἴσασιν, ὧν, μηδέ τῶν προσενηνεγμένων ἀφεμένος καί προσοφείλειν ἔλεγε χάριν, εἰ πάντας σχοῖεν ἐκπολεμῶσαι πρός ἡμᾶς τούς ἀνθρώπους καί μάλιστα τούς ἐν τοῖς βασιλείοις αὐτοῖς, οὗ καί τήν φρουράν ἡμῖν συνεσκεύασεν, ὡς ἀσφαλέστατος εἴη, καί πάντα ἦν αὐτοῖς οὗτος ὁ πάντων ἐπειλημμένος τῆς (σελ. 546) ἐξουσίας ἔξαρχος, σύμμαχος, μάρτυς τῶν ὑπ᾽ αὐτῶν λεγομένων, ὡς δῆθεν συνίστωρ καί, ὡς ᾤετο, ἀπαράγραπτος καί ἀπ᾽ αὐτῆς τῆς ἀξίας βεβαιωτής, ὡς κριτής καί τό κράτος ἐγκεχειρισμένος τῆς ἐκκλησίας, μεσίτης, πρός τούς ἐν χερσίν ἔχοντας τά σκῆπτρα τῆς βασιλείας, παρ᾽ ὧν καί προστάγματα ἐκομίσατο καί παρέσχε τούτοις μετά τῶν ἑαυτοῦ καθ᾽ ἡμῶν ἐπιδεικνύναι γραμμάτων καί φόβῳ τούς μή πειθομένους ἄλλως προσάγεσθαι. Ἀλλ᾽ οὐδέ μέχρι τούτων τά καθ᾽ ἡμῶν, ἀλλά καί σύνοδοι, μᾶλλον δέ προσχήματα συνεκροτοῦντο συνόδων, ἐν αἷς ἀπειλαί καί ἐπαγγελίαι καί δόσεις καί ἀφαιρέσεις καί πᾶν ὅ,τί ποτε δεινόν τε καί χρηστόν οὐκ ἐλέγετο μόνον, ἀλλά καί ἐτελεῖτο παρά τοῦ λαχόντος τούτου τήν προστασίαν τῆς ἐκκλησίας. Καί τά μέν δεινά τοῖς ἡμῖν συνηγοροῦσιν ἐπῆν, τά δέ δοκοῦντα χρηστά τοῖς καθ᾽ ἡμῶν ὁρμῶσι καί ἡμᾶς δυσφημοῦσιν.

Ὡς οὖν ἐνόμισαν ἤδη περιγενέσθαι καί πάντ᾽ ἤδη κατά νοῦν ἔχειν αὐτοῖς καί τόν κολοφῶντα τῶν κακῶν ἐπιθεῖναι διενοοῦντο, μᾶλλον δέ καί ἐπετίθεσαν ἤδη, κινεῖ τούς βασιλεύοντας ὁ τῶν βασιλευόντων Θεός, ἐπεγείρει πρός ζῆλον ἄμαχον τούς ἐν τέλει πάντας, τούς μετ᾽ αὐτούς ἄρχοντας, τούς μετ᾽ ἐκείνους ὑπασπιστάς καί δορυφόρους καί ὑπηρέτας καί ἁπλῶς πᾶν τάγμα βασιλικόν καί πάντας τούς ἐνστρεφομένους τοῖς βασιλείοις, ἵνα τούς ἄλλους παραλίπω νῦν. Καί ἦν ὁρᾶν ἐξαισίως τούς καθ᾽ ἡμῶν ὠργισμένους βασιλεῖς, τρέψαντας ἐξαίφνης τήν ὀργήν κατά τῶν καθ᾽ ἡμῶν ὡρμημένων, τήν μετ᾽ αὐτῶν καθ᾽ ἡμῶν ἀπεχθῶς διακειμένην σύγκλητον ὑπέρ ἡμῶν καί βουλευομένην καί εἰς προὖπτον τάς εὐβουλίας προάγουσαν καί οὐδέν ἐῶσαν τῶν εἰς τοῦτο τεινόντων ἄπρακτον, τούς ἄλλους συναγωνιζομένους (σελ. 548) ἅπαντας καί πρός τήν ὑπέρ ἡμῶν ἅμιλλαν ἀλλήλους διερεθίζοντας· τό δέ μεῖζον, ὅτι μηδέ τῆς ἐμφυλίου στάσεως πω ληξάσης, μᾶλλον δέ καί ἀκμαζούσης, ἧς ἕνεκα καί πρός ἡμᾶς ἔσχον ἀηδῶς. Φέρε γάρ, εἰ τις δυσί μαχομένοις ἐπιστάς, δικαστήν εἶναι τῶν παρ᾽ αὐτοῦ λεγομένων ἀξιοῖ τοῖν δυοῖν τόν ἕτερον, κομίσαιτ᾽ ἄν ὁντινοῦν λόγον παρ᾽ αὐτοῦ, καί ταῦτα τῆς πρός τόν

ἀντικείμενον αὐτῷ διαμάχης ἐπικρατούσης; Εἰ δέ καί αὐτός ὁ ζητῶν τήν παρ᾽ ἐκείνου ψῆφον ἔχει τούς ἀντιλέγοντας, πόσῳ μᾶλλον δυσέφικτον τό ζητούμενον; Εἰ δέ καί ὑποπτεύοιτο παρ᾽ αὐτοῦ ὡς μή φιλίως πρός αὐτόν διακείμενος, μᾶλλον δέ πρός μέν αὐτόν ἀπεχθῶς, πρός δέ τόν ἀντικείμενον αὐτῷ φιλίως, ὁ δ᾽ ἀντιλέγων ἀντιστρόφως ἔχων, πῶς οὐχί καί παντελῶς ἀνέφικτον, εἰ μή τι καί πλέον; Ἀλλ᾽ ὅ μηδέ δυσίν ἀνθρώποις μαχομένοις δυνατόν ἦν, πρίν ἀφεῖσθαι τῆς πρός ἀλλήλους μάχης, ἑτέρων, καί ταῦτα τῶν μή φίλων δοκούντων, ἐκθύμως ὑπεραγωνίζεσθαι, τοῦτο πεποίηκεν ὁ Θεός δυνατόν ἐν δήμοις καί στρατιώταις καί στρατηγοῖς καί τοπάρχαις, ἵνα παραστήσῃ τοῖς πᾶσι διά πάντων ἀήττητον οὖσαν τῆς ἀληθείας τήν δύναμιν.

***ΤΗι***

***ΚΡΑΤΙΣΤΗι ΚΑΙ ΕΥΣΕΒΕΣΤΑΤΗι ΔΕΣΠΟΙΝΗι***

***ΤΗι ΠΑΛΑΙΟΛΟΓΙΝΗι (Σελ. 550)***

Οὐδέν οὕτως ἀναγκαιότατον, οὐδέν λυσιτελέστατόν τε ἅμα καί πρεπωδέστατον τοῖς τοῦ χριστωνύμου γένους κατ᾽ εὐδοκίαν ἐκ Θεοῦ βασιλεύουσιν, ὡς τό χρῆσθαι τῇ δυνάμει τῆς ἐκ Θεοῦ βασιλείας ὑπέρ τῆς ἀϊδίου τοῦ Θεοῦ βασιλείας, ἥ παρά τῶν νῦν αὖθις ἀντικειμένων ἡμῖν εἰς κτίσμα φρενοβλαβῶς κατασπᾶται. Καί τοῦτο συνείς εἴπερ τις ὁ πολύς ἐκεῖνος καί τά πάντα θαυμάσιος ἡμῶν βασιλεύς, ἔδειξεν ἔργῳ τήν βασιλείας ἐκ Θεοῦ δεδεγμένος, ἅτε ζῆλον ἔνθεον ὑπέρ τῆς ἐκείνου βασιλείας ἀνῃρημένος καί κατασπάσας εἰς τέλος τούς τό ὕψος ἐκείνης ταπεινοῦν αἱρουμένους. Τοῦτο καί ἡ κρατίστη σή βασιλεία, ἁγία ἡμῶν δέσποινα, δι᾽ ὧν ἤδη πράττεις ἐναργῶς διατελεῖς παριστῶσα˙ καί εἴη σοι τήν πρᾶξιν εἰς τέλος ἀγαγεῖν καί τούς τῇ εὐσεβείᾳ πάλιν, ὡς ἐκείνου μηκέθ᾽ ἡμῖν ὄντος, ἀναιδῶς ἀντιστάντας εἰς τέλος καθελεῖν, ἵν᾽ ἐκείνῳ καθάπερ τοῖς ἄλλοις ἀγαθοῖς πᾶσιν, οὕτω καί τόν ὑπέρ Θεοῦ ζῆλον ἰσοστάσιον εἴης.

Ἐπεί δέ, τῷ θεοκινήτῳ ζήλῳ τήν βασιλικωτάτην ἐν ἀρεταῖς συγκεκραμένην ἔχουσαν φρόνησιν, ζητεῖς καλῶς ποιοῦσα μαθεῖν ὡς ἐν ἐπιτόμῳ καί κατά τό ἐγχωροῦν σαφῶς τά παρ᾽ ἡμῶν καί τῶν

ἀντιθέτων ἡμῶν (σελ. 552) καί φρονούμενα καί λεγόμενα περί τοῦ θειοτάτου φωτός, οὕτω ταῦτ᾽ ἔχει.

Καί τήν οὐσίαν τοῦ Θεοῦ οἱ ἅγιοι ἔστιν οὗ θεότητα ὀνομάζουσι καί τό φῶς, καθ᾽ ὅ λάμψας ἀπορρήτως ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐπί τοῦ Θαβωρίου ὄρους περιήστραψε τούς συναναβάντας μαθητάς, θεότητα ὀνομάζουσιν. Ὡς οὖν ἡμῶν ἄκτιστον εἶναι φρονούντων μετά τῆς ὑπέρ πᾶσαν ἔκφανσιν οὐσίας καί τήν τοῖς ἀξίοις ἐπιφαινομένην ταύτην ἔλλαμψιν, δύο θεότητας ἀκτίστους πρεσβεύειν, ὑπερκειμένην καί ὑφειμένην, ὁ Ἀκίνδυνος κατηγορεῖ, καθάπερ καί ὁ Βαρλαάμ αὐτός δέ μόνην ἄκτιστον εἶναι λέγει θεότητα, καθάπερ καί πρότερον ἐκεῖνος, τήν οὐσίαν τοῦ Θεοῦ, τήν δέ θείαν ἐκείνην ἔλλαμψιν, καί ὑφειμένην ταύτην εἶναι λέγει πάντως˙ οὐκοῦν δύο λέγει καί αὐτός θεότητας, ὑπερκειμένην καί ὑφειμένην. Φανερόν οὖν ὡς πρός ἀπάτην τῶν ἀκουόντων τήν ὑπερκειμένην καί ὑφειμένην ἡμῶν κατηγορεῖ θεότητα. Τοῦτο δέ ἐστιν ἀληθῶς δι᾽ ὅ ἡμῶν κατηγορεῖ˙ ὅτι τό θεῖον καί ἀπόρρητον ἐκεῖνο φῶς, ὅ κτιστόν εἶναί φησιν αὐτός, ἄκτιστον εἶναι πρεσβεύομεν ἡμεῖς, καθάπερ οἵ τε θεοφόροι πατέρες καί Χριστός αὐτός ὁ κατά τοῦτο λάμψας καί βασιλείαν τοῦ Θεοῦ τοῦτο καλέσας ἐδίδαξαν ἡμᾶς. Οὐ γάρ ἔστιν ἡ βασιλεία τοῦ Θεοῦ δούλη καί κτιστή˙ μόνη γάρ αὕτη παντός μᾶλλον ἀβασίλευτος καί ἀήττητος καί χρόνου παντός καί αἰῶνος ἐπέκεινα.

Οὕτως οὖν ἡμεῖς ἕνα κατά τόν μέγαν Ἀθανάσιον ἐν μιᾷ θεότητι σέβομεν Θεόν, οὐ κατά τά περί τήν οὐσίαν θεωρούμενα καί θεολογούμενα, τήν δύναμιν, τήν θέλησιν, τήν ἀγαθότητα, τό φῶς, τήν ζωήν καί τά τοιαῦτα, καί ὡς μιᾶς (σελ. 554) καί τῆς αὐτῆς οὔσης τῶν τριῶν προσώπων καί τῆς οὐσίας καί τῆς ἐλλάμψεως καί ἁπλῶς πάσης δυνάμεως καί ἐνεργείας θείας. Ὁ δέ Ἀκίνδυνος ἀθέσμως εἰς κτιστά καί ἄκτιστα τόν ἕνα Θεόν διχοτομεῖ καί εἰς δύο θεότητας ἐκφύλους καί ὄντως ὑπερκειμένην τε καί ὑφειμένην τήν μίαν κατατέμνει θεότητα τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος, τήν μέν οὐσίαν τοῦ Θεοῦ ὑπερκειμένην λέγων, ὡς μόνην κατ᾽ αὐτόν ἄκτιστον θεότητα, τό δέ φῶς ἐκεῖνο ὑφειμένην, ὡς κτιστήν θεότητα. Ποιεῖ δέ κτιστήν ἐντεῦθεν καί τήν οὐσίαν τοῦ Θεοῦ˙ οὗ γάρ ἡ ἔλλαμψις κτιστή, ἄκτιστον αὐτό οὐκ ἔστι. Τό δέ πλῆθος τῶν ἄλλων πονηρῶν αἱρέσεων, αἷς ἐντεῦθεν περιπίπτει, ἡ τοῦ νῦν γράμματος συντομία οὐ χωρεῖ. Καθάπερ δέ ὁ Σαβέλλιος ἐν τῷ μή διαφέρειν λέγειν τοῦ Πατρός τόν Υἱόν μή ἔχειν Υἱόν τόν Πατέρα ἐδογμάτιζεν, οὕτως ὁ Ἀκίνδυνος, ὅταν

λέγῃ μηδενί διαφέρειν τήν θείαν ἐκείνην ἔλαμψιν καί ἐνέργειαν τῆς οὐσίας τοῦ Θεοῦ, οὐκ ἔχειν φησίν ἐνέργειαν τήν οὐσίαν τοῦ Θεοῦ. Ὁ δέ τοῦτο λέγων μετά τοῦ μεσσαλιανός εἶναι ἀναιρεῖ τελέως τόν Θεόν, ἑαυτόν ἄθεον ὑπάρχοντα δεικνύς˙ τό γάρ μή ἔχον ἐνέργειαν οὐδαμῶς ἐστι κατά τούς θεολόγους.

Διά τοῦτο τό θεῖον ἐκεῖνο καί προσκυνητόν στόμα τοῦ τρισμακαρίστου καί ἁγίου μου αὐθέντου καί βασιλέως διά τοῦ συνοδικοῦ φησι τόμου, ὡς «εἰ καί πρός τοσοῦτον ὕψος θεωρίας ἀνέδραμον ἐν τῷ Θαβώρ οἱ συναναβάντες τοῦ Κυρίου μύσται, χάριν καί δόξαν εἶδον θείαν, ἀλλ᾽ οὐ τήν φύσιν αὐτήν τήν χορηγοῦσαν τήν χάριν». Καί γάρ ἴσμεν ἐκείνην ὑπό τῶν θείων λογίων μεμυημένοι ἀμέθεκτον, ἄληπτον, ἀόρατον καί αὐταῖς ταῖς ὑπερκοσμίοις καί ἀνωτάτω δυνάμεσι. Νῦν δ᾽ οἱ (σελ. 556) καταφρονήσαντες καί Θεοῦ καί τῶν τοῦ Θεοῦ ἁγίων καί τοῦ ἐκ Θεοῦ βασιλέως ἡμῶν ἐκείνου καί τῆς συνοδικῆς ἐξετάσεώς τε καί ἀποφάσεως καί τῶν ἐπί ταύτῃ φρικωδεστάτων δεσμῶν καί ἀναθεματισμῶν, ἡμᾶς μέν οὕτως εὐσεβῶς φρονοῦντας καί τούς ἡμῖν ὁμοφρονοῦντας ἀποκηρύττουσιν, Ἀκίνδυνον δέ καί τούς οἷον αὐτός τἀναντία δυσσεβῶς φρονοῦντας συνηγοροῦσι καί στηρίζουσι παντί τρόπῳ κοινωνούς ἔχειν καί συλλειτουργούς σπουδάζοντες.

# *Άγιος Γρηγόριος ο Παλαμάς*

**(Τόμος 9ος)**

## ΠΕΡΙΕΧΟΜΕΝΑ

ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΑΛΛΗΛΟΥΣ ΕΙΡΗΝΗΣ (Σελ. 26) 613
Ρηθεῖσα μετά τρίτην ἡμέραν τῆς πρός Θεσσαλονίκην ἐπιδημίας. 613
ΟΜΙΛΙΑ Β’ 619
ΕΙΣ ΤΗΝ ΚΑΤΑ ΤΟΝ ΤΕΛΩΝΗΝ ΚΑΙ ΤΟΝ ΦΑΡΙΣΑΙΟΝ 619
ΤΟΥ ΚΥΡΙΟΥ ΠΑΡΑΒΟΛΗΝ. (Σελ. 46) 619
ΟΜΙΛΙΑ Γ’ 627
ΕΙΣ ΤΗΝ 627
ΚΑΤΑ ΤΟΝ ΣΕΣΩΣΜΕΝΟΝ ΑΣΩΤΟΝ ΤΟΥ ΚΥΡΙΟΥ ΠΑΡΑΒΟΛΗΝ (Σελ 76) 627
ΟΜΙΛΙΑ Δ’ 637

ΕΙΣ ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΤΟΥ ΧΡΙΣΤΟΥ 637
ΠΑΡΟΥΣΙΑΣ (Σελ. 108) 637
καί περί εὐσπλαγχνίας καί εὐποιΐας 637
ΟΜΙΛΙΑ Ε' (Σελ. 142) 647
ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ 647
ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ 647
ΟΜΙΛΙΑ ΣΤ' (Σελ. 170) 655
ΠΡΟΤΡΕΠΤΙΚΗ ΠΡΟΣ ΝΗΣΤΕΙΑΝ 655
Ἐν ᾗ καί περί τῆς τοῦ κόσμου γενέσεως, ὡς ἐν ἐπιτόμῳ. 655
ΟΜΙΛΙΑ Ζ' 662
ΕΤΕΡΑ ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ (Σελ. 194) 662
ΟΜΙΛΙΑ Η' (σελ. 212) 667
ΠΕΡΙ ΠΙΣΤΕΩΣ 667
Ἐν ᾗ καί τῆς κατ᾽ εὐσέβειαν ὁμολογίας ἔκθεσις. 667
ΟΜΙΛΙΑ Θ' (σελ. 232) 672
ΕΝ ΤΩι ΚΑΙΡΩι ΤΗΣ ΝΗΣΕΙΑΣ ΚΑΙ ΠΡΟΣΕΥΧΗΣ 672
ΟΜΙΛΙΑ Ι' (σελ.252) 677
ΤΗι ΔΕΥΤΕΡΑι ΚΥΡΙΑΚΗι ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ 677
Ὑπόθεσιν ἔχουσα τόν ἐν Καπερναούμε ἰαθέντα παρά 677
τοῦ Κυρίου Παράλυτον˙ καί πρός τούς ἀκαίρως 677
ὁμιλοῦντας ἀλλήλοις ἐν ταῖς κατά τήν Ἐκκλησίαν 677
ἱεραῖς συνάξεσιν. 677
ΟΜΙΛΙΑ ΙΑ' (Σελ.282) 686
ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝΚΑΙ ΖΩΟΠΟΙΟΝ ΣΤΑΥΡΟΝ. 686
ΟΜΙΛΙΑ ΙΒ' (σελ.328) 699
ΕΝ ΤΗι ΤΕΤΑΡΤΗι ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ ΚΥΡΙΑΚΗι 699
Ὑπόθεσιν ἔχουσα τό κατ᾽ αὐτήν ἀναγινωσκόμενον 699
Εὐαγγέλιον ἐν ᾗ καί περί τῆς ἐπιμελείας τῶν ἔνδον λογισμῶν. 699
ΟΜΙΛΙΑ ΙΓ ' (σελ. 352) 706
ΤΗι ΠΕΜΠΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ 706
Ἐν ᾗ καί περί ἐλεημοσύνης 706
ΟΜΙΛΙΑ ΙΔ' (Σελ. 374) 712
ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΠΑΝΥΠΕΡΑΓΝΟΥ 712
ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ 712
ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ 712

ΟΜΙΛΙΑ ΙΕ’ (Σελ. 398) 719
ΕΚΦΩΝΗΘΕΙΣΑ ΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΒΑΪΩΝ. 719
ΟΜΙΛΙΑ ΣΤ’ (σελ. 422) 726
ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΣΑΡΚΑ 726
ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΟΙΚΟΝΟΜΙΑΣ 726
ΚΑΙ ΤΩΝ ΔΙ᾽ ΑΥΤΗΣ 726
ΚΕΧΑΡΙΣΜΕΝΩΝ ΤΟΙΣ ΩΣ ΑΛΗΘΩΣ ΕΙΣ ΑΥΤΟΝ ΠΙΣΤΕΥΟΥΣΙ 726
Καί ὅτι πολυτρόπως ὁ Θεός δυνάμενος τῆς τοῦ διαβόλου τυραννίδος λυτρώσασθαι τόν ἄνθρωπον, εἰκότως ταύτῃ μᾶλλον ἐχρήσατο τῇ οἰκονομίᾳ. 726
Ἐξεφωνήθη κατά τό μέγα Σάββατον. 726
ΟΜΙΛΙΑ ΙΖ’ (484) 746
ΔΕΙΚΝΥΣΑ ΤΟ ΤΟΥ ΣΑΒΒΑΤΟΥ ΚΑΙ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΜΥΣΤΗΡΙΟΝ 746
Καί εἰς τό τῆς Καινῆς Κυριακῆς Εὐαγγέλιον. 746
ΟΜΙΛΙΑ ΙΗ’ (σελ. 518) 756
ΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ 756
Ἐν ᾗ καί ὅτι, πρώτη τόν Κύριον ἡ Θεοτόκος εἶδεν 756
ἐκ νεκρῶν ἀναστάντα 756
ΟΜΙΛΙΑ ΙΘ’ (σελ.542) 763
ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΗΝ ΣΑΜΑΡΕΙΤΙΔΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΥΑΓΓΕΛΙΟΝ 763
Καί ὅτι δεῖ καταφρονεῖν τῶν παρόντων. 763
ΟΜΙΛΙΑ Κ’ (σελ.576) 774
ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΤΗΝ ΙΩΑΝΝΗΝ ΟΓΔΟΟΝ 774
ΕΩΘΙΝΟΝ ΕΥΑΓΓΕΛΙΟΝ 774
Ἐν ᾗ καί ὅτι μεγάλων δωρεῶν ἀξιωθήσονται οἱ μέχρι τέλους μετ᾽ εὐλαβείας ἐν ταῖς ἱραῖς συνάξεσι παραμένοντες774

ΟΜΙΛΙΑ Α᾽

## ΠΕΡΙ ΤΗΣ ΠΡΟΣ ΑΛΛΗΛΟΥΣ ΕΙΡΗΝΗΣ (Σελ. 26)

**Ρηθεῖσα μετά τρίτην ἡμέραν τῆς πρός Θεσσαλονίκην ἐπιδημίας.**

Ἀδελφοί μέν ἡμεῖς πάντες, ὡς ἑνός δεσπότου καί ποιητοῦ, ὅν καί Πατέρα κατά τοῦτο κεκτήμεθα κοινόν˙ ἀλλά τήν ἀδελφότητα ταύτην κοινήν ἔστιν ὡς ἔχομεν καί πρός τήν ἄλογον καί ἀναίσθητον φύσιν. Ἡμεῖς δέ ἀλλήλων ἐσμέν ἀδελφοί, καί ὡς ἐξ ἑνός γηγενοῦς τοῦ Ἀδάμ ὄντες ἅπαντες, καί κατ᾽ εἰκόνα μόνοι γεγονότες Θεοῦ˙ ἀλλά καί τοῦτο κοινόν ἡμῖν τε καί πᾶσιν ἔστι τοῖς ἔθνεσιν˙ Ἡμεῖς δέ ἀλλήλων ἐσμέν ἀδελφοί, καί ὡς ὁμογενεῖς ἔτι μᾶλλον καί τήν αὐτήν οἰκοῦντες˙ μάλιστα δέ πάντων ὡς κοινήν πλουτοῦντες μητέρα τήν ἱεράν ἐκκλησίαν καί τήν εὐσέβειαν, (σελ. 28) ἧς ἀρχηγός καί τελειωτήν Χριστός ὁ τοῦ Θεοῦ γνήσιος Υἱός, ὅς ἡμῶν οὐ Θεός ἐστι μόνον, ἀλλά καί ἀδελφός εὐδόκησεν εἶναι, καί Πατήρ˙ καί οὐ ταῦτα μόνον, ἀλλά καί κεφαλή, συνάγων εἰς ἕν σῶμα πάντας ἡμᾶς, καί ποιῶν ἀλλήλων εἶναι μέλη καί ἑαυτοῦ.

Μετά γάρ τήν ἐκ νεκρῶν αὐτοῦ τριήμερον ἔγερσιν, ὀφθείς ταῖς προσελθούσαις τῷ τάφῳ γυναιξίν, ἔλεγεν ὁ Κύριος˙ «ὑπάγετε, εἴπατε τοῖς ἀδελφοῖς μου ἵνα ἀπέλθωσιν εἰς τήν Γαλιλαίαν, κἀκεῖ με ὄψονται». Ὁρᾶτε ὅπως ἀδελφός ἡμῶν ἀξιοῖ καλεῖσθαι; Διό καί ὁ Ἀπόστολος περί αὐτοῦ φησιν˙ «οὐκ ἀγγέλων ἐπιλαμβάνεται, ἀλλά σπέρματος Ἀβραάμ ἐπιλαμβάνεται˙ ὅθεν ὤφειλε κατά πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι». Ὅτι δέ καί Πατήρ ἡμῶν ἐστιν ὁ Χριστός, ἀναγενήσας ἡμᾶς διά τοῦ ἁγίου βαπτίσματος καί τῆς αὐτοῦ θείας χάριτος, διά τοῦτο τεκνία ἑαυτοῦ τούς οἰκείους μαθητάς ὀνομάζει, καί μή ἀφήσειν αὐτούς ὀρφανούς ἐπί τό σωτήριον πάθος ἐρχόμενος ἐπαγγέλεται˙ ὅθεν πάλιν φησίν ὁ Ἀπόστολος ὡς, «Ἐπεί οὖν τά παιδία κεκοινώνηκε σαρκός καί αἵματος, καί αὐτός παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διά τοῦ θανάτου καταργήσει τόν τό κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τόν διάβολον». Ὅτι δέ καί ἕν σῶμα πάντες ἐσμέν ἐν Χριστῷ, Παῦλος καί τοῦτο πιστώσεται λέγων˙ «ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καί μέλη ἐκ μέρους». Καθάπερ γάρ τό σῶμα ἕν ἐστι καί μέλη ἔχει πολλά, πάντα δέ τά μέλη τοῦ ἑνός σώματος πολλά ὄντα σῶμά ἐστιν ἕν, οὕτω καί ὁ Χριστός˙ καί γάρ ἐν ἑνί Πνεύματι πάντες ἡμεῖς εἰς ἕν σῶμα ἐβαπτίθημεν.

(σελ. 30) Ἕν οὖν ἡμῖν ἐστιν ἀδελφοί τό τῆς παλιγγενεσίας καί θεογενεσίας λουτρόν˙ μία πίστις, μία ἐλπίς, εἷς Θεός ἐπί πάντων, καί διά πάντων, καί ἐν πᾶσιν ἡμῖν, συνάγων ἡμᾶς εἰς ἑαυτόν δι᾽ ἀγάπης ἐνθέου καί μέλη ποιῶν ἀλλήλων καί ἑαυτοῦ. Ἀλλά τό πρός ἀλλήλους

μῖσος ἐπεισελθόν τῇ συνεργείᾳ τοῦ πονηροῦ καί τήν ἀγάπην ἐξῶσαν, μᾶλλον δέ οὐχ ἅπαξ, ἀλλά καί πολλάκις ἐπεισερχόμενον καί τήν δι᾿ ἀγάπης πρός ἀλλήλους τε καί πρός τόν Θεόν ἕνωσιν ἡμῶν διαλῦον, οὐ μόνον ἀπ᾿ἀλλήλων παραλύει τά κοινά τῆς πόλεως μέλη καί οἷον πάρετον αὐτήν ἀπεργάζεται, ἀλλά καί εἰς πόλεμον ἀντικαταστῆσαν ταῦτα μερίδας ἐμφυλίους στάσεις κινεῖ καί συγχύσεις καί ταραχάς ἀνηκέστους, καί τούς ὁμοφύλους ἀντιπάλους κατασκευάσαν, σχῆμα πόλεως ὑπ᾿ ἐχθρῶν ἁλούσης τῇ καθ᾿ ἡμᾶς ταύτῃ περιτίθησι πόλει, αὐτήν ἐφ᾿ ἑαυτήν ἐλεεινῶς ἐγεῖρον καί αὐτεπίβουλον καί πολεμίαν ἑαυτῆς ἐργαζόμενον˙ ὡς ὑπό τῆς ἀλιτηριώδους στάσεως ταύτης εἰς αἴνιγμα τά κατ᾿ αὐτήν περιίστασθαι.

Τίνες γάρ οἱ τήν πόλιν ἐπιτρέχοντες, ἔσθ᾿ ὅτε καί τούς οἴκους καταστρέφοντες, καί τά ἐν τοῖς οἴκοις διαρπάζοντες, καί σύν πολλῇ μανίᾳ τούς τῶν οἴκων δεσπότας ῥινηλατοῦντες, καί κατ᾿ αὐτῶν φονῶντες ἀνιλεῶς τε καί ἀπανθρώπως; Οὐχ οἱ τήν πόλιν οἰκοῦντες ταύτην; Τίνες καθ᾿ ὧν ἡ τηλικαύτη μανία καί βοή καί ὁρμή καί καταδρομή; Οὐχί καί οὗτοι πάλιν οἱ τήν πόλιν οἰκοῦντες ταύτην, ἔστι δ᾿ ὅτε καί παρ᾿ ὧν ἀπήλαυσε πολλῶν ἀγαθῶν; Ὦ τοῦ πάθους! Βαβαί τοῦ μεγέθους τῆς ἀθλιότητος! Αὐτή ἑαυτήν πολεμεῖ, αὐτή ὑφ᾿ ἑαυτῆς πολεμεῖται, ποσίν οἰκείους ἐλαύνεται, χερσίν οἰκείαις κατεδαφίζεται, φαναῖς οἰκείαις κατακροτεῖται, τῶν ἐν αὐτῇ (σελ. 32) κρειττόνων ὑποπτησσόντων καί τοῦ βαναύσου καί χείρονος κακῶς κατάρχοντος μέρους. Ἆρ᾿ οὐχί καί τῆς νόσου τῶν ἀναγεγραμμένων ἐν τῷ εὐαγγελίῳ παραλύτων ἐκείνων ἡ συμβαίνει εἰθισμένη νόσος αὕτη πολλῷ χείρων ἐστί καί ὅσον ἀργίας ἡ κακουργία πολλῷ χεῖρον καί βλαβερώτερον;

Ἀλλά μή δυσχεραίνητε τούτων ἀκούοντες˙ οὐ γάρ ἵνα ὀνειδίσω ταῦτα πρός ὑμᾶς λέγω, ἀλλ᾿ ἵνα ἐπιγνόντες τήν νόσον, νῦν ὅτε νήφετε ταύτης ἀπέχοντες, ζητήσητε τήν αἰτίαν, ἀφ᾿ ἧς ταύτῃ περιπεπτώκατε, καί ποθήσητε τήν ἰατρείαν, καί σπεύσαντες κτήσησθε καί διαφυλάξητε ταύτην, τοῦ Θεοῦ διδόντος τήν ἰατρείαν, καί πρός ταύτην ἐνδυμοῦντος ὑμᾶς, ὡς καί ἐπί τῶν παραλυτικῶν ἐκείνων πεποίηκεν˙ οὐ γάρ μόνον ἐθεράπευσεν αὐτούς, ἀλλά καί δύναμιν αὐτοῖς παρέσχεν, ὡς καί τόν κράββατον ἑκάτερον ἀναθέμενον, ἐφ᾿ ᾧ κατέκειτο, βαδίζειν ἀπροσκόπως.

Ἀλλά τί τό αἴτιον τοῖς τεθεραπευμένοις παραλυτικοῖς ἐκείνοις; Δύο γάρ ἦσαν, ὁ μέν ἐν Ἱερουσαλήν παρά τῇ τοῦ Σιλωάμ κολυμβήθρᾳ

κείμενος, ὁ δέ ἐν Καπερναούμ, ὑπό τεσσάρων φερόμενος. Τί οὖν τῆς νόσου τούτοις τό αἴτιον; Ἡ ἁμαρτία. Καί τοῦτο δείκνυσιν ὁ Κύριος˙ τῷ μέν γάρ, ἰδών αὐτοῦ τήν πίστιν πρό τῆς σωματικῆς ἰάσεώς φησι˙ «Τέκνον ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου». Τό δέ μετά τήν ἴασιν εὑρών, «Ἴδε», φησίν, «ὑγιής γέγονας˙ μηκέτι (σελ. 34) ἁμάρτανε, ἵνα μή χεῖρόν τί σοι γέγηται». Ὥσπερ οὖν ἐπ᾽ ἐκείνων ἡ ἑκατέρου ἁμαρτία φυγαδεύσασα τήν ὑγείαν παρέτου ἐποίησεν, οὕτω καί ἐφ᾽ ὑμῶν, ἡ κοινή ἁμαρτία φυγαδεύσασα τήν ἀγάπην πολεμίους ὑμᾶς ἀλλήλους κατέστησε˙ πόθεν γάρ ἀπωλέσατε, τήν ἀγάπην, εἰ μή ἀπό τῆς φιλαμαρτήμονος γνώμης; «Ἐν γάρ τῷ πληθυνθῆναι τήν ἁμαρτίαν, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν», ἐν τοῖς Εὐαγγελίοις φησίν ὁ Κύριος˙ ψυγείσης δέ τῆς ἀγάπης τελείως, τήν τοῦ Θεοῦ χάριν καί κηδεμονίαν παραμένει ἀδύνατον.

Καί ἵνα δι᾽ ὑποδείγματος ὑμῖν τό πάθος παραστήσω, λύχνῳ ἔοικεν ἡμῶν ἡ ἑκάστου ψυχή, ὡς ἐλαίου μέν ἔχουσα τήν ἀγαθοεργίαν, ἀντί δέ θρυαλλίδος φέρουσα τήν ἀγάπην, ᾗ ἐπαναπαύεται, ἀντί φωτός, ἡ χάρις τοῦ θείου Πνεύματος. Τοῦ τοίνυν ἐλαίου τούτου, δηλονότι τῆς ἀγαθοεργίας ἐκλειπούσης, ἡ ἀντί θρυαλλίδος ἐνοῦσα τῇ ψυχῇ ἀγάπη ἐξ ἀνάγκης ψύγεται καί οὕτω τό φῶς τῆς τοῦ Θεοῦ κηδεμονίας καί χάριτος ἀφίπταται, τῶν φυγόντων τήν ἀρετήν καί τήν ἀγάπην φυγαδευσάντων ἀνθρώπων˙ καί ὁ πρός ἀλλήλους αὐτοῖς τάραχος ἐπιγίνεται, τοῦ Θεοῦ τό πρόσωπον ἀπ᾽ αὐτῶν ἀποστρέψαντος, πρός ὅν φησιν ὁ Δαβίδ˙ «ἀποστρέψαντος δέ σου τό πρόσωπον ταραχθήσονται». Οὕτως ἐκ τῆς ἁμαρτίας ἐμφύλιος στάσις καί σύγχυσις ἡμῖν ἐπιγίνεται, κακίας ἅπαν εἶδος ἐπαγομένη καί τόν ἀρχηγόν τῆς κακίας τοῖς στασιάρχαις καί στασιασταῖς ἐνοικίζουσα, ὅς εἰς θηρία μετασκευάζει, οὐ πολύ δέ εἰπεῖν, ὅτι καί δαιμόνων ἦθος κεκτῆσθαι παρασκευάζει τούς ἐν οἷς εἰσοικίζεται. (σελ. 36) Καί οὕτως ἀνθρωποκτόνον τόν ἄνθρωπον ὁ ἐξ ἀρχῆς ἀνθρωποκτόνος καί μισάνθρωπος ἀπεργάζεται καί τῷ ζωοδότῃ Χριστῷ ἀντικείμενον, πόσῳ μᾶλλον τοῖς ἐπί γῆς βασιλεῦσιν ἤ τῷ κατά πνεῦμα πατρί καί ποιμένι καί διδασκάλῳ, ἀνήκοον καί ἀντίθετον.

Ἐπιστρέψατε οὖν εἰς τήν ὁδόν τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, καί ταύτης ἀντέχεσθε βεβαίως, ἵν᾽ ὑμῶν ἀειθαλής εἴη καί διηνεκής ἡ πρός ἀλλήλους ὁμόνοια, καί ἐπιστραφῇ πάλιν πρός ὑμᾶς ὁ Κύριος, καί ἐπαναπαύσηται ἐφ᾽ ὑμᾶς μετά τῆς εἰρήνης καί ἡ χάρις τοῦ θείου Πνεύματος. Ἀλλ᾽ ὁ ἐπί τῆς Ἰερουσαλήμ παραλυτικός ἐκεῖνος

παρέκειτο τῇ τούς νοσοῦντας ἰωμένη τοῦ Σιλωάμ κολυμβρήθρα· οὐδέ ὑμεῖς τελείως ἀπέστητε τῆς βραβευούσης τήν εἰρήνην Ἐκκλησίας Χριστοῦ. Ἀλλ᾽ ὡς ἐκεῖνος ἄνθρωπον οὐκ εἶχε τόν συνεργήσοντα πρός τήν ἀπό τῆς κολυμβήθρας ἐκείνης χάριν, οὕτως οὐδέ ὑμῖν ἐνταῦθα ποιμήν ὑπῆρχε κηρύττων εἰρήνην, καί συνάγων τά διεσκορπισμένα μέλη, καί συνάπτων πρός ἑαυτά, καί τήν ἀπό τοῦ μίσους νόσον καί καχεξίαν ἐκβάλλων τοῦ σώματος τῆς τοῦ Χριστοῦ Ἐκκλησίας.

Νῦν οὖν ἡμεῖς ἐπέστημεν ἤδη, καί σύνεσμεν ὑμῖν ἐν Χριστῷ, καί ὑπέρ Χριστοῦ πρεσβεύομεν, ὡς αὐτοῦ παρακαλοῦντος δι᾽ ἡμῶν. Καταλλάγητε τῷ Θεῷ. Ἐπίγνωτε τήν πρός ἀλλήλους συγγένειαν, οὐ κατά ψυχήν μόνον, ἀλλά καί κατά σῶμα προσοῦσαν ἐκ προγόνων ὑμῖν. Ἀναμνήσθητε τῶν πρότερον τῆς εἰρήνης ἡμερῶν ἐκείνων, πόσων δι᾽ αὐτῆς ἀπελαύετε καλῶν, ὧν πάντων ἐστερήθητε νῦν. Μή λογίζεσθε τό κακόν, μηδ᾽ ἀντιδιδόναι κακόν ἀντί κακοῦ θελήσητε, ἀλλ᾽ ἐν τῷ ἀγαθῷ νικήσατε τό κακόν. Τήν πρός (σελ. 38) ἀλλήλους ἀγάπην ἐντερνισάμενοι, ὡς ἄν καί τήν παρά Θεοῦ ἀγάπην κτήσησθε, καί τήν πρός αὐτόν ἀγάπην ἐνδείξησθε· οὐδέ γάρ ἐστιν ἀγάπην πρός Θεόν ἔχειν, ἤ τήν παρ᾽ αὐτοῦ χάριν καί κηδεμονίαν καρποῦσθαι τούς μή ἀγαπῶντας τούς ἰδίους ἀδελφούς.

Ὑπακούσατέ μοι νῦν ἐλθόντι πρός ὑμᾶς ἀδελφοί, καί τήν εἰρήνην πρό πάντων τε καί πρός πάντας εὐαγγελιζομένῳ κατά τό τοῦ Κυρίου παράγγελμα· καί συνεργάσασθέ μοι ταύτην, χαριζόμενοι ἀλλήλοις, εἴ τις πρός τινα ἔχει μομφήν, ὡς καί ὁ Χριστός ἐχαρίσατο ἡμῖν, ἵνα γένησθε υἱοί τῆς εἰρήνης, ταὐτό δ᾽ εἰπεῖν τοῦ Θεοῦ. Αὐτός γάρ ἐστιν ἡ εἰρήνη ὑμῶν, ὁ ποιήσας τά ἀμφότερα ἕν, καί τό μεσότοιχον τοῦ φραγμοῦ λύσας, καί καταργήσας τήν ἔχθραν ἐν τῷ σταυρῷ αὐτοῦ. Αὐτός καί πρός τούς ἰδίους μαθητάς καί δ᾽ ἐκείνων εἶπε πρός ἡμᾶς, εἰς ἥν ἄν πόλιν ἤ οἰκίαν εἰσέλθωμεν, τήν εἰρήνην προκαταγγέλειν αὐτοῖς. Καί τό ἔργον ἅπαν τῆς αὐτοῦ παρουσίας ἡ εἰρήνη ἐστί, καί δι᾽ αὐτήν κλίνας οὐρανούς ἐπί τήν γῆν κατῆλθε. Διό καί ὁ Δαβίδ περί αὐτοῦ προεῖπεν· «ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη καί πλῆθος εἰρήνης». Καί ἐν ἑτέρῳ ψαλμῷ πάλιν περί αὐτοῦ φησιν· «ὅτι λαλήσει εἰρήνην ἐπί τόν λαόν αὐτοῦ καί ἐπί τούς ὁσίους αὐτοῦ, καί ἐπί τούς ἐπιστρέφοντας καρδίαν ἐπ᾽ αὐτόν».

Δείκνυσι δέ καί ὁ ἐπί τῇ γεννήσει τούτου παρά τῶν ἀγγελῶν ὕμνος, ὅτι τήν εἰρήνην ἡμῖν κομίζων οὐρανόθεν ἦλθεν ἐφ᾽ ἡμᾶς, «δόξα», λεγόντων, «ἐν ὑψίστοις Θεῷ καί ἐπί γῆς εἰρήνη ἐν ἀνθρώποις

εὐδοκία». Καί αὐτός δέ πληρῶν ἤδην τήν σωτήριον (σελ. 40) οἰκονομίαν, τήν εἰρήνην ἀντί κληρονομίας τοῖς οἰκείοις ἀφῆκε, λέγων πρός αὐτούς, «εἰρήνην τήν ἐμήν δίδωμι ὑμῖν, εἰρήνην τήν ἐμήν ἀφίημι ὑμῖν». Καί πάλιν, «εἰρηνεύετε ἑαυτοῖς καί πᾶσι»˙ καί, «ἐν τούτῳ γνώσονται πάντες, ὅτι ἐμοί μαθηταί ἐστε, ἐάν ἀγαπᾶτε ἀλλήλους». Καί ἡ τελευταία ἥν ἔδωκεν ἡμῖν εὐχή, πρός τόν οἰκεῖον Πατέρα ἀναβαίνων, τήν πρός ἀλλήλοις ἀγάπην ἐπιστηρίζει˙ «Δός γάρ αὐτοῖς», φησίν, «ἵνα πάντες ἕν ὦσι».

Μή οὖν ἐκπέσωμεν τῆς πατρικῆς εὐχῆς, μηδέ τήν κληρονομίαν ἀποβαλώμεθα τοῦ οὐρανίου Πατρός, μηδέ τήν σφραγῖδα καί τό σημεῖον τῆς πρός αὐτόν οἰκειότητος, ἵνα μή καί τήν υἱοθεσίαν καί τήν εὐλογίαν καί τήν πρός αὐτόν μαθητείαν ἀποβαλώμεθα, καί τῆς ἐπηγγελμένης ἐκπέσωμεν ζωῆς, καί ἀποκλεισθῶμεν τοῦ πνευματικοῦ νυμφῶνος, καί παρ᾽ αὐτοῦ τοῦ εἰρηνάρχου Πατρός ἀκούσωμεν˙ οὐκ οἶδα ὑμᾶς˙ ἀποχωρεῖτε ἀπ᾽ ἐμοῦ οἱ τοῦ μίσους καί τῆς ἔχθρας καί τῶν σκανδάλων αἴτιοι˙ ὅς, ἵνα μή τοῦτο πάθωμεν, διά τῶν ἁγίων αὐτοῦ Μαθητῶν καί Ἀποστόλων παντί τῷ κόσμῳ τήν εἰρήνην ἀπέστειλε.

Διό καί αὐτοί ἐν ταῖς οἰκείαις ὁμιλίαις καί τοῖς συγγράμμασι, ταύτην πρό πάντων τιθέασι τῶν λόγων, «χάρις ὑμῖν καί εἰρήνη ἀπό Θεοῦ», προοιμιαζόμενοι. Ταύτην καί ἡμεῖς ὡς ὑπηρέται τῆς ἐκείνων διακονίας, ὑμῖν ἥκομεν ἀρτίως κομίζοντες, καί μετά Παύλου πρός ἡμᾶς λέγομεν˙ «εἰρήνην διώκετε μετά πάντων καί τῶν ἁγιασμόν ἧς χωρίς οὐδείς ὄψεται τόν Κύριον». Εἰ δέ, χωρίς τῆς μετά πάντων εἰρήνης, οὐδείς ὄψεται τόν Θεόν, ὁ μηδέ μετά τῶν (σελ. 42) πατριωτῶν εἰρηνεύων, πῶς ὄψεται τόν Θεόν ἐν αἰῶνι τῷ μέλλοντι; Πῶς δέ οὐκ ἀκούσεται τότε, «ἀρθήτω, ἵνα μή ἴδοι τήν δόξαν Κυρίου»; Ἀλλ᾽ ἡμῶν μηδένα γένοιτο ταύτης ἀκοῦσαι τῆς ἀπευκταίας φωνῆς, ἀλλά καταλλαγέντας, καί συναχθέντας πάντας διά τῆς εἰρήνης καί ἀγάπης καί ὁμονοίας εἰς ἕν, ἐν μέσῳ ἔχειν αὐτόν, κατά τήν αὐτοῦ γλυκεῖαν ἐπαγγελίαν, τόν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐξευμαρίζοντα μέν ἡμῖν τήν τοῦ παρόντος βίου δυσχέρειαν, χαριζόμενον δέ ἐν καιρῷ εὐθέτω τήν αἰώνιον ζωήν καί δόξαν, καί βασιλείαν.

Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καί φιλανθρωπίᾳ τοῦ εἰρηνοδώρου Θεοῦ καί Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ˙ ᾧ πρέπει δόξα, κράτος, τιμή καί προσκύνησις, σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ ζωοποιῷ Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας. Ἀμήν.

*ΟΜΙΛΙΑ Β’*

*ΕΙΣ ΤΗΝ ΚΑΤΑ ΤΟΝ ΤΕΛΩΝΗΝ ΚΑΙ ΤΟΝ ΦΑΡΙΣΑΙΟΝ*

*ΤΟΥ ΚΥΡΙΟΥ ΠΑΡΑΒΟΛΗΝ.* ***(Σελ. 46)***

Εὔπορός ἐστιν εἰς κακίαν ὁ νοητός τῆς κακίας προστάτης, καί πολύς μέν ἤδη καταβαλλομένους εἰς ψυχήν τούς τῆς ἀρετῆς θεμελίους τήν ἀρχήν εὐθύς ὑποσύραι, δι᾽ ἀνελπιστίας καί ἀπιστίας˙ πολύς δέ καί τοῖς τοίχοις οἷον ἀνεγειρομένοις τῆς κατ᾽ ἀρετήν οἰκίας, μεταξύ πάλιν ἐπιθέσθαι δι᾽ ἀκηδίας καί ῥᾳθυμίας ἔτι δέ καί αὐτόν ἐπῳκοδομημένον ἤδη τόν ὄροφον τῶν ἀγαθῶν ἔργων δι᾽ ὑπερηφανίας καί ἀπονοίας κατενεγκεῖν. Ἀλλά στῆτε, μή πτοηθῆτε˙ εὐπορώτερος γάρ ἐστιν ἐν ἀγαθοῖς ὁ σπουδαῖος καί πλείω τήν ἰσχύν ἔχει πρός ἀντιπαράταξιν τῆς κακίας ἡ ἀρετή, (σελ. 48) τήν ἄνωθεν πλουτοῦσα χορηγίαν καί συμμαχίαν παρ᾽ αὐτοῦ τοῦ τά πάντα ἰσχύοντος, καί πάντας τούς τῆς ἀρετῆς ἐραστάς ἐνδυναμοῦντος δι᾽ ἀγαθότητα˙ ὡς μή μόνον ἄσειστος διαμένειν τοῖς συνεσκευασμένοις ὑπό τοῦ ἀντικειμένου ποικίλοις καί πονηροῖς μηχανήμασιν, ἀλλά καί τούς εἰς βάθος ἐμπεσόντας κακῶν ἀνεγείρειν ἔχειν καί ἐπανάγειν, καί διά μετανοίας καί ταπεινώσεως τῷ Θεῷ προσάγειν μετ᾽ εὐκολίας.

Δεἰγμα δέ καί παράστασις διαρκής˙ καί γάρ ὁ Τελώνης, τελώνης ὤν, καί οἷον τῷ πυθμένι τῆς ἁμαρτίας ἐνδιαιτώμενος, λόγῳ μόνῳ κοινωνήσας τοῖς κατ᾽ ἀρετήν ζῶσι, καί τούτῳ βραχεῖ, κουφίζεται καί ὑψοῦται καί ὑπερβαίνει πᾶσαν κακίαν, καί τῷ χορῷ τῶν δικαίων ἐγκαταλείπεται, παρ᾽ αὐτοὺ δεδικαιωμένος τοῦ ἀδεκάστου Κριτοῦ. Εἰ δέ καί ὁ Φαρισαῖος λόγῳ καταδικάζεται, ἀλλά Φαρισαῖος ὤν, καί δοκῶν εἶναί τις ἑαυτῷ, ἀλλ᾽ οὐκ ὤν δίκαιος ἐπ᾽ ἀληθείας, καί θρασυστομῶν οὐκ ὀλίγα, ἐν οἷς οὐκ ἐλάττω τῶν συλλαβῶν τά τόν Θεόν παροργίζοντα.

Διατί δέ ἡ μέν ταπείνωσις πρός ὕψος ἀνάγει δικαιοσύνης, ἡ δέ οἴησις πρός βυθόν κατάγει τῆς ἁμαρτίας; Διότι ὁ μέν οἰόμενος ἑαυτόν εἶναί τινα μέγαν, καί ταῦτα ἐνώπιον τοῦ Θεοῦ, ἐγκαταλιμπάνεται δικαίως ὑπό Θεοῦ, ὡς μή τῆς παρ᾽ ἐκείνου δοκῶν χρήζειν ἐπικουρίας˙ ὁ δέ μηδέν οἰόμενος ἑαυτόν, καί διά τοῦτο βλέπων εἰς τούς ἄνωθεν οἰκτιρμούς, τυγχάνει δικαίως τῆς παρά τοῦ Θεοῦ συμπαθείας καί

βοηθείας καί χάριτος˙ «Κύριος», γάρ φησιν, «ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δέ δίδωσι χάριν».

(σελ. 50) Καί τοῦτο δεικνύς διά παραβολῆς ὁ Κύριος, «ἄνθρωποι», φησί, «δύο ἀνέβησαν εἰς τό ἱερόν προσεύξασθαι˙ ὁ εἷς Φαρισαῖος, καί ὁ ἕτερος Τελώνης». Θέλων ἐναργῶς παραστῆσαι τό ἐκ τῆς ταπεινώσεως κέρδος καί τήν ἐκ τῆς ὑπερηφανίας ζημίαν, εἰς δύο διεῖλε πάντας τούς τῷ ἱερῷ προσιόντας, μᾶλλον δέ τούς εἰς αὐτό ἀνιόντας, οὗτοι δέ εἰσιν οἱ προσευχῆς ἕνεκα τῷ τοῦ Θεοῦ ναῷ προσιόντες. Τοιαύτη γάρ ἡ τῆς προσευχῆς φύσις˙ ἀπό γῆς εἰς οὐρανόν ἀνάγει τόν ἄνθρωπον, καί πᾶν ἐπουράνιον ὑπερβᾶσα καί ὄνομα καί ὕψωμα καί ἀξίωμα, αὐτῷ παρίστησι τοῦτον τῷ ἐπί πάντων Θεῷ. Ἦν δέ καί τό ἱερόν ἐκεῖνο τό παλαιόν ἐφ᾽ ὑψηλοῦ κείμενον, ἐν μετεώρῳ τῆς πόλεως, ἐφ᾽ οὗ ποτε λόφου θανάτου τήν Ἰερουσαλήμ ἀναλίσκοντος, τόν θανατηρόφρον ἄγγελον ἰδών ὁ Δαβίδ ἐσπασμένον ρομφαίαν κατά τῆς πόλεως, ἀναβάς ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ καί ἀνήνεγκεν ἐπ᾽ αὐτοῦ τῷ Θεῷ θυσίαν καί ἐπεσχέθη ἡ θραῦσις. Εἰς τύπον καί ταῦτα τῆς κατά τήν ἱεράν προσευχήν σωτηρίου καί πνευματικῆς ἀναβάσεως καί τοῦ δι᾽ αὐτῆς ἱλασμοῦ (τυπικά γάρ ἦν ἐκεῖνα πάντα πρός σωτηρίαν ἡμῶν), εἰ δέ βούλει, καί εἰς τύπον τῆς καθ᾽ ἡμᾶς ταύτης ἱερᾶς Ἐκκλησίας, ἥτις ὄντως ἐφ᾽ ὑψηλοῦ κεῖται, ἀγγελικός τις ἄλλος οὖσα καί ὑπερκόσμιος χῶρος, ἐν ᾧ πρός ἐξιλασμόν τοῦ κόσμου παντός, καί θανάτου θραῦσιν, καί ζωῆς ἀθανάτου περιουσίαν, τό ἀναίμακτον καί μέγα καί ὄντως εὐπρόσδεκτον τῷ Θεῷ ἀναφέρεται θῦμα.

Διά ταῦτα τοίνυν οὐκ εἶπεν ἄνθρωποι δύο "προσῆλθον" τῷ ἱερῷ, ἀλλ᾽ «ἀνέβησαν» εἰς τό ἱερόν. Εἰσί δέ καί νῦν οἱ πρός τήν ἱεράν Ἐκκλησίαν ἐρχόμενοι, οὐκ αὐτοί ἀναβαίνουσιν, (σελ. 52) ἀλλά κατασπῶσι μᾶλλον τήν τόν οὐρανόν εἰκονίζουσαν Ἐκκλησίαν, οἵτινές εἰσιν οἱ συντυχίας χάριν καί ὁμιλίας τῆς πρός ἀλλήλους παραγινόμενοι, καί οἱ τά ὤνια προτιθέντες καί ἀγοράζοντες˙ ἐοίκασι γάρ ἀλλήλοις, οἱ μέν γάρ ὠνήν, οἱ δέ λόγους διδόντες ἀντιλαμβάνουσι τά κατάλληλα. Οὕς, ὥσπερ τοῦ ἱεροῦ ἐκείνου παντελῶς ὁ Κύριος ἔξωσέ ποτε, πρός αὐτούς εἰπών, «ὁ οἶκος μου οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δέ ἐποιήσατε αὐτόν σπήλαιον ληστῶν», οὕτω καί τῶν οἰκείων τούτων λόγων ἐξέβαλεν, ὡς μή ἀναβαίνοτας εἰς τό ἱερόν ὅλως, κἄν ἑκάστης ἡμέρας ἔρχωνται.

Ὁ δέ Φαρισαῖος καί ὁ Τελώνης ἀνέβησαν εἰς τό ἱερόν˙ ἀμφοτέροις γάρ εἷς ἦν σκοπός τό προσεύξασθαι, εἰ καί ὁ Φαρισαῖος μετά τήν ἄνοδον κατήνεγκεν ἑαυτόν, ὑπό τοῦ τρόπου περιτραπείς˙ σκοπός μέν γάρ αὐτοῖς τῆς ἀναβάσεως ὁ αὐτός (προσεύξασθαι γάρ ἀνέβησαν), ὁ δέ τρόπος ἀντίθετος˙ ὁ μέν γάρ συντετριμμένος καί τεταπεινωμένος ἀνήρχετο, παρά τοῦ ψαλμῳδοῦ προφήτου μαθών, ὅτι «καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει», ἐπεί καί αὐτός περί ἑαυτοῦ φησιν ὁ προφήτης, πάντως διά πείρας εἰδώς, «ἐταπεινώθην καί ἔσωσέ με ὁ Κύριος». Καί τί λέγω τόν προφήτην; Ὁ γάρ τῶν προφητῶν Θεός καθ᾽ ἡμᾶς δι᾽ ἡμᾶς γενόμενος ἐταπείνωσεν ἑαυτόν, καθά φησιν ὁ ἀπόστολος διό καί ὁ Θεός αὐτόν ὑπερύψωσεν. Ὁ δέ Φαρισαῖος μέγα φυσῶν καί (σελ. 54) ἀλαζωνευόμενος ἄνεισιν, ὡς καί δικαίωσων ἑαυτόν˙ καί ταῦτα ἐνώπιον τοῦ Θεοῦ, παρ᾽ ᾧ πᾶσα δικαιοσύνη ἡμῶν, ὡς ῥάκος ἀποκαθημένης˙ οὐ γάρ ἤκουσε τοῦ λέγοντος, «ἀκάθαρτος παρά Κυρίῳ πᾶς ὑψηλοκάρδιος», καί «Κύριος ὑπερηφάνοις ἀντιτάσσεται», καί «οὐαί οἱ δικαιοῦντες ἑαυτούς καί ἐνώπιον αὐτῶν ἐπιστήμονες».

Οὐ μόνον δέ τό ἦθος καί ὁ τρόπος αὐτούς διεῖλε διάφορος ὤν, ἀλλά καί τό τῆς προσευχῆς εἶδος˙ διπλοῦν γάρ καί τοῦτο˙ προσευχή γάρ ἐστιν οὐ δεήσεως μόνον, ἀλλά καί εὐχαριστίας πρόβλημα˙ καί ὁ μέν τῶν προσευξομένων ἄνεισι πρός τόν τοῦ Θεοῦ ναόν, δοξάσων καί εὐχαριστήσων τῷ Θεῷ, ὑπέρ ὧν ἔλαβε παρ᾽ αὐτοῦ, ὁ δέ αἰτήσω ἅπερ οὔπω ἔλαβεν, ὧν καί μάλιστα τῆς ἑκάστης ὥρας καθ᾽ ἡμᾶς ἁμαρτάνουσιν ἔτι καί ἡ τῶν ἁμαρτημάτων ἄφεσις˙ ἡ γάρ ὑπόσχεσις τῶν παρ᾽ ἡμῶν τῷ Θεῷ κατ᾽ εὐσέβειαν προσφερομένων, οὐ προσευχήν, ἀλλ᾽ εὐχήν ἔχει τήν ἐπωνυμίαν˙ καί τοῦτ᾽ ἐδήλωσεν ὁ εἰπών, «Εὔξασθε καί ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν», καί ὁ λέγων, «Κρεῖσσον μή εὔξασθαι ἤ εὔξασθαι καί μή ἀποδοῦναι».

Ἀλλά τό διπλοῦν τῆς προσευχῆς εἶδος, διπλῆν ἔχει καί τήν ἀχρείωσιν τοῖς μή προσέχουσι˙ τήν μέν γάρ ὑπέρ ἀφέσεως ἁμαρτημάτων προσευχήν τε καί δέησιν ἀνύσιμον μέ ποιεῖ μετά τήν ἀποχήν τῶν κακῶν ἡ πίστις καί ἡ κατάνυξις, ἀνήνυτον δέ ἡ ἀπόγνωσις καί ἡ πώρωσις. Τήν δέ ὑπέρ ὧν εὖ παρά Θεοῦ πεπόνθαμεν εὐχαριστίαν, εὐπρόσδεκτον μέν ἡ ταπείνωσις ποιεῖ, καί τό (σελ. 56) μή κατεπαίρεσθαι τῶν οὐκ ἐχόντων, ἀπρόσδεκτον δέ ἡ ἐπί τούτοις ἔπαρσις, ὡς οἰκείᾳ σπουδῇ καί γνώσει προσγινομένοις, καί ἡ πρός τούς μή κεκτημένους κατάκρισις. Ἅπερ ἄμφω νοσῶν ὁ Φαρισαῖος,

παρ᾽ ἑαυτοῦ καί τῶν οἰκείων λόγων ἐλέγχεται˙ ἀναβάς γάρ εἰς τό ἱερόν, εὐχαριστήσων οὐ δεηθησόμενος, ἔπαρσιν καί κατάκρισιν ἀφρόνως τε καί ἀθλίως τῇ πρός Θεόν εὐχαριστίᾳ κατέμιξε. Σταθείς γάρ φησίν, οὗτος πρός ἑαυτόν ταῦτα προσηύχετο «ὁ Θεός εὐχαριστῶ σοι, ὅτι οὐκ εἰμί ὥσπερ οἱ λοιποί τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί».

Τό στῆναι τόν Φαρισαῖον οὐ τήν δουλικήν παράστασιν, ἀλλά τήν ἀπηρυθριασμένην ἀνάτασιν δηλοῖ, τήν ἀντικειμένην τῷ μή δέ τούς ὀφθαλμούς θαρροῦντι πρός οὐρανόν ὑπό ταπεινώσεως ἆραι. Εἰκότως δέ πρός ἑαυτόν ὁ Φαρισαῖος προσηύχετο˙ οὐ γάρ ἀνέβαινε πρός τόν Θεόν, εἰ καί όὐκ ἐλάνθανε τόν καθήμενον ἐπί τῶν Χερουβίμ, καί ἐπιβλέποντα τά ἔσχατα τῶν ἀβύσσων, ἡ αὐτοῦ τοιαύτη προσευχή˙ «εὐχαριστῶ σοι» γάρ εἰπών, οὐκ ἐπήνεγκεν, ὅτι δωρεάν, ὡς ἀσθενῆ πρός ἀντιπαράταξιν, ἐλεήσας ἔδωκάς μοι τήν ἀπό τῶν τοῦ πονηροῦ παγίδων ἐλευθερίαν˙ ἀνδρεῖον γάρ ἔστι κατά ψυχήν, ἀδελφοί, τό κρατηθέντα ταῖς τοῦ ἐχθροῦ πάγαις, καί περιπεσόντα τοῖς βρόχοις τῆς ἁμαρτίας, δυνηθῆναι τῇ μετανοίᾳ διαφυγεῖν. Διά τοῦτο προνοίᾳ μείζονι τά καθ᾽ ἡμᾶς διευθύνεται, καί πολλάκις μικρόν ἤ μηδέν σπουδάσαντες, πολλῶν καί μεγάλων παθῶν ἀνώτεροι σύν Θεῷ διεμείναμεν, συμπαθῶς κουφισθέντες διά τήν (σελ. 58) ἡμετέραν ἀσθένειαν˙ καί δεῖ τῆς δωρεᾶς ἐπιγνώμονας ἡμᾶς εἶναι, καί ταπεινοῦσθαι τοῦ παρασχόντος ἐνώπιον, ἀλλά μή ἐπαίρεσθαι.

Ὁ δέ Φαρισαῖος, «εὐχαριστῶ σοι», φησίν, ὁ Θεός˙ οὐχ ὅτι ἔλαβον βοήθειάν τινα παρά σοῦ, ἀλλ᾽ «ὅτι οὐκ εἰμί ὥσπερ οἱ λοιποί τῶν ἀνθρώπων»˙ ὡς ἄν οἴκοθεν καί παρ᾽ ἑαυτοῦ καί ἐξ οἰκείας ἔχων δυνάμεως τό μή εἶναι ἅρπαξ, καί μοιχός καί ἄδικος εἴπερ ἄρα καί οὐκ ἦν˙ οὐ γάρ προσεῖχεν ἑαυτῷ, ἵνα δίκαιος εἴη πιστεύεσθαι περί ἑαυτοῦ λέγων, ἀλλά πάντας μᾶλλον ἔβλεπεν, ἤ ἑαυτόν, καί πάντας, ὢ τῆς ἀπονοίας, ἐξουδενῶν, ἕνα μόνον ᾤετο δίκαιον εἶναι καί σώφρονα, ἑαυτόν˙ «οὐκ εἰμί», γάρ φησίν, «ὥσπερ οἱ λοιποί τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί, ἤ καί ὡς οὗτος ὁ Τελώνης». Τῆς ἀνοίας εἶπεν ἄν τις πρός αὐτόν, καί εἰ πλήν σοῦ, πάντες ἄδικοί τε καί ἅρπαγες, τίς ὁ τήν ἁρπαγήν καί τήν κάκωσιν ὑφιστάμενος; Τί δέ καί ὁ Τελώνης οὗτος, καί ἡ τούτου κατ᾽ ἐξοχήν προσθήκη; Οὐχ εἷς ὢν ἁπάντων μετά τῶν λοιπῶν καί οὗτος τῇ παρά σοῦ κοινῇ, καί ὡς εἰπεῖν οἰκουμενικῇ κατακρίσει συμπεριείληπται; Ἤ διπλασίας ἔδει τούτῳ τῆς καταδίκης, ὡς ὑπό τούς φαρισαϊκούς σούς ὀφθαλμούς, εἰ καί μακράν ἑστῶτι;

Ἄλλως τε καί τελώνην μέν ὑπάρχοντα φανερῶς, ἄδικον ᾔδεις ὄντα, μοιχόν δέ πόθεν; Ἤ σέ τοῦτον ἀδικεῖν καί προπηλακίζειν ἀνεύθυνον, ἐπειδήπερ οὗτος ἄλλους ἠδίκει; Οὐκ ἔστι τοῦτο οὐκ ἔστιν, ἀλλ᾽ οὗτος μέν φέρων ἐν ταπεινῷ τῷ φρονίματι τήν σήν ὑπερήφανον κατηγορίαν καί τῷ Θεῷ προσφέρων σύν αὐτομεμψίᾳ τήν ἱκεσίαν, ἀφεθήσεται παρ᾽ αὐτοῦ δικαίως τῆς ὑπέρ ὧν αὐτός ἠδίκησε καταδίκης˙ σύ δέ καταδικασθήσῃ δικαίως, ὑπερηφάνως ἐκείνου τε καί πάντων ἀνθρώπων κατηγορῶν, καί μόνον ἁπάντων σεαυτόν δικαιῶν. «Οὐκ εἰμί ὥσπερ οἱ λοιποί τῶν ἀνθρώπων, ἅρπαγες, ἄδικοι, μοιχοί».

(σελ. 60) Ταῦτα τά ῥήματα καί τήν πρός τόν Θεόν καί τήν πρός πάντας ἀνθρώπους ὑπεροψίαν τοῦ Φαρισαίου παρίστησι, πρός δέ καί τό κάνον τῆς αὐτοῦ συνειδήσεως˙ τούς τε γάρ ἀνθρώπους κοινῇ πάντας ἐξουδενεῖ φανερῶς, καί τήν τῶν κακῶν ἀποχήν οὐ τῇ τοῦ Θεοῦ, ἀλά τῇ καθ᾽ ἑαυτόν δυνάμει προσμαρτυρεῖ. Εἰ δέ εὐχαριστεῖν φησιν, ἀλλά τάχα διά τοῦτο, καί πλήν αὐτοῦ πάντας ἀνθρώπους ἀκολάστους εἶναι νομίζει καί ἀδίκους καί ἅρπαγας, ὡς μηδενί, πλήν αὐτῷ, ἀξιοῦντος τοῦ Θεοῦ τήν ἀρετήν παρασχεῖν. Ἀλλ᾽ εἰ πάντες οἱ λοιποί τοιοῦτοι, τά τοῦ Φαρισαίου τούτου προκεῖσθαι τούτοις πᾶσι πρός διαρπαγήν ἐχρῆν. Οὐ φαίνεται δέ οὕτως˙ ἐπάγει γάρ αὐτός, ὅτι «νηστεύω δίς τοῦ σαββάτου, ἀποδεκατῶ πάντα ὅσα κτῶμαι». Οὐχ ὅσα κέκτημαί φησιν ἀποδεκατοῦν, ἀλλ᾽ ὅσα κτᾶται, τάς προσθήκας καί τάς ἐπαυξήσεις τῆς οἰκείας παριουσίας διά τούτου δηλῶν. Οὐκοῦν εἶχε μέν ἅπερ ἐκέκτητο, προσελάμβανε δέ ἀναπηρεάστως ἅπερ ἐδύνατο˙ πῶς οὖν χωρίς αὐτοῦ πάντες ἥρπαζον καί ἠδίκουν; Οὕτως αὐτέλεγκτόν ἐστιν καί αὐτεπίβουλον ἡ κακία! Οὕτως ἐστί συγκεκραμμένον ἀεί τό ψεῦδος τῇ ἀπονοίᾳ.

Τήν μέν οὖν ἀποδεκάτωσιν εἰς παράστασιν ἐκ περιουσίας τῆς οἰκείας δικαιοσύνης προήγαγε˙ πῶς γάρ ἅρπαξ ἔσται τῶν ἀλλοτρίων ὁ ἀποδεκατῶν τά οἰκεῖα; Τήν δέ νηστείαν εἰς τήν τῆς σωφροσύνης ἐπίδειξιν˙ ποιητική γάρ ἁγνείας ἡ νηστεία ἐστίν. Ἔστω τοίνυν, σώφρων ὑπάρχεις καί δίκαιος, εἰ δέ βούλει, καί σοφός καί νουνεχής καί ἀνδρεῖος καί εἴ τι τοιοῦτον ἕτερον˙ εἰ μέν παρά σεαυτοῦ λαβών ἔχεις, καί μή παρά τοῦ Θεοῦ, τί καταψεύδη καί τοῦ τῆς προσευχῆς σχήματος καί εἰς τό ἱερόν ἀναβαίνεις καί εὐχαριστεῖν μάτην λέγεις; Εἰ δέ παρά Θεοῦ λαβών ἔχεις, (σελ. 62) οὐκ ἔλαβες ἵνα κιμπάζῃς, ἀλλ᾽ ἵνα πρός οἰκοδομήν τοῖς ἄλλοις ὑπάρχῃς εἰς δόξαν τοῦ παρασχόντος. Χαίρειν οὖν ὡς ἀληθῶς ἔδει σύν ταπεινώσει καί εὐχαριστεῖν καί τῷ

δόντι καί δι᾿ οὕς ἔλαβεν· οὐ γάρ ὑπέρ ἑαυτῆς μᾶλλον ἤ διά τούς ὁρῶντας ἡ λαμπάς λαμβάνει τό φῶς. Σάββατον δέ φησιν ὁ Φαρισαῖος οὐ τήν ἑβδόμην ἡμέρα, ἀλλά τήν ἑβδομάδα τῶν ἡμερῶν, ὧν τάς δύο νηστίμους ἄγων μεγαλαυχεῖ, ἀγνοῶν ὅτι αὗται μέν ἀνθρώπιναι ἀρεταί, ἡ δέ ὑπερηφανία δαιμονιώδης· διό καί ἀχρειοῖ ταύτας καί συγκατασπᾷ συζυγεῖσα, κἄν ἀληθεῖς ὦσι, πόσῳ μᾶλλον εἰ κεκιβδηλευμέναι.

Ὁ μέν Φαρισαῖος τοιαῦτα. «Ὁ δέ Τελώνης μακρόθεν ἑστώς, οὐκ ἤθελεν οὐδέ τούς ὀφθαλμούς πρός τόν οὐρανόν ἆραι, ἀλλ᾿ ἔτυπτεν εἰς τό ἑαυτοῦ στῆθος, λέγων· «Ὁ Θεός ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ». Ὁρᾶτε τήν ταπείνωσιν ὅση, καί τήν πίστιν καί τήν αὐτομεμψίαν; Ὁρᾶτε τήν ἄκραν συστολήν τῆς τε διανοίας καί τῶν αἰσθήσεων, ἅμα δέ καί τήν συντριβήν τῆς καρδίας τῇ προσευχῇ τοῦ Τελώνου τούτου συγκεκραμμένην; Ἀναβάς γάρ εἰς τό ἱερόν ὑπέρ τῆς τῶν οἰκείων ἁμαρτημάτων ἀφέσεως δεησόμενος, καλάς ἐπηγάγετο μεθ᾿ ἑαυτοῦ τάς μεσιτευούσας πρός τόν Θεόν, τήν ἀκαταίσχυντον πίστιν, τήν ἀκατάκριτον αὐτομεμψίαν, τήν μή ἐξουδενωμένην συντριβήν τῆς καρδίας, τήν ὑψοῦσαν ταπείνωσιν. Συνῆψε δέ καί τῇ προσευχῇ τήν προσοχήν ἄριστα. Μακρόθεν γάρ φησιν ἑστώς ὁ Τελώνης οὗτος. Οὐκ εἶπε σταθείς ὡς ἐπί τοῦ Φαρισαίου, ἀλλ᾿ ἑστώς· τήν ἐπί πολύν παράτασιν τῆς στάσεως διά τούτου δηλῶν, ὁμοῦ δέ καί τό ἐπίμονον τῆς δεήσεως καί τῶν ἱλαστηρίων ρημάτων· μηδέν γάρ ἕτερον μήτε προτιθείς, μήτε διανοούμενος, ἑαυτῷ μόνῳ προσεῖχε καί τῷ Θεῷ, αὐτήν ἐφ᾿ ἑαυτήν (σελ. 64) στρέφων καί πολυπλασιάζων μόνην τήν μονολόγιστον δέησιν, ὅπερ ἀνυσιμώτατόν ἐστι προσευχῆς εἶδος.

«Μακρόθεν οὖν», φησίν, «ὁ Τελώνης ἑστώς, οὐκ ἤθελεν οὐδέ τούς ὀφθαλμούς εἰς τόν οὐρανόν ἆραι». Αὕτη ἡ στάσις, καί στάσις ἦν ὁμοῦ καί ὑπόπτωσις, καί οὐκ εὐτελοῦς δούλου μόνον, ἀλλά καί καταδίκου παράστασις. Ἐμφαίνει δέ καί τήν ἀφειμένην τῆς ἁμαρτίας ψυχήν, μακράν μέν οὖσαν ἔτι Θεοῦ, διά τό μήπω τήν δι᾿ἔργων ἔχει πρός αὐτόν παρρησίαν, ἐγγίζει δέ προσδόκιμον οὖσαν Θεῷ, διά τήν ἀποχήν τῶν κακῶν καί τήν ἀγαθήν ἤδη πρόθεσιν. Οὕτως οὖν μακρόθεν ὁ Τελώνης ἑστώς, οὐκ ἤθελεν οὐδέ τούς ὀφθαλμούς εἰς τόν οὐρανόν ἆραι, τῷ τρόπῳ καί τῷ σχήματι τήν οἰκείαν κατάγνωσιν καί αὐτοπεμψίαν ἐπιδεικνύμενος· ἀνάξιον γάρ ἑαυτόν ἡγεῖτο καί τοῦ οὐρανοῦ καί τοῦ κατά τήν γῆν ἱεροῦ. Διό τοῦ μέν ἐπί τῶν προθύμων εἱστήκει, πρός δέ τόν οὐρανόν οὐδέ ἀτενίζειν ἐτόλμα, πόσῳ μᾶλλον

πρός τόν τοῦ οὐρανοῦ Θεόν˙ ἀλλ᾽ ὑπό τῆς σφοδρᾶς κατανύξεως τύπτων τό ἑαυτοῦ στῆθος καί πληγῶν ἑαυτόν ἄξιον παριστάς ἐνεῦθεν, βαρυπενθῶν καί τούς στεναγμούς ἀναπέμπων ἐκεῖθεν καί τήν κεφαλήν ὡς κατάκριτος κλίνων, ἁμαρτωλόν ἐκάλει καί τό ἱλασμόν πιστῶς ἐπεζήτει, λέγων˙ «Ὁ Θεός ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ». Ἐπίστευσε γάρ τῷ λέγοντι «ἐπιστράφητε πρός με καί ἐπιστραφήσομαι πρός ὑμᾶς», καί τῷ προφήτῃ μαρτυροῦντι, «εἶπα ἐξαγορεύσω κατ᾽ ἐμοῦ τήν ἀνομίαν μου τῷ Κυρίῳ, καί σύ ἀφῆκας τήν ἀσέβειαν τῆς καρδίας μου».

(σελ. 66) Τί δέ τό ἐπί τούτοις; «Κατέβη οὗτος δεδικαιωμένος», φησίν ὁ Κύριος, «ἤ ἐκεῖνος˙ ὅτι πᾶς ὁ ὑψῶν ἑαυτόν ταπεινωθήσεται, ὁ δέ ταπεινῶν ἑαυτόν ὑψωθήσεται». Ὡς γάρ τό αὐτόχρημα τύφος ἐστίν ὁ διάβολος καί ἴδιόν ἐστι τούτῳ ἡ ὑπερηφανία κακόν, διό καί νικᾷ καί συγκατασπᾷ συμμιγεῖσα πᾶσαν ἀρετήν ἀνθρωπίνην, οὕτως ἡ πρός τόν Θεόν ταπείνωσις ἀγγέλων τῶν ἀγαθῶν ἐστιν ἀρετή καί νικᾷ πᾶσαν ἀνθρωπίνην κακίαν ἐπιγενομένην τῷ πταίσαντι˙ ὄχημά γάρ ἐστιν ἡ ταπείνωσις τῆς πρός τόν Θεόν ἀναβάσεως, κατά τάς νεφέλας ἐκείνας, αἵ μέλλουσιν ἀνοίσειν πρός τόν Θεόν τούς ἐσομένους εἰς ἀπείρους αἰῶνας μετά Θεοῦ, καθάπερ ὁ ἀπόστολος προεφήτευσεν˙ «ἁρπαγησόμεθα», λέγων, «ἐν νεφέλαις εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, καί οὕτω πάντοτε σύν Κυρίῳ ἐσόμεθα». Οἷον γάρ τίς ἐστι νεφέλη, καί ἡ ταπείνωσις, διά μετανοίας συστᾶσα καί τάς τῶν δακρύων λιβάδας ἐκ τῶν ὀφθαλμῶν ἀφιεῖσα καί τούς ἀξίους ἐκ τῶν ἀναξίων ἐξάγουσα καί ἀνάγουσα καί τῷ Θεῷ συνιστᾶσα, δωρεάν δεδικαιωμένους διά τήν εὐγνωμοσύνην τῆς προαιρέσεως.

Ἀλλ᾽ ὁ μέν Τελώνης κακοτέχνως σφετεριζόμενος τά ἀλλότρια πρότερον, τῆς κακοτεχνίας ἀφέμενος ὕστερον καί μή δικαιῶν ἑαυτόν, δεδικαίωται, ὁ δέ Φαρισαῖος τῶν ἄλλοις προσηκόντων μή ἀντεχόμενος καί δικαιῶν ἑαυτόν κατακέκριται. Οἱ δέ καί τῶν ἄλλων προσηκόντων μή ἀπεχόμενοι, καί δικαιοῦν ἐπιχειροῦντες ἑαυτούς, τί πείσονται;

Ἀλλά τούτους μέν ἀφῶμεν, ἐπεί καί ὁ Κύριος, ὡς ἄρα μή λόγῳ καταπειθεῖς. Ἔστι δ᾽ ὅτε καί ἡμεῖς ταπεινούμεθα προσευχόμενοι, (σελ. 68) καί ἴσως οἰόμεθα τοῦ Τελώνου κομίζεσθαι τό δικαίωμα. Οὐκ ἔχει δέ οὕτως˙ ἐκεῖνο γάρ δεῖ σκοπεῖν, ὅτι παρά τοῦ Φαρισαίου κατά πρόσωπον ὁ Τελώνης καί μετά τό ἐκστῆναι τῆς ἁμαρτίας ἐξουθενούμενος καί αὐτός ἑαυτόν ἐξουθενῶν κατεδίκαζε μή μόνον οὐκ ἀντιλέγων, ἀλλά καί συνηγορῶν ἐκείνῳ καθ᾽ ἑαυτοῦ.

Ὅταν οὖν καί αὐτός τήν ἐν χερσί κακίαν ἀφείς, τοῖς δι᾽ αὐτήν ἐξουθενοῦσι καί λοιδοροῦσιν οὐκ ἀντιλέγῃς, ἀλλά συγκαταδικάζων σαυτόν, ὡς ὄντα τοιοῦτον, διά προσευχῆς ἐν κατανύξει πρός μόνον καταφεύγεις τόν ἐκ Θεοῦ ἱλασμόν, ἴσθι σεσωσμένος τελώνης ὤν. Πολλοί γάρ φησιν ἑαυτούς ἁμαρτωλούς καί λέγομεν ἴσως καί ἔχομεν˙ ἀτιμία δέ καρδίαν ἐδοκίμασεν˙ ὥσπερ γάρ ὁ μέγας Παῦλος πόρρω τῆς φαρισαϊκῆς μεγαλαυχίας ἐστί, καίτοι πρός τούς ἐν Κορίνθῳ γλώσσαις λαλοῦντας γράφων, «εὐχαριστῶ τῷ Θεῷ μου πάντων ὑμῶν μᾶλλον γλώσσαις λαλῶν» (ἵνα γάρ ἐκείνους καταστείλῃ κατά τῶν μή τό χάρισμα κεκτημένων ἐπαιρομένους, τοιαῦτα γράφει ὁ ἀλλαχοῦ πάντων περίψημα ἑαυτόν εἶναι λέγων)˙ ὥσπερ οὖν ὁ Παῦλος ἐκεῖνα γράφων, πόρρω τῆς φαρισαϊκῆς μεγαλαυχίας ἐστίν, οὕτως ἐστί καί τά τοῦ Τελώνου ρήματα λέγειν, καί ταπεινολογεῖν κατ᾽ ἐκεῖνον, καί μή δικαιωθῆναι καθάπερ ἐκεῖνος δεῖ γάρ τοῖς τελωνιακοῖς ρήμασι προσεῖναι καί τήν ἀπό τῶν κακῶν μετάθεσιν, καί τήν ἐν τῇ ψυχῇ διάθεσιν, καί τήν κατάνυξιν, καί τήν ὑπομονήν ἐκείνου˙ ἐπεί καί ὁ Δαβίδ ἔργοις δεῖν ἔδειξε τόν ὑπεύθυνον ἑαυτόν παρά Θεῷ λογιζόμενον καί μετανοοῦντα, (σελ. 70) δικαίαν ἡγεῖσθαι καί φορητήν τήν παρ᾽ ἑτέρων εἰς αὐτόν ὕβριν καί ἀτιμίαν˙ μετά γάρ τήν ἁμαρτίαν κακῶς ἀκούων παρά Σεμεεί, πρός τούς ἀμύνεσθαι βουλομένους ἔλεγεν, «ἄφετε αὐτόν καταρᾶσθαί με, ὅτι Κύριος εἶπεν αὐτῷ καταράσασθαι τόν Δαβίδ», τήν ἀπό τοῦ Θεοῦ διά τήν εἰς αὐτόν ἁμαρτίαν συγχώρησιν, ἐκείνου πρόσταγμα λέγων εἶναι˙ καίτοι δεινῇ τότε καί μεγάλῃ συμφορᾷ προσεπάλαιεν ὁ Δαβίδ, ἄρτι τοῦ Ἀβεσσαλών ἐπαναστάντος αὐτῷ.

Καί δή μετ᾽ ὀδύνης οὐ φορητῆς ἄκων τήν Ἱερουσαλήμ ἀπολιπών, ἐπεί πρός τήν ὑπώρειαν τοῦ Ἐλαιῶνος ἔφθασε φεύγων, τόν Σεμεεί προσθήκην εὗρε τῆς συμφορᾶς, λίθοις αὐτόν βάλλοντα καί ἀφειδῶς ἐπαρώμενον καί ἀναιδῶς καθυβρίζοντα καί ἄνδρα αἱμάτων ἀποκαλοῦντα καί ἄνδρα παράνομον, οἱονεί τό περί τήν Βηρσαβεέ καί τόν Οὐρίαν ἄγος εἰς ὀνειδισμόν τοῦ βασιλέως ὑπ᾽ ὄψιν ἄγοντα. Καί οὐδέ ἅπαξ ἤ δίς ἐπαρασάμενος καί λίθοις καί λίθων πληκτικωτέροις ρήμασι βαλών ἀπήλλαξεν˙ ἀλλ᾽ ἐπορεύετό φησιν ὁ βασιλεύς καί πάντες οἱ ἄνδρες αὐτοῦ μετ᾽ αὐτοῦ, καί Σεμεεί ἐπορεύετο ἐκ πλευρᾶς τοῦ ὄρους, ἐχόμενος αὐτοῦ, καταρώμενος καί λίθοις βάλλων ἐκ πλαγίου καί τῷ χοΐ πάσσων τόν βασιλέα. Οὐκ ἠπόρει δέ τῶν κωλυσόντων ὁ βασιλεύς. Ἀβεσσά γοῦν ὁ στρατηγός μή ἀνασχόμενος

πρός τόν Δαβίδ εἶπεν˙ «Ἵνα τί καταρᾶται ὁ κύων ὁ τεθνηκώς οὗτος τόν κύριόν μου τόν βασιλέα; διαβήσομαι δή καί (σελ. 72) καί ἀφελῶ τήν κεφαλήν αὐτοῦ». Ὁ δέ βασιλεύς ἐπέσχεν αὐτόν καί πάντας τούς παῖδας αὐτοῦ, πρός αὐτούς εἰπών˙ ἄφετε αὐτόν, ὅπως ἴδοι Κύριος ἐν τῇ ταπεινώσει μου καί ἐπιστρέψοι μοι ἀγαθά ἀντί τῆς κατάρας αὐτοῦ.

Ὅ καί τότε μέν ἐτελέσθη καί εἰς ἔργον ἐξέβη, δείκνυται δέ καί διά τῆς κατά τόν Τελώνην τοῦτον καί τόν Φαρισαῖον παραβολῆς, ὑπό τῆς δικαιοσύνης ἀεί τελούμενον˙ ὁ γάρ ὑπεύθυνον ἑαυτόν ἀληθῶς αἰωνίου κολάσεως λογιζόμενος, πῶς οὐκ ἄν ὑπομείνῃ γενναίως, οὐκ ἀτιμίαν μόνον, ἀλλά καί ζημίαν καί νόσον καί πᾶσαν, ὡς εἰπεῖν, δυσπραγίαν καί κάκωσιν; Ὁ δέ τοιαύτην ὑπομονήν ἐνδεικνύμενος, ὡς χρεώστης οὕτω καί ὑπεύθυνος ὤν, δι᾽ἐλαφροτέρας καταδίκης καί προσκαίρου καί λυομένης λυτροῦται τῆς ὄντως βαρείας ἐκείνης καί ἀφορήτου καί ἀλήκτου κολάσεως, ἔστι δ᾽ ὅτε καί τῶν νῦν ἐπικειμένων δεινῶν, ἀρχήν ἐντεῦθεν λαμβανούσης τῆς δι᾽ ὑπομονήν οἷον ἐποφειλομένης θείας χρηστότητος˙ διό καί τις τῶν ὑπό Θεοῦ παιδευομένων ἔφη˙ «παιδείαν Κυρίου ὑποίσω, ὅτι ἥμαρτον αὐτῷ».

Γένοιτο δέ καί ἡμᾶς μετ᾽ ἐλέους, ἀλλά μή ἐν ὀργῇ καί θυμῷ Κυρίου παιδευομένους τῇ παιδείᾳ τοῦ Θεοῦ μή κατενεχθῆναι, ἀλλά κατά τόν ψαλμῳδόν ἀνορθωθῆναι εἰς τέλος, χάριτι κάι φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ˙ ᾧ πρέπει δόξα, κράτος, τιμή καί προσκύνησις σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί, καί τῷ ζωοποιῷ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ Γ’*

## *ΕΙΣ ΤΗΝ*

## *ΚΑΤΑ ΤΟΝ ΣΕΣΩΣΜΕΝΟΝ ΑΣΩΤΟΝ ΤΟΥ ΚΥΡΙΟΥ ΠΑΡΑΒΟΛΗΝ (Σελ 76)*

«Ἔσται ποτέ λιμός», τήν Ἰερουσαλήν ἀποκλαιόμενος εἶπεν ὁ προφήτης, «οὐ λιμός ἄρτου καί ὕδατος, ἀλλά λιμός τοῦ ἀκοῦσαι λόγον Κυρίου». Λιμός δέ ἐστι στέρησις ἅμα καί ὄρεξις τροφῆς ἀναγκαίας. Ἔστιν οὖν καί τοῦ λιμοῦ τούτου χεῖρον καί ἀθλιώτερον, ὅταν τις στέρησιν ἔχων τῶν ἀναγκαίων πρός σωτηρίαν, ἀνεπαισθήτως ἔχῃ τῆς

συμφορᾶς, ὄρεξιν οὐκ ἔχων πρός σωτηρίαν. Ὁ γάρ πεινῶν καί οὐκ εὐπορῶν, περιέρχεται ζητῶν ποῦ τρύφος ἄρτου· κἄν εὐρωτιώσης ἐπιτύχῃ μάζης ἤ κεχρίαν τούτῳ τις ἄρτον ἤ πιτυρίαν ἤ τι ἄλλο τῆς τροφῆς εὐτελεστέρων εἰδῶν (σελ. 78) παράσχῃ, χαίρει τοσοῦτον, ὅσον ἀποτυγχάνων ὠδυνᾶτο πρότερον. Καί ὁ πνευματικόν τοίνυν ἔχων λιμόν, τουτέστι, στέρησίν τε ἅμα καί ὄρεξιν πνευματικῶν βρωμάτων, περιέρχεται ζητῶν τόν ἔχοντα παρά Θεοῦ τῆς διδασκαλίας τό χάρισμα· κἄν εὕρῃ, μετ᾽ εὐφροσύνης τρέφεται τόν ἄρτον τῆς κατά ψυχήν ζωῆς, ὅς ἐστιν ὁ σωτήριος λόγος, οὗ μηδέ ἀποτυχεῖν ἐστι τόν εἰς τέλος ζητοῦντα· «πᾶς γάρ ὁ αἰτῶν λαμβάνει καί ὁ ζητῶν εὑρήσει καί τῷ κρούοντι ἀνοιγήσεται», εἶπεν ὁ Χριστός.

Ἀλλ᾽ εἰσί τινες, οἵ τῇ πολυημέρῳ κατά νοῦν ἀτροφίᾳ καί τήν τοῦ τρέφεσθαι ὄρεξιν ἀπεβάλλοντο· διό οὐδέ τῆς ζημίας λαμβάνουσιν αἴσθησιν. Κἄν ἔχωσι τόν διδάσκοντα καί πρός αὐτήν τήν τῆς δισασκαλίας ἀκρόασιν δυσχεραίνουσι· κἄν μή ἔχωσιν, οὐ ζητοῦσι τόν διδάξοντα, τοῦ ἀσώτου πολύ ἁμαρτωλότερον ἄγοντες βίον. Ἐκεῖνος γάρ εἰ καί ἐστερήθη μακρυνθείς τοῦ κοινοῦ τροφέως καί πατρός καί δεσπότου, ἀλλά λιμῷ περιέπεσεν ἰσχυρῷ καί τῆς στερήσεως ἐπαισθόμενος μετενόησε καί ἐπανῆλθε καί ἐπεζήτησε καί πάλιν ἔτυχε τῆς θείας καί ἀκηράτου τροφῆς καί τοσοῦτον ἀπήλαυσε διά τῆς μετανοίας τῶν τοῦ Πνεύματος χαρισμάτων, ὡς καί ἐπίφθονον αὐτόνγενέσθαι τοῦ πλούτου.

Μᾶλλον δέ ἀναλαβόντες ἄνωθεν διατρανώσωμεν πρός τήν ὑμετέραν ἀγάπην τήν εὐαγγελικήν ταύτην τοῦ Κυρίου παραβολήν ἐπεί καί σήμερον ἔθος ἀναγινώσκεσθαι ταύτην ἐπ᾽ ἐκκλησίας.

«Ἄνθρωπός τις», φησίν, «εἶχε δύο υἱούς». Ἑαυτόν ἄνθρωπον (σελ. 80) παραβολικῶς ἐνταῦθά φησιν ὁ Κύριος, καί θαυμαστόν οὐδέν. Εἰ γάρ ὡς ἀληθῶς ἄνθρωπος ἐγένετο διά τήν ἡμετέραν σωτηρίαν, τί θαυμαστόν, εἰ ὡς ἀνθρώπων ἕνα προτίθησιν ἑαυτόν διά τήν ἡμετέραν ὠφέλειαν, ὁ καί τῆς ψυχῆς καί τοῦ σώματος ἡμῶν ἀεί κηδεμών, ὡς ἀμφοτέρων δεσπότης καί ποιητής; ὅς μόνος ἀγάπης εἰς ἡμᾶς ἔργα καί κηδεμονίας ὑπερβαλλούσης καί πρό τοῦ γενέσθαι ἡμᾶς ἀπεδείξατο;

Πρό ἡμῶν γάρ βασιλείας ἡμῖν ἡτοίμασε κληρονομίαν αἰώνιον, ὡς αὐτός φησιν, ἀπό καταβολῆς κόσμου. Πρό ἡμῶν ὑπέρ ἡμῶν τούς ἀγγέλους ἐποίησε διακόνους ἀποστελλομένους, ὡς ὁ Παῦλός φησι, διά τούς μέλλοντας κληρονομεῖν σωτηρίαν. Πρό ἡμῶν δι᾽ ἡμᾶς παντί τῷ αἰσθητῷ τούτῳ κόσμῳ τόν οὐρανόν περιέτεινεν, οἷόν τινα σκηνήν

ἅπασι κοινήν καί ὁμότιμον ἀνεγείρας ἡμῖν ἐν τῇ παροδικῇ ζωῇ ταύτῃ, τόν αὐτόν ἀεικίνητον καί πολυκίνητον καί ἀκίνητον˙ τό μέν, ἵνα μή μεταπίπτον καί φθοράν ἐπάγῃ τοῖς ἐνοικοῦσι˙ πολυκίνητον δέ, ὡς ἄν ἀντιρρόπως κινούμενος αὐτός ἑαυτόν κατά χώραν ἐπέχῃ˙ ἀεί δέ κινούμενον ἐν ἑαυτῷ καί τήν πληθύν τῶν ἄστρων κοσμίως συμπεριφέροντα, ἵν᾽ ἡμεῖς ὁμοῦ τε διδασκώμεθα τό παροδικόν τῆς ἡμετέρας ζωῆς καί πάντων ἀπολαύωμεν τῶν κατ᾽ αὐτόν, ἄλλοτε ἄλλων ὑπέρ κεφαλῆς ἡμῶν γενομένων. Δι᾽ ἡμᾶς πρό ἡμῶν τόν μέγαν ἐποίησε φωστῆρα εἰς ἀρχάς τῆς ἡμέρας καί τόν ἐλάσσω εἰς ἀρχάς τῆς νυκτός καί ἔθετο αὐτούς τε καί τούς ἄλλους ἀστέρας ἐν τῷ στερεώματι, συγκινουμένους καί ἀντικινουμένους αὐτῷ, συνιόντας τε καί παραλάσσοντας πολυειδῶς, ἵν᾽ ὦσιν ἡμῖν εἰς σημεῖα καί εἰς καιρούς καί εἰς ἐνιαυτούς˙ ὧν (σελ. 82) οὐδενός χρῄζει, οὔτε ἡ νοερά φύσις ὑπέρ αἴσθησιν οὖσα, οὔτε ἡ τῶν ἀλόγων ζώων κατ᾽ αἴσθησιν μόνην ζῶσα. δι᾽ ἡμᾶς οὐκοῦν γέγονε, τούς αἰσθήσει μέν ἀπολαύοντας τῆς τε ἄλλης χρείας καί τοῦ κάλλους τῶν ὁρωμένων, νῷ δέ δι᾽ αἰσθήσεως τῶν τοιούτων σημείων εἰς κατανόησιν ἔχοντας.

Δι᾽ ἡμᾶς πρό ἡμῶν γῆν ἐθεμελίωσεν, ἐφήπλωσε θάλασσαν, πλουσίως ἐπ᾽ αὐτά τόν ἀέρα ἐξέχεε καί ὑπέρ τοῦτον ἀνῆψε περαιτέρω πανσόφως τήν πυρός φύσιν, ἵνα καί τοῦ ψύχους τῶν κάτω θραύῃ τήν ἀμετρίαν περιημμένον καί τήν οἰκείαν ἀμετρίαν ἐπί χώραν μένῃ κατέχον˙ εἰ δέ καί τά ἄλογα τῶν ζώων τούτων χρῄζει πρός σύστασιν, ἀλλά καί ταῦτα εἰς δουλείαν τῶν ἀνθρώπων ἐγένετο πρό ἡμῶν, ὡς καί ὁ Προφήτης ψάλλει Δαβίδ.

Τοῦτον μέν οὖν τόν σύμπαντα κόσμον διά τήν τοῦ σώματος ἡμῶν σύστασιν ὁ πλάσας ἡμᾶς, πρό τῆς ἡμῶν πλάσεως, ἐκ τοῦ μή ὄντος παρήγαγε. Πρός δέ βελτίωσιν ἠθῶν καί ὁδηγίαν πρός ἀρετήν, τί οὐκ ἐποίησεν ὁ φιλάγαθος δεσπότης; Αὐτόν τόν αἰσθητόν πάντα κόσμον, οἷόν τι κάτοπτρον ἀπειργάσατο τῶν ὑπερκοσμίων, ἵνα διά τῆς κατ᾽ αὐτόν πνευματικῆς θεωρίας, ὡς διά τινος θαυμασίας κλίμακος πρός ἐκεῖνα φθάνωμεν. Ἐνέθηκεν ἡμῖν ἔμφυτον νόμον, οἷόν τινα στάθμην ἀπαρέγκλιτον καί κριτήν ἀνεξαπάτητον καί διδάσκαλον ἀπαραλόγιστον τήν οἰκείαν ἐν ἑκάστῳ συνείδησιν. Ἄν ἐν ἡμῖν αὐτοῖς γενώμεθα τῇ διανοίᾳ, διδασκάλου ἑτέρου πρός τήν τοῦ ἀγαθου κατανόησιν οὐ δεησόμεθα˙ ἄν ἔξω τῇ αἰσθήσει καλῶς διαπορθμεύσωμεν τόν νοῦν, «τά ἀόρατα τοῦ Θεοῦ τοῖς ποιήμασι νοούμενα καθορᾶται», φησίν ὁ ἀπόστολος.

(σελ. 84) Τῇ φύσει οὖν καί τῇ κτίσει τό διδασκαλεῖον ἀνοίξας τῶν ἀρετῶν, ἀγγέλους ἐπέστησε φύλακας, πατέρας καί προφήτας εἰς ποδηγίαν ἀνήγειρεν, ἔδειξε σημεῖα καί τέρατα πρός πίστιν ἐνάγοντα, ἔδωκεν ἡμῖν τόν γραπτόν νόμον, βοηθοῦντα τῷ παρά τῆς λογικῆς ἡμῶν φύσεως νόμῳ καί τῇ παρά τῆς κτίσεως διδασκαλία. Τέος, ἐπεί πάντων ἠλογήσαμεν (ὤ καί τῆς ἡμῶν ῥαθυμίας καί τῆς τοῦ διαφερόντως ἡμᾶς φιλοῦντος μακροθυμίας ὁμοῦ καί κηδεμονίας!) ἑαυτόν ἡμῖν ἔδωκεν ὑπέρ ἡμῶν καί τόν τῆς θεότητος κενώσας πλοῦτον εἰς τήν ἡμετέραν ἐσχατιάν, τήν ἡμετέραν προσλαβόμενος φύσιν καί καθ᾽ ἡμᾶς γεγονώς ἄνθρωπος, διδάσκαλος ἡμῶν ἐχρημάτισε˙ καί αὐτός ἡμᾶς διδάσκει περί τοῦ μεγέθους τῆς ἰδίας φιλανθρωπίας, ἔργῳ καί λόγῳ ταύτην ὑποδεικνύς, ἅμα καί πρός μίμησιν ἐνάγων τῆς συμπαθείας καί τῆς ἀσυμπαθοῦς γνώμης ἀπάγων τούς ὑπακούοντας.

Ἐπεί δέ φίλτρον ἐγγίνεται μέν καί τοῖς ἐπιμεληταῖς τῶν πραγμάτων, ὡς καί τοῖς τῶν προβάτων ποιμέσιν, ἔτι δέ καί τοῖς δεσπόταις οὖσι τῶν ἰδίων κτημάτων, οὐ τοσοῦτον δέ ὅσον τοῖς καθ᾽ αἷμα καί συγγένειαν προσῳκειωμένοις, καί τούτων μᾶλλον πατράσι πρός παῖδας τούς ἑαυτῶν, ἀπό τούτων ποιεῖται τῆς οἰκείας φιλανθρωπίας τήν ἔνδειξιν, ἄνθρωπον λέγων ἑαυτόν καί πατέρα πάντων ἡμῶν˙ εεπί καί δι᾽ ἡμᾶς ἐγένετο ἄνθρωπος καί διά τοῦ θείου βαπτίσματος καί τῆς ἐν αὐτῷ τοῦ θείου Πνεύματος χάριτος ἡμᾶς ἀνεγέννησεν.

«Ἄνθρωτος οὖν τις», φησίν, «εἶχε δύο υἱούς». Τήν γάρ μίαν φύσιν εἰς δύο διεῖλεν ἡ τῆς γνώμης διαφορά καί τούς πολλούς εἰς δύο συνῆξεν ἡ τῆς ἀρετῆς καί τῆς κακίας διαστολή. Καί ἡμεῖς γάρ ἔστιν ὅτε καί τόν καθ᾽ ὑπόστασιν ἕνα διπλοῦν φαμεν, ὅταν ἔχῃ (σελ. 86) τήν τοῦ ἤθους διπλόην καί τούς πολλούς ἕνα πάλιν, ἡνίκα πρός ἀλλήλους συνᾴδουσι. «Προσελθών οὖν ὁ νεώτερος υἱός εἶπε τῷ πατρί»˙ εἰκότως νεώτερος˙ νεωτερικήν γάρ καί ἀφροσύνης γέμουσαν προσάγει τήν ζήτησιν. Καί ἡ ἁμαρτία δέ, ἥν ἐνενόει τήν ἀποστασίαν ὠδίνων, νεωτέρα ἐστίν, ὑστετογενές εὕρημα γενομένης τῆς κακῆς ἡμῶν προαιρέσεως˙ ἡ δέ ἀρετή παλαιογενής ἐστιν, ἐξ ἀϊδίου μέν ἐν τῷ Θεῷ οὖσα, τῇ δέ ἡμετέρᾳ τήν ἀρχήν παρά Θεοῦ κατά χάριν ἐντεθεῖσα ψυχῇ.

Καί προσελθών, φησίν, ὁ νεώτερος υἱός εἶπε τῷ πατρί˙ «δός μοι τό ἐπιβάλλον μέρος τῆς οὐσίας». Βαβαί τῆς ἀφροσύνης! Οὐ προσέπεσεν,

οὐχ ἱκέτευσεν, ἀλλ᾽ ἁπλῶς εἶπε˙ καί οὐ τοῦτο μόνον, ἀλλά καί ὡς ὀφειλέτην ἀπαιτεῖ παρά τοῦ πᾶσι κατά χάριν διδόντος. Δός μοι τό ἐπιβάλλον μέρος τῆς οὐσίας τό κατά νόμους ἐμεί προσῆκον, τήν κατά τό δίκαιον ἡμετέραν μερίδα. Καί τίς νόμος καί πόθεν δίκαιον ὀφειλέτας εἶναι τοῖς παισί τούς πατέρας; Τοὐναντίον μέν οὖν μᾶλλον τοῖς πατράσιν ὀφείλει τούς παῖδας καί ἡ φύσις αὐτή παρίστησιν, ἐξ ἐκείνων τό εἶναι λαβόντας. Ἀλλά καί τοῦτο τοῦ νεωτερικοῦ φρονήματος.

Τί οὖν ὁ βρέχων ἐπί δικαίους καί ἀδίκους, ὁ ἀνατέλλων τόν ἥλιον ἐπί πονηρούς καί ἀγαθούς; Διεῖλεν αὐτοῖς φησι τόν βίον˙ ὁρᾷς ὅτι ἀνενδεής ἐστιν ὁ ἄνθρωπος καί πατήρ οὗτος; οὐ γάρ ἄν τοῖς δυσί μόνοις διεῖλεν, οὐδέ εἰς δύο μόνον, ἀλλά καί τρίτην ἄν ἑαυτῷ τοῦ βίου παρακατέσχε μερίδα. Ὁ δέ, ὡς Θεός, καθάπερ καί ὁ προφήτης φησι Δαβίδ, μή χρείαν ἔχων τῶν παρ᾽ ἡμῖν ἀγαθῶν, τοῖς δυσί παισί τούτοις μόνοις διεῖλε, φησί, τόν βίον, τουτέστι (σελ. 88) τόν κόσμον ἅπαντα˙ διαιρεῖται γάρ, ὥσπερ ἡ μία φύσις τῇ διαφόρῳ γνώμῃ, οὕτως ὁ εἷς κόσμος τῇ διαφόρῳ χρήσει˙ ὁ μέν φησι πρός τόν Θεόν, «ὅλην τήν ἡμέραν διεπέτασα πρός σέ τάς χεῖράς μου», καί «ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε», καί «μεσονύκτιον ἐξεγειρόμην», καί «ἐκέκραξα ἐν ἀωρίᾳ», καί «ἐπήλπισα ἐπί τούς λόγους σου», καί «εἰς τάς πρωΐας ἀπέκτεινον πάντας τούς ἁμαρτωλούς τῆς γῆς», τουτέστι τάς πρός ἡδυπάθειαν κινουμένας τῆς σαρκός ὀρέξεις ἀπέτεμνον˙ ὁ δέ διημερεύει ἐν οἴνῳ καί σκοπεῖ ποῦ πότος γίνεται καί συνδιανυκτερεύει ταῖς ἀσέμνοις καί ἀθέσμοις πράξεσι καί ταχύνει πρός ἀφανεῖς δόλους, ἤ φανεράς ἐπιβουλάς καί χρημάτων ἁρπαγάς καί μελέτας πονηράς. Ἆρ᾽ οὐ διεῖλον οὗτοι τήν μίαν νύκταν καί τόν ἕνα ἥλιον καί πρό τούτων τήν ἰδίαν φύσιν, ἀσυμφώνως ἀλλήλοις καταχρησάμενοι; Ὁ δέ Θεός ἀδιαιρέτως διεῖλε πᾶσι πᾶσαν τήν κτίσιν, προθείς εἰς χρῆσιν τήν κατά βούλησιν.

«Καί μετ᾽ οὐ πολλάς ἡμέρας», φησί, «συναγαγών ἅπαντα ὁ νεώτερος υἱός, ἀπεδήμησεν εἰς χώραν μακράν». Πῶς οὐκ εὐθύς, ἀλλά μετ᾽ οὐ πολλάς, ἤτοι μετ᾽ ὀλίγας ἀπεδήμησεν ἡμέρας; Ὁ πονηρός ὑποφήτης διάβολος οὐχ ἅμα τήν ἰδιορρυθμίαν καί τήν ἁμαρτίαν ὑποτίθεται, ἀλλά κατά μικρόν ὑποκλέπτει πανούργως, ὑποψιθυρίζων ἡμῖν καί λέγων˙ «καί σύ κατά σεαυτόν ζῶν καί μή σχολάζων τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ, μηδέ τό οὖς ὑπέχων τῷ διδασκάλῳ (σελ. 90) τῆς Ἐκκλησίας, δύνασαι καί παρά σεαυτοῦ συνορᾶν τό δέον καί μή

μακρυνθῆναι τοῦ ἀγαθοῦ». Ὅταν δέ τινα τῆς ἱερᾶς ὑμνῳδίας ἀποσχοινίσῃ καί τῆς πρός τούς ἱερούς διδασκάλους ὑπακοῆς, μακράν αὐτόν ποιεῖ καί τῆς θείας ἐπισκοπῆς, τοῖς ἔργοις αὐτόν τοῖς πονηροῖς παραδούς. Ὁ γάρ Θεός πανταχοῦ πάρεστιν˙ ἕν ἐστι τό μακράν τοῦ ἀγαθοῦ, τό κακόν, ἐν ᾧ διά τῆς ἁμαρτίας γινόμενοι μακράν ἀποδημοῦμεν Θεοῦ˙ «οὐ γάρ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου», ὁ Δαβίδ πρός τόν Θεόν φησι.

Μακρυνθείς οὖν οὕτω καί εἰς χώραν ἀποδημήσας μακράν οὖσαν ὁ υἱός ὁ νεώτερος, «ἐκεῖ διεσκόρπισε», φησίν, «τήν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως». Πῶς οὖν διεσκόρπισε τήν οὐσίαν αὐτοῦ; Πρό πάντων οὐσία καί περιουσία ἡμῶν ἔμφυτος ὁ νοῦς ἐστιν ὁ ἡμέτερος. Ἕως μέν οὖν τοῖς τῆς σωτηρίας τρόποις ἐμμένομεν, συνηγμένον αὐτόν ἔχομεν πρός ἑαυτόν καί τόν πρῶτον καί ἀνωτάτω νοῦν τόν Θεόν˙ ἡνίκα δ᾽ ἄν τοῖς πάθεσι θύραν ἀνοίξωμεν, εὐθύς σκορπίζεται, πλανώμενος πᾶσαν ὥραν περί τά σαρκικά τε καί γήϊνα, περί τε τάς πολυμόρφους ἡδονάς, καί τούς ἐπί ταύταις ἐμπαθεῖς λογισμούς. Αὐτοῦ ἐστιν ἡ φρόνησις πλοῦτος, παραμένουσα τούτῳ καί διακρίνουσα τό κρεῖττον ἀπό τοῦ χείρονος, μέχρις ἄν καί αὐτός παραμένῃ ταῖς ἐντολαῖς καί συμβουλαῖς ὑπείκων τοῦ ἀνωτάτω Πατρός˙ τούτου δέ ἀφηνιάσαντος, κἀκείνη σκορπίζεται εἰς πορνείαν καί ἀφροσύνην, τάς παρ᾽ ἑκάτερον μέρος κακίας μεριζομένη.

Τοῦτο δ᾽ ἄν ἴδοις καί ἐπί πάσης ἀρετῆς ἡμῶν καί δυνάμεως αἵ εἰσιν ἡμέτερος ὄντως πλοῦτος, ὅς τῆς κακίας οὔσης πολυσχεδοῦς, (σελ. 92) ὅτ᾽ ἄν πρός αὐτήν ἐκκλίνῃ, σκορπίζεται˙ αὐτός γάρ ὁ νοῦς τείνει τήν ἐπιθυμίαν πρός τόν ἕνα καί ὄντως ὄντα Θεόν, τόν μόνον ἀγαθόν, τόν μόνον ἐφετόν, τόν μόνον ἀμιγῆ πάσης ὀδύνης τήν ἡδονήν παρέχοντα. Τοῦ νοῦ δέ μαλακισθέντος, ἡ πρός τήν ὄντως ἀγάπην τῆς ψυχῆς δύναμις ἐκπίπτει τοῦ ὄντως ὀρεκτοῦ καί πρός τά ποικίλας ὀρέξεις τῆς ἡδυπαθείας διασπωμένη, σκορπίζεται ἐντεῦθεν πρός ἐπιθυμίαν βρωμάτων οὐκ ἀναγκαίως, ἐκεῖθεν πρός ἐπιθυμίαν σωμάτων οὐκ εὐσχημόνων, ἑτέρωθεν πρός ἐπιθυμίαν οὐκ εὐχρήστων χρημάτων, ἄλλοθεν πρός ἐπιθυμίαν τῆς κενῆς καί ἀδόξου δόξης μεθελκομένη. Καί οὕτω κατακερματιζόμενος ὁ ἄθλιος ἄνθρωπος καί ταῖς ποικίλαις περί ταῦτα φροντίσι κατατεινόμενος, οὐδέ τόν ἥλιον αὐτόν οὐδέ τόν ἀέρα, τόν κοινόν πᾶσι πλοῦτον, ἡδέως ἀναπνεῖ τε καί θεωρεῖ.

Αὐτός ὁ νοῦς ὁ ἡμέτερος μή ἀποστάς τοῦ Θεοῦ, διεγείρει τόν ἐν ἡμῖν θυμόν κατά μόνου τοῦ διαβόλου καί χρῆται τῇ τῆς ψυχῆς ἀνδρίᾳ

κατά τῶν πονηρῶν παθῶν, κατά τῶν ἀρχόντων τοῦ σκότους, κατά τῶν πνευμάτων τῆς πονηρίας. Ἄν δέ μή προσέχῃ ταῖς θείαις ἐντολαῖς τοῦ καθοπλίσαντος αὐτόν δεσπότου, μάχεται τοῖς πλησίον, μαίνεται κατά τῶν ὁμοφύλων, ἀποθηριοῦται κατά τῶν μή συναινούντων ταῖς αὐτοῦ παραλόγοις ὀρέξεσι καί ἀνθρωποκτόνος φεῦ ὁ ἄνθρωπος γίνεται, οὐ μόνον τοῖς κτήνεσι τοῖς ἀνοήτοις ὁμοιωθείς, ἀλλά καί τοῖς ἑρπετοῖς καί ἰοβόλοις τῶν ζώων, σκορπιός, ὄφις, γέννημα ἐχιδνῶν γεγονώς, ὁ ἐν υἱοῖς Θεοῦ τεταγμένος. Εἶδες πῶς διεσκόρπισε καί ἀπώλεσε τήν οὐσίαν αὐτοῦ; «Καί δαπανήσας» φησί, «πάντα ὁ νεωτερίσας υἱός, ἤρξατο ὑστερεῖσθαι, εἰς λιμόν (σελ. 94) ἐμπεσών». Ἀλλ᾽ οὔπω πρός ἐπιστροφήν ἔβλεψε, καί γάρ ἦν ἄσωτος˙ διό «καί πορευθείς ἐκολλήθη ἑνί τῶν πολιτῶν τῆς χώρας ἐκείνης, καί αὐτός ἔπεμψεν αὐτόν εἰς τούς ἀγρούς αὐτοῦ βόσκειν χοίρους».

Τίνες δέ οἱ τῆς μακράν οὔσης τοῦ Θεοῦ χώρας πολῖται καί πολιτάρχαι; Πάντως οἱ δαίμονες˙ ὑφ᾽ ὧν πορνοβοσκός καί ἀρχιτελώνης καί ἀρχιληστής, καί στασιάρχης κατέστη, ὁ υἱός τοῦ οὐρανίου Πατρός. Πᾶν μέν γάρ πάθος διά τήν ἄκραν ἀκαθαρσίαν ὁ χοιρώδης βίος αἰνίττεται˙ χοῖροι δέ εἰσιν οἱ τῷ βορβόρῳ τῶν παθῶν τούτων ἐγκυλινδούμενοι, ὧν ἐκεῖνος προστάς, ὡς καθ᾽ ἡδυπάθειαν ὑπερέχων αὐτῶν, οὐκ ἠδύνατο κορεσθῆναι ἀπό τῶν κερατίων ὧν ἤσθιονοί χοῖροι, τουτέστι κόρον τῆς οἰκείας ἐπιθυμίας λαβεῖν οὐκ ἠδύνατο.

Πῶς ἡ τοῦ σώματος φύσις οὐκ ἀρκεῖ τοῦ ἀκολάστου ὑπηρετεῖν ταῖς ὁρμαῖς. Ὁ χρυσός ἤ ἄργυρος, τῷ φιλοχρύσῳ καί φιλαργύρῳ προσγεγονώς, τήν ἔνδειαν ηὔξησε καί καθ᾽ ὅσον ἄν πολύς ἐπιρρεύσῃ, κατά τοσοῦτο πλείονος ἐπιθυμεῖν παρεσκεύασεν˙ ὁ κόσμος ἅπας μόλις, τάχα δέ οὐδέ μόλις ἀρκέσει πλεονέκτῃ καί φιλάρχῳ ἑνί. Ἐπεί οὖν πολλοί μέν οὗτοι, κόσμος δέ εἷς, πῶς ἄρα δυνήσεταί τις αὐτῶν τῆς οἰκείας ἐπιθυμίας κόρον εὑρεῖν; Οὕτω τοίνυν καί ὁ τοῦ Θεοῦ ἀποστατήσας ἐκεῖνος, οὐκ ἠδύνατο χορτασθῆναι. οὐδέ γάρ ἐδίδου τίς φησι τόν κόρον αὐτῷ. Τίς γάρ ἄν καί ἔδωκεν; Ὁ Θεός ἀπῆν, οὗ καί τῇ θέᾳ μόνῃ κόρος ἀνεπαχθής τῷ ὁρῶντι προσγίνεται, κατά τόν εἰπόντα, «Χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τήν δόξαν σου». Ὁ διάβολος οὐκ ἐθέλει κόρον παρασχεῖν τῶν αἰχρῶν ἐπιθυμιῶν, ἐπεί μεταβολήν τῆς πρός αὐτά σχέσεως ἐν τοῖς τρεπτοῖς ὁ κόρος ἐργάζεσθαι πέφυκεν. Εἰκότως οὖν οὐδείς ἐδίδου τόν κόρον αὐτῷ.

(σελ. 96) Μόλις ποτέ τοίνυν ἐφ᾽ ἑαυτόῦ γενόμενος ὁ ἀποσκιρτήσας τοῦ πατρός ἐκεῖνος καί οἷ κακῶν ἔφθασεν ἐννοήσας, ἀπεκλαύσατο ἑαυτόν, λέγων˙ «πόσοι μίσθιοι τοῦ πατρός μου περισσεύουσιν ἄρτων, ἐγώ δέ λιμῷ ἀπόλλυμαι». Τίνες οἱ μίσθιοι; Οἱ διά τῶν τῆς μετανοίας ἱδρώτων καί τῆς ταπεινώσεως, οἷά τινα μισθόν ἐπανακαλούμενοι τήν σωτηρίαν. Υἱοί δέ εἰσιν οἱ διά τήν πρός αὐτόν ἀγάπην ταῖς αὐτοῦ ἐντολαῖς ὑποτασσόμενοι, καθάπερ καί ὁ Κύριος εἶπεν, «ὁ ἀγαπῶν με τάς ἐντολάς μου τηρήσει».

Τῆς υἱοθεσίας ὁ νεώτερος ἀποπεσών υἱός καί τῆς ἱερᾶς πατρίδος ἐκπεσών ἑκών καί λιμῷ περιπεσών, καταγινώσκει ἑαυτοῦ καί ταπεινοῦται, καί μετανοεῖ λέγων˙ «ἀναστάς πορεύσομαι καί προσπεσοῦμαι τῷ πατρί καί ἐρῶ˙ πάτερ, ἥμαρτον εἰς τόν οὐρανόν καί ἐνώπιόν σου». Καλῶς ἄρα τήν ἀρχήν ἐλέγομεν, ὅτι ὁ πατήρ οὗτος ὁ Θεός ἐστι˙ πῶς γάρ ἥμαρτεν εἰς τόν οὐρανόν, ὁ ἀποστατήσας τοῦ πατρός υἱός, εἰ μή οὐράνιος ἦν ὁ πατήρ; «Ἥμαρτον οὖν φησιν εἰς τόν οὐρανόν», τουτέστιν εἰς τούς ἐν τῷ οὐρανῷ ἁγίους καί ὧν τό πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, «καί ἐνώπιόν σου». ὅς μετά τῶν σῶν ἁγίων ἐν τῷ οὐρανῷ κατοικεῖς. «Καί οὐκέτι εἰμί ἄξιος κληθῆναι υἱός σου˙ ποίησόν με ὡς ἕνα τῶν μισθίων σου». Καλῶς τῇ νῦν ταπεινώσει συνετισθείς, ποίησόν με φησίν˙ οὐ γάρ παρ᾽ ἑαυτοῦ τις λαμβάνει τούς κατ᾽ ἀρετήν βαθμούς, εἰ καί μή χωρίς τῆς αὐτοῦ προαιρέσεως. «Ἀναστάς οὖν», φησίν, «ἦλθεν εἰς τόν πατέρα αὐτοῦ˙ἔτι δέ μακράν ἀπέχοντος». Πῶς δέ καί ἦλθε καί μακράν ἀπεῖχε, διό καί (σελ. 98) σπλαγχνισθείς ὁ πατήρ ἐξῆλθεν εἰς συνάντησιν αὐτοῦ; Ὁ μετανοῶν ἄνθρωπος ἐκ ψυχῆς, τῇ μέν ἀγαθῇ προθέσει καί τό τῆς ἁμαρτίας ἐκστῆναι φθάνει πρός τόν Θεόν˙ ὑπό δέ τῆς κακῆς συνηθείας καί τῶν προλήψεων λογιστικῶς τυραννούμενος, ἔτι μακράν ἀπέχει Θεοῦ καί πολλῆς δεῖται τῆς ἄνωθεν εὐσπλαγχνίας καί βοηθείας, εἰ μέλλει σώζεσθαι.

Διό καί ὁ πατήρ τῶν οἰκτιρμῶν συγκαταβάς ὑπήντησε καί περιπλακείς κατεφίλησε καί τοῖς αὐτοῦ δούλοις, ἤτοι τοῖς ἱερεῦσιν ἐκέλευσε τήν στολήν αὐτόν τήν πρώτην ἐνδύσαι, ἤτοι τήν υἱοθεσίαν, ἥν καί πρώτην διά τοῦ ἁγίου βαπτίσματος ἠμφιάσατο καί δακτύλιον δοῦναι εἰς τήν χεῖρα αὐτοῦ, τουτέστι τῷ πρακτικῷ τῆς ψυχῆς, ὅ δηλοῦται διά τῆς χειρός, ἐνθεῖναι σφραγῖδα θεωρητικῆς ἀρετῆς, ἀρραβῶνα τῆς μελλούσης κληρονομίας, ἀλλά καί ὑποδήματα εἰς τούς πόδας, θείαν φυλακήν καί ἀσφάλειαν ἐνδυναμοῦσαν αὐτόν πατεῖν

ἐπάνω ὄφεων καί σκορπίων καί ἐπί πᾶσαν τήν δύναμιν τοῦ ἐχθροῦ. Εἶτα καί μόσχον κελεύει τόν σιτευτόν ἐνεγκεῖν καί θῦσαι καί προθεῖναι εἰς βρῶσιν. Ὁ μόσχος δέ ἐστιν οὗτος αὐτός ὁ Κύριος, ὅς ἐξάγεται μέν τοῦ κρυφίου τῆς θεότητος καί αὐτῆς τῆς ὑπεράνω κειμένης τοῦ παντός ἕδρας καί ὡς ἄνθρωπος ἐπί γῆς ὀφθείς, ὡς μόσχος ὑπέρ ἡμῶν τῶν ἁμαρτωλῶν θύεται καί ὡς σιτευτός, τουτέστιν ἄρτος εἰς βρῶσιν ἡμῖν προτίθεται.

Κοινήν δέ ποιεῖται τήν ἐπί τούτοις εὐφροσύνην καί τήν εὐωχίαν ὁ Θεός μετά τῶν αὐτοῦ ἁγίων, τά ἡμῶν ὑπ᾿ ἄκρας οἰκειούμενος φιλανθρωπίας καί λέγων, «δεῦτε φαγόντες εὐφρανθῶμεν». Ἀλλ᾿ ὁ πρεσβύτερος υἱός ὀργίζεται. Νόει μοι πάλιν τούς Ἰουδαίους ὀργιζομένους ἐπί τῇ κλήσει τῶν ἐθνῶν, τούς Γραμματεῖς καί Φαρισαίους (σελ. 100) σκανδαλιζομένους, ὅτι ὁ Κύριος ἁμαρτωλούς προσδέχεται καί συνεσθίει αὐτοῖς. Εἰ δέ καί περί τῶν δικαίων τοῦτο νοεῖν ἐθέλεις, τί θαυμαστόν, εἰ καί δίκαιος ἀγνοεῖ τόν ὑπέρ πάντα νοῦν πλοῦτον τῆς τοῦ Θεοῦ χρηστότητος; Διό καί παρακαλεῖται παρά τοῦ κοινοῦ Πατρός, καί τά εἰκότα διδάσκεται, λέγοντος πρός αὐτόν, «σύ πάντοτε μετ᾿ ἐμοῦ εἶ», τῆς ἀναλλοιώτου εὐφροσύνης κοινωνῶν˙ «εὐφρανθῆναι δέ καί χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος, νεκρόν ἦν καί ἀνέζησεν, ἀπολωλώς ἦν, καί εὑρέθη», νεκρός ἦν τῇ ἁμαρτίᾳ καί ἀνέζησε τῇ μετανοίᾳ, καί ἀπολωλώς ἦν, ὡς μή εὑρισκόμενος ἐν τῷ Θεῷ˙ εὑρεθείς οὖν, χαρᾶς πληροῖ τόν οὐρανόν, καθά γέγραπται, «χαρά γίνεται ἐν οὐρανῷ ἐπί ἑνί ἁμαρτωλῷ μετανοοῦντι».

Τί δέ ἐστι, διό μάλιστα λυπεῖται ὁ πρεσβύτερος υἱός; «Ὅτι ἐμοί», φησίν, «οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετά τῶν φίλων μου εὐφρανθῶ, ὅτε δέ ὁ υἱός σου οὗτος, ὁ καταφαγών σου τόν βίον μετά πορνῶν, ἦλθεν, ἔθυσας αὐτῷ τόν μόσχον τόν σιτευτόν». Τοσοῦτο γάρ τό ὑπερβάλλον τῶν εἰς ἡμᾶς χαρισμάτων τοῦ Θεοῦ ὅτι καί οἱ ἄγγελοι ἐπεθύμησαν παρακύψαι εἰς τά χαρισθέντα διά τῆς αὐτοῦ ἐνανθρωπήσεως ἡμῖν, καθά φησιν ὁ κορυφαῖος τῶν ἀποστόλων Πέτρος. Ἀλλά καί οἱ δίκαιοι ἐπεθύμησαν καί πρό καιροῦ δι᾿ αὐτά ἐλθεῖν τόν Χριστόν, ὡς καί Ἀβραάμ ἐπεθύμησεν ἰδεῖν τήν ἡμέραν αὐτοῦ˙ ὁ δέ τότε οὐκ ἦλθε, καί ὅτε ἦλθεν, οὐκ ἦλθεν καλέσαι δικαίους, ἀλλά ἁμαρτωλούς εἰς μετάνοιαν, καί ὑπέρ αὐτῶν μάλιστα σταυροῦται ὁ τήν ἁμαρτίαν αἴρων τοῦ κόσμου˙ ὑπερεπερίσευσε γάρ ἡ χάρις, ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία.

(σελ. 102) Ὅτι δέ τῶν δικαίων αἰτούντων οὐδέ ἕν τῶν ἐρίφων δίδωσι, τουτέστι τῶν ἁμαρτωλῶν, σαφές ἡμῖν γέγονεν ἔκ τε ἄλλων οὐκ ὀλίγων καί ἀπό τῆς κατά τόν ἱερόν καί μακάριον Κάρπον ὀπτασίας μάλιστα. Οὗτος γάρ οὐ μόνον οὐκ ἠκούσθη πονηρῶν τινων ἀνδρῶν ἐπαρώμενος, καί δίκαιον οὐκ εἶναι λέγων, εἰ ζῶσιν ἄνδρες ἄθεοι καί διαστρέφοντες τάς ὁδούς Κυρίου τάς εὐθείας, ἀλλά καί θείας ἀγανακτήσεως ἐπειράθη καί φρικωδεστάτων τινῶν ἐπύθετο λόγων, πρός ἐπίγνωσιν τῆς ἀρρήτου καί ὑπέρ νοῦν θείας ἀνοχῆς ἐναγόντων, καί μή μόνον οὐκ ἐπαρᾶσθαι πειθόντων, ἀλλά καί εὔχεσθαι τῶν ἐν πονηρίᾳ ζώντων, τοῦ Θεοῦ καιρόν ἔτι ματανοίας παρέχοντος ἐκείνοις. Ἵνα τοίνυν τοῦτο δείξῃ ὁ Θεός τῶν μετανοούντων, ὁ πατήρ τῶν οἰκτιρμῶν καί ἵνα προσπαραστήσῃ, ὅτι τοῖς διά μετανοίας ἐπιστραφεῖσι μεγάλα καί ἐπίφθονα δῶρα δίδωσιν, οὕτω διέθηκε τήν παραβολήν.

Ἐπιλαβώμεθα οὖν καί ἡμεῖς ἀδελφοί δι᾽ ἔργου τῆς μετανοίας, ἀποταξώμεθα τῷ πονηρῷ καί τοῖς βοσκήμασιν αὐτοῦ˙ ἀποσχώμεθα τῶν χοίρων καί τῶν αὐτούς τρεφόντων κερατίων, δηλονότι τῶν βδελυρῶν παθῶν καί τῶν τούτοις προσκειμένων˙ ἀποστῶμεν τῆς πονηρᾶς νομῆς, τουτέστι τῆς κακῆς συνηθείας˙ φύγωμεν τήν τῶν παθῶν χώραν, ἥτις ἐστίν ἀπιστία καί ἀπληστία καί ἀκρασία, ἐν αἷς λιμός ἰσχυρός τῶν ἀγαθῶν γίνεται καί λιμοῦ χείρω πάθη˙ δράμωμεν πρός τόν πατέρα τῆς ἀφθαρσίας, τόν δοτῆρα τῆς ζωῆς, τήν ὁδόν τῆς ζωῆς διά τῶν ἀρετῶν βαδίσαντες. Ἐκεῖ γάρ αὐτόν εὑρήσομεν πρός ὑπαντήν ὑπό φιλανθρωπίας ἐξελθόντα καί χαριζόμενον ἡμῖν τήν ἄφεσιν τῶν ἁμαρτιῶν ἡμῶν, τό σύ νθημα τῆς ἀφθαρσίας, (σελ. 104) τόν ἀρραβῶνα τῆς μελλούσης κληρονομίας˙ ἐπεί καί ὁ ἄσωτος υἱός, καθάπερ παρά τοῦ Σωτῆρος ἐδιδάχθημεν, μέχρις ἄν ἦν ἐν τῇ χώρᾳ τῶν παθῶν, εἰ καί διενοεῖτο καί ἔλεγε τά ῥήματα τῆς μετανοίας, ἀλλ᾽ οὐδενός ἔτυχε χρηστοῦ, ἕως οὗ ἀφείς ἅπαντα ἐκεῖνα τά ἔργα τῆς ἁμαρτίας, δραμών ἦλθε πρός τόν πατέρα καί τῶν ὑπέρ ἐλπίδα τυχών, ἔμεινε πάντως τοῦ λοιποῦ σύν ταπεινώσει, σωφρονῶν καί δικαιοπραγῶν καί συντηρῶν ἑαυτῷ τήν ἐγκαινισθεῖσαν ὑπό τοῦ Θεοῦ χάριν ἀσινῆ.

Ἧς γένοιτο καί ἡμᾶς πάντας ἐπιτυχεῖν καί διατηρεῖν ἀμείωτον, ὡς ἄν καί ἐν τῷ μέλλοντι αἰῶνι συνευφρανθῶμεν τῷ σεσωσμένῳ καί ἀσώτῳ ἐπί τῆς ἄνω Ἱερουσαλήμ, τῆς μητρός τῶν ζώντων, τῆς

Ἐκκλησίας τῶν πρωτοτόκων, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα εἰς τούς αἰῶνας. Ἀμήν.

### *ΟΜΙΛΙΑ Δ'*

### *ΕΙΣ ΤΟ ΕΥΑΓΓΕΛΙΟΝ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΠΑΡΟΥΣΙΑΣ (Σελ. 108)*

### *καί περί εὐσπλαγχνίας καί εὐποιΐας*

Τῇ μέν παρελθούσῃ Κυριακῇ μνήμην ἐποιεῖτο ἡ Ἐκκλησία τῆς τοῦ Θεοῦ περί ἡμᾶς ἀνεικάστου φιλανθρωπίας, διά τῆς τοῦ σεσωσμένου ἀσώτου παραβολῆς. Τῇ δέ παρούσῃ διδάσκει περί τῆς μελλούσης τοῦ Θεοῦ φρικωδεστάτης κρίσεως, καλῶς τῇ τάξει χρωμένη, καί ταῖς προφητικαῖς ἀκολουθοῦσα φωναῖς˙ «ἔλεον γάρ», φησί, «καί κρίσιν ᾄσομαί σοι Κύριε», καί «ἅπαξ ἐλάλησεν ὁ Θεός, δύο ταῦτα ἤκουσα, ὅτι τό κράτος τοῦ Θεοῦ, καί σοῦ Κύριε τό ἔλεος, ὅτι σύ ἀποδώσεις ἑκάστῳ κατά τά ἔργα αὐτοῦ».

(σελ. 110) Τό ἔλεος οὖν καί ἡ μακροθυμία προηγεῖται τῆς θείας κρίσεως˙ πᾶσαν γάρ ἀρετήν ὁ Θεός ἐν ἑαυτῷ προέχων καί περιέχων, καί δίκαιος ἐνταυτῷ καί ἐλεήμων ὤν, ἐπειδή τῇ κρίσει τό ἔλεος οὐ συνέρχεται, κατά τό γεγραμμένον, «πτωχόν ἐν κρίσει μή ἐλεήσῃς», εἰκότως διένεμεν ὁ Θεός ἑκάτερα τούς καιρούς˙ τόν μέν παρόντα μακροθυμίας τάξας καιρόν, ἀνταποδόσεως δέ τόν μέλλοντα. Καί διά τοῦτο τά ἐπί τῆς ἱερᾶς Ἐκκλησίας τελούμενα οὕτω διέθηκεν ἡ τοῦ Πνεύματος χάρις, ἵνα τοῦτο μαθόντες ἡμεῖς, ὅτι τήν ἐπί τοῖς ἁμαρτήμασι συγγνώμην ἀπό τῶν ἐνταῦθα λαμβάνομεν, σπεύσωμεν ἔτι τῷ βίῳ περιόντες τούτῳ, τοῦ αἰωνίου τυχεῖν ἐλέους, καί τῆς θείας ἀξίους ἑαυτούς ποιῆσαι φιλανθρωπίας˙ ἐκείνη γάρ ἡ κρίσις ἀνήλεός ἐστι τῷ μή ποιήσαντι ἔλεος.

Περί μέν οὖν τῆς ἀνεικέστου τοῦ Θεοῦ περί ἡμᾶς εὐσπλαγχνίας, προλαβόντες ἔναγχος προεθέμεθα, σήμερον δέ περί τῆς δευτέρας τοῦ Χριστοῦ παρουσίας ἡμῖν ὁ λόγος, καί τῆς κατ᾽ αὐτήν φρικωδεστάτης κρίσεως, καί τῶν κατ᾽ αὐτήν ἀπορρήτως τελεσθησομένων, «ἅ ὀφθαλμός οὐκ εἶδε, καί οὖς οὐκ ἤκουσε καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη», θείου Πνεύματος ἄμοιρον, μή μόνον τήν ἀνθρωπίνην

αἴσθησιν, ἀλλά καί νοῦν καί λόγον ὑπερβαίνοντα τόν ἀνθρώπινον˙ εἰ γάρ καί αὐτός ἐστιν ὁ πάντα εἰδώς, καί κρίνειν μέλλων πᾶσαν τήν γῆν, ὁ διδάσκων περί τούτων ἡμᾶς, ἀλλά συγκαταβαίνει τῇ δυνάμει τῶν διδασκομένων, συμμέτρους τούς λόγους ἀποδιδούς˙ διά τοῦτο καί ἀστραπή, καί νεφέλαι, καί σάλπιγξ, καί θρόνος, καί τά ὅμοια τούτοις εἰσάγεται, καίτοι καινούς οὐρανούς, (σελ. 112) καί καινήν γῆν κατά τό ἐπάγγελμα αὐτοῦ προσδοκῶμεν, τῶν νῦν ὄντων ἀλλοιουμένων.

Εἰ δέ καί λεγόμενα μόνον, καί συγκαταβατικῶς οὕτω λεγόμενα, φρίκης καί δέους τήν ψυχήν τῶν συνετῶς ἀκουόντων πληροῖ, τίς ὑποίσει τότε τῶν πραγμάτων αὐτῶν τελουμένων; Ποταπούς δέ δεῖ ἡμᾶς εἶναι ἐν ἁγίαις ἀναστροφαῖς καί εὐσεβείαις, προσδοκῶντας τήν παρουσίαν τῆς τοῦ Θεοῦ ἡμέρας; δι᾽ ἥν ὡς ὁ θεῖος Πέτρος φησίν, «οὐρανοί μέν πυρούμενοι λυθήσονται, στοιχεῖα δέ καυσούμενα τήκεται˙ γῆ δέ καί τά ἐν αὐτῇ ἔργα κατακαήσεται». Πρό δέ τούτων ἡ βαρύτατη τοῦ ἀντιχρίστου κατά τῆς πίστεως ἔσται παρουσία τε καί ἐπήρεια, ἥτις εἰ μή ἐκολοβώθη χρόνον ὀλίγον συγχωρηθεῖσα, οὐκ ἄν ἐσώθη πᾶσα σάρξ, ὡς ὁ Κύριος ἐν τοῖς Εὐαγγελίοις φησί˙ διό καί τοῖς οἰκείοις παραγγέλει, λέγων˙ ἀγρυπνεῖτε οὖν ἐν παντί καιρῷ δεόμενοι, ἵνα καταξιωθῆτε ἐκφυγεῖν πάντα τά μέλλοντα γίνεσθαι, καί σταθῆναι ἔμπροσθεν τοῦ Υἱοῦ τοῦ ἀνθρώπου».

Φρίκης μέν οὖν ὑπερβαλλούσης πάντα ἐκεῖνα γέμει, ἀλλά τοῖς ἐν ἀπιστίᾳ καί ἀδικίᾳ καί ῥᾳθυμίᾳ τόν ἑαυτόν βίον ἀναλίσκουσι, καί τῶν εἰρημένων ἀπειλεῖται δεινότερα, καθάπερ αὐτός ὁ Κύριος λέγει, ὅτι˙ «τότε κλαύσονται πᾶσαι αἱ φυλαί τῆς γῆς». Φυλαί δέ εἰσι τῆς γῆς, οἱ μή τῷ ἐξ οὐρανοῦ ἐλθόντι πειθαρχήσαντες, μηδέ τόν οὐράνιον εἰδότε καί ἐπικαλούμενοι Πατέρα, μηδέ πρός τοῦτον διά τῆς τῶν ἔργων ὁμοιότητος ἀναφέροντες τό γένος. Καί πάλιν, (σελ. 114) «ὡς παγίς ἐπελεύσεται ἡ ἡμέρα ἐκείνη ἐπί πάντας τούς καθημένους ἐπί πρόσωπον πάσης τῆς γῆς, τουτέστι, τούς ἐν κραιπάλῃ καί μέθῃ καί τρυφαῖς καί μερίμναις βιωτικαῖς, τῇ γῇ καί τοῖς γηΐνοις προσηλωμένους, καί προσανέχοντας ὁλοσχερῶς τοῖς φαινομένοις κατ᾽ αἴσθησιν εὐπρεπέσι, πλούτῳ καί δόξῃ καί ἡδονῇ˙ διά μέν γάρ τοῦ προσώπου τῆς γῆς τό φαινόμενον ἐπίχαρι ταύτης ἠνίξατο, διά δέ τοῦ καθῆσθαι αὐτούς εἰπεῖν, τήν ἐπίμονον αὐτῶν καί ἐνδιάθετον προσεδρείαν. Συνάπτει δέ διά τῶν τοιούτων λόγων τούς ἀμετανοήτως εἰς τέλος ἁμαρτῶντας τοῖς ἀσεβέσιν, ὡς καί Ἡσαΐας προηγόρευσεν, ὅτι˙ «ἐκκαυθήσονται οἱ ἄνομοι καί οἱ ἁμαρτωλοί ἅμα, καί οὐκ ἔσται ὁ

σβέσων». Ἡμῶν δέ τό πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἀφ᾽ ὧν καί σωτῆρα ἀπεκδεχόμεθα», φησίν ὁ ἀπόστολος καί «ὑμεῖς ἐκ τοῦ κόσμου τούτου οὐκ ἐστέ», πρός τούς ἰδίους μαθητάς ἔλεγεν ὁ Κύριος, πρός οὕς πάλιν φησίν, ὅτι «τούτων πάντων τελουμένων ἀνακύψατε καί ἐπάρατε τάς κεφαλάς ὑμῶν, ὅτι ἐγγίζει ἡ ἀπολύτρωσις ὑμῶν».

Ὁρᾶτε ὡς κατά Χριστόν ζῶντες ἐπί τοῖς εὐθύς μετ᾽ ἐκεῖνα γινομένοις χαρᾶς καί παρρησίας ἀφάτου πληροῦνται, οἱ δέ κατά σάρκα ζῶντες, αἰσχύνης καί ὀδύνης καί κατηφείας; Καθά καί ὁ Παῦλος βοᾷ λέγων, «ὁ Θεός ἀποδώσει ἑκάστῳ κατά τά ἔργα αὐτοῦ», τοῖς μέν καθ᾽ ὑπομονήν ἔργου ἀγαθοῦ δόξαν καί τιμήν καί ἀφθαρσίαν ζητοῦσι, ζωήν αἰώνιον, τοῖς δέ ἀπειθοῦσι μέν τῇ ἀληθείᾳ, πειθομένοις δέ τῇ κακίᾳ θυμός καί ὀργή, θλίψις καί στενοχωρία (σελ. 116) ἐπί πᾶσαν ψυχήν ἀνθρώπου, τοῦ κατεργαζομένου τό κακόν». Ἐπί μέν γάρ τοῦ Νῶε ποτε, τῆς ἁμαρτίας αὐξηνθείσης, καί παντός τοῦ ἀνθρωπίνου σχεδόν γένους ἐπικρατησάσης, κατακλυσμός γέγονεν ὑπό Θεοῦ, ἐκτρίβων πᾶσαν πνοήν, τοῦ δικαίου μόνου πανοικί φυλαχθέντος πρός δευτέρου κόσμου γένεσιν. Καί μετ᾽ αὐτῶν πάλιν τήν κακίαν ὑλομανοῦσαν κατά μέρος ὁ Θεός ὑπετέμνετο, πυρί μέν τούς Σοδομίτας ἀποτεφρώσας, θαλάσσῃ δέ τούς Φαραωνίτας ἐξαισίως καταποντίσας, Ἰουδαίων δέ τό πάντολμον γένος λιμῷ καί στάσει καί νόσοις καί ποιναῖς ἐξαναλώσας πικραῖς.

Οὐ μήν τοῖς αὐστηροῖς φαρμάκοις καί ἰατρείας ὁ κοινός ἰατρός ὑπέρ τοῦ γένους ἡμῶν χρησάμενος, τά ἱλαρά καί μεθ᾽ ἡδονῆς ὠφελοῦντα παρῆκεν, ἀλλ᾽ ἤγειρε πατέρας, ἔδειξε προφήτας, ἐτέλεσε σημεῖα, νόμον ἔδωκεν, ἀγγέλους ἐπέστησεν. Ἐπεί δέ καί ταῦτα ἠσθένει πρός τήν ἄσχετον τῆς ἡμετέρας κακίας φοράν, αὐτό τό μέγα ἴαμα τό καταπαῦον ἁμαρτίας μεγάλας, αὐτός ὁ τοῦ Θεοῦ λόγος κλίνας οὐρανούς ἐπί τήν γῆν κατῆλθε˙ καί τά πάντα καθ᾽ ἡμᾶς γεγονώς, χωρίς ἁμαρτίας, κατήργησε τήν ἁμαρτίαν ἐν ἑαυτῷ, καί ἡμᾶς ἐνισχύσας τό κέντρον ἐκείνης ἤμβλυνε, καί τούς ἀρχηγούς καί συνεργούς αὐτῆς παρεδειγμάτισεν ἐν τῷ σταυρῷ, διά τοῦ θανάτου καταργήσας τόν τό κράτος ἔχοντα τοῦ θανάτου.

Καί ὡς ἐπί Νῶε τούς ἁμαρτωλούς δι᾽ ὕδατος, οὕτω τήν ἁμαρτίαν κατακλύσας ὕστερον διά τῆς οἰκείας δικαιοσύνης καί χάριτος, ἑαυτόν ἀνέστησεν ἀθάνατον, οἷόν τι σπέρμα καί ἀπαρχήν τοῦ αἰνίου κόσμου, καί δεῖγμα καί παράστασιν τῆς ἀψευδῶς (σελ. 118) ἐλπιζομένης ἡμῖν ἀναστάσεως. Ἀναστάς δέ, καί εἰς οὐρανούς ἀναληφθείς, Ἀποστόλους

εἰς πᾶσαν ἐξαπέστειλε τήν οἰκουμένην, μαρτύρων στίφος οὐκ εὐαρίθμητον προεβάλλετο, διδασκάλων προεστήσατο πληθύν, ἐκκλησίας ὁσίων ἔδειξεν. Ἐπεί δέ πάντα πάλιν ποιήσας, καί μηδέν καταλείψας τῶν δεόντων γενέσθαι, τήν κακίαν εἶδε πάλιν τῷ αὐτεξουσίῳ τῆς ἡμῶν προαιρέσεως ἐπί τοσοῦτον κορυφουμένην, μᾶλλον δέ τότε ἀρθησομένην θεάσεται, ὡς καί τῷ Ἀντιχρίστῳ προσκυνῆσαι τούς ἀνθρώπους τηνικαῦτα καί ὑπακοῦσαι, αὐτόν τόν ἀληθῆ Θεόν καί τόν αὐτοῦ ἀληθῆ καταλιπόντας Χριστόν, αὐτός αὖθις ἐξ οὐρανῶν ἐπελεύσεται μετά δυνάμεως καί δόξης πολλῆς, οὐκέτι μακροθυμήσων, ἀλλά τιμωρήσων τούς διά τῶν πονηρῶν ἔργων θησαυρίσαντας ἑαυτοῖς τήν ὀργήν ἐν τῷ καιρῷ τῆς μακροθυμίας αὐτοῦ. Καί τούς μέν ἀνιάτως ἔχοντας, ὡς μέλη σεσηπότα τῶν ὑγιαινόντων ἀποτεμούμενος, καί τῷ πυρί παραδώσων, τούς δέ οἰκείους αὐτῷ τῆς ἐπηρείας καί συναυλίας τῶν πονηρῶν ἀνθρώπων ἐκλυτρωσόμενος, καί τῆς τῶν οὐρανῶν βασιλείας κληρονόμους ἀπεργασόμενος.

Εὐθύς οὖν μετά τήν τοῦ ἀντιχρίστου βδελυράν παρρησίαν κλονήσει τά πάντα, ὁ συστήσας τά πάντα˙ κατά τό διά τοῦ προφήτου εἰρημένον, ὅτι «ἔτι ἅπαξ ἐγώ σείω οὐ μόνον τήν γῆν, ἀλλά καί τόν οὐρανόν». Εὐθύς οὖν κλονεῖ τόν κόσμον, καί λύει τόν ἀνωτάτω τοῦ παντός ὅρον, καί συμπτύσσει τό οὐράνιον κύτος, καί τήν γῆν πυρί μίγνυσι, καί συγχεῖ τό πᾶν, κάτωθεν μέν ἀναμοχλεύων τούς παγκοσμίους ὡς εἰπεῖν θεμελίους, ἄνωθεν δέ τῶν ἄστρων τό πλῆθος, οἷόν τινας ἀμυθήτους πρηστῆρας, ἐπί τάς κεφαλάς πέμπων τῶν θεοποιησάντων τόν πονηρόν, ἵνα δι᾿ αὐτῶν πρῶτον (σελ. 120) τιμωρηθῶσιν οἱ τῷ ἀντιχρίστῳ πιστεύσαντες, οἷς τόν νοῦν προσηλώθησαν, καί δι᾿ ἅ ὡς Θεῷ τῷ ἀντιθέῳ ἐπείσθησαν. Ἔπειτα μετά δόξης αὐτός ἐπιφανείς ἀφάτου, δι᾿ εὐσήμου σάλπιγγος, ὡς δι᾿ ἐμφυσήματός ποτε τόν προπάτορα, πάντας ζωώσει, καί ἐνώπιον αὐτοῦ παραστήσει ζῶντας τούς ἀπ᾿ αἰῶνος νεκρούς. Καί τούς μέν ἀσεβεῖς οὐκ ἄξει εἰς κρίσιν, οὐδέ λόγου ἀξιώσει τινός˙ οὐδέ γάρ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει κατά τό γεγραμμένον, ἀλλ᾿ ἐκ κατακρίσει.

Προθήσει δέ εἰς κρίσιν τά ἡμέτερα πάντα, κατά τήν σήμερον ἀναγινωσκομένην τοῦ εὐαγγελίου φωνήν˙ «ὅταν γάρ», φησίν, «ἔλθῃ ὁ Υἱός τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καί πάντες οἱ ἅγιοι ἄγγελοι μετ᾿ αὐτοῦ». Ἐπί μέν γάρ τῆς προτέρας αὐτοῦ παρουσίας ἐκρύπτετο ἡ δόξα

τῆς αὐτοῦ θεότητος ὑπό τήν σάρκα, ἥν ἐξ ἡμῶν ὑπέρ ἡμῶν ἀνέλαβε˙ νῦν δέ κρύπτεται πρός τόν Πατέρα ἐν τῷ οὐρανῷ μετά τῆς ὁμοθέου σαρκός, τότε δέ πᾶσαν ἐκκαλύψει τήν δόξαν˙ ἀπό γάρ ἀνατολῶν ἕως δυσμῶν φανεῖται λάμπων, ἀκτῖσι θεότητος περιαυγάζων τά πέρατα, παγκοσμίου καί ζωοποιοῦ σάλπιγγος περιηχούσης, καί συγκαλούσης ἅμα πρός αὐτόν τά πάντα. Καί τούς ἀγγέλους ἐπήγετο μέν καί πρότερον, ἀλλ᾿ ἀφανῶς, ἐπέχων τόν αὐτῶν ζῆλον κατά τῶν θεομαχούντων˙ ὕστερον δέ ἐμφανῶς ἥξει καί οὐ παρασιωπήσεται, ἀλλά καί ἐλέγξει καί παραδώσει ταῖς ποιναῖς τούς ἀπειθεῖς.

«Ὅταν οὖν ἔλθῃ ὁ Υἱός τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καί πάντες οἱ ἅγιοι ἄγγελοι μετ᾿ αὐτοῦ, τότε», φησί, «καθίσει ἐπί θρόνου δόξης αὐτοῦ». Οὕτω γάρ καί ὁ Δανιήλ προεῖδε καί προεῖπεν˙ «ἰδού» γάρ φησί, «θρόνοι ἐτέθησαν, καί Παλαιός Ἡμερῶν (σελ. 122) ἐκάθισε˙ καί εἶδον ὡς υἱόν ἀνθρώπου ἐρχόμενον ἐπί τῶν νεφελῶν τοῦ οὐρανοῦ, καί ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καί αὐτῷ ἐδόθη πᾶσα καί ἡ τιμή καί ἡ ἐξουσία˙ χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καί μύριαι μυριάδες παρειστήκεισαν αὐτῷ»˙ ᾧ συμφώνως καί τό ἱερόν εὐαγγέλιον τότε, φησί, «συναχθήσονται πάντα τά ἔθνη ἔμπροσθεν αὐτοῦ˙ καί ἀφοριεῖ αὐτούς ἀπ᾿ ἀλλήλων, ὥσπερ ὁ ποιμήν ἀφορίζει τά πρόβατα ἀπό τῶν ἐριφίων». Πρόβατα τούς δικαίους καλεῖ ὡς πραεῖς καί ἐπιεικεῖς καί βαδίσαντας τήν λείαν καί ὑπ᾿ αὐτοῦ τετριμμένην ὁδόν τῶν ἀρετῶν, καί ὡς ἀφομοιωμένους αὐτῷ˙ ἐπεί καί αὐτόςἀμνός ἐκλήθη παρά τοῦ Προδρόμου καί Βαπτιστοῦ, «ἴδε ὁ ἀμνός τοῦ Θεοῦ», λέγοντος, «ὁ αἴρων τήν ἁμαρτίαν τοῦ κόσμου». Ἐρίφους δέ καλεῖ τούς ἁμαρτωλούς ὡς θρασεῖς καί ἀτάκτους, καί κατά κρημνῶν φερομένους τῆς ἁμαρτίας˙ καί τούς μέν, φησί, στήσει ἐκ δεξιῶν, ὡς καί δεξιῶν ἐργάτας ἔργων, τούς δέ μή τοιούτους ἐκ τῶν εὐωνύμων. «Τότε ἐρεῖ ὁ Βασιλεύς», φησί, καί οὐ προσέθηκε τίς, ἤ τίνων βασιλεύς, ὡς οὐδενός ὄντος ἑτέρου, πλήν αὐτοῦ˙ εἰ γάρ καί ἐκεῖ πολλοί κύριοι καί βασιλεῖς, ἀλλ᾿ εἷς ὄντως Κύριος, εἷς βασιλεύς, ὁ φύσει τοῦ παντός δεσπότης. Ἐρεῖ τοίνυν τότε τοῖς ἐκ δεξιῶν αὐτοῦ ὁ μόνος βασιλεύς˙ «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου κληρονομήσατε τήν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπό καταβολῆς κόσμου».

Ὄντως πρός τοῦτο ἔβλεπεν ἡ ἀπ᾿ ἀρχῆς καταβολή τοῦ κόσμου˙ καί διά τοῦτο τό τέλος ἡ ἐπουράνιος ἐκείνη καί ἀρχαιοτάτη τοῦ Πατρός βουλή, καθ᾿ ἥν ὁ τῆς μεγάλης βουλῆς τῆς τοῦ Πατρός ἄγγελος, οὐ κατ᾿ εἰκόνα μόνον, ἀλλά καί καθ᾿ ὁμοίωσιν οἰκείαν (σελ. 124)

ἀπειργάσατο ζῶον τόν ἄνθρωπον, ἵνα δυνηθῇ ποτε χωρῆσαι τήν μεγαλειότητα τῆς θείας βασιλείας, τήν μακαριότητα τῆς θείας κληρονομίας, τήν τελειότητα τῆς τοῦ ἀνωτάτω Πατρός εὐλογίας, δι᾽ ἥν πάντα ἐγένετο τά ὁρατά καί τά ἀόρατα˙ οὐ γάρ εἶπε τοῦ αἰσθητοῦ κόσμου, ἀλλ᾽ ἀπροσδιορήστως τοῦ κόσμου, ὅσος οὐράνιος, καί ὅσος ἐπίγειος. Οὐχ οὗτος δέ μόνον, ἀλλά καί ἡ θεία καί ἀπόρρητος κένωσις, ἡ θεανδρική πολιτεία, τά σωτήρια πάθη, τά μυστήρια πάντα˙ διά τοῦτο τό τέλος προμηθῶς καί πανσόφως προῳκονόμηται, ὡς ἄν, ὁ διά τούτων ἐν τοῖς παροῦσι πιστός ἀναφανείς, ἀκούσῃ παρά τοῦ Σωτῆρος˙ «εὖ δοῦλε ἀγαθέ, ἐπί ὀλίγα ἧς πιστός, ἐπί πολλῶν σε καταστήσω, εἴσελθε εἰς τήν χαράν τοῦ Κυρίου σου». Δεῦτε οὖν φησι, κληρονομήσατε καί τόν ἐνεστῶτα καί μένοντα καί ἐπουράνιον κόσμον, οἱ τῷ ἐπιγείῳ καί φθαρτῷ καί παραρρέοντι κόσμῳ καλῶς κατ᾽ ἐμήν χρησάμενοι γνώμην. «Ἐπείνασα γάρ, καί ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα, καί ἐποτίσατέ με, ξένος ἤμην, καί συνηγάγετέ με, ἐν φυλακῇ ἤμην, καί ἤλθετε πρός με».

Ἐνταῦτα ζητεῖται τίνος ἕνεκα τῆς ἐλεημοσύνης ἐμνήσθη μόνης, καί ταύτης ἕνεκα τήν εὐλογίαν καί τήν κληρονομίαν καί τήν βασιλείαν ἔδωκε ἐκείνην. Ἀλλ᾽ οὐ ταύτης ἐμνήσθη μόνης τοῖς μετά συνέσεως ἀκούουσιν˙ ἐπεί γάρ ἀνωτέρω τούς αὐτῆς ἐργάτας πρόβατα ἐκάλεσεν, ἀπό τῆς κλήσεως ταύτης, τήν τε πρός αὐτόν ὁμοίωσιν καί πᾶσαν ἀρετήν ἐμαρτύρησεν αὐτοῖς καί ὡς ἕτοιμοι διηνεκῶς ἦσαν εἰς τόν ὑπέρ τοῦ καλοῦ θάνατον˙ καθάπερ καί αὐτός ὡς πρόβατον ἐπί σφαγήν ἤχθη καί ὡς ἀμνός ἐναντίον τοῦ κείροντος αὐτόν ἄφωνος, κατά τό γεγραμμένον.

(σελ. 126) Τούτοις οὖν καί αὐτοῖς οὖσι προσεπιφημίζει τήν εὐποιΐαν δεῖ γάρ καί ταύτην δεῖγμα καί καρπόν οὖσαν τῆς ἀγάπης, ὥσπέρ τινα κεφαλήν ὑπερκειμένην ἔχειν τῶν ἄλλων ἁπασῶν ἀρετῶν τόν μέλλοντα κληρονομεῖν τήν ἀΐδιον βασιλείαν ἐκείνην. Ὅ καί διά τῆς παραβολῆς τῶν δέκα παρθένων ἔδειξεν ὁ Κύριος˙ οὐδέ γάρ αἱ τυχοῦσαι εἰς τόν θεῖον εἰσάγονται νυμφῶνα, ἀλλ᾽ αἱ παρθενίᾳ κεκοσμημέναι, ἥτις οὐκ ἄν κατορθωθείη χωρίς ἀσκήσεως καί ἐγκρατείας καί πολλῶν καί ποικίλων τῶν κατ᾽ ἀρετήν ἀγώνων, ἔτι γε μήν καί λαμπάδας ταῖν χεροῖν κατέχουσαι, τόν οἰκεῖον νοῦν καί τήν ἐν αὐτῷ ἐμμέριμνον γνῶσιν, τῷ πρακτικῷ τῆς ψυχῆς, ὅ δηλοῦται διά τῶν χειρῶν, ἐποχουμένην καί ὑπανεχομένην, καί τῷ Θεῷ ἀνακειμένην διά βίου, καί συνημμένην ταῖς ἐκεῖθεν λάμψεσι. Δεῖ δέ

ὅμως καί τοῦ ἐλαίου δαψιλοῦς, ὥστε διαρκεῖν ἡμμένας. Ἔλαιον δέ ἐστιν ἡ ἀγάπη, κορυφή τῶν ἀρετῶν οὖσα. Ὥσπερ οὖν, ἄν καί θεμελίους ὑποθῇς καί ἐποικοδομήσῃς τούς τοίχους, οὐκ ἐπιθῇς δέ τόν ὄροφον, ἄχρηστα πάντα ἀφῆκας ἐκεῖνα, τόν αὐτόν τρόπον ἄν πᾶσαν ἀρετήν κτήσῃ, μή προσκτήσῃ δέ τήν ἀγάπην, πᾶσαι ἐκεῖναι ἄχρηστοι καί ἀνόνητοι˙ καί ὁ τῆς οἰκίας δέ ὄροφος χωρίς τῶν αὐτόν ὑπανεχόντων ἐποικοδομηθῆναι οὐ δύναται.

Τοῖς τοιούτοις τοίνυν καί ὁ Κύριος τήν οἰκείαν παρέχει κληρονομίαν, οἵτινες τάς ἄλλας ἀρετάς διά τῶν τῆς ἀγάπης ἔργων ἐπεσφραγίσαντο˙ καί ἤ δι᾽ ἀνεπιλήπτου βίου πρός αὐτήν ἀνέδραμον ἤ διά μετανοίας πρός αὐτήν κατέφυγον˙ ὧν τούς μέν υἱούς ἐγώ καλῶ, ὡς τῆς ἐκ Θεοῦ ἀναγεννήσεως φύλακας, τούς δέ (σελ. 128) μισθίους ὡς διά τῶν τῆς μετανοίας πολυειδῶν ἱδρώτων καί τῆς ταπεινώσεως, οἷα μισθόν τήν χάριν ἐπανακαλουμένους.

Διό καί πολυειδῶς τά τῆς κρίσεως πρότερον ἐν τοῖς θείοις Εὐαγγελίοις ἐξηγησάμενος, ὕστερον προήγαγε τά τῆς ἀγάπης, ὡς τάς ἐκεῖ προκατηριθμημένας ἀρετάς, ἤ τελειούσης ἤ ἐπαναγαγούσης. Ἀλλ᾽ οἱ δίκαιοι ἀποκριθήσονται λέγοντες˙ «Κύριε, πότε σέ εἴδομεν πεινῶντα, καί ἐθρέψαμεν, ἤ διψῶντα καί ἐποτίσαμεν; πότε δέ σε εἴδομεν ξένον, καί συνηγάγομεν, ἤ γυμνόν, καί περιεβάλομεν; πότε δέ σε εἴδομεν ἀσθενῆ ἤ ἐν φυλακῇ, καί ἤλθομεν πρός σέ;». Ὁρᾶτε καί δικαίους καλουμένους τούς ἐκ δεξιῶν; οὐκοῦν ἀπό δικαιοσύνης καί μετά δικαιοσύνης αὐτοῖς ὁ ἔλεος. Ὁρᾶτε δέ καί ἑτέραν ἀρετήν τήν ταπείνωσιν προσμαρτυρουμένην τοῖς δικαίοις τῷ πληρώματι τῆς ἀγάπης, οἷόν τι περιτείχισμα καιρίως ἀνεγηγερμένον; Ἀνάξιοι γάρ εἶναι τῆς ἀναρρήσεως καί τῶν ἐπαίνων ἰσχυρίζονται, ὡς μηδέν ἀγαθόν πράξαντες, οἱ μηδέν ἄπρακτον ἀφεῖναι μαρτυρούμενοι.

Διά τοῦτο, οἶμαι, καί χρηματίζει παρρησίᾳ τούτοις ὁ Κύριος, ἵνα τοιοῦτοι ἀναφανῶσι καί τῇ ταπεινώσει ἀνυψωθῶσι καί χάριν εὕρωσι δικαίως παρ᾽ αὐτοῦ, δαψιλῆ ταύτην τοῖς ταπεινοῖς παρέχοντος, «Κύριος γάρ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δέ δίδωσι χάριν», ὅς καί νῦν πρός αὐτούς φησιν˙ «ἀμήν λέγων ὑμῖν, ἐφ᾽ ὅσον ἐποιήσατε ἑνί τούτων τῶν ἀδελφῶν μου τῶν ἐλαχίστων, ἐμοί ἐποιήσατε». Ἐλάχιστον καλεῖ διά τήν ἔνδειαν καί εὐτέλειαν, ἀδελφόν δέ, ὡς καί αὐτός οὕτω κατά σάρκα ζήσας ἐπί γῆς.

Ἀκούσατε καί εὐφράνθητε ὅσοι πτωχοί τε καί ἐνδεεῖς (σελ. 130) ἀδελφοί γάρ ἐστέ κατά τοῦτο τοῦ Θεοῦ˙ κἄν ἀκουσίως ἦτε πτωχοί τε

καί εὐτελεῖς, διά τῆς ὑπομονῆς καί τῆς εὐχαριστίας ἑκούσιον ἑαυτοῖς ποιήσασθε τό ἀγαθόν. Ἀκούσατε οἱ πλούσιοι καί τήν μακαριστήν πτωχείαν ποθήσατε, ἵνα κληρονόμοι καί ἐδελφοί Χριστοῦ γένησθε καί τῶν ἀκουσίως πτωχευόντων γνησιώτεροι˙ κἀκεῖνος γάρ ἑκών ἐπτώχευσε δι᾽ ἡμᾶς. Ἀκούσατε καί στενάξατε οἱ περιορῶντες κακῶς πάσχοντας τούς ὑμετέρους ἀδελφούς, μᾶλλον δέ τούς τοῦ Θεοῦ, καί μή μεταδιδόντες ἐξ ὧν εὐπορεῖτε τοῖς ἐνδεέσι τροφῆς, σκεπῆς, περιβολῆς, ἐπιμελείας τῆς προσηκούσης, μηδέ τό ὑμῶν περίσσευμα καταναλίσκοντες εἰς τό ἐκείνων ὑστέρημα. Μᾶλλον δέ ἀκούσωμεν καί στενάξωμεν˙ καί γάρ καί αὐτός ἐγώ, ὁ πρός ὑμᾶς ταῦτα λέγων, ἐλέγχομαι ὑπό τῆς συνειδήσεως οὐκ ἔξω τοῦ πάθους τελείως ὤν˙ πολλῶν γάρ ριγώντων καί στερουμένων, ἐμπεπλησμένος αὐτός εἰμι καί ἐνδεδυμένος. Πολλοῦ δέ μᾶλλον ἄξιοι πένθους, οἱ καί τούς ὑπέρ τήν καθημερινήν χρείαν θησαυρούς ἔχοντες καί κατέχοντες, ἤ καί αὔξειν σπουδάζοντες, ἀγαπᾶν ὡς ἑαυτούς τόν πλησίον προστεταγμένοι καί μηδέ ὡς τόν χοῦν αὐτούς ἔχοντες. Τί γάρ ἐστιν ἄλλο χρυσός καί ἄργυρος, ἅ μᾶλλον ἠγαπήσαμεν τῶν ἀδελφῶν;

Ἀλλ᾽ ἐπιστραφῶμεν καί μετανοήσωμεν καί κοινωνήσομεν ἐπαρκοῦντες ταῖς χρείαις οἷς ἔχομεν τῶν ἐν ἡμῖν πτωχευόντων ἀδελφῶν, κἄν εἰ μή τά ἐνόντα πάντα θεοφιλῶς κενῶσαι προαιρώμεθα, ἀλλά μηδέ πάντα παρ᾽ ἑαυτοῖς ἀνηλεῶς κατάσχωμεν˙ ἀλλά τό μέν ποιήσωμεν, εἰς ὅ δέ ἀπολειπόμεθα, ταπεινωθῶμεν ἐνώπιον τοῦ Θεοῦ καί τευξόμεθα τῆς παρ᾽ αὐτοῦ συγγνώμης, τῆς αὐτοῦ φιλανθρωπίας ἀναπληρούσης τήν ἡμετέραν ἔλλειψιν, ἵνα μή τῆς (σελ. 132) ἀπευκταίας, ὅ μή γένοιτο, φωνῆς ἀκούσωμεν˙ «τότε γάρ», φησίν, «ἐρεῖ καί τοῖς ἐξ εὐωνύμων˙ πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι». Πόσον τοῦτο! τῆς ζωῆς μακρύνθητε, τῆς τρυφῆς ἐκβλήθητε, τοῦ φωτός στερήθητε!

Ἀλλ᾽ οὐ τοῦτο μόνον, ἀλλά «πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι, εἰς τό πῦρ τό αἰώνιον, τό ἡτοιμασμένον τῷ διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ»˙ ὡς γάρ οἱ ἐκ δεξιῶν ζωήν ἕξουσι καί περισσόν ἕξουσι, ζωήν μέν τῷ συνεῖναι Θεῷ, περισσόν δέ τῷ καί υἱοί διατελεῖν καί κληρονόμοι τῆς αὐτοῦ βασιλείας, οὕτως οἱ ἐξ εὐωνύμων τῆς ἀληθινῆς ζωῆς ἀποτυχόντες τῷ μακρυνθῆναι Θεοῦ, καί περισσότερον ἕξουσι κακόν, τῷ δαίμοσι συντετάχθαι καί πυρί παραδοθῆναι κολάζοντι.

Οἷον δέ τό πῦρ ἐκεῖνο, ὅ καί τῶν σωμάτων ἅπτεται καί τῶν λογικῶν ἐν σώμασί τε ὄντων καί οὐκ ἐν σώμασι πνευμάτων, ὀδυνῶν

ἅμα καί παρακατέχον ἀθάνατα, δι᾽ οὗ καί τό καθ᾽ ἡμᾶς πῦρ τακήσεται, κατά τό γεγραμμένον, «στοιχεῖα καυσούμενα τήκεται;». Ὅση δέ τῆς ὀδύνης προσθήκη τό τῆς ἀπολυτρώσεως ἀπροσδόκητον; Καί γάρ ἄσβεστον ἐκεῖνο τό πῦρ. Τί δέ αὖθις ἡ βιαία φορά; Καί γάρ ποταμός φησιν ἕλκων ἐκεῖνο τό πῦρ, ὡς ἔοικεν ἀεί πορρωτέρω φέρον Θεοῦ˙ διό οὐδέ, πορεύθητε, εἶπεν, ἀλλά, πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι˙ καί γάρ ὑπό τῶν πτωχῶν ἐκ πολλοῦ κεκατήρασθε˙ κἄν εἴπερ ἔφερον ἐκεῖνοι, ἀλλ᾽ ὑμεῖς κατάρας ἄξιοι. Πορεύεσθε δέ φησι πρός αὐτούς εἰς τό πῦρ τό ἡτοιμασμένον οὐχ ὑμῖν, ἀλλά τῷ διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ˙ οὐ γάρ ἐμόν ἐστί τοῦτο προηγούμενον θέλημα, οὐκ εἰς τοῦτο ὑμᾶς ἐποίησα, (σελ. 134) οὐκ ἐφ᾽ ὑμᾶς ἡτοίμασα τήν πυράν˙ διά τούς ἀμετάβλητον ἔχοντας τῆς κακίας τήν ἕξιν δαίμονας προανεκαύθη τό ἄσβεστον πῦρ, οἷς ὑμᾶς συνῆψεν ἡ κατ᾽ ἐκείνους ἀμετανόητος γνώμη. Αὐθαίρετος οὖν ὑμῖν ἐστιν ἡ μετά τῶν πονηρῶν ἀγγέλων συμβίωσις˙ «ἐπείνασα γάρ, καί οὐκ ἐδώκατέ μοι φαγεῖν˙ ἐδίψησα, καί οὐκ ἐποτίσατέ με˙ ξένος ἤμην, καί οὐ συνηγάγετέ με˙ γυμνός, καί οὐ περιεβάλλετέ με, ἀσθενής καί ἐν φυλακῇ ἤμην, καί οὐκ ἐπισκέψασθέ με»˙ ὡς γάρ ἡ ἀγάπη, ἀδελφοί, καί τά τῆς ἀγάπης ἔργα πλήρωμα τῶν ἀρετῶν ἐστιν, οὕτω τό μῖσος καί τά τοῦ μίσους ἔργα, ὁ ἀσυμπαθής τρόπος, ἡ ἀμετάδοτος γνώμη, πλήρωμά ἐστι τῆς ἁμαρτίας˙ καί καθάπερ τῇ φιλανθρωπία ἕπονται καί σύνεισιν αἱ ἀρεταί, οὕτω τῇ μισανθρωπίᾳ αἱ κακίαι˙ διά τοῦτο καί ἀπό ταύτης μόνης καταδικάζονται.

Ἐβουλόμην μέν εἰπεῖν ὡς οὐδέν μεῖζον δεῖγμα μίσους, ἀλλ᾽ ἤ τό προτιμᾶν τοῦ ἀδελφοῦ τό περιττεῦον ἀργύριον˙ ἀλλ᾽ ὁρῶ τήν κακίαν καί μεῖζον εὑροῦσαν δεῖγμα τῆς μισανθρωπίας˙ εἰσί γάρ οἵ μή μόνον οὐκ ἐλεοῦσιν ἐξ ὧν εὐποροῦσιν, ἀλλά καί σφετερίζονται τά ἀλλότρια. Συλλογιζέσθωσαν οὖν ἐκ τῆς πρός τούς μή ἐλεοῦντας ἀποφάσεως, τίνος οὗτοι τεύξονται, καί τί πείσονται, καί οἵας ἀπερινοήτου τε καί ἀφορήτου καταδίκης ἄξιοι καί ἀποστήτωσαν τῆς ἀδικίας, καί διά τῶν τῆς μετανοίας ἔργων ἐξιλεούσθωσαν τό θεῖον. Ἐκεῖνοι δέ ἀποκριθήσονται τηνικαῦτα λέγοντες˙ «Κύριε, πότε σέ εἴδομεν πεινῶντα, ἤ διψῶντα, ἤ ξένον, ἤ γυμνόν, ἤ ἀσθενῆ, ἤ ἐν φυλακῇ, καί οὐ διηκονήσαμέν σοι»;

Ὁρᾶτε καί αὐτό τό ἔσχατον κακόν τήν ὑπερηφανίαν τῷ ἀσυμπαθεῖ συνεζευγμένην τρόπῳ, ὥσπερ καί τῇ συμπαθείᾳ τήν (σελ. 136) ταπείνωσιν; Οἱ δίκαιοι διά τήν εὐποιΐαν ἐγκωμιαζόμενοι ταπεινοῦνται

μᾶλλον, οὐ δικαιοῦσιν ἑαυτούς. Οὗτοι διά τήν ἀσπλαγχνίαν κατηγορούμενοι παρά τοῦ ἀψευδοῦς, οὐ προσπίπτουσι ταπεινωθέντες, ἀλλ᾽ ἀντιλέγουσι καί δικαιοῦσιν ἑαυτούς˙ διό καί ἀκούσουσιν, «ἀμήν λέγω ὑμῖν, ἐφ᾽ ὅσον οὐκ ἐποιήσατε ἑνί τούτων τῶν ἐλαχίστων, οὐδέ ἐμοί ἐποιήσατε». Καί οὕτως ἀπελεύσονται, φησίν, «οὗτοι μέν εἰς κόλασιν αἰώνιον, οἱ δέ δίκαιοι εἰς ζωήν αἰώνιον».

Ἐλεήσωμεν οὖν ἡμᾶς αὐτούς, ἀδελφοί, διά τοῦ πρός τούς ἀδελφούς ἐλέους, κτησώμεθα διά τῆς συμπαθείας τήν συμπάθειαν, εὖ ποιήσωμεν ἵνα πάθωμεν εὖ˙ ὁμοία μέν ἡ ἀντίδοσις, εὐποιΐα γάρ καί φιλανθρωπία καί ἀγάπη καί ἔλεος καί συμπάθεια, οὐκ ἴση δέ τῇ ἀξίᾳ καί τῷ μέτρῳ τῆς ὑπεροχῆς˙ σύ μέν γάρ παρέχεις ἐξ ὧν ἄνθρωπος ἔχει, καί ἐφ᾽ ὅσον ἄνθρωπος εὐεργετῆσαι δύναται, ἀντιλαμβάνεις δέ παρά τῶν θείων καί ἀκενώτων θησαυρῶν ἑκατονταπλασίονα, καί τήν αἰώνιον ζωήν, καί εὐεργετῇ ἐξ ὧν καί ὅσον ὁ Θεός εὐεργετῆσαι δύναται˙ «ἅ ὀφθαλμός οὐκ οἶδε, καί οὖς οὐκ ἤκουσε, καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη».

Σπεύσωμεν οὖν ἵνα τοῦ πλούτου τῆς χρηστότητος ἐπιτύχωμεν, ὀλίγων ἀργυρίων κληρονομίαν αἰώνιον ἀγοράσωμεν, φοβηθῶμεν τήν κατά τῶν ἀνηλεῶν ἀπόφασιν ἀρτίως, ἵνα μή ὑπ᾽ αὐτῆς ἐκεῖ κατακριθῶμεν˙ μή φοβηθῶμεν μή πτωχοί γενώμεθα διδόντες ἐλεημοσύνην˙ καί γάρ ἀκούσομεν παρά Χριστοῦ, «δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τήν βασιλείαν». Φοβηθῶμεν (σελ. 138) καί πάντα πράξωμεν ἵνα μή φανῶμεν ἔξω τῆς πρός τόν Θεόν ἀγάπης διά τῆς ἀσπλαγχνίας˙ «ὁ γάρ μή ἀγαπῶν τόν ἀδελφόν αὐτοῦ ὅν ἑώρακεν, πῶς ἀγαπήσει», φησίν ὁ εὐαγγελιστής, «τόν Θεόν ὅν οὐχ ἑώρακεν», ὁ δέ μή ἀγαπῶν τόν Θεόν, πῶς συνέσται αὐτῷ; Ὁ δέ μή συνών αὐτῷ πορευθήσεται ἀπ᾽ αὐτοῦ˙ ὁ δέ πορευόμενος ἀπ᾽ αὐτοῦ, εἰς τήν γέενναν ἐμπεσεῖται πάντως.

Ἀλλ᾽ ἡμεῖς ἀγάπης ἔργα ἐπιδειξώμεθα εἰς τούς ἡμετέρους ἐν Χριστῷ ἀδελφούς, ἐλεοῦντες τούς πενομένους, ἐπιστρέφοντες τούς πεπλανημένους, ἥν ἄν εἴποις πλάνην τε καί πενίαν, ἐκδικοῦντες τούς ἀδικουμένους, ἐπιρρωννῦντες τούς ἐν ἀσθενείᾳ κατακειμένους, εἴτε διά τῶν αἰσθητῶν τοῦτο πάσχοντας ἐχθρῶν τε καί νοσημάτων, εἴτε διά τῶν ἀοράτων πονηρῶν πνευμάτων καί τῶν τῆς ἀτιμίας παθῶν, ἐπισκεπτόμενοι τούς ἐν φυλακῇ καθειργμένους, ἀλλά καί ἀνεχόμενοι τῶν εἰς ἡμᾶς πταιόντων, καί χαριζόμενοι ἀλλήλοις εἴ τις πρός τινα ἔχει μομφήν, ὡς καί ὁ Χριστός ἐχαρίσατο ἡμῖν˙ καί ἁπλῶς παντί

τρόπῳ καί πᾶσιν ἔργοις τε καί λόγοις, οἷς ἔχομεν, ἐπιδειξώμεθα τήν πρός ἀλλήλους ἀγάπην, ἵνα καί τῆς παρά τοῦ Θεοῦ ἐπιτύχωμεν ἀγάπης καί εὐλογηθῶμεν παρ᾽ αὐτοῦ καί κληρονομήσωμεν τήν ἐπηγγελμένην ἡμῖν καί δι᾽ ἡμᾶς ἡτοιμασμένην οὐράνιον καί αἰώνιον βασιλείαν ἀπό καταβολῆς κόσμου.

Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ Πατρί ἅμα τῷ ἁγίῳ Πνεύματι τιμή καί δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ Ε' (Σελ. 142)*

## *ΕΙΣ ΤΗΝ ΥΠΑΠΑΝΤΗΝ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΘΕΟΥ*

## *ΚΑΙ ΣΩΤΗΡΟΣ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ*

ἐν ᾗ καί περί σωφροσύνης καί τῆς ἀντιθέτου ταύτῃ κακίας.

Τήν μέν προγονικήν ἐκείνην ἀράν τε καί καταδίκην κοινήν τε καί τήν αὐτήν ἅπαντες εἴχομεν πρό Χριστοῦ, ἐξ ἑνός τοῦ προπάτορος ἐπί πάντας χυθεῖσαν, ὡς ἐκ ρίζης τοῦ γένους ἀναδιδομένην καί τῇ φύσει συγκεκληρωμένην˙ ἕκαστος δέ δι᾽ ὧν αὐτός ἰδίως ἔπραττεν, ἤ τήν μέμψιν ἤ τόν ἔπαινον εἰς τήν ἰδίαν ὑπόστασιν παρά Θεοῦ ἐπεσπᾶτο, πρός ἐκείνην τήν κοινήν ἀράν τε καί καταδίκην καί τόν ἄνωθεν πρός αὐτόν καί δι᾽ αὐτοῦ πρός τούς ἑξῆς καταβαίνοντα πονηρόν κλῆρον πράττειν ἔχων οὐδέν.

(σελ. 144) Ἀλλ᾽ ἦλθε Χριστός ὁ τῆς φύσεως ἐλευθερωτής, ὁ τήν κοινήν ἀράν εἰς εὐλογίαν μετάγων κοινήν καί τήν ὑπεύθυνον ἡμῶν φύσιν ἀναλαβών ἐξ ἀκηράτου Παρθένου καί ταύτην ὑποστήσας ἑαυτῷ καινήν, παλαιοῦ μή μετασχοῦσαν σπέρματος, ἀνεύθυνον αὐτήν καί δεδικαιωμένην ἀπέδειξεν, ὡς καί τούς ἐξ αὐτοῦ κατά Πνεῦμα γεννωμένους ἔπειτα πάντας τῆς προγονικῆς ἐκείνης ἀρᾶς καί καταδίκης μένειν ἐκτός. Τί οὖν; Οὐχί καί τῶν ὑποστάσεων ἡμῶν ἑκάστῃ τῆς αὐτοῦ μεταδίδωσι χάριτος, οὐδέ τῶν ἰδίων ἕκαστος πλημμελημάτων λαμβάνει παρ᾽ αὐτοῦ τήν ἄφεσιν, ἐπειδήπερ οὐχ ὑπόστασιν αὐτός παρ᾽ ἡμῶν, ἀλλά τήν ἡμετέραν ἀναλαβών ἐκαινούργησε φύσιν, ἑνωθείς αὐτῇ κατ᾽ ἰδίαν ὑπόστασιν; Καί πῶς, ὅς

πάντας τελείως θέλει σωθῆναι καί ὑπέρ πάντων κλίνας οὐρανούς κατῆλθε καί δι᾽ ἔργων καί λόγων καί παθημάτων οἰκείων πᾶσαν ὑποδείξας σωτηρίας ὁδόν εἰς οὐρανούς ἐπανῆλθεν, ἕλκων ἐκεῖσε τούς πειθομένους; Οὐκοῦν, οὐ τῇ φύσει μόνον ἥν αὐτός παρ᾽ ἡμῶν ἔσχε καθ᾽ ἕνωσιν ἀδιάσπαστον, ἀλλά καί τῶν εἰς αὐτόν πιστευόντων ἑκάστῳ παράσχοι τελείαν τήν ἀπολύτρωσιν· καί πεποίηκε καί ποιῶν οὐ διέλιπε, δι᾽ ἑαυτοῦ τῷ Πατρί καταλάττων καί πρός ὑπακοήν ἡμῶν ἐπανάγω ἕκαστον καί πᾶσαν ἡμῶν παρακοήν ἐξιώμενος.

Διά ταῦτα τοίνυν καί βάπτισμα ἐνετείλατο θεῖον καί νόμους ἔθηκε σωτηρίους καί μετάνοιαν ἐκήρυξε πᾶσι καί τοῦ οἰκείου μετέδωκε σώματός τε καί αἵματος· οὐ γάρ ἁπλῶς ἡ φύσις, ἀλλ᾽ ἡ ἑκάστου τῶν πιστευόντων ὑπόστασις καί τό βάπτισμα δέχεται καί κατά τάς θείας ἐντολάς πολιτεύεται καί τοῦ θεουργοῦ ἄρτου καί τοῦ ποτηρίου ἐν μεθέξει γίνεται. Διά τούτων μέν οὖν ὑποστατικῶς ἡμᾶς ὁ Χριστός ἐδικαίωσε καί πρός ὑπακοήν τοῦ ἀνωτάτου Πατρός ἐπανήγαγεν· αὐτήν δέ τήν φύσιν ἥν παρ᾽ ἡμῶν προσλαβόμενος (σελ. 146) ἐκαινούργησεν ἡγιασμένην καί δεδικαιωμένην καί τῷ Πατρί διά πάντων ὑπήκοον οὖσαν ἔδειξε, δι᾽ ὧν αὐτός ταύτῃ καθ᾽ ὑπόστασιν ἡνωμένος κατ᾽ αὐτήν ἔπραξέ τε καί ἔπαθεν· ὧν ἐστι καί ἡ τούτου σήμερον ἑορταζομένη παρ᾽ ἡμῶν εἰς τό ἱερόν τό παλαιόν ἐκεῖνο πρός καθαρισμόν ἀνάβασις ἤ ἀναβίβασις καί ἡ τοῦ θεολήπτου Συμεών ὑπάντησις καί ἡ τῆς διά βίου τῷ ἱερῷ προσανεχούσης Ἄννης ἐξομολόγησις.

Μετά γάρ τήν ἐκ Παρθένου τοῦ Σωτῆρος γέννησιν καί τήν κατά νόμου ὀκταήμερον περιτομήν, καθάπερ ὁ Εὐαγγελιστής Λουκᾶς φησιν, «ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατά τόν νόμον τοῦ Μωϋσέως, ἀνήγαγον αὐτός εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ Κυρίῳ, καθώς γέγραπται ἐν νόμῳ Κυρίου». Περιτέμνεται κατά τόν νόμον, ἀνάγεται κατά τόν νόμον, παρίσταται κατά τό γεγραμμένον ἐν νόμῳ Κυρίου, προσάγεται θυσία κατά τό εἰρημένον ἐν νόμῳ Κυρίου.

Ὁρᾶτε ὅτι διά πάντων ὑπήκοος τῷ νόμῳ γίνεται ὁ τοῦ νόμου ποιητής καί δεσπότης; Τί διά τούτων ἀπεργαζόμενος, ὑπήκοον ἐν πᾶσι τῷ Πατρί τήν ἡμετέραν φύσιν ποιούμενος καί τήν κατ᾽ αὐτήν ἡμῶν παρακοήν ἐξιώμενος καί τήν δι᾽ αὐτήν ἀράν εἰς εὐλογίαν μετασκευάζων. Ὡς γάρ ἐν Ἀδάμ ἅπασα ἦν ἡ φύσις ἡμῶν, οὕτω καί ἐν Χριστῷ· καί ὡς διά τοῦ ἐκ τῆς Ἀδάμ πάντες οἱ ἐξ ἐκείνου τό εἶναι

λαβόντες εἰς γῆν ἀπεστράφημεν καί εἰς ᾅδου, φεῦ, κατηνέχθημεν, οὕτω διά τοῦ ἐξ οὐρανοῦ Ἀδάμ, κατά τόν ἀπόστολον, πάντες εἰς οὐρανόν ἀνεκλήθημεν καί τῆς ἐκεῖ δόξης καί χάριτος ἠξιώθημεν μυστικῶς μέν τοι νῦν, κέκρυπται γάρ, φησίν, ἡ ζωή ὑμῶν σύν τῷ Χριστῷ ἐν τῷ Θεῷ, ὅταν δέ ὁ Χριστός φανερωθῇ κατά τήν (σελ. 148) δευτέραν αὐτοῦ ἐπιφάνειαν καί παρουσίαν, τότε καί ὑμεῖς πάντες φανερωθήσεσθε ἐν δόξῃ. Πάντες τίνες; Οἱ τῷ Χριστῷ υἱοποιηθέντες ἐν Πνεύματι καί πνευματικά τούτου τέκνα διά τῶν ἔργων ἀποδεικνύμενοι.

Ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν ἀνήγαγον αὐτόν παραστῆσαι τῷ Κυρίῳ. Τίνων αὐτῶν; Περί τῶν τεκόντων ἅμα δέ καί τῶν ἐκ συνδυασμοῦ τικτομένων ὁ τοῦ νόμου λόγος, ὡς δεομένων καθάρσεως˙ ἐπεί καί ὁ ψαλμωδός φησιν «ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μοτυ»˙ ὅπου δέ οὐ τεκόντες, ἀλλά τεκοῦσα ἦν μόνη, καί αὕτη παρθένος, καί παιδός τόκος ἀσπόρως συλληφθέντος, πάντως οὐκ ἦν χρεία καθαρισμοῦ, ἀλλ᾽ ὑπακοῆς ἦν ἔργον καί τοῦτο, ἐπαναγαγούσης τήν παρακούσασαν φύσιν καί τῆς διά τήν παρακοήν ἀπαγούσης εὐθύνης. Ὅτε οὖν ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν ἀνήγαγον αὐτόν παραστῆσαι τῷ Κυρίῳ, ἀναθεῖναι, φανερόν ποιῆσαι πρωτότοκον ὄντα, καθά γέγραπται ἐν νόμῳ Κυρίου, ὅτι «πᾶν ἄρσεν διανοῖγον μήτραν, ἅγιον τῷ Κυρίῳ κληθήσεται».

Καί μήν οὗτος μόνος ἐστίν ὁ μήτραν ἐν τῷ συλληφθῆναι διανοίξας, ἀσυνδιάστως κυοφορηθείς διά μόνου προσρήματος καί μηνύματος Θεοῦ, ὅπερ εἰς ἀκοήν ἡ Παρθένος δι᾽ ἀγγέλου ἐδέξατο˙ πῶς οὖν ὁ νόμος πᾶν ἄρσεν φησι διανοῖγον μήτραν; Ὥσπερ πολλοί λέγονται προφῆται καί πολλοί χριστοί, ὡς καί διά τοῦ ψαλμῳδοῦ λέγει ὁ Θεός, «μή ἅπτεσθε τῶν χριστῶν μοι καί ἐν τοῖς (σελ. 150) προφήταις μου μή πονηρεύεσθε», εἷς δέ ἐστιν ὁ Χριστός καί εἷς ὁ μόνος Προφήτης οὗτος, οὕτω καί πᾶν μέν πρωτότοκον λέγεται διανοίγειν μήτραν, ὁ δέ ἀληθῶς διανοίξας οὗτός ἐστιν ὁ μόνος ἅγιος τοῦ Ἰσραήλ. Ἀνήγαγον δέ φησι, καί, «τοῦ δοῦναι θυσίαν κατά τό εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων ἤ δύο νεοσσούς περιστερῶν».

Τό μέν οὖν τῶν τρυγόνων ζεῦγος, ὑπεμφαῖνον τῶν τεκόντων τό σῶφρον, εἶχέ τινα λόγον πρός τούς νόμῳ γάμου συνεζευγμένους, οἱ δέ δύο νεοσσοί τῶν περιστερῶν ἀπειρόγαμοι ὄντες σαφῶς προεδήλουν

τήν Παρθένον καί τόν ἐκ τῆς Παρθένου ταύτης τεχθέντα καί Παρθένον εἰς τέλος ὄντα. Καί ὅρα τοῦ νόμου τό ἀκριβές· ἐπί μέν γάρ τῶν τρυγόνων ζεῦγος εἶπεν, ὡς αἰνιττομένων τούς γάμῳ συνευζεγμένους, ἐπί δέ τῶν νεοσσῶν ἐφυλάξατο τοῦτο· ἀπειρόζυγος γάρ καί ἡ τεκοῦσα καί ὁ τεχθείς. Ἀλλ᾽ ὁ μέν νόμος πόρρωθεν προκαταγγέλων τόν παρθενικόν τόκον τοιαῦτα χρησμῳδεῖ καί διά τοιούτων τοῦτον προὐπογράφει· αὐτοῦ δέ τοῦ παραδόξως τεχθέντος νῦν εἰς τό ἱερόν ἀναχθέντος, ἑτέρας τρυγόνας καί ἄλλους περιστερῶν νεοσσούς πρεπωδεστέρους ἡτοίμασε τό Πνεῦμα τό ἅγιον. Τίνας τούτους; Συμεών καί τήν Ἄνναν, οὕς, εἴτε νεοσσούς περιστερῶν εἴποι τις, διά τό πρός κακίαν παντάπασι νηπιῶδες, εἴτε τρυγόνας διά τό τῆς σωφροσύνης ἀκρότατον, εὐλόγως ἐρεῖ.

Ἀλλ᾽ ὁ μέν Συμεών, ἵνα κατ᾽ ἐπιδρομήν τά εὐαγγελικά διέλθωμεν ρήματα, δίκαιος ὤν καί εὐλαγής, προκεχρηματισμένος τε ὑπό Πνεύματος ἁγίου, καί νῦν ὑπό τούτου κεκινημένος ἦλθεν εἰς τό ἱερόν καί ὑπήντησε καί ἐνηγκαλίσατο τοῦτο τό οὐράνιον καί (σελ. 152) ἐπίγειον βρέφος, αὐτῷ προσάγων ὡς Θεῷ τόν τε ὕμνον καί τήν ἱκεσίαν, ἐν εἰρήνῃ τε λυθῆναι τοῦ σώματος ἱκετεύων καί σωτήριον αὐτό φῶς εἶναι καταγγέλων τοῖς πᾶσιν, εἰς πτῶσίν τε τοῦτο τεθεῖσθαι τῶν ἀπιστούντων καί εἰς ἀνάστασιν τῶν εἰς αὐτό πιστευόντων ἰσχυριζόμενος.

Εἶτα καί τῇ Παρθένῳ καί Μητρί τοῦ βρέφους προσδιελέξατο, ἐκ τῆς περί τόν σταυρόν τοῦ παιδός ὀδύνης μητέρα κατά φύσιν φανερωθήσεσθαι δεικνύς τοῦ νῦν θεανθρώπου βρέφους καί τοῖς ἀμφιβόλους περί τούτου λογισμούς ἀποκαλύψασαν ἐκ τῶν καρδιῶν ἀπαλείψειν· καί ὁ Συμεών γάρ τήν γνησίαν τοῦ ἀμφιβόλου παιδός μητέρα ἐκ τῆς περί τό πάθος τοῦ παιδός ὀδύνης καί τῆς ἐπ᾽ αὐτό σφοδρᾶς λύπης καί συμπαθείας καλῶς ἐτεκμήρατο.

Προφῆτες δέ Ἄννα τοῦ Φανουήλ χήρα ὡς ἐτῶν ὀγδοήκοντα τεσσάρων οὖσα, νηστείαις τε καί δεήσεσι προσκειμένη καί τοῦ ἱεροῦ μηδαμῶς ἀφισταμένη, θείῳ Πνεύματι τηνικαῦτα μᾶλλον γενομένη κάτοχος εὐχαρίστει τῷ Θεῷ καί τήν λύτρωσιν παραγενομένην τοῖς προσδεχομένοις εὐηγγελίζετο, ταύτην εἶναι δεικνῦσα τό βρέφος τοῦτο.

Τοιαύτας λογικάς τρυγόνας πρός ὑπαντήν προέπεμψεν εἰς τό ἱερόν ἀνιόντι τῷ Χριστῷ τό Πνεῦμα τό ἅγιον καί ἔδειξεν ἡμῖν ὁποίους εἶναι δεῖ τούς εἰσδεχομένους Χριστόν, καί ὁποίους εἶναι δεῖ καί ὁποίας

τάς ἐξ ἀνδρῶν τε τόν βίον ἀπολιπούσας καί τούς τάς ὁμοζύγους ἀποβαλόντας. Χήρα γάρ ἦν ἡ τοῦ Φανουήλ αὕτη Ἄννα, ἀλλά καί προφῆτις. Πῶς; Ὅτι τῶν κοσμικῶν καί βιωτικῶν ἀποστᾶσα φροντίδων οὐκ ἀφίστατο τοῦ ἱεροῦ˙ ὅτι νηστείαις καί ἀγρυπνίαις καί προσευχαῖς καί ψαλμῳδίαις συνδιημερεύουσα καί (σελ. 154) διανυκτερεύουσα τόν βίον εἶχεν ἄμωμον˙ διό καί τόν Κύριον, ᾧ δι᾿ ἔργων ἐλάτρευεν, εἰκότως ἐπεγίνωσκεν ἐλθόντα, καθά καί ὁ ψαλμῳδός προφήτης πρός αὐτόν φησιν˙ «ψαλῶ καί συνήσω ἐν ὁδῷ ἀμώμῳ, πότε ἥξεις πρός με;».

Τοιαύτας εἶναι δεῖ καί τοιούτους τούς ἐκ τοῦ γάμου διά τῆς ἐντίμου χηρείας πρός τόν παρθενικόν βίον ἐγγίζειν ἤ καί συμβιοῦν αἱρουμένους. Ἐάν οὖν τῆς δευτέρας συζυγίας ὡς χαμαιζήλου παντάπασιν ὑπερεῖδες, ἀπρίξ ἔχου μοι τῆς προθέσεως, κατ᾿ ἴχνος βάδιζε τῶν ἐξ ἀρχῆς καί διά τέλους ἀγάμων. Ἦν ὅτε καί Πέτρος πενθεράν ἔσχεν, ἀλλ᾿ Ἰωάννου τοῦ παρθένου πρός τό ζωαρχικόν μνῆμα προσδραμόντος οὐκ ἀπελείφθη˙ ἔστι δέ ἐφ᾿ ὧν καί ἐπανῆλθε, διό καί κορυφαῖος τῶν κορυφαίων ὑπό τοῦ κοινοῦ δεσπότου κατέστη. Πρός τοιοῦτον ὕψος ἀνάγει πόθος ἀπό τῆς σαρκός ἐπί τό πνεῦμα μετενεχθείς.

Σύ δέ ὅρα, μή τῆς μέν ἀποσχόμενος ὡς πανδήμου, τῆς δέ μή ἐφικόμενος ὡς δυσεφίκτου, παραρρυῆς καί λάθῃς καταπεσών, ὡς μήτε τῶν κατά νόμον μήτε τῶν ὑπέρ νόμον, ἀλλά τῶν παρά νόμον ἐχόμενος. Εἰ δέ τούς ἐν χηρείᾳ ὄντας, ἄν μή σωφρονῶσι, κατακρίτους ἀποφαινόμεθα, κἄν δευτέροις ἐννόμως ὁμιλήσωσι γάμοις, οὐ παντάπασιν ἀμέμπτους ἡγούμεθα (εἶπεν ἄν ὅ Παῦλος, ὅτι τήν πρώτην πίστιν ἠθέτησαν), πόσῳ μείζονος ἄξιοι καταδίκης, οἱ τῆς ἐννόμου συζυγίας τήν παράνομον ἡδονήν προτιμῶντες, καί οἱ γυναιξί συνοικοῦντες, καί τῆς πορνείας οὐκ ἀπεχόμενοι; Πορνείας, ἥ καί τόν παγκόσμιον ἐκεῖνον ἐπήνεγκε κατακλυσμόν καί αὐτοῖς τοῖς υἱοῖς Θεοῦ κληθεῖσι τήν ἀρχήν καί τοῖς Σοδομίταις ἐπήνεγκε τόν (σελ. 156) οὐρανόθεν ἐμπρησμόν καί τοῖς Ἰσραηλίταις τήν ἀπό τῶν Μωαβιτῶν ἧτταν καί τόν πολυάνθρωπον ἐκεῖνον φόνον καί νῦν ἡμῖν, οἶμαι, τάς ὑπό τῶν ἐθνῶν ἥττας καί τάς πολυειδεῖς ἔσωθέν τε καί ἔξωθεν κακώσεις καί συμφοράς.

Υἱούς δέ Θεοῦ τούς ἀπογόνους Ἐνώς πρώτους ἐκάλεσεν ἡ Γραφή, ὅς πρῶτος ἤλπισεν ἐπικαλεῖσθαι τῷ ὀνόματι Κυρίου. Οὗτος δέ ἦν υἱός Σήθ, οὗ τό γένος διΐστατο τοῦ διά τόν Κάϊν ἐπαράτου γένους καί διεῖγον ἐν σωφροσύνῃ, καί δι᾿ αὐτούς ἔτι τότε ἵστατο ὁ κόσμος, ἕως

κατά τό γεγραμμένον ἰδόντες τάς θυγατέρας τῶν ἀνθρώπων, τουτέστι τάς ἐκ τοῦ γένους τοῦ Κάϊν, ὅτι καλαί καί τοῦ πορνικοῦ κάλλους ἡττηθέντες ἔλαβον αὐτοῖς ἀπό πασῶν ὧν ἐξελέξαντο καί ἔμαθον τά ἔργα αὐτῶν καί ἐπληθύνθη ἡ κακία ἐπί τῆς γῆς καί ἦλθεν ὁ κατακλυσμός, καί ἦρεν ἅπαντας· καί εἰ μή Νῶε τότε καί οἱ τοῦ Νῶε υἱοί σωφρονοῦντες εὑρέθησαν ἐπί τῆς γῆς (δῆλον δέ, καί γάρ μιᾶς γυναικός ἕκαστος ἦν ἀνήρ, μεθ᾽ ἧς καί εἰσῆλθεν εἰς τήν κιβωτόν), οὐδ᾽ ἄν ὑπελείφθη ρίζα τις καί ἀρχή πρός δευτέρου κόσμου γένεσιν.

Ὁρᾶτε ὅτι διά τούς πορνεύοντας πάλαι ἄν ἀπώλετο ὁ κόσμος οὗτος, εἰμή διά τούς σωφρονοῦντας ἵστατο; Οἱ δέ μηδέ τοῦ παρόντος ἄξιοι κόσμου, ὡς ἀκοσμίαν τοῦτον ἀπεργαζόμενοι, πῶς οὐχί καί τοῦ μέλλοντος αἰῶνος ἐξωσθήσονται, τῷ πυρί τῆς γεέννης παραδοθέντες, ὡς μή τῷ πυρί τῶν σαρκικῶν ἡδονῶν ἀντισχόντες, εἰ μή νῦν διά μετανοίας αὐτό μέν ἀποσβέσουσι σπεύσαντες, τούς δέ προγεγονότας ἐντεῦθεν μολυσμούς τοῖς δάκρυσιν ἀπονίψονται; Καί τοῦτο δέ (σελ. 158) μή ἀγνοείτωσαν, ὡς ἐάν μή ἀντιστῶσι σπεύσαντες διά τῆς μετανοίας τῷ πάθει, χείροσι προϊόντες παραδοθήσονται τοῖς παρά φύσιν αἰσχροῖς, ἅ πορνικῆς μέν ἐστιν ἐπιθυμίας γεννήματα, ἕλκει δέ τῆς γεέννης ἐνταῦθα τό πῦρ, ὡς ἐντεῦθεν συναρπᾶσον τούς ἀκολάστους εἰς αἰώνιον κόλασιν.

Τίς οὐκ οἶδε τούς Σοδομίτας καί τήν παρανομωτέραν ἐκείνων πορνείας ἔκκαυσιν καί τόν καινότερον τοῦ πυρός ἐπ᾽ αὐτούς ὄμβρον καί τήν ἀπώλειαν; Πολλάκις δέ καί σύμπασα πόλις ἑνός ἀνδρός ἀσελγοῦς ἀπήλαυσεν, ὡς ἐπί τῶν Σικήμων ὑπό τῶν Ἰακώβ παίδων ἄρδην ἀφανισθέντων ἐγένετο, τοῦ Συχέμ τήν τοῦ Ἰακώβ θυγατέρα Δείναν ἁρπάσαντος. Ἀλλ᾽ ἵνα τούς πρό τοῦ νόμου νῦν ἀφῶμεν, αὐτός ὁ νόμος, οὐ τήν νυμφευομένην, μή εὑρεθείσης ἐν αὐτῇ παρθενίας, λιθοβολεῖσθαι προστάττει, τήν δέ πεπορνευομένην ἱερέως θυγατέρα οὐ πυρί κατακαίεσθαι; Μίσθωμα δέ πόρνης οὐκ ἀπηγορεύει τῷ ναῷ τοῦ Κυρίου προσφέρεσθαι; Τῶν δέ Ἰσραηλιτῶν πορνικῶς ταῖς Μωαβίτισι συμφθαρέντων ἔργον μαχαίρας ἐν μιᾷ ἡμέρᾳ τρεῖς πρός ταῖς εἴκοσι χιλιάδες ἀνδρῶν ἐγένοντο. Διό καί Παῦλος ὁ μέγας πρός ἡμᾶς φησι· «μή πορνεύετε, καθώς τινες αὐτῶν ἐπόρνευσαν, καί ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἰκοσιτρεῖς χιλιάδες». Τοιαῦτα καί πρό νόμου καί ἐν νόμῳ καί διά νόμου τά τῆς πορνείας εἰσίν ἐπιτίμια.

Τί δέ ἡμεῖς οἱ σταυρῶσαι τήν σάρκα σύν τοῖς παθήμασι καί τοῖς ἐπιθυμίαις ἐπιταττόμενοι καί πάλιν τοῖς αὐτοῖς περιπίπτοντες, δι᾽ ἅ

ἔρχεται ἡ ὀργή τοῦ Θεοῦ ἐπί τούς υἱούς τῆς ἀπειθείας; Οἱ νεκρῶσαι τά μέλη τά ἐπί τῆς γῆς παραινούμενοι, πορνείαν, ἀκαθαρσίαν, πάθος κακόν καί τήν ἐπιθυμίαν, καί τῆς παραινέσεως οὐκ (σελ.160) ἐπιστρεφόμενοι; Οὐ φοβηθησόμεθα ὀψέποτε γοῦν εἰ μηδέν ἄλλο, τάς γοῦν θεομηνίας, τάς κάτωθεν, τάς ἄνωθεν, τάς ἐκβάσεις, τάς ἠπειλημένας ἐκείνας καί αἰωνίους; Οὐκ αἰδεσθησόμεθα τήν διά σαρκός ἐπιφάνειαν τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, καί ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν; Οὐ φρίξομεν τάς ἀποστολικάς ἐπεξελεύσεις καί ἀποφάσεις καί παραινέσεις, «οὐκ οἴδατε», λέγοντος, «ὅτι ναός ἐστε Θεοῦ, καί τό Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν; Εἴ τις τόν ναόν τοῦ Θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ Θεός». Καί πάλιν, «φανερά ἐστι τά ἔργα τῆς σαρκός, ἅτινά ἐστι πορνεία, ἀκαθαρσία, ἀσέλγεια καί τά ἑξῆς, ἅ προλέγω ὑμῖν, καθώς ἤδη καί προεῖπον, ὅτι οἱ τά τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι». Καί πάλιν, «τοῦτό ἐστε γινώσκοντες, ὅτι πᾶς πόρνος ἤ ἀκάθαρτος ἤ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καί Θεοῦ». Καί πάλιν, «τοῦτό ἐστι τό θέλημα τοῦ Θεοῦ, ὁ ἁγιασμός ἡμῶν, ἀπέχεσθαι ἡμᾶς ἀπό τῆς πορνείας˙ οὐ γάρ ἐκάλεσεν ἡμᾶς ὁ Θεός ἐπί ἀκαθαρσίᾳ, ἀλλ᾽ ἐπί ἁγιασμῷ˙ τοιγαροῦν ὁ ἀθετῶν, οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλά τόν Θεόν τόν δόντα τό Πνεῦμα τό ἅγιον αὐτοῦ εἰς ἡμᾶς».

Καί τίς ἄν ἑξῆς καταλέξῃ τάς εἰς τοῦτο πάσας τῶν τε Ἀποστόλων καί τῶν προφητῶν φωνάς; Τοῖς μέν τοι σωφρονοῦσι καί διά τοῦτο τελοῦσιν εἰς τά μέλη τοῦ Χριστοῦ τί παραγγέλει ὁ ἀπόστολος; «Ἔγραψα ὑμῖν ἐν τῇ ἐπιστολῇ, μή συναμίγνυσθαι πόρνοις». Ἐπειδή γάρ ἐκεῖνοι παρ᾽ ἑαυτῶν οὐκ ἐντρέπονται, παραινεῖ τοῖς ἄλλοις ἐκτρέπεσθαι καί ἐντρέπειν αὐτούς, λέγων πρός αὐτούς, (σελ. 162) «ἐάν τις ἀδελφός ὀνομαζόμενος ᾖ πόρνος, τῷ τοιούτῳ μηδέ συνεσθίειν». Ὁρᾷς ὅτι κοινόν μόλυσμά ἐστι τῆς Ἐκκλησίας ὁ πορνείᾳ ἐγκαλινδούμενος καί διά τοῦτο δεῖ πάντας τοῦτον ἀποτροπιάζεσθαι καί ἐξελαύνειν; Αὐτός δέ ὁ Παῦλος καί τῷ Σατανᾷ παρέδωκε τόν ἐν Κορίνθῳ πορνεύσαντα καί οὐκ ἐκύρωσε πρός αὐτόν ἀγάπην, οὐδέ προσελάβετο τοῦτον, μέχρις ὅτου τήν μετάνοιαν ἱκανῶς ἐπεδείξατο.

Σώζων σῶζε τήν σεαυτοῦ ψυχήν ἀπό τῶν τοσούτων κακῶν, ὦ ἄνθρωπε, τῶν μέν παρό᾽ντων, τῶν δέ μελλόντων, καί τούτων διττῶν ἔν τε τῷ μέλλοντι κἀν τῷ παρόντι αἰῶνι. Τό γάρ Ἠσαῦ γένος ἀπόβλητον, ἐπειδή πόρνος καί βέβηλος ἐκεῖνος ἦν, καί ὁ Ροβοάμ

ἀφαιρεῖται τῆς βασιλείας τό πλεῖστον, ἐπεί γυναικομανής εἴπέρ τις ὁ τοῦτον γεννήσας Σολομών ἀπεβίω μή τοῦτο παθών αὐτός διά τόν Δαβίδ, ὅς καί τό προστριβέν ἅπαξ ἄγος δακρύων λιβάσι καί τοῖς ἄλλοις τῆς μετανοίας ἔργοις διαρκῶς ἀπετρίψατο.

Φεύγετε τήν πορνείαν, ἀδελφοί, πάλιν ὁ ἀπόστολος ἐγκελεύεται. Εἰ Σαμψών ταύτην ἔφευγεν, οὐκ ἄν τῆς Δαλιδᾶς ταῖς χερσί κρατηθείς μετά τῆς ἐν τῇ κεφαλῇ τριχός καί τήν ἰσχύν ἀφηρέθη, οὐκ ἄν ἐξεκόπη τούς ὀφθαλμούς, οὐκ ἄν τοῖς ἀλλοφύλοις κακῶς τό ζῆν συναπέρρηξεν. Εἰ ταύτην ἔφευγον οἱ ὑπό Μωσέως στρατηγοῦντος καί νομοθετοῦν τος ἀγόμενοι, οὐκ ἄν ἔθυσαν τῷ Βεελφεγώρ, οὐδ᾽ ἄν ἔφαγον θυσίας νεκρῶν, οὐδ᾽ ἄν ἔπεσον ὅσον πεπτώκασιν. Εἰ ταύτην (σελ. 164) ἔφευγε Σολομών, οὐκ ἄν ἀπέστη ἀπό Θεοῦ τοῦ βασιλεύσαντος αὐτόν καί σοφίσαντος, οὐδ᾽ ἄν εἰδώλοις ναούς ἀνήγειρεν.

Ὁρᾶτε ὅτι καί πρός ἀσέβειαν ἐκφέρει τό τῆς πορνείας πάθος τόν ἄνθρωπον; Οὐδέ τούς ἐν Βαβυλῶνι πρεσβυτέρους κριτάς τό τῆς Σωσάννης κάλλος ἐξαπατῆσαν, ἐθριάμβευσεν ὕστερον καί ταῖς τῶν λίθων συνεκάλυψε βολαῖς, εἰ τό μύσος πόρρωθεν ἔφευγον καί μή καθ᾽ ἑκάστην ταύτην ἀκολάστως παρετήρουν πρότερον. Οὐδ᾽ Ὀλοφέρνης ἐκτραχηλισθείς ἄθλιος ἔκειτο, εἰ μή πρότερον τό σανδάλιον Ἰουδίθ, κατά τό γεγραμμένον, ἥρπασεν ὀφθαλμόν αὐτοῦ καί τό κάλλος αὐτῆς ᾐχμαλώτευσεν ψυχήν αὐτοῦ. Διά τοῦτο Ἰώβ φησι· «Διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου, καί οὐ συνήσω ἐπί παρθένον»· πόσῳ μᾶλλον ἐπί ἄσεμνον γύναιον ἀπολελυμένον ἤ συνημμένον.

Ἤ μονίαν ἄσκει, ὦ οὗτος, θεοφιλῆ, ἤ συζυγίαν θεόσδοτον. Πίνε ὕδατα ἀπό σῶν φρεάτων, οἰκειότερον δέ νῦν εἰπεῖν, ἀπό σοῦ μόνου φρέατος, καί τοῦτο σωφρονικῶς, ἀπέχου δέ παντελῶς νόθου ποματος· στυγός ἐστι ὕδωρ, ποταμοῦ τυγχάνει ρεῖθρον Ἀχέροντος, ἰοῦ θανατηφόρου γέμει, δηλητηρίου δύναμιν κέκτηται· εἰς γάρ πέταυρον ᾅδου, μᾶλλον δέ τούς μυχούς αὐτούς τούς πιόντας κατασπᾶν πέφυκε. Φεῦγε τό ἀπό χειλέων πορνικῶν μέλι· σεσοφισμένον γάρ ἐστι θάνατον πορνικόν ἐπαλεῖφον, ὅς ἐστιν ὁ ἀπό τοῦ Θεοῦ χωρισμός· πρός ὅν φησι ὁ Δαβίδ· «ἐξολόθρευσας πάντα τόν πορνεύοντα ἀπό σοῦ».

Ἀνάγκη γοῦν καθαρεύειν ἤ γοῦν καθαίρεσθαι, καί οὕτως ἀμίαντον μένειν διηνεκῶς ταῖς ἐνδεδομέναις ἡδοναῖς ἀρκούμενον, οὗ τό σῶμα ναός Θεοῦ διά τοῦ Πνεύματος γέγονε καί τό Πνεῦμα τοῦ Θεοῦ (σελ.

166) οἰκεῖν ἐν αὐτῷ καί πρός κτῆσιν μέν ἁγνείας καί σωφροσύνης σπεύδειν, πορνείας δέ καί πάσης ἀκαθαρσίας ἀποφυγήν, ἵνα τῷ ἀφθάρτῳ νυμφίῳ ἐν ταῖς ἀκηράτοις παστάσι συνδιαιωνίζωμεν πάντες συνευφραινόμενοι, πρεσβείαις τῆς ἐν παρθενίᾳ τεκούσης αὐτόν εἰς ἡμῶν σωτηρίαν, ἀειπαρθένου καί παναμώμου καί ὑπερδεδοξασμένης Μητρός· νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ ΣΤ΄ (Σελ. 170)*

## *ΠΡΟΤΡΕΠΤΙΚΗ ΠΡΟΣ ΝΗΣΤΕΙΑΝ*

### *Ἐν ᾗ καί περί τῆς τοῦ κόσμου γενέσεως, ὡς ἐν ἐπιτόμῳ.*

Πολύς ἐστιν εἰς κακίαν εὐμήχανός τε καί πολυτροπώτατος, μᾶλλον δέ παμμήχανος ὁ νοητός καί ἀρχέκακος ὄφις. Ἔχει δι᾽ ὧν ἀρχομένην ἐμποδίζει τήν πρόθεσιν ἡμῶν καί τήν πρᾶξιν τήν ἀγαθήν· ἄν δέ μή δυνηθῇ τήν ἀρχήν ἐμποδίσει ταύτην, ἄλλας ἐπίσταται μηχανάς, δι᾽ ὧν ἀχρειοῖ ταύτην ἐνεργουμένην· ἄν δέ μηδέ τελουμένην ἀχρειῶσαι ταύτην περί τά μέσα που δυνηθῇ, πάλιν ἕτερα σοφίσματα καί τρόπους ἑτέρους οἶδε, δι᾽ ὧν καί τελειωθεῖσαν ἐκκενοῖ ταύτην καί ἀκερδῆ καθίστησι, μᾶλλον δέ ἐπιζήμιον τοῖς μή πάνυ προσέχουσι. Καί πρῶτον μέν τό ἐπίπονον καί (σελ. 172) δυσκατόρθωτον τῆς ἀρετῆς ὑποδείκνυσι, καί ῥᾳθυμίαν ἐντεῦθεν ἡμῖν ἐμποιεῖ καί ἀνελπιστίαν, ὡς δυσκόλοις καί ἀδυνάτοις ἐπιχειροῦσι, διό μηδέ δυνησομένοις εἰς ἔργον ἐνεγκεῖν τήν πρόθεσιν· ἔτι δέ καί ἀπιστίαν ἐντίκτει τῶν ἐπηγγελμένων παρά Θεοῦ τοῖς ἀγωνιζομένοις βραβείων.

Ἀλλ᾽ ἡμεῖς, ἀδελφοί, διά τῆς κατά ψυχήν ἀνδρείας καί προθυμίας καί πίστεως, τῆς παγίδος ταύτης ὑπεραρθῶμεν, ἐπί νοῦν λαβόντες ὡς οὔτε γῆ χωρίς καμάτων εὐχρήστους ἀναδίδωσι τούς καρπούς οὔτε ψυχήν χωρίς ἀγώνων πνευματικῶν θεοφιλές τι καί σωτήριον κτήσεται. Καί γῆν μέν οὐκ ἐπιτηδείαν πρός γεωργίαν ἔστιν εὑρεῖν· ψυχή δέ λογική πᾶσα πρός ἀρετήν ἐστιν εὐφυής. Ἐπεί δέ καί διά τήν προγονικήν καταδίκην πόνῳ καί μόχθῳ ζῆν κατεκρίθημεν καί τοῦτο διαφυγεῖν οὐκ ἔνι, ποιήσωμεν τήν ἀνάγκην φιλοτιμίαν, τό ἀκουσίως προσόν ὡς ἑκούσιον τῷ Θεῷ προσενέγκωμεν, ἀντιδῶμεν τῶν μονίμων τά πρόσκαιρα καί τῶν δεινῶν ἀντιληψόμεθα τά χρηστότατα,

πορισμόν αἰωνίου ἀνέσεως τόν πρόσκαιρον πόνον ἀπεργαζόμενοι˙ ὑπέρ ἀρετῆς γάρ ἐνταῦθα πονοῦντες τῆς ἐπηγγελμένης ἐπί τοῦ μέλλοντος αἰῶνος ἀναπαύσεως πάντως ἐπιτευξόμεθα. Καί γάρ πιστός ὁ ἐπαγγειλάμενος, ὅς καί βοηθός ἐστιν ἕτοιμος τοῖς ὑπελθοῦσιν ἑτοίμως τόν ἀγῶνα τῆς ἀρετῆς˙ τούτου δέ βοηθοῦντος τοῦ τά πάντα ἰσχύοντος, τί τῶν ἁπάντων οὐκ ἀνύσιμον ἔσται;

Ἀλλ᾽ ὅταν, ταῦτα ἐνθυμηθέντες, προθύμως ἐπιβαλλώμεθα τοῖς ἔργοις τῆς ἀρετῆς, εἰδώς ἐκεῖνος ὁ πονηρός ὅτι τό καλόν οὐ καλόν, ὅταν μή καλῶς γένηται, σπουδάζει πείθειν ἡμᾶς μή κατά θεάρεστον (σελ. 174) σκοπόν ἐκτελεῖν τήν τοῦ καλοῦ ἐργασίαν, μηδέ πρός τόν ἐκ τοῦ Θεοῦ ἔπαινον, ἀλλά πρός τόν ἐξ ἀνθρώπων ὁρᾶν, ἵνα καί οὕτω τῆς παρά Θεοῦ μισθαποδοσίας καί τῶν πνευματικῶν καί οὐρανίων ἀποστερήσῃ γερῶν. Ἡμεῖς δέ καί ταύτην αὐτοῦ τήν σπουδήν ἄπρακτον ἀποδείξωμεν, τῶν τε ἀποκειμένων τοῖς θεαρέστως ζῶσιν ἀμοιβῶν τό μέγεθος καί τό τῆς ἀνθρωπαρεσκείας οὐτιδανόν λογισάμενοι, μή μόνον πρός ἐκεῖνο τό μέλλον τῆς θείας δόξης μέγεθος συγκρινόμενον, ἀλλ᾽ οὐδέ πρός κάκωσιν καί τῆξιν σαρκός ἀξιόλογον ὄν.

Ἀλλά καί μετά τήν κατ᾽ αὐτοῦ ταύτην νίκην ὁ ἀρχέκακος ἐκεῖνος ἡμῖν ὑπορύττει τήν ὑπερηφανίαν, οἷόν τι τελευταῖον καί πονηρότατον βάραθρον, οἰήσεως λογισμούς ὑποβάλλων καί μεγαλαυχεῖν ἡμᾶς πείθων, ὡς οἰκείᾳ δυνάμει καί περινοίᾳ τήν ἀρετήν κατορθώσαντας. Ἀλλ᾽ ἡμεῖς ἐπιμνησθῶμεν τῆς αὐτοαληθείας λεγούσης, ὅτι «χωρίς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν»˙ καί οὕτως ἀποκρουώμεθα τάς τοῦ πονηροῦ πολυειδεῖς μηχανάς, καί ἐργαζόμενοι καί καλῶς ἐργαζόμενοι τό καλόν, καί σύν ταπεινώσει τῇ προσηκούσῃ γινώσκοντες ὅτ, καθάπερ εἴ τις ἐν ἀγγείῳ μῦρον πολύτιμον κεκτημένος, κἄν αὐτό χέῃ ἐπί τῆς κόπρου κἄν τήν κόπρον βάλλῃ εἰς τό ἀγγεῖον, ὅμοίως τό μῦρον ἠχρείωσε καί ἀπώλεσεν, οὕτω καί τήν ἀρετήν κἄν ἀπώσηταί τις καί ἀφ᾽ ἑαυτοῦ ἀπορρίψῃ διά τῆς ἀπραξίας κᾶς ἀπραξίας κἄν ἀναμίξῃ τῇ πράξει ταύτης τήν πονηρίαν, ἑκατέρωθεν ὁμοίως ἀχρειοῖ καί ἀπόλλυσι.

Καί ταῦτα νῦν λέγω πρός τήν ὑμετέραν ἀγάπην διά τόν τῆς (σελ. 176) νηστείας καιρόν, ἵνα τοῦτον ἄμικτον πάσης κακίας ἑαυτοῖς συντηρήσωμεν˙ καί γάρ τόν ἐν τῷ εὐαγγελίῳ Φαρισαῖον ἐκεῖνον, καίτοι νηστεύοντα δίς τοῦ σαββάτου τόν ἅπαντα χρόνον, οὐδέν

ὠφέλησεν ἡ νηστεία˙ μεμιγμένην γάρ εἶχε ταύτῃ τήν ὑπερηφανίαν καί τήν πρός τόν πλησίον κατάκρισιν. Οὐ μήν διά τοῦτο οὐκ ἔστιν ὠφέλιμος ἡ νηστεία˙ τοῖς γάρ θεαρέστως καί ὡς προσῆκε ταύτην ἐργαζομένοις, ὅσον ἐστί τό ὄφελος, ἔδειξεν ὁ Μωϋσῆς, ὁ Ἠλίας, αὐτός ὁ Κύριος.

Μωϋσῆς μέν γάρ πολυήμενον νηστείαν ἄγων (ἀλλά, διεγείρατε, παρακαλῶ, τήν ὑμετέραν διάνοιαν, καί συνανυψώσατε νῦν, τοῦ καιροῦ διδόντος, ταῖς τοῦ Μωϋσέως ἐπ᾽ ὄρους πρός Θεόν ἀναβάσεσιν, ἵνα δι᾽ αὐτῶν καθ᾽ ὁδόν αὖθις ἐπαναβαίνοντες συνανυψωθῆτε Χριστῷ, μηκέτι πρός ὄρος, ἀλλά πρός οὐρανόν ἀνιόντι καί ἡμᾶς συν επείροντι)˙ Μωϋσῆς μέν οὖν τεσσακονθήμενον νηστείαν ἐπ᾽ ὄρους ἄγων, ἐν εἴδει καί οὐ δι᾽ αἰνιγμάτων κατά τό γεγραμμένον ὁρᾷ Θεόν˙ καί ὁμιλεῖ τούτῳ καί προσλαλεῖ, καθάπερ εἴ τις λαλήσει πρός τόν ἑαυτοῦ φίλον, καί μανθάνει παρά θεοῦ καί διδάσκει πάντας περί αὐτοῦ, ὡς αὐτός ἐστιν ὁ ἀεί ὤν καί πρός τό μή ὄν οὐκ ἰών, ἀλλά καί τά μή ὄντα ὡς ὄντα καλῶν καί ἐκ μή ὄν των τά πάντα παραγαγών καί πρός τό μή ὄν διαπεσεῖν οὐκ ἐῶν. Ὅς πρῶτον μέν νεύματι καί θελήματι μόνῳ τήν αἰσθητήν κτίσιν σύμπασαν ἀθρόαν ἐξ οὐκ ὄντων προήγαγεν˙ «Ἐν ἀρχῇ» γάρ, φησίν, «ἐποίησεν ὁ Θεός τόν οὐρανόν καί τήν γῆν»˙οὐ διάκενον πάντως, οὐδ᾽ ἄνευ πάντῃ τῶν μεταξύ πάντων˙ ὕδατι μέν γάρ ἀναμίξ ἦν ἡ γῆ, κυοφόρον δέ ἑκάτερον ἀέρος τε καί τῶν κατ᾽ εἶδος ζώων τε καί φυτῶν, ὁ δέ οὐρανός τῶν διαφόρων φώτων τε καί πυρῶν, ἐν οἷς τό σύμπαν ὑφέστηκεν.

(σελ. 178) Οὕτως οὖν ἐποίησε ὁ Θεός ἐν ἀρχῇ τόν οὐρανόν καί τήν γῆν, οἷόν τινα ὕλην πανδεχῆ καί δυνάμει τά πάντα φέρουσαν, καλῶς πόρρωθεν ἀπορραπίζων τούς καθ᾽ ἑαυτήν προϋφεστηκέναι τήν ὕλην κακῶς νομίζοντας. Εἶτα καλλιεργῶν καί τόν κόσμον ἐπικοσμῶν, τήν οἰκείαν ἑκάστῳ καί προσήκουσαν τάξιν τῶν προσόντων αὐτῷ καί συμπληρούντων τόν αὐτοῦ κόσμον ἐν ἕξ ἡμέραις διένειμε, διακρίνων ἕκαστον προστάγματι μόνῳ καθάπερ ἐκ θησαυρῶν ἀποθέτων ἐξάγων εἰς εἶδος τά ἐντεθέντα˙ διατιθείς τε καί συντεθείς ἐναρμονίως ἄκρως καί προσφυῶς ἄλλο πρός ἄλλο τούτων, ἕκαστόν τε πρός πάντα καί πρός ἕκαστον ἅπαντα. Καί τῇ μέν ἀκινήτῳ γῇ καθαπέρ τινι κέντρῳ περιτιθείς ἀνωτάτῳ κύκλῳ καί συνδῶν πανσόφως διά τῶν μέσων τόν ἀεικίνητον οὐρανόν, ἵν᾽ αὐτός διαμένῃ κόσμος ἑστώς ὁμοῦ καί κινούμενος˙ πάντῃ γάρ κύκλῳ τῶν ἀεικινήτων καί ταχυκινήτων ἄγαν σωμάτων περιτεθέντων, τό ἀκίνητον ἐξ ἀνάγκης τήν μέσην ἔλαχε

χώραν, ἀντίρροπον τῇ κινήσει τήν στάσιν ἔχον, ὡς μή μεταχωρεῖν κυλίνδρου δίκην τήν παγκόσμιον σφαῖραν.

Τοιαύτην δέ νείμας ὁ ἀριστοτέχνης τῶν τοῦ παντός περάτων ἑκατέρῳ τήν θέσιν, τόν σύμπαντα τοῦτον εὐκόσμως ὡς εἰπεῖν κόσμον καί ἔπηξε καί ἐκίνησε. Τῶν δέ μεταξύ τῶν περάτων τούτων διανέμει πάλιν τό προσῆκον ἑκάστῳ, καί τά μέν ἄνω τάττει καί μετεωροπολεῖν ἐπιτάττει καί συμπεριπολεῖν τῷ ἀνωτάτω τοῦ παντός ὅρῳ ταυτῶς καί κοσμίως εὖ μάλα τόν ἀεί χρόνον, ὅσα κοῦφα καί δραστικά καί μετασκευαστικά πρός τό χρήσιμον τῶν ὑποκειμένων ἐστί˙ τοσοῦτον ὑπερανεστηκότα τοῦ μέσου συνετῶς ἄγαν, ὡς καί τήν ἐν τούτῳ τοῦ ψύχους ἀμετρίαν ἀποχρώντως θραύειν ἔχειν περιημμένα καί τήν οἰκείαν τῆς θερμότητος ἀμετρίαν ἐπί χώρας κατέχειν˙ ἐπέχειν δέ πως καί τήν ἀμετρίαν τῆς φορᾶς τῶν ἀνωτάτω περάττων ἀντιστρόφως ἰδίως αὐτά κινούμενα καί κατέχειν ἐπι χώρας (σελ. 180) κἀκεῖνα διά τῆς ἀντιστρόφου περιστροφῆς, ἡμῖν τε παρέχειν ἐνιαυσιαίων πολυωφελεῖς διαφοράς ὡρῶν, χρονικῶς τε διαστημάτων μέτρα, καί τοῦ κτίσαντος καί τάξαντος καί κοσμήσαντος Θεοῦ τοῖς συνιεῖσι γνῶσιν.

Τά μέν οὖν ἐν μετεώρῳ καί ἀνωτέρω πολυστρόφως οὕτω περιχορεύειν διττῶς ἐφῆκε, κάλλους τε παγκοσμίου χάριν καί ὠφελείας πολυειδοῦς, τά δ᾽ ἄλλα κάτω καί περί τό μέσον ἔθηκεν, ὅσα βάρος ἔχει καί παθητά τήν φύσιν ἐστί, γίνεσθαί τε καί ἀπογίνεσθαι πέφυκε, διακρινόμενά τε καί συγκρινόμενα, καί πάσχοντα μᾶλλον μεταβάλλειν πρός εὐχρηστίαν, κατά κόσμον ὑποτιθείς καί ταῦτα καί τόν πρός ἄλληλα λόγον, ἵν᾽ ἐτύμως ἔχῃ καλεῖσθαι κόσμος τό πᾶν.

Οὕτω δή πρῶτόν τι τῶν ὄντων ἐν τῇ κτίσει παρήχθη καί μετά τό πρῶτον ἕτερον καί μετ᾽ αὐτό πάλιν ἄλλο καί ἐφεξῆς, καί μετά πάντα ὁ ἄνθρωπος, ὅς τιμῆς τῆς παρά Θεοῦ καί προμηθείας ἠξίωται μείζονος, καί πρίν ἤ πλασθῆναι καί μετά τήν πλάσιν, ὡς καί τόν αἰσθητόν τοῦτον ἅπαντα κόσμον πρό αὐτοῦ γενέσθαι δι᾽ αὐτόν καί τήν τῶν οὐρανῶν βασιλείαν εὐθύς ἀπό καταβολῆς κόσμου δι᾽ αὐτόν ἑτοιμασθῆναι πρό αὐτοῦ καί βουλήν περί αὐτοῦ προηγήσασθαι καί χειρί Θεοῦ καί κατ᾽ εἰκόνα πλασθῆναι Θεοῦ καί μή τό πᾶν σχεῖν ἐκ τῆς ὕλης ταύτης καί τοῦ κατ᾽ αἴσθησιν κόσμου, καθάπερ τά ἄλλα τῶν ζώων, ἀλλά τό σῶμα μόνον, τήν δέ ψυχήν ἐκ τῶν ὑπερκοσμίων, μᾶλλον δέ παρ᾽ αὐτοῦ τοῦ Θεοῦ δι᾽ ἐμφυσήματος ἀπορρήτου, ὡς μέγα τι καί θαυμαστόν καί τοῦ παντός ὑπερέχον καί τό πᾶν ἐποπτεῦον καί

τοῖς πᾶσιν ἐπιστατοῦν καί Θεοῦ γνωστικόν ἅμα καί δεκτικόν καί δεικτικόν, παντός μᾶλλον τῆς ὑπερανῳκισμένης τοῦ (σελ. 182) τεχνίτου μεγαλειότητος ἀποτέλεσμα˙ ἐντεῦθεν καί παράδεισον ἐνδιαίτημα σχεῖν, ἐξαιρέτως ὑπό Θεοῦ καί τοῦτον πεφυτευμένον, καί θείας θέας καί ὁμιλίας ἐκεῖ τυγχάνειν αὐτοπροσώπου καί συμβουλήν ἐν τούτῳ καί ἐντολήν παρά Θεοῦ λαβεῖν, νηστείαν ἐντελλομένην τήν ἐκεῖ πρέπουσαν, ὡς ἄν ταύτην κατέχων καί συντηρῶν, ἀθάνατος καί ἀκάματος καίἄλυπος διαμένῃ τόν ἀεί χρόνον.

Ὁ δέ τῆς ἐντολῆς ταύτης καί συμβουλῆς τόν ἐπιβουλήν, φεῦ, τοῦ ἀρχεκάκου ὄφεως ἑκών προτιμήσας, καταλύσας τήν ἐντεταλμένην νηστείαν, τῆς μέν ἀειζωΐας τόν θάνατον, τοῦ δέ τῆς ἀκηράτου τρυφῆς χωρίου τό πολυπαθές καί πολυσυμφορώτατον χωρίον τοῦτο τῆς ἁμαρτίας ἀντιλαμβάνει, μᾶλλον δέ τόν ᾅδην, καί τόν ἐκεῖ κατακρίνεται ζόφον. Καί διέμεινεν ἄν ἡ φύσις ἡμῶν ἐν τοῖς καταχθονίοις ὑπό τάς καταδύσεις ἐκείνου τοῦ τήν ἀρχήν ἀπατήσαντος ὄφεος, εἰ μή ὁ Χριστός ἐλθών, καί διά νηστείας ἀρξάμενος εἰς τέλος κατήργησε τήν αὐτοῦ τυραννίδα καί ἡμᾶς ἠλευθέρωσέ τε καί ἀνεζώωσεν, ὅ καί Μωϋσῆς προηγόρευσεν˙ ἐκεῖ γάρ νηστεύων ἐπί τοῦ ὄρους πλάκας δέχεται θεοτεύκτους καί νόμον αὖθις δακτύλῳ Θεοῦ γεγραμμένον πλαξί δευτέραις, καθ᾿ ὅν ἐκπαιδεύων τηνικαῦτα λαόν ἱερόν πάντα τά τοῦ Χριστοῦ προϋπέγραψεν ἔργῳ καί προϋπέδειξεν, ἐλευθερωτής καί σωτήρ ἀναφανείς τοῦ Ἀβραμιαίου γένους, ὡς τοῦ ἀνθρωπίνου γένους ὁ Χριστός ὕστερον.

Ἠλίας δέ τεσσαρακονθήμερον καί αὐτός νηστεύσας Θεόν ἐπ᾿ ὄρους ὁρᾷ οὐκ ἐν πυρί, καθάπερ πρότερον ἡ γερουσία τοῦ Ἰσραήλ ἀλλά διά τῆς θεαρέστου νηστείας ὑπερβάς τήν ἐν πυρί θέαν, ἐν φωνῇ λεπτῆς αὔρας διερχομένης ὁρᾷ τόν Κύριον, ἐγγυτέρω τῆς δεσποτικῆς φωνῆς γεγονώς, «Πνεῦμα», λεγούσης, «ὁ Θεός, καί τούς (σελ. 184) προσκυνοῦντας αὐτόν ἐν Πνεύματι καί ἀληθείᾳ δεῖ προσκυνεῖν»˙ ἡ μέν γάρ φωνή τήν ἀλήθειαν καί τό τῆς αὐτοαληθείας κήρυγμα τό πάντα περιηχῆσαν τῆς οἰκουμένης τά πέρατα, ἡ δέ διερχομένη αὔρα τό Πνεῦμα καί τήν χάριν προδιετύπωσεν.

Ἀλλά καί δύναμιν ὁ Ἠλίας ἐκ τῆς ἐν τῇ νηστείᾳ θέας λαμβάνει προφήτην ἀντ᾿ αὐτοῦ χρίσαι καί διπλῆν αὐτῷ παρασχεῖν τήν ἥν αὐτός ἐκέκτητο χάριν καί μετέωρος ἀπό γῆς ἀρθῆναι, πάντως εἰς τύπον σαφῆ τῆς ὕστερον ἀπό γῆς εἰς οὐρανόν γενομένης τοῦ Χριστοῦ ἀναλήψεως. Ὁ δέ Χριστός αὐτός νικᾷ κατά κράτος ἐπ᾿ ἐρημίας

νηστεύων τόν κοινόν πειραστήν, καί τό τούτου κατ᾽ ἀνθρώπων ἀφελόμενος κράτος καί καθελών εἰς τέλος τήν αὐτοῦ τυραννίδα τήν ἡμετέραν φύσιν ἐλευθεροῖ καί προτίθησι τοῦτον εἰς παίγνιον πᾶσι τοῖς κατά τό εὐαγγέλιον αὐτοῦ ζῆν ἐθέλουσι καί τελειοῖ τάς προρρήσεις τῶν προφητῶν καί τοῖς παρ᾽ ἐκείνων τυπικῶς προγεγονόσι δι᾽ ἔργων τήν χάριν ἐπιγράφει καί τήν ἀλήθειαν.

Ὁρᾶτε τῆς νηστείας τά δῶρα, καί διά τίνων καί τίνων καί ὅσων ἡμᾶς ἠξίωσεν; Ἀλλά καί ἀπό τοῦ ἐναντίου ταύτης, ὅ ἐστιν ἡ ἀδηφαγία καί ἡ ἀκρασία, πάρεστιν ὁρᾶν τήν ταύτης ὠφέλειαν˙ ταῖς γάρ παρελθούσαις δυσίν ἑβδομάσιν ἡ ἀδηφαγία καί ἡ ἀκρασία μάλιστα κατεκράτει τῆς πόλεως, καί εὐθύς ταραχαί καί κραυγαί καί μάχαι καί θόρυβοι κάι ᾄσματα πορνικά καί χορεύματα σατανικά καί ἄσεμνοι γέλωτες ˙ ἐπί δέ τῆς ἑβδομάδος ταύτης ἡ νηστεία παραφανεῖσα πάντα μετεσκεύασεν ἐπί τό σεμνότερον, καί τῶν (σελ. 186) πολυδαπάνων φροντίδων τῆς ματαιότητος ἐκβαλοῦσα καί παύσασα τόν μόχθον τόν ὑπέρ τῆς καταργουμένης γαστρός, μετέστησεν ἡμᾶς εἰς τά τῆς μετανοίας ἔργα καί ἀνέπεισεν ἐργάζεσθαι μή τήν βρῶσιν τήν ἀπολλυμένην, ἀλλά τήν βρῶσιν τήν μένουσαν εἰς ζωήν αἰώνιον.

Ποῦ νῦν αἱ τῶν ἀλόγων ζώων σφαγαί καί αἱ κνίσσαι, καί αἱ παντοδαπαί καρυκείαι καί αἱ τῶν μαγείρων σπουδαί; ποῦ οἱ περιτρέχοντες τάς ὁδούς καί φωναῖς ἀνάγνοις τόν ἀέρα μιαίνοντες; ποῦ οἱ περικτυποῦντες καί περιαυλοῦντες τούς οἴκους καί τάς τραπέζας, καί οἱ ἀνακείμενοι καί συνεπικροτοῦντες καί μετά τυμπάνων καί αὐλῶν τῶν προκειμένων ἀκρατῶς ἐμφορούμενοι; ποῦ οἱ διημερεύνοντες καί διανυκτευεύοντες ἐν συμποσίοις, οἱ κατασκοποῦντες ποῦ πότος γίνεται, οἱ συμπεραλαμβάνοντες ἀλλήλους ἐπί τήν μέθην καί τά ἐκ τῆς μέθης αἰσχρά; πάντα οἴχεται τά κακά, πάντα ἀντεισῆλθε τά ἀγαθά, τῆς νηστείας ἐνδημησάσης. Ἀντί τῶν βδελυρῶν ᾀσμάτων ψαλμός νῦν ἱερός διά στόματος ᾄδεται˙ ἀντί τῶν ἀσέμνων γελώτων κατήφεια νῦν σωτηριώδης καί δάκρυα γίνεται˙ ἀντί τῶν ἀτάκτων δρόμων καί περιδρόμων κοινός ἅπασι δρόμος εἷς ἐπί τήν ἱεράν τοῦ Χριστοῦ Ἐκκλησίαν˙ ὥσπερ γάρ ἡ γαστριμαργία τόν πολυπληθῆ τῶν ἁμαρτημάτων ἑσμόν βλαστάνει, οὕτως ἡ νηστεία ρίζα πάντων τῶν ἀρετῶν ὑπάρχει καί ἀρχή τῶν θείων ἐντολῶν.

Ὄντως ἡ ἀκρασία παλαιόν ἐστιν ὁμοῦ καί νέον κακόν, εἰ καί τῆς ἀντιρρόπου νηστείας μηδέ κατά χρόνον προέχει. Διά τήν ἐν παραδείσῳ τῶν προπατόρων ἡμῶν ἀκρασίαν καί τήν ἐκεῖ τῆς

προγενεστέρας νηστείας ὑπεροψίαν, θάνατος εἰς τόν κόσμον εἰσῆλθε καί ἐβασίλευσεν ἡ ἁμαρτία συνεπαγομένη τήν καταδίκην τῆς ἡμῶν φύσεως ἀπό Ἀδάμ μέχρι Χριστοῦ. Διά τήν ἐν τῇ καθ᾽ ἡμᾶς οἰκουμένῃ (σελ. 188) τῶν ἐξ Ἀδάμ ἀκρασίαν καί τήν τῆς προτέρας σωφροσύνης ὑπεροψίαν ὁ κατακλυσμός ἐπῆλθε πάσῃ τῇ γῇ. Τί γάρ φησι τηνικαῦτα πρός τόν Νῶε ὁ Θεός; «Οὐ μή καταμείνῃ τό Πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις διά τό εἶναι αὐτούς σάρκας». Τί δέ τῶν κατασεσαρκωμένων ἔργον, οὐ γαστριμαργία καί μέθη καί τρυφή, καί τά ἐκ τούτων κακά; Διά τήν ἐν Σοδόμοις ἐξάγιστον σπατάλην καί ἀκρασίαν οὐρανόθεν αὐτοῖς ὁ ἐμπρησμός κατηνέχθη˙ τοῦτο γάρ φησιν Ἰεζεκιήλ ὁ προφήτης το ἀνόμημα Σοδόμων, ὅτι ἐν πλησμονῇ ἄρτων ἐσπατάλων. Ἀπό γάρ τῆς σπατάλης ταύτης καί τήν φύσιν ἀγνοήσαντες εἰς τάς παρά φύσιν ἐξωλίσθησαν μίξεις. Τί τόν τοῦ Ἰακώβ Ἠσαῦ πρωτότοκον ὄντα τῶν πρωτοτοκίων ἐστέρησε καί τῆς πατρικῆς ἐξέβαλεν εὐχῆς; Οὐ λαγνεία καί βρώματος παράλογος αἴτησις; Τί τούς υἱούς Ἠλεί τοῦ ἀρχιερέως θανάτῳ κατεδίκασε καί συναπορρῆξαι τοῦτον βιαίως τῇ ἀγγελίᾳ τοῦ θανάτου τῶν παίδων τήν ζωήν ἐποίησε, μή μετ᾽ ἐπιμελείας τούτους παιδεύοντα τῆς προσηκούσης; Οὐχ ἡ τῶν κρεῶν ἐκ τῶν λεβήτων οὐ κατά καιρόν ἀφαίρεσις καί χρῆσις; Ἀλλά καί τό τῶν Ἑβραίων ἅπαν γένος, ὅτε Μωϋσῆς ἐπί τοῦ ὄρους ὑπέρ αὐτῶν ἐνήστευε, καθ᾽ ἑαυτῶν ἀεί τρυφῶντες, φαγόντες καί πιόντες ἀνέστησαν παίζειν, κατά τό γεγραμμένον, καί τό παίγνιον αὐτοῖς εἰδώλου ἦν προσκύνησις˙ τότε γάρ ἐνηργήθη αὐτοῖς τά τῆς μοσχοποιΐας.

Οὕτως οὐ μόνης ἁμαρτίας, ἀλλά καί ἀσεβείας ἡ τρυφή παραιτία. Οὐκοῦν καί ἡ νηστεία καί ἡ ἐγκράτεια, οὐ πρός ἀρετήν μόνον (σελ. 190) ἀλλά καί πρός θεοσέβειαν λυσιτελοῦσι. Δεῖ γάρ προσεῖναι τῇ νηστείᾳ τήν ἐγκράτειαν˙ διατί; Ὅτι καί ὁ τῶν εὐτελῶν βρωμάτων κόρος κωλύει τό καθάρσιον πένθος καί τήν κατά Θεόν ἐν τῇ ψυχῇ λύπην καί τήν κατάνυξιν, ἥτις ἀμεταμέλητον μετάνοιαν εἰς σωτηρίαν κατεργάζεται˙ ἄνευ γάρ συντετριμμένης καρδίας οὐκ ἔστιν ἀληθῶς ἐπιλαβέσθαι τῆς μετανοίας. Συντρίβει δέ τήν καρδίαν καί πενθεῖν ποιεῖ τάς οἰκείας ἁμαρτίας ἡ τῆς τρυφῆς καί τοῦ ὕπνου καί τῶν αἰσθήσεων κατά Θεόν συστολή.

Καθάπερ οὖν ὁ ἐν τῷ εὐαγγελίῳ πλούσιος ἐκεῖνος, εἰπών ἑαυτῷ, «φάγε, πίε, εὐφραίνου», ἄξιον ἑαυτόν ὁ ἄθλιος ἐποίησε τῆς αἰωνίου φλογός, ἀνάξιον δέ καί τῆς παρούσης ζωῆς, οὕτως ἡμεῖς ἀδελφοί,

ἀντιστρόφως εἴπωμεν ἡμῖν αὐτοῖς ἐγκρατεύεσθαι καί νηστεύειν, ἐγρηγορέναι τε καί συστέλλεσθαι, καί ταπεινοῦσθαι καί κακοπαθεῖν ὑπέρ τῆς σωτηρίας ἡμῶν· οὕτω γάρ καί τήν παροῦσαν ζωήν καλῶς καί θεοφιλῶς διανύσομεν, καί τήν αἰώνιον εὐζωΐαν κληρονομήσωμεν.

Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα, κράτος, τιμή καί προσκύνησις σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ ζωοποιῷ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ Ζ’*

## *ΕΤΕΡΑ ΠΕΡΙ ΝΗΣΤΕΙΑΣ (Σελ. 194)*

Ἡδύ μέν ὀφθαλμός θέαμα γαληνιῶσα θάλασσα καί φωτί φαιδρῷ λαμπομένη καί λαμπρυνομένη καί τῷ λείῳ τῆς ἐπιφανείας πρός τήν αὐγήν ἀντιλάμπουσα. Πολλῷ δέ τερπνότερον, οὐχ ὁρᾶν μόνον, ἀλλά καί προσλαλεῖν Ἐκκλησίᾳ κατά Θεόν ἠθροισμένη, θορύβων ἀπηλλαγμένη καί τῷ θείῳ φωτί μυστικῶς καταλαμπομένῃ καί πρός τήν ἐκεῖθεν αὐγήν ἀνεπτερωμένη καί χεῖρες ἀνατεταμένῃ καί ὀφθαλμούς αἴσθησίν τε πᾶσαν καί τήν διάνοιαν. Ἐπειδή μοι τοίνυν ἡ τοῦ Πνεύματος χάρις ταύτην σήμερον ἐχαρίσατο τήν ἐπέραστον θέαν καί πάρεστε πάντες ὑμεῖς συνδιανυκτερεύοντες (σελ. 196) συνδιημερεύοντες ἐν τῷ ναῷ τοῦ Θεοῦ, καί τῇ κατ᾽ αὐτόν νῦν ὑμῶν ἀνελλιπεῖ προσεδρείᾳ πάρεστιν ὁρᾶν ὑμᾶς καθάπερ ὑπερκόσμιά τινα δένδρα παρά τάς διεξόδους πεφυτευμένα τῶν ὑδάτων τοῦ Πνεύματος, φέρε καί αὐτός συνεργήσω πρός δύναμιν ταῖς ἐκεῖθεν ἀρδείαις, καί καθάπερ ὑμεῖς ταῖς ὀρθριναῖς τάς ἡμερινάς εὐχάς, οὕτω καί ἡμεῖς, καθ᾽ ὅσον ὁ καιρός παρέχει, τῇ πρωϊνῇ τήν ἑσπερινήν προσαποτίσωμεν διδασκαλίαν, τάς μηχανάς ὑμῖν ἐμφανέστερον ὑποδεικνῦντες, δι᾽ ὧν οὐ τήν νηστείαν μόνον, ἀλλά καί τήν προσευχήν ἡμῶν ὁ πολέμιος τῆς σωτηρίας ἡμῶν ἐπιχειρεῖ παντοδαπῶς ἀχρειοῦν.

Ἔστιν οὖν, ἀδελφοί, καί ἄλλη πλησμονή καί μέθη πονηρά, ἥτις οὐκ ἀπό τῶν βρωμάτων οὐδέ ἀπό τῶν πομάτων γίνεται καί τῆς ἐν τούτοις τρυφῆς, ἀλλ᾽ ἀπό τῆς εἰς τό πλησίον ὀργῆς καί τοῦ μίσους καί τῆς μνησικακίας, καί τῶν ἀπό τούτων τικτομένων κακῶν περί ὧν ὁ

Μωϋσῆς ἐν τῇ ᾠδῇ φησι, «θυμός δρακόντων ὁ οἶνος αὐτῶν, καί θυμός ἀσπίδων ἀνίατος». Δι᾽ ἅ ὁ προφήτης Ἠσαΐας φησίν, «οὐαί οἱ μεθύοντες ἄνευ οἴνου»˙ καί πάλιν ὁ αὐτός παραγγέλλει λέγων, «μή εἰς μάχας νηστεύετε». Ἀλλά καί πρός τούς οὕτω νηστεύοντας ὡς ἀπό τοῦ Κυρίου φησίν, «ἐάν κάμψῃς ὡς κρίκον τόν τράχηλόν σου, οὐδ᾽ οὕτω καλέσετε νηστείαν δεκτήν, καί ἐάν πληθύνητε τήν δέησιν ὑμῶν, οὐκ εἰσακούσομαι ὑμῶν», καί «ὅταν ἐκτείνετε τάς χεῖρας ὑμῶν πρός με, ἀποστρέψω τούς ὀφθαλμούς μου ἀφ᾽ ὑμῶν».

Ταύτην οὖν τήν ἀπό τοῦ μίσους μέθην, τήν παντός μᾶλλον τῆς θείας ἀποστροφῆς αἰτίαν, ἐμποιεῖν ὁ διάβολος ἐπιχειρεῖ τοῖς προσευχομένοις τε καί νηστεύουσι καί τῶν αἰτιαμάτων ὑποβάλλει τήν (σελ. 198) τήν μνήμην καί τούς λογισμούς κινεῖ πρός μνησικακίαν καί πρός καταλαλιάν ὀξύνει τήν γλῶσσαν, τοιούτους εἶναι παρασκευάζων, οἷον ὁ Δαβίδ ὑπογράφει τόν ἐν κακίᾳ εὐχόμενον, λέγων, «ἀνομίαν ὅλην τήν ἡμέραν ἐλογίσατο, ἡ γλῶσσα αὐτοῦ ὡσεί ξυρόν ἠκονημένον», καί ἀφ᾽ ὧν ρυσθῆναι προσεύχεται πρός τόν Θεόν, λέγων, «ἐξελοῦ με, Κύριε, ἐξ ἀνθρώπου πονηροῦ, ἀπό ἀνδρός ἀδίκου ρῦσαί με˙ οἵτινες ἠκόνησαν τήν γλῶσσαν αὐτῶν ὡσεί ὄφεως, ἰός ἀσπίδων ὑπό τά χείλη αὐτῶν».

Ἀλλ᾽ ἡμεῖς, ἀδελφοί, ἐν τῷ καιρῷ τῆς νηστείας καί τῆς προσευχῆς ἀφῶμεν ἐκ ψυχῆς, παρακαλῶ, εἴ τί ποτε κατά τινος, ἤ ἀληθῶς ἔχομεν ἤ νομίζομεν ἔχειν, καί τῆς ἀγάπης ὅλοι γενώμεθα, κατανοοῦντες μᾶλλον ἀλλήλους εἰς παροξυσμόν ἀγάπης καί καλῶν ἔργων, καί ὑπέρ ἀλλήλων λέγοντές τε καί ἐν ἑαυτοῖς λογιζόμενοι καί διανοούμενοι καλά ἐνώπιον Θεοῦ καί ἀνθρώπων, ἵνα νηστεύωμεν τήν ἐπαινητήν νηστείαν καί ἄμωμον καί τά κατ᾽ αὐτήν αἰτήματα ἡμῶν πρός τόν Θεόν εὐπρόσδεκτα γένηται καί ὡς πατέρα τοῦτον κατά χάριν πρεπόντως ἐπικαλώμεθα καί πρός αὐτόν μετά παρρησίας λέγειν ἔχωμεν˙ «Πάτερ, ἄφες ἡμῖν τά ὀφειλήματα ἡμῶν, ὡς καί ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν».

Ἄλλη πάλιν τῇ παρ᾽ ἡμῶν προσευχῇ καί τῇ νηστείᾳ παρά τοῦ ταῖς ψυχαῖς ἡμῶν ἐπιβουλεύοντος ἀχρείωσις ἡ οἴησις ἐπιγίνεται, ἥν καί ὁ Φαρισαῖος ἐκεῖνος ἔχων, νηστεύων καί προσευξάμενος, ἀπεπέμφθη κενός. Ἀλλ᾽ ἡμεῖς εἰδότες, ὅτι ἀκάθαρτος καί ἀπρόσδεκτος παρά Κυρίῳ πᾶς ὑψηλοκάρδιος, καί πολλῶν καί μεγάλων ὄντας (σελ. 200) ὀφειλέτας ἡμᾶς αὐτούς τῷ Θεῷ καί τῆς ὀφειλῆς ὀλίγον ἀποδιδόντας ἐξεπιστάμενοι, τῶν μέν ὄπισθεν ὡς μηδέν ἐπιλανθανώμεθα, πρός δέ

τά ἔμπροσθεν ἐπεκτεινόμενοι, νηστεύομεν καί προσευχόμεθα μετά συντετριμμένης καρδίας καί αὐτομεμψίας καί ταπεινώσεως, ἵνα ᾖ καθαρά καί θεάρεστος ἡμῶν ἡ νηστεία καί ἡ ἐν τῷ ναῷ τοῦ Θεοῦ προσεδρία τε καί παράστασις.

Ἕτερος τοῦ πονηροῦ τρόπος, ἀκερδῆ τόν τῆς νηστείας καί προσευχῆς κόπον ἡμῖν ἐργαζόμενος, τό πείθειν ἡμᾶς διά κενοδοξίαν ταῦτα καί μεθ᾽ ὑποκρίσεως πράττειν. Διό παραγγέλλει πάλιν ὁ Κύριος ἐν τῷ εὐαγγελίῳ λέγων˙ «εἴσελθε εἰς τό ταμιεῖον σου, καί κλείσας τήν θύραν πρόσευξαι τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ˙ καί ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ».

Ταῦτα δέ φησιν, οὐ τάς ἐν τῷ ναῷ συνάξεις καί προσευχάς καί ψαλμῳδίας παραιτεῖσθαι κελεύων˙ οὐ γάρ ἄν ὁ ψαλμῳδός προφήτης πρός αὐτόν ἔλεγε, «ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε», καί «ἐξομολογήσομαί σοι ἐν λαοῖς, ἐξομολογήσομαί σοι ἐν ἔθνεσι», καί «ἀποδώσω σοι τάς εὐχάς, ἐνώπιον τῶν φοβουμένων σε, Κύριε»˙ καί πρός ἡμᾶς, «ἐν ἐκκλησίαις εὐλογεῖτε τόν Θεόν», καί «δεῦτε προσκυνήσωμεν καί προσπέσωμεν, καί κλαύσωμεν ἐναντίον Κυρίου τοῦ Θεοῦ ἡμῶν». Ἀλλά πρός ἑτέροις ὑψηλοτέροις ἅ νῦν ὁ καιρός λέγειν οὐ παρέχει χώραν, καί τοῦτο διδάσκων ἐστίν ὁ Κύριος, ὅτι ἡ κατά μόνας ἐν τοῖς ἡμῶν οἴκοις, κἀν τοῖς κοιτῶσιν αὐτοῖς, εἰς προσευχήν διέγερσις τήν ἐπ᾽ ἐκκλησίας συνίστησι πρός τόν Θεόν (σελ. 202) καί ἡ ἔνδον κατά διάνοιαν τήν διά τῶν χειλέων˙ ὁ γάρ τότε μόνον προσεύχεσθαι βουλόμενος, ἡνίκ᾽ ἄν εἰς τόν τοῦ Θεοῦ ναόν παραγένηται, οἴκοι δέ κἀν ταῖς ὁδοῖς καί ταῖς ἀγοραῖς μηδεμίαν φροντίδα προσευχῆς ποιούμενος, οὐδ᾽ ἡνίκα πάρεστι τῷ τοῦ Θεοῦ ναῷ ἀληθῶς ὑπάρχει προσευχόμενος.

Ταῦτα δείκνυσι καί ὁ μετά τό εἰπεῖν, «ἑτοίμη ἡ καρδία μου ὁ Θεός», ἐπενεγκών, «ᾄσομαι καί ψαλῶ ἐν τῇ δόξῃ μου», καί ἀλλαχοῦ˙ «εἰ ἐμνημόνευσόν σου ἐπί τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ». Ἀλλά καί «ὅταν νηστεύητε», φησί, «μή γίνεσθε ὥσπερ οἱ ὑποκριταί σκυθρωποί˙ ἀφανίζουσι γάρ τά πρόσωπα αὐτῶν, ὅπως ἄν φανῶσι τοῖς ἀνθρώποις νηστεύοντες˙ ἀμήν ἀμήν λέγω ὑμῖν, ὅτι ἀπέχουσι τόν μισθόν αὐτῶν˙ σύ δέ νηστεύων ἄλειψαί σου τήν κεφαλήν καί τό πρόσωπόν σου νίψον, ὅπως μή φανῇς τοῖς ἀνθρώποις νηστεύων, ἀλλά τῷ Πατρί σου τῷ ἐν τῷ κρυπτῷ, καί ὁ Πατήρ σου ὁ βλέπων σε ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ».

Βαβαί τῆς ἀνεικάστου φιλανθρωπίας! Τήν γάρ ἐπί τῆς μελλούσης κρίσεως ἐσομένην διάκρισίν τε καί ἀπόφασιν αὐτοῦ, διά τῶν ρημάτων τούτων ἀρτίως ἡμῖν ὁ Κύριος ἐφανέρωσεν, ἵν᾽ ἡμεῖς τῆς κρείττονος ψήφου τε καί μοίρας ἐντεῦθεν ἐπιλαβώμεθα. Πρός μέν γάρ τούς κατά κενοδοξίαν καί μή κατ᾽ αὐτόν ζῶντας ἐρεῖ τότε πάντως τοῖς νῦν εἰρημένοις ἀκολούθως˙ ἀπελάβετε τόν μισθόν ὑμῶν ἐν τῇ ζωῇ ὑμῶν, ὡς καί ὁ Ἀβραάμ πρός τόν ἐν τῇ φλογί πλούσιον (σελ. 204) ἐκεῖνον ἔλεγεν˙ «ἀπέλαβες τά ἀγαθά σου ἐν τῇ ζωῇ σου». Τοῖς δέ πρός αὐτόν βλέπουσιν ἐν τῷ πρός ἀρετήν ἀσκεῖν ἀποδώσει ἐν τῷ φανερῷ», φησί, τουτέστιν ἐν τῷ παγκοσμίῳ ἐκείνῳ θεάτρῳ εὐλογίαν καί κληρονομίαν καί τρυφήν ἀντιδώσει καί ἀπόλαυσιν ἀκήρατον καί διαιωνίζουσαν˙ ἧς μηδένα θέλων ἀποτυχεῖν ὁ θέλων πάντας σωθῆναι καί εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, φανεροῖ νῦν, ὡς ἔφην, τήν ἀδέκαστον ταύτην καί ἀμετάθετον ψῆφον, υἱούς εἶναι Θεοῦ μόνους ἐνταῦθα δεικνύς τούς τῆς ἀνθρωπίνης δόξης ὑπερορῶντας.

Διά τοῦτο γάρ καί τόν λόγον ἑνικῶς προήγαγεν ἐπ᾽ ἀμφοτέρων, εἰπών˙ «ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ»˙ ἵνα τούς μέν καταφρονητάς τῆς κενῆς καί ἀνθρωπίνης δόξης υἱοποιητούς τε καί συγκληρονόμους καί δείξῃ καί ποιήσῃ ἑαυτῷ˙ τούς δέ μή τοιούτους ἐκβάλῃ τῆς υἱοθεσίας, εἰ μή μεταμεληθεῖεν. Τοιαῦτα δέ φησιν ὁ Κύριος, ἵνα μή πρός τούς τῶν ἀνθρώπων ὀφθαλμούς ὁρῶντες οἱ προσευχόμενοι καί οἱ νηστεύοντες, παρ᾽ ὧν οὐδέν ἐπί τούτοις ὄφελος, τόν μέν τῆς νηστείας καί τῆς προσευχῆς κόπον ὑπομένωμεν, τοῦ δέ μισθοῦ στερώμεθα. Ἀλείφειν δέ τήν κεφαλήν φησι καί νίπτειν τό πρόσωπον, τουτέστι μή ὠχριᾶν ἐπιτηδεύειν, μηδέ αὐχμηράν εἶναι καί κατάξηρον τήν κεφαλήν, ὡς ἐξ ἐπιτεταμένης νηστείας καί τῆς ἐπί τό σῶμα καταφρονήσεως δοκεῖν τοιαῦτα παθεῖν, καί οὕτω τόν παρά τῶν ἀνθρώπων ἔπαινον θηρᾶσθαι˙ τοιαῦτα γάρ φανητιῶντες ἐποίουν οἱ Φαρισαῖοι, διό καί τῆς κατά Χριστόν ἐκκλησίας δικαίως ἠλλοτριώθησαν, οἷς ἡμᾶς ἀφομοιοῦσθαι καθάπαξ ἀπαγορεύει ὁ Κύριος.

(σελ. 206) Εἰ δέ καί κεφαλήν τῆς ψυχῆς ἀναγωγικῶς τις ἐρεῖ τόν νοῦν ὡς ἡγεμονικόν καί πρόσωπον τό ταύτης φανταστικόν, ἐν ᾧ τῶν κατά τάς αἰσθήσεις ἐνεργειῶν ἔμμονός ἐστιν ἡ ἕδρα, καλόν νηστεύοντας ἡμᾶς ἀλείφειν ἐλαίῳ τήν κεφαλήν, τουτέστιν ἐλεήμονα ποιεῖν τόν ἡμέτερον νοῦν, καί τό πρόσωπον ἡμῶν, δηλονότι τό φανταστικόν, νίπτειν ἀπό αἰσχρῶν καί ἀκαθάρτων λογισμῶν καί

θυμοῦ καί πονηρίας πάσης· ἡ γάρ τοιαύτη καί οὕτως ἐκτελουμένη νηστεία, οὐ τά πονηρά πάθη πάντα μόνον, καί σύν τούτοις τούς ἐφόρους καί δημιουργούς τῶν τοιούτων παθῶν φυγαδεύει καί καταισχύνει δαίμονας, ἀλλά καί τοῖς ἀγαθοῖς ἀγγέλοις ἐγκαταλέγει τούς νηστεύοντας πρός αὐτούς ἐπιστρέφουσα ἐκείνους καί φύλακας εἶναι τούτων παρασκευάζουσα καί βοηθεῖν ἀναπείθουσα καί συμπράττειν αὐτοῖς.

Οὕτω τοῖς τρισί ποτε νεανίαις ἐπί τῆς Βαβυλῶνος ἐγκρατείᾳ τε καί νηστείᾳ κεκοσμημένοις, συνών ἐν μέσῃ φλογί καί ὁ τέταρτος ἑωρᾶτο, περιέπων ἀσινεῖς καί δροσίζων παραδόξως αὐτούς. Οὕτω πολυήμερον νηστείαν ἄγοντι τῷ Δανιήλ, ἄγγελος ἐπέστη σοφίζων αὐτόν καί προκαταγγέλλων αὐτῷ τά μέλλοντα. Οὕτως ἄλλοτε τούτῳ προσευχῇ καί νηστείᾳ στόματα λεόντων φιμώσαντι προφήτην διαέριον ἐκόμισεν ἄγγελος ἐκ πολλοῦ διαστήματος τροφήν ἐπιφερόμενον. Οὕτω καί ἡμῖν πνευματικήν ἅμα καί σωματικήν νηστείαν ἀσκοῦσι καί προσευχομένοις, ἀγγέλων ἀγαθῶν συνεργείᾳ τό πῦρ τῆς σαρκικῆς ἐπιθυμίας κατασβεσθήσεται καί ὁ θυμός ὡς λέων ἡμερωθήσεται καί προφητικῆς ἐν μεθέξει γενησόμεθα τροφῆς, τῷ τῶν μελλόντων ἀγαθῶν ἐλπίδι καί πίστει καί τῇ κατά νοῦν (σελ. 208) θεωρίᾳ, καί ἐξέσται ἡμῖν πατεῖν ἐπάνω ὄφεων καί σκορπίων καί ἐπί πᾶσαν τήν δύναμιν τοῦ ἐχθροῦ.

Ἡ δέ μή τοιαύτη καί οὕτως ἐκτελουμένη νηστεία πρός τούς πονηρούς ἀγγέλους μᾶλλον τήν συγγένειαν ἔχει· καί γάρ τούτων ἐστίν ἡ ἀτροφία μετ᾽ ὀργῆς καί μίσους καί ὑπερηφανίας καί τῆς πρός τόν Θεόν ἀντιθέσεως, πρός οὕς ἡμεῖς ὡς δοῦλοι καί ὑπηρέται τοῦ ἀγαθοῦ ἀντικείμεθα· «οὐ γάρ ἐστιν ἡμῖν ἡ πάλη πρός αἷμα καί σάρκα φησίν ὁ ἀπόστολος, ἀλλά πρός τάς ἀρχάς, πρός τάς ἐξουσίας πρός τούς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου, πρός τά πνευματικά τῆς πονηρίας. Οὐκοῦν ἁπλῶς ἡμῖν διά νηστείας πρός αὐτούς ἡ ἀντίθεσις, ἀλλά χρήζομεν πρός φυλακήν ἡμετέραν καί τοῦ θώρακος τῆς δικαιοσύνης, καί τῆς περικεφαλαίας τῆς σωτηρίου ἐλεημοσύνης, καί τοῦ θυρεοῦ τῆς πίστεως· ἔτι δέ καί τῆς ἱκανωτάτης πρός ἄμυναν μαχαίρας τοῦ Πνεύματος, ἥτις ἐστίν ὁ πρός ἡμᾶς τοῦ Θεοῦ σωτήριος λόγος· οὕτω γάρ ἀγωνισώμεθα τόν καλόν ἀγῶνα καί τήν πίστιν βεβαίαν τηρήσωμεν καί πάντα τά βέλη τοῦ πονηροῦ τά πεπυρωμένα σβέσωμεν καί νικηταί διά πάντων ἀναφανέντες αὐτοῦ τῶν οὐρανίων καί ἀκηράτων ἐπιτευξώμεθα στεφάνων, τοῖς ἐν

οὐρανοῖς ἀγγέλοις ἀϊδίως συνευφραινόμενοι, ἐν αὐτῷ Χριστῷ τῷ Κυρίῳ ἡμῶν.

Ὧ πρέπει πᾶσα δόξα, κράτος, τιμή καί προσκύνησις, σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ Πνεύματι˙ νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ Η' (σελ. 212)*

## *ΠΕΡΙ ΠΙΣΤΕΩΣ*

### *Ἐν ᾗ καί τῆς κατ᾽ εὐσέβειαν ὁμολογίας ἔκθεσις.*

Πιστεύομεν εἰς τόν Θεόν, καί πιστεύομεν τῷ Θεῷ ἕτερόν ἐστιν ἑκάτερον τούτων. Πιστεύειν μέν γάρ ἐστι τῷ Θεῷ τό τάς παρ᾽ αὐτοῦ πρός ἡμᾶς ἐπαγγελίας βεβαίας καί ἀληθεῖς ἡγεῖσθαι, πιστεύειν δέ εἰς τόν Θεόν τό περί αὐτοῦ φρονεῖν ὀρθῶς. Δεῖ δέ καί ἀμφότερα ἡμᾶς ἔχειν καί κατ᾽ ἀμφότερα ἡμᾶς ἀληθεύειν καί οὕτως ἔχειν, ὥστε καί πιστεύεσθαι παρά τῶν ἀσφαλῶς ὁρώντων καί πιστούς ἐνώπιον εἶναι τοῦ πρός ὅν ἡ πίστις Θεοῦ, καί ὡς πιστούς οὕτω παρ᾽ αὐτοῦ δικαιοῦσθαι˙ «ἐπίστευσε γάρ ὁ Ἀβραάμ τῷ Θεῷ», φῆσί, «ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην». Πῶς οὖν ὁ Ἀβραάμ (σελ. 214) πιστεύσας ἐδικαιώθη; Ἔλαβε παρά Θεοῦ ἐπαγγελίαν ἐν τῷ σπέρματι αὐτοῦ, ὅπερ ἦν ὁ Ἰσαάκ, εὐλογηθήσεσθαι πάσας τάς φυλάς τοῦ Ἰσραήλ˙ εἶτα ὑπό τοῦ Θεοῦ προστάττεται, παῖδα ἔτι ὄντα, θῦσαι τόν Ἰσαάκ δι᾽ οὗ μόνου τήν ἔκβασιν σχήσειν ἔμελλεν ἡ ἐπαγγελία˙ καί μηδέν ἀντιπών ὁ πατήρ, αὐτόχειρ γενέσθαι τοῦ παιδός ἠπείγετο καί τήν δι᾽ αὐτοῦ ταύτην ἐπαγγελίαν βεβαίαν καί ἀδιάπτωτον ἡγεῖτο.

Βλέπετετήν δικαιοῦσαν πίστιν ὁποία; Ἀλλ᾽ ἐπηγγείλατο καί ἡμῖν ὁ Χριστός ζωῆς ἀϊδίου καί τρυφῆς καί δόξης καί βασιλείας κληρονομίαν, εἶτα προσέταξε πτωχεύειν, νηστεύειν, εὐτελῶς καί τεθλιμμένως ζῆν, ἑτοίμους εἶναι πρός θάνατον, σταυροῦν ἑαυτούς σύν τοῖς παθήμασι καί ταῖς ἐπιθυμίαις. Ἐάν οὖν πρός ταῦτα σπεύδωμεν καί τῇ ἐπαγγελίᾳ ἐκείνῃ τοῦ Θεοῦ πιστεύωμεν, ὄντως ἐπιστεύσαμεν τῷ Θεῷ κατά τόν Ἀβραάμ, καί λογίσθήσεται ἡμῖν εἰς δικαιοσύνην.

Καί ὁρᾶτε τήν ἀκολουθίαν τῶν προτεθέντων˙ οὐ μόνον γάρ ἰσχυρά μαρτυρία καί παράστασις τῆς τοῦ Ἀβράαμ πίστεως ἐγένετο τό

συγκατατεθῆναι πρός σφαγήν τόν Ἰσαάκ προθεῖναι, ἀλλά καί αἴτιον ὑπῆρξε τοῦτο τοῦ τόν Χριστόν ἐκ σπέρματος αὐτοῦ τεχθῆναι, δι᾽ οὗ εὐλογήθησαν πᾶσαι αἱ φυλαί τῆς γῆς καί ἐπληρώθη ἡ ἐπαγγελία˙ τῷ γάρ δόντι διά τόν Θεόν τόν ἑαυτοῦ μονογενῆ τε καί γνήσιον υἱόν, ὀφειλέτης οἷον ὁ Θεός ἐγένετο δι᾽ αὐτόν καί τήν πρός αὐτόν ἐπαγγελίαν ἀντιδοῦναι τόν ἑαυτοῦ μονογενῆ τε καί γνήσιον υἱόν. Οὕτω δή καί ἐν ἡμῖν, ἡ διά τάς ἐντολάς τοῦ Θεοῦ σωφροσύνη καί δικαιοσύνη καί ταπείνωσις, ὑπομονή τε τῶν ὁπωσδήποτε κακούντων (σελ. 216) καί διάδοσις τῶν ὑπαρχόντων, ἥ τε τοῦ σώματος ἐν νηστείαις καί ἀγρυπνίαις κακοπάθεια, καί ἁπλῶς τό σταυροῦν ἑαυτούς σύν τοῖς παθήμασι καί ταῖς ἐπιθυμίαις, οὐ μόνον παράστασίς ἐστι τοῦ ἀληθῶς ἡμᾶς πιστεῦσαι ταῖς ἐπαγγελίαις τοῦ Χριστοῦ, ἀλλά καί ὀφειλέτην οἷον τόν Θεόν καθίστησι τοῦ τήν ἀΐδιον καί ἀκήρατον ἡμῖν ζωήν καί τρυφήν καί δόξαν καί βασιλείαν ἀντιδοῦναι.

Διό καί αὐτός πρός τούς μαθητάς αὐτοῦ βλέπων ἔλεγε˙ μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστίν ἡ βασιλεία τῶν οὐρανῶν˙ μακάριοι οἱ πενθοῦντες˙ μακάριοι οἱ ἐλεήμονες˙ μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης˙ καί οὐαί οἱ πλουτοῦντες, οὐαί οἱ γελῶντες, οὐαί οἱ ἐμπεπλημένοι, οὐαί ὅταν καλῶς πάντες εἴπωσιν ὑμᾶς οἱ ἄνθρωποι. Ὁ τοίνυν μή πρός τά μακαριζόμενα βλέπων, ἀλλά πρός τά παρά τοῦ Κυρίου ταλανιζόμενα, πῶς εἰπέ μοι πιστευθήσεται πιστεύειν τῷ Θεῷ; «Δεῖξόν μοι», φησί, «τήν πίστιν σου ἐκ τῶν ἔργων σου˙ καί τίς σοφός, δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τά ἔργα αὐτοῦ».

Ὅτι μέν οὖν ἀληθῶς πιστεύομεν τῷ Θεῷ, τουτέστιν ἀληθεῖς καί βεβαίας καί ὅσον οὔπω παρεσομένας γινώσκομεν τάς αὐτοῦ πρός ἡμᾶς ἐπαγγελίας ἤ καί ἀπειλάς, διά τῶν ἡμετέρων ἀγαθῶν ἔργων δείκνυται καί τῆς τῶν θείων ἐντολῶν τηρήσεως. Ὅτι δέ ὀρθῶς πιστεύομεν εἰς τόν Θεόν, τουτέστι καλῶς καί ἀσφαλῶς καί εὐσεβῶς φρονοῦμεν περί αὐτοῦ, πόθεν ἡμῖν ἡ παράστασις; Ἀπό τῆς πρός τούς θεοφόρους πατέρας ἡμῶν ὁμολογίας. Ὥσπερ δέ τό ἀψευδῶς πιστεύειν τῷ Θεῷ, οὐ μόνον ἔχει τήν ἀπό τῶν τῆς σαρκός (σελ. 218) παθῶν καί τήν ἀπό τῶν τοῦ πονηροῦ παγίδων ἐναντίωσιν, ἀλλά καί τήν ἀπό τῶν ἐμπαθῶν ἀνθρώπων, θελγόντων καί συγκαθελκόντων εἰς τάς οὐ καλάς ἡδονάς, οὕτω καί τό πιστεύειν ὀρθῶς εἰς τόν μόνον ἀληθῆ Θεόν, οὐ μόνον ἔχει τήν ἀπό τῆς ἀγνοίας καί τήν ἀπό τῶν ὑποβολῶν τοῦ ἀντικειμένουη ἐναντίωσιν, ἀλλά καί τήν ἀπό τῶν δυσσεβῶν ἀνθρώπων κλεπτόντων καί συγκατασπώντων εἰς τήν οἰκείαν

ἀπώλειαν. Καί βοήθεια δέ μεγίστη πρόσεστιν ἐφ᾽ ἑκατέρας πίστεως, οὐ μόνον παρ᾽ αὐτοῦ τε τοῦ Θεοῦ καί τῆς ἐξ αὐτοῦ δεδομένης ἡμῖν γνωστικῆς δυνάμεως, ἀλλά καί παρά τῶν ἀγαθῶν ἀγγέλων, καί τῶν θεοσεβῶν καί ζώντων κατά Θεόν ἀνθρώπων.

Διά τοῦτο καί ἡ πνευματική καί κοινή μήτηρ καί τροφός ἡμῶν, ἡ Ἐκκλησία τοῦ Χριστοῦ, σήμερον ἀριδηλότερον ἅμα καί κοινότερον τήν τε ἀνακήρυξιν ποιεῖται τῶν ἐπ᾽ εὐσεβείᾳ καί ἀρετῇ λαμψάντων καί τῶν πανιέρων κατ᾽ αὐτούς συνόδων καί τῶν κατ᾽ αὐτάς θείων δογμάτων, καί τήν ἀποκήρυξιν κεφαλαιωδέστερον τῶν σπουδαστῶν τῆς δυσσεβείας καί τῶν πονηρῶν κατ᾽ αὐτούς σπουδασμάτων τε καί φρονημάτων, ἵνα τούτους μέν ἡμεῖς ἀποτρεπόμενοι, τοῖς δέ κατά Θεόν φρονήμασιν ἑπόμενοι, πιστεύωμεν εἰς ἕνα Θεόν, Πατέρα Υἱόν καί Πνεῦμα ἅγιον, ἐξ οὗ καί δι᾽ οὗ καί ἐν ᾧ τά πάντα γέγονεν, ὅς ἐστι πρό πάντων καί ἐπί πάντων καί ἐν πᾶσι καί ὑπέρ τό πᾶν, μονάς ἐν τριάδι, καί τριάς ἐν μονάδι, ἀσυγχύτως ἑνουμένη, καί ἀμερίστως διαιρουμένη˙ μονάς ἡ αὐτή καί τριάς παντοδύναμος.

Πατήρ ἄχρονος καί ἄναρχος καί ἀΐδιος, μόνος αἰτία καί ῥίζα τῆς ἐν Υἱῷ καί ἁγίῳ Πνεύματι θεωρουμένης θεότητος˙ οὐ μόνος δημιουργός, ἀλλά μόνος ἑνός Υἱοῦ Πατήρ καί Πνεύματος ἑνός ἁγίου (σελ. 220) προβολεύς˙ ἀεί ὤν καί ἀεί ὤν Πατήρ καί ἀεί ὤν μόνος Πατήρ τε καί προβολεύς.

Οὗ Υἱός εἷς συναΐδιος αὐτῷ καί κατά χρόνον συνάναρχος˙ οὐκ ἄναρχος δέ, ὡς γεννήτορα καί ῥίζαν καί πηγήν καί ἀρχήν ἔχων τόν Πατέρα, ἐξ οὗ μόνου πρό πάντων τῶν αἰώνων ἀσωμάτως, ἀπαθῶς, ἀρρεύστως, γεννητῶς προῆλθεν, ἀλλ᾽ οὐ διῃρέθη˙ Θεός ὤν ἐκ Θεοῦ, οὐκ ἄλλος μέν, καθό Θεός, ἄλλος δέ καθό Υἱός˙ ἀεί ὤν καί ἀεί ὤν Υἱός καί ἀεί πρός τόν Θεόν ἀσυγχύτως ὤν˙ λόγος ζῶν, φῶς ἀληθινόν, ἐνυπόστατος σοφία, αἰτία καί ἀρχή τῶν γεγονότων πάντων, ὡς δι᾽ αὐτοῦ πάντων γεγονότων˙ ὅς ἐπί συντελείᾳ τῶν αἰώνων, καθάπερ οἱ προφῆται προηγόρευσαν, ἑαυτόν ἐκένωσε, μορφήν τήν καθ᾽ ἡμᾶς δι᾽ ἡμᾶς λαβών, καί ἐκ τῆς ἀειπαρθένου Μαρίας, εὐδοκίᾳ τοῦ Πατρός καί συνεργείᾳ τοῦ ἁγίου Πνεύματος κυηθείς καί γεννηθείς καί ὡς ἀληθῶς ἐνανθρωπήσας γέγονεν ὅμοιος ἡμῖν κατά πάντα, χωρίς ἁμαρτίας, μείνας ὅπερ ἦν Θεός ἀληθινός ἐν μιᾷ ὑποστάσει καί μετά τήν ἐνανθρώπησιν˙ ἐνεργῶν τά θεῖα πάντα ὡς Θεός καί τά ἀνθρώπινα πάντα ὡς ἄνθρωπος, καί τοῖς ἀδιαβλήτοις ἀνθρωπίνοις ὑποκείμενος πάθεσιν˙ ἀπαθής μέν καί ἀθάνατος ὤν καί διαμένων ὡς Θεός, ἑκών

δέ δι᾽ ἡμᾶς σαρκί παθών ὡς ἄνθρωπος καί σταυρωθείς καί θανών καί ταφείς καί τῇ τρίτῃ ἡμέρᾳ ἀναστάς καί διά τοῦ θανάτου καί τῆς ἀναστάσεως αὐτοῦ καταργήσας τόν τό κράτος ἔχοντα τοῦ θανάτου˙ καί μετά τήν ἀνάστασιν ἐπιφανείς καί εἰς τόν οὐρανόν ἀναληφθείς καί καθίσας ἐκ δεξιῶν τοῦ Πατρός, ὁμότιμον καί ὁμόθρονον, ὡς ὁμόθεον ποιήσας τό ἡμέτερον φύραμα, μεθ᾽ οὗ πάλιν φυράματος ἥξειν μετά δόξης μέλλει κρῖναι ζῶντας καί νεκρούς, πρός ζωήν ἐπανελθόντας τῇ δυνάμει τῆς αὐτοῦ παρουσίας καί ἀποδοῦναι ἑκάστῳ κατά τά ἔργα αὐτοῦ. Τοῦτο καί ἡμεῖς τό (σελ. 222) παρ᾽ ἡμῶν αὐτοῦ πρόσλημμά τε καί φύραμα αἰσθητόν τε καί περιγραπτόν εἰδότες, εἰκονίζομεν καί προσκυνοῦμεν εὐσεβῶς, καί τήν αὐτόν ἐν παρθενίᾳ τεκοῦσαν καί τούς αὐτῷ τελείως εὐαρεστήσαντας. Τούτου τά τῶν παθῶν σύμβολα, καί μάλιστα τόν σταυρόν, καί τιμῶμεν καί προσκυνοῦμεν ὡς τρόπαια θεῖα κατά τοῦ κοινοῦ πολεμίου. Τούτου τήν ἀνάμνησιν ὡσημέραι κατά τήν αὐτοῦ ἐντολήν ποιούμενοι, καί ἱερουργοῦμεν τά θειότατα καί μετέχομεν τούτων. Τούτου κατά τήν παραγγελίαν πρό πάντων βαπτιζόμεθά τε καί βαπτίζομεν εἰς ἕν ὄνομα σεπτόν τε καί προσκυνητόν τοῦ Πατρός καί τοῦ Υἱοῦ καί τοῦ ἁγίου Πνεύματος.

Ἐκ γάρ τοῦ ἀϊδίου καί ἀνάρχου Πατρός καί τό ἅγιον ἐκπορεύεται Πνεῦμα, συνάναρχον μέν ὄν Πατρί τε καί Υἱῷ ὡς ἄχρονον, οὐκ ἄναρχον δέ, ὡς καί αὐτό ρίζαν καί ἀρχήν καί αἰτίαν ἔχον τόν Πατέρα, ἐξ οὗ πρό πάντων τῶν αἰώνων ἀρρεύστως, ἀπαθῶς, ἐκπορευτῶς, προῆλθεν, ἀδιαίρετον ὄν Πατρός τε καί Υἱοῦ, ὡς ἐκ Πατρός προερχόμενον καί ἐν Υἱῷ ἀναπαυόμενον˙ ἀσύγχυτον καί τήν ἕνωσιν ἔχον καί ἀμέριστον τήν διαίρεσιν˙ Θεός ὤν καί αὐτό ἐκ Θεοῦ, οὐκ ἄλλος μέν καθό Θεός, ἄλλος δέ Παράκλητος, καθό Πνεῦμα ἅγιον αὐθυπόστατον˙ ἐκ Πατρός τήν ὕπαρξιν ἔχον καί δι᾽ Υἱοῦ πεμπόμενον, εἰς ἀπαρχήν ζωῆς αἰωνίου καί ἀρραβῶνα τῶν μελλόντων καί ἀεί μενόντων ἀγαθῶν˙ αἴτιον καί αὐτό τῶν γεγονότων πάντων, ὡς ἐν αὐτῷ πάντων γεγονότων˙ τό αὐτό καί ἀπαράλλακτον Πατρί τε καί Υἱῷ, χωρίς τῆς ἀγεννησίας καί τῆς γεννήσεως. Ἐπέμφθη δέ παρά τοῦ Υἱοῦ πρός τούς οἰκείους μαθητάς, τουτέστι πεφανέρωται˙ πῶς γάρ ἄν ἄλλως ἐπέμφθη τό πανταχοῦ παρόν καί τοῦ πέμποντος μή χωριζόμενον; Διό μή μόνον παρά τοῦ Υἱοῦ, ἀλλά καί παρά τοῦ (σελ. 224) Πατρός πέμπεται καί παρ᾽ ἑαυτοῦ ἔρχεται˙ κοινόν γάρ ἔργον ἡ ἀποστολή, δηλονότι ἡ φανέρωσις, Πατρός, Υἱοῦ καί Πνεύματος.

Φανεροῦται δέ οὐ κατά τήν οὐσίαν, οὐδείς γάρ ποτε Θεοῦ φύσιν ἤ εἶδεν ἤ ἐξηγόρευσεν, ἀλλά κατά τήν χάριν καί τήν δύναμιν καί τήν ἐνέργειαν, ἥτις κοινή ἐστι Πατρός Υἱοῦ καί Πνεύματος˙ ἴδιον μέν γάρ ἑκάστῳ τούτων ἡ ἑκάστου ὑπόστασις καί τά περί αὐτήν ὑποστατικῶς θεωρούμενα˙ κοινά δέ αὐτῶν, οὐχ ἡ ἀνέκφαντος καί ὑπερώνυμος καί ἀμέθεκτος οὐσία μόνη, ἀλλά καί ἡ χάρις καί ἡ δύναμις καί ἡ ἐνέργεια καί ἡ λαμπρότης καί ἡ ἀφθαρσία καί ἡ βασιλεία καί πάντα, καθά κοινωνεῖ καί κατά χάριν ἑνοῦται τοῖς ἁγίοις ἀγγέλοις τε καί ἀνθρώποις ὁ Θεός, μήτε διά τό μεριστόν καί διάφορον τῶν ὑποστάσεων, μήτε διά τό μεριστόν καί ποικίλον τῶν θείων δυνάμεών τε καί ἐνεργειῶν τοῦ ἑνιαίου καί τῆς ἁπλότητος ἐκπίπτων. Οὕτω πιστεύομεν εἰς ἕνα Θεόν ἐν μιᾷ τρισυποστάτῳ καί παντοδυνάμῳ θεότητι καί τούς ἐν τοιαύτῃ πίστει τῷ Θεῷ εὐαρεστήσαντας ἀνακηρύττομεν, τούς δέ μή οὕτω πιστεύοντας, ἀλλ᾿ ἰδίας αἱρέσεως ἤ ἄρξαντας ἤ τοῖς ἄρξασιν εἰς τέλος ἐπακολουθήσαντας, ἀποβαλλώμεθα. Τοῦτό δέ ἔστε γινώσκοντες, ἀδελφοί, ὅτι τά πονηρά πάθη καί τά δυσσεβῆ δόγματα δι᾿ ἀλλήλων εἰσάγεται, λαβόντα χώραν ὑπό τῆς τοῦ Θεοῦ δικαίας ἐγκαταλείψεως.

Ὅτι μέν οὖν διά τῆς δυσσεβείας ὁ πολυπληθής ἐσμός τῆς ἁμαρτίας λαμβάνει χώραν, ὁ μέγας Παῦλος ἡμᾶς ἐδίδαξε γράφων περί τῶν Ἑλλήνων˙ «καθώς οὐκ ἐδοκίμασαν τόν Θεόν ἔχειν ἐν ἐπιγνώσει», «ἀλλά γνόντες τόν Θεόν, οὐχ ὡς Θεόν ἐδόξασαν ἤ (σελ. 226) ἐσεβάσθησαν», «παρέδωκεν αὐτούς ὁ Θεός εἰς ἀδόκιμον νοῦν ποιεῖν τά μή καθήκοντα, πεπληρωμένους πάσῃ ἀδικίᾳ, πορνείᾳ, πλεονεξίᾳ, καί τοῖς ἑξῆς». Ὅτι δέ διά τῆς ἁμαρτίας ἡ δυσσέβεια πάλιν εἰσάγεται, διά πολλῶν τῶν τοῦτο παθόντων ἀθλίως ἐστίν ἡ παράστασις. Σολομών ἐκεῖνος ἐκδούς ἑαυτόν ταῖς σαρκικαῖς ἡδοναῖς, εἰς εἰδωλολατρίαν ἐξώλισθεν. Ἱεροβοάμ κατ᾿ ἄκρας ἡττηθείς φιλαρχίας ταῖς χρυσαῖς δαμάλεσιν ἔθυσεν. Ὁ προδότης Ἰούδας φιλαργυρίαν νοσήσας περιέπεσε τῇ θεοκτονίᾳ.

Διά ταῦτα τοίνυν ἐπεί καί ἡ πίστις χωρίς τῶν ἔργων νεκρά καί ἀσύστατος, καί τά ἔργα χωρίς τῆς πίστεως μάταια καί ἀνώνητα, συνῆψεν ἡ τοῦ Πνεύματος χάρις σήμερον ἐν τῷ σεπτῷ τῆς νηστείας καιρῷ καί τῆς κατ᾿ ἀρετήν ἀσκήσεως τήν ἀνακήρυξιν τῶν ὀρθοτομούντων τόν λόγον τῆς εὐσεβείας καί τήν ἀποκήρυξιν τῶν μή ὀρθοτομεῖν ἑλομένων, ὡς ἄν ἡμεῖς συνημμένως ἐπ᾿ ἄμφω σπεύδοντες,

καί τήν πίστιν διά τῶν ἔργων ἐπιδειξώμεθα καί τῶν πόνων τό κέρδος διά τῆς πίστεως κομισώμεθα.

Μή μόνον δέ δι᾽ ἀλλήλων εἰσάγεται τά πονηρά πάθη καί ἡ δυσσέβεια, ἀλλά καί ἀλλήλοις ἐοίκασι. Καί ἵνα βραχύ τι πρός τήν ὑμετέραν ἀγάπην εἴπω, περί τῶν ἐφ᾽ ἡμῶν ἀναφανέντων ἑτεροδόξων, καθάπερ ὁ Ἀδάμ ἀπό παντός ἐσθίειν ξύλου τοῦ ἐν τῷ παραδείσῳ παρά τοῦ Θεοῦ λαβών ἐξουσίαν, οὐκ ἠρκέσθη πᾶσιν ἐκείνοις, ἀλλά τῇ τοῦ ἀρχεκάκου ὄφεως συμβουλῇ πεισθείς, ἀπό τοῦ ξύλου ἔφαγεν, οὗ μόνου προσετάχθη μή ἅψασθα˙ οὕτω καί τῶν ἐν τῷ Θεῷ ἀγαθῶν καί ὄντως ἀγαθοπρεπῶν δωρεῶν εἰς μέθεξιν (σελ. 228) ὑπ᾽ αὐτοῦ προκειμένων τοῖς βουλομένοις, κατά τόν εἰπόντα, «πάντα ὅσα ὁ Θεός, καί ὁ διά τῆς χάριτος τεθεωμένος ἔσται, χωρίς τῆς κατ᾽ οὐσίαν ταυτότητος», εἰσίν οἵ καί αὐτῆς τῆς ὑπερουσίου οὐσίας μετέχειν ἡμᾶς διδάσκουσι καί δύνασθαι κυρίως ὀνομάζειν αὐτήν ἐπαγγέλλονται, καί τόν ἀρχέκακον ὄφιν μιμούμενοι, ὡς ἐκεῖνος τά τοῦ Θεοῦ, οὕτως καί αὐτοῖς τά τῶν ἁγίων ρήματα παρεξηγοῦνται καί διαστρέφουσιν. Ἀλλ᾽ ἡμεῖς καί δύναμιν παρά Κυρίου λαβόντες πατεῖν ἐπάνω ὄφεων καί σκορπίων καί ἐπί πᾶσαν τήν δύναμιν τοῦ ἐχθροῦ, πᾶσαν τήν αὐτοῦ μηχανήν καί πάγην τήν τε κατά τῆς εὐσεβείας καί τῆς κατ᾽ εὐσέβειαν πολιτείας εὐχερῶς συντρίψαντες, καί νικηταί διά πάντων αὐτοῦ φανέντες, τῶν οὐρανίων καί ἀκηράτων τῆς δικαιοσύνης στεφάνων ἐπιτευξόμεθα, ἐν αὐτῷ Χριστῷ τῷ ἀδεκάστῳ κριτῇ καί δοτῆρι τῶν ἀντιδόσεων.

Ὧι πρέπει πᾶσα δόξα τιμή καί προσκύνησις, σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ Θ' (σελ. 232)*

## *ΕΝ ΤΩι ΚΑΙΡΩι ΤΗΣ ΝΗΣΕΙΑΣ ΚΑΙ ΠΡΟΣΕΥΧΗΣ*

Τέλος μέν θείων δογμάτων καί τῆς περί ταῦτα φιλοπονίας καί θεωρίας ἀλήθεια καί ἀσφαλής δόξα καί πρός τούς θεοφόρους ἡμῶν πατέρας σύμφωνος καί ὁμόλογος˙ τῆς δέ πρακτικῆς ἀρετῆς οὐ τοῦτο τέλος ἐστίν, ἀρχή δέ μᾶλλον, ἥτις ἄν μή πρός τό κατάλληλον ἔλθῃ τέλος, καί μείζονος καταδίκης πρόξενος ἔσται τῷ κτησαμένῳ˙ «ὁ γάρ

εἰδώς», φησί, «τό θέλημα τοῦ Κυρίου καί μή ποιήσας δαρήσεται πολλάς». Οὕτως οὐκ ἀρκεῖ πρός λόγον πρακτικῆς ἀρετῆς ἡ περί ταύην ἐπιστήμη τε καί ἀλήθεια, ἀλλά τέλος ἐστί ταύτης τό ἀγαθόν.

(σελ. 234) Εἰ μέν οὖν ἑωρῶμεν τούς ἀνθρώπους ἐμμένοντας τοῖς ἐγνωσμένοις καλοῖς καί εἰς ἔργον ἄγοντας ταῦτα καί ἀγαθούς ἀποτελουμένους διά τῶν ἔργων, ἀλλά μή πλημμελοῦντας παρ᾽ ὅν ἔχουσιν ὀρθόν λόγον ἐν ταῖς ψυχαῖς, οὐκ ἄν ἡμεῖς πολύν ἐποιούμεθα λόγον περί δικαιοπραγίας, περί σωφροσύνης, περί ἐγκρατείας, καί τῶν τοιούτων· τίς γάρ οὐκ οἶδεν, ὅτι καλόν τούτων ἕκαστον, καί μάλιστα ἐγκρατής βίος, ὅς καί διά πείρας ἑκάστοτε δείκνυται ψυχαῖς ὁμοῦ τε καί σώμασιν ὠφελιμώτατος ὤν. Ἐπεί δέ ἴσασι μέν οἱ πλεῖστοι, καί καλῶς ἴσασιν, ἀλλ᾽ ἐπιθυμία καί θυμός ἐπικρατεῖ τῆς καλῆς ἐπιστήμης («βλέπω γάρ», φησίν ὁ ἀπόστολος, «ἕτερον νόμον ἀντιστρατευόμενον τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου»), διά τοῦτο συνεχῶς τήν ἀπό τοῦ λόγου παράκλησιν προσάγομεν ὑμῖν, ἀδελφοί, ὡσάν διαναστήσωμεν τῷ ἀδιαστρόφῳ καί ὀρθῷ λογισμῷ τήν τοῦ ἀγαθοῦ πρᾶξιν ἐπιτιθέναι, ὡς τό τῆς ἐν τοῖς τοιούτοις γνώσεως τέλος ἀγαθόν ἐπιφέρουσαν. «Σύνεσις ἀγαθή», φησίν ὁ Δαβίδ, «πᾶσι τοῖς ποιοῦσιν αὐτήν». Καί «ἡ δικαιοσύνη αὐτοῦ ἐπί υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τήν διαθήκην αὐτοῦ καί μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς»· καί ὁ Παῦλος, «οὐχ οἱ ἀκροαταί τοῦ νόμου δίκαιοι παρά τῷ Θεῷ, ἀλλ᾽ οἱ ποιηταί τοῦ νόμου δικαιωθήσονται»·ὁ δέ ἀμφοτέρων Κύριος, «εἰ ταῦτα οἴδατε», φησί, «μακάριοι ἐστε, ἐάν ποιῆτε αὐτά».

Ἁψώμεθα οὖν δι᾽ ἔργων, ἀδελφοί, τοῦ καλοῦ τῆς νηστείας καί (σελ. 236) ἐγκρατείας χρήματος, πιστωσώμεθα τήν ἀγαθήν περί ταῦτα διάθεσιν, δείξωμεν ἐνεργῶς τούς καρπούς αὐτῶν ὁποῖοι· «ἐκ γάρ καρποῦ τό δένδρον γινώσκεται», ἀλλά καί «τό γεωργόν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν· νόει ἅ λέγω», φησίν ὁ ἀπόστολος. Τῶν μέν γάρ ἄλλων ἀρετῶν ἑκάστη ἤ ψυχήν ἤ σῶμα καθαίρει τε καί κοσμεῖ, μᾶλλον δέ ψυχῆς ἕν γέ τι μέρος ἤ σώματος, ὡς προσευχή καί ἐπιστήμη τόν νοῦν, τόν θυμόν ἡ πραότης, τήν ἐπιθυμίαν ἡ σωφροσύνη. Ἡ δέ νηστεία καί ἡ ἐγκράτεια τάς μέν τοῦ σώματος ἐπαναστάσεις κοιμίζει, τήν λύσσαν τοῦ θυμοῦ καί τῆς ἐπιθυμίας ἀπομαραίνει, αἰθρίαν δέ τῇ διανοίᾳ καθαράν ἐμποιεῖ καί οἷον ἀνέφελον, ἀποκαθαίρουσα ταύτην τῶν ἐκ τοῦ πλήθους τῶν βρωμάτων ἀνιόντων ἀτμῶν, καί τῆς ἀπό τούτων ἀχλύος. Διά νηστείας

καί ἐκγρατείας ὁ ἔξω ἄνθρωπος φθείρεται˙ ὅσῳ δέ οὗτος φθείρεται, τοσοῦτον ὁ ἐντός ἀνακαινίζεται κατά τόν ἀπόστολον. «Παχεία γαστήρ», εἶπέ τις, «λεπτόν οὐ τίκτει νοῦν». Οὐκοῦν ἡ διά νηστείας καί ἐγκρατείας λεπτυνομένη καί τόν νοῦν ἐξ ἀνάγκης λεπτύνει.

Οὕτω πᾶν καλόν καί ἀγαθόν διά ταύτης κατορθοῦται καί τελειοῦται. Διπλοῦν ἐστι περιτείχισμα ἡ νηστεία καί ἡ ἐγκράτεια, καί ὁ ἐν ταύταις βιῶν εἰρήνης ἀπολαύει πολλῆς, ὡς τῆς Ἰερουσαλήμ ὤν ἐντός˙ Ἰερουσαλήμ γάρ εἰρήνη ἑρμηνεύεται. Τούτῳ δέ πολεμεῖ τῷ τείχει ὁ τοῦ βαβυλωνίου ἄρχοντος ἀρχιμάγειρος˙ κἄν οὐχ εὕρῃ τούς (σελ. 238) ἐντός ἀντεχομένους τῶν τειχῶν καρτερῶς, καθαιρεῖ ταῦτα, προσαγαγών ὡς ἑλεπόλεις τά τῆς ὀψαρτυτικῆς μαγγανεύματα.

Εἰ δέ οἱ ἐπί τῶν τειχῶν τούτων οὐ μόνον περιφρονοῦσι τά ποικίλα τῶν ὄψων, ἀλλά καί τόν ἄρτον ἐπί τό εὐτελέστερον ἔτι μάττουσιν, αὐτοί μᾶλλον δι᾽ ἐγκρατείας ἀνατρέπουσι καί τήν σκηνήν Μαδιάμ˙ τοιοῦτον γάρ τι προτυποῖ καί ἡ κατά τόν Γεδεών ἱστορία˙ «ἰδού γάρ», φησί, «μαγίς ἄρτου κριθίνου, κυλιομένη ἐπί τήν παρεμβολήν Μαδιάμ». Ἐδήλου δέ ὁ κρίθινος ἄρτος τῶν ἐπιστρατευσάντων μετά Γεδεών τήν καί ἐπί τῶν ἀναγκαίων τροφῶν εὐτέλειαν καί ἐγκράτειαν˙ «καί ἦλθε», φησί, «μέχρι τῆς σκηνῆς Μαδιάμ καί ἐπάταξεν αὐτήν καί κατέστρεψε». Σκηνή δ᾽ ἄν εἴη πάντως ὑπό μάζης κριθίνης καταστρεφομένη ἡ μαιμάσσουσα τοῦ τε λαιμοῦ καί τῆς κοιλίας ἐπιθυμία, ἧς τό μαργαῖνον ἀφαιρεῖται νηστεία καί λιτή προσγινομένη τράπεζα. Δανιήλ ὁ τῶν ἐπιθυμιῶν ἀνήρ, οὐ τόν δράκοντα μόνον διά μάζης ἀνεῖλε, τόν θεόν ὧν θεός ἡ κοιλία καί ὁ ἔχων τήν ἰσχύν ἐπί τῇ ὀσφύϊ καί ἐπ᾽ ὀμφαλοῦ γαστρός, ἀλλ᾽ ἐπί πολλάς ἑβδομάδας μή φαγών ἄρτον ἐπιθυμιῶν μήτε οἶνον πιών, καινοτέρας ὁράσεις εἶδε καί ἀρχαγγέλου ἐπιστασίαν ἐδέξατο.

Ὁ μέν οὖν Δανιήλ οὕτω. Ὁ ἐπιθυμητής λαός καί ἀχάριστος, οἱ λέγοντες, «τίς ψωμιεῖ ἡμᾶς κρέα; νῦν ἡ ψυχή ἡμῶν κατάξηρος», μετά τό φαγεῖν κρέα ἕως ἐξῆλθεν ἐκ τῶν μυκτήρων αὐτῶν, ἐπατάχθησαν πληγήν μεγάλη σφόδρα˙ «ἐθυμώθη» γάρ, φησίν, «εἰς τόν λαόν ὁ Θεός, καί ὁ κόρος αὐτοῖς εἰς χολέραν ἐγένετο». (σελ. 240) Καί τά ἐν ἐκείνῳ τῷ τόπῳ λεγόμενα μνήματα τῆς ἐπιθυμίας ἀναστήλωσίς ἐστι τῆς ἐπ᾽ ἐκείνους θείας ὀργῆς˙ πρός ἥν βλέποντες, φύγωμεν τήν γαστριμαργίαν, ἀσπασώμεθα τήν ἐγκράτειαν, περιπτυξώμεθα τάς νηστίμους ἡμέρας ταύτας, ὡς εὐήκοον τῇ ψυχῇ ποιούσας τό σῶμα καί τόν νοῦν κουφιζούσας πρός Θεόν ἀνατρέχοντα. Ἰωάννης ὁ τῆς

χάριτος Πρόδρομος ἀκρίσι καί μέλιτι ἀγρίῳ διά βίου ἠρκεῖτο. Πέτρος ἁλμάσιν ἐλαίαις καί θέρμοις καί λεπτοῖς λαχάνοις ἐχρῆτο μόνοις. Τί δεῖ τά τοῦ Παύλου λέγειν, ὅς περί ἑαυτόῦ καί τοῦτό φησιν, ὡς «ἐν λιμῷ καί δίψῃ, ἐν νηστείαις πολλάκις»;

Σοί δέ οὐ βίος ὅλος τῶν τεσσαράκοντα ἡμερῶν ἐστι τό τῆς νηστείας διάστημα καί περιγράφει σοι καθ᾽ ἑκάστην ἡμέραν τήν ἐπί ταύτῃ νηστείαν ἡ τοῦ ἡλίου πρός δύσιν ἐπίνευσις. Ἆρ᾽ οὐ ῥᾳδία σχεδόν πᾶσι καί σύμμετρος ἡ ἐπί τοσοῦτον ἀσιτία ἐστί; Μόνον ἔστω καί ἡ σίτησις σύμμετρος˙ οὕτω γάρ μετρίως ἀσιτῶν καί μετρίως σιτούμενος, οὐ κατά πολύ τῶν ἀτροφούντων ἀπολειφθήσῃ. Φείδῃ τυχόν τῆς σαρκός καί φεύγεις τήν νηστείαν ὡς τηκεδόνα φέρουσαν, ἀλλά τουναντίον ἐστίν˙ ὁ κόρος γάρ ποδάγρας καί καρηβαρίας καί νόσους ἑτέρας γεννᾶν μᾶλλον πέφυκεν, ἡ δέ νηστεία μήτηρ ἐστίν ὑγείας˙ καί ὡς ἔοικεν οὐ μόνον ὁ πορνεύων εἰς τό ἴδιον σῶμα ἁμαρτάνει, ἀλλά καί ὁ γαστριμαργῶν εἰς τό ἴδιον πλημμελεῖ σῶμα, καχεκτικόν αὐτό καί νοσερόν ἐργαζόμενος.

Ἐπεί δέ διά πασῶν τῶν αἰσθήσεων ἡ ἀκρασία τελεῖται, (σελ. 242) πάσαις ἐπιστήσωμεν τήν ἐγκράτειαν. Εἰ δέ νηστεύεις μέν βρωμάτων, τήν δέ ὄψιν ἔχεις προαγωγόν εἰς τήν ἐν τῷ ταμείῳ τῆς ψυχῆς σου μοιχείαν καί περιέργειαν καί βασκανίαν, τήν δέ ἀκοήν δεκτικήν ὕβρεων καί πορνικῶν ᾀσμάτων καί ψιθυρισμῶν οὐ καλῶν, καί τάς ἄλλας αἰσθήσεις τῶν καταλλήλως βλαπτόντων, τί ὄφελος τῆς νηστείας; πάντως οὐδέν. Ἥν γάρ δι᾽ ἑτέρας φεύγεις κακίαν, κάθοδον αὐτῇ δίδως δι᾽ ἄλλης εἰς τήν ψυχήν˙ συνθέτων γάρ ὄντων ἡμῶν ἐκ ψυχῆς λέγω καί σώματος, οὐ τοῦ σώματος μόνον, ἀλλά καί τῆς ψυχῆς πολυμελοῦς οὔσης (ἕτερον τρόπον ἔχει γάρ καί αὕτη καθάπερ μέλη τό θρεπτικόν, τό ἐπιθυμητικόν, τό θυμικόν τε καί λογιστικόν), ἐκείνη ἐστίν ἀληθής νηστεία, ἡ διά πάντων διήκουσα καί πάντα καθαίρουσά τε καί θεραπεύουσα˙ πρᾳεῖα γάρ ἐστιν, ἀδελφοί, καί φιλανθρώπως ἡ διά νηστείας τῆς ψυχῆς ἰατρεία, καί διά τοῦτο καί οἱ πατέρες ἡμῶν διά τῶν ἡμερῶν τούτων ταύτην ἡμῖν ἐπέθηκαν.

Ἐάν οὖν ταύτην ἡμεῖς ἀφρόνως ἐκφύγωμεν, αἱ κολαστικαί ποιναί καί τομαί καί καύσεις ἡμᾶς ἐκδέξονται, ὅτε Χριστός τό ἀθεράπευτον διχοτομήσει καί τῷ ἀσβέστῳ πυρί παραδώσει δίκην ὑφέξον αἰώνιον. Ὡς γάρ μή νητεύσαντες ἐν τῷ παραδείσῳ, εἰς τόν πολυώδυνον τοῦτον βιον ἐρρίφημεν, οὕτως ἐνταῦθα μή νηστεύσαντες, μηδέ ἐγκρατῶς

ζήσαντες κατά δύναμιν, εἰς τήν ἄσβεστον καί ἀφόρητον ἐκείνην ἐμπεσούμεθα γέενναν.

Ἀλλ᾽ «ἐπιστρέψατε υἱοί ἀφεστηκότες», ἡ προφητεία φησίν. Οὐδέν οὕτω συνεργόν πρός ἐξιλασμόν τοῖς ἐπιστρέφουσιν ὡς ἡ νηστεία ἐστίν, ὡς ἐκ τῆς τῶν Νινευϊτῶν ἐπιστροφῆς (σελ. 244) ἐδιδάχθημεν˙ οὐδέν οὕτω νεκροποιόν ὡς ἡ γαστριμαργία ἐστί. Καί δείκνυσιν ὁ περί τοῦ ἀσώτου ἐπιστρέψαντος εἰπών, «οὗτος ὁ υἱός μου νεκρός ἦν καί ἀνέζησεν, ἀπολωλώς ἦν καί εὑρέθη»˙ συώδη γάρ βίον ἠσπάσατο καί συών ἥδετο βορβόρῳ, παρασυνεβλήθη τούτοις καί ὡμοιώθη αὐτοῖς, τήν πρός Θεόν ὁμοίωσιν ἀποθέμενος. Κατά δέ τόν μέγαν Ἰώβ οὐ κτήνεσι ὁμοιώθη μόνον, ἀλλά καί τοῖς ἐν ὑδρηλοῖς χωρίοις παντελῶς ἀναισθήτοις, βουτόμῳ τε καί παπύρῳ καί τῷ καλάμῳ, ἐν οἷς καί κοιμᾶται ὁ παμφάγος Λευϊάθαν˙ ἐν γάρ τοῖς ὑγροβίοις τό νοητόν τοῦτο κῆτος ἐπαναπαύεται. Ἥν ὑγρότητα ὁ Δαβίδ ἀπελαύνων διά τῆς ἐγκρατείας τῆς οἰκείας ζωῆς, «ἐξηράνθη», φησίν, «ὡς ὄστρακον ἡ ἰσχύς μου καί τά ὀστᾶ μου ὡσεί φρύγιον συνεφρύγησαν, τά γόνατά μου ἠσθένησαν ἀπό νηστείας καί ἡ σάρξ μου ἠλλοιώθη δι᾽ ἔλαιον». Διό καί τήν τῆς δεξιᾶς τοῦ Ὑψίστου ἠλλοιοῦτο ἀλλοίωσιν, αὐτῷ ἑαυτόν ὅλον ἀναθέμενος καί ἑαυτόν διά παντός ἐνώπιον αὐτοῦ προορώμενος καί τήν τῆς οἰκείας καρδίας μελέτην ἐκεῖνον διά παντός ἔχων ἐνώπιον.

Τοῦτον δή καί ἡμεῖς, ἀγαπητοί, μιμησώμεθα, καί μή μόνον τῆς ὑγρᾶς καί διακεχυμένης ζωῆς ἑαυτούς ἀποστήσωμεν, ἀλλά καί τήν ἡμετέραν νηστείαν καί ψαλμῳδίαν καί προσευχήν, ὡς αὐτοῦ παρόντος καί ἐφορῶντος τοῦ Θεοῦ, ποιώμεθα˙ εἰδότες, ὡς οὔτε νηστεία οὔτε ψαλμῳδί οὔτε προσευχή σώζειν ἡμᾶς καθ᾽ ἑαυτά δύναται, ἀλλά τό ἐνώπιον ἐκτελεῖσθαι ταῦτα τοῦ (σελ. 246) Θεοῦ˙ οὕτω γάρ οἱ ὀφθαλμοί Κυρίου ἐπιβλέποντες ἁγιάζουσιν ἡμᾶς, ὡς ὁ ἥλιος θερμαίνει τά ὑπ᾽ αὐτοῦ καταλαμπόμενα.

Ἐνώπιον δέ ταῦτα γίνεται Θεοῦ, ὅταν ἀτενῶς ἡ διάνοια ἐκείνῳ ἐνορᾷ, καί διά τό πρός αὐτόν ὁρᾶν καί νηστεύῃ καί ψάλλῃ καί προσεύχηται˙ ὅταν γάρ ἐν τῇ προσευχῇ καί ψαλμῳδίᾳ, ποτέ μέν ὁ νοῦς συντείνηται πρός τόν Θεόν, ποτέ δέ διαπίπτῃ καί μετεωρίζηται, δεῖ νοεῖν, ὡς οὔπω ἀνεθήκαμεν ἑαυτούς ὅλους τῷ Θεῷ, οὐδέ ἐν τῷ νόμῳ Κυρίου πᾶς ὁ σκοπός τῶν πραττομένων ἐφ᾽ ἡμῶν ἐστι. Διά τοῦτο καθ᾽ ὅσον τῶν τῆς δικαιοσύνης ἔργων ἀποπίπτομεν, κατά τοσοῦτον ἐνώπιον τῶν τοῦ Θεοῦ ὀφθαλμῶν παραμένειν οὐ δυνάμεθα˙

«οὐ γάρ διαμενοῦσι», φησί, «παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου». Ὅμως μέντοι τετραυματισμένοι κείμενοι, τόν δυνάμενον μάλαγμα καί καταδέσμους ἐπιθεῖναι τοῖς συντρίμμασιν ἡμῶν ἐπικαλώμεθα Κύριον.

Μή τοίνυν ἀνήσωμεν, παρακαλῶ, νηστείαις καί εὐχαῖς καί δάκρυσι καί πᾶσι τρόποις αὐτόν ἐπιβοώμενοι, μέχρις ἄν ἐγγίσῃ καί ἰάσηται ἡμᾶς˙ δείξωμεν καί ἡμεῖς δι᾿ἔργων νυμφίον πλουτοῦντες Χριστόν καί τοῦτο ἀποδημοῦντα νῦν ἀφ᾿ ἡμῶν καί ἐν τοῖς ἐπουρανίοις κρυπτόμενον δι᾿ ἐλπίδος ἀπεκδεχόμενοι˙ «ὅταν γάρ», φησίν, «ἀπαρθῇ ἀπ᾿ αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν». Ὅθεν δῆλον ὡς ἐν ἐγκρατείᾳ τε καί νηστείᾳ διά παντός εἶναι τοῦ βίου χρή τούς ἀπό Χριστοῦ καλουμένους, μετ᾿ ἀγαθῆς ἐλπίδος τήν αὐτοῦ προσδοκῶντας φρικτήν παρουσίαν. Νηστεύσωμεν δέ μᾶλλον ἐν ταύταις ταῖς ἡμέραις καί παντοίως ἡμᾶς (σελ. 248) αὐτούς εὐτρεπίσωμεν, ἀπεκδεχόμενοι καί τήν ἐπέτειον ἡμέραν τῆς τοῦ Χριστοῦ ἀναστάσεως, ἵνα καθαροί καθαρῶς καί τά πάθη τούτου δοξάσωμεν καί τύχωμεν τῆς δι᾿ αὐτῶν ἡμῖν ὑπό τοῦ Κυρίου πραγματευθείσης ἀθανάτου καί μακαρίας ζωῆς.

Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ˙ ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ Ι’ (σελ.252)*

## *ΤΗι ΔΕΥΤΕΡΑι ΚΥΡΙΑΚΗι ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ*

***Ὑπόθεσιν ἔχουσα τόν ἐν Καπερναούμε ἰαθέντα παρά τοῦ Κυρίου Παράλυτον˙ καί πρός τούς ἀκαίρως ὁμιλοῦντας ἀλλήλοις ἐν ταῖς κατά τήν Ἐκκλησίαν ἱεραῖς συνάξεσιν.***

Αὐτάς τάς δεσποτικάς φωνάς, μᾶλλον δέ τό κεφάλαιον αὐτό τοῦ εὐαγγελικοῦ κηρύγματος, σήμερον ἐρῶ προοιμιαζόμενος πρός τήν ὑμετέραν ἀγάπην˙ «μετανοεῖτε, ἤγγικεν γάρ ἡ βασιλεία τῶν οὐρανῶν». Καί οὐκ ἤγγισε μόνον, ἀλλά καί ἐν ἡμῖν ἐστιν˙ «ἡ γάρ βασιλεία τῶν οὐρανῶν ἐντός ἡμῶν ἐστι», πάλιν ὁ Κύριος εἶπε. Καί οὐκ ἐν ἡμῖν ἐστι μόνον, ἀλλά καί μετ᾽ οὐ πολύ περιφανέστερον παραγίνεται, καταργήσουσα πᾶσαν ἀρχήν καί ἐξουσίαν καί δύναμιν καί παρέξουσα τό ἄμαχον κράτος, τόν ἀδαπάνητον πλοῦτον, (σελ. 254) τήν ἀναλλοίωτον καί ἀκήρατον καί ἀτελεύτητον τρυφήν καί δόξαν καί ἐξουσίαν καί δύναμιν μόνοις τοῖς κατά Θεόν ζῶσι καί θεαρέστως ἐνταῦθα βεβιωκόσιν.

Ἐπεί τοίνυν ἡ βασιλεία τοῦ Θεοῦ καί ἤγγικε καί ἐν ἡμῖν ἐστι, καί μετ᾽ οὐ πολύ παραγίνεται, ποιήσωμεν διά τῶν τῆς μετανοίας ἔργων ἑαυτούς αὐτῆς ἀξίους˙ βιάσωμεν ἡμᾶς αὐτούς, τάς πονηράς ἀνακόπτοντες προλήψεις καί συνηθείας˙ βιαστή γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καί βιασταί ἁρπάζουσιν αὐτήν. Ζηλώσωμεν τῶν θεοφόρων ἡμῶν πατέρων τήν ὑπομονήν, τήν ταπείνωσιν, τήν πίστιν αὐτήν˙ «τούτων γάρ», φησίν, «ἀναθεωροῦντες τήν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τήν πίστιν», Νεκρώσωμεν τά μέλη ἡμῶν τά ἐπί τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πᾶν πάθος κακόν καί τήν πλεονεξίαν, καί μάλιστα κατά τάς ἱεράς ταύτας τῆς νηστείας ἡμέρας. Διά τοῦτο γάρ προλαβοῦσα ἡ τοῦ Πνεύματος χάρις, περί τῆς μελλούσης τοῦ Θεοῦ φρικωδεστάτης κρίσεως ἐδίδαξεν ἡμᾶς, εἶτα καί τῆς ἐξορίας τοῦ Ἀδάμ ὑπέμνησε καί μετά τοῦτο τήν ἀσφαλεστάτην πίστιν ὑπέδειξεν ἡμῖν, ἵνα τῷ ἐξ ἐκείνης φόβῳ καί τῷ ἐπί ταύτης θρόνῳ, τῆς τε πίστεως ἀσφαλῶς ἀντεχώμεθα καί συστέλλωμεν ἡμᾶς αὐτούς καί μή ἐκδιδῶμεν τῇ ἀκρασίᾳ, μηδέ διά τῆς ἀπίστου καί ἀπλήστου γαστρός πᾶσι τοῖς πάθεσι θύραν ἀνοίγωμεν καί χώραν παρέχωμεν καί τῆς εὐρυχώρου καί πλατείας ὅλοι γινώμεθα, μεθ᾽ ἡδονῆς ὡς εἰπεῖν ἀπολλύμενοι˙ ἀλλά τήν εἰς ζωήν αἰώνιον ἀπάγουσαν στενήν καί τεθλιμμένην ὁδόν ἀγαπήσαντες, ἧς ἀρχή καί πρῶτον (σελ. 256) στάδιον ἡ νηστεία ἐστί, τήν τεσσαρακοστήν τῶν νηστίμων ἡμερῶν ταύτην μετ᾽ εὐτονίας ἀνύσωμεν.

Εἰ γάρ, ὥσπερ καιρός τῷ παντί πράγματι, κατά τόν Σολομῶντα καί τοῖς πᾶσιν ὁ χρόνος, οὕτω καί καιρός ἐπιτήδειον ζητεῖ τις πρός ἐργασίαν τῆς ἀρετῆς, οὗτός ἐστιν ὁ καιρός, ἡ τεσσαρακοστή τῶν ἡμερῶν αὕτη. Εἰ δέ καί πᾶς ὁ τῶν ἀνθρώπων βίος πρός σωτηρίας

πορισμόν ἐστιν ἐπιτήδειος, πολλῷ μᾶλλον ὁ καιρός οὗτος τῆς νηστείας ἐστίν˙ ἐπεί καί ὁ ἀρχηγός καί χορηγός τῆς σωτηρίας ἡμῶν Χριστός ἀπό νηστείας ἐποιήσατο τήν ἀρχήν καί ἐν τῷ σταδίῳ ταύτης τόν δημιουργόν τῶν παθῶν, παντοίως προσβαλόντα, κατεπάλαισε καί κατῄσχυνε διάβολον. Ὥσπερ γάρ ἡ τῆς γαστρός ἀκρασία, τῶν ἀρετῶν ἀναιρέτης οὖσα, γεννήτρια τῆς ἐμπαθείας ἐστίν, οὕτω καί ἡ ἐγκράτεια τούς ἐκ τῆς ἀκρασίας μολυσμούς ἀναιροῦσα γεννήτρια τῆς ἀπαθείας ἐστίν. Εἰ δέ μήπω τά πάθη ἐν ἡμῖν ὄντα προξενεῖ τε καί ἐπροξένησεν ἡ ἀκρασία, πῶς ὄντα οὐκ αὐξήσει τε καί στηρίξει, ὥσπερ ἡ νηστεία μειώσει ταῦτα καί ἀφανίσει; Συζυγεῖς δέ ἀλλήλαις εἰσίν ἥ τε νηστεία καί ἡ ἐγκράτεια, κἄν ἄλλοτε ἄλλη τοῖς συνετῶς μετιοῦσιν εὐκαίρως πλεονεκτῇ.

Ταύτας οὖν καί ἡμεῖς ἀρτίως ἀλλήλων μή διαζεύξωμεν, ἀλλά τῇ μέν σεπτῇ μεταξύ πεντάδι τῶν τῆς ἑβδομάδος ἡμερῶν μᾶλλον ἀντεχώμεθα τῆς νηστείας, Σαββάτου δέ καί Κυριακῆς τῇ ἐγκρατείᾳ μᾶλλον ἤ τῇ νηστείᾳ προσέχωμεν, ὡς ἄν συνετῶς ἀκροώμεθα τῶν εὐαγγελικῶν ῥημάτων, ἅ σήμερον ἡμῖν ἀπαγγελεῖ τήν τοῦ παραλύτου θαυμαστήν ἴασιν, οὐ τήν ἐν Ἱερουσαλύμοις, ἀλλά τήν ἐν (σελ. 258) Καπερναούμ ὑπό τοῦ Κυρίου γεγενημένην. Τῷ γάρ καιρῷ ἐκείνῳ, φησίν ὁ θεηγόρος Μάρκος, «εἰσῆλθε πάλιν ὁ Ἰησοῦς εἰς Καπερναούμ δι᾿ ἡμερῶν». Ταύτην δέ τήν Καπερναούμ ἰδίαν πόλιν τοῦ Κυρίου ὁ Ματθαῖος φησι˙ τά γάρ κατά τόν παράλυτον τοῦτον κἀκεῖνος ἱστορῶν, «ἦλθε», φησίν, «ὁ Ἰησοῦς εἰς τήν ἰδίαν πόλιν»˙ μετά γάρ τό βαπτισθῆναι ἐν τῷ Ἰορδάνῃ ὑπό Ἰωάννου καί τό Πνεῦμα οὐρανόθεν ἐπ᾿ αὐτόν καταπτῆναι, εἰς τήν ἔρημον ὑπό τοῦ Πνεύματος πρός πεῖραν ἐξάγεται καί μετά τό νικῆσαι τόν πειραστήν ἐπανελθών ἐγγύς Ἰορδάνου περιῄει διδάσκων, καί ὑπό τοῦ Βαπτιστοῦ πολλαχῶς μαρτυρούμενος, μέχρις ὅτου ὁ Ἰωάννης ὑπό Ἡρώδου κατάκλειστος γέγονε. Τότε δέ, ὡς ὁ Ματθαῖός φησιν, «ἀνεχώρησεν εἰς τήν Γαλιλαίαν καί, καταλιπών τήν Ναζαρέτ, ἐλθών κατῴκησεν εἰς Καπερναούμ τήν παραθαλασσίαν».

Ἐξήρχετο οὖν ἀπ᾿ αὐτῆς εἴς τε τάς ἐρήμους προσευχῆς χάριν καί εἰς τάς τῶν γειτόνων κωμοπόλεις κηρύσσων καί πάλιν ἐνανήρχετο πρός αὐτήν. Διά τοῦτο Ματθαῖος μέν ὁ εὐαγγελιστής ἰδίαν εἶπε ταύτην πόλιν αὐτοῦ, ὁ δέ Μάρκος εἰσῆλθε, φησί, πάλιν εἰς Καπερναούμ δι᾿ ἡμερῶν. «Καί ἤκουσαν ὅτι εἰς οἶκόν ἐστι καί εὐθέως συνήχθησαν πολλοί, ὥστε μηκέτι χωρεῖν μηδέ τά πρός τήν θύραν»˙

τήν γάρ διατριβήν ὡς ἐπί πλεῖστον ἐκεῖ ποιούμενος διά πολλῶν καί μεγάλων καί θαυμάτων καί λόγων ἐπεγνώσθη μειζόνως, διό καί ἐποθεῖτο διαφερόντως. Ὡς οὖν ἤκουσαν ὅτι πάρεστι πάλιν, πανδημεί συνέρρευσαν˙ ὡς δέ ὁ Λουκᾶς φησι, καί ἀπό πάσης πόλεως ἦσαν συνελθόντες, ἐν οἷς καί Γραμματεῖς ἦσαν καί Φαρισαῖοι καί (σελ. 260) νομοδιδάσκαλοι˙ καί ἐλάλει αὐτοῖς, φησί, τόν λόγον. Οὗτος γάρ ἦν αὐτῷ προηγούμενον ἔργον, ὁ καί παραβολικῶς ἐδήλωσεν εἰπών˙ «ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τόν σπόρον αὐτοῦ», δηλονότι τόν τῆς διδασκαλίας λόγον, καί «ἦλθον φησι καλέσαι τούς ἁμαρτωλούς εἰς μετάνοιαν», ἡ δέ κλῆσις διά τοῦ λόγου τῆς διδασκαλίας. Τοῦτο καί ὁ Παῦλος δηλῶν ἔλεγε, «ἡ πίστις ἐξ ἀκοῆς, ἡ δέ ἀκοή διά ρήματος Θεοῦ.

Ἐλάλει μέν οὖν ὁ Κύριος ἅπασι κοινῶς καί ἀνεπιφθόνως τόν λόγον τῆς μετανοίας, τό εὐαγγέλιον τῆς σωτηρίας, τά ρήματα τῆς αἰωνίου ζωῆς. Καί πάντες μέν ἤκουον, οὐ πάντες δέ ὑπήκουον˙ φιλήκοοι μέν γάρ καί φιλοθεάμονές ἐσμεν ἅπαντες, φιλάρετοι δέ οὐχ ἅπαντες. Πρός μέν γάρ τό ποθεῖν εἰδέναι πρός τοῖς ἄλλοις καί τά σωτήρια πεφύκαμεν ἅπαντες, διό καί τῆς ἱερᾶς διδασκαλίας οἱ πλείους οὐ μόνον ἡδέως ἀκούουσιν, ἀλλά καί φιλοκρινοῦσι τούς λόγους, ὅπως ἄν ἕκαστος ἀγνοίας ἤ συνέσεως ἔχῃ πρός τό δοκοῦν ἐξετάζοντες˙ πρός δέ τό εἰς ἔργον ἄγειν τούς λόγους ἤ καί πίστιν ἐξ αὐτῶν καρποῦσθαι λυσιτελοῦσαν, εὐγνωμοσύνης δεῖ καί ἀγαθῆς προαιρέσεως, ἥτις οὐ ρᾳδίως εὑρίσκεται, καί μάλιστα ἐν τοῖς δικαιοῦσιν ἑαυτούς καί ἐνώπιον αὐτῶν ἐπιστήμοσιν, ὁποῖοί τινες ἦσαν οἱ Γραμματεῖς καί Φαρισαῖοι τῶν Ἰουδαίων.

Διό καί τότε παραμένοντες ἤκουον μέν τοῦ λόγου καί τά τελούμενα σημεῖα ἑώρων, ἐβλασφήμουν δέ μᾶλλον ἤ ἐπήνουν τόν δι᾽ ἔργων (σελ. 262) καί λόγων εὐεργετοῦντα. Διδάσκοντος γάρ τοῦ Κυρίου καί πάντων ἤ τῶν πλείστων ἑστῶσιν ὡσίν ὑποδεχομένων τούς λόγους τῆς χάριτος τούς ἐκπορευομένους ἐκ τοῦ στόματος αὐτοῦ, «ἔρχονται», φησί, «τινές πρός αὐτόν, παραλυτικόν φέροντες αἰρόμενον ὑπό τεσσάρων καί, μή δυνάμενοι προσεγγίσαι αὐτῷ διά τόν ὄχλον, ἀπεστέγασαν τήν στέγην ὅπου ὁ Κύριος ἦν καί ἐξορύξαντες χαλῶσι τόν κράββατον, ἐφ᾽ ᾧ ὁ παραλυτικός κατέκειτο». Ἔστι μέν τῆς τῶν αἰρόντων πίστεως εἶναι νομίσαι τό πραχθέν ἅπαν καί τῇ πίστει τούτων ἀρεσθέντα τόν Κύριον δοῦναι τῷ παραλύτῳ τήν ἑξῆς ἴασιν˙ ἐμοί δέ δοκεῖ μή οὕτως ἔχειν τό ἀληθές. Εἰ γάρ καί τόν παῖδα τοῦ ἀρχισυναγώγου θεραπεύων ὁ Κύριος οὐκ ἐζήτησε τήν παρ᾽

αὐτοῦ πίστιν, οὐδ᾽ ἀπό τῆς θυγατρός τῆς Χαναναίας ἤ τῆς Ἰαείρου, τῇ πίστει τῶν ὑπέρ αὐτῶν προσελθόντων ἀρκεσθείς, ἀλλά τούτων ἡ μέν τεθνηκυῖα ἦν, ἡ δέ τῆς Χαναναίας ἔκφρων, ὁ δέ παῖς οὐδέ παρῆν˙ ὁ δέ παράλυτος οὗτος παρῆν καί λογισμοῦ κύριος ἦν, εἰ καί τό σῶμα παράλυτος ἦν. Διό μοι δοκεῖ μᾶλλον ἐκ τῆς εὐελπιστίας καί πίστεως τούτου καί τούς αἴροντας τήν εἰς τόν Κύριον πίστιν εἰσδέξασθαι καί θαρρῆσαι προσελθεῖν καί τῷ παραλυτικῷ τούτῳ πειθομένους αἴρειν καί ἀναφέρειν ἐπί τό στέγος καί χαλᾶν ἐκεῖθεν τοῦ Κυρίου ἐνώπιον˙ οὐ γάρ ἄν ἄκοντος ἐκεῖνοι ταῦτα ἔπραττον, καί τό ἐπιτεταμένον τῆς παραλύσεως οὐ τόν λογισμόν, ἀλλά τά ἐπιπροσθοῦντα καί προσιστάμενα τῇ πίστει μᾶλλον εἰκότως διέλυσε.

Δόξης γάρ ἀνθρωπίνης ἔρως τούς Φαρισαίους ἀπῆγε τῆς πρός τόν Κύριον πίστεως˙ διό καί πρός αὐτούς ἔλεγε, «πῶς δύνασθε (σελ. 264) πιστεύειν εἰς ἐμέ, δόξαν παρά ἀνθρώπων λαμβάνοντες καί τήν δόξαν τήν παρά τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες;». Ἄλλους δέ πάλιν ἀγροί καί γάμοι καί βιωτικῶν φροντίδες ἔργων ἀπεῖργον τῆς προσελεύσεως, ἅ πάντα παρέλυσεν οἷον καί ἀφεῖλε τῶν τοῦ παραλύτου λογισμῶν ἡ τοῦ σώματος πάρεσις. Καί διά τοῦτο τοῖς ἁμαρτάνουσιν ἡ νόσος ἔστιν ὅτε κρείττων τῆς ὑγείας, ὅτι συνεργεῖ τούτοις πρός σωτηρίαν, καί τάς μέν ἐμφύτους πρός κακίαν ὁρμάς ἀμβλύνει, τό δέ χρέος τῶν ἡμαρτημένων διά τῆς κακώσεως οἷον ἀποδιδοῦσα δεκτικούς ποιεῖ, πρῶτον μέν τῆς κατά ψυχήν ἰατρείας, ἔπειτα καί τῆς τοῦ σώματος, καί μάλισθ᾽ ὅταν ὁ νοσῶν συνείς ἰατρείαν οὖσαν παρά Θεοῦ τήν πληγήν φέρῃ γενναίως καί μετά πίστεως προσπίπτῃ Θεῷ καί δι᾽ ἔργων, ὅπως ἄν ἔχῃ δυνάμεως, ἐπικαλεῖται τόν ἱλασμόν˙ ὅ καί ὁ παράλυτος δι᾽ ἔργων ὡς εἶχε ὑπέδειξε καί ὁ κύριος ἔργοις τε καί λόγοις αὐτοῖς παρέστησεν, εἰ καί οἱ Φαρισαῖοι μή συνιδεῖν δυνηθέντες, ἐβλασφήμουν καί διεγόγγυζον˙ «ἰδών γάρ», φησίν, «ὁ Ἰησοῦς τήν πίστιν αὐτῶν, τοῦ τε κλινοπετοῦς καταφερομένου καί τῶν ἐκ τοῦ στέγους χαλώντων, λέγει τῷ παραλυτικῷ, τέκνον, ἀφέωνταί σοι αἱ ἁμαρτίαι σου».

Ὦ μακαρίας προσηγορίας! Τέκνον ἀκούει καί υἱοποιεῖται τῷ οὐρανίῳ Πατρί καί προσκολλᾶται τῷ ἀναμαρτήτῳ Θεῷ, ἀναμάρτητος παραχρῆμα καί αὐτός γεγονώς διά τῆς τῶν ἡμαρτημένων ἀφέσεως˙ καί ὡς ἄν ἐπακολουθήσῃ καί ἡ τοῦ σώματος ἀνακαίνισις, τήν ψυχήν πρότερον ἀνωτέραν λαμβάνει τῆς ἁμαρτίας παρά τοῦ γινώσκοντος, ὅτι τήν ἀρχήν τῆς ψυχῆς ὑποπεσούσης τοῖς βρόχοις τῆς ἁμαρτίας, αἵ

τε νόσοι τῷ σώματι καί ὁ θάνατος ἐπηκολούθησε κατά τήν αὐτοῦ δικαιοκρισίαν.

(σελ. 266) Ἀλλ᾽ οἱ Γραμματεῖς ἀκούσαντε, «διελογίζοντο», φησίν, «ἐν ἑαυτοῖς, τί οὗτος λαλεῖ βλασφημίας; Τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰμή εἷς ὁ Θεός;». Ὁ δέ Κύριος ὡς ποιητής τῶν καρδιῶν καί τούς ἀφανεῖς τῶν καρδιῶν λογισμούς τῶν Γραμματέων ἐπιστάμενος, πρός αὐτούς φησι˙ «τί ταῦτα διαλογίζεσθε ἐν ταῖς καρδίαις ὑμῶν; τί ἐστιν εὐκοπώτερον εἰπεῖν τό παραλυτικῷ, ἀφέωνταί σοι αἱ ἁμαρτίαι, ἤ εἰπεῖν, ἔγειραι καί ἆρον τόν κράββατόν σου καί περιπάτει;». Τοῖς Γραμματεῦσιν ἐδόκει ὡς ἀδυνατῶν ὁ Κύριος ἰάσασθαι τόν παράλυτον, πρός τό ἀφανές κατέφυγε, τήν τῶν ἁμαρτημάτων ἄφεσιν, ἥν λόγῳ μόνῳ εἰπεῖν, καί ταῦτα δεσποτικῶς οὕτω καί προστακτικῶς, βλάσφημον μέν, ἀλλ᾽ εὔκολον καί τοῦ βουλομένου παντός. Διό καί πρός αὐτούς ὁ Κύριος εἰ λόγους, φησίν, ἐβουλόμην λέγειν καινούς, μή τήν ἀπό τῶν πραγμάτων ἔκβασιν ἔχοντας, ἐπίσης εὔκολον ἦν ἑκάτερον ἔργου φάναι χωρίς καί τήν ἔγερσιν τοῦ παραλυτικοῦ καί τήν ἄφεσιν τῶν ἡμαρτημένων αὐτῷ. Ἵνα δέ γνῶτε ὡς οὐκ ἄπρακτός ἐστιν ὁ ἐμός λόγος, οὐδ᾽ ὡς ἀδυνατῶν τῆς νόσου τήν ἴασιν παρασχεῖν εἰς τήν ἄφεσιν τῆς ἁμαρτίας κατέφυγον, ἀλλ᾽ ἐξουσίαν ἔχων θεϊκῆν ἐπί τῆς γῆς, ὡς Υἱός ὁμοούσιος τῷ ἐν τοῖς οὐρανοῖς Πατρί, εἰ καί ὁμοούσιος ὑμῖν τοῖς ἀχαρίστοις κατά σάρκα γέγονα, τότε λέγει τῷ παραλυτικῷ˙ «σοί λέγω, ἔγειραι καί ἆρον τόν κράββατόν σου, καί ὕπαγε εἰς τόν οἶκόν σου˙ καί ἠγέρθη εὐθέως καί ἄρας τόν κράββατον ἐξῆλθεν ἐναντίον πάντων».

Ἀντίκειται καί ὁ λόγος καί το θαῦμα τοῦτο τοῖς τῶν Γραμματέων διαλογισμοῖς, ἔστι δ᾽ ὡς καί συμφωνεῖ˙ ὅτι μέν γάρ οὐδείς ἀνθρώπων παρ᾽ ἑαυτοῦ δύναται ἀφιέναι ἁμαρτίας, ἀληθές εἶναι δείκνυσιν, ἐκεῖνο δέ τῶν Φαρισαίων ψευδές καί ἀσύνετον, ὅτι ψιλός (σελ. 268) ἐστιν ἄνθρωπος ὁ Χριστός, ἀλλ᾽ οὐ Θεός παντοδύναμος˙ ὅ γάρ οὐδέποτέ τις εἶδεν, οὐδέ ἤκουσε, νῦν ἀνεφάνη. Θεός καί ἄνθρωπος αὐτός, διττήν καί τήν φύσιν ἔχων καί τήν ἐνέργειαν, καί λαλῶν μέν καθ᾽ ἡμᾶς ὡς ἄνθρωπος, ποιῶν δέ ὅσα θέλει λόγῳ καί προστάγματι μόνῳ ὡς Θεός, καί διά τῶν ἔργων πιστούμενος, ὅτι καί τήν ἀρχήν αὐτός τά πάντα, κατά τό ψαλμικόν, «εἶπε καί ἐγενήθησαν, αὐτός ἐνετείλατο καί ἐκτίσθησαν». Διό καί νῦν τῷ λόῳ τούτου παραχρῆμα τό ἔργον ἐπηκολούθησεν˙ ἠγέρθη γάρ εὐθύς ὁ παραλυτικός, «καί ἄρας τόν κράββατον ἐξῆλθεν ἐναντίον πάντων˙ ὥστε ἐξίστασθαι

πάντας». Ἡ μέν γάρ τῶν πταισμάτων ἄφεσις καί παρά τῶν ἀνθρώπων εἰςοῦς ἄν τις πταίσῃ πολλάκις διά λόγου τελεῖται, νόσον δέ, καί ταῦτα τοιαύτην, φυγαδεῦσαι προστάγματι καί λόγῳ μόνῳ μόνου Θεοῦ. Διά τοῦτο καί ὁ εὐαγγελιστής ἐπισημαίνεται λέγων ἐκστῆναι πάντας τούς ἰδόντας καί δοξάζειν τόν Θεόν, αὐτόν πάντως τόν τοῦ παραδόξου τούτου ποιητήν, μᾶλλον δέ τόν ἔνδοξα ποιοῦντα καί ἐξαίσια, ὧν οὐκ ἔστιν ἀριθμός, λέγοντας˙ «ὅτι οὐδέποτε οὕτως εἴδομεν».

Ἀλλ᾽ ἐκεῖνοι μέν οὕτω, λόγῳ τήν δόξαν ἀποδιδόντες καί τό θαῦμα μεῖζον τῶν προγεγονότων ἐπιδεικνῦντες, ἔλεγον, οὐδέποτε οὕτως εἴδομεν. Ἡμεῖς δέ οἱ μή τοῦτο λέγειν ἔχοντες νῦν (εἴδομεν γάρ πολλά καί μείζω τούτου πολλῷ, οὐ παρά Χριστοῦ μόνον, ἀλλά καί τῶν αὐτοῦ μαθητῶν καί τῶν ἑξῆς διαδόχων, καί μόνῃ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἐπικλήσει τελούμενα)˙ ἡμεῖς οὖν, ἀδελφοί, δι᾽ ἔργων (σελ. 270) αὐτόν ἀρτίως δοξάσωμεν, ὑπόδειγμα πρός ἀρετήν ἀναγωγικῶς καί τό θαῦμα τοῦτο λαμβάνοντες. Ἕκαστος γάρ τῶν ταῖς ἡδοναῖς προσκειμένων παράλυτός ἐστι τήν ψυχήν ἐπί κλίνης τῆς ἡδυπαθείας καί τῆς ἐν ταύτῃ κατά σάρκα δοκούσης ἀνέσεως κείμενος˙ ἀλλ᾽ ὅταν πεισθείς ταῖς εὐαγγελικαῖς παραινέσεσιν, ἐξομολούμενος θριαμβεύῃ τάς ἑαυτοῦ ἁμαρτίας καί τήν ἐντεῦθεν τῆς ψυχῆς αὐτῷ γενομένην παράλυσιν, ὑπό τῶν τεσσάρων τούτων αἰρόμενος φέρεται πρός τόν Κύριον, τῆς οἰκείας καταγνώσεως, τῆς τῶν προημαρτημένων ἐξαγορεύσεως, τῆς εἰς τό ἑξῆς πρός ἀποχήν τῶν κακῶν ὑποσχέσεως, καί τῆς πρός τόν Θεόν δεήσεως. Ἀλλ᾽ οὐ δύναται ταῦτα προσεγγίσαι τῷ Θεῷ, ἄν μή τόν ὄροφον ἀποστεγάσωσι, τάς κεράμους καί τόν χοῦν καί τήν ἄλλην ὕλην διαρρίψαντες. Ὄροφος δέ ἐστιν ἐν ἡμῖν τό λογιστικόν τῆς ψυχῆς, ὡς τῶν ἐν ἡμῖν πάντων ὑπερκείμενον˙ ἔχει δέ τοῦτο πολλήν ὥσπερ ὕλην ἐπικειμένην, τήν πρός τά πάθη καί τά γήϊνα σχέσιν. Ὅταν οὖν ἡ σχέσις αὕτη διά τῶν προειρημένων τεσσάρων λυθῇ καί ἀποτιναχθῇ, τότε ὡς ἀληθῶς δυνάμεθα χαλασθῆναι, τουτέστιν ἀληθῶς ταπεινωθῆναι καί προσπεσεῖν καί προσεγγίσαι τῷ Κυρίῳ, καί αἰτῆσαι καί λαβεῖν παρ᾽ αὐτοῦ τήν ἴασιν.

Γίνεται δέ ταῦτα τά τῆς μετανοίας ἔργα πότε; Ὅτε ἦλθεν ὁ Ἰησοῦς ἐπί τήν ἰδίαν πόλιν, τουτέστι μεθό διά σαρκός ἐπεδήμησε τῷ κόσμῳ, ὅς αὐτοῦ ἐστιν ἴδιος ὡς ὑπ᾽ αὐτοῦ κτισθείς, καθάπερ καί ὁ εὐαγγελιστής περί αὐτοῦ φησιν, ὅτι˙ «εἰς τά ἴδια ἦλθε, καί οἱ ἴδιοι αὐτόν οὐ παρέλαβον˙ ὅσοι δέ ἔλαβον αὐτόν ἔδωκεν αὐτοῖς ἐξουσίαν

τέκνα Θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τό ὄνομα αὐτοῦ». (σελ. 272) Διό καί ὁ παραλυτικός νοῦς μετά πίστεως οὕτω προσπεσών, τέκνον, εὐθύς ἀκούει παρ᾽ αὐτοῦ, καί τήν ἄφεσιν καί τήν ἴασιν λαμβάνει˙ καί οὐ ταῦτα μόνον, ἀλλά καί δύναμιν προσλαμβάνει τόν κράββατον αἴρειν καί φέρειν ἐφ᾽ ᾧ κατέκειτο. Κράββατον δέ νοήσεις τό σῶμα ᾧ πρόσκειται καί δι᾽ οὗ τῶν ἔργων ἀντέχεται τῆς ἁμαρτίας ὁ ταῖς σαρκικαῖς ὀρέξεσιν ἑπόμενος νοῦς.

Μετά δέ τήν ἴασιν ἄγων ἐστί τό σῶμα καί φέρων ὡς ὑποχείριον ὁ ἡμέτερος νοῦς καί δι᾽ αὐτοῦ τούς καρπούς καί τά ἔργα τῆς μετανοίας ἐπιδεικνύμενος, ὡς καί οτύς ὁρῶντας δοξάζειν τόν Θεόν, βλέποντας εὐαγγελιστήν σήμερον τόν χθές τελώνην, ἀπόστολον τόν διώκτην, θεολόγον τόν ληστήν, υἱόν τοῦ οὐρανίου Πατρός τόν πρώην τοῖς χοίροις ἐνδιαιτώμενον, εἰ δέ βούλει, καί ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενον καί πορευόμενον ἀπό δόξης εἰς δόξαν τῷ προκόπτειν ἑκάστης ἡμέρας ἐπί τό κρεῖττον. Διό καί ὁ Κύριος πρός τούς οἰκείους φησίν, «οὕτω λαμψάτω τό φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τόν ἐν τοῖς οὐρανοῖς». Τοῦτο δέ φησιν, οὐκ ἐπιδείκνυσθαι κελεύων, ἀλλά θεοφιλῶς πολιτεύεσθαι˙ καθάπερ δέ τό φῶς ἀπραγματεύτως ἐφέλκεται τούς ὀφθαλμούς τῶν ὁρώντων, οὕτως ἡ θεοφιλής πολιτεία μετά τῶν ὀφθαλμῶν ἐπισπᾶται καί τήν διάνοιαν. Καί καθάπερ πάλιν ἐπί τοῦ ἡλιακοῦ φωτός οὐ τόν μετέχοντα τῆς λαμπρότητος ἐπαινοῦμεν ἀέρα, ἀλλά τόν ἔχοντα καί παρέχοντα τήν αὐγήν τῆς λαμπρότητος ἥλιον, κἄν τόν ἀέρα ὡς φωτεινόν ἐπαινέσωμεν, πόσῳ μᾶλλον τόν ἥλιον˙ οὕτω καί ἐπί τοῦ διά τῶν ἔργων τῆς ἀρετῆς ἐπιδεικνυμένου τήν τοῦ ἡλίου τῆς δικαιοσύνης (σελ. 274) λαμπρότητα˙ ἐνάγει γάρ οὗτος εὐθύς ὁρώμενος πρός τήν δόξαν τοῦ ἐν οὐρανοῖς Πατρός τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ.

Καί ἵνα τάς μείζους τῶν ἀρετῶν παραλείπω νῦν ἐγώ, ὅταν ἐπί τῆς ἱερᾶς ἐκκλησίας σύν ὑμῖν τῷ Θεῷ παριστάμενος, στραφείς ἴδω τούς μετά συνέσεώς τε καί κατανύξεως ἀναπέμποντας τούς πρός Θεόν ὕμνους καί τάς δεήσεις, ἤ σιωπῶντά τινα καί σύννουν ἑστῶτα καί ἀκροώμενον, καί ὑπό μόνης τῆς θέας εὐθύς ἔνθους γίνομαι καί θυμηδίας πληροῦμαι καί δοξάζω τόν ἐν οὐρανοῖς Πατέρα Χριστόν, οὗ χωρίς οὐδέν οὐδείς δύναται ποιεῖν τῶν καλῶν καί δι᾽ οὗ πᾶν ἀνθρώποις τό κατορθούμενον.

Ἀλλά τί νῦν ἐροῦμεν πρός τούς μήτε σιωπῶντας ἑστῶτας, μήτε συμψάλλοντας, ἀλλά συντυγχάνοντας ἀλλήλοις καί τήν λογικήν

ἡμῶν πρός τόν Θεόν λατρείαν κοσμικῇ τινι λογολεσχίᾳ συμφύροντας, καί μήτε αὐτούς ἀκούοντας τῶν ἱερῶν καί θεοπνεύστων λόγων καί τούς θέλοντας ἀκούειν κωλύοντας; Ἕως πότε, ὦ οὗτοι, χωλανεῖτε ἐπ᾽ ἀμφοτέραις ταῖς ἰγνύαις, ὁ θεσβίτης ἄν εἶπεν Ἠλίας, ἅμα θέλοντες ἐπί προσευχήν συνεῖναι καί λόγους ἀκαίρους τε γηΐνους, καί μηδέτερον ὡς εἰκός κατορθοῦντες, ἀλλά διά τούτων συμφθείροντες ἄλληλα, μᾶλλον δέ αὐτοί δι᾽ ἀλλήλων φθειρόμενοι; Ἕως πότε κἀνταῦθα τῶν ρημάτων τῆς ματαιότητος οὐκ ἀφέξεσθε, ἀλλά τόν οἶκον τῆς προσευχῆς οἶκον ἐμπορείας, ἤ ἐμπαθείας λόγον ποιήσετε, οἶκον ἐν ᾧ ρήματα ζωῆς αἰωνίου καί λέγεται καί ἀκούεται, τά μέν παρ᾽ ἡμῶν αἰτούντων παρά Θεοῦ μετ᾽ ἐλπίδος ἀκαταισχύντου τήν ζωήν τήν αἰώνιον, τά δέ παρά τοῦ Θεοῦ διδόντος τοῖς (σελ. 276) ἐξ ὅλης τῆς ψυχῆς καί διανοίας αἰτοῦσιν αὐτήν, ἀλλ᾽ οὐχί τοῖς μηδέ τήν γλῶσσαν ὡς εἰπεῖν ὅλην πρός τήν αἴτησιν στρέφουσιν;

Οὐ διά πυρός νῦν ἡμῖν ἡ θυσία πρός τόν Θεόν, ἀδελφοί, καθάπερ ἐπί Μωσέως, ἀλλά διά λόγου τελεῖται. Τότε τοίνυν, ἡνίκα πυρί τήν θυσίαν ἀναφερομένην ὁ Θεός ἐδέχετο, πῦρ προσενεγκόντες ἀλλότριον ἔξωθεν οἱ μετά Κορέ κατά Μωσέως ἐπαναστάντες, ὑπό τοῦ ἱεροῦ πυρός αὐτομάτως ἀφορμήσαντος αὐτοῖς καταφλέχθησαν. Φοβηθῶμεν δή καί ἡμεῖς, μή λόγους ἔξωθεν ἀλλοτρίους τῷ λογικῷ τούτῳ τοῦ Θεοῦ θυσιαστηρίῳ, τῇ Ἐκκλησίᾳ λέγω, προσάγοντες ὑπό τῶν ἐν αὐτῇ θείων λόγων εἰς τέλος κατακριθῶμεν, τῆς ἀπευκταίας φωνῆς καί καταδίκης ἑαυτούς ἀξίους ἐντεῦθεν ἀπεργασάμενοι. Ναί, φοβηθῶμεν, παρακαλῶ, καί μέχρις ἄν ὦμεν ἐνταῦθα μετά φόβου τῷ Θεῷ παριστάμενοι τήν ἱκεσίαν προσάγωμεν˙ ἐξελθόντες δέ τῶν ὧδε, τήν ἐντεῦθεν ἐπί τό κρεῖττον τῶν τρόπων μεταβολήν ἐνδειξώμεθα, κερδῶν οὐχ ἡττόμενοι, καί μάλιστα τῶν ἀδίκων, ὅρκους φεύγοντες, καί μάλιστα τούς ἐπί ψεύδει, αἰσχρῶν ἀπεχόμενοι ρημάτων, πόσῳ δή μᾶλλον τῶν κατά ταῦτα πραγμάτων, καταλαλιᾶς, δόλου, μεγαλαυχίας, πᾶν μέλος, πᾶσαν αἴσθησιν νῷ παιδαγωγοῦντες καί κινοῦντες θεόφρονι καί φέροντες σύν λόγῳ καί φόβῳ θείῳ τό σῶμα καί ἀναφέροντες, ἀλλ᾽ οὐχ ὑπό τοῦ σώματος πρός τάς αὐτοῦ χαμερπεῖς καί βδελυράς ὀρέξεις καταφερόμενοί τε καί κατεχόμενοι, παρά τοῦ Παύλου μαθόντες τε καί γινώσκοντες, ὡς εἰ μέν κατά σάρκα ζῶμεν μέλλομεν ἀποθνήσκειν, εἰ δέ πνεύματι τάς πράξεις τοῦ σώματος θανατοῦμεν, εἰς αἰῶνας ζησώμεθα.

Καί νῦν πρός δόξαν Θεοῦ κινήσωμεν πάντας τούς ὁρῶντας (σελ. 278) ἡμᾶς, ἐπιγνόντας ὡς ὁ οἶκος οὗτος τόν Χριστόν ἐν ἑαυτῷ φέρει, τούς κατά ψυχήν παραλύτους σφίγγοντα καί κελεύοντα τάς σωματικάς αἰσθήσεις καί ἀντιλήψεις πνευματικῇ καί θεοφιλεῖ διανοίᾳ πρός αὐτόν αἴρειν τε καί ἀνάγειν, ἀλλ᾽ οὐχ ὑπ᾽ αὐτῶν ἀσυνέτως φέρεσθαί τε καί καταφέρεσθαι˙ καί οὕτως ὑπάγειν εἰς τόν ὄντως ἡμέτερον οἶκον, τόν οὐρανόν λέγω καί τόν ὑπερουράνιον χῶρον, ἔνθα νῦν Χριστός ὁ κληρονόμος καί κληροδότης ἡμῶν.

Ὧ πρέπει δόξα, κράτος, τιμή καί προσκύνησις σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ ἁγίῳ καί ἀγαθῷ καί ζωοποιῷ Πνεύματι, νῦν καί ἀεί, καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ ΙΑ' (Σελ.282)*

## *ΕΙΣ ΤΟΝ ΤΙΜΙΟΝΚΑΙ ΖΩΟΠΟΙΟΝ ΣΤΑΥΡΟΝ.*

Ὁ τοῦ Χριστοῦ Σταυρός προανεκηρύττετο καί προετυποῦτο μυστικῶς ἐκ γενεῶν ἀρχαίων, καί οὐδείς ποτε κατηλλάγη τῷ Θεῷ χωρίς τῆς τοῦ Σταυροῦ δυνάμεως. Μετά γάρ τήν προγονικήν ἐκείνην ἐν τῷ παραδείσῳ τοῦ Θεοῦ διά τοῦ ξύλου παράβασιν, ἡ μέν ἁμαρτία ἀνέζησεν, ἡμεῖς δέ ἀπεθάνομεν, καί πρό τοῦ σωματικοῦ θανάτου τόν τῆς ψυχῆς ὑποστάντες θάνατον, ὅς ἐστιν ὁ ἀπό τοῦ Θεοῦ ταύτης χωρισμός˙ ὅ δέ μετά τήν παράβασιν, τῇ ἁμαρτίᾳ ἐζῶμεν, καί τῇ κατά σάρκα ζωῇ˙ ἡ δέ ἁμαρτία «τῷ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται, οὐδέ γάρ δύναται, καί οἱ ἐν σαρκί ζῶντες Θεῷ ἀρέσαι οὐ δύνανται».

(σελ. 284) Ἐπεί τοίνυν, ὡς καί ὁ ἀπόστολός φησιν, «ἡ σάρξ ἐπιθυμεῖ κατά τοῦ πνεύματος καί τό πνεῦμα κατά τῆς σαρκός», ὁ δέ Θεός πνεῦμά ἐστι καί αὐτοαγαθότης καί ἀρετή, καί τούτου κατ᾽ εἰκόνα καί ὁμοίωσιν τό πνεῦμά ἐστι τό ἡμέτερον, καθ᾽ ἅ καί διά τῆς ἁμαρτίας ἠχρείωται, πῶς ἦν δυνατόν ἀνανεωθῆναί τινα τῶν ἁπάντων καί φιλιωθῆναι τῷ Θεῷ ἐν πνεύματι μή καταργηθείσης τῆς ἁμαρτίας καί τῆς κατά σάρκα ζωῆς; Τοῦτο δέ ἐστιν ὁ τοῦ Χριστοῦ Σταυρός, ἡ τῆς ἁμαρτίας κατάργησις. Διό καί τις τῶν θεοφόρων ἡμῶν πατέρων ἐρωτηθείς παρά τινος τῶν ἀπίστων, εἴπερ εἰς τόν ἐσταυρωμένον πιστεύει, "ναί" φησίν, "εἰς τόν τήν ἁμαρτίας σταυρώσαντα". Φίλοι δέ Θεοῦ πολλοί τῶν πρό νόμου καί μετά νόμον, μήπω τοῦ Σταυροῦ

φανέντος, ὑπ᾽ αὐτοῦ τοῦ Θεοῦ μεμαρτύρηνται˙ καί ὁ βασιλεύς καί προφήτης Δαβίδ, ὡς πάντως ὄντων τότε τῷ Θεῷ φίλων, «ἐμοί δέ», φησί, «λίαν ἐτιμήθησαν οἱ φίλοι σου ὁ Θεός». Πῶς οὖν εἰσιν οἵ πρό τοῦ Σταυροῦ φίλοι τοῦ Θεοῦ ἐχρημάτισαν, ἐγώ ὑμῖν ὑποδείξω, ἐάν μοιφιλόθεον καί φιλήκοον οὖς ὑπόσχητε.

Ὥσπερ μήπω παραγενομένου τοῦ ἀνθρώπου τῆς ἁμαρτίας, τοῦ υἱοῦ τῆς ἀνομίας, τοῦ Ἀντιχρίστου λέγω, ὁ ἠγαπημένος τῷ Χριστῷ φησι Θεολόγος, «καί νῦν, ἀγαπητοί, ὁ Ἀντίχριστός ἐστι», οὕτω καί ὁ Σταυρός ἦν ἐν τοῖς προγενεστέροις καί πρό τοῦ τελεσθῆναι. Ὁ γάρ μέγας Παῦλος σαφέστερον ἡμᾶς διδάσκων, πῶς καί μήπω παραγενόμενος ἐν ἡμῖν ἐστιν ὁ Ἀντίχριστος, φησίν ὅτι «τό μυστήριον αὐτοῦ ἐνεργεῖται ἐν ἡμῖν». Οὕτω δή καί ὁ Σταυρός τοῦ Χριστοῦ (σελ. 286) μήπω γεγονώς ἐν τοῖς προπάτορσιν ἦν˙ τό γάρ μυστήριον αὐτοῦ ἐνηργεῖτο ἐν αὐτοῖς.

Καί ἵνα νῦν ἀφῶ τόν Ἄβελ, τόν Σήθ, τόν Ἐνώς, τόν Ἐνώχ, Νῶε τε καί τούς μέχρι Νῶε τῷ Θεῷ εὐηρεστηκότας, καί εἴ τις ἐγγύς μετ᾽ αὐτούς, ἄρξωμαι δέ ἀπό Ἀβραάμ, ὅς πατήρ ἐχρημάτισε πολλῶν ἐθνῶν, τῶν μέν Ἰουδαίων ἐκ σαρκός, ἡμῶν δέ ἐκ πίστεως. Ἵν᾽ οὖν ἐκ τούτου τοῦ κατά Πνεῦμα πατρός ἡμῶν ἄρξωμαι καί αὐτῆς τῆς κατ᾽ αὐτόν ἀγαθοῦ ἀρχῆς καί τῆς πρώτης παρά Θεοῦ κλήσεως, τίνα πρώτην ἀφῆκε φωνήν πρός αὐτόν λαλήσας ὁ Θεός; «Ἔξελθε ἐκ τῆς γῆς σου καί ἐκ τῆς συγγενείας σου, δεῦρο εἰς γῆν ἥν ἄν σοι δείξω». Τό γοῦν μυστήριον τοῦ Σταυροῦ ἐν ἑαυτῇ φέρει αὕτη ἡ φωνή˙ τοῦτο γάρ ἐστιν ἄντικρυς ὅ Παῦλος ὁ καυχώμενος ἐν τῷ Σταυρῷ λέγει ὅτι «ἐμοί ὁ κόσμος ἐσταύρωται». Κατά γάρ τόν φυγόντα τήν πατρίδα ἤ τόν κόσμον ἀμεταστρεπτί ἡ κατά σάρκα πατρίς καί ὁ κόσμος ἐνεκρώθη καί κατήργηται˙ καί τοῦτό ἐστιν ὁ Σταυρός.

Ἀλλά πρός μέν τόν Ἀβραάμ μήπω φυγόντα τήν μετά τῶν ἀθέων συναυλίαν, «ἔξελθε», φησίν, «ἐκ τῆς γῆς σου, καί δεῦρο εἰς γῆν», οὐχ ἥν ἄν σοι δώσω, ἀλλ᾽ «ἥν ἄν σοι δείξω», ὡς δι᾽ ἐκείνης ἄλλης γῆς πνευματικῆς δεικνυμένης. Πρός δέ τόν Μωϋσέα μετά τό φυγεῖν τήν Αἴγυπτον καί τό ὄρος ἀναβῆναι, τί φησιν ἡ πρός αὐτόν πρώτη τοῦ Θεοῦ φωνή; «Λῦσαι τό ὑπόδημα ἐκ τῶν ποδῶν σου». Ἄλλο τοῦτο τοῦ σταυροῦ μυστήριον, τῷ προτέρῳ προσφυῶς ἑπόμενον˙ εἰ γάρ καί τῆς Αἰγύπτου, φησίν, ἐξῆλθες καί τήν Φαραώ θεραπείαν ἀφῆκας (σελ. 288) καί τό καλεῖσθαι υἱός τῆς θυγατρός Φαραώ παρεῖδες καί ὅσον τό εἰς σέ ἧκον ὁ κόσμος ἐκεῖνος τῆς πονηρᾶς θεραπείας ἐλύθη καί

κατήργηται, ἀλλά δεῖ σε καί προσθεῖναι. Τί τοῦτο; Λῦσαι τό ὑπόδημα ἐκ τῶν ποδῶν σου, ἀποθέσθαι τούς δερματίνους χιτῶνας οὕς ἐνέδυσε καί ἐν οἷς ἐνεργεῖ ἡ ἁμαρτία καί τῆς ἁγίας ἀποδιαστέλλει γῆς. Λῦσαι οὖν τοῦτο τό ὑπόδημα ἐκ τῶν ποδῶν σου, ταὐτόν δέ εἰπεῖν, μηκέτι κατά σάρκα καί τῇ ἁμαρτίᾳ ζῆθι, ἀλλά καταργηθήτω καί νεκρωθήτω ἡ ἀντικειμένη τῷ Θεῷ ζωή καί τό φρόνημα τῆς σαρκός καί ὁ ἐν τοῖς μέλεσι νόμος, ὁ ἀντιστρατευόμενος τῷ νόμῳ τῆς ἁμαρτίας, μηκέτι ἐπικρατείτω, μηδέ ἐνεργείτω, τῇ δυνάμει τῆς θεοπτίας νεκρούμενος. Ἆρ᾽ οὐ τοῦτό ἐστιν ὁ Σταυρός; Σταυρός γάρ ἐστι πάλιν, κατά τόν θεῖον Παῦλον εἰπεῖν, τό σταυρῶσαι τήν σάρκα «σύν τοῖς παθήμασι καί ταῖς ἐπιθυμίαις».

«Λῦσαι οὖν, φησί, «τό ὑπόδημα ἐκ τῶν ποδῶν σου˙ ἡ γάρ γῆ ἐφ᾽ ἥν σύ ἕστηκας γῆ ἁγία ἐστιν»˙ ἐδήλου δέ αὐτῷ ὁ λόγος τόν μετά τήν ἐπιφάνεια τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ μέλλοντα ἐπί τῆς γῆς διά τοῦ Σταυροῦ ἔσεσθαι ἁγιασμόν. Τότε γάρ ὁ Μωϋσῆς τήν τότε μέλλουσαν παρουσίαν τοῦ Χριστοῦ προεώρα, πρός τό μέγα θέαμα ἐκεῖνο βλέπων, τήν ἐν πυρί δροσιζομένην βάτον˙ ὥστε καί ἡ ἐν Θεῷ θεωρία τοῦ Σταυροῦ μυστήριόν ἐστι, τοῦ προτέρου ἐκείνου μυστηρίου μεῖζον. Διό γάρ εἶναι ταῦτα καί ὁ μέγας Παῦλος καί οἱ θεῖοι πατέρες ἡμῶν αἰνίττονται˙ ὁ μέν μή μόνον λέγων, ὅτι «ὁ κόσμος ἐμοί ἐσταύρωται». ἀλλά προστιθείς, (σελ. 290) ὅτι «κἀγώ τῷ κόσμῳ»˙ οἱ δέ παραγγέλλοντες ἡμῖν μή σπεύδειν ἀναβαίνειν ἐπί τόν σταυρόν πρό τοῦ Σταυροῦ, ὡς δύο πάντως ὄντων τῶν λόγων καί τῶν μυστηρίων τοῦ Σταυροῦ.

Κατά μέν οὖν τό πρῶτον τοῦ Σταυροῦ μυστήριον, ὅπερ ἐστίν ἡ φυγή τοῦ κόσμου καί ἡ τῶν κατά σάρκα συγγενῶν διάζευξις, εἴπερ πρός εὐσέβειαν καί τόν κατ᾽ αὐτήν ἐμποδίζουσι βίον, καί ἡ σωματική ἐργασία, ἥν καί πρός ὀλίγον ὠφέλιμον εἶναί φησιν ὁ Παῦλος, κατά ταῦτα γοῦν ὁ κόσμος ἡμῖν σταυροῦται καί ἡ ἁμαρτία, φυγόντων ἡμῶν ἐκ τούτων. Κατά δέ τό δεύτερον τοῦ Σταυροῦ μυστήριον, ἡμεῖς σταυρούμεθα τῷ κόσμῳ καί τοῖς πάθεσιν, αὐτῶν φευγόντων ἐξ ἡμῶν. Οὐκ ἔνι δέ τελείως ἐξ ἡμῶν αὐτά φυγεῖν, μή ἐν ἡμῖν ἐνεργεῖν λογιστικῶς, ἄν μή ἐν θεωρίᾳ τοῦ Θεοῦ γενώμεθα˙ ὅταν γάρ διά τῆς πρακτικῆς προσβῶμεν τῇ θεωρίᾳ καί τόν ἐντός ἡμῶν ἄνθρωπον καλλιεργῶμεν καί ἀνακαθαίρωμεν, ἀναζητοῦντες τόν ἡμῖν αὐτοῖς κεκρυμμένον θεῖον θησαυρόν καί ἀναθεωροῦντες τήν ἐντός ἡμῶν οὖσαν βασιλείαν τοῦ Θεοῦ, τότε ἡμεῖς σταυρούμεθα τῷ κόσμῳ καί

τοῖς πάθεσι. Θέρμη γάρ τις ἐγγίνεται τῇ καρδίᾳ διά τῆς μελέτης ταύτης, ὡς μυίας τούς πονηρούς ἀποσοβοῦσα λογισμούς καί πενυματικήν εἰρήνην καί παράκλησιν ἐμποιοῦσα τῇ ψυχῇ καί τόν ἁγιασμόν τῷ σώματι παρέχουσα, κατά τόν εἰπόντα, «ἐθερμάνθη ἡ καρδία μου ἐντός μου, καί ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ». Καί τοῦτό ἐστιν, ὅ καί τις τῶν θεοφόρων ἡμῶν πατέρων ἐδίδαξεν ἡμᾶς λέγων, «πᾶσαν σπουδήν ποίησον, ἵνα ἡ ἔνδον σου ἐργασία κατά Θεόν ᾖ, καί νικήσεις τά ἔξω πάθη». Πρός τοῦτο καί ὁ μέγας (σελ. 292) Παῦλος ἡμᾶς προτρεπόμενος, «πνεύματι περιπατεῖτε», φησί, «καί ἐπιθυμίαν σαρκός οὐ μή τελέσητε». Διό καί ἀλλαχοῦ παραγγέλλει γράφων˙ «στῆτε οὖν περιζωσάμενοι τήν ὀσφύν ἡμῶν ἐν ἀληθείᾳ», ὡς τοῦ θεωρητικοῦ τό ἐπιθυμητικόν ἐπιρρωννύντος καί περιέποντος καί τάς σαρκικάς ἐπιθυμίας ἀποσοβοῦντος. Ὁ γάρ μέγας Πέτρος ἡμῖν ὑποδείκνυσιν ἐμφανέστερον, τίς ἡ ὀσφύς αὕτη καί τίς ἡ ἀλήθεια. «Ἀναζωσάμενοι γάρ», φησί, «τάς ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες τελείως, ἐλπίσατε ἐπί τήν ἐπιφερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ».

Ἐπεί τοίνυν τά πονηρά πάθη καί τόν κόσμον τῆς ἁμαρτίας οὐκ ἔνι τελέως ἐξ ἡμῶν φυγεῖν, καί μή ἐν ἡμῖν ἐνεργεῖν λογιστικῶς, εἰ μή ἐν θεωρίᾳ τοῦ Θεοῦ γενοίμεθα, διά τοῦτο Σταυροῦ μυστήριόν ἐστι καί ἡ τοιαύτη θεωρία, σταυροῦσα τῷ κόσμῳ τούς ἑαυτῆς ἀξιωμένους. Οὕτως οὖν καί ἡ κατά Μωϋσῆν ἐκείνη τῆς καιομένης καί μή κατακαιομένης βάτου θεωρία Σταυροῦ μυστήριον ἦν, τοῦ κατά τόν Ἀβραάμ ἐκείνου μυστηρίου μεῖζον καί τελεώτερον, Ἆρ᾽ οὖν Μωϋσῆς μέν ἐμυήθη τό τοῦ Σταυροῦ τελεώτερον μυστήριον, Ἀβραάμ δέ οὔ; Καί πῶς ἄν ἔχοι τοῦτο λόγον; Ἀλλά τότε μέν ἐπ᾽ αὐτῇ τῇ κλήσει οὐ μεμύηται˙ ὕστερον δέ μετά τήν κλῆσιν καί ἅπαξ καί δίς καί πολλάκις, κἄν ἡμῖν ἀρτίως ὁ καιρός περί πάντων λέγειν οὐ δίδωσιν.

Ἐγώ δέ ὑμῖν τῆς θαυμασιωτέρας ὑπομνήσω τούτου θεοπτίας, ὅτε καί τόν ἕνα Θεόν σαφῶς τρισυπόστατον ἐθεάσατο, μήπω (σελ. 294) κηρυττόμενον οὕτως˙ «ὤφθη γάρ αὐτῷ ὁ Θεός πρός τῇ Δρυΐ τῇ Μαμβρῇ˙ καί ἀναβλέψας, εἶδε, καί ἰδού τρεῖς ἄνδρες, καί προσέδραμεν αὐτοῖς». Ἰδού τόν ὀφθέντα ἕνα Θεόν τρεῖς ἑώρα. Ὤφθη γάρ αὐτῇ, φησίν, ὁ Θεός˙ καί ἰδού τρεῖς ἄνδρες, καί τοῖς τρισί προσδραμών, αὖθις ὡς ἑνί ὡμίλει, λέγων, «Κύριε, εἰ εὗρον χάριν ἐνώπιόν σου, μή παρέλθεις τόν παῖδα σου». Καί αὐτοί δέ οἱ τρεῖς ὡς εἷς ὄντες πρός αὐτόν διαλέγονται. Εἶπε γάρ, φησί, πρός Ἀβραάμ˙ ποῦ Σάρρα ἡ γυνή

σου; Ἐπαναστρέφων ἥξω πρός σέ κατά τόν καιρόν τοῦτον εἰς ὥρας, καί ἕξει υἱόν Σάρρα ἡ γυνή σου». Ὡς δέ ἀκούσασα ἡ γραῦς ἐγέλασε Σάρρα, «εἶπε Κύριος, τί ὅτι ἐγέλασε Σάρρα ἡ γυνή σου»; Ἰδού ὁ εἷς Θεός τρεῖς ὑποστάσεις, καί αἱ τρεῖς αὗται εἷς Κύριος˙ εἶπε γάρ, φησί, Κύριος.

Ἐν μέν οὖν τῷ Ἀβραάμ οὕτω τό μυστήριον ἐνηργεῖτο τοῦ Σταυροῦ. Ὁ δέ Ἰσαάκ, αὐτός ἦν τοῦ ἐν αὐτῷ προσηλωθέντος τύπος, ὑπήκοος ὡς καί ὁ Χριστός μέχρι θανάτου τῷ Πατρί γενόμενος˙ καί ὁ ἀντιδοθείς αὐτῷ κριός αὐτόν τόν τοῦ Θεοῦ ἀμνόν τόν ὑπέρ ἡμῶν εἰς σφαγήν δοθέντα προεδήλου˙ καί τό φυτόν, ἐν ᾧ ὁ κριός ἐδέδετο, τό μυστήριον εἶχε τοῦ τύπου τοῦ σταυροῦ, διό καί φυτόν Σαβέκ, τουτέστι φυτόν ἀφέσεως ὠνομάζετο, ὡς καί σταυρός ξύλον σωτηρίου. Καί ἐν Ἰακώβ δέ τῷ τοῦ Ἰσαάκ υἱῷ τό μυστήριον καί ὁ τύπος ἐνήργει τοῦ Σταυροῦ˙ ξύλῳ γάρ καί ὕδατι τά ποίμνια ἑαυτῷ ἐπλήθυνε. Τό μέν οὖν ξύλον τό σταυρικόν προετύπου ξύλον, τό δέ ὕδωρ τό θεῖον βάπτισμα, ὅ ἐν ἑαυτῷ ἔχει τό τοῦ Σταυροῦ μυστήριον. Εἰς γάρ τόν θάνατον τοῦ Χριστοῦ ἐβαπτίσθημεν», φησίν ὁ ἀπόστολος. (σελ. 296) Καί ὁ Χριστός δέ ξύλῳ καί ὕδατι, τῷ Σταυρῷ καί τῷ βαπτίσματι, τά λογικά ποίμνια ἐπί τῆς γῆς ἑαυτῷ ἐπλήθυνεν.

Ὁ δέ Ἰακώβ καί ὅτε πρός τό ἄκρον τῆς ῥάβδου προσεκύνει καί ὅτε τούς ἐγγόνους εὐλόγει, ἀναλλάξ τάς χεῖρας θείς, τόν Σταυροῦ τύπον ἔτι σαφέστερον ὑπέφηνεν. Ἀλλά καί τοῖς πατράσιν ἐξ ἀρχῆς ἄχρι τέλους ὑπήκοος ὤν καί ἀγαπητός καί εὐλογητός διά τοῦτο, ἀλλά καί μισητός τῷ Ἠσαῦ διά ταῦτα, καί οὕτω πάντα πειρασμόν γενναίως ὑποφέρων, διά παντός τοῦ βίου τό μυστήριον εἶχε τοῦ σταυροῦ ἐνεργούμενον. Διό καί ὁ Θεός ἔλεγε, «τόν Ἰακώβ ἠγάπησα, τόν δέ Ἠσαῦ ἐμίσησα». Τοιοῦτόν τι γίνεται καί ἐφ᾿ ἡμῶν, ἀδελφοί. Ὁ μέν γάρ ὑποτασσόμενος τοῖς τε κατά σῶμα καί κατά πνεῦμα πατράσι κατά τήν ἀποστολικήν ἐντολήν τήν λέγουσαν «τά τέκνα ὑπακούετε τοῖς γονεῦσιν», ὁ τοιοῦτος ὡς ἀφωμοιωμένος κατά τοῦτο τῷ ἀγαπητῷ υἱῷ τοῦ Θεοῦ, καί παρά τοῦ Θεοῦ ἀγαπᾶται˙ ὁ δέ παρακούων, ὡς ἀλλότριος τῆς πρός τόν ἀγαπητόν ὁμοιώσεως, καί παρά τοῦ Θεοῦ μισεῖται. Καί τοῦτο δεικνύς ὁ σοφός Σολομών, ὡς οὐκ ἐπί τοῦ Ἰακώβ μόνον καί Ἠσαῦ, ἀλλά καί διά παντός καί ἐπί πάντων γίνεται, «Υἱός», φησίν, «ὑπήκοος ἔσται εἰς ζωήν˙ ὁ δέ παρήκοος εἰς ἀπώλειαν».

Ἀλλ᾿ ὁ τῆς ὑπακοῆς υἱός Ἰακώβ, ἆρ᾿ οὐχί καί τοῦ μείζονος ἔτυχε μυστηρίου τοῦ Σταυροῦ, τῆς θεοπτίας λέγω, καθ᾿ ἥν τελεώτερον

σταυροῦται καί ἀποθνήσκει ὁ ἄνθρωπος τῇ ἁμαρτίᾳ, καί ζῇ τῇ ἀρετῇ; Καί μήν αὐτός ἑαυτῷ μαρτυρεῖ καί τήν θεωρίαν καί τήν σωτηρίαν˙ «εἶδον γάρ», φησί, «τόν Θεόν πρόσωπον πρός πρόσωπον, (σελ. 298) καί ἐσώθη μου ἡ ψυχή». Ποῦ εἰσιν οἱ στοιχοῦντες ἔτι ταῖς τῶν ἐφ᾽ ἡμῶν ἀναφανέντων κακοδόξων βδελυραῖς λογολεσχίαις; Ἀκουέτωσαν, ὅτι ὁ Ἰακώβ τό πρόσωπον εἶδε τοῦ Θεοῦ˙ καί οὐ μόνον οὐκ ἀφήρηται τό ζῆν, ἀλλ᾽ ὡς αὐτός φησι, καί σέσωσαι καίτοι τοῦ Θεοῦ λέγοντος, οὐδείς ὄψεται τό πρόσωπόν μου καί ζήσεται. Ἆρ᾽ οὖν δύο θεοί, ὁ μέν εἷς ἔχων πρόσωπον τῇ ὁράσει τῶν ἁγίων ὑποπίπτον, ὁ δέ ἕτερος πρόσωπον ἔχων ὑπέρ πᾶσαν ὅρασιν; Ἄπαγε τῆς δυσσεβείας! Ἀλλά πρόσωπον μέν τοῦ Θεοῦ ὁρώμενόν ἐστιν ἡ κατά τήν ἐπί τούς ἀξίους ἐπιφάνειαν ἐνέργεια καί χάρις τοῦ Θεοῦ˙ τοῦ αὐτοῦ δέ πρόσωπον μηδέποτε ὁρώμενον ἡ ὑπέρ πᾶσαν ἔκφανσιν καί ὅρασιν ἔσθ᾽ ὅτε λέγεται φύσις τοῦ Θεοῦ˙ οὐδείς γάρ ἔστη, ἐν ὑποστήματι καί οὐσίᾳ Κυρίου κατά τό γεγραμμένον, καί Θεοῦ φύσιν ἤ εἶδεν, ἤ ἐξηγόρευσεν. Οὕτω καί ἡ ἐν τῷ Θεῷ θεωρία καί τό θεῖον τοῦ Σταυροῦ μυστήριον οὐ τά πονηρά πάθη μόνον καί τούς δημιουργούς τούτων δαίμονας ἀπελαύνει τῆς ψυχῆς, ἀλλά καί τάς κακοδόξους δόξας καί τούς ταύταις συνηγόρους ἐξελέγχει καί ἀπωθεῖται τῶν περιβόλων τῆς ἱερᾶς τοῦ Χριστοῦ Ἐκκλησίας, καθ᾽ ἥν ἡμῖν ἐχαρίσθη νῦν ἑορτάζειν καί διατρανοῦν τήν τοῦ Σταυροῦ πρό τοῦ Σταυροῦ θείαν ἐν τοῖς πατράσιν χάριν καί ἐνέργειαν.

Ὥσπερ οὖν ἐν μέν τῷ Ἀβραάμ τό μυστήριον ἐνήργει τοῦ Σταυροῦ, ὁ δέ αὐτοῦ υἱός Ἰσαάκ αὐτός ἦν τύπος τοῦ σταυρωθέντος ὕστερον, οὕτω πάλιν ἐν μέν τῷ βίῳ παντί τοῦ Ἰακώβ τό μυστήριον ἐνήργει τοῦ Σταυροῦ, Ἰωσήφ δέ ὁ υἱός τοῦ Ἰακώβ αὐτός ἦν τύπος καί μυστήριον τοῦ σταυρωθησομένου μετά ταῦτα θεανθρώπου (σελ. 300) Λόγου˙ φθόνῳ γάρ καί αὐτός ἤχθη πρός σφαγήν, καί ὑπό τῶν κατά σάρκα συγγενῶν, ὑπέρ ὧν καί πρός αὐτούς παρά τοῦ πατρός ἐπέμφθη, ὡς καί ὁ Χριστός ὕστερον. Εἰ δέ οὐκ ἐσφάγη, ἀλλά πέπραται ὁ Ἰωσήφ, θαυμαστόν οὐδέν˙ οὐδέ γάρ Ἰσαάκ ἐσφάγη˙ καί γάρ οὐκ αὐτοί ἦσαν ἡ ἀλήθεια, ἀλλά τύπος τῆς μελλούσης ἀληθείας. Εἰ δέ δεῖ κἀν τούτοις τό διπλοῦν συνιδεῖν μυστήριον τοῦ διπλοῦ τήν φύσιν Ἰησοῦ, τό μέν ἀχθῆναι πρός σφαγήν τό κατά σάρκα πάθος τοῦ θεανθρώπου προϋπέφηνε, τό δέ μηδέν παθεῖν, τῆς θεότητος τό ἀπαθές. Τοῦτ᾽ αὐτό ἄν εὕροις καί ἐπί Ἰακώβ καί Ἀβραάμ˙ εἰ γάρ καί ἐπειράσθησαν, ἀλλ᾽ ἐνίκησαν, ὅ σαφῶς καί ἐπί τοῦ Χριστοῦ γέγραπται. Τεσσάρων οὖν

όντων τῶν ἐπ᾽ ἀρετῇ καί εὐσεβείᾳ περιβεβοημένων πρό τοῦ νόμου, οἱ μέν δύο Ἀβραάμ καί Ἰακώβ ἐν τοῖς περί τόν βίον τό μυστήριον εἶχον τοῦ Σταυροῦ ἐνεργούμενον, οἱ δέ δύο Ἰσαάκ καί Ἰωσήφ, αὐτοί τό τοῦ Σταυροῦ μυστήριον θαυμασίως προανεφώνησαν.

Τί δέ πάλιν ὁ πρῶτος παρά τοῦ Θεοῦ τόν νόμον δεδεγμένος καί μεταδούς τοῖς ἄλλοις Μωϋσῆς, οὐ ξύλῳ μέν καί ὕδατι πρό τοῦ νόμου σέσωσται αὐτός, ἡνίκα ἐξετέθη τοῖς τοῦ Νείλου ρεύμασιν ἐν θίβῃ ἀφεθείς, ξύλῳ δέ καί ὕδατι τόν Ἰσραηλιτικόν ἔσωσε λαόν, τῷ μέν ξύλῳ τόν Σταυρόν προφαίνων, τῷ δέ ὕδατι τό θεῖον βάπτισμα, καθάπερ καί Παῦλος ὁ τῶν μυστηρίων ἐπόπτης φανερῶς φησιν, ὅτι «πάντες εἰς Μωσῆν ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ»; Ὅς καί πρό τῆς (σελ. 302) θαλάσσης καί τῆς ράβδου ταύτης μαρτυρεῖ αὐτῷ ὡς τόν Χριστοῦ Σταυρόν ἑκουσίως ὑπομείναντι˙ «κρείττω», γάρ, φησίν, «ἡγήσατο τῶν Αἰγύπτου θησαυρῶν τόν ὀνειδισμόν τοῦ Χριστοῦ». Ὀνειδισμός δέ τοῦ Χριστοῦ παρά τῶν ἀφρόνων ὁ Σταυρός, καθώς πάλιν αὐτός ὁ Παῦλος περί τοῦ Χριστοῦ φησιν, ὅτι ὑπέμεινε Σταυρόν, αἰσχύνης καταφρονήσας. Προϊών δέ ὁ Μωϋσῆς καί τόν τύπον αὐτόν καί τό σχῆμα τοῦ Σταυροῦ καί τήν δι᾽ αὐτοῦ τοῦ τύπου σωτηρίαν προανέδειξε σαφέστατα˙ τήν γάρ ράβδον ὀρθίαν στήσας, τάς χεῖρας αὐτοῦ ἐπ᾽ αὐτήν ἐξέτεινε, καί οὕτω σταυρικῶς ἐπί τῆς ράβδου σχηματίσας ἑαυτόν, τόν Ἀμαλήκ ἄρδην κατετροποῦτο τοιοῦτος ὁρώμενος. Ἀλλά καί τόν χαλκοῦν ὄφιν θείς ἐπί σημεῖον πλάγιον, καί οὕτω τόν Σταυροῦ τύπον ἀναστηλώσας παρρησίᾳ, τούς ὀφιοδήκτους τῶν Ἰουδαίων βλέπειν πρός αὐτόν ὡς ὄντα σωτήριον ἐπέταττε, καί οὕτω τά τῶν ὄφεων δήγματα ἰᾶτο.

Ἐπιλείψει δέ με ὁ χρόνος διηγούμενον, περί Ἰησοῦ καί τῶν μετ᾽ αὐτόν κριτῶν καί προφητῶν, Δαβίδ τε καί τῶν μετ᾽ αὐτόν, οἵ τῷ μυστηρίῳ τοῦ σταυροῦ ἐνεργούμενοι, ποταμούς ἀνέκοψαν, ἥλιον ἔστησαν, ἀσεβῶν πόλεις κατηδάφισαν, ἐγενήθησαν ἰσχυροί ἐν πολέμῳ, παρελβολάς ἔκλιναν ἀλλοτρίων, ἔφυγον στόματα μαχαίρας ἔσβεσαν δύναμιν πυρός, ἔφραξαν στόματα λεόντων, βασιλεῖς ἤλεγξαν, πεντηκοντάρχους ἐτέφρωσαν, νεκρούς ἤγειραν, οὐρανόν ἔστησαν λόγῳ καί πάλιν ἔλυσαν, ἀγόνους τε καί πάλιν γονίμους τάς ἐν (σελ. 304) αὐτῷ νεφέλας ἀπεργασάμενοι˙ εἰ γάρ καί τήν πίστιν ἐνηργηκέναι ταῦτά φησιν ὁ Παῦλος, ἀλλ᾽ ἡ πίστις δύναμίς ἐστιν εἰς σωτηρίαν˙ διό καί πάντα δυνατά τῷ πιστεύοντι. Τοιοῦτον δέ πάντως καί ὁ τοῦ Χριστοῦ Σταυρός τοῖς πιστεύουσιν˙ «ὁ γάρ λόγος ὁ τοῦ

Σταυροῦ, πάλιν κατά Παῦλον εἰπεῖν, τοῖς μέν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δέ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστιν».

Ἀλλ᾽ ἵνα καί τούς πρό νόμου καί τούς ὑπό νόμον ἀφῶμεν πάντας, αὐτός ὁ Κύριος δι᾽ ὅν τά πάντα καί δι᾽ οὗ τά πάντα, οὐ πρό τοῦ Σταυροῦ ἔλεγεν, ὅστις οὐκ αἴρει τόν σταυρόν αὐτοῦ καί ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος; Ὁρᾶτε ὅπως καί πρό τοῦ τόν Σταυρόν παγῆναι Σταυρός ἦν ὁ σώζων; Ἀλλά καί ἡνίκα τοῖς μαθηταῖς παρρησίᾳ προέλεγε τό ἑαυτοῦ πάθος καί τόν διά Σταυροῦ θάνατον ὁ κύριος, ὁ δέ Πέτρος ἀκούων οὐκ ἠνέσχετο, ἀλλ᾽ εἰδώς αὐτόν ἔχοντα τήν ἐξουσίαν ἐδεῖτο λέγων, «ἵλεώς σοι, Κύριε, οὐ μή ἔσται σοι τοῦτο», αὐτῷ μέν ἐπετίμησεν ὡς ἀνθρωπίνως, ἀλλ᾽ οὐ θείως φρονοῦντι κατά τοῦτο˙ προσκαλεσάμενος δέ τόν ὄχλον σύν τοῖς μαθηταῖς αὐτοῦ εἶπεν αὐτοῖς˙ «ὅστις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτόν καί ἀράτω τόν σταυρόν αὐτοῦ καί ἀκολουθήτω μοι˙ ὅς γάρ ἄν θελῇ τήν ψυχήν αὐτοῦ σῶσαι, ἀπολέσει αὐτήν, ὅς δ᾽ ἄν ἀπολέσῃ τήν ψυχήν αὐτοῦ ἕνεκεν ἐμοῦ καί τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν».

Προσκαλεῖται μέν οὖν καί τόν ὄχλον σύν τοῖς μαθηταῖς καί τότε διαμαρτύρεται καί παραγγέλλει ταῦτα τά μεγάλα καί ὑπερφυῆ καί ὄντως οὐκ ἀνθρώπων, ἀλλά Θεοῦ φρονήματα, ἵνα δείξῃ μή (σελ. 306) παρά τῶν ἐκκρίτων αὐτοῦ μόνον μαθητῶν τά τοιαῦτα ἀπαιτῶν, ἀλλά καί παρά παντός τοῦ εἰς αὐτόν πιστεύοντος. Τό δέ ἀκολουθεῖν Χριστῷ δηλοῖ τό ζῆν κατά τό εὐαγγέλιον αὐτοῦ, πᾶσαν ἀρετήν καί εὐσέβειαν ἐνδεικνυμένους˙ τό δέ τόν θέλοντα ἀκολουθεῖν ἀπαρνήσασθαι ἑαυτόν καί αἴρειν τόν σταυρόν αὐτοῦ, τό μηκέτι καιροῦ καλοῦντος ἑαυτοῦ φείδεσθαι, ἀλλ᾽ ἕτοιμον εἶναι πρός τόν ὑπέρ ἀρετῆς καί τῆς ἀληθείας τῶν θείων δογμάτων ἐν ἀτιμίᾳ θάνατον. Τοῦτο δέ εἰ καί μέγα ἐστί καί ὑπερφυές, τό ἀρνήσασθαί τινα ἑαυτόν καί εἰς ἐσχάτην ἀτιμίαν καί θάνατον προδοῦναι, ἀλλ᾽ οὐκ ἀπεικός˙ οἱ γάρ βασιλεῖς τῆς γῆς οὐκ ἄν ποτε ἀκολουθεῖν ὀπίσω αὐτῶν δέξαιντο, καί ταῦτα πρός πόλεμον ἰόντες, τούς μή ἑτοίμους ὄντας ἀποθανεῖν ὑπέρ αὐτῶν. Τί οὖν θαυμαστόν, εἰ καί ὁ βασιλεύς τῶν οὐρανῶν, τῇ γῇ δι᾽ ἐπαγγελίας ἐπιδημήσας, πρός ἀντιπαράταξιν τοῦ κοινοῦ τοῦ γένους πολεμίου τοιούτους ζητεῖ τούς ὀπίσω αὐτοῦ ἀκολουθοῦντας; Ἀλλ᾽ οἱ μέν βασιλεῖς τῆς γῆς οὐκ ἔχουσιν ἀναζωοῦν τούς τῷ πολέμῳ τεθνηκότας, οὐδ᾽ ἀνταποδοῦναί τι σχεδόν τοῖς προκινδυνεύσασιν αὐτῶν˙ τί γάρ ἄν ὁ μηκέτ᾽ ὤν λάβοι παρ᾽ αὐτῶν; Ἀλλά καί τούτοις, εἴπερ ὑπέρ εὐσεβῶν ὁ θάνατος, ἐν τῷ Κυρίῳ ἐλπίς ἐστιν˙ οὕτω δέ ὁ

Κύριος ζωήν ἀντιδίδωσιν αἰώνιον τοῖς ἐν τῷ ἀκολουθεῖν αὐτῷ προκινδυνεύσασι.

Καί οἱ μέν βασιλεῖς τῆς γῆς ὑπέρ αὐτῶν ἑτοίμους εἶναι ζητοῦσι πρός θάνατον τούς αὐτοῖς ἀκολουθοῦντας, ὁ δέ Κύριος αὐτός μέν ἑαυτόν εἰς θάνατον ἔδωκεν ὑπέρ ἡμῶν, ἡμᾶς δέ οὐχ ὑπέρ αὐτοῦ, ἀλλ᾽ ὑπέρ ἡμῶν αὐτῶν ἑτοίμους εἶναι παραγγέλλει πρός θάνατον˙ καί τοῦτο δεικνύς ὡς ὑπέρ ἡμῶν ἔστιν αὐτῶν ἐπάγει, (σελ. 308) «ὅς γάρ ἄν θέλῃ τήν ψυχήν αὐτοῦ σῶσαι ἀπολέσει αὐτήν, ὅς δ᾽ ἄν ἀπολλέσῃ αὐτήν ἕνεκεν ἐμοῦ καί τοῦ εὐαγγελίου, οὗτος σώσει αὐτήν». Τί ἐστι τοῦτο, ὅς ἄν θέλῃ σῶσαι, ἀπολέσει, καί ὅς ἄν ἀπολέσῃ, σώσει; Διπλοῦν ἐστιν ὁ ἄνθρωπος, ὁ ἐκτός, τό σῶμα λέγω, καί ὁ ἐντός ἡμῶν ἄνθρωπος, ἡ ψυχή δηλονότι. Ὅταν οὖν ὁ ἐκτός ἡμῶν ἄνθρωπος προδῷ ἑαυτόν εἰς θάνατον, ἀπόλλυσι τήν ἑαυτοῦ ψυχήν χωριζομένην αὐτοῦ˙ ὁ γοῦν ὑπέρ τοῦ Χριστοῦ καί τοῦ εὐαγγελίου οὕτως ἀπολέσας αὐτήν, ὄντως σώσει καί κερδίσει ταύτην, ζωήν οὐράνιον καί αἰώνιον ταύτῃ προξενήσας, καί ἐν τῇ ἀναστάσει τοιαύτην κομισάμενος, καί δι᾽ αὐτῆς καί αὐτός τοιοῦτος, καί κατά σῶμα λέγω, γεγονώς οὐράνιος καί αἰώνιος. Ὁ δέ φιλοψυχήσας καί μή οὕτω ταύτην ἑτοίμως ἔχων ἀπολέσαι, διά τό ἀγαπᾶν τόν πρόσκαιρον αἰῶνα τοῦτον, καί ὅσα τοῦ αἰῶνος τούτου, ζημιώσει τήν ψυχήν αὐτοῦ τῆς ὄντως ζωῆς ἀποστερήσας καί ζημιωθήσεται αὐτός αὐτήν, σύν ἑαυτῷ ταύτην, φεῦ, τῇ αἰωνίῳ κολάσει παραδούς˙ ὅν καί ὁ πανοικτίρμων Δεσπότης οἷον ἀπολοφυρόμενος καί τοῦ δεινοῦ τό μέγεθος ἐπιδεικνύς, «τί γάρ», φησίν, «ὠφελήσει ἄνθρωπον, ἐάν τόν κόσμον ὅλον κερδήσῃ, καί τήν ψυχήν αὐτοῦ ζημιωθῇ; Ἤ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ»; Οὐδέ γάρ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ, οὐδ᾽ ἄλλο τι τῶν ἐν τῷ αἰῶνι τούτῳ δοκούντων τιμίων καί τερπνῶν, ἅ τοῦ σωτηρίου προέκρινε θανάτου. Τί δ᾽ ἄν ἐν τούτοις εὑρεθείη καί τῆς λογικῆς ψυχῆς ἀντάλλαγμα, ἧς ὁ κόσμος ἅπας οὗτος οὐκ ἔστιν ἀντάξιος;

Εἰ οὖν καί τόν κόσμον ὅλον εἷς ἄνθρωπος ἐδύνατο κερδῆσαι, ἀδελφοί, οὐδέν ἄν ὄφελος αὐτῷ τήν οἰκείαν ψυχήν ζημιουμένῳ˙ (σελ. 310) πόσον ἐστί τό δεινόν, πολλυστημόριον ἐλάχιστον ἕκαστος ἀπό τοῦ κόσμου τούτου κτήσασθαι δυνάμενος, εἰ τῇ πρός τό ἐλάχιστον τοῦτο προσπαθείᾳ τήν οἰκείαν ζημιωθήσεται ψυχήν, μή προαιρούμενος αἴρειν τοῦ Σταυροῦ καί τόν τύπον καί τόν λόγον καί

ἀκολουθεῖν τῷ δοτῆρι τῆς ζωῆς; Σταυρός γάρ ἐστιν αὐτός τε ὁ προσκυνητός τύπος καί ὁ τοῦ τύπου τούτου λόγος.

Ἀλλ᾽ ἐπεί προηγήσατο ὁ λόγος καί τό μυστήριον αὐτοῦ τοῦ τύπου, καί ἡμεῖς τοῦτο πρότερον ἐξηγησόμεθα πρός τήν ὑμετέραν ἀγάπην. Μᾶλλον δέ πρό ἡμῶν καί τοῦτο Παῦλος ἐξηγήσατο˙ Παῦλος ὁ καυχώμενος ἐν τῷ σταυρῷ, ὁ μηδέν εἰδέναι κρίνων, εἰμή Κύριον Ἰησοῦν, καί τοῦτον ἐσταυρωμένον. Τί οὖν φησιν ἐκεῖνος; Σταυρός ἐστι τό σταυρῶσαι τήν σάρκα σύν τοῖς παθήμασι καί ταῖς ἐπιθυμίαις. Οἴεσθε περί τῆς τρυφῆς καί τῶν ὑπογαστρίων τοῦτο μόνον εἰπεῖν παθῶν; Πῶς οὖν γράφει τοῖς Κορινθίοις, ὅτι «ἐπεί ἔριδες ἐν ὑμῖν εἰσιν, ἔτι σαρκικοί ἐστε καί κατά ἄνθρωπον περιπατεῖτε»; Ὥστε καί ὁ δόξης ἤ χρημάτων ἐρῶν, ἤ τό οἰκεῖον ἁπλῶς θέλημα στῆσαι θέλων καί οὕτω νικᾶν φιλονεικῶν, σαρκικός ἐστι καί κατά σάρκα περιπατεῖ. Διά γάρ ταῦτα καί ἔριδες, ὡς καί Ἰάκωβος ὁ Ἀδελφόθεός φησι˙ «Πόθεν πόλεμοι καί μάχαι ἐν ὑμῖν, οὐκ ἐντεῦθεν, ἐκ τῶν ἡδονῶν ὑμῶν τῶν στρατευομένων ἐν τοῖς μέλεσιν ὑμῶν; Ζηλοῦτε καί οὐ δύνασθε ἐπιτυχεῖν, μάχεσθε καί πολεμεῖτε». Τοῦτο οὖν ἐστι τό σταυρῶσαι τήν σάρκα σύν τοῖς παθήμασι καί ταῖς ἐπιθυμίαις, τό ἀνενέργητον γενέσθαι τόν ἄνθρωπον πρός πᾶν τό ἀπαρέσκον Θεῷ. Εἰ δέ καί τό σῶμα κατασπᾷ καί βιάζεται, ἀλλ᾽ αὐτόν (σελ. 312) ἕκαστον ἀνέχειν ἐναγωνίως τοῦτο πρός τό ὕψος τοῦ Σταυροῦ. Οἷον τί λέγω; Ἐπί γῆς γενομένης ὁ Κύριος ἀκτήμονα βίον ἔζησε, καί οὐκ ἔζησε μόνον, ἀλλά καί ἐκήρυξε λέγων «εἴ τις οὐκ ἀποτάσσεται πᾶσι τοῖς αὐτῷ ὑπάρχουσι οὐ δύναταί μου εἶναι μαθητής».

Ἀλλά μηδείς δυσανασχετείτω, ἀδελφοί, παρακαλῶ, ἀκούων ἡμῶν ἀπαγγελλόντων ἀνοθεύτως τό ἀγαθόν τοῦ Θεοῦ θέλημα καί εὐάρεστον καί τέλειον, μηδέ δυσχεραινέτω τά παραγγέλματα δυσέφικτα οἰόμενος, ἀλά πρῶτον μέν ἐκεῖνο ἐνοείτω, ὅτι βιαστή ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν καί βιασταί ἁρπάζουσιν αὐτήν καί ἀκουέτω Πέτρου τοῦ κορυφαίου τῶν Ἀποστόλων τοῦ Χριστοῦ, ὅτι, «Χριστός ἔπαθεν ὑπέρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐξακολουθήσωμεν τοῖς ἴχνεσιν αὐτοῦ». Ἔπειτα καί τοῦτο δικαίως προσλογιζέσθω, ὅτι μαθών ἕκαστος ἀληθῶς ὅσον ὀφείλει τῷ Δεσπότῃ, ὅταν οὐκ ἔχῃ τό πᾶν ἀποδοῦναι, τό μέν σύν μετριοφροσύνῃ προσάγει, ὅσον δή που δύναται καί προαιρεῖται, πρός δέ τό λεῖπον πάλιν ταπεινοῦται ἐνώπιον αὐτοῦ, καί διά τῆς τοιαύτης ταπεινώσεως ἕλκων τήν συμπάθειαν ἀναπληροῖ τήν ἔλλειψιν. Εἴ τις οὖν ὁρᾷ τόν

λογισμόν αὐτοῦ πλούτου καί πολυκτημοσύνης ὀρεγόμενον, γνώτω ὅτι ὁ λογισμός οὗτος σαρκικός χωρίσῃ τοῦ σταυρωθέντος ἐν αὐτῷ Χριστοῦ.

(σελ. 314) Πῶς οὖν ἄρξεται τοῦτον ἀναβιβάζειν ἐπί τό ὕψος τοῦ Σταυροῦ; Ἐλπίσας εἰς Χριστόν, τόν χορηγόν καί τροφέα τοῦ παντός, παντός μέν τοῦ ἐξ ἀδικίας ἀποσχέσθω πόρου, ᾧ δέ ἀπό δικαιοσύνης ἔχει πορισμῷ, μηδέ τούτῳ λίαν προσκείμενος, καλῶς αὐτῷ χρήσθω, κοινωνούς ἐφ᾽ ὅσον ἐστί τούς ἐνδεεῖς προσλαμβανόμενος. Ὥσπερ γάρ ἀρνεῖσθαι τό σῶμα καί αἴρειν τόν σταυρόν αὐτοῦ τῆς ἐντολῆς κελευούσης, ἔχουσιν ὅμως τοῦτο οἱ τοῦ Θεοῦ καί κατά Θεόν ζῶντες, μή λίαν δέ αὐτῷ προσκείμενοι, χρῶνται μέν αὐτῷ πρός τό δέον συνεργῷ, ἄν δ᾽ ὁ καιρός καλῇ, καί τοῦτο προδιδόναι ἕτοιμοι˙ οὕτω καί ἐπί τῶν σωματικῶν κτημάτων καί χρειῶν ποιῶν τις, ὅταν μή δύνηταί τι μεῖζον, εὖ ἄν καί θεαρέστως ἔχοι. Πάλιν, βλέπει τις ἐν ἑαυτῷ βιαιότερον κινούμενον τόν τῆς πορνείας λογισμόν; Γνώτω ὅτι οὔπω ἐσταύρωσεν ἑαυτόν, Πῶς οὖν σταυρώσει; Φευγέτω τάς περιέργους θέας τῶν γυναικῶν καί τάς μή ἀνηκούσας πρός αὐτάς συνηθείας τε καί ἀκαίρους διαλέξεις, μειούτω τάς τρεφούσας τό πάθος ὕλας, ἀπεχέσθω πολυποσίας, οἰνοφλυγίας, ἀδηφαγίας, πολυϋπνίας˙ μιγνύτω τῇ ἀποχῇ ταύτῃ τῶν κακῶν τήν ταπεινοφροσύνην, ἐν συντριβῇ καρδίας τόν Θεόν κατά τοῦ πάθους ἐπικαλούμενος˙ καί τότε καί αὐτός ἐρεῖ, «εἶδον τόν ἀσεβῆ ὑπερυψούμενον καί ἐπαιρόμενον ὡς τάς κέδρους τοῦ Λιβάνου, καί παρῆλθον δι᾽ ἐγκρατείας, καί ἰδού οὐκ ἦν, καί ἐζήτησα διά τῆς ἐν ταπεινώσει προσευχῆς, καί οὐχ εὑρέθη ἐν ἐμοί ὁ τόπος αὐτοῦ».

Πάλιν, ἐνοχλεῖ ὁ τῆς φιλοδοξίας λογισμός; Σύ ἐν συγκλήσει (σελ. 316) καί συγκαθεδρίᾳ μνημόνευε τῆς τοῦ Κυρίου ἐν εὐαγγελίοις περί τούτου συμβουλῆς˙ ἐν ὁμιλίαις μή ζήτει τῶν ἄλλων ὑπερέχων φαίνεσθαι, τάς ἀρετάς ἐφ᾽ ὅσον ἔχεις ἐν κρυπτῷ ποίει, πρός Θεόν μόνον ὁρῶν, καί παρ᾽ αὐτοῦ μόνου ὁρώμενος, καί ὁ Πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι ἐν τῷ φανερῷ. Εἰ δέ καί μετά τό κόψαι σε τά αἴτια ἑκάστου τῶν παθῶν πάλιν ἐνοχλεῖ ἔνδοθεν ὁ λογισμός, μή φοβηθῇς˙ στεφάνων γάρ γίνεταί σοι πρόξενος, ἐπεί ἐνοχλῶν οὐ πείθει, οὐδέ ἐνεργεῖ, ἀλλά κίνημά ἐστι νεναρκωμένον, ὡς νικώμενον ὑπό τοῦ σοῦ κατά Θεόν ἀγῶνος.

Τοιοῦτός ἐστιν ὁ τοῦ Σταυροῦ λόγος˙ τοιοῦτος δέ ὤν, οὐ μόνον ἐν τοῖς προφήταις πρό τοῦ τελεσθῆναι, ἀλλά καί νῦν μετά τό

τελεσθῆναι, μυστήριόν ἐστι μέγα καί ὄντως θεῖον. Πῶς; ὅτι κατά μέν τό φαινόμενον δοκεῖ προξενεῖν ἀτιμίαν ἑαυτῷ ὁ εὐτελίζων ἑαυτόν καί ταπεινῶν ἐν πᾶσι, καί πόνον καί ὀδύνην ὁ τάς σωματικάς φεύγων ἡδονάς, καί ὁ διδούς τά ὄντα πτωχείας ἑαυτῷ αἴτιος καθίστασθαι˙ διά δέ τῆς τοῦ Θεοῦ δυνάμεως ἡ πτωχεία αὕτη καί ἡ ὀδύνη καί ἡ ἀτιμία δόξαν αἰώνιον καί ἡδονήν ἀνέκφραστον καί πλοῦτον ἀδαπάνητον γεννᾷ, καί κατά τόν παρόντα καί κατά τό μέλλοντα ἐκεῖνον κόσμον. Καί τούς μή τούτῳ πιστεύοντας καί τήν πίστιν δι᾽ἔργων ἐπιδεικνυμένους τοῖς ἀπολλυμένοις συντάττει, καί αὐτοῖς τοῖς Ἕλλησιν, ὁ Παῦλος˙ «κηρύσσομέν», γάρ φησι, «Χριστόν ἐσταυρωμένον, Ἰουδαίοις μέν σκάνδαλον, διά τήν πρός τό σωτήριον πάθος ἀπιστίαν, «Ἕλλησι δέ μωρίαν», ὡς μηδέν τῶν προσκαίρων προτιμῶσι, (σελ. 318) διά τήν πρός τάς θείας ἐπαγγελίας πάντως ἀπιστίαν˙ «ἡμῖν δέ τοῖς κλητοῖς Χριστόν Θεοῦ δύναμιν καί Θεοῦ σοφίαν».

Τοῦτο οὖν ἡ τοῦ Θεοῦ σοφία καί δύναμις, τό δι᾽ ἀσθενείας νικῆσαι, τό διά ταπεινώσεως ὑψωθῆναι, τό διά πτωχείας πλουτῆσαι. Οὐ μόνον δέ ὁ λόγος τοῦ Σταυροῦ καί τό μυστήριον, ἀλλά καί ὁ τύπος θεῖος καί προσκυνητός, σφραγίς ὢν ἱερά καί σωστική καί αἰδέσιμος, ἁγιαστική τε καί τελεστική τῶν ἐκ Θεοῦ τῷ γένει τῶν ἀνθρώπων ὑπηργμένων ὑπερφυῶν καί ἀπορρήτων ἀγαθῶν, ἀρᾶς καί καταδίκης ἀναιρετική, φθορᾶς καί θανάτου καθαιρετική, ζωῆς ἀϊδίου καί εὐλογίας παρεκτική, ξύλον σωτήριον, σκῆπτρον βασίλειον, θεῖον κατ᾽ ἐχθρῶν ὁρατῶν καί ἀοράτων τρόπαιον, κἄν αἱρετικῶν παῖδες ἀπαραίσκωνται φρενοβλαβῶς˙ οὐ γάρ ἐπέτυχον τῆς ἀποστολικῆς εὐχῆς, ἵνα ἐξισχύσωσι καταλαβέσθαι σύν πᾶσι τοῖς ἁγίοις, τί τό πλάτος καί μῆκος καί ὕψος καί βάθος˙ ὅτι ὁ τοῦ Κυρίου Σταυρός ἐστι πᾶσαν ἐμφαίνων τῆς ἐν σαρκί τούτου παρουσίας τήν οἰκονομίαν καί τό κατ᾽ αὐτήν ἅπαν ἐμπεριέχων μυστήριον καί πρός πάντα τείνων τά πέρατα καί πάντα περιλαβάνων τά ἄνω τά κάτω τά πέριξ τά μεταξύ. Προβαλλόμενοι δέ τινα πρόφασιν, δι᾽ ἥν καί αὐτούς ἔδει μεθ᾽ ἡμῶν, εἴπερ νοῦν εἶχον, προσκυνεῖν αὐτόν, ἀποτροπιάζονται τοῦ βασιλέως τῆς δόξης τό σύμβολον, ὅ καί αὐτός φανερῶς ὁ Κύριος ὕψος μέν καί δόξαν ἑαυτοῦ καλεῖ, μέλλων ἀναβαίνειν ἐπ᾽ αὐτό˙ κατά δέ τήν μέλλουσαν αὐτοῦ παρουσίαν καί ἐπιφάνειαν ἐλεύσεσθαι προκαταγγέλλει τό σημεῖον τοῦτο τοῦ Υἱοῦ τοῦ ἀνθρώπου μετά δυνάμεως καί δόξης πολλῆς.

(σελ. 320) Ἀλλ᾽ ἐν αὐτῷ φησιν ὁ Χριστός προσηλωθείς ἀπέθανε, καί διά τοῦτο οὐδ᾽ ὁρᾶν ἀνεχόμεθα τό σχῆμα καί τό ξύλον ἐν ᾧ τεθανάτωται. Τό δέ καθ᾽ ἡμῶν χειρόγραφον, ὅ γέγονεν ἡμῖν διά τῆς ἐπί τό ξύλον παρακοῆς, ἐκτεταμένης τῆς τοῦ προπάτορος χειρός, ἐν τίνι προσηλώθη, καί διά τίνος ἐκ μέσου γέγονε καί ἠφανίσθη, καί οὕτω πρός τήν ἀπό τοῦ Θεοῦ εὐλογίαν ἐπανήλθομεν; ἐν τίνι δέ τάς ἀρχάς καί τάς ἐξουσίας τῶν πνευμάτων τῆς πονηρίας, αἵ κατά τῆς ἡμετέρας φύσεως ἐκ τοῦ ξύλου τῆς παρακοῆς χώραν ἔλαβον, ὁ Χριστός ἀπεξεδύσατο καί τελείως ἀπώσατο, καί θριαμβεύσας κατῄσχυνε, καί οὕτως ἡμεῖς τήν ἐλευθερίαν ἀντελάβομεν; ἐν τίνι τό μεσότοιχον τοῦ φραγμοῦ λέλυται, καί ἡ πρός τόν Θεόν ἡμῶν ἔχθρα κατήργηται καί τεθανάτωται; καί διά τίνος ἀπεκατηλλάγημεν πρός τόν Θεόν καί τήν πρός αὐτόν εἰρήνην εὐηγγελίσθημεν, οὐκ ἐν τῷ Σταυρῷ καί διά τοῦ Σταυροῦ; Ἀκουέτωσαν τοῦ ἀποστόλου, τοῖς μέν Ἐφεσίοις γράφοντος, «ὁ Χριστός ἐστιν ἡ εἰρήνη ὑμῶν, ὁ τό μεσότοιχον τοῦ φραγμοῦ λύσας, ἵνα τούς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινόν ἄνθρωπον, ποιῶν εἰρήνην, καί ἀποκαταλλάξῃ τούς ἀμφοτέρους ἐν ἑνί σώματι τῷ Θεῷ διά τοῦ Σταυροῦ, ἀποκτείνας τήν ἔχθραν ἐν αὐτῷ»· Κολασσαεῦσι δέ, «νεκρούς ὄντας τοῖς παραπτώμασι καί τῇ ἀκροβυστίᾳ τῆς σαρκός ὑμῶν συνεζωοποίησεν ὑμᾶς ἐν αὐτῷ, χαρισάμενος ἡμῖν πάντα τά παραπτώματα, ἐξαλείψας τό καθ᾽ ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὅ ἦν ὑπεναντίον ἡμῖν, καί αὐτό ἦρεν ἐκ τοῦ μέσου προσηλώσας αὐτό τῷ Σταυρῷ, καί ἀπεκδυσάμενος τάς ἀρχάς καί τάς ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ θριαμβεύσας αὐτάς ἐν αὐτῷ».

(σελ. 322) Οὐ τιμήσωμεν οὖν ἡμεῖς, οὐδέ χρησώμεθα τῷ θείῳ τούτῳ τροπαίῳ τῆς κοινῆς τοῦ γένους ἐλευθερίας, ὅ καί μόνον φαινόμενον, τόν μέν ἀρχέκακον ὄφιν φυγαδεύει καί θριαμβεύει καί καταισχύνει, τήν ἧτταν καί τήν θραῦσιν ἀνακηρύττον αὐτοῦ, δοξάζει δέ καί μεγαλύνει Χριστόν, τήν αὐτοῦ νίκην ἀναφαῖνον τῷ κόσμῳ; Καί μήν εἴπερ ὁ Σταυρός παροπτέος, ὡς ἐν αὐτῷ τοῦ Χριστοῦ τόν θάνατον ὑπομείναντος, οὐδ᾽ ὁ θάνατος ἔσται σεπτός καί σωτήριος. Πῶς οὖν κατά τόν ἀπόστολον εἰς τόν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; Πῶς δέ καί τῆς ἀναστάσεως αὐτοῦ ἐσόμεθα, εἴπερ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ; Ἄλλωστε εἰ μέν τις ἦν ὁ προσκυνῶν σταυροῦ σχῆμα, μή ἐπιγεγραμμένον ἔχον τό δεσποτικόν ὄνομα, δικαίως ἄν ἐνεκαλεῖτο παρά τό δέον ποιῶν· ἐπεί δέ «ἐπί τῷ ὀνόματι

Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει, ἐπουρανίων καί ἐπιγείων καί καταχθονίων», τοῦτο δέ τό προσκυνητόν ὄνομα ὁ Σταυρός ἐπιφέρει, πόσης παραφροσύνης μή κάμπτειν γόνυ τῷ Σταυρῷ τοῦ Χριστοῦ;

Ἀλλ᾽ ἡμεῖς καί τάς καρδίας σύν τοῖς γόνασι κλίναντες, δεῦτε προσκυνήσωμεν μετά τοῦ ψαλμῳδοῦ καί προφήτου Δαβίδ εἰς τόν τόπον οὗ ἔστησαν οἱ πόδες αὐτοῦ καί οὗ συνεκτικαί τοῦ παντός ἐξηπλώθησαν χεῖρες καί οὗ τό ζωαρχικόν δι᾽ ἡμᾶς ἐξετάθη σῶμα, καί, προσκυνοῦντες ἐν πίστει καί ἀσπαζόμενοι, δαψιλῆ τόν ἐκεῖθεν ἁγιασμόν καί ἀρυώμεθα καί φυλάττωμεν˙ ὡς ἄν καί κατά τήν ὑπερδεδοξασμένην μέλλουσαν τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν, αὐτόν προηγούμενον ἰδόντες ἐν δόξῃ (σελ. 324) ἀγαλλιασώμεθα καί σκιρτήσωμεν ἄληκτα, τῆς ἐκ δεξιῶν στάσεως καί τῆς ἐπηγγελμένης μακαρίας φωνῆς καί εὐλογίας ἐπιτυχόντες, εἰς δόξαν τοῦ κατά σάρκα δι᾽ ἡμᾶς σταυρωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Ὅτι αὐτῷ πρέπει δόξα, σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ ΙΒ’ (σελ.328)*

## *ΕΝ ΤΗι ΤΕΤΑΡΤΗι ΤΗΣ ΑΓΙΑΣ ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ ΚΥΡΙΑΚΗι*

### *Ὑπόθεσιν ἔχουσα τό κατ᾽ αὐτήν ἀναγινωσκόμενον*

### *Εὐαγγέλιον ἐν ᾗ καί περί τῆς ἐπιμελείας τῶν ἔνδον λογισμῶν.*

Πολλάκις πρός τήν ὑμετέραν ἀγάπην, καί μάλιστα κατά τάς ἱεράς ταύτας ἡμέρας, περί νηστείας καί προσευχῆς εἰπών, οἵοις δεξιοῦνται δώροις τούς ἐραστάς καί πόσων ἀγαθῶν γίνονται πρόξενοι τοῖς χρωμένοις, ὅ διά τῆς σήμερον ἀναγινωσκομένης ἐν τῷ εὐαγγελίῳ τοῦ Κυρίου φωνῆς μάλιστα προσμαρτυρεῖται ταύταις, οὔπω ταῖς φιλοθέοις ὑμῶν ἀκοαῖς τε καί ψυχαῖς ἐναπέθηκα. Τί δέ ἐστι τοῦτο; Μέγα καί τό πάντων ὡς εἰπεῖν μέγιστον˙ πρός γάρ τοῖς ἄλλοις καί ἐξουσίαν δύναται παρέχειν κατά πνευμάτων πονηρῶν, ὥστε αὐτά

ἐκβάλλειν καί ἀπελαύνειν, καί τούς δαιμονῶντας (σελ. 330) τῆς αὐτῶν ἐπηρείας ἐλευθεροῦν. Τῶν γάρ μαθητῶν πρός τόν Κύριον εἰπόντων περί τοῦ ἀλάλου καί κωφοῦ δαιμονίου, ὅτι ἡμεῖς οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό, πρός αὐτούς ὁ Κύριος ἔφη˙ «τοῦτο τό γένος οὐκ ἐκπορεύεται, εἰμή ἐν προσευχῇ καί νηστείᾳ».

Καί τάχα διά τοῦτο, μετά τήν ἐπ᾽ ὄρους προσευχήν καί τήν κατ᾽ αὐτήν ἐμφάνειαν τῆς θεϊκῆς αὐγῆς, καταβάς εὐθύς ἐπί τόν τόπον ἔρχεται ἔνθα ὁ τῷ δαίμονι ἐκείνῳ κάτοχος ἦν. Τούς γάρ ἐκκρίτους τῶν μαθητῶν, φησί, παραλαβών ἀνέβη εἰς τό ὄρος προσεύξασθαι καί ἔλαμψεν ὡς ὁ ἥλιος, καί ἰδού ὤφθησαν αὐτῷ συλλαλοῦντες καί Μωϋσῆς καί Ἠλίας, οἱ μάλιστα σχεδόν πάντων ἀνθρώπων τήν προσευχήν καί τήν νηστείαν ἀσκήσαντες, δεικνύντες καί διά τῆς ἐν τῇ προσευχῇ παρουσίας αὐτῶν τό τῆς προσευχῆς καί τῆς νηστείας συνῳδόν καί φιλάλληλον, ὡς καί συλλαλεῖν οἷον τῇ προσευχῇ τήν νηστείαν ὁμιλούσῃ πρός Κύριον. Εἰ γάρ φωνή αἵματος παθόντος Ἄβελ βοᾷ πρός Κύριον, καθάπερ αὐτός πρός τόν Κάϊν φησίν, ὡς διά Μωυσέως ἐμάθομεν, πάντως καί τά τοῦ σώματος μέρη καί μέλη πάντα τῇ νηστείᾳ κακοπαθοῦντα βοήσει πρός Κύριον καί τῇ προσευχῇ συλλαλήσαντα τοῦ νηστεύοντος καί οἷον συμπροσευξάμενοι δικαίως, εὐπροσδεκτοτέραν ταύτην ἐργάσεται καί δικαιώσει τόν ἑκουσίως ὑφιστάμενον τῆς νηστείας τόν πόνον. Μετά δή τό προσεύξασθαι καί λάμψαι θείως, καταβάς ἐκ τοῦ ὄρους ὁ Κύριος, ἔρχεται πρός τόν ὄχλον καί τούς μαθητάς, οἷς προσηνέχθη ὁ τό (σελ. 332) δαιμόνιον ἔχων ἐκεῖνος, ἵν᾽ ὥσπερ ἔδειξεν ἐπ᾽ ὄρους ἐκεῖνο νηστείας καί προσευχῆς ὑπάρχον βραβεῖον, οὐ μέγα μόνον, ἀλλά καί ὑπέρ τό μέγα (καί γάρ ἔδειξεν ἆθλον οὖσαν τούτων τήν θείαν λαμπρότητα), οὕτω καταβάς ἐπιδείξει τούτων ἔπαθλον οὖσαν καί τήν κατά δαιμόνων ἰσχύν.

Ἀλλ᾽ ἐπεί κατά τήν παροῦσαν τῶν ἱερῶν νηστειῶν κυριώνυμον ἡμέραν ἐπ᾽ ἐκκλησίας ἔθος τά περί τοῦ θαύματος ἀναγινώσκεσθαι τούτου, φέρε τήν αὐτό καταγγέλλουσαν εὐαγγελικήν ῥῆσιν ἄνωθεν ἐπέλθωμεν ἅπασαν. Ἐλθόντι γοῦν φησι τῷ Ἰησοῦ πρός τούς μαθητάς καί τούς αὐτοῖς συμπαρόντας καί ἐρωτήσαντι, τίς ὁ πρός ἀλλήλους λόγος, ἀποκριθείς εἷς ἐκ τοῦ ὄχλου εἶπε˙ «διδάσκαλε, ἤνεγκα τόν υἱόν μου πρός σέ ἔχοντα πνεῦμα ἄλαλον, καί ὅπου ἄν αὐτόν καταλάβῃ, ῥήσσει αὐτόν καί ἀφρίζει καί τρίζει τούς ὀδόντας αὐτοῦ καί ξηραίνεται».

Πῶς οὖν ἤφριζεν οὗτος καί ἔτριζε τούς ὀδόντας καί ἐξηραίνετο; Τοῦ δαιμονῶντος πρῶτον τε καί μᾶλλον τῶν ἄλλων μορίων τοῦ σώματος ὁ ἐγκέφαλος πάσχει˙ τῷ γάρ ἐν τούτῳ ψυχικῷ πνεύματι ὡς ὀχήματι χρῆται ὁ δαίμων καί ἀπό τούτου, καθάπερ ἐξ ἀκροπόλεώς τινος, καταδυναστεύει παντός τοῦ σώματος. Τοῦ δέ ἐγκεφάλου πάσχοντος, σύρροιά τις ἐκεῖθεν ἀφίεται φυσώδης ὁμοῦ καί φλεγματώδης ἐπί τά νεῦρα καί τούς μῦας τοῦ σώματος, τοῦ ψυχικοῦ πνεύματος τάς διεξόδους ἐμφράττουσα˙ καί κλόνος ἐντεῦθεν καί ῥῆξις καί κίνησις ἀπροαίρετος πᾶσι τοῖς προαιρετικοῖς μορίοις ἐγγίνεται, μάλιστα δέ ταῖς γνάθοις, ὡς μάλιστα πλησιαζούσαις τῷ πρωτοπαθήσαντι μορίῳ. Πολλοῦ δέ τοῦ ὑγροῦ μᾶλλον ἐπί τό στόμα καταφερομένου, διά τε τό χώρημα τῶν πόρων καί τήν πρός τόν ἐγκέφαλον (σελ. 334) ἐγγύτητα, τῆς τε ἀναπνοῆς ἀθρόας διεκπνεῖσθαι μή δυναμένης διά τήν τῶν ὀργάνων ἄτακτον συγκίνησιν, ἀλλά καί τῷ πλήθει τοῦ ὑγροῦ συναναφυρομένης, ὁ ἀφρός ἐπιγίνεται τοῖς πάσχουσιν. Οὕτως ἤφριζέ τε καί ἔτριζε τούς ὀδόντας, δεινῶς προσαρασσομένους καί μανικῶς ἐπιθηγομένους ὁ δαίμων ἐκεῖνος. Ἐξηραίνετο δέ μετά ταῦτα ὑπό τῆς σφοδροτέρας ἐπηρείας τοῦ δαιμονίου. Καθάπερ γάρ ὑπό τῆς θέρμης τῆς ἡλιακῆς ἀκτῖνος οἱ ἀτμοί κινούμενοι, ἄν αὕτη σφοδροτέρα ᾖ, ὑπ᾽ αὐτῆς πάλιν καί ἀφανίζονται τελείως διαφορηθέντες, οὕτω καί ὑπό τῆς τοῦ δαίμονος ἐπηρείας, ἡ τῶν σπλάγχνων ὑγρότης ἐκδιδομένη, ἄν ἐκείνη σφοδροτέρα ᾖ, μετ᾽ οὐ πολύ δαπανᾶται καί ἡ τῆς σαρκός ἔμφυτος ἰκμάς καί ὁ δαιμονῶν ἐκεῖνος καταξηραίνεται.

Ὁ δέ τοῦ δαιμονῶντος πατήρ προσετίθει πρός τόν Κύριον, λέγων ὅτι εἶπε τοῖς μαθηταῖς, ἵνα αὐτό ἐκβάλλωσι καί οὐκ ἴσχυσαν˙ ὁ δέ Κύριος οὐ πρός αὐτόν μόνον, ἀλλά καί πρός πάντας ἀποτεινόμενος, «ὦ γενεά», φησίν, «ἄπιστος, ἕως πότε πρός ὑμᾶς ἔσομαι, ἕως πότε ἀνέξομαι ὑμῶν;». Δοκεῖ μοι τούς τηνικαῦτα παρόντας τῶν Ἰουδαίων ἀφορμῆς λαβομένους τῷ μή δυνηθῆναι τούς μαθητάς ἐξελάσαι τόν δαίμονα, μέτριά τινα βλασφημῆσαι˙ τί γάρ ἄν οὐκ εἶπον ἀφορμῆς λαβόμενοι οἵ, καί τῶν θαυμάτων τελουμένων, τῆς βλασφημίας οὐκ ἀφιέμενοι; Τούς οὖν γογγυσμούς καί τούς ὀνειδισμούς τούτων εἰδώς ὁ Κύριος, πόρρωθεν ἐξελέγχει καί καταισχύνει τούτους, οὐ διά λόγων μόνων πληκτικωτέρων, ἀλλά καί δι᾽ ἔργων τε καί λόγων φιλανθρωπίας γεμόντων. Προστάττει γάρ λέγων, φέρετέ μοι αὐτόν ὧδε, καί ἤνεγκαν, καί ἰδόν τόν Κύριον τό δαιμόνιον ἐσπάραξε τόν

ἄνθρωπον, καί πεσών ἐκυλίετο ἀφρίζων˙ συνεχωρεῖτο γάρ φανεράν ποιῆσαι τήν ἰδίαν κακίαν.

(σελ. 336) Ὁ δέ Κύριος ἐπηρώτα τόν πατέρα τοῦ παιδός, «πόσος χρόνος ἐστίν ὡς τοῦτο γέγονεν αὐτῷ». Ταύτην δέ τήν ἐρώτησιν ὑπό φιλανθρωπίας ποιεῖται ὁ Κύριος, πρός πίστιν καί τήν μετά πίστεως δέησιν ἐνάγων αὐτόν. Τοσοῦτο γάρ ἀπεῖχε τοῦ πιστεύειν ὁ ἄνθρωπος οὗτος, ὡς μηδέ ὑπέρ τῆς σωτηρίας τοῦ παιδός ἱκετεύειν˙ διό οὐδέ τούς μαθητάς ἱκέτευσεν ὅλως˙ «Εἶπον», γάρ φησίν, «αὐτοῖς ἵνα ἐκβάλλωσιν»˙ οὐ προσέπεσεν, οὐχ ἱκέτευσεν, οὐκ ἐδεήθη˙ ἀλλ᾽ οὐδέ τοῦ Κυρίου φαίνεταί πω δεηθείς” Διά τοῦτο ἀφείς ὁ Κύριος ἐλεεινῶς πρό τῶν ὀφθαλμῶν τούτου τόν παῖδα κείμενον, αὐτός ἐκείνῳ προσδιαλέγεται, τόν χρόνον τοῦ πάθους ἐρωτῶν καί πρός τήν αἴτησιν αὐτόν ἐκκαλούμενος˙ ὁ δέ ἀποκρίνεται, παιδιόθεν αὐτῷ συμβῆναι καί πολλάκις καί εἰς πῦρ ἐμβαλεῖν καί εἰς ὕδατα, ἵνα ἀπολλέσῃ αὐτόν, καί ἐπάγει˙ «ἀλλ᾽ εἴ τι δύνασαι, βοήθησον ἡμῖν, σπλαγχισθείς ἐφ᾽ ἡμᾶς».

Ὁρᾶτε τήν ἀπιστίαν τοῦ ἀνδρός ὅση; Ὁ γάρ λέγων «εἰ δύνασαι», πάντως ἔδειξε μή πιστεύων αὐτόν δύνασθαι. Ὁ δέ Κύριος εἶπε τό, «εἰ δύνασαι πιστεῦσαι, πάντα δυνατά τῷ πιστεύοντι»˙ τοῦτο δέ φησιν οὐχ ὡς ἀγνοῶν ἐκείνου τήν ἀπιστίαν, ἀλλά κατά μικρόν ἔτι προβιβάζων αὐτόν εἰς πίστιν καί ἅμα δεικνύς, ὅτι καί τό μή τούς μαθητάς ἐκβαλεῖν τόν δαίμονα ἡ τούτου ἀπιστία γέγονεν αἰτία. Σκόπει δέ τόν εὐαγγελιστήν˙ οὐ γάρ εἶπε τόν Κύριον πρός τόν πατέρα τοῦ παιδός εἰπεῖν, εἰ δύνασαι πιστεῦσαι, ὡς ἀεί σχεδόν τήν πίστιν ἀπαιτοῦντος τοῦ Κυρίου παρά τῶν τάς ἰάσεις ἐπιζητούντων˙ καί τῶν ψυχῶν γάρ ὑπάρχων δεσπότης καί κηδεμών ἐσπούδαζε καί ταύτας ἰᾶσθαι διά τῆς πίστεως˙ ἀλλ᾽ ὁ τοῦ παιδός πατήρ ἐκεῖνος, ὡς ἤκουσε τῇ αὐτοῦ πίστει τήν ἴασιν ἀκολουθεῖν, μετά δακρύων ἔλεγε˙ «πιστεύω, Κύριε, βοήθει μου τῇ ἀπιστίᾳ». Βλέπετε προκοπήν ἠθῶν (σελ. 338) ἀρίστην; Οὐ μόνον γάρ ἐπίστευσε περί τῆς τοῦ παιδός ἰάσεως, ἀλλ᾽ ὅτι δύναται ὁ Κύριος ἐκνικῆσαι καί τήν αὐτοῦ ἀπιστίαν, εἴπερ ἐθελήσει. Τοῦ δέ ὄχλου ἐπί τοῖς λόγοις τούτοις συντρέχοντος, ἐπετίμησε, φησίν, ὁ Κύριος τῷ πνεύματι τῷ ἀκαθάρτῳ, λέγων αὐτῷ˙ «τό πνεῦμα τό ἄλαλον καί κωφόν, ἐγώ σοι ἐπιτάσσω, ἔξελθε ἐξ αὐτοῦ, καί μηκέτι εἰσέλθῃς εἰς αὐτόν».

Παγχάλεπον τό δαιμόνιον τοῦτο δοκεῖ καί ἰταμώτατον εἶναι˙ τό τε γάρ σφοδρόν τῆς ἐπιτιμήσεως καί ἡ παραγγελία τοῦ μηκέτι εἰσελθεῖν τήν ἰταμότητα τοῦ δαιμονίου παρίστησι˙ χωρίς γάρ ταύτης ὡς ἔοικε,

καί ἐκβληθέν ἐπανέστρεψεν ἄν. Πολλήν δέ καί χώραν ἔσχεν ἐν τῷ ἀνθρώπῳ καί δυσαποσπάστως εἶχε καί κωφόν καί ἄλαλον ἦν, ὡς μή ἀρκούσης τῆς φύσεως ὑπηρετεῖσθαι τῇ ὑπερβολῇ τῆς ἐκείνου μανίας, διό καί πασχούσης ἀναισθησίαν σχεδόν τελείαν, ἐπεί «καί κράξαν», φησί, «καί πολλά σπαράξαν αὐτόν, ἐξῆλθε˙ ὁ δέ ἄνθρωπος ἐγένετο ὡσεί νεκρός, ὥστε πολλούς λέγειν ὅτι ἀπέθανεν». Ἡ κραυγή δέ οὐκ ἀντίκειται πρός τό ἄλαλον εἶναι τό δαιμόνιον˙ ἡ μέν γάρ λαλιά φωνή ἐστι σημαντική νοήματός τινος, ἡ δέ κραυγή ἄσημός ἐστι φωνή. Ἀφίεται δέ τό δαιμόνιον καί σπαράξαι ἐπί τοσοῦτον τόν ἄνθρωπον καί ὡσεί νεκρόν διαθεῖναι, ἵνα φανερά γένηται πᾶσα ἡ κακία αὐτοῦ. Ὁ μέντοι Κύριος τῆς χειρός τοῦ ἀνθρώπου λαβόμενος ἤγειρεν αὐτόν καί ἀνέστη, δεικνύς ἐντεῦθεν ὅτι πολλήν ἔχει τήν ἐνέργειαν˙ τό μέν γάρ τῇ χειρί λαβέσθαι κτιστῆς ἦν ἐνεργείας τῆς καθ᾽ ἡμᾶς, τό δέ ἀναστῆναι τοῦτον ἀπαθῆ κακῶν τῆς ἀκτίστου καί θείας καί ζωαρχικῆς ἐνεργείας.

Τῶν δέ μαθητῶν ἐρωτησάντων ἔπειτα κατ᾽ ἰδίαν, «διατί οὐκ ἠδυνήθημεν ἐκβαλεῖν αὐτό;», πρός αὐτούς εἶπεν, ὅτι τοῦτο τό δαιμόνιον (σελ. 340) «ἐν οὐδενί δύναται ἐξελθεῖν, εἰμή ἐν προσευχῇ καί νηστείᾳ». Φασί μέν οὖν τινες τήν προσευχήν ταύτην καί τήν νηστείαν παρά τοῦ πάσχοντος γίνεσθαι δεῖν˙ οὐκ ἔχει δέ οὕτως˙ ὁ γάρ ἐνεργούμενος ὑπό πονηροῦ πνεύματος, καί ταῦτα τοιούτου, ὄργανον ὤν ἐκείνου καί καταδυναστευόμενος ὑπ᾽ ἐκείνου, πῶς ἄν ἤ προσεύξαιτο ἤ νηστεύσειεν ἑαυτῷ λυσιτελῶς;

Δοκεῖ δέ τῆς ἀκολασίας εἶναι τό πάνδεινον δαιμόνιον τοῦτο, ὅ ποτέ μέν εἰς πῦρ ρίπτει τόν ἁλόντα (τοιοῦτοι γάρ εἰσιν οἱ ἀλόκοτοι καί δυσέρωτες ἔρωτες), ποτέ δέ εἰς ὕδατα καταβαπτίζων αὐτόν διά τῆς ἀδηφαγίας καί τῶν ἀμέτρων καί πολλῶν ποτῶν καί συμποσίων. Ἔστι δέ καί ἐν τοῖς τοιούτοις κωφόν καί ἄλαλον τό δαιμόνιον τοῦτο˙ οὔτε γάρ ἀκούειν οὔτε λαλεῖν εὐχερῶς ὑπομένει τά θεῖα ὁ ταῖς ὑποβολαῖς τοῦ τοιούτου δαιμονίου πειθόμενος. Ἀλλ᾽ ὅμως μή τό πονηρόν αὐτό πνεῦμα ἐνῳκισμένον τις ἔχων, ἀλλά ταῖς ὑποβολαῖς ἐκείνου φερόμενος, ὅταν ἀνακύψῃ πρός ἐπιστροφήν (ἔχει γάρ ἔτι τό αὐτεξούσιον), προσευχῆς δεῖται καί νηστείας, ἵνα διά μέν τῆς νηστείας χαλινώσῃ τό σῶμα καί καταστείλῃ τάς ἐπαναστάσεις αὐτοῦ, διά δέ τῆς προσευχῆς τάς ἐν τῇ ψυχῇ προλήψεις καί τούς ἐρεθίζοντας πρός τό πάθος ἀργήσῃ καί κατευνάσῃ λογισμούς, καί οὕτω τοῦ πάθους περιγένηται, τήν σατανικήν ἐν προσευχῇ καί νηστείᾳ προσβολήν καί

ἐπήρειαν ἀπελάσας. Ὅταν δέ οὐχ ὑπό τῆς τοῦ δαίμονος ὑποβολῆς ἐνεργῆται, ἀλλ᾽ αὐτόν ἐκεῖνον ἔνοικον ἔχῃ, οὔτε κατ᾽ ἀνθρώπους ἔτι πάσχει, οὔτε αὐτός τι δύναται παρ᾽ ἑαυτοῦ πρός ἴασιν πράττειν, ἀλλ᾽ ὅπερ ἄν ἐκεῖνος ἔπραξεν, εἴπερ νοῦν ἐλεύθερον εἶχε, τοῦτο παρά τῶν ἐλευθέρων, μᾶλλον δέ καί πνεύματι θείῳ κατόχων, πραττόμενον ὑπέρ αὐτοῦ τά μέγιστα συντελέσει πρός τήν τοῦ δαίμονος ἐκβολήν.

(σελ. 342) Ἀλλά τό μέν δαίμονας ἀπελαύνειν οὔτε ἀπαιτούμεθα, κἄν ἀπελάσας δυνηθῶμεν, οὐδέν ἡμῖν ὄφελος ἀτημέλητον βίον ἔχουσι. «Πολλοί», γάρ, φησίν, «ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ˙ Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καί τῷ σῷ ὀνόματι δαιμόνια ἐξεβάλομεν; Καί ἐρῶ πρός αὐτούς οὐκ οἶδα ὑμᾶς, ἀποχωρεῖτε ἀπ᾽ ἐμοῦ οἱ ἐργαζόμενοι τήν ἀνομίαν». Οὐκοῦν πολλῷ κερδαλεώτερον τό τῆς πορνείας πάθος καί τῆς ὀργῆς καί τοῦ μίσους καί τῆς ὑπερηφανείας ἀπελάσαι σπεῦσαι τῆς ψυχῆς τοῦ δαιμόνια ἐκβάλλειν. Οὐκ ἀρκεῖ γάρ τῆς σωματικῆς ἁμαρτίας ἀπηλλάχθαι μόνης, ἀλλά δεῖ καί τήν ἔνδον οἰκουροῦσαν τῆς ψυχῆς καθαίρειν ἐνέργειαν˙ ἐκ γάρ τῆς καρδίας ἡμῶν οἱ διαλογισμοί οἱ κακοί ἐκπορεύονται, μοιχεῖαι, πορνεῖαι, φόνοι, κλοπαί, πλεονεξίαι καί τά ἑξῆς (ταῦτα δέ ἐστι τά κινοῦντα τόν ἄνθρωπον), καί «ὁ ἐμβλέψας γυναικί πρός τό ἐπιθυμῆσαι αὐτήν, ἤδη ἐμοίχευσεν αὐτήν ἐν τῇ καρδίᾳ αὐτοῦ», Τοῦ γάρ σώματος ἀπρακτοῦντος ἔνι λογιστικῶς τήν ἁμαρτίαν ἐνεργεῖσθαι˙ τῆς δέ ψυχῆς ἔνδον διά προσευχῆς καί προσοχῆς καί μνήμης θανάτου καί τῆς κατά Θεόν λύπης καί τοῦ πένθους ἀναιρούσης τήν προσβολήν τοῦ πονηροῦ, συμμεταλαμβάνει καί τό σῶμα τῆς ἁγιωσύνης, τήν ἀπραξίαν τῶν κακῶν κτησάμενον. Καί τοῦτό ἐστιν ὅ φησιν ὁ Κύριος, ὅτι οὐχ ὁ τό ἔξωθεν τοῦ ποτηρίου καθάρας, οὗτος καί τό ἔσωθεν ἐκάθηρεν, ἀλλά ποιήσατε τό ἐντός τοῦ ποτηρίου καθαρόν, καί οὕτως ἔσται καθαρόν ὅλον. Πᾶσαν γάρ σπουδήν ποιήσας, ἵνα ἡ ἔνδον σου ἐργασία (σελ. 344) κατά Θεόν ᾖ, νικήσεις τά ἔξω πάθη˙ ἐάν γάρ ἡ ρίζα ἁγία, καί οἱ κλάδοι, καί ἐάν ἡ ζύμη, καί τό φύραμα˙ «πνεύματι», γάρ, φησίν ὁ Παῦλος, «περιπατεῖτε καί ἐπιθυμίαν σαρκός οὐ μή τελέσται».

Διό καί τήν ἰουδαϊκήν περιτομήν οὐκ ἀνεῖλεν ὁ Χριστός, ἀλλ᾽ ἐτελείωσεν˙ αὐτός γάρ ἐστιν ὁ λέγων «οὐκ ἦλθον καταλῦσαι τόν νόμον, ἀλλά πληρῶσαι». Πῶς οὖν ἐπλήρωσεν αὐτόν; Σφραγίς ἦν ἐκεῖνος καί δεῖγμα καί συμβολική διδασκαλία τῆς ἐν τῇ καρδίᾳ τῶν πονηρῶν λογισμῶν περιτομῆς, πρός ἥν Ἰουδαῖοι μή σπουδάζοντες καί

παρά τῶν προφητῶν ὡς ἀπερίτμητοι τήν καρδίαν ὠνειδίζοντο καί παρά τοῦ βλέποντος εἰς τήν καρδίαν ἐμισοῦντο καί εἰς τέλος ἀπόβλητοι γεγόνασιν˙ ἄνθρωπος γάρ εἰς πρόσωπον, Θεός δέ εἰς καρδίαν ὁρᾷ, καί ἐάν ρυπαρῶν ἤ πονηρῶν αὕτη λογισμῶν γέμῃ, τῆς θείας ἀποστροφῆς ἄξιος ὁ ἄνθρωπος γίνεται ἐκεῖνος. Διό καί πάλιν ὁ ἀπόστολος παραινεῖ χωρίς ὀργῆς καί διαλογισμῶν ἡμᾶς ποιεῖσθαι τάς εὐχάς.

Σπουδάζειν δέ ἡμᾶς ὁ Κύριος διδάσκων εἰς τήν ἐν πνεύματι τῆς καρδίας περιτομήν, μακαρίζει μέν τούς καθαρούς τῇ καρδίᾳ καί τούς πτωχούς τῷ πνεύματι, καί τῆς μέν καθαρότητος ταύτης τήν θεοπτίαν ἔπαθλον εἶναι διατείνεται, τοῖς δέ πτωχοῖς τήν τῶν οὐρανῶν βασιλείαν ἐπαγγέλλεται˙ πτωχούς δέ φησι τούς ἐν ἐνδείᾳ καί εὐτελείᾳ ζῶντας. Οὐχ ἁπλῶς δέ τούς τοιούτους μακαρίζει, ἀλλά τούς ἐν πνεύματι τοιούτους, τουτέστι τούς διά τήν ἔνδον αὐτῶν καί ἐν (σελ. 346) καρδίᾳ ταπείνωσιν καί ἀγαθήν προαίρεσιν, οὕτω καί τά ἔξω διαθέντας. Ἀπαγορεύει δέ οὐ τόν φόνον μόνον, ἀλλά καί τήν ὀργήν, καί ἀφιέναι τοῖς εἰς ἡμᾶς πταίουσιν ἀπό τῶν καρδιῶν προστάττει καί οὐ τό παρ᾽ ἡμῶν προσφερόμενον δέχεται δῶρον, ἐάν μή προδιαλλαγῶμεν καί τήν ὀργήν ἀφῶμεν.

Ὡσαύτως δέ καί ἐπί τῶν πορνικῶν παθῶν˙ καί αὐτήν γάρ τήν ἐκ περιέργου θέαν κάι τήν ἐξ αὐτῆς ἐπιθυμίαν ἐν καρδίᾳ μοιχείαν οὖσαν ἀπεφήνατο˙ καί καθολικώτερον ἔτι περί τούτων διαλαμβάνων φησίν, εἰ τό φῶς τό ἐν σοί, τουτέστιν ὁ νοῦς καί ἡ διάνοια, σκότος ἐστί, τῶν ἀλαμπῶν προσβολῶν τῶν ἀρχόντων τοῦ σκότους γέμοντα, πόσῳ μᾶλλον τό σκότος, δηλαδή τό σῶμα καί ἡ αἴσθησις, ἅτινα παρ᾽ ἑαυτῶν οὐκ ἔχει φέγγος νοερόν, γεννητικόν ἀληθείας τε καί ἀπαθείας; Ἐάν δέ τό ἐν σοί φῶς καθαρόν ᾖ, τῶν σαρκικῶν φρονημάτων οὐκ ἐπισκοπούντων, ἔσῃ φωτεινός κατά ψυχήν ὅλως, ὡς ὅταν ὁ λύχνος τῇ ἀστραπῇ φωτίζῃ σε. Τοιαύτη ἡ τῆς καρδίας ἐν πενύματι περιτομή, δι᾽ ἧς ἐπλήρωσεν ὁ Κύριος τήν κατά νόμον ἐν σαρκί περιτομήν, ἥτις ἐδόθη τοῖς Ἰουδαίοις ὡς ἐκείνην σημαίνουσα καί πρός ἐκείνην ἐνάγουσα. Μή κτήσασθαι δέ ταύτην σπουδασάντων, ἡ περιτομή, καθά φησι Παῦλος, αὐτῶν ἀκροβυστία γέγονε καί ἀπηλλοτριώθησαν τοῦ μή βλέποντος εἰς πρόσωπον Θεοῦ, τουτέστιν εἰς τά φανερά τῆς σαρκός δικαιώματα, ἀλλά εἰς τήν καρδίαν ὁρῶντος, εἰς τά ἀφανῆ δηλαδή καί ἐν ἡμῖν τῶν λογισμῶν κινήματα.

Προσέχωμεν οὖν καί ἡμεῖς, ἀδελφοί, παρακαλῶ, καί καθάρωμεν ἀπό παντός μολυσμοῦ τάς ἑαυτῶν καρδίας, ἵνα μή τοῖς (σελ. 348) κατακριθεῖσιν ἐκείνοις συμπαραρρυῶμεν˙ εἰ γάρ ὁ διά Μωσέως λαληθείς νόμος «ἐγένετο βέβαιος καί πᾶσα παράβασις καί παρακοή ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα, τῆς ἡμετέρας ἀμελήσαντες σωτηρίας, ἥτις ἀρχήν λαβοῦσα λαλεῖσθαι παρά τοῦ Κυρίου, διά τῶν ἀκουσάντων πρός ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις καί τέρασι καί ποικίλαις δυνάμεσι, καί Πνεύματος ἁγίου μερισμοῖς;». Φοβηθῶμεν οὖν τόν ἐτάζοντα καρδίας καί νεφρούς˙ ἐξιλεωσώμεθα τόν τῶν ἐκδικήσεων Κύριον˙ ἐνοικήσωμεν ἡμῖν αὐτοῖς τήν εἰρήνην, τόν ἁγιασμόν, τήν ἐν κατανύξει προσευχήν, ὧν χωρίς οὐδείς ὄψεται τόν Κύριον˙ ποθήσωμεν ἐν πληροφορίᾳ πίστεως τήν ἐπηγγελμένην ἐκείνην θέαν τοῖς καθαροῖς τήν καρδίαν, καί πάντα πράξωμεν, ἵνα ταύτης τύχωμεν, μεθ᾽ ἧς ἐστιν ἡ αἰώνιος ζωή, τό ἀκήρατον κάλλος, ὁ ἀδαπάνητος πλοῦτος, ἡ ἀναλλοίωτος καί ἀπέραντος τρυφή καί δόξα καί βασιλεία.

Ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν αὐτῷ τῷ βασιλεῖ τῶν αἰώνων Χριστῷ˙ ᾧ μόνῳ πρέπει πᾶσα δόξα τιμή καί προσκύνησις, σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ Πνεύματι, εἰς ἀπεράντους αἰῶνας. Ἀμήν.

## *ΟΜΙΛΙΑ ΙΓ ‘ (σελ. 352)*

## *ΤΗι ΠΕΜΠΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΝΗΣΤΕΙΩΝ*

### *Ἐν ᾗ καί περί ἐλεημοσύνης*

Εἰσί τινα μέρη θαλάσσης, ἅ κητώδη μεγάλα θηρία τρέφουσιν˙ οἱ γοῦν ἐν αὐτοῖς πλέοντες, κώδωνας ἐκκρεμῶσι τῶν πλοίων, ἵνα διά τῆς ἠχοῦς τούτων ἐκπληττόμενα φεύγωσι τά θηρία. Καί ἡ θάλασσα δέ τοῦ ἡμετέρου βίου πολλά καί δεινότερα τρέφει θηρία. Καί ἡ θάλασσα δέ τοῦ ἡμετέρου βίου πολλά καί δεινότερα τρέφει θηρία, τά πονηρά πάθη λέγω καί τούς ἐφόρους αὐτῶν πονηροτέρους δαίμονας˙ ἐπιπλεῖ δέ τήν θάλασσαν ταύτην οἷά τις ναῦς ἡ τοῦ Θεοῦ Ἐκκλησία καί ἀντί κωδώνων ἔχει τούς πνευματικούς διδασκάλους, ἵνα διά τῆς ἱερᾶς ἠχοῦς τῆς τούτων διδασκαλίας τούς νοητούς ἀποτρέπηται θῆρας. Καί

τοῦτ᾽ ἄρα τυποῦσα καί ἡ τοῦ (σελ. 354) Ἀαρών στολή κώδωνας εὐήχους εἶχε παρηρτημένους κάι θέσπισμα ἦν ἀκουστήν εἶναι τήν φωνήν αὐτῶν ἐν τῷ τόν Ἀαρών λειτουργεῖν.

Ἡμεῖς δέ εἰς τό πνεῦμα τό γράμμα καλῶς μεταφέροντες, ἠχήσωμεν ὑμῖν ἀρτίως πνευματικῶς, καί μάλιστα κατά τόν τῆς νηστείας καιρόν, ᾧ φανερά καί ἀφανῆ θηρία δεινῶς ἐπιτίθενται˙ φανερά μέν γαστριμαργία καί μέθη καί τά τοιαῦτα˙ ἕτερα δέ ἀφανῶς ὑφεδρεύοντα, κενοδοξία καί ὑπερηφανία καί οἴησις καί ὑπόκρισις. Ὁ αὐτός δέ ἐστιν ἦχος καί φυγαδευτήριον τῶν τοιούτων θηρίων καί φυλακτήριον τῶν τήν νηστείαν ἀσκούντων.

Ἔστιν οὖν νηστεία καί ἀκρασία ἐναντία ἀλλήλοις, ὡς ἡ ζωή καί ὁ θάνατος. Καί ἡ μέν νηστεία ἐντολή ἐστι ζωῆς, συνηλικιῶτις οὖσα τῆς ἀνθρωπίνης φύσεως, ἐν τῷ παραδείσῳ ὑπό τοῦ Θεοῦ τῷ Ἀσάμ δοθεῖσα τήν ἀρχήν, εἰς φυλακήν τῆς ἐγγενομένης αὐτῷ παρά τοῦ αὐτοῦ Θεοῦ ζωῆς τε καί θείας χάριτος. Ἡ δέ ἀκρασία συμβουλή ἐστι θανάτου σώματός τε καί ψυχῆς, ὑπό τοῦ διαβόλου τῷ Ἀδάμ ἐν τῷ παραδείσῳ διά τῆς Εὔας δοθεῖσα δολίως εἰς ἔκπτωσιν τῆς ζωῆς καί ἀπαλλοτρίωσιν τῆς ἐκ Θεοῦ θείας χάριτος˙ ὁ Θεός γάρ θάνατον οὐκ ἐποίησεν, οὐδέ τέρπεται ἐπ᾽ ἀπωλείᾳ ζώντων. Τίς οὖν ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν καί χάριν εὑρεῖν τήν ἐν τῷ Θεῷ καί παρά Θεοῦ; φυγέτω τήν θανατηφόρον ἀκρασίαν καί προσδραμέτω τῇ θεοποιῷ νηστείᾳ καί ἐγκρατείᾳ, ἵν᾽ ἐπανέλθῃ χαίρων εἰς τόν παράδεισον.

Μωϋσῆς τεσσαρκονθήμερον, νηστείαν ἐπ᾽ ὄρους, εἰς ὕψος θεοπτίας ἀνέπτη καί πλάκας θεοσεβείας ἐδέξατο˙ ὁ δέ τῶν Ἑβραίων δῆμος κάτω, μεθύοντες, εἰς ἀσέβειαν κατωλίσθησαν καί εἴδωλον ἐχώνευσαν μόσχου τοῦ αἰγυπτίου Ἄπιδος θεοῦ ὅμοιον, καί (σελ. 356) εἰ μή Μωϋσῆς ἔστη πρός τόν Θεόν, διά τοῦ ἀνηλεοῦς ἐκ τῶν ὁμογενῶν φόνου ἐξιλασάμενος πρότερον, οὐκ ἄν ὅλως ἐφείσατο αὐτῶν ὁ Θεός. Εἰ γοῦν καί ἡμεῖς κόρῳ βαρυνόμεθα, ἐν οἷς ἐστιν ἡ ἀσωτία καί ἡ ἀσέβεια. Θεόπτης καί ὁ Ἠλίας, ἀλλά προκαθαρθείς καί οὗτος διά νηστείας. Ἔτυχε καί Δανιήλ θεοπτίας, καί τῶν ἀρχαγγέλων ἑνός ὀπτασίας, τήν τῶν μελλόντων γνῶσιν αὐτῷ παρέχοντος, ἀλλά πρότερον ἐφ᾽ ἡμέρας ὅλας εἴκοσι διαμείνας ἄσιτος. Πεφόνευται καί προφήτης ἕτερος ὑπό λέοντος, ἀλλά φαγών παρά γνώμην Θεοῦ. Γινώσκετε πάντες Ἠσαῦ τόν τοῦ Ἰσαάκ, ὅς ὑπό γαστριμαργίας τῶν τε ἄλλων πρωτοτοκίων καί τῆς πατρικῆς ἐξέπεσεν εὐχῆς. Φοβηθῶμεν μή καί ἡμεῖς τῇ γαστριμαργίᾳ ταύτῃ προσέχοντες ἐκπέσωμεν τῆς

ἐπηγγελμένης ἐκείνης εὐλογίας καί κληροδοσίας τοῦ ἀνωτάτου Πατρός. Οὐδέ τούς τρεῖς παῖδας ἀγνοεῖτε, οἵ, νηστείᾳ προσκείμενοι, τήν ἑπταπλασίως κατ᾽ αὐτῶν ἐν Βαβυλῶνι κάμινον ἐκκαυθεῖσαν ἀφλέκτοις ποσί καί σώμασι κατεπάτησαν.

Ἐάν καί ἡμεῖς ἀληθινήν νηστείαν ἀσκήσωμεν, καί τήν ἐνταῦθα πύρωσιν τῆς σαρκός καταπατήσομέν τε καί σβέσομεν καί τήν μέλλουσαν κάμινον ἀζήμιοι διαπεράσομεν, ὅταν ἑκάστου τό ἔργον τό πῦρ δοκιμάσῃ. Τί δεῖ λέγειν τόν τῶν προφητῶν Κύριον; ὅς σάρκα λαβών καί δι᾽ ἡμᾶς γενόμενος ἄνθρωπος, ὑποδεικνύς ἡμῖν τόν τρόπον τῆς κατά τοῦ διαβόλου νίκης, νηστεύων διά πάντων ἐνίκησε (σελ. 358) τοῦτον, πάντα κατ᾽ αὐτοῦ κινήσαντα πειρασμόν, καί πρός τούς οἰκείους μαητάς περί τοῦ ἀλλάλου καί κωφοῦ δαιμονίου ἔλεγε, «τοῦτο τό δαιμόνιον οὐκ ἐξέρχεται, εἰμή ἐν προσευχῇ καί νηστείᾳ».

Ἀλλά φέρε δείξωμεν ὑμῖν, ἀδελφοί, τίς ἐστιν ἡ θεάρεστος νηστεία καί ἀληθής˙ τοῦτο γάρ ἐστέ γινώσκοντες, ὡς οὐκ αὐτήν δι᾽ ἑαυτήν τήν σωματικήν ἐπαινοῦμεν νηστείαν, ἀλλ᾽ ὡς ἐνεργοῦσαν πρός ἕτερα ψυχωφελέστερα˙ τήν γάρ σωματικήν ἐργασίαν πρός ὀλίγον ὠφέλιμον εἶναι, καί ὁ θεῖος Παῦλός φησι. Διό καί οἱ διά πείρας λαλοῦντες θεοφόροι πατέρες οὐκ ἀποδέχονται τάς πολυημέρους νηστείας, ἀλλά δοκιμώτερον κρίνουσι τό καθ᾽ ἡμέραν ἐσθίειν ἅπαξ καί μή χορτάζεσθαι˙ καί τοῦτό φασι σύμμετρον καί μετά λόγου νηστείαν, ὅ καί ἡ Γραφή λέγει, τό μή ἀπατᾶσθαι χορτασίᾳ κοιλίας καί τῇ τοῦ λαιμοῦ ἡδονῇ, ἀλλά τῆς μέν ὀρέξεως ἐγκειμένης ἔτι τῆς τροφῆς ἀφίεσθαι, τήν δέ ποιότητα ταύτης καί ποσότητα κατάλληλον εἶναι τῇ δυνάμει καί διαθέσει τοῦ τρεφομένου σώματος, πρός τό καί τήν ὑγείαν αὐτοῦ κατά τό δυνατόν συντηρεῖσθαι˙ τό γάρ καταλλήλως τῇ ἀσθενείᾳ συμμέτρως ἐσθίειν ἀπό τῶν ἐνδεδομένων βρωμάτων τόν ἀσθενῆ, μή προστιθέντα τοῖς ἀναγκαίοις τά λίαν περιττά καί λυσιτελῆ, καί τό τήν τροφήν ἐπιζητεῖν ἀλλ᾽ οὐ τήν τρυφήν, καί τήν πόσιν ἀλλ᾽ οὐ τήν μέθην, καί τήν σύμμετρον χρῆσιν ἀλλ᾽ οὐ τήν ἀμετρίαν καί τήν ἀκρασίαν καί τήν παράχρησιν, οὐκ ἀφαιρεῖται τοῦ κεχρημένου τήν ἁγιότητα.

Ἡ μέν οὖν ἀρχή τῆς ἀληθοῦς καί θεαρέστου νηστείας τοιαύτη, τό δέ τέλος δι᾽ ὅ νενομοθέτηται καί ἐτιμήθη Χριστιανοῖς ἡ τῆς ψυχῆς ἐστι κάθαρσις. Τίς γάρ ὠφέλεια σωματικῆς ἀπέχεσθαι βρώσεως τῶν δέ σαρκικῶν ἡττᾶσθαι φρονημάτων τε καί παθῶν; Τί τό ὄφελος (σελ. 360) οἴνου ἀπέχεσθαι καί δίψει πιέζεσθαι, μεθύειν δέ οὐκ ἀπό οἴνου,

κατά τόν λέγοντα, «οὐαί οἱ μεθύοντες οὐκ ἀπό οἴνου», καί θυμῷ καί βασκανίᾳ τήν ψυχήν ταράττεσθαι; Τί τό ὄφελος ἀβρᾶς τραπέζης ἀπέχεσθαι, καί τήν ψυχήν ἀταπείνωτον εἶναι, καί τήν μέν σάρκα ἠλλοιῶσθαι δι᾽ ἔλαιον, μή ταπεινωθῆναι δέ τήν ψυχήν ἐν νηστείᾳ κατά τόν Δαβίδ; Τί τό ὄφελος ἀπαλλαγῆναι μέν τῆς ἐκ τῶν πολλῶν βρωμάτων ἀναθυμιωμένης ὁμίχλης, φροντίσι δέ καί λογισμοῖς ματαίοις ἀχρειοῦσθαι τόν ἡμέτερον νοῦν καί συναχρειοῦσθαι τάς πρός τόν Θεόν προσευχάς;

Διά τοῦτο καλή νηστεία ἡ τελουμένη πρός μαρασμόν τῆς ἐπιθυμίας, πρός ταπείνωσιν τῆς ψυχῆς, πρός μίσους μεταποίησιν, πρός θυμοῦ σβέσιν, πρός μνησικακίας ἀπάλειψιν, πρός διανοίας καί προσευχῆς ἐργασίαν καί καθαρότητα. Εἰ δέ εὐπορεῖς, ἔστω σοι καί τό περιττεῦον τῆς τροφῆς εἰς τήν τῶν ἀπορούντων παραμυθίαν. Ἐάν οὕτω νητεύῃς, οὐ μόνον συμπάσχων ἔσῃ καί συννεκρούμενος, ἀλλά καί συνανιστάμενος καί συμβασιλεύων Χριστῷ εἰς αἰῶνας τούς ἀπεράντους˙ σύμφυτος γάρ γεγονώς διά τῆς τοιαύτης νηστείας τῷ ὁμοώματι τοῦ θανάτου αὐτοῦ, καί τῆς ἀναστάσεως κοινωνός ἔσῃ καί τῆς ἐν αὐτῷ ζωῆς κληρονόμος. Ὁ νστεύων, ἐάν μέν πειράζηται, νικᾷ τόν πειράζοντα˙ ἐάν δέν μή πειράζηται, συντηρεῖ τήν εἰρήνην τῆς ψυχῆς καί τοῦ σώματος, ὑπωπιάζων κατά Παῦλον τό σῶμα καί δουλαγωγῶν, δειλιῶντα μήπως ἀδόκιμος γένηται˙ εἰ δέ Παῦλος δειλιᾷ, πόσῳ μᾶλλον ἡμᾶς προσῆκεν; ὁ γοῦν νηστεύων (σελ. 362) δουλαγωγεῖ τό σῶμα καί δόκιμον ποιεῖ τήν ψυχήν, ὁ δέ καταπιαίνων τήν μετ᾽ ὀλίγον φθαρησομένην σάρκα, μή ἐσθίων δέ διά τό ζῆν, ἀλλά μᾶλλον ζῶν ἵν᾽ ἐσθίῃ, καθάπερ τά παρ᾽ ἡμῶνμ ἑτοιμαζόμενα πρός σφαγήν, καί προστιθείς τοῖς ἀναγκαίοις τά περιττά ἵνα λιπαίνῃ τό σῶμα ἤ πρός ἐπιθυμίας οὐ καλάς διεγείρῃ ἤ ἁπλῶς οὕτω πρός φιληδονίαν τήν ἐν τοῖς σώμασιν, οὐδέν ἄλλο πάντως ἤ τοῖς σκώληξιν ἑτοιμάζει δαψιλεστέραν τροφήν. Καλῶς ἄρα καί ὁ προφήφης Δαβίδ, «τίς ὠφέλεια ἐν τῷ αἵματί μου ἐν τῷ καταβαίνειν με εἰς διαφθοράν;».

Νηστεύων οὖν καί μετ᾽ ἐγκρατείας τρεφόμενος, μή ἀποτιθέμενος εἰς τήν αὔριον ἔσο τά περιττά, ἀλλ᾽ ὥσπερ ὁ Κύριος πτωχεύσας ἡμᾶς ἐπλούτισεν, οὕτω καί σύ πεινῶν ἑκουσίως, χόρτασον τόν ἀκουσίως λιμώττοντα, καί ἔσται σου ἡ νηστεία καθάπερ περιστερά κάρφος ἐλαίας φέρουσα, καί τῇ ψυχῇ σου τήν ἐκ τοῦ κατακλυσμοῦ λύσιν εὐαγγελιζομένη. «Ἐάν γάρ ἀνέλῃς ἀπό σοῦ σύνδεσμον καί χειροτονίαν, ὁ μέγας φησίν Ἠσαΐας, καί ῥῆμα γογγυσμοῦ καί δῷς

πεινῶντι ἄρτον ἐκ ψυχῆς σου καί ψυχήν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ ἐν σκότει τό φῶς σου καί τό σκότος σου ὡς μεσημβρίαν». Εἰ δέ μή τά οἰκεῖα διδόναι βούλῃ, κἄν τῶν ἀλλοτρίων ἀπέχου καί μή κάτεχε παρά σεαυτῷ τά μή σά, καθαρπάζων καί πλουτῶν ἔστι ὅτε καί παρά τῶν πενεστέρων ἀδίκως, ἵνα μή παρ᾽ αὐτοῦ τοῦ προφήτου δικαίως ἀκούσῃς˙ «οὐ ταύτην τήν νηστείαν ἐξελεξάμην (σελ. 364) ἐγώ, λέγει Κύριος, οὐδ᾽ ἄν κάμψῃς ὡς κρῖκον τόν τράχηλόν σου, ἔσται σοι νηστεία δεκτή, ἀλλά λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιάς βιαίων συναλλαγμάτων, πᾶσαν συγγραφήν ἄδικον διάσπα˙ τότε ῥαγήσεται πρώϊμον τό φῶς σου καί τά ἰάματά σου ταχύ ἀνατελεῖ καί προεύσεται ἔμποσθεν ἡ δικαιοσύνη σου καί ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε».

Εἰ μή δίδως τοίνυν ἐκ τῶν σῶν πένητι, καί ταῦτα περιττῶν ὄντων, κἄν μή κτῷ ταῦτα κατά τοῦ πένητος˙ καίτοι ὁ πάντων δεσπότης Χριστός τούς τῆς ἀριστερᾶς μερίδος εἰς τό πῦρ ἀποπέμπων καί καταρώμενος, οὐ καταδικάζει τούτους ὡς ἅρπαγας, ἀλλ᾽ ὡς μή μεταδόντας τῷ δεομένῳ. Οὐκοῦν οἱ ἅρπαγες καί οἱ ἄδικοι οὐδέ ἀναστήσονται εἰς παράστασιν καί κρίσιν, ἀλλ᾽ εἰς καταδίκην εὐθύς μείζονα καί κατάκρισιν, ἐπεί κἀνταῦθ᾽ ὡς ἔοικεν οὗτοι οὐδέποτε ὅλως ἐκ ψυχῆς τῷ Θεῷ παρέστησαν˙ «οἱ γάρ ἐσθίοντες», φησί, «τόν λαόν μου ἐν βρώσει ἄρτου τόν Θεόν οὐκ ἐπεκαλέσαντο». Ὁ πλούσιος οὗ εὐφόρησεν ἡ χώρα καί ὁ πορφύραν καί βύσσον ἐβδεδυμένος, οὐχ ὡς ἀδικήσαντές τινα, ἀλλ᾽ ὡς μή μεταδόντες τῶν ἐκείνοις κτηθέντων δικαίως καταδικάζονται˙ κοινά γάρ ἐκ κοινῶν ταμείων τῶν τοῦ Θεοῦ κτισμάτων τά θησαυρίσματα. Πῶς οὖν οὐ πλεονέκτης ὁ ἐξιδιούμενος τά κοινά, κἄν οὐχ ὡς ἐκεῖνος ὁ τά φανερῶς ἀλλότρια σφετεριζόμενος; Οὐκοῦν ὁ μέν ὡς κακός δοῦλος ὑποστήσεται, φεῦ, τήν φρικώδη διχοτομίαν, ὁ δέ τά δεινότερα καί φρικωδέστερα πείσεται (σελ. 366) καί οὐδέτερος αὐτῶν δηνήσεταί ποτε ταῦτα διαφυγεῖν, ἄν μή τούς πτωχούς δεξιώσωνται, καί ὁ μέν καλῶς οἰκονομήσει τά πεπιστευμένα τούτῳ παρά Θεοῦ, ὁ δέ καλῶς σκορπίσει τά κακῶς συναχθέντα.

Παῦλος ὁ μέγας, Θεσσαλονικεῦσι γράφων τοῖς ἡμῶν πάντως προγόνοις περί τῆς φιλαδελφίας, φησίν, «οὐ χρείαν ἔχετε γράφειν ὑμῖν, αὐτοί γάρ θεοδίδακτοί ἐστε εἰς τό ἀγαπᾶν ἀλλήλους».

Τοῦ Κυρίου τοίνυν πρός τινας εἰρηκότος, «εἰ τέκνα τοῦ Ἀβραάμ ἦτε, τά ἔργα τοῦ Ἀβραάμ ἐποιεῖτε ἄν», φοβηθῶμεν καί αὐτοί τόν λόγον τοῦτον, οὐκ ἐνταῦθα μέν πρός ἡμᾶς λεγόμενον, ἀλλ᾽ ἐπί τῆς

φρικτῆς, ὅ μή γένοιτο, ρηθησόμενον ἡμέρας, ἡνίκα καί μᾶλλον ἀπό τῆς ὁμοιότητος τῶν πεπραγμένων ἡ συγγένεια κρίνεται˙ ἡνίκα πάντες οἱ τήν ἐν Χριστῷ πτωχείαν, εἰ δ᾿ οὖν, ἀλλά τούς πτωχούς γοῦν ἠγαπηκότες, οἱ καταφρονηταί τῆς δόξης, οἱ τῆς ἐγκρατείας ἐρασταί, οἱ τῶν εὐαγγελικῶν θεσπισμάτων οὐκ ἀκροαταί μόνον ἀλλά καί ποιηταί, κατά τήν τοῦ κοινοῦ χάριτι Πατρός εὐχήν, ὑπερφυῶς ἕν ἔσονται˙ «δός γάρ», φησίν, «αὐτοῖς ἵνα πάντες ἕν ὦσι, καθώς ἡμεῖς ἕν ἐσμεν»˙ ἡνίκα φανερῶς ἡ κριτικωτάτη μάχαιρα τοῦ Πνεύματος διχάσει ἄνθρωπον κατά τοῦ πατρός καί θυγατέρα κατά τῆς μητρός καί ἀλλοτρίους ποιήσει τούς ἀνομοίους τοῖς τρόποις˙ εἰ γάρ ἐνταῦθα, πόσῳ μᾶλλον ἐκεῖ, ὅπου καί ὁ πάντα εἰδώς πρός τούς μή κατ᾿ ἀρετήν ὡμοιωμένους οὐκ οἶδα ὑμᾶς ἀποφαίνεται; οὐ γάρ ἔχουσιν ὡς ἔοικε τήν εἰκόνα τοῦ ἐπουρανίου˙ οὐκ ἐγένοντο οἰκτίρμονες ὡς ὁ κοινός Πατήρ˙ οὐ κοινά τά ὄντα τοῖς δεομένοις ἐποιήσαντο, (σελ. 368) καθάπερ ἐκεῖνος τῶν οἰκείων ἀγαθῶν δωρεάν μετέδωκεν ἅπασιν˙ οὐ τοῖς πλησίον ἐγένοντο χρηστοί, οὐ τούς μακράν διά τῆς εὐποιΐας πλησίον ἐποίησαν˙ διά ταύτην ἄρα τήν ἀνομοιότητα οὔτε οἶδεν οὔτε εἰσοικίζει τούς τοιούτους ὁ ἀγαθός. Εἰ δέ οὗτος οὕτως, καί οἱ κατ᾿ αὐτόν κἀνταῦθα ζήσαντες κἀκεῖ συμβασιλεύσοντες τά κοινά δήπου τοῖς μή παραπλησίοις τήν ἀρετήν τῶν καθ᾿ αἷμα προσῳκειωμένων ἐροῦσιν.

Κἄν εἴπῃ τις, παῖς ἐγώ σός, πατήρ αὐτός ἦν, ἀδελφός ἔγωγε˙ ἀλλ᾿ ὁ μέν φεῦ ἀκούσει, ὡς ἀδελφός οὐ λυτροῦται˙ ὁ δέ, πατήρ οὐδείς, εἰμή εἷς ὁ Θεός˙ ὁ δ᾿ εἰ τέκνον ἦς ἐμόν, μιμητής ἄν ἦς ἐμός, νῦν δ᾿ ἐκείνου τοῦ πατρός εἶ, οὗ καί τῶν ἐπιθυμιῶν ἐργάτης˙ ἄπιθι τούτῳ συνδιαιωνίσων˙ ἐγώ γάρ οὐκ οἶδά σε˙ πάντα γάρ ὅσα τοῦ ὧδε, ὅ καί εἰς τόν ἐπιλελοιπότα βίον ἐκεῖνον ἡμεῖς ἐμισήσαμεν˙ διό καί τῆς βασιλείας ταύτης κληρονόμοι γεγόναμεν. Ὅπου τοῦτο τό κατά τούς θείους πατέρας ψυχρόν ρῆμα, δεσμός ἀγάπης ἀπῆν καί ὁ Χριστός ἀπελήλαται˙ οὕς τό πάθος ἐκράτει τοῦτο καί τότε, φυλαυτίαν, φιλαργυρίαν, μισαδελφίαν, καί πᾶν εἶδος κακίας αὐτοῖς προὐξένει, καί νῦν αὐτούς καταισχύνει.

Φοβηθῶμεν οὖν, ἀδελφοί, τά τοιαῦτα, παρακαλῶ˙ φρικτά γάρ ὄντως. Οἰκονομήσωμεν τά καθ᾿ ἡμᾶς, ὡς Θεῷ φίλον˙ ἀφήσωμεν ἵνα ἀφεθῶμεν, ἐλεήσωμεν ἵνα πολλαπλασίως ἐλεηθῶμεν˙ εἰς ἑαυτόν γάρ ὁ δι᾿ ἡμᾶς ἐσχάτως πτωχεύσας τήν ἐλεημοσύνην ἀναδεχόμενος, μαγαλόδωρος ὤν, πολυπλασιάζει τήν ἀμοιβήν˙ ἡ τοίνυν (σελ. 370)

ἔστω τις κατ᾿ ἐκεῖνον πτωχός, καί σύν ἐκείνῳ ζήσεται, ἤ κοινωνείτω τοῖς δι᾿ ἐκεῖνον πτωχοῖς, καί διά τούτων σωθήσεται. Κτησώμεθα σπλάγχνα οἰκτιρμῶν˙ δῶμεν οἴκοθεν τεκμήριον τῆς πρός τόν ἀδελφόν ἀγάπης καί τῆς πρός τόν κοινόν Πατέρα καί δεσπότην εὐνοίας. Καιρόν δέ τῶν νηστίμων τούτων ἡμερῶν εὐπροσδεκτότερον οὐχ εὑρήσει τις πρός τά τοιαῦτα˙ τῇ γάρ νηστείᾳ συνάψας, τόν ἔλεον, πᾶν ἁμάρτημα ἀπαλείψει καί μετά παρρησίας τά σωτήρια προσκυνήσει πάθη καί τῇ ἀναστάσει τοῦ Χριστοῦ συνευφρανθήσεται καί τῆς αἰωνίας ἀπολυτρώσεως τεύξεται.

Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ἐν αὐτῷ Χριστῷ τῷ Θεῷ ἡμῶν˙ ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ παναγίῳ καί ἀγαθῷ καί ζωοποιῷ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ ΙΔ' (Σελ. 374)*

## *ΕΙΣ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΜΟΝ ΤΗΣ ΠΑΝΥΠΕΡΑΓΝΟΥ*
## *ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ*
## *ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ*

Ψαλμῳδός προφήτης ἀπαριθμούμενος τά τῆς κτίσεως εἴδη καί τήν ἐν αὐτοῖς σοφίαν τοῦ Θεοῦ καθορῶν, τοῦ θαύματος ὅλος γεγονώς, μεταξύ γράφων ἐξεβόησεν˙ «ὡς ἐμεγαλύνθη τά ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας». Ἐμοί δέ νῦν, τίς ἐφαρμόσει λόγος πρός ὕμνον ἐξαγγέλειν πειρωμένῳ πρός δύναμιν τήν διά σαρκός ἐπιφάνειαν τοῦ τά πάντα κτίσαντος Λόγου; Εἰ γάρ θαύματος γέμει τά ὄντα καί τό ἐκ μή ὄντων ταῦτα προελθεῖν εἰς τά ὄντα θεῖον καί πολυύμνητον, πόσῳ θαυμασιώτερον καί θεότερον καί παρ᾿ ἡμῶν ὑμνεῖσθαι ἀναγκαιότερον τό γενέσθαι τι τῶν ὄντων (σελ.376) Θεόν, καί οὐχ ἁπλῶς Θεόν, ἀλλά τόν ὄντως ὄντα Θεόν, καί ταῦτα τήν μηδέ φυλάξαι δυνηθεῖσαν ἤ βουληθεῖσαν τό καθό γέγονεν ἡμετέραν φύσιν, καί διά τοῦτο δικαίως εἰς τά κατώτατα τῆς γῆς ἀπωσθεῖσαν; Τοσοῦτο γάρ μέγα καί θεῖον, ἀπόρρητόν τε καί ἀνενόητον, τό τήν ἡμετέραν φύσιν γενέσθαι ὁμόθεον καί δι᾿ αὐτῆς ἡμῖν χαρισθῆναι τήν

ἐπί τό κρεῖττον ἐπάνοδον, ὡς καί τοῖς ἁγίοις ἀγγέλοις τε καί ἀνθρώποις, καί αὐτοῖς τοῖς προφήταις, καίτοι διά Πνεύματος ὁρῶσιν, ἀνεπίγνωστον ὄντως μένειν, ἀπό τοῦ αἰῶνος ὑπάρχον κεκρυμμένον μυστήριον. Καί τί λέγω πρίν εἰς πέρας ἐλθεῖν; Καί γεγονός γάρ, οὐχ ὅτι γέγονεν, ἀλλ᾽ ὅπως γέγονε, πάλιν μυστήριον μένει, πιστευόμενον ἀλλ᾽ οὐ γινωσκόμενον, προσκυνούμενον ἀλλ᾽ οὐ πολυπραγμονούμενον, καί προσκυνούμενόν τε καί πιστευόμενον διά μόνου τοῦ Πνεύματος˙ «οὐδείς γάρ δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰμή ἐν Πνεύματι ἁγίῳ», καί τό Πνεῦμά ἐστι δι᾽ οὗ προσκυνοῦμεν καί δι᾽ οὗ προσευχόμεθα, φησίν ὁ ἀπόστολος.

Ὅτι δέ μή τοῖς ἀνθρώποις μόνον, ἀλλά καί τοῖς ἀγγέλοις καί τοῖς ἀρχαγγέλοις αὐτοῖς ἀπερινόητόν ἐστι τό μυστήριον τοῦτο, παρίστησι σαφῶς καί τό παρ᾽ ἡμῶν ἑορταζόμενον σήμερον. εὐγγελίσατο μέν γάρ ὁ ἀρχάγγελος τῇ Παρθένῳ τήν σύλληψιν˙ τῆς δέ μαθεῖν ζητούσης τόν τρόπον καί πρός αὐτόν εἰπούσης, «πῶς ἔσται μοι τοῦτο, ἐπεί ἄνδρα οὐ γινώσκω;», μηδαμῶς ἔχων ὁ ἀρχάγγελος ἑρμηνεῦσαι τόν τρόπον, ἐπί τόν Θεόν καί οὗτος κατέφυγε, «Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σέ καί δύναμις Ὑψίστου ἐπισκιάσει σοι». (σελ. 378) Ὥσπερ γάρ εἰ καί τόν Μωϋσῆν ἤρετό τις, πῶς ἐκ γῆς ἄνθρωπος, πῶς ἐκ χώματος ὀστᾶ καί νεῦρα καί σάρξ, πῶς αἰσθητήρια ἐξ ἀναισθήτου, ἀλλά καί ἐκ τῆς ἀδαμιαίας πλευρᾶς πῶς πάλιν ἄνθρωπος, πῶς τό ὀστοῦν ἐξετάθη καί διῃρέθη καί ἡνώθη καί συνεδέθη, πῶς ἐκ τοῦ ὀστοῦ σπλάγχνα καί χυμοί διάφοροι καί τ᾽ ἄλλα πάντα; Ὥσπερ οὖν εἴ τις ταῦτα τόν Μωϋσῆν ἠρώτα, εἶπεν ἄν οὐδέν πλέον πλήν ὅτι ὁ Θεός ἐστιν ὁ χοῦν λαβών ἀπό τῆς γῆς καί ποιήσας τόν Ἀδάμ, καί μίαν τῶν τοῦ Ἀδάμ πλευρῶν λαβών καί τήν Εὔαν ἐργασάμενος, καί τίς μέν ὁ ποιήσας εἶπε, τόν δέ τρόπον πῶς ἐκεῖνα γέγονεν οὐκ εἶπεν˙ οὕτω καί ὁ Γαβριήλ, ὅτι μέν τό Πνεῦμα τό ἅγιον καί ἡ τοῦ Ὑψίστου δύναμις τόν ἄσπορον ἐργάσονται τόκον, εἶπε, τό δέ πῶς οὐκ εἶπεν. Εἰ γάρ περί τῆς Ἐλισάβετ προϊών μνησθείς, ὅτι συνέλαβεν ἐν γήρᾳ καί στείρα οὖσα, πλέον ἔσχειν εἰπεῖν οὐδέν πλήν ὅτι οὐκ ἀδυνατήσει τῷ Θεῷ πᾶν ρῆμα, πῶς ἄν ἐπί τῆς ἐν παρθενίᾳ συλλαβούσης καί τεκούσης ἔσχεν εἰπεῖν τόν τρόπον;

Ἔχει δέ ὅμως καί πλέον τό πρός τήν Παρθένον τοῦ ἀρχαγγέλου λεγόμενον, ἀλλ᾽ εἰς μυστηρίου μείζονος λόγον˙ «ἐπελεύσεται γάρ», φησί, «Πνεῦμα ἅγιον ἐπί σέ καί δύναμις Ὑψίστου ἐπισκιάσει σοι». Διατί; Ὅτι καί τό γεννώμενον οὐ προφήτης, οὐδ᾽ ἁπλῶς ἄνθρωπος ὡς

ὁ Ἀδάμ, ἀλλ᾽ υἱός ὑψίστου κληθήσεται καί σωτήρ καί ῥύστης ἀνθρώπων γένους καί βασιλεύς αἰώνιος. Καθάπερ γάρ τούς ἀπό κορυφῆς ὄρους ἐκπεσόντας λίθους καί μέχρι τῶν ἐσχάτων (σελ. 380) τῆς ὑπωρείας κινουμένους, πολλοί διαδέχονται κρυμνοί, οὕτως ἡμᾶς ἀπό τῆς ἐν τῷ παραδείσῳ θείας ἐντολῆς καί τῆς κατ᾽ αὐτόν μακαρίας διαίτης ἐκπεσόντας καί μέχρις ᾄδου καταφερομένους, πολλά διεδέξαντο δεινά. Οὐ γάρ ἀκάνθας καί τριβόλους μόνον αἰσθητάς ἀνέτειλεν ἡ γῆ κατά τήν εἰς τόν προπάτορα κατάραν, ἀλλά πολλῷ μᾶλλον ταῖς πολυειδέσι τῶν πονηρῶν παθῶν ἀκάνθαις καί ταῖς δειναῖς τριβόλοις τῆς ἁμαρτίας ἐνεσπάρημεν. Οὐδέ τήν λύπην μόνον ἐκείνην ἔσχε τό ἡμέτερον γένος, ἥν ἡ προμήτωρ ἐκληρώσατο διά τῆς πρός αὐτήν κατάρας, ἐν λύπαις τίκτειν καταψηφισαμένης, ἀλλά καί πᾶς ὁ βίος ἡμῶν ὀδύνη καί λύπη γέγονε σχεδόν.

Ἐπεῖδε μέντοι φιλανθρώπως ἐφ᾽ ἡμᾶς ὁ πλάσας ἡμᾶς Θεός διά σπλάγχνα ἐλέους αὐτοῦ καί κλίνας οὐρανούς κατῆλθε, καί προσλαβόμενος ἐκ Παρθένου ἁγίας τήν ἡμῶν φύσιν ἀνεκαίνισε καί ἐπανήγαγε, μᾶλλον δέ ἀνήγαγεν εἰς θεῖον καί οὐράνιον ὕψος. Τοῦτο δέ βουληθείς καταπρᾶξαι, μᾶλλον δέ τήν προαιώνιον αὐτοῦ βουλήν εἰς τέλος ἀγαγεῖν σήμερον, πέμπει τόν ἀρχάγγελον Γαβριήλ, ὡς ὁ εὐαγγελιστής φησι Λουκᾶς, «εἰς Ναζαρέτ πρός Παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου καί πατριᾶς Δαβίδ, καί τό ὄνομα τῆς Παρθένου Μαριάμ.

Πρός Παρθένον μέν οὖν τόν ἀρχάγγελον ὁ Θεός πέμπει, καί ταύτην μένουσαν παρθένον οἰκείαν ποιεῖται μητέρα διά μόνου προσρήματος, ἐπειδήπερ, εἴπερ ἐκ σπέρματος συνελήφθη, οὐκ ἄν ἦν καινός ἄνθρωπος, οὐδ᾽ ἀναμάρτητος ἦν καί τῶν ἁμαρτόντων σωτήρ˙ ἡ γάρ τῆς σαρκός πρός γένεσιν κίνησις, ἀνυποτάκτως ἔχουσα πρός τόν ἡγεμονεύειν ἐν ἡμῖν παρά Θεοῦ τεταγμένον νοῦν, οὐκ ἐκτός παντάπασιν ἁμαρτίς ἐστί. Διό καί ὁ Δαβίδ ἔλεγεν, (σελ. 382) «ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου». Εἰ γοῦν ἐκ σπέρματος ἦν ἡ τοῦ Θεοῦ σύλληψις, οὐκ ἄν ἦν καινός ἄνθρωπος, οὐδέ τῆς καινῆς καί μηδαμῶς παλαιουμένης ζωῆς ἀρχηγός˙ τοῦ γάρ παλαιοῦ κόμματος ὤν καί κληρονόμος ἐκείνου τοῦ πταίσματος, οὐκ ἄν ἠδυνήθη τό πλήρωμα ἐν ἑαυτῷ φέρειν τῆς ἀκηράτου θεότητος καί πηγήν ποιῆσαι τήν σάρκα αὐτοῦ ἁγιασμοῦ ἀνεξάντλητον˙ ὡς καί τῶν προπατόρων ἐκείνων τόν μολυσμόν ἀποπλῦναι περιουσίᾳ δυνάμεως καί τοῖς ἑξῆς ἀρκεῖν πρός ἁγιασμόν

ἅπασι. Διά τοῦτο οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ᾽ αὐτός ὁ Κύριος ἦλθε καί ἔσωσεν ἡμᾶς συλληφθείς καί σαρκωθείς ἐν μήτρᾳ Παρθένου καί μείνας ἀναλλοιώτως Θεός.

Ἔδει δέ καί μάρτυρα τήν Παρθένον ἔχειν τῆς ἀσπόρου συλλήψεως καί συλλήπτορα πρός τά κατ᾽ οἰκονομίαν τελεσθησόμενα. Τίνα ταῦτα; Τήν ἐπί Βηθλεέμ ἄνοδον, ἔνθα καί ὁ παρά τῶν οὐρανίων ἀγγέλων καταγγελόμενός τε καί δοξαζόμενος τόκος˙ τήν εἰς τό ἱερόν ἔλευσιν, ἔνθα παρά Συμεών καί τῆς Ἄννης ζωῆς καί θανάτου Κύριος μαρτυρεῖται τό βρέφος˙ τήν εἰς Αἴγυπτον ἐξ Ἡρώδου φυγήν καί τήν ἐξ Αἰγύπτου κατά τάς ἱεράς προρρήσεις ἐπάνοδον καί τ᾽ ἄλλα ὅσα νῦν καταλέγειν οὐκ εὐχερές. Διά ταῦτα μνήστωρ ὁ Ἰωσήφ παρελήφθη καί ὁ ἄγγελος ἐπέμφθη πρός παρθένον μεμνηστευμένην ἀνδρί ᾧ ὄνομα Ἰωσήφ. Τό δέ ἐξ οἴκου καί πατριᾶς Δαβίδ ἐπ᾽ ἀμφοτέρων νοήσεις˙ ἄμφω γάρ ἥ τε Παρθένος καί ὁ Ἰωσήφ εἰς Δαβίδ τό γένος ἀνέφερον.

«Καί τό ὄνομα», φησί, «τῆς Παρθένου Μαριάμ˙ τοῦτο δέ (σελ. 384) ἑρμηνεύεται Κυρία. Παρίστησι δέ καί τό ἀξίωμα τῆς Παρθένου καί τό βέβαιον τῆς παρθενίας, καί τό ἐξηλλαγμένον αὐτῆς τοῦ βίου καί διά πάντων ἠκριβωμένον καί ὡς εἰπεῖν παναμώμητον˙ κυρίως γάρ οὖσα φερονύμως παρθένος, πᾶσαν εἶχεν τήν τῆς ἁγνείας παντελῆ παγκτησίαν, παρθένος οὖσα καί τό σῶμα καί τήν ψυχήν καί τάς τῆς ψυχῆς δυνάμεις καί τάς τοῦ σώματος αἰσθήσεις πάσας μολυσμοῦ παντός ὑπερανῳκισμένας πλουτοῦσα καί τοσοῦτο κυρίως τε καί βεβαίως καί ὡς εἰπεῖν κεκυρωμένως καί τοῖς πᾶσιν ἀσύλως τόν ἅπαντα χρόνον, ὥσπερ ἡ κεκλεισμένη πύλη τά ἐντεθησαυρισμένα καί τό ἐσφραγισμένον βιβλίον ὀφθαλμοῖς ἄψαυστα τηρεῖ τά ἐγγεγραμμένα˙ ἐπεί καί περί αὐτῆς γέγραπται, «τοῦτό ἐστι τό ἐσφραγισμένον βιβλίον, καί αὕτη ἡ πύλη κεκλεισμένη ἔσται, καί οὐδείς οὐ μή διέλθη δι᾽ αὐτῆς».

Ἀλλά καί Κυρία πάλιν ἕτερον τρόπον ἡ Παρθένος κατά τήν ἀξίαν, ὡς δεσπόζουσα πάντων, ἅ τε τόν φύσει τοῦ παντός δεσπότην ἐν παρθενίᾳ συλλαβοῦσά τε καί τεκοῦσα θείως. Ἔτι γε μήν Κυρία καί ὡς ἐλευθέρα μόνον δουλείας καί κυριότητος θείας ἐπειλημμένη, ἀλλά καί ὡς πηγή καί ῥίζα τῆς τοῦ γένους ἐλευθερίας, καί μάλιστα μετά τόν ἀπόρρητον καί χαρμόσυνον τόκον˙ ἡ γάρ ἀνδρί συζυγεῖσα κυριευομένη μᾶλλόν ἐστιν ἤ κυρία, καί μάλιστα μετά τόν περίλυπον καί κατώδυνον τόκον, κατά τήν πρός τήν Εὔαν ἀράν ἐκείνην, «ἐν λύπαις τέξῃ τέκνα, καί πρός τόν ἄνδρα σου ἡ ἀποστροφή σου, καί

αὐτός σου κυριεύσει»˙ ἧς ἀρᾶς ἡ παρθενομήτωρ, ἐλευθεροῦσα τό ἀνθρώπινον γένος, τήν χαράν δι᾽ ἀγγέλου καί τήν εὐλογίαν ἀντιλαμβάνει˙ εἰσελθών γάρ, φησίν, ὁ ἄγγελος, εἶπε πρός τήν Παρθένον, «χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετά σοῦ, εὐλογημένη σύ ἐν γυναιξίν». (σελ. 386) Οὐ τό μέλλον ὁ ἀρχάγγελος προκαταγγέλλει πρός αὐτήν λέγων, «ὁ Κύριος μετά σοῦ», ἀλλ᾽ ὅπερ ἀοράτως ἑώρα τηνικαῦτα τελούμενον ἐξαγγέλλει. Καί χωρίον μέν ταύτην θείων καί ἀνθρωπίνων χαρισμάτων κατανοῶν καί διά πάντων κεκοσμημένην τῶν χαρισμάτων τοῦ θείου Πνεύματος, κεχαριτωμένην ἐτύμως ἀνηγόρευσεν, ἔνοικον δέ λαβοῦσα ἤδη κατιδών τόν ἐν ᾧ τούτων ἁπάντων οἱ θησαυροί, καί προκαθορῶν τήν ἄλυπον κυοφορίαν καί τόν ἄνευ ὠδίνων ἐσόμενον τόκον, προσευηγγελίσατο ταύτῃ χαίρειν καί μόνον εὐλογημένην εἶναι καί δεδοξασμένην εἰκότως ἐν γυναιξί διετείνατο˙ τῇ γάρ ὑπερβολῇ τῆς κατά τήν θεομήτορα Παρθένον δόξης οὐκ ἔστι τις ἑτέρα δεδοξασμένη, κἄν ἐδοξάσθη.

Ἀλλ᾽ ἡ Παρθένος ἰδοῦσα καί φοβηθεῖσα μή τις ἀπατηλός ἄγγελος ᾖ, κλέπτων τάς κατά τήν Εὔαν ἀπερισκέπτους, τόν ἀσπασμόν ἀνεξετάστως οὐ παρεδέξατο˙ καί τήν συνάφειαν, ἥν οὗτος εὐηγγελίζετο, πρός Θεόν μήπω καθαρῶς γνοῦσα, ἐταράχθη, φησίν, ἐπί τῷ λόγῳ αὐτοῦ, ἀπρίξ ὡς εἰπεῖν καί κατάκρας τῆς παρθενίας ἀντεχομένη, «καί διελογίζετο ποταπός εἴη ὁ ἀσπασμός οὗτος». Διά τοῦτο καί ὁ ἀρχάγγελος πάραυτα λύει τόν θεοφιλῆ τῆς κεχαριτωμένης Παρθένου φόβον, πρός αὐτήν εἰπών˙ «μή φοβοῦ Μαριάμ˙ εὗρες γάρ χάριν παρά τῷ Θεῷ». Τίνα χάριν; ἥτις μόνῳ δυνατή τῷ τά ἀδύνατα δυναμένῳ καί μόνῃ σοί τετηρημένη πρό τῶν αἰώνων. «Ἰδού γάρ συλλήψῃ ἐν γαστρί»˙ σύλληψιν γάρ, φησίν, ἀκούουσα, μηδεμίαν ὑπολογίζου τῆς παρθενίας παρατροπήν, μηδέ διά τοῦτο δυσχέραινε καί ταράττου˙ τοῦτο γάρ τό, ἰδού συλλήψῃ, τηνικαῦτα πρός τήν παρθένον οὖσαν λεγόμενον, σύνδρομον τηνικαῦτα τῇ παρθενίᾳ τήν σύλληψιν ὑπεδείκνυ.

(σελ. 388) «Ἰδού οὖν συλλήψῃ», φησί, «καί τέξῃ υἱόν»˙ ἔχουσα γάρ ὥσπερ νῦν ἔχεις καί μένουσα τήν παρθενίαν ἀδιαλώβητος, ἔμβρυον ἕξεις καί τέξῃ τόν τοῦ Ὑψίστου Υἱόν˙ τοῦτο γάρ καί Ἠσαΐας προορῶν ἐκ πολλῶν ἐτῶν προέλεγεν «ἰδού ἡ Παρθένος ἐν γαστρί ἕξει καί τέξεται υἱόν», καί ὅτι, «προσῆλθον πρός τήν προφῆτιν». Πῶς οὖν ὁ προφήτης προσῆλθε πρός τήν προφῆτιν; ὡς νῦν ὁ ἀρχάγγελος πρός αὐτήν˙ ὅ γάρ νῦν οὗτος εἶδε, τοῦτο ἐκεῖνος προεῖδέ τε καί προεῖπεν.

Ὅτι δέ προφῆτις, προφητικήν ἔχουσα χάριν, ἡ Παρθένος, ἡ ἐν εὐαγγελίῳ πρός Θεόν ᾠδή ταύτης παραστήσει τῷ βουλομένῳ.

Προσῆλθεν οὖν, φησίν, ὁ Ἠσαΐας πρός τήν προφῆτιν, τῷ προβλεπτικῷ πάντως πνεύματι καί ἐν γαστρί ἔλαβε, πρίν ἐλθεῖν τῶν ὠδίνων τόν πόνον, ἐξέφυγε καί ἔτεκεν ἄρσεν˙ ὁ δέ ἀρχάγγελος νῦν πρός αὐτήν, «τέξῃ», φησίν, «υἱόν καί καλέσεις τό ὄνομα αὐτοῦ Ἰησοῦν (ὅ ἑρμηνεύεται Σωτήρ)˙ οὗτος γάρ ἔσται μέγας». Εἶπεν οὖν Ἠσαΐας πάλιν, «θαυμαστός σύμβουλος, Θεός ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατήρ τοῦ μέλλοντος αἰῶνος». Τούτῳ συνῳδά νῦν καί ὁ ἀρχάγγελος φησίν, «οὗτος γάρ μέγας, καί υἱός Ὑψίστου κληθήσεται». (Πῶς δέ οὐκ εἶπεν, " ἔστι μέγας καί υἱός Ὑψίστου", ἀλλ᾿ «ἔσται καί κληθήσεται»; ὡς περί τοῦ κατά Χριστόν ἀνθρωπίνου ποιούμενος τόν λόγον), ἅμα καί δηλῶν, ὅτι καί γνωσθήσεται τοῖς πᾶσι καί ὑπό τούτων τοιοῦτος ὑπάρχων κηρυχθήσεται, ὡς καί τόν Παῦλον ὕστερον λέγειν ἔχειν, «ὁ Θεός ἐφανερώθη ἐν σαρκί, ἐκηρύχθη ἐν ἔθνεσιν, ἐπιστεύθη ἐν κόσμῳ». Ἀλλά καί «δώσει», φησίν, (σελ. 390) «αὐτῷ Κύριος τόν θρόνον Δαβίδ τοῦ πατρός αὐτοῦ, καί βασιλεύσει ἐπί τόν οἶκον Ἰακώβ εἰς τούς αἰῶνας καί τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος»˙ οὗ δέ ἡ βασιλεία εἰς αἰῶνας οὖσα πέρας οὐκ ἔχει, ὁ Θεός ἐστιν αὐτός. Ἀλλά καί πατέρα τόν Δαβίδ οὗτος ἔχει, οὐκοῦν καί ἄνθρωπός ἐστιν ὁ αὐτός, ὡς εἶναι τόν τεχθησόμενον Θεόν ὁμοῦ καί ἄνθρωπον, υἱόν τε ἀνθρώπου καί υἱόν Θεοῦ, παρά Θεοῦ καί Πατρός ὡς ἄνθρωπος τήν ἀδιάδοχον βασιλείαν λαμβάνοτα, ὡς εἶδε καί προανεκήρυξεν ὁ Δανιήλ˙ «ἐθεώρουν γάρ», φησίν, «ἕως οὗ θρόνοι ἐτέθησαν καί Παλαιός Ἡμερῶν ἐκάθισε˙ καί ἰδού ὡς υἱός ἀνθρώπου ἐρχόμενος ἐπί τῶν νεφελῶν τοῦ οὐρανοῦ καί μέχρι τοῦ Παλαιοῦ τῶν Ἡμερῶν ἔφθασε, καί αὐτῷ ἐδόθη ἡ τιμή καί ἡ ἐξουσία˙ καί ἡ βασιλεία αὐτοῦ βασιλεία αἰώνιος, καί βασιλεῖ ἑτέρῳ οὐχ ὑπολειφθήσεται».

Καθέσει δέ ἐπί τόν θρόνον Δαβίδ καί βασιλεύσει ἐπί τόν οἶκον Ἰακώβ˙ ἐπειδή περ ὁ μέν Ἰακώβ πατριάρχης τῶν θεοσεβῶν ἐστιν ἁπάντων, ὁ δέ Δαβίδ πρῶτος ἁπάντων θεοσεβῶς ὁμοῦ καί θεαρέστως εἰς τύπον ἐβασίλευσε Χριστοῦ˙ὅς πατριαρχίαν τε καί βασιλείαν εἰς μίαν οὐράνιον καί αἰώνιον συνήγαγε ἀρχήν. Ἡ δέ κεχαριτωμένη Παρθένος τῶν οὕτως ἐξαισίων καί θείων ὡς ἤκουσε τοῦ ἀρχαγγέλου πρός αὐτήν ρημάτων, ὅτι «ὁ Κύριος μετά σοῦ», καί ἰδού συλλήψῃ καί υἱόν τέξῃ, τόν βασιλεύοντα τῶν αἰώνων τοῦ Ὑψίστου Υἱόν, «πῶς ἔσται μοι», φησί, «τοῦτο; ἐπεί ἄνδρα οὐ γινώσκω». Εἰ γάρ καί πνευματικόν

ἄγαν καί σαρκικῶν παθῶν ὑπερανῳκισμένον μοι κομίζεις τό εὐαγγέλιον, ἀλλά σύλληψίν μοι λέγεις ἐν γαστρί καί κύησιν καί τόκον, καί τό «ἰδού προστίθης ἐπί τῆς συλλήψεως˙ «πῶς οὖν ἔσται μοι τοῦτο; ἐπεί ἄνδρα», φησίν «οὐ γινώσκω».

(σελ. 392) Τοῦτό δέ φησιν ἡ Παρθένος οὐκ ἀπιστοῦσι, μαθεῖν δέ τό πρᾶγμα κατά τό δυνατόν ὡς ἔχει ζητοῦσα˙ διά τοῦτο καί ὁ ἀρχάγγελος πρός αὐτήν, «Πνεῦμα» φησίν, «ἅγιον ἐπελεύσεται ἐπί σέ, καί δύναμις Ὑψίστου ἐπισκιάσει σοι˙ διό καί τό γεννώμενον ἅγιον, κληθήσεται Υἱός Θεοῦ». Ἁγία μέν γάρ εἶ σύ, φησί, καί κεχαριτωμένη Παρθένε˙ Πνεῦμα δέ πάλιν ἅγιον ἐπελεύσεται ἐπί σέ, δι᾽ ἁγιασμοῦ προσθήκης ὑψηλοτέρας ἑτοιμάζον καί προκαταρτίζον τήν ἐν σοί θεουργίαν˙ καί δύναμις ὑψίστου ἐπισκιάσει σοι, συνεπιρρωννῦσά τε ἅμα καί διά τῆς ἐν σοί ἐπισκιάσεως καί συναφείας ἑαυτῇ μορφοῦσα τήν ἀνθρωπότητα, ὡς εἶναι γεννώμενον ἅγιον, Υἱόν Θεοῦ καί δύναμιν Ὑψίστου μεμορφωμένην κατ᾽ ἄνθρωπον˙ ἰδού γάρ καί Ἐλισάβετ ἡ συγγενής σου στεῖρα τόν ἅπαντα διανύσασα βίον, νῦν ἐν γήρᾳ, Θεοῦ βουληθέντος, παραδόξως κυοφορεῖ, ὅτι οὐκ ἀδυνατήσει παρά τῷ Θεῷ πᾶν ρῆμα.

Τί οὖν ἡ κεχαριτωμένη πρός ταῦτα Παρθένος, καί τήν σύνεσιν θεία καί ἀπαράμιλλος; Πάλιν πρός τόν Θεόν τρέχει καί δι᾽ εὐχῆς πρός αὐτόν ἀνατείνεται, πρός τόν ἀρχάγγελον λέγουσα˙ εἰ Πνεῦμα καθά φῄς ἅγιον ἐπελεύσεται ἐπ᾽ ἐμέ, τήν ἐμήν φύσιν ἔτι καθαῖρον καί ἐνισχύον δέξασθαί με τό σωτήριον κύημα, εἰ δύναμις Ὑψίστου ἐπισκιάσει μοι, μορφοῦσα κατ᾽ ἄνθρωπον ἐν ἐμοί τόν ἐν μορφῇ Θεοῦ ὄντα καί δημιουργοῦσα λοχείαν ἄσπορον, εἰ τό γεννώμενον ἅγιον καί Υἱός Θεοῦ καί Θεός καί βασιλεύς αἰώνιος, οὐ γάρ ἀδυνατεῖ παρά τῷ Θεῷ πᾶν ρῆμα, «ἰδού ἡ δούλη Κυρίου, γένοιτό μοι κατά τό ρῆμα σου». Καί ἀπῆλθεν ἀπ᾽ αὐτῆς ὁ ἄγγελος, λιπών ἐν τῇ γαστρί ταύτης σώματι συνημμένον τόν τοῦ παντός ποιητήν καί διά τῆς ἐν αὐτῇ ταύτης συναφείας, ᾗ διηκόνησε, προξενήσας τῷ κόσμῳ τήν σωτηρίαν. Οὕτω δέ καί Ἠσαΐας δι᾽ ὧν ἤδη καί μακαρίας ἠξιώθη (σελ. 394) παθεῖν ἐναργῶς προϋπέγραψεν. Οὐ γάρ ἀμέσως ἑώρακε τόν Σεραφείμ ἐκ τοῦ κατ᾽ οὐρανόν νοητοῦ θυσιαστηρίου τόν ἄνθρακα λαβόντα˙ διά γάρ τῆς λαβίδος τοῦτον ἔλαβεν ὁ Σεραφείμ, δι᾽ ἧς καί τῶν αὐτοῦ χειλέων ἥψατο, τήν κάθαρσιν διδούς. Τοῦτο δ᾽ ἦν τό τῆς λαβίδος ἐκείνῳ τῷ μεγάλῳ θεάματι ταὐτόν, ὅ Μωσῆς ἑώρακε, βάτον ἐκ πυρός ἡμμένην καί μή κατακαιομένην.

Τίς δ᾽ οὐκ οἶδεν, ὡς ἡ παρθενομήτωρ ἐκείνη τε ἡ βάτος καί αὕτη ἡ λαβίς ἐστιν, ἐν ἑαυτῇ τό θεῖον πῦρ ἀπυρπολύτως συλλαβοῦσα, κἀνταῦθα διακοήσαντος ἀρχαγγέλου τῇ συλλήψει, καί τόν αἴροντα τήν ἁμαρτίαν τοῦ κόσμου δι᾽ αὐτῆς συνάψαντος τῷ ἀνθρωπείῳ γένει καί διά τῆς ἀπορρήτου ταύτης συναφείας ἡμᾶς περικαθάραντος; Οὐκοῦν ἡ παρθενομήτωρ αὕτη μόνη μεθόριόν ἐστι κτιστῆς καί ἀκτίστου φύσεως˙ καί αὐτήν εἴσονται τοῦ ἀχωρήτου χώραν ὅσοι δή γινώσκουσι Θεόν καί αὐτήν ὑμνήσουσι μετά Θεόν ὅσοι τόν Θεόν ὑμνοῦσιν. Αὕτη καί τῶν πρό αὐτῆς αἰτία καί τῶν μετ᾽ αὐτήν προστάτις καί τῶν αἰωνίων ἀγαθῶν πρόξενος. Αὕτη τῶν προφητῶν ὑπόθεσις, τῶν Ἀποστόλων ἀρχή, τῶν μαρτύρων ἑδραίωμα, τῶν διδασκάλων κρηπίς. Αὕτη τῶν ἐπί γῆς ἡ δόξα, τῶν κατ᾽ οὐρανόν ἡ τερπνότης, τό πάσης κτίσεως ἐγκαλλώπισμα. Αὕτη καταρχή καί πηγή καί ρίζα τῆς ἀποκειμένης ἡμῖν ἐν οὐρανοῖς ἐλπίδος.

Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν ταῖς αὐτῆς ὑπέρ ἡμῶν πρεσβείαις εἰς δόξαν τοῦ πρό αἰώνων ἐκ Πατρός γεννηθέντος καί ἐπ᾽ ἐσχάτων αἰώνων ἐξ αὐτῆς σαρκωθέντος Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν˙ ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

### *ΟΜΙΛΙΑ ΙΕ’ (Σελ. 398)*

### *ΕΚΦΩΝΗΘΕΙΣΑ ΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΒΑΪΩΝ.*

Καιρῷ δεκτῷ ἐπήκουσά σου, καί ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι», διά τοῦ Ἠσαΐου εἶπεν ὁ Θεός. Καλόν οὖν σήμερον τό ἀποστολικόν ἐκεῖνο πρός τήν ὑμετέραν ἀγάπην εἰπεῖν˙ «ἰδού καιρός εὐπρόσδεκτος, ἰδού ἡμέρα σωτηρίας˙ ἀποθώμεθα οὖν τά ἔργα τοῦ σκότους καί ἐργαζώμεθα τά ἔργα τοῦ φωτός, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν». Ἐγγίζει γάρ ἡ τῶν σωτηρίων τοῦ Χριστοῦ παθημάτων ἀνάμνησις καί τό καινόν καί μέγα καί πνευματικόν Πάσχα, τό τῆς ἀπαθείας βραβεῖον, τό τοῦ μέλλοντος αἰῶνος προοίμιον. Καί προκηρύττει τοῦτο Λάζαρος (σελ. 400) ἐκ τῶν ᾅδου κευθμώνων ἐπανελθών καί φωνῇ καί προστάγματι μόνῳ Θεοῦ, τοῦ ζωῆς ἔχοντος καί θανάτου τήν ἐξουσίαν, τετραήμερος ἐκ νεκρῶν ἀναστάς, καί προανυμνοῦσι παῖδες καί λαός ἄκακος ἐπιπνοίᾳ τοῦ

θείου Πνεύματος τόν ἐκ θανάτου λυτρούμενον, τόν ἐξ ᾅδου ψυχάς ἀνάγοντα, τόν ψυχῇ καί σώματι ζωήν ἀΐδιον χαριζόμενον.

Εἴ τις οὖν ἐθέλει ζωήν ἀγαπᾶν ἡμέρας ἰδεῖν ἀγαθάς, παυσάτω τήν γλῶσσαν αὐτοῦ ἀπό κακοῦ καί χείλη αὐτοῦ τοῦ μή λαλῆσαι δόλον˙ ἐκκλινάτω ἀπό κακοῦ καί ποιησάτω τό ἀγαθόν. Κακόν οὖν γαστριμαργία καί μέθη καί ἀσωτία˙ κακόν φιλαργυρία, πλεονεξία καί ἀδικία˙ κακόν κενοδοξία, θρασύτης καί ὑπερηφανία. Ἐκκλινάτω οὖν πᾶς ἀπό τῶν τοιούτων κακῶν καί ἐργαζέσθω τά ἀγαθά. Τίνα ταῦτα; τήν ἐγκράτειαν, τήν νηστείαν, τήν σωφροσύνην, τήν δικαιοσύνην, τήν ἐλεημοσύνην, τήν μακροθυμίαν, τήν ἀγάπην, τήν ταπείνωσιν, ἵνα μεταλάβωμεν ἀξίως τοῦ τυθέντος ὑπέρ ἡμῶν ἀμνοῦ τοῦ Θεοῦ καί λάβωμεν ἐντεῦθεν τόν ἀρραβῶνα τῆς ἀφθαρσίας καί φυλάξωμεν παρ᾽ ἑαυτοῖς εἰς πληροφορίαν τῆς ἐν οὐρανοῖς ἡμῖν ἐπηγγελμένης κληρονομίας. Ἀλλά δυσάνυστον τό ἀγαθόν καί αἱ ἀρεταί δυσκολώτεραι εἰσι τῶν κακιῶν; Ἐγώ μέν οὐχ ὁρῶ τοῦτο˙ καί γάρ πλείους αὐτόθεν ὑφίσταται πόνους ὁ μέθυσος καί ἀκρατής τοῦ ἐγκρατοῦς καί ὁ ἀκόλαστος τοῦ σωφρονοῦντος καί ὁ σπεύδων πλουτεῖν τοῦ ἐν αὐταρκείᾳ ζῶντος καί ὁ δόξαν ἑαυτῷ περιθέσθαι ζητῶν τοῦ ἐν ἀφανείᾳ διάγοντος˙ ἀλλ᾽ ἐπεί διά τήν ἡμετέραν ἡδυπάθειαν δυσκολώτεραι ἡμῖν φαίνονται αἱ ἀρεταί, βιασώμεθα ἡμᾶς αὐτούς (σελ. 402) «βιαστή γάρ ἐστι», φησίν ὁ Κύριος, «ἡ βασιλεία τῶν οὐρανῶν, καί βιασταί ἁρπάζουσιν αὐτήν».

Σπουδῆς οὖν ἡμῖν πᾶσι χρεία καί προσοψῆς, ἐνδόξοις τε καί ἀδόξοις, ἄρχουσι καί ἀρχομένοις, πλουσίοις καί πένησιν, ὥστε τά πονηρά πάθη ταῦτα τῆς οἰκείας ἀπώσασθαι ψυχῆς καί ἀντεισοικίσαι ταύτῃ τόν τῶν ἀρετῶν κατάλογον. Καί ὁ γεωργός γάρ καί ὁ σκυτοτόμος καί ὁ οἰκοδόμος καί ὁ ῥάπτης καί ὁ ὑφαντής, καί ἁπλῶς πᾶς ὁ δι᾽ οἰκείων πόνων καί ἐκ τῆς τῶν χειρῶν ἐργασίας ποριζόμενος τό ζῆν, ἐάν τήν ἐπιθυμίαν τοῦ πλούτου καί τῆς δόξης καί τῆς τρυφῆς ἀπό τῆς οἰκείας ἐκβάλωσι ψυχῆς, ὄντως μακάριοι˙ οὗτοί γάρ εἰσιν οἱ πτωχοί, ὧν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν, διό καί διά τούς τοιούτους ὁ Κύριος, «μακάριοι», φησίν, «οἱ πτωχοί τῷ πνεύματι». Πτωχοί δέ εἰσι τῷ πνεύματι οἱ διά τό ἀκόμπαστον καί ἀφιλόδοξον καί ἀφιλήδονον τοῦ ἑαυτῶν πνεύματος, ἤτοι τῆς ψυχῆς, ἤ ἑκούσιον καί τήν ἐκτός ἔχοντες πτωχείαν ἤ γενναίως ταύτην φέροντες, κἄν ἀκούσιον ᾖ. Οἱ δέ πλουτοῦντες καί εὐπαθοῦντες καί τῆς προσκαίρου δόξης ἀπολαύοντες, καί ἁπλῶς οἱ τῶν τοιούτων ἐπιθυμηταί τυγχάνοντες,

δεινοτέροις πάθεσι περιπαρήσονται καί εἰς μείζους καί πλείους καί δυσχερεστέρας ἐμπεσοῦνται παγίδας τοῦ διαβόλου· τήν γάρ ἐπιθυμίαν τοῦ πλουτεῖν ὁ πλουτήσας οὐκ ἀποτίθεται, ἀλλ᾽ αὔξει μᾶλλον, πλειόνων ἤ πρότερον ὀρεγόμενος. Οὕτω καί ὁ φιλήδονος καί ὁ φίλαρχος καί ὁ ἄσωτος καί ὁ ἀκόλαστος, αὔξουσι μᾶλλον ταύτας, ἀλλ᾽ οὐκ ἀποβάλλονται. Οἱ δέ ἄρχοντες καί οἱ ἔνδοξοι προσλαμβάνουσι καί δύναμιν, ὥστε μείζους ἐκτελεῖν ἀδικίας καί ἁμαρτίας.

(σελ. 404) Διά τοῦτο δύσκολόν ἐστιν ἄρχοντα σωθῆναι καί πλούσιον εἰς τήν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. «Καί πῶς», φησί, «δύνασθε πιστεύειν εἰς ἐμέ, δόξαν παρά ἀνθρώπων λαμβάνοντες καί τήν δόξαν τήν παρά τοῦ μόνου Θεοῦ μή ζητοῦντες». Ἀλλά μή θορυβείσθω εἴ τις εὔπορος ἤ ἔνδοξος ἤ ἄρχων ἐστί· δύναται γάρ οὗτος, ἐάν θέλῃ, τήν δόξαν τοῦ Θεοῦ ζητεῖν καί βιάζεσθαι ἑαυτόν, ὥστε τήν πρός τά χείρω ῥοπήν ἀνακόπτων μεγάλας ἀρετάς ἐργάσασθαι καί μεγάλας ἀπώσασθαι κακίας, οὐκ ἀφ᾽ ἑαυτοῦ μόνον, ἀλλά καί ἀπό πολλῶν ἑτέρων τῶν μή βουλομένων· καί γάρ δύναται μή μόνον δικαιοπραγεῖν καί σωφρονεῖν, ἀλλά καί τούς ἀδικεῖν καί ἀκολασταίνειν βουλομένους κωλύειν πολυτρόπως, καί μή μόνον εὐπειθῆ παρέχειν ἑαυτόν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ καί τοῖς κήρυξιν αὐτοῦ, ἀλλά καί τούς ἀπειθεῖν βουλομένους ὑποτάσσειν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ καί τοῖς κατά Χριστόν προεστηκόσι ταύτης, μή μόνον διά τῆς δυνάμεως καί ἐξουσίας ἧς ἔλαχε παρά Θεοῦ, ἀλλά καί τό τύπος γίνεσθαι τοῖς ὑποδεεστέροις ἐν πᾶσιν ἀγαθοῖς· ἐξομοιοῦται γάρ τῷ ἄρχοντι τό ἀρχόμενον.

Σπουδῆς οὖν χρεία καί βίας καί προσοχῆς πᾶσι μέν, οὐκ ἐπίσης δέ· τοῖς γάρ ἐν δόξῃ καί πλούτῳ καί ἀρχῇ καθεστῶσι καί τοῖς περί λόγους καί περί τήν κτῆσιν τῆς κατ᾽ αὐτούς σοφίας ἐσπουδακόσιν, εἴπερ σωθῆναι βούλοιντο, πλείονος χρεία βίας τε καί καί σπουδῆς, ἐπεί καί πεφύκασιν εἶναί πως δυσπειθέστεροι. Τοῦτο δή καί ἀπό τῶν χθές καί σήμερον ἀναγνωσθέντων εὐαγγελίων τοῦ Χριστοῦ γίνεται καταφανές· τοῦ γάρ ἐπί Λαζάρῳ τελεσθέντος θαύματος καί Θεόν εἶναι τόν ποιήσαντα περιφανῶς παραστήσαντος, ὁ μέν λαός (σελ. 406) ἀνεπείσθησαν καί ἐπίστευαν, οἱ δέ τηνικαῦτα ἄρχοντες, οἱ Γραμματεῖς δηλονότι καί οἱ Φαρισαῖοι, τοσοῦτον ἀπέσχον τοῦ πεισθῆναι, ὡς καί κατ᾽ αὐτοῦ μανῆναι μᾶλλον καί ὑπό φρενοβλαβείας θανάτῳ παραδοῦναι βουλεύεσθαι, τόν καί δι᾽ ὧν εἶπε

καί δι᾽ ὧν ἔπραξε ζωῆς καί θανάτου Κύριον ἀναφανέντα. Οὐ γάρ ἔχει τις εἰπεῖν, ὅτι τό τούς οἰκείους ὀφθαλμούς ἄνω τότε τόν Χριστόν ἐπάραι καί εἰπεῖν, Πάτερ, εὐχαριστῶ σοι ὅτι ἤκουσάς μου, ἐμπόδιον αὐτοῖς ἐγένετο πρός τό ἴσον εἶναι νομίσαι τοῦτον τῷ Πατρί˙ ἐπιφέρει γάρ αὐτός ἐκεῖ πρός τόν Πατέρα λέγων, «ἐγώ δέ ᾔδειν ὅτι πάντοτέ με ἀκούεις, ἀλλά διά τόν ὄχλον τόν περιεστῶτα εἶπον, ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας»˙ ἵνα γάρ ὁμοῦ τε Θεόν γνῶσι τοῦτον καί ἐκ τοῦ Πατρός ὄντα καί κατ᾽ οὐδέν ὑπεναντίον, ἀλλά κατά γνώμην τοῦ Πατρός τά θαύματα ἐργαζόμενον, ἦρε μέν ἐνώπιον πάντων τούς ὀφθαλμούς αὐτοῦ πρός τόν Πατέρα, ἐκεῖν δέ εἶπε πρός αὐτόν, ἅπερ ἴσον ἀποδείκνυσι τόν ἐπί γῆς εἰπόντα τῷ ἀνωτάτῳ καί κατ᾽ οὐρανόν Πατρί˙ ὥσπερ γάρ μέλλοντος τήν ἀρχήν πλάττεσθαι τοῦ ἀνθρώπου βουλή προηγήσατο, οὕτω καί νῦν ἐν τῷ Λαζάρῳ, τοῦ ἀνθρώπου μέλλοντος ἀναπλάττεσθαι βουλή προηγεῖται. Ἀλλ᾽ ἐκεῖ μέν τοῦ Πατρός πρός τόν Υἱόν ἐν τῷ μέλλειν πλάττεσθαι τόν ἄνθρωπον εἰπόντος ποιήσωμεν ἄνθρωπον, αὐτός ὁ Υἱός ἤκουσε τοῦ Πατρός καί οὕτως ὁ ἄνθρωπος εἰς τό εἶναι παρήχθη˙ ἐνταῦθα δέ νῦν ἀκούει τοῦ Υἱοῦ εἰπόντος ὁ Πατήρ, καί οὕτως ὁ Λάζαρος ἐζωώθη.

Ὁρᾶτε τήν ὁμοτιμίαν καί τήν ὁμοβουλίαν ὅση; Τό μέν γάρ σχῆμα τῆς προσευχῆς διά τόν περιεστῶτα γέγονεν ὄχλον, τά δέ ρήματα οὐ προσευχῆς ἦν ἀλλά δεσποτείας καί αὐτοκρατορίας˙ «Λάζαρε δεῦρο ἔξω», καί εὐθύς ὁ τετραήμερος νεκρός ζῶν αὐτῷ (σελ. 408) παρέστη˙ ἆρα προστάγματι ζωοῦντος τοῦτο ἤ δι᾽ εὐχῆς ζωοποιοῦντος; Ἐφώνησε δέ φωνῇ μεγάλῃ, καί τοῦτο διά τούς περιεστῶτας˙ ἐδύνατο γάρ μή μετρίᾳ φωνῇ μόνον, ἀλλά καί βουλήματι μόνῳ τοῦτον ἀναστῆσαι, ὥσπερ καί μακράν ἀπέχων καί τοῦ λίθου ἐπικειμένου˙ ἀλλά καί ἐπέστη τῷ τάφῳ καί εἶπε τοῖς περιεστῶσι, καί ἦραν αὐτοί τόν λίθον καί ᾔσθοντο τῆς δυσωδίας, καί φωνῇ μεγάλῃ ἐφώνησε καίἐκάλεσε καί οὕτως ἀνέστησεν αὐτόν, ἵνα καί διά τῆς οἰκείας ὁράσεως (αὐτοί γάρ ἑώρων ἐφισταμένῳ τῷ τάφῳ) καί διά τῆς οἰκείας ὀσφρήσεως (αὐτοί γάρ ᾔσθοντο τῆς δυσωδίας τοῦ νεκροῦ, τεταρταῖος γάρ ἦν) καί διά τῆς ἑαυτῶν ἀφῆς (δι᾽ ἧς αὐτοῖς ταῖς οἰκείαις χρησάμενοι χερσί πρῶτον μέν ἦραν τόν λίθον ἐκ τοῦ μνημείου, ὕστερον δέ τόν ἐπί τοῦ σώματος δεσμόν καί τό ἐπί τῇ ὄψει σουδάριον ἔλυσαν) καί διά τῶν οἰκείων ὤτων τῆς τοῦ Κυρίου φωνῆς ἐπί τάς πάντων ἀκοάς φθανούσης, συνῶσι πάντες καί πιστεύσωσιν, ὅτι αὐτός ἐστιν ὁ καλῶν τά μή ὄντα

ὡς ὄντα, ὁ φέρων πάντα τῷ ρήματι τῆς δυνάμεως αὐτοῦ, ὁ καί πάντα τήν ἀρχήν ρήματι μόνῳ ἐκ μή ὄντως τά ὄντα ποιήσας.

Ὁ μέν οὖν ἄκακος λαός οὕτω διά πάντων ἐπίστευσαν αὐτῷ, ὡς μή μόνον σιγῇ τήν πίστιν ἔχειν, ἀλλά καί κήρυκες γενέσθαι δι᾽ ἔργων τε καί λόγων τῆς αὐτοῦ θεότητος. Μετά γάρ τήν τοῦ Λαζάρου τετραήμερον ἔγερσιν, ὀνάριον εὑρών ὁ Κύριος, ὅ προητοίμασται παρά τῶν μαθητῶν, ὡς ὁ εὐαγγελιστής Ματθαῖός φησιν, ἐπ᾽ αὐτοῦ καθίσας, τά Ἱεροσόλυμα εἰσῄει κατά τήν προφητείαν Ζαχαρίου προειρηκότος, «μή φοβοῦ θύγατερ Σιών, ἰδού ὁ βασιλεύς σου ἔρχεταί σοι, δίκαιος καί σώζων αὐτός, πρᾶος καί ἐπιβεβηκώς ἐπί ὑποζύγιον (σελ. 410) καί πῶλον ὄνου». Ἐδείκνυ δέ διά τῶν λόγων τούτων ὁ προφήτης, ὅτι ὁ προφητευόμενος οὗτος βασιλεύς, ὅς καί μόνος ὄντως τῆς Σιών ὑπάρχει βασιλεύς˙ «ὁ βασιλεύς σου γάρ», φησίν, «οὐκ ἔστι φοβερός ἀπό τῶν ὁρωμένων, οὐδέ βαρύς τις καί κακοποιός, ὑπασπιστάς καί δορυφόρους ἐπαγόμενος, ἤ πεζῶν καί ἱπποτῶν ἐπισυρόμενος πλῆθος, πλεονεξίᾳ τε συζῶν, καί τέλη καί φόρους ἀπαιτῶν καί δουλείας καί ὑπηρεσίας ἀγενεῖς τε καί ἐπιβλαβεῖς˙ ἀλλά τό ἐπίσημον αὐτοῦ ταπείνωσίς ἐστι καί πτωχεία καί εὐτέλεια˙ ὄνῳ γάρ ἐποχούμενος εἴσεισιν, ἀνθρώπινον ὄγκον ἐπαγόμενος οὐδένα. Διά τοῦτο δίκαιος μόνος οὗτος βασιλεύς καί σώζων ἐν δικαιοσύνῃ καί αὐτός πρᾶος ὡς ἰδιαιτάτην ἔχων τήν πραότητα˙ καί γάρ αὐτός ὁ Κύριος, περί ἑαυτοῦ φησι, «μάθετε ἀπ᾽ ἐμοῦ, ὅτι πρᾶός εἰμι καί ταπεινός τῇ καρδίᾳ».

Ὁ μέν οὖν Λάζαρος ἐκ νεκρῶν ἀναστήσας βασιλεύς, ὄνῳ ἐπικαθήμενος, εἰσῄει τηνικαῦτα τά Ἱεροσόλυμα, οἱ δέ λαοί πάντες, εὐθύς σχεδόν, παῖδες, ἄνδρες, πρεσβῦται, τά τε ἱμάτια ὑποστρωννῦντες καί βαΐα λαβόντες ἐκ φοινίκων, ἅπερ ἐστί νίκης σύμβολα, ὡς ζωοποιῷ καί νικητῇ θανάτου γεγονότι προσυπήντων, προσέπιπτον, προέπεμπον αὐτόν, οὐκ ἐκτός μόνον, ἀλλά καί ἐντός τῶν τοῦ ἱεροῦ περιβόλων συμφώνως ᾄδοντες, «ὡσαννά τῷ υἱῷ Δαβίδ, ὡσαννά ἐν τοῖς ὑψίστοις». Τό μέν «ὡσαννά» ὕμνος ἐστί πρός Θεόν ἀναπεμπόμενος˙ἑρμηνευόμενον γάρ, σῶσον δή ἡμᾶς φησί˙ τό δέ «ἐν τοῖς ὑψίστοις» προσκείμενον δείκνυσιν οὐκ ἐπί γῆς αὐτόν μόνον, οὐδ᾽ ὑπό (σελ. 412) τῶν ἀνθρώπων μόνον, ἀλλά καί ἐν τοῖς ὑψίστοις ὑπό τῶν οὐρανίων ἀγγέλων ἀνυμνούμενον.

Οὐ μόνον δέ ἀνυμνοῦσιν αὐτόν οὕτω καί θεολογοῦσιν, ἀλλά καί τῇ κακοβούλῳ καί θεομάχῳ γνώμῃ τῶν Γραμματέων καί Φαρισαίων καί

πρός τά φονικάς αὐτῶν προφάσεις διά τῶν ἑξῆς ἐναντιοῦνται. Οἱ μέν γάρ φρενοβλαβῶς ἔλεγον περί αὐτοῦ, «οὗτος ὁ ἄνθρωπος οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, καί ἐπειδή σημεῖα πολλά ποιεῖ, ἐάν ἀφῶμεν καί μή θανατώσωμεν αὐτόν, πάντες πιστεύσουσιν εἰς αὐτόν˙ καί ἐλεύσονται οἱ Ρωμαῖοι καί ἀροῦσιν ἡμῶν τήν πόλιν καί τό ἔθνος». Ὁ δέ λαός, τί φησιν; «Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου˙ εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρός ἡμῶν Δαβίδ». Διά μέν οὖν τοῦ λέγειν, «εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου», ὑπεδείκνυον ἐκ τοῦ Θεοῦ καί Πατρός αὐτόν ὄντα καί ἐν τῷ ὀνόματι τοῦ Πατρός αὐτόν ἐλθόντα, ὡς καί αὐτός ὁ Κύριος περί ἑαυτοῦ φησίν, «ὅτι ἐγώ ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καί ἐκ τοῦ Θεοῦ ἐξῆλθον κάι ἥκω». Διά δέ τοῦ λέγειν, «εὐλογημένη ἡ ἐρχομένη βασιλεία τοῦ πατρός ἡμῶν Δαβίδ», ὑπεδείκνυον ταύτην εἶναι τήν βασιλείαν, εἰς ἥν μέλλουσι κατά τήν προφητείαν πιστεύειν καί τά ἔθνη, καί μάλιστα οἱ Ρωμαῖοι. Οὗτος γάρ ὁ βασιλεύς, οὐ μόνον ἐλπίς ἐστι τοῦ Ἰσραήλ, ἀλλά καί προσδοκία τῶν ἐθνῶν κατά τήν προφητείαν Ἰακώβ, «δεσμεύων πρός ἄμπελον τήν ὄνον αὐτοῦ», τουτέστι τόν ὑποκείμενον ἐξ Ἰουδαίων αὐτῷ λαόν, «καί τῇ ἕλικι τῆς ἀμπέλου τόν πῶλον τῆς ὄνου αὐτοῦ». Ἕλιξ δέ τῆς ἀμπέλου εἰσίν οἱ τοῦ Κυρίου μαθηταί, πρός οὕς ὁ Κύριος ἔλεγεν, «ἐγώ εἰμι ἡ ἄμπελος, ὑμεῖς τά κλήματα». Τῇ οὖν ἕλικι ταύτῃ συνέδησεν ὁ Κύριος (σελ. 414) ἑαυτῷ τόν πῶλον τῆς ὄνου αὐτοῦ, τουτέστι τόν ἐξ ἐθνῶν νέον Ἰσραήλ, οἵ κατά χάριν υἱοί γεγόνασι τοῦ Ἀβραάμ. Εἰ τοίνυν καί τῶν ἐθνῶν ἐλπίς ἐστιν ἡ βασιλεία αὕτη, πῶς, φασίν, εἰς αὐτήν πιστεύσαντες ἡμεῖς, τούς Ρωμαίους φοβηθησόμεθα;

Οὕτω μέν οὖν οἱ μή τάς φρένας ἀλλά τῇ κακίᾳ νηπιάζοντες, ἐμπνευσθέντες ὑπό τοῦ ἁγίου Πνεύματος, ἀπηρτισμένον καί τέλειον ἀνέπεμψεν τῷ Κυρίῳ ὕμνον, μαρτυροῦντες ὅτι τετραήμερον νεκρόν ὄντα τόν Λάζαρον ὡς Θεός ἐζωοποίησεν. Οἱ δέ Γραμματεῖς καί Φαρισαῖοι τά τοιαῦτα θαυμάσια ἰδόντες, καί τούς τοιούτους παῖδας κράζοντας ἐν τῷ ἱερῷ καί λέγοντας, «ὡσαννά τῷ υἱῷ Δαβίδ», ἠγανάκτησαν καί πρός τόν Κύριον ἔλεγον˙ οὐκ ἀκούεις τί οὗτοι λέγουσιν; ὅπερ μᾶλλον ἔδει πρός αὐτούς εἰπεῖν τηνικαῦτα τόν Κύριον, ὅτι οὐ βλέπετε, οὐδ᾽ ἀκούετε, οὐδέ συνίετε; Διό καί αὐτός ἐντρέπων αὐτούς μεμφομένους, ὡς ἀνεχόμενον τῆς Θεῷ μόνον πρεπούσης ὑμνωδίας, ναί, φησίν, ἀκούω τῶν παρ᾽ ἐμοῦ σοφιζομένων ἀοράτως καί περί ἐμοῦ τοιαῦτα φθεγγομένων, εἰ δέ οὗτοι σιωπήσωσιν, οἱ λίθοι κεκράξονται. Ὑμεῖς δέ οὐδέποτε ἀνέγνωτε ἐκεῖνο τό προφητικόν, ὅτι

«ἐκ στόματος νηπίων καί θηλαζόντων κατηρτίσω αἶνον»; Καί γάρ καί τοῦτο μεγίστου θαύματος ἦν, τό τούς ἰδιώτας παῖδας καί ἀμαθεῖς θεολογεῖν τελείως τόν δι᾽ ἡμᾶς ἐνανπρωπήσαντα Θεόν, ἀγγελικόν ἐπί στόματος ἀναλαβόντας ὕμνον˙ ὡς γάρ οἱ ἄγγελοι ἐπί τῇ γεννήσει τοῦ Κυρίου ἔψαλλον «δόξα ἐν ὑψίστοις Θεῷ καί ἐπί γῆς», οὕτω καί οὗτοι νῦν ἐπί τῇ εἰσόδῳ τούτου, τόν αὐτόν ἀναπέμπουσιν ὕμνον, λέγοντες, «ὡσαννά τῷ Υἱῷ Δαβίδ, ὡσαννά ἐν τοῖς ὑψίστοις».

(σελ. 416) Ἀλλά νηπιάσωμεν καί ἡμεῖς, ἀδελφοί, τῇ κακίᾳ, νέοι τε καί πρεσβύται, ἄρχοντες ὁμοῦ καί ἀρχόμενοι, ἵνα ἐνδυναμωθῶμεν ὑπό τοῦ Θεοῦ καί τρόπαιον στήσωμεν καί τά τῆς νίκης σύμβολα βαστάσωμεν, μή κατά τῶν πονηρῶν παθῶν μόνον, ἀλλά καί κατά τῶν ὁρατῶν καί ἀοράτων ἐχθρῶν καί λόγου χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν˙ ὁ γάρ νέος πῶλος, ᾧ δι᾽ ἡμᾶς ἐποχεῖσθαι κατηξίωσεν ὁ Κύριος, εἷς ὤν, τήν πρός αὐτόν ὑποταγήν προετύπου τῶν ἐθνῶν, ἐξ ὧν ἡμεῖς ἐσμεν ἅπαντες ἄρχοντες ὁμοῦ καί ἀρχόμενοι.

Ὡς οὖν ἐν Χριστῷ Ἰησοῦ οὐκ ἔστιν ἄρσεν, οὐ θῆλυ, οὐχ Ἕλλην, οὐκ Ἰουδαῖος, ἀλλ᾽ ἕν εἰσι πάντες κατά τόν θεῖον ἀπόστολον, οὕτως ἐν αὐτῷ οὐκ ἔστιν οὔτε ἄρχων, οὔτε ἀρχόμενος, ἀλλά πάντες διά τῆς αὐτοῦ χάριτος ἕν ἐσμεν τῇ πίστει τῇ εἰς αὐτόν καί εἰς ἕν σῶμα τελοῦμεν τῆς αὐτοῦ ἐκκλησίας, κεφαλήν μίαν ἔχοντες αὐτόν˙ καί ἕν πνεῦμα ἐποτίσθημεν διά τῆς τοῦ παναγίου Πνεύματος χάριτος καί ἕν πάντες βάπτισμα ἐλάβομεν καί μία ἐν πᾶσιν ἡ ἐλπίς καί εἷς ἡμῖν Θεός, ὁ ἐπί πάντων καί διά πάτων καί ἐν πᾶσιν ἡμῖν. Ἀγαπῶμεν οὖν ἀλλήλους καί ἀνεχώμεθα καί κηδώμεθα ἀλλήλων, ἅτε μέλη ὑπάρχοντες ἀλλήλων˙ τό γάρ σημεῖον τῆς ἡμῶν πρός ἐκεῖνον μαθητείας, ὡς αὐτός ὁ Κύριος εἶπεν, ἡ ἀγάπη ἐστί καί ἡ πατρική κληρονομία ἥν ἡμῖν ἀφῆκε μεταβαίνων ἐκ τοῦ κόσμου τούτου ἡ ἀγάπη ἐστί καί ἡ τελευταία ἥν ἔδωκεν ἡμῖν εὐχή πρός τόν οἰκεῖον Πατέρα ἀναβαίνων τήν πρός ἀλλήλους ἀγάπην ἡμῶν ἐπιστηρίζει.

Σπεύδωμεν οὖν τῆς πατρικῆς εὐχῆς ἐπιτυχεῖς εἶναι καί μή (σελ. 418) ἀποβαλλώμεθα τήν παρ᾽ αὐτοῦ κληρονομίαν, μηδέ τό σημεῖον, ὅ ἔδωκεν ἡμῖν αὐτός, ἵνα μή καί τήν υἱοθεσίαν καί τήν εὐλογίαν καί τήν πρός αὐτόν μαθητείαν ἀποβαλώμεθα καί τότε τῆς ἐπικειμένης ἐκπέσωμεν ἐλπίδος καί ἀποκλεισθῶμεν τοῦ πνευματικοῦ νυμφῶνος. Καθάπερ δέ πρό τοῦ σωτηρίου πάθους ἐπί τήν κάτω Ἱερουσαλήμ τῷ Κυρίῳ εἰσελαύνοντι τά ἱμάτια ὑπεστρώννυον οὐχ ὁ λαός μόνον, ἀλλά καί οἱ τῶν ἐθνῶν ὄντως ἄρχοντες, οἱ τοῦ Κυρίου λέγω Ἀπόστολοι,

οὕτω καί ἡμεῖς ἄρχοντες ὁμοῦ καί ἀρχόμενοι, ὑποστρώσωμεν τά ἡμῶν αὐτῶν ἔμφυτα ἱμάτια, τήν ἡμετέραν σάρκα καί τά κατ᾽ αὐτήν θελήματα ὑποτάσσοντες τῷ πνεύματι, ἵνα μή μόνον καταξιωθῶμεν ἰδεῖν καί προσκυνῆσαι καί τό σωτήριον τοῦ Χριστοῦ πάθος καί τήν ἁγίαν ἀνάστασιν, ἀλλά καί τῆς πρός αὐτόν κοινωνίας καταπολαύσωμεν˙ «εἰ γάρ σύμφυτοι», φησίν ὁ ἀπόστολος, «γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, δῆλον ὅτι καί τῆς ἀναστάσεως ἐσόμεθα».

Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμή καί προσκύνησις, σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ ζωοποιῷ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ ΣΤ' (σελ. 422)*

## *ΠΕΡΙ ΤΗΣ ΚΑΤΑ ΣΑΡΚΑ*

## *ΤΟΥ ΚΥΡΙΟΥ ΗΜΩΝ ΙΗΣΟΥ ΧΡΙΣΤΟΥ ΟΙΚΟΝΟΜΙΑΣ*

## *ΚΑΙ ΤΩΝ ΔΙ᾽ ΑΥΤΗΣ*

## *ΚΕΧΑΡΙΣΜΕΝΩΝ ΤΟΙΣ ΩΣ ΑΛΗΘΩΣ ΕΙΣ ΑΥΤΟΝ ΠΙΣΤΕΥΟΥΣΙ*

***Καί ὅτι πολυτρόπως ὁ Θεός δυνάμενος τῆς τοῦ διαβόλου τυραννίδος λυτρώσασθαι τόν ἄνθρωπον, εἰκότως ταύτῃ μᾶλλον ἐχρήσατο τῇ οἰκονομίᾳ.***

***Ἐξεφωνήθη κατά τό μέγα Σάββατον.***

Ὁ τοῦ Θεοῦ προαιώνιος καί ἀπερίληπτος καί παντοκράτωρ Λόγος καί Υἱός παντοδύναμος ἐδύνατο πάντως καί χωρίς τῆς οἰκείας ἐνανθρωπήσεως ῥύσασθαι τόν ἄνθρωπον τῆς θνητότητος καί τῆς δουλείας τοῦ διαβόλου˙ πάντα γάρ φέρει τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ καί πάντα ὑπόκειται τῇ τούτου θεϊκῇ ἐξουσίᾳ καί πάντα δύναται κατά τόν Ἰώβ, ἀδυνατεῖ δέ τούτῳ οὐδέν˙ τῇ γάρ τοῦ κτίστου ἐξουσίᾳ κτίσματος ἀντιβλέψαι ἰσχύς οὐ δύναται, καί τοῦ (σελ. 424)

παντοκράτορος ἰσχυρότερον οὐδέν. Ἀλλ᾽ ὁ πρός τήν ἡμετέραν φύσιν καί ἀσθένειαν ἁρμοδιώτερος καί τῷ δρῶντι πρεπωδέστατος τρόπος οὗτος ἦν, ὁ διά τῆς ἐνανρθωπήσεως τοῦ Λόγου τοῦ Θεοῦ, ὡς καί τό δίκαιον ἔχων μεθ᾽ ἑαυτοῦ, οὗ χωρίς οὐδέν ὑπό Θεοῦ τελεῖται˙ «δίκαιος γάρ ὁ Θεός καί δικαιοσύνας ἠγάπησε καί οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ», κατά τόν ψαλμῳδόν προφήτην. Ἐπεί δέ καί τήν ἀρχήν ὁ ἄνθρωπος ἐγκαταλειφθείς ὑπό θεοῦ δικαίως, ὡς αὐτός πρῶτον ἐγκαταλιπών αὐτόν, καί τῷ ἀρχεκάκῳ προσδραμών ἑκών καί τ᾽ ἀναντία σύν δόλῳ συμβουλεύοντι πεισθείς δικαίως ἐκείνῳ παρεδόθη, καί οὕτω φθόνῳ τοῦ πονηροῦ καί συγχωρήσει δικαίᾳ τοῦ ἀγαθοῦ θάνατος εἰς τόν κόσμον εἰσῆλθεν˙ ὅς ἐξ ὑπερβαλλούσης τοῦ ἀρχεκάκου κακίας καί διπλασίων ἐγένετο˙ οὐχ ὁ φυσικός γάρ μόνος, ἀλλά καί ὁ ἀΐδιος αὐτοῦ προξενοῦντος τελεῖται.

Ἐπεί οὖν σύν δίκῃ τῇ τοῦ διαβόλου δουλείᾳ καί τῇ θνητότητι παρεδόθημεν, ἔδει πάντως καί τήν πρός ἐλευθερίαν καί ζωήν ἐπάνοδον τοῦ ἀνθρωπίνου γένους σύν δίκῃ παρά τοῦ Θεοῦ τελεσθῆναι. Μή μόνον δέ ὁ ἄνθρωπος θείᾳ δικαιοσύνῃ τῷ φθονήσαντι παρεδόθη, ἀλλά καί αὐτός ὁ διάβολος τήν μέν δικαιοσύνην ἀφ᾽ ἑαυτοῦ ἀπώσατο, γεγονώς δέ ἀδίκως τῆς ἐξουσίας καί τῆς αὐτοκρατορίας μᾶλλον δέ τῆς τυραννίδος ἐραστής, τῇ δικαιοσύνῃ μαχόμενος τῇ δυνάμει κατά τοῦ ἀνθρώπου ἐχρήσατο. Ἤρεσε γοῦν τῷ Θεῷ πρῶτον τῇ δικαιοσύνῃ καταβληθῆναι τόν διάβολον, ᾗπερ αὐτός διατελεῖ μαχόμενος, ὕστερον δέ τῇ δυνάμει διά τῆς ἀναστάσεως καί τῆς μελλούσης (σελ. 426) κρίσεως˙ αὕτη γάρ ἀρίστη τάξις, προηγεῖσθαι τήν δικαιοσύνην τῆς δυνάμεως, καί τοῦτο θείας ὡς ἀληθῶς καί ἀγαθῆς δεσποτείας ἀλλ᾽ οὐ τυραννίδος ἔργον, τῇ δικαιοσύνῃ τήν δύναμιν ἕπεσθαι.

Καθάπερ γάρ ὁ ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος φθόνῳ καί μίσει καθ᾽ ἡμῶν ἐπήρθη, οὕτως ὁ ἀρχηγός τῆς ζωῆς ὑπερβολῇ φιλανθρωπίας καί ἀγαθότητος ὑπέρ ἡμῶν ἐκινήθη˙ καί ὡς ἐκεῖνος ἀδικίᾳ καί δόλῳ τήν νίκην ἑαυτῷ καί τήν τοῦ ἀνθρώπου πτῶσιν κατέπραξεν, οὕτως ὁ ἐλευθερωτής ἐν δικαιοσύνῃ καί σοφίᾳ τήν ἧτταν εἰς τέλος τοῦ ἀρχεκάκου καί τήν ἀνακαίνησιν τοῦ οἰκείου ἐξείργασται πλάσματος. Παρέλιπεν οὖν ὁ Θεός πρότερον ὅπερ ἠδύνατο, ἵν᾽ ὅπερ ἐχρῆν ἐνεργήσῃ πρότερον. Περιφανεστέρα δέ κἀντεῦθεν ἡ δικαιοσύνη γέγονε προκριθεῖσα παρά τοῦ δύναμιν ἀήττητον ἔχοντος˙ διδαχθῆναι δέ καί τούς ἀνθρώπους ἔδει τήν δικαιοσύνην ἐνταῦθα δι᾽ ἔργων ἐν τῷ

καιρῷ τῆς θνητότητος ἐπιδείκνυσθαι, ἵν᾽ ἐν τῷ καιρῷ τῆς ἀθανασίας, τήν δύναμιν λαβόντες, ἀναπόβλητον ἔχωσι.

Πρός δέ τούτοις ἔδει καί ὑπό τῆς νικηθείσης φύσεως νικηθῆναι τόν νικήσαντα καί κατασοφισθῆναι τόν κατασοφισάμενον. Διό τοῦτο ἔδει τε καί ἀναγκαῖον ἦν ἄνθρωπον γενέσθαι ἁμαρτίας ἄγευστον ἐσόμενον. Τοῦτο δέ τῶν ἀδυνάτων ἦν˙ «οὐδείς γάρ», ἡ Γραφή φησιν, «ἀναμάρτητος, οὐδ᾽ ἄν μία ἡμέρα ἡ ζωή αὐτοῦ», καί «τίς καυχήσεται ἁγνήν ἔχειν τήν καρδίαν;», καί «οὐδείς ἀναμάρτητος εἰμή εἷς ὁ Θεός». Διά ταῦτα ὁ ἐκ Θεοῦ Θεός Λόγος, ἐξ ἐκείνου μέν ἐξ ἀϊδίου ὤν, ἀλλά καί ἐν ἐκείνῳ, οὐ γάρ ἔστιν οὐδ᾽ ἐννοῆσαί ποτε Θεόν ἄλογον, καί σύν ἐκείνῳ εἷς Θεός ὑπάρχων (οὐδέ γάρ τό ἡλιακόν (σελ. 428) ἀπαύγασμα φῶς ἕτερον παρά τόν ἥλιον, οὐδέ ἡ τοῦ ἡλίου ἀκτίς ἕτερός ἐστιν ἥλιος παρά τόν ἕνα)˙ διά ταῦτα τοίνυν ὁ μόνος ἀναμάρτητος Υἱός καί Λόγος τοῦ Θεοῦ υἱός ἀνθρώπου γίνεται, κατά τήν θεότητα ἄτρεπτος, κατά τήν ἀνθρωπότητα ἄμεμπτος, «ὅς, μόνος καθάπερ φθάσας Ἠσαΐας προεμαρτύρησεν, ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδέ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ», καί οὐ τοῦτο μόνον, ἀλλ᾽ ὅς μόνος οὐδ᾽ ἐν ἀνομίαις συνελήφθη, οὐδ᾽ ἐν ἁμαρτίαις ἐκυήθη, καθάπερ ἐν ψαλμοῖς ὁ Δαβίδ περί ἑαυτοῦ, μᾶλλον δέ παντός ἀνθρώπου μαρτυρεῖ. Ἡ γάρ τῆς σαρκός ἐπανάστασις ἀκούσιος οὖσα καί ἀντιστρατευομένη φανερῶς τῷ νόμῳ τοῦ νοός, εἰ καί παρά τῶν σωφρονούντων βίᾳ δουλαγωγεῖται καί πρός παιδοποιΐαν μόνον ἀνίεται, ἀλλά τήν ἀπ᾽ ἀρχῆς ἐπάγεται καταδίκην, φθορά οὖσά τε καί λεγομένη καί πρός φθοράν πάντως γεννῶσα καί τοῦ μή συνειδότος τήν τιμήν, ἥν ἡμῶν ἡ φύσις ἔλαχε παρά Θεοῦ, ἀλλά τοῖς κτήνεσιν ὁμοιωθέντος, ἐμπαθής ὑπάρχουσα κίνησις.

Διά τοῦτο οὐ μόνον Θεόν ἐν ἀνθρώποις, ἀλλά καί ἐκ Παρθένου ἁγίας καί μεμολυσμένων λογισμῶν τῶν ἐκ τῆς σαρκός ἀνωτέρας κατά τούς προφήτας γεννᾶται, Παρθένου ἧς τήν σύλληψιν ἁγίου Πνεύματος ἐπέλευσις, οὐ σαρκός ἐπήνεγκεν ὄρεξις, εὐαγγελισμός καί πίστις Θεοῦ ἐνδημίας, ἀλλ᾽ οὐ συγκατάθεσις καί πεῖρα ἐμπαθοῦς ἐπιθυμίας προείληφε˙ ταύτης γάρ παντελῶς ἀπῳκισμένης, προσευχῇ καί θυμηδίᾳ πνευματικῇ «ἰδού γάρ ἡ δούλη Κυρίου, γένοιτό μοι κατά τό ῥῆμα σου» πρός τόν εὐαγγελιστήν ἄγγελον ἡ ἄσπιλος (σελ. 430) Παρθένος ἔφη, συλλαβοῦσά τε γεγέννηκεν, ὡς ἄν ὁ τοῦ διαβόλου νικητής, ἄνθρωπος θεάνθρωπος ὤν, τοῦ γένους μόνον, ἀλλ᾽ οὐχί καί τῆς ἁμαρτίας ἕλκῃ τήν ῥίζαν˙ μόνος ἁπάντων οὐκ ἐν ἀνομίαις

συλληφθείς, οὐδ᾿ ἐν ἁμαρτίαις κυηθείς, ἡδονῇ δηλαδή σαρκός καί πάθει καί ρυπαροῖς λογισμοῖς τῆς ἐκ τῆς παραβάσεως μεμιασμένης φύσεως˙ ὡς ἄν ᾖ καί τό πρόσλημα τελέως καθαρός καί ἀμόλυντος καί μή κατ᾿ αὐτό δι᾿ αὐτόν καθαρσίων δεόμενος, ἀλλά δι᾿ ἡμᾶς τά πάντα σοφῶς δεχόμενος, καί οὕτω νέος ὄντως Ἀδάμ χρηματίσῃ καί διαμείνῃ νέος ὄντως καί εὐσθενής, μηδαμῶς παλαιούμενος, καί τόν παλαιόν Ἀδάμ ἐν ἑαυτῷ καί δι᾿ ἑαυτοῦ ἀνακτίσῃ καί εἰς ἀεί συντηρήσῃ νέον, δυνατόν ὤν εἰς ἅπαν ἀποσείσασθαι τήν παλαίωσιν. Κἀκεῖνος γάρ ὁ πρῶτος Ἀδάμ ἀμόλυντος τήν ἀρχήν ἐκτίσθη παρά Θεοῦ καί νέος ἦν, μέχρις ἑκών τῷ διαβόλῳ πεισθείς καί πρός τάς τῆς σαρκός ἡδονάς ἐκτραπείς καί τῷ μολυσμῷ τῆς ἁμαρτίας ὑποπεσών πεπαλαίωται καί πρός τό παρά φύσιν ἐξέπεσε.

Διά τοῦτο οὐ χειρί μόνον ὁ δεσπότης ἀνακαινίζει παραδόξως αὐτόν, ἀλλά καί κατέχει τοῦτον παρ᾿ ἑαυτῷ, οὐκ ἀναλαβόμενος μόνον καί τοῦ πτώματος τήν ἀνθρωπίνην ἐξάρας φύσιν, ἀλλά καί περιβαλόμενος ἀφράστως καί συναφθείς ἀδιαρέτως ταύτῃ καί τεχθείς Θεός ὁμοῦ καί ἄνθρωπος, ἐκ γυναικός μέν, ἵνα τήν παρ᾿ αὐτοῦ πλασθεῖσαν ἀναλάβηται φύσιν, ἐκ παρθένου δέ ταύτης, ἵνα καινόν ποιήσῃ τόν ἄνθρωπον. Εἰ γάρ ἐκ σπέρματος ἦν, οὐκ ἄν ἦν καινός ἄνθρωπος, οὐκ ἄν ἦν τῆς καινῆς καί μηδαμῶς παλαιουμένης ζωῆς ἀρχηγός τε καί χορηγός, οὐδ᾿ ἄν ἐδυνήθη, τοῦ παλαιοῦ κόμματος ὤν, τό πλήρωμα ἐν ἑαυτῷ δέξασθαι τῆς ἀκηράτου θεότητος καί (σελ. 432) πηγήν ποιῆσαι τήν σάρκα τοῦ ἁγιασμοῦ ἀνεξάντλητον, ὡς καί τῶν προπατόρων ἐκείνων τόν μολυσμόν ἀποπλῦναι περιουσία δυνάμεως καί τοῖς ἑξῆς ἀρκεῖν πρός ἁγιασμόν ἅπασι. Διά τοῦτο οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ᾿ αὐτός ὁ Κύριος οὕτως εὐδόκησε δι᾿ ἔλεος ἡμᾶς σῶσαι καί ἀναπλάσαι, μείνας μέν ἀναλλοιώτως Θεός, προελθών δέ τέλειος καθ᾿ ἡμᾶς ἄνθρωπος.

Γεννᾶται τοιγαροῦν ἐκ Παρθένου ἁγίας ὁ μόνος ἐξ αἰῶνος ἀνυπεύθυνος ἄνθρωπος, ὁ μόνος μηδαμόθεν ὤν τῆς τοῦ Θεοῦ ἐγκαταλείψεως ἄξιος. Καί πρίν ἤ γνῶναι τό κακόν ἐκλέγεται τό ἀγαθόν κατά τήν προφητείαν˙ καί βιοῖ βίον παντάπασιν ἀναμάρτητον, μηδέ κατ᾿ αὐτόν εὑρεθείς σύν δίκῃ τῆς τοῦ Θεοῦ ἐγκαταλείψεως ἄξιος, ἐπεί μηδ᾿ αὐτός τόν Θεόν, ὡς ὁ πρῶτος Ἀδάμ, παραβάς ἐγκατέλειπε, πάσης ἐντολῆς θείας, παντός νόμου θείου πληρωτής γενόμενος, κἀντεῦθεν καί τῆς τοῦ διαβόλου δουλείας δικαίως ἐλεύθερος. Καί οὕτω νικᾶται παρά ἀνθρώπου ὁ τήν ἀρχήν τόν

ἄνθρωπον νικήσας διάβολος καί ὁ τήν κατ᾽ εἰκόνα Θεοῦ νικήσας φύσιν καί διά τοῦτο μεγαλαυχῶν καταβάλλεται τῆς ἐπάρσεως, καί ὁ ἄνθρωπος ἀναπλάττεται τοῦ κατά ψυχήν καί ὄντως θανάτου˙ θανάτου, ὅν ἀπέθανεν εὐθύς τοῦ ἀπηγορευμένου ξύλου γευσάμενος˙ θανάτου, ὅς ἠπείληται πρό τῆς παρακοῆς τῷ Ἀδάμ καί τῇ Εὔα ὑπό Θεοῦ πρός αὐτούς εἰπόντως˙ «ᾗ ἄν ὥρᾳ φάγησθε ἀπό τοῦ ξύλου θανάτῳ ἀποθανεῖσθε»˙ τόν γάρ τῆς σαρκός θάνατον μετά τήν παρακοήν κατεκρίθημεν, τηνικαῦτα τοῦ Θεοῦ πρός τόνἈδάμ εἰπόντος, ὅτι «γῆ εἶ καί εἰς γῆν ἀπελεύσῃ». Καθάπερ γάρ ἡ τοῦ σώματος παρά τῆς ψυχῆς (σελ. 434) ἐγκατάλειψις καί ὁ ταύτης ἀπ᾽ αὐτοῦ χωρισμός θάνατός ἐστι τοῦ σώματος, οὕτω καί ἡ τῆς ψυχῆς παρά Θεοῦ ἐγκατάλειψις καί ὁ ἐξ αὐτῆς τούτου χωρισμός θάνατός ἐστι ψυχῆς τρόπον ἕτερον ἀθανάτου μενούσης˙ αἰσχρά μέν γάρ γίνεται καί ἀχρεία χωρισθεῖσα Θεοῦ καί μᾶλλον ἤ τό σῶμα τό νεκρόν, οὐ διαλύεται δέ καθάπερ ἐκεῖνο μετά τήν νέκρωσιν, ὅτι μηδ᾽ ἐκ συνθέσεως ἔχει τήν ὕπαρξιν.

Ἴδοι δ᾽ ἄν τις τοῦτο καί ἐπί τῶν καθάπαξ ἀψύχων σωμάτων˙ τά γάρ ἐν τούτοις ἁπλούστερα μονιμώτερα. Διά τοῦτο ἡ λογική ψυχή μή μόνον ἀργίαν πάσχει τῆς πρός τό ἀγαθόν ἐνεργείας χωρισθεῖσα Θεοῦ, ἀλλά καί ἐνεργός καθ᾽ ἑαυτῆς γίνεται τῇ πρός τά χείρω ῥοπῇ, μέχρις ἄν οὕτως ἀνεπιστρόφως ἡ ἀθλία βιοῦσα, νῦν μέν ἐν τῷ τοῦ σώματος χωρισμῷ, ἐν τῷ καιρῷ δέ τῆς κρίσεως μετά σώματος τῷ ἀλύτῳ καί ἀφορήτῳ δεσμῷ παραδοθῇ τῆς αἰωνίου κολάσεως, ἥν ὁ Θεός ἡτοίμασε τῷ διαβόλῳ καί τοῖς ἀγγέλοις αὐτοῦ. Νεκροί γάρ καί οὗτοι πάντες, εἰ καί τήν κακίαν εἰσίν ἐνεργοί, δι᾽ ἥν καί δικαίως ἐγκατελείφθησαν ὑπό Θεοῦ τῆς ὄντως ζωῆς. Ταύτην τήν νέκρωσιν πρῶτος ὑποστάς ὁ Σατάν, ὡς ἐγκαταλειφθείς δικαίως ὑπό Θεοῦ δι᾽ ἀπείθειαν, κοινωνούς ἡμᾶς αὐτῆς προσελάβετο, διά τῆς κακοβούλου συμβουλῆς συγκατασπάσας πρός τήν ἀπείθειαν˙ ἀλλ᾽ ἐλυτρώσατο τήν ἡμετέραν φύσιν ὁ Χριστός ἐκ τῆς νεκρώσεως ταύτης, κατά τόν ἀνθρώπινον βίον ἑαυτοῦ δι᾽ ἔργων ἐπιδειξάμενος πᾶσαν εὐπείθειαν.

Ἔδει δέ πάντως μή τήν ἀνθρωπίνην φύσιν μόνην, ἐν αὐτῷ τό ε ἶναι λαβοῦσαν, ἀλλά καί τό ἀνθρώπινον ἀπαθανατίσαι γένος καί ποδηγῆσαι πρός τήν μέθεξιν τῆς ζωῆς ταύτης, τῆς καί τῷ σώματι κατά καιρόν προξενούσης τήν ζωήν τήν αἰώνιον, ὡς καί ἡ νέκρωσις (σελ. 436) ἐκείνη τῆς ψυχῆς καί τῷ σώματι κατά καιρόν προξενούσης τήν ζωήν τήν αἰώνιον, ὡς καί ἡ νέκρωσις ἐκείνη τῆς ψυχῆς καί τῷ σώματι

τόν θάνατον προεξένησε. Διό καί φανερωθῆναι τήν οἰκονομίαν ταύτην ἀναγκαιότατόν τε ἦν ὁμοῦ καί λυσιτελέστατον καί προτεθῆναι τήν αὐτοῦ πολιτείαν εἰς μίμησιν. Ἦν γάρ ὅτε καί τῷ ἀνθρώπῳ καθάπερ καί τοῖς ἀγαθοῖς ἀγγέλοις ὁ Θεός εἰς μίμησιν προὔκειτο καθορώμενος. Ἐπεί δέ τῆς ἐποψίας ἐκείνης διαπεπτώκαμεν κάτω που ρίψαντες ἑαυτούς, ἐξ ὑπερβαλλούσης φιλανθρωπίας ἡμῖν συγκαταβαίνει Θεός τοῦ ὕψους, μηδαμῶς ἐκστάς τῆς οἰκείας θεότητος, καί συμπολιτευσάμενος ἡμῖν ἑαυτόν εἰς ὑπόδειγμα τῆς πρός ζωήν ἐπανόδου προτίθησιν.

Οὐ μόνον δέ, ἀλλά καί διδάσκαλος ἡμῶν γίνεται, λόγῳ τήν πρός τήν ζωήν φέρουσαν ὑποδεικνύς καί θαύμασι μεγίστοις τόν τῆς διδασκαλίας λόγον πιστούμενος. Καί δικαιοῦται μέν οὕτως ἡ ἀνθρωπίνη φύσις, ὡς μή παρ᾽ ἑαυτῆς ἔχουσα τήν πονηρίαν, δικαιοῦται δέ καί ὁ Θεός, ὡς μηδεμιᾶς κακίας αἴτιος καί ποιητής ὤν. Εἰ μή γάρ ὁ συναΐδιος τοῦ Πατρός ἐνηνθρώπησε Λόγος, φύσει ἄν ἔδοξεν εἶναι ἡ ἁμαρτία ἐν τῷ ἀνθρώπῳ, οὐδείς γάρ ἐξ αἰῶνος ἀναμάρτητος ἐγένετο ἄνθρωπος, καί συνέβαινεν ἐπί τόν κτίστην ἀναφέρεσθαι τήν μέμψιν, ὡς οὐκ ἀγαθῶν ὄντα κτίστην, οὐδ᾽ ἀγαθόν αὐτόν ὄντα, ἔτι δέ καί κριτήν ἄδικον, ὡς μή δικαίως καταδικάσαντα τόν ὑπ᾽ αὐτοῦ γεγονότα καταδίκης ἄξιον ἄνθρωπον.

Διά τοῦτο ἀναλαμβάνει τήν ἀνθρωπίνην φύσιν ὁ Θεός, ἵνα δείξῃ τοσοῦτον ἁμαρτίας οὖσαν ἐκτός καί τοσοῦτο κεκαθαρμένην, ὡς καί ἑνωθῆναι τούτῳ δύνασθαι καθ᾽ ὑπόστασιν καί συνδιαιωνίζειν αὐτῷ ἀδιαίρετον˙ καί οὕτως ἔργῳ πᾶσιν ἀνακηρύττεσθαι, ὅτι ὁ Θεός ἀγαθός τε καί δίκαιος, ἀγαθῶν τε ποιητής καί δίκης δικαίας (σελ. 438) ἔφορος. Τοῦ μέν γάρ Σατάν καί τῶν συναποστάντων ἀγγέλων ἐξ οὐρανοῦ πεσόντων, ἦν ἐκ τῶν φυλαττόντων τήν ἑαυτῶν τάξιν ἀγγέλων κατανοεῖν, ὅτι οὐ φύσει τό κακόν ἐν ἀγγέλοις, φύσει δέ μᾶλλον τό ἀγαθόν ἐν αὐτοῖς, καί φύσις ἐστίν ἀγαθότητος ὁ κτίσας αὐτούς, παρ᾽ οὗ καί ὁ Σατάν ὑπό ζόφον αἰώνιον δίκῃ δικαίᾳ κατεδικάσθη, ὡς δημιουργός αὐτός ἑαυτῷ τῆς κακίας γενόμενος τῇ ἐκτροπῇ τοῦ καλοῦ. Ἀδάμ δέ πεσόντος τῇ τοῦ καλοῦ πρός τό κακόν ἐκτροπῇ, οὐδείς ὑπελείφθη πρός τό κακόν ἄτρεπτος, οὐδέ μετά τόν Ἀδάμ ἀνεφάνη.

Διά τοῦτο νέος Ἀδάμ ἀνεφάνη Χριστός, ὅς κατά τόν Ἠσαΐαν ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδέ διενοήσατο, πολλῷ μᾶλλον οὐδέ ἐλάλησεν˙ οὐδέ γάρ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Οὐκ εἶπεν “

ἐκ τοῦ στόματος”, ἀλλ᾽ «ἐν τῷ στόματι», ἵνα καί τό τῶν λογισμῶν ἄμωμον ὑποσημήνῃ, ὡς καί ἀλλαχοῦ φησιν, ὅτι πρίν ἤ γνῶναι τό κακόν, ἐξελέξατο τό ἀγαθόν, καί οὕτως ἐδικαιώθη ὁ Θεός, ὡς εἴρηται, καί ἀνεδείχθη ὄντως ἀγαθός καί ἀγαθῶν ἔργων ποιητής, ἀναμαρτήτου γεγονότος ἀνθρώπου καί ἀναφανείσης ἐν Χριστῷ τῆς ἐνυπηργμένης ὑπ᾽ αὐτοῦ καθαρότητος τῇ ἀνθρωπίνῃ φύσει.

Ἐπεί οὖν ἔδει φανερωθῆναι καί παρρησίᾳ προτεθῆναι τήν ἀπόρρητον ταύτην οἰκονομίαν, πέμπεται Ἰωάννης ἐκ τῆς ἐρημίας ὁ φερωνύμως Πρόδρομος ὑπό τοῦ Θεοῦ, βαπτίζων τούς προσιόντας καί παραγγέλλων ἑτοίμους εἶναι πιστεύειν εἰς τόν ἐρχόμενον, ὅν φησι καί βαπτίσειν αὐτούς ἐν Πνεύματι ἁγίῳ καί πυρί, ἀλλά μείζοντα ἑαυτοῦ τοσοῦτον εἶναι, ὅσον τό Πνεῦμα τό (σελ. 440) ἅγιον ὑπερέχει τοῦ ὕδατος˙ δεσπότην γάρ εἶναι τοῦτον μαρτυρεῖ καί τοῦ παντός ποιητήν καί ἐξουσιαστήν τῶν ἀγγέλων καί τῶν ἀνθρώπων˙ καί τούτου λογικόν γεώργιον τούς ἀνθρώπους ε ἶναι πάντας καί τοῦ τοιύτου γεωργίου τό πτύον, τάς λειτουργικάς δυνάμεις δηλαδή, ἐν τῇ χειρί καί τῇ ἐξουσίᾳ ἔχειν ἑαυτόῦ τόν ἐρχόμενον. Οὐ μόνον δέ δι᾽ ἑαυτόῦ τοιοῦτον εἶναι μαρτυρεῖ τόν ἐρχόμενον ὁ τοῦ Κυρίου Πρόδρομος, ἀλλά καί τόν Ἠσαΐαν ὑποφαίνει προανακηρύξαντα Κύριον αὐτόν, ἑαυτόν δέ ὑπηρέτην πεμφθέντα εἰς τό προξηρύξαι τήν ἐκείνου ἔλευσιν καί προτρέψασθαι τούς πειθομένους ἑτοιμασθῆναι πρός ὑποδοχήν, λέγων˙ «ἐγώ φωνή βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τήν ὁδόν Κυρίου».

Μαρτυρεῖ δέ τοῦτο, ὅτι καί πρό τοῦ συλληφθῆναι αὐτόν καί γενέσθαι ἦν˙ «ἔμπροσθεν γάρ μου γέγονε», φησίν, «ὅτι πρῶτος μου ἦν», καίτοι ἡ σύλληψις αὐτοῦ καί ἡ γέννησις ὕστερον μετά τήν Ἰωάννου ἦν. Εἰ οὖν πρῶτος, οὐ κατά σάρκα δέ ἦν, πρό τῆς σαρκός οὐκοῦν ἦν. Προϊών δέ καί ἀμνόν τοῦ Θεοῦ εἶναι τοῦτον μαρτυρεῖ, τήν ἁμαρτίαν αἴροντα τοῦ κόσμου, προκαταγγέλλων τήν ὑπέρ ἀφέσεως τῶν ἁμαρτιῶν ἡμῶν αὐτοῦ θυσίαν καί σφαγήν˙ ἀλλά καί αὐτόν εἶναι μαρτυρεῖ τόν Ὕψιστον καί ἐξ οὐρανοῦ τοῦτον καταβῆναι καί ἀπειροδύναμον εἶναι, ὡς οὐκ ἐκ μέτρου λαβόντα τό Πνεῦμα παρά τοῦ Πατρός. Καί τοῖς μέν εἰς αὐτόν πιστεύουσιν ἐπαγγέλλεται ζωήν αἰώνιον, τοῖς δέ ἀπειθοῦσιν ἀπειλεῖ τήν περί τοῦ Θεοῦ ἀναπόδραστον ὀργήν˙ ἀποκρίνεται γάρ περί αὐτοῦ, παρά τῶν οἰκείων μαθητῶν ἐρωτηθείς, ὅτι «ἐκεῖνον δεῖ αὐξάνειν, ἐμέ δέ ἐλαττοῦσθαι», καί δεικνύς τίνος ἕνεκεν ἐκείνου μή μόνον

αὐτός, ἀλλά καί τά πάντα ἐλάττω, (σελ. 442) καθόσον ἡ γῆ τοῦ ὑπερανίου˙ «ὁ ἄνωθεν», φησίν, «ἐρχόμενος ἐπάνω πάντων ἐστίν», ἐξῃρημένος πάντων καί τήν πατρῴαν ὑπεροχήν ἀποσώζων ὡς Υἱός ἀγαπητός˙ καί πάλιν, «ὁ Πατήρ ἀγαπᾷ τόν Υἱόν, καί πάντα δέδωκεν ἐν τῇ χειρί αὐτοῦ˙ ὁ πιστεύων εἰς τόν Υἱόν ἔχει ζωήν αἰώνιον, ὁ ἀπειθῶν τῷ Υἱῷ οὐκ ὄψεται τήν ζωήν, ἀλλ᾽ ἡ ὀργή τοῦ Θεοῦ μενεῖ ἐπ᾽ αὐτόν».

Ἔρχεται γοῦν καί ὁ Χριστός πρός τό βάπτισμα, τοῦτο μέν διά τήν πρός τόν πέμψαντα τόν Ἰωάννην εὐπείθειαν, ὡς καί αὐτός εἶπεν, «οὕτω γάρ πρέπον ἡμῖν ἐστι πληρῶσαι πᾶσαν δικαιοσύνην», τοῦτο δέ διά τήν οἰκείαν φανέρωσιν, πρός δέ καί ὥστε τῆς σωτηρίου ποδηγίας ἀπάρξασθαι καί πιστώσασθαι τοῖς ἑπομένοις καί βαπτιζομένοις, ὡς αὐτός ὑπέδειξε καί προσέταξεν, ὅτι Πνεῦμα ἅγιον δίδοται, καί δι᾽ ἑαυτοῦ τό βάπτισμα κατασκευάσαι καθαρτικόν φάρμακον τῶν ἡμῖν ἐντακέντων μολυσμάτων ἐξ ἐμπαθοῦς γενέσως καί βιώσεως. Εἰ γάρ καί αὐτός οὐδ᾽ ὡς ἄνθρωπος ἐδεῖτο καθάρσεως, ἐξ ἀμολύντου γεννηθείς Παρθένου καί βιούς πάσης ἁμαρτίας ἐκτός ἀλλ᾽ ἐπεί δι᾽ ἡμᾶς ἐγεννήθη, δι᾽ ἡμᾶς καί καθαίρεται.

Βαπτίζεται τοίνυν παρά τοῦ Ἰωάννου καί ἀνιόντι ἀπό τοῦ ὕδατος ἀνοίγονται αὐτῷ οἱ οὐρανοί καί φωνή τοῦ Πατρός ἐξάκουστος ἐκεῖθεν γίνεται˙ «οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα»˙ καί ὡς περιστερά ἐπ᾽ αὐτόν κατέρχεται τό Πνεῦμα τοῦ Θεοῦ, δεικνῦντος τοῖς παροῦσι τόν μαρτυρούμενον ἄνωθεν. Καί φανεροῦται μέν οὕτως ἐκεῖνος Υἱός ὤν ἀληθινός˙ φανεροῦται δέ ὁ ἐν τοῖς (σελ. 444) οὐρανοῖς Πατήρ Πατήρ ὑπάρχων ἀληθής˙ φανεροῦται δέ καί τό Πνεῦμα τό ἅγιον, προϊόν μέν καθ᾽ ὕπαρξιν ἐκ τοῦ Πατρός, ἐπαναπαυόμενον δέ τῷ γνωσίῳ τοῦ Πατρός Υἱῷ˙ ἐγκατοικίζεται δέ τῷ ὕδατι τοῦ βαπτίσματος ἡ χάρις ἑαυτοῦ καί τοῦ Πατρός αὐτοῦ καί τοῦ Πνεύματος˙ ὡς ἄν τοῖς κατ᾽ αὐτόν ἔπειτα βαπτιζομένοις προσφυομένη ἀναγεννᾷ τούτους θείως καί ἀνακαινίζῃ καί ἀναπλάττῃ μυστικῶς, ὡς μηκέτι ἐκ τοῦ παλαιοῦ Ἀδάμ ὄντας ἐκεῖθεν ἕλκειν τήν ἀράν, ἀλλ᾽ ἐκ τοῦ νέου Ἀδάμ τήν γέννησιν σχόντας τήν εὐλογίαν ἐντεῦθεν ἔχειν, μηκέτι τέκνα σαρκός ὄντας, ἀλλά τέκνα Θεοῦ, οἵ οὐκ ἐξ αἱμάτων, οὐδέ ἐκ θελήματος σαρκός, οὐδέ ἐκ θελήματος ἀνδρός, ἀλλ᾽ ἐκ Θεοῦ διά Ἰησοῦ Χριστοῦ ἐγεννήθησαν.

Κἄν γάρ ἔτι πρός γυμνασίαν, πρός δοκιμήν, πρός διόρθωσιν, πρός κατάληψιν τῆς ταλαιπωρίας τοῦ αἰῶνος τούτου τῷ κάτω βρίθοντι

φορτίῳ τῆς φθειρομένης σαρκός βαρύνωνται, ἀλλ᾽ ἀοράτως ἐνδεδυμένοι Χριστόν εἰσιν, ὡς δύνασθαι κἀνταῦθα τῆς αὐτοῦ πολιτείας μεταλαγχάνειν σπουδάζοντες καί μετά τήν ἐνθένδε λῆξιν τῆς αὐτοῦ μακαριότητος καί λαμπρότητος καί ἀφθαρσίας μετασχεῖν. Καθάπερ γάρ δι᾽ ἑνός τοῦ Ἀδάμ εἰς τούς μεταγενεστέρους προγονικῶς διέβη ἡ τοῦ θανάτου εὐθύνη, οὕτως ἐξ ἑνός τοῦ θεανθρώπου Λόγου, εἰς τούς ἀναγεννωμένους ἐξ αὐτοῦ πάντας, ἡ τῆς αἰωνίου καί οὐρανίου ζωῆς διαβαίνει χάρις. Διό καί ἀνεῳγμένος ἐστί τούτοις ὁ οὐρανός, ὑποδεξόμενος τούτους κατά καιρόν, εἴπερ, τραφέντες ἐν τῇ πρός αὐτόν πίστει καί τῇ κατά πίστιν δικαιοσύνῃ, κληρονόμοι γένωνται Θεοῦ, καθάπερ ἐξουσίαν ἔλαβον, καί Χριστοῦ συγκληρονόμοι, τῆς ἀκηράτου ζωῆς αὐτοῦ καί τῆς ἀθανασίας μετασχόντες καί τούτῳ συνόντες ἀχωρίστως καί τῆς ἐκείνου δόξης καταπολαύοντες. (σελ. 446) Κεκλεισμένος γάρ ἦν ὁ οὐρανός πρότερον ἡμῖν, καί τέκνα ἦμεν ὀργῆς, ἥτις ἐστί δικαία τοῦ Θεοῦ ἐγκατάλειψις διά τήν ἡμετέραν ἁμαρτίαν καί τήν ἀπείθειαν, ἀλλά διά τήν ἐν Χριστῷ τῆς ἡμετέρας φύσεως ἀναμαρτησίαν καί τήν πρός τόν Θεόν εὐπείθειαν τέκνα εὐδοκίας γεγόναμεν οἱ Χριστῷ κολλώμενοι καί υἱοί ἀγαπητοί καί ὁ οὐρανός ἠνέῳκται ἡμῖν, ὡς καί ἐφ᾽ ἡμᾶς τό Πνεῦμα κατιέναι τοῦ Θεοῦ καί μένειν ἐν ἡμῖν καί δι᾽ αὐτοῦ κατά καιρόν εἰς οὐρανούς ἀναφέρεσθαι ἡμᾶς, ἡνίκα ὁ ἐγείρας τόν Χριστόν ἐκ νεκρῶν ζωοποιήσῃ καί τά θνητά σώματα ἡμῶν, διά τό ἐνοικοῦν αὐτοῦ Πνεῦμα ἐν ἡμῖν, μεταμορφώσας τό σῶμα τῆς ταπεινώσεως ἡμῶν καί σύμμορφον ποιήσας τῷ σώματι τῆς δόξης τοῦ Χριστοῦ, δι᾽ οὗ τήν ἀθανασίαν ἐπλουτήσαμεν καί εἰς οὐρανούς ἀνεκλήθημεν, καί ὑπεράνω πάσης ἀρχῆς καί ἐξουσίας ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν οὐρανοῖς ἡ ἡμῶν ἐνεθρονίσθη φύσις.

Ὦ βάθος πλούτου καί σοφίας καί φιλανθρωπίας θείας! Οὕτως οἶδε Θεός τά ἐξ αὐτεξουσίου π αρατροπῆς ἡμῶν ὀλισθήματα τῇ παρ᾽ ἑαυτοῦ σοφίᾳ τε καί δυνάμει φιλανθρώπως μετασκευάζειν ἀσυγκρίτως ἐπί τό κρεῖττον. Εἰ μή γάρ ἐκ τῶν οὐρανῶν κατῆλθεν ὁ τοῦ Θεοῦ Υἱός, ἀνέλπιδες ἄν ἡμεῖς ἦμεν τῆς πρός οὐρανόν ἀνόδου˙ εἰ μή οὗτος ἐσαρκώθη καί πέπονθε σαρκί καί ἀνέστη καί ἀνελήφθη δι᾽ ἡμᾶς, οὐκ ἄν ἔγνωμεν τό ὑπερβάλλον τῆς πρός ἡμᾶς ἀγάπης τοῦ Θεοῦ˙ εἰ μή ἔτι ἀσεβῶν ὄντων ἡμῶν ὑπέρ ἡμῶν ἐσαρκώθη καί τό πάθος ὑπήνεγκεν, οὐκ ἄν ὑψωθέντες ἐπί τοσοῦτον ὑπ᾽ αὐτοῦ τῆς κατασπώσης ἐπάρσεως ἀπεσχόμεθα. Νῦν γάρ ὡς, μηδέν

προεισενεγκόντες, ὑψηλοί γεγονότες, μένομεν ἐν τῇ ταπεινώσει καί πρός τό (σελ. 448) μέγεθος τῆς ἐπαγγελίας καί τῆς εὐεργεσίας ὁρῶντες μετά συνέσεως, ἀεί ταπεινότεροι γινόμεθα˙ ὅθεν ἡ σωτηρία.

Γέγονε τοίνυν ὁ τοῦ Θεοῦ Υἱός ἄνθρωπος, ἵνα δείξῃ εἰς οἷον ὕψος ἡμᾶς ἀνάξει˙ ἵνα μή ἐπαιρώμεθα ὡς ἀφ᾽ ἑαυτῶν τήν ἧτταν ἀναπαλαίσαντες˙ ἵνα διπλοῦς ὤν, ὄντως μεσίτης ᾖ, ἁρμόζων δι᾽ ἑκατέρου πρός μέρος ἑκάτερον˙ ἵνα λύσῃ τόν δεσμόν τῆς ἁμαρτίας˙ ἵνα καθάρῃ τόν ἐκ συναφείας τῆς σαρκός μολυσμόν˙ ἵνα δείξῃ τήν τοῦ Θεοῦ πρός ἡμᾶς ἀγάπην˙ ἵνα δείξῃ εἰς ὅσον βάθος κακῶν ἐνεπέσαμεν, ὡς σαρκώσεως Θεοῦ δεῖσθαι˙ ἵνα ὑπόδειγμα γένηται ἡμῖν ταπεινώσεως, ἥν ἡ σάρξ ἔχει καί τό πάθος, καί φάρμακον θεραπευτικόν τῆς ὑπερηφανίας˙ ἵνα δείξῃ ἀγαθήν τήν ἡμῶν φύσιν παρά Θεοῦ κτισθεῖσαν˙ ἵνα γένηται τῆς ἀναστάσεως καί τῆς αἰωνίου ζωῆς ἀρχηγός καί πίστωσις, λύσας τήν ἀπόγνωσιν˙ ἵνα υἱός ἀνθρώπου γενόμενος καί τῆς θνητότητος μεταλαβών, υἱούς Θεοῦ τούς ἀνθρώπους ἀπεργάσηται, κοινωνούς ποιήσας τῆς θείας ἀθανασίας˙ ἵνα δειχθῇ, πῶς ἡ τοῦ ἀνθρώπου φύσις παρά πάντα τά κτίσματα κατ᾽ εἰκόνα ἐκτίσθη Θεοῦ˙ τοσοῦτον γάρ ταύτῃ τό συγγενές πρός Θεόν, ὡς καί δύνασθαι συνελθεῖν αὐτῷ πρός μίαν ὑπόστασιν˙ ἵνα τιμήσῃ τήν σάρκα καί αὐτήν τήν θνητήν, ὡς μή τά ὑπερήφανα πνεύματα προτιμητέα τοῦ ἀνθρώπου καί νομίζειν ἑαυτά καί νομίζεσθαι καί θεοποιεῖσθαι διά τήν ἀσαρκίαν καί τήν δοκοῦσαν ἀθανασίαν˙ ἵνα συνάψῃ τά φύσει διεστῶτα ἀνθρώπους τε καί Θεόν, διπλοῦς αὐτός τῇ φύσει μεσίτης γενόμενος. Καί τί δεῖ πλείω λέγειν; Εἰ μή ἐσαρκώθη ὁ τοῦ Θεοῦ Λόγος, οὐκ ἄν ἐδείκνυτο Πατήρ ἀληθῶς ὁ Πατήρ, οὐκ ἄν ἀληθῶς Υἱός, οὐκ ἄν τό Πνεῦμα τό ἅγιον, προϊόν καί (σελ. 450) καί αὐτό ἐκ τοῦ Πατρός˙ οὐκ ἄν ὁ Θεός ἐν οὐσίᾳ καί ὑποστάσεσιν, ἀλλ᾽ ἐνέργειά τις μόνον ἐνθεωρουμένη τοῖς κτίσμασι, καθάπερ οἵ τε μωραθέντες ἔφησαν πάλαι σοφοί καί οἱ νῦν κατά τόν Βαρλαάμ καί Ἀκίνδυνον φρονοῦντες.

Ἐφανέρωσε μέν οὖν διά ταῦτα ἑαυτόν ὁ Κύριος καί τήν κατ᾽ αὐτόν οἰκονομίαν, ὡς καί ἡμῖν εἴρηται, καθ᾽ ὅσον ἐφικτόν˙ ἐφανέρωσε δέ Πατέρα ὡς ἀληθῶς ὄντα τόν ἀνωτάτω Πατέρα. Ὑπέδειξε δέ τήν πρός αὐτόν ἐπάνοδον τῶν τηνικαῦτά τε ὄντων καί τῶν ἔπειτ᾽ ἐσομένων τοῖς βουλομένοις, προτρεψάμενος καί καλέσας καί ποδηγήσας διά τῆς ἑαυτοῦ πολιτείας καί διδασκαλίας καί θαυματουργίας καί προφητείας, μᾶλλον δέ σοφίας καί γνώσεως ὄντως θείας καί

ὑπερφυοῦς, ᾗ μηδέν ἄδηλον οὔτε τῶν ἐσομένων οὔτε τῶν νῦν ἀδόλως ἐν τῷ βάθει τῶν καρδιῶν κινουμένων. Ἔδει δέ ἄρα τούς ὑπακούσοντας ἐλευθέρους εἶναι τῆς δουλείας τοῦ διαβόλου˙ ἐπεί γάρ τῇ τούτου αἰχμαλωσίᾳ παρήχθη ὁ ἄνθρωπος ὀργῆς θείας πειρασθείς, ὀργή δέ ἐστι θεία ἐγκατάλειψις δικαία τοῦ ἀγαθοῦ, ἔδει καί τοῦτον καταλλαγῆναι τῆς δουλείας ἐκείνης.

Οὐκοῦν θυσίας ἦν χρεία τῆς τόν ἀνωτάτω Πατέρα καταλαττούσης ἡμᾶς καί ἁγιαζούσης, μεμολυσμένους ὄντας τῇ πρός τόν πονηρόν κοινωνίᾳ. Θυσίας οὖν ἔδει τῆς καθαιρούσης καί καθαρᾶς τοιγαροῦν, ἀλλά καί ἱερέως καί τούτου κεκαθαρμένου καί ἀναμαρτήτου. Ἔδει δέ ἡμῖν μή τῆς κατά ψυχήν μόνον, ἀλλά καί τῆς τοῦ σώματος ἀναστάσεως, καί ταύτης διά τούς ἐσομένους ἔπειτα κατά καιρόν. Οὐκοῦν ἔδει μή χαρισθῆναι ταύτην μόνον ἡμῖν τήν ἐλευθερίαν καί τήν ἀνάστασιν, ἀλλά καί πιστωθῆναι˙ πρός δέ ταύτῃ καί (σελ. 452) τήν ἀνάληψιν καί τήν ἐν οὐρανοῖς ἀτελεύτητον πολιτείαν. Ἔδει δέ τούτων ἁπάντων, οὐ τοῖς οὖσι τηνικαῦτα καί τοῖς ἐσομένοις μόνον, ἀλλά πολλῷ μᾶλλον τοῖς ἐξ αἰῶνος γεγενημένοις τοῦ γένους˙ ἐν ᾅδου δέ ἦσαν οὗτοι πολλῷ πλείους τῶν ἐσομένων καί πολλῷ πλείους πιστεύειν ἅμα καί σώζεσθαι μέλλοντας˙ διόπερ οἶμαι καί ἐπί συντελείᾳ τῶν αἰώνων ὁ Χριστός ἦλθεν. Ἔδει τοίνυν καί τοῖς ἐν ᾅδου κηρυχθῆναι τό εὐαγγέλιον καί φανερωθῆναι τήν μεγάλην ταύτην οἰκονομίαν καί δοθῆναι τήν ἀπό τῶν αἰχμαλωτισάντων δαιμόνων εἰς τέλος ἐλευθερίαν καί τόν ἁγιασμόν καί τάς μελλούσας ἐπαγγελίας. Οὐκοῦν ἔδει πάντως καί εἰς ᾅδου κατελθεῖν τόν Χριστόν˙ ἀλλά καί ταῦτα πάντα μετά δικαιοσύνης, ἧς χωρίς οὐδέν παρά Θεοῦ τελεῖται.

Πρός δέ τοῖς εὑρημένοις πᾶσιν ἔδει καί φενακισθῆναι δικαίως τόν φενακίσαντα καί ἀπολέσαι συλληφθέντα τόν πλοῦτον, ὅν ἐξ ἀπάτης ἐκτήσατο, καταστρατηγηθείσης σοφίᾳ τῆς πονηρίας, ἐφ᾽ ᾗ διετέλει μεγαλαυχῶν ὁ ἀρχέκακος˙ ἥν μεγαλαυχίαν οὐκ ἄν ἀπέβαλεν, εἰ δυναστείᾳ θείᾳ κατεπονεῖτο, ἀλλά μή σοφίᾳ καί δικαιοσύνῃ καθῃρεῖτο τοῦ κράτους. Ἐπεί δέ πάντες ἄνθρωποι, πρός τό κακόν ἐκτραπέντες, ἔργῳ ἤ λόγῳ ἤ διανοίᾳ ἤ πᾶσιν ἤ δυσί τούτων, ἐμόλυναν τήν παρά Θεοῦ δεδομένην τῇ ἀνθρωπίνῃ φύσει καθαρότητα καί ἁγιασμοῦ χρείαν εἶχον, ὁ δέ ἁγιασμός διά τῆς παρ᾽ ἑκάστου προσφορᾶς καί ἀρχῆς πρός τόν Θεόν τελεῖται, καθαράν δέ εἶναι δεῖ τήν ἀπαρχήν, τοιαύτην δέ ἡμεῖς τῷ Θεῷ προσενεγκεῖν ἀπαρχήν οὐκ εἴχομεν. Διά τοῦτο ὁ μόνος ἀμόλυντος ἀνεφάνη Χριστός καί

προσφοράν ἑαυτόν καί ἀπαρχήν προσήνεγκε τῷ Πατρί ὑπέρ ἡμῶν, ἵνα οἱ (σελ. 454) πρός τοῦτον ὁρῶντες καί τούτῳ πιστεύοντες καί διά τῆς πρός αὐτόν ὑπακοῆς αὐτῷ κολλώμενοι δι᾽ αὐτοῦ ἐμφανισθῶμεν τῷ προσώπῳ τοῦ Θεοῦ ἱλασμοῦ τυχόντες ἁγιασθῶμεν ἅπαντες. Καί τοῦτό ἐστιν, ὅ φησιν ἐν εὐαγγελίοις ὁ Κύριος, «ὑπέρ αὐτῶν ἐγώ ἁγιάζω ἐμαυτόν, ἵνα καί αὐτοί ὦσιν ἡγιασμένοι ἐν ἀληθείᾳ». Οὐ γάρ τήν προσφοράν μόνον, ἀλλά καί τόν προσφέροντα ἀρχιερέα καθαρόν ἔδει καί ἀναμάρτητον εἶναι, ὡς καί ὁ ἀπόστολός φησιν˙ «τοιοῦτος ἡμῖν ἔπρεπεν ἀρχιερεύς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπό τῶν ἁμαρτωλῶν, καί ὑψηλότερος τῶν οὐρανῶν γενόμενος».

Διά ταῦτα τοίνυν καί τά τοιαῦτα, οὐ μόνον ὁ τοῦ Θεοῦ Λόγος σάρξ ἐγένετο καί ἐσκήνωσεν ἐν ἡμῖν, ἐπί γῆς ὀφθείς καί τοῖς ἀνθρώποις συναναστραφείς, ἀλλά καί τήν καθ᾽ ἡμᾶς νῦν, εἰ καί καθαράν ἄκρως, θνητήν ὅμως καί παθητήν, ἀνελάβετο σάρκα καί ταύτῃ τόν μέν ἀρχέκακον ὄφιν θεοσόφῳ δελέατι διά τοῦ σταυροῦ ἀγγιστρεύσας τό ὑπ᾽ αὐτοῦ δουλουμένον ἅπαν ἠλευθέρωσε γένος˙ τυράννου γάρ πεσόντος, ἐλεύθερον ἅπαν τό τυραννούμενον˙ καί τοῦτό ἐστιν ὅπερ αὐτός ὁ Κύριος ἐν τοῖς εὐαγγελίοις φησίν, ὅτι «ἐδεσμεύθη ὁ ἰσχυρός, καί τά σκεύη αὐτοῦ διηρπάγη». Ἡρπάγη δέ παρά Χριστοῦ ἐλευθερωθέντα καί δικαιωθέντα καί φωτός ἐμπλησθέντα καί θείοις χαρίσμασι πλουτισθέντα. Διά τοῦτο ψάλλει Δαβίδ˙ «ἀναβάς εἰς ὕψος», τό τοῦ σταυροῦ πάντως, εἰ δέ βούλει καί τό οὐράνιον, «ᾐχμαλώτευεσεν αἰχμαλωσίαν, ἔδωκε δόματα τοῖς ἀνθρώποις».

(σελ. 456) Τόν μέν οὖν διάβολον οὕτω διά τοῦ πάθους καί τῆς σαρκός ἐτρωπώσατο, τῷ δέ Θεῷ καί Πατρί ταύτην προσαγαγών εἰς θυσίαν, ὡς ἄμωμον καί πανίερον ἱερεῖον, ὢ τῆς ἀφάτου μεγαλοδωρεᾶς, τοῖς ὁμογενέσιν ἡμῖν τοῦτον κατήλλαξεν. Ἐπεί δέ κατά γνώμην τοῦ Πατρός ὑπέστη τό πάθος, εἰς ὑπόδειγμα γέγονεν ἡμῖν, τοῖς διά παρακοῆς ἀπολωμένοις καί δι᾽ ὑπακοῆς σωζομένοις, μέχρι τίνος ὑπακουστέον. Ἔδειξε δέ καί τόν θάνατον τοῦτον τῆς τῷ διαβόλῳ προσούσης ἀθανασίας πολλῷ τιμιώτερον, ὡς προξενοῦντα ζωήν ἀθάνατον ὄντως, ἅ τε μηδέ τῷ δευτέρῳ καί ἀϊδίῳ θανάτῳ, μᾶλλον δέ καί χείρονι μυρίων θανάτων, τῇ μελλούσῃ κολάσει, ὑποπίπτειν μέλλουσαν, ἀλλ᾽ ἐν οὐρανίοις σκηνώμασιν σύν Χριστῷ διαμένουσαν˙ αὐτός γάρ ἐκ νεκρῶν ἀναστάς τριήμερος καί μετά τό παραστῆσαι ζῶντα τοῖς οἰκείοις μαθηταῖς ἑαυτόν εἰς οὐρανούς ἀναληφθείς καί μένων ἀθάνατος, τήν ἀνάστασιν ἡμῖν καί τήν

ἀθανασίαν καί τήν ἐν οὐρανοῖς ἀΐδιον καί ἀκήρατον καί μακαρίαν ὄντως ζωήν ἐχαρίσατό τε καί ἐπιστώσατο, ἑνί θανάτῳ τῷ τῆς οἰκείας σαρκός καί μιᾷ τῇ ταύτης ἀναστάσει, τόν διπλοῦν ἡμῖν θάνατον ἰασάμενος καί τῆς διττῆς ἡμᾶς αἰχμαλωσίας ἐλευθερώσας, τῆς ψυχῆς δηλαδή καί τοῦ σώματος.

Ἐγένετο γάρ πνεῦμα νεκρόν ὁ Πονηρός ἐγκαταλελειμμένος δι᾽ ἑκούσιον ἁμαρτίαν δικαίως ὑπό Θεοῦ τῆς ὄντως ζωῆς˙ πλήρωμα δέ ὤν κακίας καί ἀρχηγός φθονερός, ἀπατηλός, ἀρχέκακος, οὐχ ὑπήνεγκε τήν ἐν τῷ χωρίῳ τῆς τρυφῆς, τῷ παραδείσῳ λέγω, τοῦ ἀνθρώπου ζωήν, ἀλλ᾽ ὀλεθρίᾳ συμβουλῇ κλέψας κοινωνόν ἐποιήσατο καί τῆς ἁμαρτίας καί τῆς κατά πνεῦμα νεκρώσεως. Ταύτῃ δέ τῇ νεκρώσει τοῦ πνεύματος ἐξ ἀνάγκης καί ἡ τοῦ σώματος ἐπηκολούθησε νέκρωσις˙ καί οὕτως ὁ Πονηρός δι᾽ ἑνός τοῦ οἰκείου θανάτου τόν (σελ. 458) διπλοῦν ἡμῖν προεξένησε θάνατον καί, κάτω ρίψας καί ἑαυτοῦ κατωτέρω, μέγας αὐτός ἐδόκει καί ὑψηλός, μεγαλαυχῶν ὡς ἡμᾶς κατασοφισάμενος ἐν περινοίᾳ καί καταδουλωσάμενος καί Θεόν ἡμῖν, φεῦ, ὡς ἀθάνατος φανταζόμενος, ἀλλά καί μετά θάνατον κληρονόμος τῶν ἡμετέρων ψυχῶν ὡς ὑπό Θεοῦ ἐγκαταλελειμμένων γινόμενος καί κατασπῶν εἰς ᾅδυο καί κατακλείων ἀφύκτοις ὡς ἐδόκει φρουραῖς.

Ἐλεήσας οὖν τῆς τοσαύτης ταλαιπωρίας ὁ πλάσας ἡμᾶς Θεός, ἐκεῖ κατελθεῖν εὐδόκησεν, οὗπερ ἡμεῖς ἐρρίφημεν, ὥστ᾽ ἐκεῖθεν ἀνακαλέσασθαι, μόνος ἐν τοῖς νεκροῖς ἀναφανείς ἐλεύθερος, ὡς πνεύματι ζῶντι κατελθών ἐκεῖ, καί μή τοῦτο μόνον, ἀλλά καί φωτί περιαστράπτοντι θείῳ καί δύναμιν ζωοποιόν κεκτημένῳ, ἵνα φωτίσῃ τούς ἐν σκότει καθημένους καί ζωοποιήσῃ κατά πνεῦμα τούς εἰς αὐτόν ἐκεῖ πιστεύσαντας, ζωοποιήσῃ δέ καί τά σώματα πάντων ἐν ἡμέρᾳ ᾗ ἔστησεν ἀναζωῶσαι καί κρῖναι τό σύμπαν γένος ὡς καί ὁ ἐν Ἀποστόλοις κορυφαῖος δι᾽ ἐπιστολῆς ἐδίδαξεν ἡμᾶς, «εἰς τοῦτο», λέγων, «καί νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μέν κατά ἄνθρωπον σαρκί, ζῶσι δέ κατά Θεόν πνεύματι». Μικρόν δ᾽ ἀνωτέρω τῆς ἐπιστολῆς δεικνύς, τίς ὁ τοῖς ἐν ᾅδου νεκροῖς καί διά τίνος κηρύξας τό εὐαγγέλιον, «Χριστός», φησίν, «ἅπαξ ὑπέρ ἁμαρτωλῶν ἔπαθε, δίκαιος ὑπέρ ἀδίκων, ἵνα ἡμᾶς προσενέγκῃ τῷ Θεῷ, θανατωθείς μέν σαρκί, ζῶν δέ πνεύματι, ἐν ᾧ καί τοῖς ἐν φυλακῇ πνεύμασιν», ἤτοι ταῖς ψυχαῖς τῶν ἀπ᾽ αἰῶνος νεκρῶν, «πορευθείς ἐκήρυξεν».

Ὥσπερ οὖν ὁ Πονηρός δι᾽ ἑνός τοῦ οἰκείου κατά πνεῦμα θανάτου διπλοῦν ἡμῖν τόν θάνατον προεξένησεν, οὕτως ὁ ἀγαθός δι᾽ ἑνός (σελ. 460) τοῦ κατά σῶμα θανάτου, τόν διπλοῦν ἡμῖν ἰάσατο θάνατον καί διά μιᾶς τῆς τοῦ ἰδίου σώματος ἀναστάσεως τήν διπλῆν ἡμῖν ἀνάστασιν ἐδωρήσατο, διά σωματικοῦ θανάτου καθελών τόν ἐν θανάτῳ τό κράτος ἔχοντα κατά τῆς ψυχῆς ἡμῶν καί τοῦ σώματος καί κατ᾽ ἄμφω τῆς ἐκείνου τυραννίδος ἡμᾶς ρυσάμενος. Ὑποδύεται μέν γάρ ὁ Πονηρός τόν ὄφιν, ὡς δι᾽ αὐτοῦ τόν ἄνθρωπον ἀπατήσων, ἀναλαμβάνει δέ τήν ἀνθρωπίνην φύσιν ὁ τοῦ Θεοῦ Λόγος, ὡς δι᾽ αὐτῆς φενακίσων τόν φενακίσαντα˙ ἀλλ᾽ ἀνεξαπάτητον αὐτήν λαμβάνει καί καθαράν καί τοιαύτην εἰς τέλος διατηρεῖ, προσάγων τῷ Πατρί ταύτην ὡς ἀπαρχήν, εἰς ἁγιασμόν ἡμῶν ἀφ᾽ ἡμῶν. Εἰ δέ καί σῶμα μή θνητόν καί παθητόν ὁ τοῦ Θεοῦ Λόγος ἀνέλαβε, πῶς ἄν ἠπατήθη, πῶς ἄν ἐδυνήθη προσβαλεῖν ὁ αὐτόχρημα φθόνος;

Ταῦτ᾽ ἄρα οὐδέ προσβάλλει μέχρις οὗ τοῦτον οἶδε παθητόν περιφέροντα σῶμα. Νηστεύσας γάρ ἐν ἐρήμῳ ἡμέρας τεσσαράκοντα καί μή πεινάσας (εἰ γάρ καί σῶμα παθητόν περιέκειτο, ἀλλά τότ᾽ ἔπραττε τοῦτο καί ἔπασχε τά οἰκεῖα ἡνίκα ὑπό τῆς συνημμένης συνεχωρεῖτο παντοδυνάμου δυνάμεως)˙ νηστεύσας οὖν ἡμέρας τεσσαράκοντα, κατά τό εὐαγγέλιον, ὕστερον ἐπείνασε. Τότε δή πρῶτον θαρρήσας καί προσβαλών ὁ ἀρχέκακος τόν πειρασμόν ἐπήνεγκεν, εἴσοδον εὑρεῖν σπεύδων κατά τοῦ πνεύματος˙ ὡς δέ ἰσχυρῶς ἀπεκρούσθη καί πάλιν προσβαλών γενικῶς διά πάσης ἡδυπαθείας, κατά κράτος ἡττήθη, ἐκνευρισθείς καί θραυσθείς καί καταισχυνθείς φυγάς ᾤχετο. Διά τί οὖν ἀπεκρούσθη τῷ πάθει τῷ τοῦ σώματος θαρρήσας καί προσβαλών; Ἐπειδή περ ἁμαρτίαν ἐμποιῆσαι τῷ ἀναμαρτήτῳ ἐπεχείρησεν ἀνθρώπῳ. Φεύγει μέν οὖν ἐκεῖνος οὕτω (σελ. 462) μετ᾽ αἰσχύνης ἀποκρουσθείς, ὁ δέ Χριστός καταδιώκων αὐτόν οὐκ ἀνίησι, τῶν δαιμονώντων ἀποδιώκων, τούς ὑπ᾽ αὐτοῦ κατεχομένους ἐν νόσοις ἰώμενος, νεκρούς ἀνιστῶν, οὐκ ἀρτιθανεῖς μόνον, ἀλλ᾽ ἤδη καί διεφθορότας, καί ταῦτα μόνῳ προστάγματι˙ πρός δέ καί τῶν ψυχῶν ἀπελαύνων αὐτόν, μετάνοιαν κηρύττων καί τήν βασιλείαν ἐγγίσασαν ἐπιδεικνύς τήν οὐράνιον καί τάς ψυχάς πρός πίστιν ἐνάγων καί βίον τῷ ἀντικειμένῳ πολέμιον, καί τούς ἁμαρτωλούς μετασκεύζων καί προσδεχόμενος˙ οὐ μόνον δέ, ἀλλά καί τοῖς οἰκείοις διδούς κατά δαιμόνων τό κράτος. Ἆρ᾽ οὖν ἦν ὅλως

ἀνεκτῶς ἔχειν πρός ταῦτα τόν Σατανάν καί τούς συναποστατήσαντας ἀγγέλους αὐτῷ;

Ἆρ᾽ ἔχειν νομίσας ὅπως ἄν ἀνακόψῃ τήν κατ᾽ αὐτοῦ φερομένην τοσαύτην ἰσχύν, ἠμέλησεν ἄν; Ἆρα δέ ἀνεκτόν αὐτῷ ζῆν ἐν ἀνθρώποις τόν ἐκβάλλοντα τῶν ἀνθρώπων αὐτόν καί τῆς κατ᾽ αὐτῶν πολυετοῦς τυραννίδος; Διά ταῦτα τοίνυν ἐκμανείς κατά Χριστοῦ, ἐπεί τήν μέν θεανδρικήν ἐκείνην ψυχήν διά πείρας ὑπερανῳκισμένην εἶδε παντάπασι τῶν παθῶν, ὧν ἀρχηγός ὑπῆρξεν αὐτός, καί θανάτου παντελῶς ἀνεπίδεκτον, οὗπερ αὐτός δι᾽ ἑαυτοῦ ποιητός ἐστι τοῖς ἀνθρώποις, τό δέ σῶμα παθητόν τε καί θνητόν, αὐτός δέ δι᾽ ἑαυτοῦ θάνατον τοιοῦτον ἐπιφέρειν οὐ συγκεχώρηται, κινεῖ πρός φόνον τούτου τάς γνώμας τῶν ἀπειθῶν Ἰουδαίων, πρός φθόνον καί μανίαν ἀκάθεκτον ἐγείρας κατ᾽ αὐτοῦ, ἅτε καί τούτων ὡς πονηρῶν ἐλεγχομένων τε καί ἀθετουμένων ὑπό Χριστοῦ. Κινεῖ τοίνυν καί πείθει πρός φόνον τούτου καί φόνον ἄτιμον καί κακούργοις μόνοις καί ἀσεβέσι νενομισμένον, νομίσας οὕτως αὐτόν τε ἐκ τῆς γῆς (σελ. 464) ἐκβαλεῖν καί τό ὄνομα τούτου ἐπί τῆς γῆς ἀχρειῶσαι. Ἐθάρρει δέ τούτου θανόντος καί τήν αὐτοῦ ψυχήν ἐν ᾅδυο κατάκλειστον ἔχειν, ὡς καί τάς τῶν ἐξ αἰώνων ἁπάντων ψυχάς.

Οὕτως ὁ ἀπατεών ἐξηπάτηται, τῷ τῆς σαρκός τοῦ Χριστοῦ παθητῷ τε καί θνητῷ προσβαλών, καί τό φῶς ἤνεγκεν ἄκων ταῖς σκοτειναῖς καί ποθειναῖς αὐτοῦ καταδύσεσι καί τόν τῆς ζωῆς δοτῆρα ταῖς διά τήν νοητήν νέκρωσιν ὑπ᾽ αὐτοῦ τυραννουμέναις ψυχαῖς ἐπέστησεν˙ οὐ μόνον δέ ἀλλά καί τό τῆς ἀναστάσεως καί τῆς ἀθανασίας παρεκτικόν σῶμα τοῖς τεθνηκόσιν ἀνέμιξε, θανάτῳ καί ταφῇ παραδοῦναι σπεύσας αὐτός. Ὁ δέ Κύριος ἠδύνατο μέν καί ταύτας αὐτοῦ τάς ἐπιβουλάς διακρούσασθαι, ἀλλ᾽ οὐκ ἠθέλησεν, ἠθέλησε δέ μᾶλλον ὑπελθεῖν τό πάθος ὑπέρ ἡμῶν, δι᾽ ὅ καί θεάνθρωπος γέγονεν. Εἰ μή γάρ ἄνθρωπος ἦν, οὐκ ἦν δυνατόν παθεῖν˙ εἰ δέ μή Θεός, ἀπαθής κατά τήν θεότητα διαμένων, οὐκ ἄν ὑπέρ ἡμῶν ὑπέστη σαρκί τόν θάνατον, δι᾽ αὐτοῦ τήν ἀνάστασιν, μᾶλλον δέ ἐξανάστασιν καί ἀθανασίαν, ἡμῖν χαριζόμενος˙ οὐδ᾽ ἄν ἐπιστεύθη δύνασθαι μέν μή παθεῖν, ἑκών δέ παθεῖν προελόμενος, ὡς ἡμᾶς ἐλευθεροῦν καί ἀνυψοῦν μέλλουσαν δεικνύς τήν οἰκείαν ταπείνωσιν καί διδάσκων, εἰ δεήσει, δι᾽ ἔργων μέχρι θανάτου ὑπέρ δικαιοσύνης ἀγωνίζεσθαι καί ἐπαγγελλόμενος τοῖς πειθομένοις δι᾽ ἀναστάσεως τῆς ἀθανασίας τήν δύναμιν, οὐ τοῦ εἰς ἀεί δοαμένειν μόνον, ἀλλά καί τοῦ αἰωνίου

ὀλέθρου διαμένειν ἐκτός, τῆς αἰωνίου λέγων φρικωδεστάτης κολάσεως, τῆς ἡτοιμασμένης τῷ διαβόλῳ, καί συνδιαιωνίζειν τοῖς ἁγίοις ἀγγέλοις, τῆς ἀκηράτου καί ἀτελευτήτου βασιλείας συναπολαύοντας.

Διά τοῦτο γάρ ὅν οὐκ ὤφειλεν ὑπέρ ἡμῶν ὑπέμεινεν θάνατον, ἵνα τοῦς ἐποφειλομένους ὑφισταμένους ἡμᾶς ἔκ τε τῆς δουλείας τοῦ (σελ. 466) Διαβόλου καί τοῦ θανάτου λυτρώσηται˙ θανάτου καί τοῦ κατά ψυχήν λέγω, καί τοῦ κατά σῶμα, τοῦ τε προσκαίρου καί διαιωνίζοντος. Λύτρον γάρ ὑπέρ ἡμῶν τῶν δι᾽ ἁμαρτίαν ὑπευθύνων τό ἀνεύθυνον ὡς ἀναμάρτητον οἰκεῖον αἷμα δούς, ἐλυτρώσατο τῆς εὐθύνης ἡμᾶς, τάς ἁμαρτίας συγχωρήσας ἡμῶν καί τό τούτων χειρόγραφον ἐν τῷ σταυρῷ διαρρήξας, ἐλυτρώσατο τῆς τυραννίδος τοῦ Διαβόλου. Δελεασθείς γάρ ἐκεῖνος καί περιχανών οἷον καί τό ἡμέτερον λύτρον, τό αἷμα ἐκεῖνο τό δεσποτικόν, χυθῆναι σπεύσας, τό μή μόνον ἀνεύθυνον, ἀλλά καί θεϊκήν δύναμιν πλουτοῦν, οὐκ ἐπλουτίσθη ὑπ᾽ αὐτοῦ, ἀλλ᾽ ἰσχυρῶς ἐδέθη, παραδειγματισθείς ἐν τῷ σταυρῷ τοῦ Χριστοῦ˙ καί οὕτως ἡμεῖς ἐκ τῆς αὐτοῦ δουλείας ἐρρύσθημεν καί μετέστημεν εἰς τήν βασιλείαν τοῦ Υἱοῦ τοῦ Θεοῦ, σκεύη μέν ὀργῆς ὄντες πρότερον, σκεύη δέ ἐλέους ὑπ᾽ αὐτοῦ γεγονότες, τοῦ δήσαντος τόν ἰσχυρόν ὡς πρός ἡμᾶς ὄντα καί τά σκεύη αὐτοῦ διαρπάσαντος˙ ὅς ἐπεί δικαίως, ὡς ἀδίκως ὑποβολῇ τοῦ διαβόλου φονευθείς, ἐβασίλευσεν ἡμῶν, τῇ δικαιοσύνῃ μυστικῶς νικήσας τόν ἀρχέκακον, καί φανερῶς ἐπιδείκνυται τήν παντοδύναμον δύναμιν καί κατά σῶμα τοῦ θανάτου περιγενόμενος καί ἀναστάς ἐκ νεκρῶν τριήμερος καί εἰς οὐρανόν ἀναβάς καί καθίσας ἐκ δεξιῶν τοῦ Πατρός, σύν αὐτῇ ἥν ὑπέρ ἡμῶν ἐφόρεσε καί καθ᾽ ἥν ἀπέθανε σαρκί, πιστωσάμενος ἡμῖν καί τήν ἐκ νεκρῶν ἀνάστασιν καί τήν εἰς οὐρανούς ἀποκατάστασιν καί τήν τῆς βασιλείας κληρονομίαν˙ ἐάν περ καί ἡμεῖς, αὐτόν μιμούμενοι κατά τό ἐγχωροῦν τῇ δικαιοσύνῃ τόν τῆς ἁμαρτίας ἀρχηγόν καταπαλαίσωμεν, ἀποκρουόμενοι τάς αὐτοῦ προσβολάς καί τάς πρός τά πονηρά πάθη προτροπάς καί ὑποφέροντας γενναίως τάς ἐπιβουλάς.

Διά τοῦτο γάρ καίτοι διά τοῦ θείου βαπτίσματος ἀναγεννήσας ἡμᾶς ὁ Κύριος καί διά τῆς χάριτος τοῦ ἁγίου Πνεύματος σφραγίζων (σελ. 468) εἰς ἡμέραν ἀπολυτρώσεως, ὅμως θνητόν ἔτι καί παθητόν ἔχειν ἀφίησι σῶμα, καί τόν τῆς κακίας ὑφηγητήν τῶν ταμείων τῆς ψυχῆς ἐκβαλών, ὅμως ἀφίησι προσβάλλειν ἔξωθεν, ὡς ἄν ὁ

ἀνακαινισθείς ἄνθρωπος κατά τήν Καινήν Διαθήκην, τουτέστι τό τοῦ Χριστοῦ εὐαγγέλιον, ἐν ἀγαθοεργίᾳ καί μετανοίᾳ ζῶν καί τῶν μέν τερπνῶν τοῦ βίου τούτου περιφρονῶν, τά δέ ὀδυνηρά ὑποφέρων καί ταῖς τοῦ ἀντικειμένου προσβολαῖς γυμναζόμενος, ἑτοιμασθῇ πρός ὑποδοχήν τῆς ἀφθαρσίας καί τῶν ἐν αὐτῇ κατά τόν καινόν αἰῶνα μελλόντων ἐκείνων ἀγαθῶν.

Δεῖ οὖν τόν πιστόν τῇ μέν ἐλπίδι χαίρειν, κἀπειδή πέρας ὁ βίος οὗτος ἕξει, φρονίμως ἥδεσθαι τήν μακαριότητα πιστῶς ἐκδεχόμενον, ἥν ἡ μέλλουσα ζωή ἀτελευτήτως ἕξει˙ τῇ δέ συνέσει τῆς πίστεως τήν ἀθλιότητα, ἥν ὁ βίος οὗτος ἀξίως κατεκρίθη, φέρειν ἐν ὑπομονῇ καί δι᾽ ὑπομονῆς πρός τήν ἁμαρτίαν καί τόν τῆς ἁμαρτίας ἀρχηγόν καί συνεργόν καί τούς ταττομένους ὑπ᾽ αὐτοῦ, εἰ δεήσει, μέχρις αἵματος ἀντικαθίστασθαι˙ πλήν γάρ τῆς ἁμαρτίας οὐδέν τῶν ἐν τῷ βίῳ τούτῳ κακόν ὄντως, εἰ καί κακώσεως πρόξενον, οὐδ᾽ αὐτός ὁ θάνατος. Διό καί χορός μέν ὁσίων αὐτοί παρ᾽ ἑαυτῶν ἑαυτοῖς ἐπήνεγκαν τάς κακώσεις τοῦ σώματος˙ οἱ δέ μάρτυρες καί τόν βίαιον παρ᾽ ἑτέρων ἐπαγόμενον αὐτοῖς θάνατον ἐποίησαν εὐκλεέστατον καί ζωῆς καί δόξης καί βασιλείας αἰωνίου καί οὐρανίου παρεκτικόν, καλῶς καί θεαρέστως αὐτῷ χρησάμενοι˙ διά τοῦτο γάρ καί μετά τό καταργῆσαι τόν θάνατον διά τῆς οἰκείας ἀναστάσεως, τοῖς οἰκείοις ἔτι παραμένειν ἀφῆκε καί σύν τούτῳ τάς ἄλλας ἐν τῷ κόσμῳ κακώσεις, ἵν᾽ ὁ κατά Χριστόν ἄνθρωπος διά τούτων ἀγωνιζόμενος ὑπέρ ἀληθείας τῆς ἐν τῷ βίῳ τε καί τοῖς δόγμασι, (σελ. 470) πρός τόν μέλλοντα καινόν ἐκεῖνον καί ἀγήρω αἰῶνα διά τῆς καινῆς Διαθήκης ἑτοιμασθῇ.

Λυσιτελοῦσιν οὖν αἱ κακώσεις αὗται τοῖς πιστῶς ὑπομένουσι πρός διόρθωσιν τῶν ἁμαρτημάτων, πρός γυμνασίαν, πρός δοκιμήν, πρός κατάληψιν τῆς τοῦ βίου τούτου ταλαιπωρίας, πρός προτροπήν τοῦ ἐπιθυμεῖν διαπύρως καί ζητεῖν ἐπιμόνως τήν διαιωνίζουσαν ἐκείνην υἱοθεσίαν καί ἀπολύτρωσιν, καί καινήν ὄντως ζωήν καί μακαριότητα. Πολλαπλῆς γάρ οὔσης κατά τε σῶμα καί ψυχήν τῆς ἡμετέρας ἐν Χριστῷ υἱοθεσίας καί ἀνακαινίσεως, ἀρχήν τε καί τελειότητα ἐχούσης καί τά τούτων μεταξύ, τήν μέν ἀρχήν ἐντίθησιν ἡμῖν ἡ τοῦ βαπτίσματος χάρις, πάντων τε τῶν ἁμαρτημάτων καί τῆς ἐκ τῆς ἀρᾶς εὐθύνης τήν ἄφεσιν παρέχουσα καί λουτρόν παλιγγενεσίας λέγεται˙ τήν δέ τελειότητα παρέξει ἡ ἐλπιζομένη τοῖς πιστοῖς τῆς ζωῆς ἐξανάστασις καί ἡ κατά τόν αἰῶνα τόν μέλλοντα ἐπαγγελία˙ τά δέ μεταξύ τούτων ἡ κατά τό τοῦ Χριστοῦ εὐαγγέλιόν ἐστι ζωή, δι᾽ ἧς

τρέφεται καί αὔξει καί ἀνακαινίζεται ἡμέραν ἐξ ἡμέρας προκόπτων ὁ κατά Θεόν ἄνθρωπος εἰς ἐπίγνωσιν Θεοῦ καί δικαιοσύνην καί ἁγιασμόν καί κατά μικρόν μειῶν καί ἀφ᾽ ἑαυτοῦ ἐκκόπτων τήν εἰς τά κάτω προσπάθειαν καί μεταφέρων τόν πόθον ἀπό τῶν ὁρατῶν καί σαρκικῶν καί προσκαίρων πρός τά νοητά καί πνευματικά καί ἀΐδια.

Τό τριττόν τοῦτο τῆς ἐν Χριστῷ ἀνακαινίσεως ἡμᾶς διδάσκων ὁ τῶν ἀπορρήτων μυστηρίων τοῦ Πνεύματος θεατής, τό σκεῦος τό ἐκλεκτόν, Παῦλος ὁ μέγας, γράφει Ρωμαίοις ἐπιστέλλων, «ὅσοι ἐβαπτίσθημεν εἰς Χριστόν Ἰησοῦν, εἰς τόν θάνατον αὐτοῦ ἐβαπτίσθημεν˙ συνετάφημεν οὖν αὐτῷ διά τοῦ βαπτίσματος εἰς τόν θάνατον». (σελ. 472) Αὕτη ἡ τῆς ἡμετέρας ἀνακαινίσως ἀρχή˙ τό γάρ χειρόγραφον τῶν ἡμετέρων ἁμαρτημάτων ὁ Χριστός ἐν τῷ σταυρῷ διέρρηξε καί τούς διά τοῦ βαπτίσματος αὐτῷ συνθαπτομένους ἀνευθύνους ἐποίησεν. Ἄκουε δέ καί τῆς μετά τήν ἀρχήν μεσότητος˙ «ἵνα γάρ», φησίν, «ὥσπερ ἠγέρθη Χριστός ἐκ νεκρῶν, οὕτω καί ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν», καί προσεπάγει τήν τελειότητα τῆς ἀνακαινίσεως, δεικνύς «εἰ γάρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλά καί τῆς ἀναστάσεως ἐσόμεθα». Ἑξῆς δέ τήν ἀρχήν καί τό τέλος τῆς ἀνακαινίσεως καί υἱοθεσίας ταύτης ἐμφανέστερον δηλῶν «καί αὐτοί», φησίν, «οἱ τήν ἀπαρχήν τοῦ Πνεύματος ἔχοντες καί ἡμεῖς αὐτοί ἐν ἑαυτοῖς στενάζομεν, υἱοθεσίαν ἀπεκδεχόμενοι», ἀπαρχήν τοῦ Πνεύματος ὀνομάζων τόν ἁγιασμόν καί τήν χάριν τοῦ Πνεύματος, ἥν ἐν τῷ θείῳ βαπτίσματι λαμβάνομεν, τῶν ἁμαρτημάτων ἀπαλλαγέντες καί ἀνακαινισθέντες καί δωρεάν τῇ τοῦ Χριστοῦ χάριτι δικαιωθέντες˙ ἀπαρχή γάρ ἐστι ταῦτα τῶν μελλόντων ἐκείνων ἀγαθῶν. Εἰπών δέ υἱοθεσίαν ἀπεκδεχόμενοι, δεικνύς, ὡς οὐ τήν διά τοῦ βαπτίσματός φησιν υἱοθεσίαν, ἀλλά τήν μέλλουσαν ἐκείνην καί τελείαν καί ἀδιάπτωτον, προσεπάγει, «τήν ἀπολύτρωσιν τοῦ σώματος ἡμῶν», δηλονότι τήν ἀπό τῶν παθῶν καί τῆς φθορᾶς αὐτοῦ λύτρωσιν˙ ἡ μέν γάρ ἐνταῦθα υἱοθεσία διαπίπτει πολλάκις, ἡ δέ διά τῆς ἐν νεκρῶν παλινζωΐας καί ἀναστάσεως τοιαύτη τελεία καί βεβαιοτάτη ὄντως ἐστίν.

Ὁ αὐτός δέ καί Φιλιππησίους γράφων τό τέλος τῆς τοιαύτης ἀνακαινίσεως σαφέστερον ἐκτίθησι, «Σωτῆρα», λέγων, «ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν Χριστόν, ὅς μετασχηματίσει τό σῶμα τῆς (σελ. 474) ταπεινώσεως ἡμῶν εἰς τό γενέσθαι σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ»˙ ὡς γάρ ὁ Χριστός ἀπέθανεν ἐν ἀσθενείᾳ

καί ἀτιμίᾳ σαρκός, ἀνέστη δέ ἐν δυνάμει καί δόξῃ τῇ θεϊκῇ, οὕτω καί οἱ κατά Χριστόν ζήσαντες σπείρονται διά τοῦ θανάτου πάλιν κατά Παῦλον εἰπεῖν ἐν ἀσθενείᾳ καί ἀτιμίᾳ, ἐγείρονται ἐν δυνάμει καί δόξῃ, σῶμα λαβόντες δεδοξασμένον τε καί ἀκήρατον, ὁποῖον ἔσχεν ὁ Χριστός μετά τήν ἀνάστασιν, πρωτότοκος ἐκ τῶν νεκρῶν καί ἀπαρχή τῶν κεκοιμημένων γενόμενος. Ἀλλ᾽ αὕτη ἡ ἐν τῷ σώματι ἀνακαίνισις πίστει μᾶλλον ὁρᾶται νῦν, οὐκ αὐτοψίᾳ, ἐλπίδι, πράγματι δέ οὔπω˙ ἡ δέ τῆς ψυχῆς, λαμβάνει μέν καί αὕτη τήν ἀρχήν, ὡς εἴρηται, ἐν τῷ θείῳ βαπτίσματι διά τῆς τῶν ἁμαρτημάτων ἀφέσεως, τρέφεταί τε καί αὔξεται διά τῆς ἐν τῇ πίστει δικαιοσύνης, ἔτι καί ἔτι ἀνακαινοζομένη ἐν ἐπιγνώσει τοῦ Θεοῦ καί ταῖς αὐτῇ κατ᾽ ἀλλήλοις ἀρεταῖς, λήψεται δέ τήν τελείωσιν ἐν τῇ κατά τό μέλλον πρόσωπον πρός πρόσωπον τοῦ Θεοῦ θεωρίᾳ˙ νῦν γάρ δι᾽ ἐσόπτρου βλέπει καί ἐν αἰνίγματι.

Διά τοῦτο καί ὁ τῷ Χριστῷ διαφερόντως ἠγαπημένος Ἰωάννης ἀμφοτέρας τάς ἀνακαινίσεις συλλαβών τοῦ τε σώματος καί τῆς ψυχῆς, «νῦν», φησί, «τέκνα Θεοῦ ἐσμεν»˙ τοῦτο ἡ τῆς υἱοθεσίας ἀρχή˙ ἀλλ᾽ «οὔπω ἐφανερώθη τί ἐσόμεθα, οἴδομεν δέ ὅτι ἐάν φανερωθῇ, ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτόν καθώς ἐστι»˙ τοῦτο ἡ τελείωσις τῆς κατά Θεόν ἡμῖν διά τοῦ Χριστοῦ χαρισθείσης υἱοθεσίας καί ἀνακαινίσεως, δι᾽ ἥν καί ἐν τῷ εὐαγγελίῳ φησίν ὁ αὐτός, (σελ. 476) ὅτι «ἔδωκεν ὁ Χριστός ἐξουσίαν τοῖς πιστεύουσιν εἰς τό ὄνομα αὐτοῦ τέκνα Θεοῦ γενέσθαι˙ οἵ οὐκ ἐξ αἱμάτων, οὐδέ ἐκ θελήματος σαρκός, οὐδέ ἐκ θελήματος ἀνδρός, ἀλλ᾽ ἐκ Θεοῦ ἐγεννήθησαν».

Λέγων γάρ οὐκ ἐκ σαρκός ἡμᾶς γεννηθῆναι, ἀλλ᾽ ἐκ τοῦ Θεοῦ, τήν διά τοῦ θείου βαπτίσματος ἀναγέννησιν καί υἱοθεσίαν δηλοῖ, δι᾽ ἥν καί ἐν τῇ ἐπιστολῇ φησιν, ὅτι «νῦν τέκνα Θεοῦ ἐσμεν». Εἰπών δέ ὅτι ἔδωκεν ἡμῖν ἐξουσίαν τέκνα Θεοῦ γενέσθαι, ὡς μήπω οὖσι, τό τέλειον τῆς υἱοθεσίας ὑπέδειξε. Καθάπερ γάρ τό ἀρτιγενές βρέφος δύναμιν μέν ἔχει παρά τῆς φύσεως σοφόν γενέσθαι καί σοφόν ἐστι δυνάμει, τῆς δ᾽ ἡλικίας προϊούσης, εἴπερ καί τά συντείνοντα πρός τήν ἐπιστήμην μετέλθοι, οὕτως ἔσται καί ἐνεργείᾳ σοφόν, τόν αὐτόν τρόπον καί ὁ ἀναγεννηθείς διά τοῦ θείου βαπτίσματος, δύναμιν μέν ἔλαβε σύμμορφος γενέσθαι τῷ σώματι τῆς δόξης τοῦ Υἱοῦ τοῦ Θεοῦ˙ εἰ γοῦν καί ἐν καινότητι ζωῆς περιπατήσει, κατά Χριστόν καί τό τούτου εὐαγγέλιον ζῶν, ἐν τῇ ἀναστάσει τῆς δυνάμεως ταύτης προκοψάσης εἰς ἐντελέχειαν, οὐκέτι πίστει καί ἐλπίδι, ἀλλ᾽ ἀληθείᾳ καί πράγματι, δεδοξασμένον καί ἀκήρατον ἕξει τό σῶμα, ὁποῖον καί ὁ

Κύριος ἔσχε μετά τήν ἀνάστασιν, πόσῳ μᾶλλον τό πνεῦμα. Ἀναστήσονται μέν γάρ καί τά νεκρά σώματα τῶν ἀσεβῶν, ἀλλ᾿ οὐκ ἐν δόξῃ οὐρανίῳ˙ οὐ γάρ ἔσονται σύμμορφα τῷ σώματι τῆς δόξης τοῦ Χριστοῦ, ἀλλ᾿ οὐδέ τήν ἐπηγγελμένην τοῖς πιστοῖς ὄψονται θεωρίαν τοῦ Θεοῦ, ἥ καί βασιλεία τοῦ Θεοῦ καλεῖται˙ «ἀρθήτω γάρ», φησίν, «ὁ ἀσεβής, ἵνα μή ἴδῃ τήν δόξαν τοῦ Κυρίου». Ἀλλ᾿ οἱ γεννηθέντες τε καί τραφέντες κατά Χριστόν, καί τό μέτρον φθάσαντες ὡς δυνατόν (σελ. 478) τῆς ἡλικίας τοῦ Χριστοῦ πληρώματος, ἐκεῖνοι καί τῆς θείας λαμπρότητος μακαρίως ἐπιτεύξονται καί κατά τό γεγραμμένον ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρός αὐτῶν.

Ταύτης τῆς θείας ἐλλάμψεώς τε καί λαμπρότητος καί ὁ Ἀδάμ μέτοχος ὑπάρχων πρό τῆς παραβάσεως, ὡς ὄντως στολήν δόξης ἠμφιεσμένος, οὐχ ὑπῆρχε γυμνός, οὐδ᾿ ἀσχήμων ὑπῆρχεν ὅτι γυμνός, ἀλλά πολλῷ κοσμιώτερος, οὐδ᾿ ὅσον εἰπεῖν, τῶν νῦν περικειμένων τά χρυσῷ πολλῷ καί διαυγέσι λίθοις κοσμούμενα διαδήματα. Ταύτης τῆς θείας ἐλλάμψεώς τε καί λαμπρότητος γεγυμνωμένην τήν ἡμῶν φύσιν ἐκ παραβάσεως τῆς ἀσχημοσύνης ἐλεήσας ὁ τοῦ Θεοῦ Λόγος καί διά σπλάγχνα ἐλέους ἀναλαβόμενος, ἐνδεδυμένην ἐπιφανέστερον ἐπί τοῦ Θαβωρίου τῶν μαθητῶν τοῖς ἐκκρίτοις πάλιν ὑπέδειξε, τί ποτε ἦμεν καί τίνες ἐπί τοῦ μέλλοντος αἰῶνος ἐσόμεθα δι᾿ αὐτοῦ οἱ πιστεύοντες καί τῆς ἐν αὐτῷ τελειώσεως ἐπιτυχόντες τοῖς πᾶσι παριστάς.

Ταύτης τῆς τελειώσεως τῶν κατά Χριστόν βιούντων εὑρήσεις καί τούς ἀρραβῶνας φανερῶς ἐνταῦθα δεδομένους τοῖς τοῦ Θεοῦ ἁγίοις, καρπουμένοις ἤδη κατά τόν εἰπόντα τό τοῦ μέλλοντος αἰῶνος ἀγαθόν. Καί τοῦτον προλαβών ἔδειξεν ὁ Μωϋσῆς, οὗ τῇ δόξῃ τοῦ προσώπου ἀτενίζειν οὐκ ἠδύναντο οἱ υἱοί τοῦ Ἰσραήλ, καί μετ᾿ αὐτόν ἔτι περιφανέστερον αὐτός ὁ Κύριος ἐπ᾿ ὄρους ἀστράψας ἐν φωτί θεότητος οὕτω τηλαυγῶς, ὡς μηδέ τούς ἐκκρίτους τῶν μαθητῶν, καίτοι πνευματικήν δύναμιν τηνικαῦτα λαβόντας, ἀτενίζοντας δυνηθῆναι πρός τήν λάμψιν ἐκείνην στῆναι. Στεφάνου δέ τό πρόσωπον ὤφθη κατά τό γεγραμμένον ὡς πρόσωπον ἀγγέλου, καί αὐτός ἀπό γῆς εἰς τά ἐπέκεινα τῶν οὐρανῶν ἠτένιζεν, ὅπου ὁ Χριστός ἐκάθισεν (σελ. 480) ἐν δεξιᾷ τῆς μεγαλωσύνης καί τήν ὑπερουράνιον ἑώρα δόξαν τοῦ Θεοῦ. Καί μακρόν ἄν εἴη τούς ἄλλους καθεξῆς ἀπαριθμεῖσθαι καί καταλέγειν, οἵτινες ἐντεῦθεν τούς ἀρραβῶνας τῶν

μελλόντων ἀγαθῶν ἔλαβον καί τῆς θείας ἐκείνης λάμψεώς τε καί λαμπρότητος μακαρίως ἐπέτυχον.

Ἧς γένοιτο καί ἡμᾶς ἐπιτυχεῖν χάριτι καί φιλανθρωπίᾳ τοῦ δι᾽ ἡμᾶς ἐνανθρωπήσαντος καί παθόντος καί ταφέντος καί ἀναστάντος καί τήν κάτω κειμένην φύσιν ἡμῶν εἰς οὐρανούς ἀνυψώσαντος καί συνεδρίᾳ τιμήσαντος πατρικῇ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν˙ ᾧ πρέπει δόξα, τιμή καί προσκύνησις σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί τῷ παναγίῳ καί ζωοποιῷ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

## *ΟΜΙΛΙΑ ΙΖ’ (484)*

## *ΔΕΙΚΝΥΣΑ ΤΟ ΤΟΥ ΣΑΒΒΑΤΟΥ ΚΑΙ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΜΥΣΤΗΡΙΟΝ*

### *Καί εἰς τό τῆς Καινῆς Κυριακῆς Εὐαγγέλιον.*

Καινή Κυριακήν ἑορτάζομεν σήμερον˙ μᾶλλον δέ τῆς καινῆς Κυριακῆς ἄγομεν τά ἐγκαίνια. Βούλεται τοίνυν ὁ ἡμέτερος λόγος, μικρόν ἄνωθεν πρός τήν ὑμετέραν ἀγάπην, ἐφ᾽ ὅσον ὁ καιρός δίδωσι, τό τῆς Κυριακῆς ἀνακαλύψαι μυστήριον. Εἰ δέ μέγα τοῦτο καί ὑψηλόν, καί διά τοῦτο μηδέ τό πρόχειρον τούτου τοῖς πᾶσιν εὔληπτον, χάριτας ὁμολογεῖν χρή τῷ Κυρίῳ τῶν ὅλων, οὗ καί ἡ ἡμέρα ἐπώνυμος, ταῦτα χαρισαμένῳ διά τῆς ἐν σαρκί παρουσίας αὐτοῦ τοῖς αὐτῷ προσιοῦσι διά τῆς πίστεως, ἅ καί νῷ καί λόγῳ καί πρός ὀλίγον δυσέφικτα.

(σελ. 486) Προσέχετε δέ ὅμως ἅπαντες τοῖς λεγομένοις τόν νοῦν. Εἰ γάρ τις καί μή τό πᾶν ἐπιγινώσκειν δυνήσεται, ἐξ ὀλίγων ἕξει τήν πᾶσαν δύναμιν˙ φωτός γάρ ἔχει λόγον ἡ διδασκαλία τοῦ Πνεύματος. Ἐν ἕξ τοίνυν ὁ Θεός ἡμέραις μή μόνον τό αἰσθητόν ἅπαν τοῦτο ποιήσας τε καί κοσμήσας, ἀλλά καί τό μόνον ἐξ αἰσθήσεως καί νοῦ συγκείμενον ζῶον τόν ἄνθρωπον πλάσας τε καί ζωώσας καί τήν ἡγεμονίαν αὐτῷ τῶν περί γῆν ζώων καί φυτῶν παρασχόμενος, τῇ ἑβδόμῃ κατέπαυσεν ἀπό πάντων τῶν ἔργων αὐτοῦ, καθάπερ ὁ Μωϋσῆς ἐδίδαξεν ἡμᾶς ὁ μεταγενέστερος θεωρός τῆς ἐπί τό πολύ προγενεστέρας αὐτοῦ καταβολῆς τοῦ κόσμου, μᾶλλον δέ τό Πνεῦμα τό ἅγιον διά τῆς ἐκείνου γλώττης ταῖς ἡμετέραις ἐνηχῆσαν

φιλανθρώπως ἀκοαῖς τε καί ψυχαῖς. Ἀλλά καί εὐλόγησε, φησίν, ὁ Θεός τήν ἡμέραν τήν ἑβδόμην καί ἡγίασεν αὐτήν. Πῶς οὖν ταύτην, καθ᾽ ἥν οὐδέν ἔπραξε, καί εὐλόγησε καί ἡγίασεν, ἀλλ᾽ οὐχί τήν πρώτην μᾶλλον ὡς ὑπερεξῃρημένην, διό καί μίαν αὐτήν ὁ Μωϋσῆς εἶπεν, ἀλλ᾽ οὐχί πρώτην, καθ᾽ ἥν ὁ Θεός ἐκ τοῦ μή ὄντος ἀθρόον προήγαγε τό πᾶν καί φωτί καινῷ προηύγασεν αὐτό, εἰ καί μήπω τόν κατάλληλον ἐπέθηκε κόσμον, εἰς τάξιν καί εἶδος ἀγαγών ἕκαστον; Πῶς, εἰμή καί ταύτην, ἀλλ᾽ οὐχί τήν μετ᾽ αὐτήν, καθ᾽ ἥν τό μέγα τοῦτο κῦτος ἐτερέωσε καί περιέτεινε τόν περί ἡμᾶς πρῶτον οὐρανόν λέγω, πρός δέ τόν πρῶτον ἐκεῖνον δεύτερον; Πῶς οὐχί τήν μετ᾽ αὐτήν πάλιν ἤ τάς ἐφεξῆς καθ᾽ ἅς ἥ τε γῆ συνέστη, τῶν ὑδάτων ὑποχωρησάντων, καί τόν ἑαυτῇ σύμφυτον πάντα κόσμον ἀπειλήφει καί ὁ οὐρανός τούς δύο μεγάλους, οἷά τινας ὀφθαλμούς ἐδέξατο φωστῆρας καί ἐκ τῶν ὑδάτων τά πετεινά καί τά νηκτά διά προστάγματος ὑπέστη κατά γένος;

(σελ. 488) Ἵνα δή καί ταύτας παραλίπωμεν, διά τί μή τήν ἕκτην μᾶλλον ὁ Θεός εὐλόγησεν, καθ᾽ ἥν οὐ ψυχήν μόνον ζῶσαν ἑρπετῶν καί τετραπόδων ἐξέτεινεν ἐκ γῆς, ἀλλά καί βουλῆς ἄξιον ὑπέδειξεν οἰκείας ἔργον, συγκεφαλαιωσάμενος τό πᾶν, αἴσθησίν τε καί νοῦν συναγαγών εἰς ἕν, καί τό μέγιστον, ὅτι καί ἑαυτόν διά τῆς αὐτοῦ θείας χάριτος ἐνθείς καί κατ᾽ εἰκόνα καί ὁμοίωσιν οἰκείαν γνωστικόν ἑαυτοῦ ζῶον ἐπί γῆς ἀναδείξας τόν ἄνθρωπον; Πῶς οὖν οὐ ταύτην εὐλόγησε καί ἡγίασεν, ἀλλά τήν ἑβδόμην ἡμέραν, ἀπραξίας οὖσαν ἡμέραν; Βουλομένῳ δή μοι τόν λόγον ἀποδοῦναι καί τήν λύσιν τῆς ἀπορίας παρασχεῖν, ἀναγκαῖον μάλιστα διά τούς ἐλλογιμωττέρους τῶν συνειλεγμένων ἐξελέγξαι πρότερον τούς μή καλῶς ἀποδόντας. Εἰσί γάρ οἵ τόν ἀριθμόν συμνολογοῦσι τοῦτον, Ἰώσηπος καί Φίλων, καί ὅσοι κατ᾽ αὐτούς ἀγέννητόν τε εἶναι λέγοντες, ἀλλά καί παρθένον ὡς μή γεννῶντα, ὁποῖόν ἐστι καί τό θεῖον κατ᾽ αὐτούς˙ οὐ γάρ ἐδυνήθησαν συνιδεῖν, ὡς καί γεννῶν ὁ Θεός τήν παρθενίαν οὐκ ἀποτίθεται˙ γεννᾷ γάρ ἀσυνδυάστως, ἀρρεύστως καί ἀπαθῶς. Οἱ δέ διά τοῦτο καί τήν ἑβδόμην μόνην τῶν ἡμερῶν τῆς θείας εὐλογίας ἐπιτυχεῖν διατείνονται, καταψευδόμενοι μή τοῦ Θεοῦ μόνον, ἀθετοῦντες αὐτοῦ τό γόνιμον, ἀλλά καί τῆς ἑβδόμη αὐτῆς˙ πᾶς γάρ ἀριθμός ἐκ μονάδος γεννᾶται, ἡ δέ ἑβδομάς ἀριθμός, οὐκοῦν οὐκ ἀγέννητος. Ἀλλ᾽ οὐχ ὑπό τινος, φασίν, ἑτέρου τῶν μετά τήν μονάδα πολλαπλασιαζομένου γεννᾶται˙ ἀλλ᾽ οὐχ οὗτος ἀγέννητος ὁ μή

γεννώμενος ὑπό πολλῶν, ἀλλ᾽ ὅς ἄν ὑπ᾽ οὐδενός γεννῶτο, ὅπερ ἡ ἑβδομάς οὐκ ἔχει.

Ἔπειτα, εἰ διά τόν ἀριθμόν τοῦτον ὄντα τοιοῦτον ἡ ἡμέρα εὐλόγηται, πολλῷ μᾶλλον ἄν ἡ πρώτη, καί μάλισθ᾽ ὅτι καί μίαν αὐτήν ὁ Μωϋςῆς εἶπε, τήν εὐλογίαν ἐδέξατο˙ ἡ γάρ μονάς ἀγέννητος πάντη. (σελ. 490) Ἀλλά γεννητική, φασίν, αὕτη, πολλαπλασιαζομένη παντός ἀριθμοῦ καί τῶν ἐντός δεκάδος, ἡ δέ ἑβδομάς τῶν ἐντός δεκάδος οὐδενός, καί διά τοῦτο παρθένος. Ἔστω δή παρθένος ἡ μηδαμῶς γεννῶσα˙ οὐ γάρ ἐξ ἀνάγκης, ἔστω δ᾽ οὖν ὅμως˙ ἡ δέ μέτρια μέν οὔ, πολλά δέ γεννῶσα, καθόσον πλείω, κατά τοσοῦτον πάντως πορρωτέρω τῆς παρθενίας ἐστίν. Ἡ γοῦν ἑβδομάς πολλαπλασιαζομένη καί συντιθεμένη τῶν μέν ἐντός δεκάδος οὐδένα γεννᾷ, τῶν δέν ὑπέρ δεκάδα πολλούς˙ πῶς οὖν παρθένος; Ἀλλ᾽ ἐκφεύγοντες ἡμῶν τάς λαβάς οἷον ἐπί τήν σελήνην ἀναβαίνουσι καί τούς πόλους, τούς μέν ἑπτά λέγοντες εἶναι, τήν δέ σελήνην δεικνῦντες ἐν ἑπτά μέν ἡμέραις διχοτόμον, ἐν ἄλλαις δέ τοσαύταις πανσέληνον καί διά τῶν ἴσων πάλιν ἐπαναστρέφουσαν. Ἀγνοοῦσι γάρ ὡς, εἰ διά ταῦτα σεπτός ὁ ἑπτά, καί οἱ ἄλλοι τῶν ἀριθμῶν οὐδέν ἧττον, καί μάλιστα πάντων ἡ τούτων ἀρχή˙ εἷς γάρ ὁ αἰσθητός ἅπας κόσμος καί εἷς ὁ πᾶς οὐρανός, ἤ δυοῖν οὐ πλείω˙ καί εἷς ἥλιος ἐν τῷ παντί καί μία σελήνη ἐστίν, ἵνα μή λέγω ὅτι πάντα τῷ ἑνί συνέστηκε τοῦ πρό πάντων καί διά πάντων˙ καί ἐπί πάντων Θεοῦ, τό ὡς ἀληθῶς ἑνιαῖον τοῖς καλῶς συνιεῖσι κηρύττοντα.

Εἰ δέ καί περιφερής τῶν τε ἀστέρων καί τῶν πόλων ἕκαστος καί κύκλῳ τόδε τό πᾶν, ὁ δέ κύκλος ἐκ δυοῖν σημείου τε καί γραμμῆς, καί τῶν δύο χωρίς οὐδ᾽ ἄν ἦν οὐδέν μάλιστα τῶν αἰσθητῶν, καί δύο λοιπόν ἀριθμός χρειωδέστατος τῷ παντί καί ἀναγκαιότατος. Ἐπεί δέ μή γραμμή μόνη καί ἐπίπεδον ἐν τῷ παντί, καί ἡ τριάς οὐκοῦν ἐν ἀριθμοῖς τόν ἴσον τρόπον˙ παρίημι γάρ λέγειν τά ἄλλα τοῦ (σελ. 492) ἀριθμοῦ τούτου πλεονεκτήματα. Ἐπεί δ᾽ αὖ καί τῶν προειρημένων ἕκαστον, οὐ κύκλος μόνον, ἀλλά καί στερεόν ἐστι καί σφαῖρα, ταῦτα δέ εἶναι τῶν ἀδυνάτων ἄνευ τῆς τετράδος, δεῖ γάρ αὐτοῖς ἐξ ἀνάγκης καί διαστήματος ἑτέρου, πῶς οὐχί καί ἡ τετράς ἐπίσης τῶν ἀξιολόγων; Ἔτι γε μήν καί ἡ πεντάς δι᾽ ἕτερα παραπλήσια, καί μάλιστα τῶν ἄλλων ὁ ἕξ ἀριθμός˙ οὗτος γάρ πρό τῶν ἄλλων τοῖς οἰκείοις μέρεσιν ἐξισούμενοςπρῶτος ἐν τοῖς τελείοις ἐστί˙ διό κατ᾽ αὐτόν τό πᾶν συνετελέσθη τοῦτο.

Οἱ τοίνυν ἐκ τοιούτων σεμνύνοντες τήν ἑβδομάδα λελήθασιν ἑαυτούς, οὐ ταύτην μόνον, ἀλλ᾽ ἁπλῶς ἅπαντα σεμνοποιοῦντες ἀριθμόν˙ ἱκανά γάρ εἰκότως ἕκαστος ἔχει τοιαῦτα σεμνολογήματα. Ἐπεί γάρ ὁ ἀριθμός ὑπό Θεοῦ τοῖς οὖσι συνεκτίσθη πᾶσι, τά δέ ὑπό τοῦ Θεοῦ κτισθέντα πάντα καλά τε καί καλά λίαν, ὡς διά Μωσέως αὐτός ἐπεμαρτύρησεν ὁ κτίσας, ὅ τις ἄν τοῦ ἀριθμοῦ μέρος ἀπολαβών ἐξεταστικῶς κατίδοι, καλόν εὑρήσει καί καλόν λίαν, ἑαυτῷ τε καί τοῖς ἄλλοις λόγοις ἀναλογίας ἐμπρέπον θαυμασίως. Οὐ μήν διά τόν ἀριθμόν ἁπλῶς ἑτέρα τῆς ἑτέρας διενήνοχεν ἡμέρας˙ ἐπ᾽ οὐδεμιᾶς γάρ ὁ Μωϋσῆς ἐπαινετήν τοῦ ἀριθμοῦ γεγονότα τόν Θεόν ἱστόρησεν, ἀλλά τά καθ᾽ ἑκάστην ὑπ᾽ αὐτοῦ προηγούμενα δι᾽ ἐπαίνου τίθεσθαι˙ τοιγαροῦν οὐδέ ἡ ἑβδόμη τῶν ἡμερῶν διά τόν ἀριθμόν ἐπαινετέα. Λέγομεν τοίνυν ἡμεῖς, τίνος ἕνεκεν ὁ Θεός αὐτήν διαφερόντως εὐλόγησέ τε καί ἡγίασεν, ἐξ αὐτῶν τῶν τοῦ Μωσέως λόγων λαβόντες τάς ἀρχάς. «Κατέπαυσε» γάρ, φησίν, «ὁ Θεός τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπό πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησεν». Εἶτα προσθείς, ὅτι καί εὐλόγησεν ὁ Θεός τήν ἡμέραν τήν ἑβδόμην καί ἡγίασεν αὐτήν», καί τήν αἰτίαν εὐθύς προστίθησι τῆς εὐλογίας αὐτό (σελ. 494) τοῦτο λέγων πάλιν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ὁ Θεός ἀπό πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ποιῆσαι». Οὐκοῦν ἔστιν ἔργα τοῦ Θεοῦ ἅπερ οὔτε ἤρξατο ποιεῖν κατέπαυσεν ποιῶν, ὡς καί αὐτός ὁ κύριος ἀπεκάλυψεν ἡμῖν λέγων˙ «ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται κἀγώ ἐργάζομαι».

Θέλων οὖν ὁ Θεός τῶν τοιούτων ἔργων ἡμῖν τήν δυνατήν γνῶσιν παρασχεῖν καί ταῦτα δεῖξαι ζητητέα μᾶλλον τῶν ὑπ᾽ αἴσθησιν ἁπάντων, τήν ἑβδόμην καθ᾽ ἥν κατέπαυσε τά αἰσθητά ποιῶν εὐλόγησέ τε καί ἡγίασεν, ὡς ἐπάνοδον οἷον οὖσαν διά τῆς καταπαύσεως ἀπό τῶν κάτω πρός ἐκεῖνα τά κρείττω καί ὑπερκόσμια. Κατά γάρ τόν μέγαν Διονύσιον εἰπεῖν, ἔξω ἑαυτοῦ γίνεται δι᾽ ὑπερβολήν ἀγαθότητος ὁ Θεός καί ἐκ τοῦ πάντων ἐξῃρημένου πρός τό ἐν πᾶσι κατάγεται κατ᾽ ἐκστατικήν ὑπερούσιον δύναμιν ἀνεκφοίτητον ἑαυτοῦ. Συγκαταβάς δή φιλανθρώπως, ἐφ᾽ ὅσον αὐτός ἠθέλησε καί ἐχρῆν καί τόν καθ᾽ ἡμᾶς αἰσθητόν τοῦτον ἐν ἕξ ἡμέραις ἐργασάμενος κόσμον, κατά τήν ἑβδόμην εἰς τό οἰκεῖον ὕψος, ὅ μηδ᾽ ἀπέλιπε, θαυμαπρεπῶς ἐπανῆλθε καί τήν κατ᾽ αὐτήν κατάπαυσιν εὐλογημένην μᾶλλον ὑπέδειξε, διδάσκων καί ἡμᾶς ζητεῖν εἰσελθεῖν, κατά τό ἐγχωροῦν, εἰς ἐκείνην τήν κατάπαυσιν, ἥτις ἐστίν ἡ κατά νοῦν ἡμῶν θεωρία καί ἡ διά ταύτης πρός Θεόν ἀνάνευσις. Πρός ἥν

κατάπαυσιν καί ὁ ἀπόστολος διαρρήδην προτρέπεται. Προθείς γάρ τό παρά τοῦ Θεοῦ διά τοῦ ψαλμῳδοῦ περί τοῦ γένους τῶν Ἰουδαίων λεγόμενον, «ὥς ὤμωσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύονται εἰς τήν κατάπαυσίν μου», ἐπιφέρει γράφων, «εἴρηταί που περί τῆς ἑβδόμης ὅτι (σελ. 496) κατέπαυσεν ὁ Θεός ἀπό πάντων τῶν ἔργων αὐτοῦ», καί μετ᾽ ὀλίγα, «σπουδάσωμεν οὖν καί ἡμεῖς εἰσελθεῖν εἰς τήν κατάπαυσιν αὐτοῦ»˙ ὁ γάρ εἰσελθών κατέπαυσε καί αὐτός ἀπό τῶν ἔργων αὑτοῦ, καθάπερ ἀπό τῶν ἰδίων ὁ Θεός.

Ἀλλά τίς αὕτη ἡ κατάπαυσις, ἔτι σαφέστερον ποθεῖτε μαθεῖν, καί πῶς καί ἡμεῖς εἰς αὐτήν εἰσελευσόμεθα; Ἄν τά ἔργα μάθωμεν ὧν ὡς ἀνάρχων ὄντων ὁ Θεός οὐκ ἤρξατο, ἔτι μᾶλλον καί τῆς καταπαύσεως ταύτης καί τῆς πρός αὐτήν εἰσελεύσεως ἐν περινοίᾳ ἐσόμεθα. Τίνα δή τά ἔργα ταῦτα; Διδότω καί ἡμῖν τήν ἀρχήν ὁ ψαλμῳδός προφήτης περί τοῦ Θεοῦ γράφων, «ἔργα χειρῶν αὐτοῦ ἀλήθεια καί κρίσις». Ἔργον οὖν Θεοῦ ἄναρχον ἡ τῶν ὄντων γνῶσις καί ἡ πρόγνωσις τῶν ἐσομένων, ἅς εἴ τις ἀλήθειαν προσείποι, οὐκ ἀστοχήσει τοῦ προσρήματος. Ἔργον Θεοῦ ἄναρχόν τε καί ἄπαυστον ἡ κρίσις καί ἡ πρόνοια˙ καί γάρ ἐδεῖτο τά ὄντα καί πρίν γενέσεως κρίσεώς τε καί προνοίας, ὅτι δεῖ γενέσθαι καί μετά τό γενέσθαι ὅπως μή ἀπογένωνται κατά καιρόν˙ ἤ τά μέν πρός τό λισυτελές ἑαυτῶν ἤ τό τοῦ παντός μεταγίνωνται κατά καιρόν, τά δέ διαμένωσιν ἀναλλοίωτα. Ἔργον ἄναρχον Θεοῦ ἡ πρός ἑαυτόν ἐπιστροφή˙ ἐκινεῖτο γάρ ἀνάρχως τῇ ἑαυτοῦ θεωρίᾳ.

Πολλά μέν οὖν ἄν τις ἐξετάζων κατίδοι τά ταῖς ἐνεργείαις ταύταις σύστοιχα. Ἄν δέ καί ἡμῶν ἕκαστος, ἀδελφοί, τῶν κάτω συνεχῶν καί πολυμόχθων φροντίδων καί τῶν κατά ταύτας ἔργων ἀφέμενος, προσεδρεύῃ τά ὦτα ὑπέχων τῇ διδασκαλίᾳ τοῦ (σελ. 498) Πνεύματος, πρῶτον μέν ἐπαινεθήσεται παρά τοῦ Κυρίου, ὅς τήν μέν Μάρθαν περί πολλῶν μεριμνῶσαν οὐκ ἀποδέχεται, καίτοι τῆς σπουδῆς οὔσης ὑπέρ αὐτοῦ˙ Μαρία δέ, φησίν, ἡ παρακαθημένη καί τῶν λόγων τῆς διδασκαλίας ἀκροωμένη, τήν ἀγαθήν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς.

Ὁρᾷς τό ἀκατάπαυστον ἔργον; Ἔπειτα τούς λόγους τούτους ἐν νῷ λαβών τῆς διδασκαλίας τοῦ Πνεύματος καί τούτοις ἐμμελετῶν καί τούτους ἐν τῷ λογιζομένῳ τῆς ψυχῆς ἑτέρου παντός ἐμπαθοῦς καί γηΐνου λογισμοῦ προκρίνων καί διά τούτων πρόνοιαν τοῦ καθ᾽ ἑαυτόν βίου ποιούμενος εἰς σωτηρίαν, ἔργον καί αὐτός ἕξει τήν ἀλήθειαν καί

τήν κρίσιν ἐν τῇ ἑαυτοῦ καρδίᾳ, κατά τόν ψαλμῳδόν προφήτην, λαλῶν ἀλήθειαν. Ἄν δέ καί παντός συλλογισμοῦ, κἄν ἀγαθός ᾖ, τόν σόν ἀπαναστήσῃς νοῦν καί πρός ἑαυτόν ἐπιστρέψῃς ὅλον δι᾿ ἐπιμόνου προσοχῆς καί ἀδιαλείπτου προσευχῆς, ὄντως εἰσῆλθες καί αὐτός εἰς τήν θείαν κατάπαυσιν καί τῆς κατά τήν ἑβδόμην εὐλογίας ἐπέτυχες, αὐτός σεαυτόν ὁρῶν καί διά σαυτοῦ πρός θεοπτίαν ἀναφερόμενος˙ τέλος γάρ φησι προσευχῆς ἁρπαγή πρός Κύριον. Ἕν μέν δή τοῦτο τῆς κατά τήν ἑβδόμην εὐλογίας τό αἴτιον, ὅ καί Μωϋσῆς διά τοῦ νόμου δεικνύς ἀργίαν τήν ἑβδόμην ἐπέταξεν, ἀλλά τῶν σώματι λυσιτελούντων ἔργων, τῶν δέ τῇ ψυχῇ προσηκόντων ἐνέργειαν.

Ἕτερον δέ, ὁ τό πᾶν τόδε συστήσας ἐν ἕξ ἡμέραις προεώρα καί τήν τοῦ ἀνθρώπου πρός τό χεῖρον τροπήν καί τήν διά ταύτην πρός τήν γῆν ἀποστροφήν καί τήν μέχρις ᾅδου καταστροφήν τε καί κάθειρξιν καί τήν διά τόν ἄνθρωπον παντός τοῦ κόσμου τοῦδε παλαίωσιν καί ἀχρείωσιν, ἀλλά καί τόν ἐσόμενον ἀνακαινισμόν (σελ. 500) τούτου διά τῆς οἰκείας ἐνανθρωπήσεως. Οὗτος δέ ὁ ἀνακαινισμός ἐνηργήθη κατά τήν εἰς ᾅδου τοῦ ἐνανθρωπήσαντος Θεοῦ διά θανάτου κατάβασιν καί τήν ἐκεῖ παρ᾿ αὐτοῦ κατηγγελμένην ἐν σαββάτῳ τῶν ψυχῶν ἐπανάκλησιν˙ καί τοῦτο δή τῆς ἑβδόμης προεώρα τό ἔργον, διόπερ εἰκότως τῆς εὐλογίας ταύτης μόνην ἠξίωσεν. Ἀλλά παρεσκευάσθη μέν ἐν ἀδήλῳ τοῦτο κατά τήν ἑβδόμην, δηλονότι κατά τό Σάββατον, ἀνεφάνη δέ καί καθαρῶς ἐτελέσθη τό πᾶν, καί τοῦ σώματος ἀνακληθέντος πρός ἀφθαρσίαν, κατά τήν ὀγδόην διά τῆς δεσποτικῆς ἀναστάσεως, διό καί Κυριακή παρ᾿ ἡμῶν αὕτη φερωνύμως κατονομάζεται. Ὥσθ᾿ ὅπερ ἐστίν ἡ Παρασκευή πρός τό Σάββατον, τοῦτο πρός τήν Κυριακήν ὑπάρχει τό Σάββατον, ὑπερέχουσαν τούτου σαφῶς˙ καθόσον ἀρχῆς καί τύπου καί σκιᾶς ἡ τελειότης καί ἡ ἀλήθεια, τοσοῦτο τῇ Κυριακῇ τό περιόν καί σεβάσμιον διά τό κατ᾿ αὐτήν ὑπερευλογημένον τέλος καί τήν ἐλπιζομένην κατ᾿ αὐτήν κοινήν τῶν ἁπάντων ἀνάστασιν καί τελείαν τῶν ἀξίων εἰσέλευσιν εἰς τήν θείαν κατάπαυσιν καί τήν παντός τοῦ κόσμου ἀναστοιχείωσιν.

Οὐκοῦν ὅσα ἄν τις εἴποι τήν ἑβδόμην σεμνύνων, ἐπί τήν ὀγδόην ταῦτα μετά προσθήκης ἀνάγεται˙ αὕτη γάρ ἐκείνης ἐστίν ἡ τελείωσις. Ταύτης τῆς ὀγδόης τήν τιμήν, δηλονότι τῆς Κυριακῆς, καί λεληθότως μέν εἰσήγαγεν ὁ Μωϋσῆς˙ ὁ γάρ ἰωβηλαῖος ἐνιαυτός, ὅς ἀφέσεως ἐνιαυτός παρ᾿ ἐκείνου νομίζεταί τε καί ὀνομάζεται, οὐκ ἐναρίθμιός

ἐστι τοῖς κατά νόμον ἀριθμουμέναις ἑβδομάσι τῶν ἐτῶν, ἀλλά μετ᾽ ἐκείνας πάσας καί ὄγδοός ἐστι, μετά τό παρελθεῖν τήν ἐσχάτην ἑβδομάδα τῶν ἐτῶν ἐκείνων ἀναφαινόμενος. Τοῦτο καί ἐν ταῖς ἑβδομάσι τῶν κατά τάς ἡμέρας ἑβδομάδων ποιεῖ (σελ. 502) ὁ Μωϋσῆς. Οὐ μόνον δέ λεληθότως οὕτως εἰσήγαγε τήν τιμήν τῆς ὀγδόης ὁ νομοθέτης, ἥν καί Κυριακήν ἡμεῖς ὀνομάζομεν, ὡς ἀφιερωμένην τῇ ἀναστάσει τοῦ Κυρίου ἡμέραν, ἀλλά καί κατά τήν ἑορτήν ἥν σαλπίγγων ὠνόμασε, καί ἐξόδιον ταύτην καλεῖ, τουτέστι πέρας καί τελείωσιν τῶν ἑορτῶν ἁπασῶν. Κατά ταύτην οὖν φανερῶς φησιν, ὅτι καί ἡ ἡμέρα ἡ ὀγδόη κλητή ἁγία ἔσται ἡμῖν, προκαταγγέλλων τό τῆς Κυριακῆς θεῖον οἷον καί πανευκλεές καί σεβάσμιον, μετά τήν πάροδον τῶν νομικῶν ἁπάντων ἐσόμενον.

Ὥστε καί οὗτος διά τοῦτο τετίμηκε τήν ἑβδόμην, ὡς εἰς τήν ὀγδόην ταύτην φέρουσαν τήν ὄντως τιμίαν. Καί καθάπερ ὁ δι᾽ αὐτοῦ δεδομένος νόμος τίμιος, ἀλλ᾽ ὡς εἰσάγων εἰς Χριστόν, οὕτω καί ἡ ἕβδόμη τιμία ὡς εἰσάγουσα εἰς τήν ὀγδόην, καθ᾽ ἥν ἡ ἀνάστασις τοῦ Κυρίου γέγονεν, ὡς ὀγδόη καί αὕτη οὖσα. Καθάπερ γάρ μετά τήν ἑβδόμην ἡ ὀγδόη τῶν ἡμερῶν ἀριθμεῖται, οὕτως ἐξετάζων εὑρήσεις, μετά τήν ἑβδόμην τῶν ἐκ τοῦ παντός αἰῶνος ἱστορουμένων ἀναστάσεων ἐκ τῶν νεκρῶν, ὀγδόην τήν τοῦ Κυρίου γεγονυῖαν ἀνάστασιν, ὡς μή μόνον ἐν τῇ ὀγδόῃ τελεσθῆναι τῶν ἡμερῶν, ἀλλά καί τήν ὀγδόην εἶναι ταύτην πρός τάς πρό αὐτῆς ἀριθμουμένην, τήν αὐτήν δέ καί πρώτην πρός τήν ἐλπιζομένην τῶν κατά Χριστόν ἁπάντων ἀνάστασιν, μᾶλλον δέ ἐξανάστασιν, δι᾽ ἥν καί ὁ Χριστός ἀπαρχή τῶν κεκοιμημένων καί πρωτότοκος ἐκ τῶν νεκρῶν ἀνυμνεῖται. Τόν αὐτόν δέ τρόπον καί ἡ Κυριακή τῶν ἡμερῶν οὐκ ὀγδόη μόνον ἐστίν ἀπό τῶν πρό αὐτῆς ἀριθμουμένη, ἀλλά καί τῶν μετ᾽ αὐτήν ἐστι πρώτη, ὡς εἶναι ταύτην ἐκείνην ἐκ περιτροπῆς τήν καινήν καί πρώτην ἁπασῶν ἡμέραν, ἥν ἡμεῖς μέν Κυριακήν καλοῦμεν, ὁ δέ Μωϋσῆς οὐ πρώτην, ἀλλά μίαν (σελ. 504) προσηγόρευσεν, ὡς τῶν ἄλλων ὑπερεξῃρημένην καί προοίμιον οὖσαν τῆς τοῦ μέλλοντος αἰῶνος μιᾶς καί ἀνεσπέρου ἡμέρας.

Ἐν περινοίᾳ δέ ἔτι γενήσῃ τῆς κατά τήν Κυριακήν πρός τάς ἄλλας ἑορτίους ἡμέρας ὑπεροχῆς κἀντεῦθεν. Πᾶσαν μέν γάρ ἄλλην ἡμέραν ἑόρτιον, ὁ ἐνιαυτός ἅπας ἅπαξ ἐπάγει περιϊών, τήν δέ Κυριακήν καί μηνῶν ἕκαστος τετράκις ἡμῖν ἐπανάγει, διά τῆς οὕτω συχνῆς περιόδου τόν ἐνιαυτόν ἅπαντα ἐνιαυτόν ἡμῖν δημιουργοῦσαν τῆς

ὄντως ἀφέσεως, καί ἐνιαυτόν Κυρίῳ δεκτόν. Διό καί ὁ Κύριος ταύτην ἡμῖν ἑορτάζειν ἔργῳ καθ᾽ ἑκάστην παρελθοῦσαν ἡμερῶν ἑβδομάδα παραδιδούς, ἐπεφάνη μέν πρῶτον ἐν οἰκίᾳ τοῖς μαθηταῖς, τοῦ Θωμᾶ παρόντος, καί παρέστησεν ἑαυτόν ζῶντα καί τήν εἰρήνην παρέσχεν αὐτοῖς καί δι᾽ ἐμφυσήματος τοῦ οἰκείου τό κατ᾽ ἀρχάς δεδομένον ἀνακαινίσας ἐμφύσημα, τήν τοῦ θείου Πνεύματος ἐχαρίσατο χάριν, δύναμιν ἐνθείς αὐτοῖς θείαν τοῦ δεσμεῖν καί λύειν τάς ἁμαρτίας καί συμψήφους αὐτούς τῆς ἐν οὐρανῷ δεσποτείας ἀπεργασάμενος, εἰπών πρός αὐτούς, «λάβετε Πνεῦμα ἅγιον, ἄν τινων ἀφῆτε τάς ἁμαρτίας, ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε, κεκράτηνται».

Ταύτην μέν οὖν τήν δύναμιν καί τήν χάριν παρέσχεν ὁ Κύριος ἐπιφανείς κατ᾽ αὐτήν τήν ἡμέραν τῆς αὐτοῦ ἀναστάσεως, ἥτις ἡ Κυριακή πάντως ἦν˙ εἶτα διαλιπών τάς μεταξύ τῆς ἑβδομάδος ἡμέρας, κατά τήν ὀγδόην, τ᾽ αὐτό δ᾽ εἰπεῖν τήν Κυριακήν ἥν περ σήμερον ἄγομεν, ἐφίσταται πάλιν ὡσαύτως καί κατά τήν αὐτήν οἰκίαν, ἐγκαινιζων ἑαυτῷ τήν πανήγυριν καί τόν Θωμᾶν πρός πίστιν ἐνάγων διστάζοντα˙ κατά γάρ τόν ἠγαπημένον εὐαγγελιστήν τοῦ (σελ. 506) Σωτῆρος καί μαθητήν, «μεθ᾽ ἡμέρας ὀκτώ πάλιν ἦσαν ἔσω οἱ μαθηταί καί Θωμᾶς μετ᾽ αὐτῶν˙ ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων καί ἔστη εἰς τό μέσον καί λέγει αὐτοῖς, εἰρήνην ὑμῖν».

Ὁρᾶτε κατά Κυριακήν καί τῶν τοῦ Χριστοῦ μαθητῶν τήν συνέλευσιν καί τοῦ Κυρίου πρός αὐτούς τήν ἐπέλευσιν; Κυριακήν γάρ ἦν, ὅτε πρῶτον συνηγμένοις ἐπέστη, καί μεθ᾽ ἡμέρας ὀκτώ τήν Κυριακήν πάλιν ἐπαναγούσας ἐφίσταται συνηγμένοις. Ἐκείνας τάς συνάξεις εἰκονίζειν διηνεκῶς ἡ τοῦ Χριστοῦ Ἐκκλησία, κατά Κυριακήν μάλιστα τάς συνάξεις ἐπιτελοῦσα, καί ἡμεῖς ὑμῖν ἐνδημοῦντες καί τά πρός σωτηρίαν ὁμιλοῦντες κοινῇ καί πρός εὐλάβειαν καί τόν κατ᾽ εὐσέβειαν ἐνάγοντες βιον.

Μηδείς οὖν ὑπό ραθυμίας ἤ διά τῆς πρός τά γήϊνα διά παντός ἀσχολίας ἀπολιμπανέσθω τῶν κατά Κυριακήν ἱερῶν καί θεοπαραδότων συνάξεων τούτων, ἵνα μή δικαίως ἐγκαταλειφθείς ὑπό Θεοῦ παραπλήσιόν τι τῷ Θωμᾷ πάθῃ, μή κατά καιρόν ἐλθών˙ κἄν συναρπασθείς ἅπαξ ἀπολειφθῇ, τῇ ἑξῆς ἀποδιδότω, φέρων ἑαυτόν τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, μή καί ἀνίατος μείνῃ, κατά ψυχήν μέν νοσήσας ἔργοις ἤ λόγοις τήν ἀπιστίαν, τῷ ἰατρείῳ δέ τοῦ Χριστοῦ μή προσενεχθείς καί τήν ἱεράν ὡς ὁ θεῖος Θωμᾶς ἰατρείαν μή προσδεξάμενος. Εἰσί γάρ, εἰσίν οὐ λογισμοί τε καί λόγοι μόνον, ἀλλά

καί ἔργα καί πράξεις πίστεως («δεῖξον γάρ μοι», φησί, «τήν πίστιν σου ἐκ τῶν ἔργων σου»), ὧν εἴ τις ἐκπέσει τελέως τῆς Ἐκκλησίας τοῦ Χριστοῦ μακρυνόμενος καί ἑαυτόν ὅλον ἐκδιδούς τοῖς ματαίοις, (σελ. 508) νεκράν ἔχει, τ᾽ αὐτό δ᾽ εἰπεῖν, μή οὖσαν τήν πίστιν, νεκρός καί αὐτός διά τῆς ἁμαρτίας γενόμενος.

Ἀλλ᾽ ἀποροῦσί τινες, πῶς κεκλεισμένων τῶν θυρῶν εἰσῆλθε σῶμα περικείμενος ὁ Χριστός; οὐ γάρ ἴσασιν, ὡς ἔοικε, πνευματικοῖς συγκρίνειν πνευματικά καί δι᾽ ἀλλήλων ἐπιγινώσκειν αὐτά, καθά φησιν ὁ θεῖος ἀπόστολος. Εἰ γάρ τῆς κατά σάρκα τεκούσης αὐτόν Παρθένου τήν μήτραν οὐκ ἐλυμήνατο, μηδαμῶς λύσας ἀλλ᾽ ἀσινῆ τηρήσας ἐν τῷ τίκτεσθαι τῆς παρθενίας τά σύμβολα, καίπερ τηνικαῦτα παθητόν καί θνητόν περικείμενος σῶμα, τί θαυμαστόν εἰ ἀπαθανατίσας τό πρόσλημμα καί σῶμα νῦν κεκτημένος ἀθάνατον κεκλεισμένας εἰσέδει θύρας; Ἀλλ᾽ ἐπειδή περ ἀθάνατον καί ἀπαθές εἶχε πάντως τό σῶμα, πῶς οὖν ἐπί τῶν χειρῶν καί τῆς πλευρᾶς εἶχε τάς ὠτειλάς καί τάς διατρήσεις; φησί γάρ ὁ εὐαγγελιστής εἰπεῖν τῷ Θωμᾷ τόν Κύριον˙ «φέρε ὧδε τόν δάκτυλόν σου καί ἴδε τάς χεῖρας μου καί φέρε τήν χεῖρά σου καί βάλε εἰς τήν πλευράν μου˙ καί μή γίνου ἄπιστος, ἀλλά πιστός». Πῶς οὖν εἶχε τάς ὠτειλάς; Θνητόν μέν σῶμα καί παθητόν οὐκ ἄν ὠτειλάς τε καί διατρήσεις ἐπιδεῖξαι δύναιτο, καί σῶον καί ὑγιές διαμένειν˙ τό δέ ἀπαθές καί ἀθάνατον ἔχει καί ὠτειλάς δεικνῦναι καί διατρήσεις ἅς προϋπέστη καί οἷς ἄν θέλῃ καί μένειν οὐδέν ἧττον ἀπαθές καί ἀθάνατον.

Ἐμοί δέ τοῦτο καί τοῦτο δίδωσι συνορᾶν, ὅτι τάς ὠτειλάς εἰς ἐγκαλλώπισμα φέρουσιν αἰώνιον οἱ παθόντες διά Χριστόν. Καθάπερ γάρ αἱ φωταγωγοί τῶν θυρίδων, μηδέν τῇ ἀσφαλείᾳ τῆς οἰκοδομῆς προσιστάμεναι, οὐδ᾽ αἶσχος, ἀλλά κόσμος εἰσί τοῖς οἴκοις ἀναγκαιότατος, τό τε φῶς εἴσω πέμπουσι καί τοῖς ἐνοικοῦσι τήν (σελ. 510) πρός τά ἔξω θέαν παρέχουσαι, τόν αὐτόν δή τρόπον καί τά διά Χριστόν ἐπί τοῦ σώματος πάθη καί αἱ παρ᾽ αὐτῶν διατρήσεις φωταγωγοί μάλιστα καθεστήκασι τῷ κεκτημένῳ τοῦ ἀνεσπέρου φωτός καί ἐκ τοῦ θείου κάλλους μᾶλλον καί τῆς λαμπρότητος, ἀλλ᾽ οὐκ ἐκ τοῦ δυσειδοῦς τῶν τραυμάτων, κατά τόν καιρόν τῆς ἐκφάνσεως τοῦ φωτός ἐκείνου γνωρίζονται, τοσοῦτο τῇ ἀπαθείᾳ μή λυμαινόμεναι, παρ᾽ ὅσον καί πρόξενοι μᾶλλον τῆς ἀθανασίας εἰσί.

Τό δέ τοῦ Χριστοῦ σῶμα, τήν τοῦ θείου φωτός πηγήν κεκτημένον ἔνδον, ἐκεῖθεν ἐκλάμψαν νοερῶς ἐφώτισε τόν διστάζοντα, ὡς

πάραυτα τόν Θωμᾶν ἀναβοῆσαι τελέως θεολογήσαντα, «ὁ Κύριός μου καί ὁ Θεός μου». Ὁ δέ Κύριος πρός αὐτόν, «ὅτι ἑώρακάς με πεπίστευκας, μακάριοι οἱ μή ἰδόντες καί πιστεύσαντες», δεικνύς μηδέν ἔχειν πλέον εἰς δόξαν τούς αὐτόπτας γεγενημένους τῶν δι᾽ αὐτῶν εἰς τήν πρός αὐτόν πίστιν ἐναγομένων. Εἰ δέ μή πιστεύσοντες εἶπεν, ἀλλα πιστεύσαντες, ἀλλά τῇ θείᾳ καί προγνωστικῇ δυνάμει τοῦ πάντα πρίν γενέσεως εἰδότος, ὡς γεγονότα ἐστί τά ἐσόμενα.

Ὅ δέ μοι νῦν ἐπῆλθε τῇ διανοίᾳ, τοῦτο πρός τήν ὑμετέραν ἀγάπην ἐρῶ. Τόν γάρ Θωμᾶν ὁρῶν ἀπόντα μέν ἄπιστον γεγονότα, συνεληλυθότα δέ τοῖς πιστεύσασι μηδαμῶς τῆς πίστεως ἀστοχήσαντα, ἐπί νοῦν ἐβαλόμην, ὅτι καί ὁ ἁμαρτωλός ἄνθρωπος, ἄν μόνον φύγοι τήν μετά τῶν φαύλων ἀναστροφήν καί τοῖς δικαίοις συναναστρέφηται, τῆς δικαιοσύνης καί τῆς δι᾽ αὐτήν κατά ψυχήν σωτηρίας οὐκ ἀστοχήσοι ποτέ. Καί τοῦτ᾽ οἶμαι καί ὁ ψαλμῳδός (σελ. 512) προφήτης αἰνίττεται, μακαρίζων τούς ἐκκλίνοντας τήν τῶν λοιμῶν συνεδρίαν καί συνοδοιπορίαν, καί ἕτερος προφήτης μή ἴσθι, λέγων, μετά πολλῶν ἐπί κακίᾳ, καί ὁ παροιμιαστής «ἐν συναγωγῇ ἁμαρτωλῶν ἐκκαυθήσεται πῦρ, ὁ δέ συμπορευόμενος σοφοῖς, σοφός ἔσται».

Τοιγαροῦν, ἀδελφοί, συνερχόμεθα καί πυκνά παραβάλλωμεν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ˙ ταύτῃ γάρ πᾶς ὡς ἀληθῶς εὐλαβής προσεδρεύει καί παραμένει μή ἀφιστάμενος. Καί ὅταν ἕκαστος ὑμῶν εἰς αὐτήν ἔλθῃ, σκοπείτω τούς εὐλαβεστέρους, δυνατόν δέ γνωρίσαι καί μόνῃ τῇ θέᾳ τούτους τῆς ἐν σιωπῇ καί προσοχῇ παραστάσεως. Σκοπείτω τοίνυν τούς εὐλαβεστέρους καί μάλιστα τῶν ἄλλων φοβουμένους τόν Κύριον, καί τούτοις φέρων ἑαυτόν προσκολλάτω καί μετά τούτων συμπαριστάσθω Θεῷ. Κἄν ἐντεῦθεν ἐξέλθῃ μετά τήν ἀπόλυσιν, Κυριακῆς οὔσης, σχολήν ἄγων ἀπό τῶν γηΐνων ἔργων διά τόν Κύριον, οὗ καί ἔστιν ἐπώνυμος αὕτη, ζητείτω μετ᾽ ἐπιμελείας, εἴπου τις τούς Ἀποστόλους ἐκείνους μιμούμενος, κατάκλειστος ὡς τά πολλά διαμένει διά τῆς ἐν ἡσυχίᾳ προσευχῆς καί ψαλμῳδίας καί τῆς ἄλλης καταλλήλου διαίτης ποθῶν τόν Κύριον. Ἐκείνῳ δή προσίτω καί οὗτος καί εἰσίτω μετά πίστεως τόν οἰκίσκον ἐκείνου, καθάπερ οὐράνιόν τινα χῶρον ἔνδον ἔχοντα τήν ἁγιαστικήν τοῦ Πνεύματος δύναμιν, καί τῷ ἐνοικοῦντι παρακαθεζέσθω καί συμπαραμενέτω καθόσον ἔχει καί προσλαλείτω περί Θεοῦ καί τῶν θείων, ἐρωτῶν καί σύν ταπεινώσει μανθάνων καί τήν δι᾽ εὐχῆς ἐπικουρίαν ἐπικαλούμενος. Ἐλεύσεται

γάρ οὕτω (σελ. 514) πράττοντα καί πρός αὐτόν ἀοράτως εὖ οἶδα Χριστός καί τήν εἰρήνην ἔνδον τῷ λογιζομένῳ τῆς ψυχῆς παρέξει καί τῇ πίστει προσθήσει καί τόν στηριγμόν ἐπιδώσει καί μετά τῶν ἐκλεκτῶν κατατάξει κατά τόν καιρόν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν αὐτῷ τῷ νῦν ὑπέρ ἡμῶν ἀποθανόντι καί ἀναστάντι, καί ὕστερον μετά δόξης ἐλευσομένῳ βασιλεῖ τῶν αἰώνων Χριστῷ˙ ὅτι αὐτῷ πρέπει δόξα εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

***ΟΜΙΛΙΑ ΙΗ' (σελ. 518)***

***ΤΗι ΚΥΡΙΑΚΗι ΤΩΝ ΜΥΡΟΦΟΡΩΝ***

***Ἐν ᾗ καί ὅτι, πρώτη τόν Κύριον ἡ Θεοτόκος εἶδεν***

***ἐκ νεκρῶν ἀναστάντα***

Ἡ τοῦ Κυρίου ἀνάστασις τῆς ἀνθρωπίνης φύσεώς ἐστιν ἀνανέωσις καί τοῦ πρώτου διά τήν ἁμαρτίαν θανάτῳ καταποθέντος Ἀδάμ καί διά θανάτου πρός γῆν ὅθεν ἐπλάσθη παλινδρομήσαντος ἀναζώωσις καί ἀνάπλασις καί πρός ζωήν ἀθάνατον ἐπανέλευσις. Ὥσπερ οὖν ἐκεῖνον τήν ἀρχήν πλαττόμενον καί ζωούμενον εἶδεν οὐδείς ἀνθρώπων, οὔπω γάρ ἐν ἐκείνῃ τῷ ὥρᾳ τῶν ἀνθρώπων τις ἦν, μετά δέ τό λαβεῖν πνοήν ζωῆς δι᾽ ἐμφυσήματος θείου πρώτη τῶν ἄλλων εἶδε γυνή, πρώτη γάρ Εὔα μετ᾽ ἐκεῖνον ἦν ἐν ἀνθρώποις, οὕτω καί τόν δεύτερον Ἀδάμ, ὅς ἐστιν ὁ (σελ. 520) Κύριος, ἀνιστάμενος ἐκ νεκρῶν εἶδεν οὐδείς ἀνθρώπων, παρῆν γάρ οὐδείς τῶν οἰκείων, οἵ τε τό μνῆμα φυλάσσοντες στρατιῶται τῷ φόβῳ σεισθέντες ὡσεί νεκροί γεγόνασι, μετά δέ τό ἀναστῆναι πρώτη τῶν ἄλλων εἶδε γυνή, καθάπερ ἠκούσαμεν εὐαγγελιζομένου τοῦ Μάρκου σήμερον˙ «ἀναστάς», γάρ, φησίν, «ὁ Ἰησοῦς πρωί πρώτῃ σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ».

Δοκεῖ μέν οὖν σαφῶς εἰπεῖν ὁ εὐαγγελιστής καί τήν ὥραν καθ᾽ ἥν ἀνέστη ὁ Κύριος, ὅτι πρωί, καί ὅτι πρῶτον ὤφθη Μαρίᾳ τῇ Μαγδαληνῇ καί ὅτι κατ᾽ αὐτήν τήν ὥραν ὤφθη τῆς ἀναστάσεως. Οὐχ οὕτω δέ φησιν, ὡς δῆλον ἔσται μικρόν ἐπιστήσασι˙ μικρόν γάρ ἀνωτέρω καί οὗτος τοῖς ἄλλοις εὐαγγελισταῖς ὁμολόγως ἐλθεῖν φησι

τήν Μαρίαν ταύτην μετά καί τῶν ἄλλων Μυροφόρων ἐπί τόν τάφον καί πρότερον, καί καινόν αὐτόν ἰδεῖν καί ἀπελθεῖν˙ ὥστε πολλῷ πρότερον τῆς πρωΐας, καθ᾽ ἥν αὐτόν εἶδεν, ἀνέστη ὁ Κύριος. Ἐπισημαινόμενος δέ καί τόν καιρόν ἐκεῖνον, οὐχ ἁπλῶς εἶπε πρωί, καθάπερ ἐνταῦτα, ἀλλά λίαν πρωί˙ οὐκοῦν καί ἀνατολήν ἡλίου ἐκεῖ τήν ἐπί τού ὁρίζοντός φησι προτρέχουσαν ἀμυδράν φαῦσιν, ἥν καί ὁ Ἰωάννης δηλῶς, ἐλθεῖν, φησί, τήν Μαγδαληνήν Μαρίαν πρωί, σκοτίας ἔτρι οὔσης, εἰς τό μνημεῖν καί ἰδεῖν τόν λίθον ἠρμένον ἐκ τοῦ μνημείου.

Οὐκ ἦλθε δέ τότε πρός τό μνῆμα αὕτη, κατά τόν Ἰωάννην, ἀλλά καί ἀπῆλθε τοῦ μνήματος, μήπω τόν Κύριον ἰδοῦσα˙ τρέχει γάρ καί ἔρχεται πρός τόν Πέτρον καί Ἰωάννην, καί ἀπαγγέλλει οὐχ ὅτι ἀνέστη ὁ Κύριος, ἀλλ᾽ ὅτι ἤρθη ἀπό τοῦ τάφου, ὥστε τήν ἀνάστασιν (σελ. 522) οὔπω ᾔδει˙λείπεται δή τῇ Μαρίᾳ οὐχ ἁπλῶς πρώτῃ τόν Κύριον ἐπιφανῆναι, ἀλλά μετά τήν ἀκραιφνῆ τῆς ἡμέρας ὥραν. Ἔστι δή τε συνεσκιασμένως παρά τῶν εὐαγγελιστῶν ἀπαγγελλόμενον, ὅπερ ἀνακαλύψω πρός τήν ὑμετέραν ἀγάπην. Τό γάρ τῆς τοῦ Κυρίου ἀναστάσεως εὐαγγέλιον πρώτην πάντων ανθρώπων, καθάπερ καί προσῆκον ὑπῆρχε καί δίκαιον, ἡ Θεοτόκος παρά τοῦ Κυρίου ἐδέξατο καί αὕτη τοῦτον ἀναστάντα πρό πάντων εἶδε καί τῆς αὐτοῦ ὁμιλίας ἀπήλαυσε, καί οὐκ εἶδεν ὀφθαλμοῖς μόνον αὐτόν καί αὐτήκοος αὐτοῦ γέγονεν, ἀλλά καί χερσίν ἥψατο πρώτη καί μόνη τῶν ἀχράντων ἐκείνου ποδῶν, κἄν οἱ εὐαγγελισταί ταῦτα πάντα φενερῶς οὐ λέγουσι, μή θέλοντες τήν Μητέραν προφέρειν εἰς μαρτυρίαν, ἵνα μή τοῖς ἀπίστοις ὑποψίας ἀφορμήν δῶσιν. Ἐπεί δέ νῦν ἡμῖν χάριτι τοῦ ἀναστάντος πρός πιστούς ὁ λόγος καί ἡ τῆς ἑορτῆς ὑπόθεσις τά τῶν Μυροφόρων ἐπείγει διευκρινεῖν, λόγον διδόντος τοῦ εἰπόντος «οὐδέν κρυπτόν ὅ οὐ φανερόν γενήσεται», καί τοῦτο φανερωθήσεται.

Μυροφόροι τοίνυν εἰσίν αἱ συνακολουθοῦσαι μετά τῆς τοῦ Κυρίου Μητρός καί τῷ καιρῷ τοῦ σωτηρίου πάθους συμπαραμείνασαι καί τό τοῦ Κυρίου σῶμα μυρίσαι σπουδάσασαι. Τοῦ γάρ Ἰωσήφ καί τοῦ Νικοδήμου αἰτησάντων καί λαβόντων παρά τοῦ Πιλάτου τό δεσποτικόν σῶμα καί καθελόντων ἀπό τοῦ σταυροῦ καί περισχόντων σινδόσι σύν ἀρώμασι κολλωδεστάτοις καί λαξευτῷ μνημείῳ ἐνθέντων καί λίθον ἐπιθέντων μέγαν ἐπί τῇ θύρᾳ τοῦ μνημείου, θεωροῦσαι κατά τόν εὐαγγελιστήν Μάρκον παρῆσαν Μαρία ἡ Μαγδαληνή (σελ. 524) καί ἡ ἄλλη Μαρία, καθήμεναι ἀπέναντι τοῦ τάφου, διά τοῦ εἰπεῖν,

καί ἡ ἄλλη Μαρία, τήν Θεομήτορα πάντως ὑποφαίνων˙ καί Ἰακώβου γάρ καί Ἰωσῆ αὕτη ἐκελεῖτο μήτηρ, ὡς ἐξ Ἰωσήφ τοῦ Μνήστορος ἐκείνων ὄντων. Οὐ μόναι δέ αὗται θεωροῦσαι παρῆσα, ἐνταφιαζομένου τοῦ Κυρίου, ἀλλά καί ἕτεραι γυναῖκες, ὡς ὁ Λουκᾶς ἱστόρησε γράφων˙ «κατακολουθήσασαι δέ γυναῖκες, αἵτινες ἦσαν συνεληλυθυῖαι αὐτῷ ἐκ τῆς Γαλιλαίας, ἐθεάσαντο τό μνημεῖον καί ὡς ἐτέθη τό σῶμα αὐτοῦ˙ ἦσαν δέ ἡ Μαγδαληνή Μαρία καί Ἰωάννα καί Μαρία Ἰακώβου καί αἱ λοιπαί σύν αὐταῖς».

Ὑποστρέψασαι δέ, φησίν, ἠγόρασαν ἀρώματα καί μῦρα˙ οὔπω γάρ ἔγνωσαν ἀκριβῶς, ὅτι αὐτός ἐστιν ἀληθῶς ἡ ὀσμή τῆς ζωῆς, τοῖς αὐτῷ προσιοῦσι πιστῶς, ὥσπερ ὀσμή θανάτου τοῖς ἀπειθοῦσιν εἰς τέλος καί ὀσμή ἱματίων αὐτοῦ, τουτέστιν αὐτοῦ τοῦ σώματος, ὑπέρ πάντα τά ἀρώματα καί μῦρον ἐκκενωθέν ὄνομα αὐτῷ, δι᾽ οὗ καί τήν οἰκουμένην θείας εὐωδίας ἐνέπλησεν, ἀλλ᾽ ἑτοιμάζουσι μῦρα τε καί ἀρώματα, τοῦτο μέν εἰς τιμήν τοῦ κειμένου, τοῦτο δέ καί παραμυθίαν πρός δυσωδίαν μυδῶντος τοῦ σώματος διά τῆς ἀλοιφῆς τούτων τοῖς βουλομένοις προσεδρεύειν ἐπινοοῦσαι.

Ἑτοιμάσασαι τοίνυν τά μύρα καί τά ἀρώματα, τό μέν Σάββατον ἡσύχασαν κατά τήν ἐντολήν˙ οὔπω γάρ τά ἀληθινά σάββατα συνῆκαν, οὐδ᾽ ἐκεῖνο τό ὑπερευλογημένον σάββατον ἐπέγνωσαν, τό μετάγον ἡμῶν τήν φύσιν ἀπό τῶν τοῦ ᾅδου κευθμώνων ἐπί τό παμφαές καί θεῖον καί οὐράνιον ὕψος˙ «τῇ δέ μιᾷ τῶν σαββάτων, ὄρθρου βαθέος», ὡς ὁ Λουκᾶς φησιν, «ἦλθον ἐπί τό μνῆμα φέρουσαι (σελ. 526) ἅ ἡτοίμασαν ἀρώματα», ὁ δὲ Ματθαῖος «ὀψέ σαββάτων», φησί, «τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων» καί δύο εἶναι τάς προσελθούσας, ὁ δέ Ἰωάννης «πρωί σκοτίας ἔτι οὔσης» καί μίαν εἶναι τήν Μαγδαληνήν Μαρίαν τήν προσελθοῦσαν, ὁ δέ Μάρκος «λίαν πρωί τῆς μιᾶς σαββάτων» καί τρεῖς εἶναι τάς προσελθούσας. Μίαν μέν οὖν σαββάτων οἱ εὐαγγελισταί πάντες τήν Κυριακήν φασιν˙ ὀψέ δέ σαββάτων καί ὄρθρουν βαθύν καί πρωί λίαν καί πρωί σκοτίας ἔτι οὔσης, τόν περί τόν ὄρθρον σύμμικτον φωτός τε καί σκότους χρόνον˙ οὗτος δέ ἐστιν ἀφοῦ τό τοῦ ὁρίζοντος ἑῷον αὐγάζεσθαι ἄρξεται, τήν ἡμέραν προκαταγγέλλων. Ἴδοι δ᾽ ἄν τις ἐξ ἀπόπτου πρός τοῦτο βλέπων ἀρχόμενον μεταχρώννυσθαι φωτί περίπου τήν ἐνάτην τῆς νυκτός ὥραν, ὡς εἶναι τάς ὑπολοίπους μέχρις ἡμέρας ἀκραιφνοῦς ὥρας τρεῖς.

Δοκοῦσι δέ πως οἱ εὐαγγελισταί διαφωνεῖν ἐπί τε τοῦ καιροῦ τούτου καί τοῦ τῶν γυναικῶν ἀριθμοῦ, ἐπειδή περ, ὡς ἔφην, αἱ μυροφόροι πολλαί τε ἦσαν καί οὐχ ἅπαξ, ἀλλά καί δίς καί τρίς, ἦλθον ἐπί τόν τάφον, συναλλήλαις μέν, οὐχ ταῖς αὐταῖς δέ, καί κατά τόν ὄρθρον μέν πᾶσαι, οὐ τόν αὐτόν δέ χρόνον ἐπ᾽ ἀκριβείας, ἡ δέ Μαγδαληνή καί μονωθεῖσα τῶν ἄλλων πάλιν ἦλθε καί παρέμεινεν ἐπί πλέον. Ἕκαστος οὖν τῶν εὐαγγελιστῶν, μίαν ἔστιν ὧν προσέλευσιν εἰπών, τάς ἄλλας παρῆκεν. Ὡς δέ ἐγώ συμβάλλω τε καί συνάγω παρά τῶν εὐαγγελιστῶν ἁπάντων, καθά καί τοῦτο προεῖπον, πρώτη πάντων ἡ Θεοτόκος ἦλθεν ἐπί τόν τοῦ Υἱοῦ καί Θεοῦ τάφον, τήν Μαγδαληνήν Μαρίαν ἐπαγομένη. Καί τοῦτο μάλιστα διδάσκομαι παρά τοῦ εὐαγγελιστοῦ Ματθαίου. «Ἦλθεν» γάρ, φησίν, (σελ. 528) «ἡ Μαγδαληνή Μαρία καί ἡ ἄλλη Μαρία, ἥτις ἦν πάντως ἡ Θεομήτωρ, θεωρῆσαι τόν τάφον. Καί ἰδοῦ σεισμός ἐγένετο μέγας˙ ἄγγελος γάρ Κυρίου καταβάς ἐξ οὐρανοῦ, προσελθών ἀπεκύλισε τόν λίθον ἀπό τῆς θύρας τοῦ μνημείου καί ἐκάθητο ἐπάνω αὐτοῦ˙ ἦν δέ ἡ ἰδέα αὐτοῦ ὡς ἀτραπή καί τό ἔνδυμα αὐτοῦ λευκόν ὡσεί χιών, ἀπό δέ τοῦ φόβυ αὐτοῦ ἐσείσθησαν οἱ τηροῦντες καί ἐγένοντο ὡσεί νεκροί».

Πᾶσαι οὖν αἱ ἄλλαι γυναῖκες μετά τό σεισμόν ἦλθον καί τῶν φυλάκων τήν φυγήν, καί τόν τάφον ἀνεῳγμένον εὗρον καί τόν λίθον ἀποκεκυλισμένον˙ ἡ δέ Παρθενομήτωρ παρῆν τοῦ σεισμοῦ γινομένου, καί ἀποκεκυλισμένου τοῦ λίθου καί τοῦ τάφου ἀνοιγομένου καί τῶν τηρούντων παρόντων, εἰ καί κατασεσεισμένων τῷ φόβῳ˙ διό καί μετά τόν σεισμόν ἀνασφήλαντες πρός φυγήν εὐθύς ἔβλεψαν, ἡ δέ Θεομήτωρ ἀδεέστερον ἐνετρύφα τῇ θέᾳ. Ἐμοί δέ δοκεῖ καί δι᾽ αὐτήν πρώτην τόν ζωηφόρον ἐκεῖνον ἀνοιγῆναι τάφον (δι᾽ αὐτήν γάρ πρώτην καί δι᾽ αὐτῆς πάντα ἡμῖν ἀνέωκται, ὅσα ἐπί τοῦ οὐρανοῦ ἄνω καί ὅσα ἐπί τῆς γῆς κάτω) καί δι᾽ αὐτήν τόν ἄγγελον οὕτως ἀστράπτειν, ὡς καί τῆς ὥρας ἔτι σκότῳ κατεχομένης ὑπό δαψιλεῖ ταύτην τῷ τοῦ ἀγγέλου φωτί μή τόν τάφον ἰδεῖν κενόν μόνον, ἀλλά καί τά ἐντάφια κατά κόσμον τε κείμενα καί πολυειδῶς μαρτυροῦντα τῷ ἐνταφιασθέντι τήν ἔγερσιν.

Ἦν δέ ἄρα καί ὁ εὐαγγελιστής ἄγγελος αὐτός ἐκεῖνος ὁ Γαβριήλ. Ὡς γάρ εἶδε ταύτην οὗτος ἐπειγομένην ἐπί τόν τάφον, ὁ τήν ἀρχήν πρός αὐτήν εἰπών, «μή φοβοῦ Μαριάμ, εὗρες γάρ χάριν παρά τῷ Θεῷ», σπεύδει καί νῦν καί καταβαίνει τό αὐτό πάλιν τῇ ἀειπαρθένῳ προσφέγξασθαι καί τήν ἐκ νεκρῶν ἀνάστασιν τοῦ ἐξ αὐτῆς

γεννηθέντος ἀσπόρως εὐαγγελίσασθαι καί τόν λίθον ἆραι καί ὑποδεῖξαι (σελ. 530) κενό τόν τε τάφον καί τά ἐντάφια καί οὕτω πιστώσασθαι ταύτῃ τό εὐαγγέλιον. «Ἀποκριθείς» γάρ, φησίν, «ὁ ἄγγελος εἶπε ταῖς γυναιξί˙ μή φοβεῖσθαι ὑμεῖς, Ἰησοῦν ζητεῖτε τόν ἐσταυρωμένον; ἠγέρθη˙ ἴδε ὁ τόπος ὅπου ἔκειτο ὁ Κύριος»˙ εἰ γάρ καί τούς φύλακας, φησίν, ὁρᾶτε κατασεισθέντας τῷ φόβῳ, ἀλλ᾽ ὑμεῖς μή φοβεῖσθε˙ οἶδα γάρ ὅτι Ἰησοῦν τόν ἐσταυρωμένον ζητεῖτε˙ ἠγέρθη, οὐκ ἔστιν ὧδε. Οὗτος γάρ οὐ μόνον ᾅδου καί θανάτου καί τάφου κλείθροις καί μοχλοῖς καί σφραγίσιν ἐστίν ἀκάθεκτος, ἀλλά καί τῶν ἀθανάτων ἡμῶν καί οὐρανίων ἀγγέλων ὑπάρχει Κύριος, καί μόνος οὗτός ἐστιν ὁ τοῦ παντός Κύριος˙ «ἴδετε» γάρ, φησί, «τόν τόπον ὅπου ἔκειτο ὁ Κύριος˙ καί ταχύ πορευθεῖσαι εἴπατε τοῖς μαθηταῖς αὐτοῦ, ὅτι ἠγέρθη ἀπό τῶν νεκρῶν».

«Ἐξελθοῦσαι δέ», φησί, «μετά φόβου καί χαρᾶς μεγάλης». Ἐμοί δοκεῖ πάλιν, τόν μέν φόβον ἔτι τήν Μαγδαληνήν Μαρίαν ἔχειν καί τάς μέχρι τότε συνελθούσας τῶν ἄλλων γυναικῶν˙ οὐ γάρ συνῆκαν τῶν εἰρημένων παρά τοῦ ἀγγέλου τήν δύναμιν, οὐδέ τοῦ φωτός ἀντιλαβέσθαι τελέως ἴσχυσαν, ὡς ἰδεῖν καί καταμαθεῖν ἀκριβῶς˙ τήν δέ Θεομήτορα τήν μεγάλην κτήσασθαι χαράν, τά παρά τοῦ ἀγγέλου συνεῖσαν καί τοῦ φωτός γενομένην ὅλην, ὡς κεκαθαρμένην ἄκρως καί κεχαριτωμένην θείως, καί διά πάντων βεβαίως τό ἀληθές καί γνωρίσασαν καί τῷ ἀρχαγγέλῳ πιστεύσασαν, ἐπεί καί πιστός οὗτος ἐκ πολλοῦ ταύτῃ διά τῶν ἔργων ἐφάνη. Πῶς δέ καί παρά τῶν γενομένων αὐτῆς παρούσης, οὐκ ἄν συνῆκεν ἡ θεόσοφος Παρθένος τό τελεσθέν σεισμόν ἰδοῦσα, καί τοῦτον μέγαν, ἄγγελον κατερχόμενον οὐρανόθεν, καί τοῦτον ἀστραπηφόρον, τήν τε τῶν τηρούντων νέκρωσιν καί τοῦ λίθου τήν μετάθεσιν κάι τοῦ τάφου τήν (σελ. 532) κένωσιν καί τῶν ἐνταφίων τό μέγα θαῦμα, ἀδιαλύτων ἅμα καί σμύρνῃ καί ἀλόῃ συνεχομένων καί κενῶν ὁρωμένων τοῦ σώματος, καί πρός τούτοις τήν πρός αὐτήν παρά τοῦ ἀγγέλου χαρμόσυνον θεάν καί ἀγγελίαν; Ἀλλ᾽ ἐξελθοῦσαι μετά τόν εὐαγγελισμόν τοῦτον, ἡ μέν Μαγδαληνή Μαρία, ὡς ἄν εἰ μηδέ ἤκουσε τοῦ ἀγγέλου, μηδ᾽ ἐκείνου δήπου δι᾽ αὐτήν φθεγξαμένου, τήν τοῦ τάφου κένωσιν ἐξακριβοῦται μόνην, τῶν ἐνταφίων μηδένα λόγον ποιησαμένη˙ καί τρέχει πρός Σίμωνα Πέτρον καί τόν ἄλλον μαθητήν, ὡς ὁ Ἰωάννης φησίν.

Ἡ δέ θεομήτωρ Παρθένος ἑτέραις γυναιξί συναφθεῖσα, ὅθεν ἦλθεν ἐπανήρχετο πάλιν· καί ἰδού, καθάπερ ὁ Ματθαῖος φησίν, «ὁ Ἰησοῦς ὑπήντησεν αὐταῖς λέγων, χαίρετε». Ὁρᾶτε ὅτι καί πρό τῆς Μαγδαληνῆς Μαρίας ἡ Θεομήτωρ εἶδε τόν διά τήν ἡμετέραν σωτηρίαν σαρκί καί παθόντα καί ταφέντα καί ἀναστάντα; «Αἱ δέ προσελθοῦσαι», φησίν, «ἐκράτησαν αὐτοῦ τούς πόδας καί προσεκύνησαν αὐτῷ». Καθάπερ δέ τό εὐαγγέλιον τῆς ἀναστάσεως μετά τῆς Μαγδαληνῆς Μαρίας ἡ Θεοτόκος παρά τοῦ ἀγγέλου ἀκούσασα μόνη συνῆκε τῶν εἰρημένων τήν δύναμιν, οὕτω καί μετά τῶν ἄλλων γυναικῶν, ὑπαντήσασα τῷ Υἱῷ καί Θεῷ, πρώτη τῶν ἄλλων ἁπασῶν καί εἶδε καί ἐπέγνω τόν ἀναστάντα καί προσπεσοῦσα τῶν αὐτοῦ ἥψατο ποδῶν καί ἀπόστολος αὐτοῦ πρός τούς Ἀποστόλους ἐγένετο. Ὅτι δέ ἡ Μαγδαληνή Μαρία συνῆν τῇ τοῦ Θεοῦ Μητρί, ἡνίκα παρά τοῦ τάφου ἐπανιούσῃ ὑπήντησε καί ἐπεφάνη καί προσελάλησεν αὐτῇ ὁ Κύριος, διδασκόμεθα παρά τοῦ Ἰωάννου· «τρέχει γάρ», φησίν, «αὕτη πρός Σίμωνα Πέτρον καί πρός τόν ἄλλον μαθητήν, ὅν ἐφίλει ὁ Ἰησοῦς, καί λέγει αὐτοῖς, ἦραν τόν Κύριον ἐκ τοῦ μνημείου καί οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν». Πῶς γάρ ἄν εἴπερ εἶδε καί χερσίν ἥψατο καί συντυγχάνοντος ἤκουσε, τοιαῦτα ἔλεγεν, ὅτι ἦραν καί μετέθηκαν, ὅπου δέ, οὐκ οἴδαμεν; Ἀλλά μετά τόν Πέτρου καί Ἰωάννου (σελ. 534) δρόμον ἐπί τόν τάφον καί τήν ἐκεῖ θέαν τῶν ὀθονίων καί τήν ἐπάνοδον, «Μαρία δέ εἱστήκει», φησί, «πρός τῷ μνημείῳ κλαίουσα ἔξω».

Ὁρᾶτε· ὡς μή μόνον οὔπω εἶδεν, ἀλλ᾽ οὐδέ δι᾽ ἀκοῆς ἐπληροφορήθη; Καί τῶν ἐπιφαινομένων δέ ταύτην ἐρωτησάντων ἀγγέλων, «γύναι τί κλαίεις;», ἐκείνη πάλιν ὡς περί νεκροῦ ἀποκρίνεται· ὡς δέ στραφεῖσα τόν Ἰησοῦν εἶδεν, οὐδέ πάλιν συνῆκεν, ἀλλ᾽ ἐρωτωμένη καί παρ᾽ αὐτοῦ, τί κλαίει, τά παραπλήσια φθέγγεται, ἕως οὗ ἐξ ὀνόματος ἐκεῖνος αὐτήν καλέσας, ἑαυτόν παρέστησεν ὄντα. Τότε δή προσπεσοῦσα καί αὐτή καί ζητοῦσα τόν ἀσπασμόν τοῖς ἐκείνου ποσί προσενεγκεῖν, ἤκουσε παρ᾽ αὐτοῦ, μή μοῦ ἅπτου· παρ᾽ οὗ μανθάνομεν, ὡς ἡνίκα πρότερον ὤφθη τῇ τε Μητρί καί ταῖς συνούσαις αὐτῇ γυναιξίν, αὐτῇ μόνῃ καί τῶν ποδῶν ἅψασθαι παρέσχεν, εἰ καί ὁ Ματθαῖος κοινοποιεῖται καί ταῖς ἄλλαις γυναιξί τοῦτο, μή θέλων δι᾽ ἥν τήν ἀρχήν ἔφημεν αἰτίαν, φανερῶς τήν Μητέρα προάγειν ἐπί τῶν τοιούτων.

Ἐπεί δέ μετά τό πρώτην ἐλθεῖν ἐπί τόν τάφον τήν ἀειπάρθενον Μαρίαν καί πρώτην τό εὐαγγέλιον τῆς ἀναστάσεως δέξασθαι πολλαί συνῆλθον καί τόν λίθον ἀποκεκυλισμένον κἀκεῖναι καί τῶν ἀγγέλων ἤκουσαν, ἐπανιοῦσαι μετά τήν τοιαύτην ἀκοήν καί θεάν ἐμερίσθησαν. Καί αἱ μέν, καθάπερ ὁ Μάρκος φησί, «ἔφυγον ἀπό τοῦ μνημείου καί εἶχεν αὐτάς φόβος καί ἔκστασις καί οὐδενί οὐδέν εἶπον, ἐφοβοῦντο γάρ»˙ αἱ δέ τῇ τοῦ Κυρίου εἵποντο Μητρί, αἵ καί τῆς τοῦ δεσπότου θέας καί ὁμιλίας ἐπέτυχον. Ἡ δέ Μαγδαληνή πρός Πέτρον καί Ἰωάννην ἀπῄει, μεθ᾽ ὧν καί πρός τόν τάφον πάλιν ἔρχεται μόνη˙ κἀκείνων ἀναχωρησάντων, αὐτή παραμείνας τῆς (σελ. 536) δεσποτικῆς ἀξιοῦται καί αὕτη θέας καί πρός τούς Ἀποστόλους καί αὕτη πέμπεται καί πρός αὐτούς ἔρχεται πάλιν, ἀπαγγέλλουσα πᾶσιν, ὡς ὁ Ἰωάννης φησίν, «ὅτι ἑώρακε τόν Κύριον καί ταῦτα εἶπεν αὐτῇ». Ταύτην οὖν τήν θέαν πρωί φησί καί ὁ Μάρκος γενέσθαι, τουτέστι κατά τήν ἀκραιφνῆ τῆς ἡμέρας ἀρχήν, τοῦ ὄρθρου παρελθόντος παντός, ἀλλ᾽ οὐχί τήν τοῦ Κυρίου ἀνάστασιν, οὐδέ τήν πρώτην αὐτοῦ ἐπιφάνειαν τότε γενέσθαι ἰσχυριζόμενος.

Ἔχομεν δή τά τῶν Μυροφόρων ἠκριβωμένα καί τήν ἄνωθεν ζητουμένην ἐπί ταύταις τῶν τεσσάρων εὐαγγελιστῶν συμφωνίαν. Οἱ δέ μαθηταί κατ᾽ αὐτήν τήν ἡμέραν τῆς ἀναστάσεως παρά τε τῶν Μυροφόρων ἀκούσαντες καί τοῦ Πέτρου καί παρά Λουκᾶ καί Κλεόπα, ὅτι ὁ Κύριος ζῇ καί ἐθεάθη ὑπ᾽ αὐτῶν, ἠπίστησαν˙ διό καί ὀνειδίζονται παρ᾽ αὐτοῦ, ὕστερον συνοῦσιν ἐπιφανέντος αὐτοῖς. Μετά δέ τό διά πολλῶν καί πολλάκις ἑαυτόν παραστῆσαι ζῶντα, οὐκ ἐπίστευσαν μόνον πάντες, ἀλλά καί ἐκήρυξαν πανταχοῦ˙ «εἰς πᾶσαν γάρ τήν γῆς ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καί εἰς τά πέρατα τῆς οἰκουμένης τά ρήματα αὐτῶν», «τοῦ Κυρίου συνεργοῦντος καί τόν λόγον βεβαιοῦντος διά τῶν ἐπακολουθούντων σημείων»˙ τά γάρ σημεῖα μέχρι τοῦ κηρυχθῆναι τόν λόγον εἰς πᾶσαν τήν γῆν ἀναγκαιότατα ἦν. Ἀλλά δεῖ μέν σημείων καί τεραστίων πρός παράστασιν καί βεβαίωσιν τῆς τοῦ κηρύγματος ἀληθείας, δεῖ δέ σημείων, ἀλλ᾽ οὐ τεραστίων πρός παράστασιν τῶν ὑποδεξαμένων τόν λόγον, εἰ βεβαίως ἐπίστευσαν τίνων τούτων; τῶν ἀπό τῶν ἔργων, «Δεῖξον γάρ μοι», φησί, «τήν πίστιν σου ἐκ τῶν ἔργων σου» καί «τίς πιστός, δειξάτω ἐκ τῆς καλῆς ἀναστροφῆς τά ἔργα αὐτοῦ». Τίς γάρ πιστεύσει (σελ. 538) διάνοιαν ἔχειν ὄντως θείαν καί μεγάλην καί ὑψηλήν, καί ὡς εἰπεῖν

οὐράνιον, οἷά πέρ ἐστιν ἡ εὐσέβεια, τόν φαῦλον ἀντεχόμενον ἔργων καί τῇ γῇ καί τοῖς γηίνοις προσηλωμένον;

Οὐδέν οὖν ὄφελος, ἀδελφοί, ἐάν πίστιν λέγῃ τις ἔχειν θείαν, ἔργα δέ μή ἔχῃ τῇ πίστει κατάλληλα. Τί τάς μωράς παρθένους αἱ λαμπάδες ὤνησαν οὐκ ἐχούσας ἔλαιον, δηλονότι τά τῆς ἀγάπης καί τά τῆς συμπαθείας ἔργα; Τί τόν ἐν τῇ ἀσβέστῳ φλογί διά τό πρός τόν Λάζαρον ἀσυμπαθές τηγανιζόμενον ἐκεῖνον πλούσιον τό πατέρα ἐπικαλεῖσθαι τόν Ἀβραάμ; Τί τόν μή κεκτημένον διά τῶν ἀγαθῶν ἔργων ἔνδυμα, τῷ θείῳ γάμῳ καί τῇ παστάδι τῆς ἀφθαρσίας ἐκείνης κατάλληλον, ἡ πρός τήν κλῆσιν δῆθεν εὐπείθεια; καί γάρ προσκλήθη τε καί προσῆλθε, πιστεύσας πάντως, καί τοῖς ἁγίοις ἐκείνοις δαιτυμόσι συνανεκλήθη, ἀλλ᾽ ἐξελεγχθείς καί καταισχυνθείς, ὡς τήν ἀπό τῶν ἠθῶν καί τῶν πράξεων φαυλότητα περικείμενος, δεθείς χεῖράς τε καί πόδας ἀνηλεῶς, εἰς τήν γέενναν ρίπτεται τοῦ πυρός, ἔνθα ὁ κλαυθμός καί ὁ βρυγμός τῶν ὀδόντων.

Ἧς μηδένα γένοιτο τῶν ἀπό τοῦ Χριστοῦ καλουμένων πεῖραν λαβεῖν, ἀλλά τῇ πίστει βίον ἐπιδειξαμένους προσήκοντα καί εἰσελθεῖν εἰς τόν νυμφῶνα τῆς εὐφροσύνης τῆς ἀκηράτου καί συνδιαιωνίζειν τοῖς ἁγίοις, ἔνθα πάντων εὐφραινομένων ἡ κατοικία. Ἀμήν.

## *ΟΜΙΛΙΑ ΙΘ’ (σελ.542)*

## *ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΗΝ ΣΑΜΑΡΕΙΤΙΔΑ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΥΑΓΓΕΛΙΟΝ*

***Καί ὅτι δεῖ καταφρονεῖν τῶν παρόντων.***

Διά πασῶν τῶν νῦν διερχομένων ἡμερῶν τούτων, εἰς πεντήκοντα ἐκτεινομένων, τήν ἐκ νεκρῶν ἀνάστασιν ἑορτάζομεν τοῦ Κυρίου καί Θεοῦ καί Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τήν πρός τάς ἄλλας ἑορτάς ὑπεροχήν παριστῶντες διά τῆς παρατάσεως ταύτης. Εἰ γάρ καί τῆς πρός οὐρανόν ἐπανόδου τήν ἐπέτειον μνήμην ὁ ἀριθμός οὗτος τῶν ἡμερῶν περιέχει, ἀλλά καί αὕτη τήν τοῦ ἀναστάντος Δεσπότου πρός τούς ἀναβεβιωκότας ἔσθ᾽ ὅτε τῶν δούλων ὑποδείκνυσι διαφοράν. Πάντες γάρ οἱ ἐκ νεκρῶν ἀναστάντες ὑφ᾽ ἑτέρων ἀνέστησαν καί πάλιν ἀποθανόντες ἐπέστρεψαν εἰς τήν γῆν˙ Χριστοῦ δέ ἐκ νεκρῶν ἀναστάντος, θάνατος αὐτοῦ οὐκέτι κυριεύει˙ (σελ. 544) μόνος γάρ

οὗτος ἑαυτόν ἀναστήσας τριήμερον, οὐκ εἰς γῆν ἐπέστρεψεν πάλιν, ἀλλ᾽ εἰς οὐρανόν ἀνελήλυθεν, ὁμόθρονον ὡς ὁμόθεον τῷ Πατρί ποιήσας τό ἡμέτερον φύραμα. Διό καί μόνος ἀρχή τῆς μελλούσης πάντων ἀναστάσεως γέγονε καί μόνος ἀπαρχή τῶν κεκοιμημένων ἐγένετο καί πρωτότοκος ἐκ τῶν νεκρῶν καί τοῦ μέλλοντος αἰῶνος πατήρ. Καί καθάερ ἐν τῷ Ἀδάμ πάντες ἀποθνήσκουσι ἁμαρτωλοί τε καί δίκαιοι, οὕτως ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται ἁμαρτωλοί τε καί δίκαιοι, ἀλλ᾽ ἕκαστος ἐν τῷ ἰδίῳ τάγματι˙ ἀπαρχή Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ, εἶτα τό τέλος, ὅταν καταργήσῃ πᾶσαν ἀρχήν καί ἐξουσίαν καί δύναμιν καί θῇ πάντας τούς ἐχθρούς αὐτοῦ ὑπό τούς πόδας αὐτοῦ. Ἔσχατος ἐχθρός καταργεῖται ὁ θάνατος, ἐν τῇ κοινῇ ἀναστάσει, ἐν τῇ ἐσχάτῃ σάλπιγγι˙ δεῖ γάρ τό φθαρτόν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καί τό θνητόν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.

Τοιαύτης δωρεᾶς πρόξενος ἡμῖν ἐστιν ἡ τοῦ Κυρίου ἀνάστασις καί διά τοῦτο μόνην ταύτην ἐν τοσαύτῃ παρατάσει τῶν ἡμερῶν ἑορτάζομεν, ὡς ἀθάνατον οὖσαν καί ἀνώλεθρον καί ἀΐδιον, προϋπογράφοντες διά τούτων καί τήν μέλλουσαν τῶν ἁγίων μακαριότητα, ἧς ἀπέδρα πᾶσα ὀδύνη καί λύπη καί στεναγμός˙ θυμηδία δέ καί πανήγυρίς ἐστιν ἐν ταύτῃ διηνεκής ἔνθεός τε καί ἀναλλοίωτος˙ ἐκεῖ γάρ ἐστι τῶν ὄντως εὐφραινομένων ἡ κατοικία. Διό καί πρό τῶν ἡμερῶν τούτων τήν ἱεράν τεσσαρακοστήν ἐν νηστείᾳ καί ἀγρυπνίᾳ καί προσευχῇ καί ἀσκήσει παντοίᾳ τῶν ἀρετῶν ἄγειν ἡμᾶς ἡ τοῦ Πνεύματος χάρις ἐνομοθέτησε, διά μέν τῆς τεσσαρακοστῆς τῶν ἡμερῶν (σελ. 546) δεικνῦσα τήν ἐν τῷ αἰῶνι τούτῳ τῶν σωζομένων ζωήν, ὡς οὐδέν ἕτερόν ἐστιν ἤ μετάνοια καί βίος καί θεοφιλής˙ διά δέ τῆς μετ᾽ αὐτήν πεντηκοστῆς ταύτης, ἥν διερχόμεθα νῦν, ἐπιδεικνῦσα τήν διαδεξομένην τούς ἐνταῦθα διά τόν Θεόν ἐναγωνίως ζήσαντας ἄνεσιν καί ἀπόλαυσιν.

Διά τοῦτο καί τεσσαρακοστή μέν ἐστιν ἐκείνη καί συνηρτημένην ἔχει τήν μνήμην τῶν τοῦ Κυρίου σωτηρίων παθῶν καί τῆς νηστείας τήν λύσιν μετά τήν ἑβδόμην λαμβάνει˙ αὕτη δέ πεντηκοστή οὖσα συμπεριλαμβάνει καί τήν ἀπό γῆς εἰς οὐρανόν μετάθεσιν καί τοῦ θείου Πνεύματος κατάβασιν καί διάδοσιν.Ἑβδοματικός γάρ ἐστιν ὁ αἰών οὗτος καί διά τεσσάρων ὡρῶν καί μερῶν καί στοιχείων συνίσταται καί τοῖς ἐν αὐτῷ κοινωνούς ἑαυτούς δι᾽ ἔργων ποιοῦσι τῶν Χριστοῦ παθημάτων τήν τῆς Πεντηκοστῆς ἑορτήν ἐπιφέρει, ἥτις ἐκ

τῆς ὀγδόης ἄρχεται καί εἰς ὀγδόην ἔχει τήν λῆξιν καί τήν σεπτήν ἑβδομάδα καί τήν τετρακτύν ὑπερβᾶσαν καί διά τῆς ἀναστάσεως τοῦ Κυρίου καί τῆς μετ᾽ αὐτήν ἀναλήψεως τήν μέλλουσα, παρίστησι τοῦ τῶν ἀνθρώπων γένους ἀνάστασιν καί τήν κατ᾽ αὐτήν τῶν ἀξίων ἐν νεφέλαις ἔπαρσιν πρός τήν θείαν ὑπάντησιν καί ἑξῆς εἰς αἰῶνας πρός Θεόν συνουσίαν τε καί κατάπαυσιν.

Αὕτη μέν οὖν ἔσται κατά καιρόν. Ὁ δέ Κύριος πρό τοῦ πάθους καί τῆς ἀναστάσεως κηρύττων τό εὐαγγέλιον τῆς βασιλείας καί τοῖς μαθηταῖς δεικνύς, ὡς οὐκ ἐκ τῶν Ἰουδαίων μόνον ἡ ἐκλογή τῶν ἀξίων τῆς πίστεως ἔσται καί τῆς ὑπ᾽ αὐτοῦ προτεινομένης ἀϊδίου κληρονομίας, ἀλλά καί ἀπό τῶν ἐθνῶν, κατά τήν σήμερον ἀναγινωσκομένην εἰς ἐπήκοον τοῦ εὐαγγελίου φωνήν˙ «ἔρχεται εἰς πόλιν τῆς Σαμαρείας λεγομένην Σιχάρ, πλησίον τοῦ χωρίου οὗ ἔδωκεν Ἰακώβ (σελ. 548) Ἰωσήφ τῷ υἱῷ αὐτοῦ. Ἦν δέ ἐκεῖ πηγή τοῦ Ἰακώβ». Πηγήν μέν οὖν τό φρέαρ φησί˙ τό γάρ ὕδωρ πηγαῖον εἶχεν, ὡς δῆλον ἔσται προϊόντος τοῦ λόγου˙ τοῦ Ἰακώβ δέ ἦν, ἐπειδή περ ἐκεῖνος ὤρυξεν αὐτό˙ τό δέ χωρίον ὅ ἔδωκεν τῷ Ἰωσήφ ὁ Ἰακώβ τά Σίκημά ἐστι. Φησί γάρ πρός αὐτόν τά ἔσχατα πνέων ἐν Αἰγύπτῳ καί διατιθέμενος˙ «Ἰδού ἐγώ ἀποθνήσκω, ὑμᾶς δέ ἀποστρέψει ὁ Θεός ἐκ τῆς γῆς ταύτης εἰς τήν γῆν τῶν πατέρων ἡμῶν. Ἐγώ δέ δίδωμί σοι Σίκημα ἐξαίρετον παρά τούς ἀδελφούς σου, ἥν ἔλαβον ἐκ χειρός τῶν Ἀμοραίων ἐν τῇ μαχαίρᾳ μου καί τῷ τόξῳ μου». Διό τά μέν Σίκημα κατῳκεῖτο παρά τῆς Ἐφραίμ φυλῆς ὕστερον, ὅς ἦν υἱός πρωτότοκος τοῦ Ἰωσήφ, τόν δέ περί αὐτά τόπον κατῴκουν αἱ δέκα φυλαί τοῦ Ἰσραήλ, ὧν Ἱεροβοάμ ὁ ἀποστάτης ἦρξε.

Προσκρούσαντος δέ τῷ Θεῷ πολλάκις οὗτοι καί πολλάκις ἐγκαταλειφθέντες, ὕστερον παγγενῆ γεγόνασιν αἰχμάλωτοι, ὡς ἀντ᾽ αὐτῶν ἔθνη διάφορα συμφορήσαντα τόν ἄρχοντα τῶν Ἀσσυρίων ἐγκατοικῆσαι τῷ τόπῳ καί Σαμαρείτας ἀπό τοῦ ὄρους Σομόρ καλέσαι. Καθάπερ δέ παραπορευόμενος ὁ Ἰακώβ, ὡς ἡ ἱστορία φησί, παρεστήσατο τά Σίκημα, οὕτω παραπορευόμενος ὁ Χριστός νῦν, ὑπηγάγετο τήν Σαμάρειαν. Ἀλλ᾽ ἐκεῖνος μέν, ὡς αὐτός φησιν, ἐν τῇ ρομφαίᾳ καί τῷ τόξῳ αὐτοῦ, δηλονότι πρός ἐξολόθρευσιν καί ἀπώλειαν τῶν πρότερον ἐνοικούντων, ὁ δέ Χριστός ἐν λόγῳ καί διδασκαλίᾳ, διό καί πρός σωτηρίαν˙ «ὁ γάρ Ἰησοῦς κεκοπιακώς», (σελ. 450) φησίν, «ἐκ τῆς ὁδοιπορίας, ἐκάθητο οὕτως ἐπί τῇ πηγῇ˙ ὥρα ἦν ὡσεί ἕκτη».

Καί ἡ ὥρα καί ὁ τόπος ἐδίδου καθῆσθαι τόν σῶμα περικείμενον, ὁποῖόν ἐστι τό ἡμέτερον. Τοῦτο τοίνυν πιστούμενος καί τό μέλλον κέρδος προβλέπων ἐκάθητο φησίν, οὕτως ἐπί τῇ πηγῇ, τουτέστιν ἀφελῶς χαμαί, μόνος ὡς εἷς τῶν πολλῶν ὁδίτης˙ οἱ γάρ μαθηταί αὐτοῦ ἀπεληλύθησαν εἰς τήν πόλιν, ἵνα τροφάς ἀγοράσωσι. Μεμονωμένου τοίνυν οὕτω ἐπί τῇ πηγῇ καθημένου, ἔρχεται γυνή ἐκ τῆς Σαμαρείας ἀντλῆσαι ὕδωρ˙ ὁ δέ Κύριος καί διψῶν ὡς ἄνθρωπος καί τήν ἔχουσαν ἀνθρωπίνως δίψαν παῦσαι παραγενομένην ἰδών, ὁρῶν δέ ὡς Θεός καί τήν ταύτης καρδίαν διψῶσαν ὕδατος σωτηρίου, τόν δέ δυνάμενον τοῦτο παρασχεῖν οὐκ εἰδυῖαν, ἀποκαλύψαι μέν ἑαυτόν ἐπείγεται τῇ ποθούσῃ ψυχῇ, ποθεῖ γάρ καί αὐτός τούς ποθοῦντας κατά τό γεγραμμένον, ἄρχεται δέ ὅθεν εὐπαράδεκτος ἔσται˙ καί φησί πρός αὐτήν «δός μοι ὕδωρ πιεῖν». Ἡ δέ συνετή οὖσα καί ἀπό μόνης τῆς στολῆς καί τοῦ σχήματος καί τῆς ἐπιφαινομένης ἔξωθεν κοσμιότητος Ἰουδαῖόν τε ὄντα συνεῖσα καί τοῦ νόμου φύλακα, θαυμάζω, ἔφη, πῶς παρά Σαμαρείτιδος αἰτεῖς πόμα, τῶν Ἰουδαίων τοῖς Σαμαρείταις ὡς ἐθνικοῖς οὖσι μή κοινωνούντων. Ὁ δέ Κύριος ἀφορμῆς λαβόμενος ἑαυτόν ἀποκαλύπτειν ἄρχεται, πρός αὐτήν λέγων˙ «εἰ ᾔδεις τήν δωρεάν τοῦ Θεοῦ καί τίς ἐστιν ὁ λέγων σοι, δός μοι ὕδωρ πιεῖν, σύ ἄν ᾔτησας αὐτόν, καί ἔδωκεν ἄν σοι ὕδωρ ζῶν».

Ὁρᾶτε μαρτυρουμένην, ὡς εἴπερ ἐγίνωσκεν, ᾔτησεν ἄν πάραυτα καί μέτοχος ἐγεγόνει τοῦ ὄντως ζῶντος ὕδατος, ὡς καί μαθοῦσα πεποίηκεν καί ἀπήλαυσεν ὕστερον, τό δέ συνέδριον τῶν Ἰουδαίων (σελ. 552) ἐρωτήσαντες καί σαφῶς ἀκούσαντες εἶτα τόν Κύριον τῆς δόξης ἐσταύρωσαν. Ἀλλά τίς ἡ δωρεά τοῦ Θεοῦ; «εἰ ᾔδεις» γάρ, φησί, «τήν δωρεάν τοῦ Θεοῦ». Ἵνα τ᾽ ἄλλα παρῶμεν, αὐτό τό τούς ὑπό Ἰουδαίων βδελυκτούς εἶναι νομιζομένους καί μέχρι δόματος πόματος ἀκοινωνήτους τόν ἐνανθρωπήσαντα Θεόν μή βδελύττεσθαι, πηλίκης δωρεᾶς τε καί χάριτος; Τό δέ καί τοσοῦτον ἐρασμίους ἡγεῖσθαι, ὡς μή μόνον τά παρ᾽ αὐτῶν διδόμενα δέχεσθαι, ἀλλά καί αὐτῶν ἐκείνοις τῶν αὐτοῦ θείων χαρισμάτων μεταδιδόναι (τί λέγω τῶν χαρισμάτων; ἑαυτόν γάρ παρέχει καί σκεύη δεκτικά τῆς αὐτοῦ θεότητος ἀπεργάζεται τούς πιστεύοντας˙ οὐ γάρ ἐστιν ἄλλως πηγήν αὐτούς ἐν ἑαυτῆς ἔχειν, ὡς προϊδών ἐπαγγέλλεται, πρός ζωήν αἰώνιον ἀλλομένην), τίς νοῦς ἐννοήσει; τίς λόγος ἐκφράσει τό ὑπερβάλλον τῆς δωρεᾶς.

Ἡ δέ Σαμαρεῖτις, μήπω τό μεγαλεῖον συνεῖσα τοῦ ζῶντος ὕδατος, πρῶτον μέν ἀπορεῖ, πόθεν ὁ προσλαλῶν εὑρήσει τό ὕδωρ ὅ ἐπαγγέλλεται, μήτε ἄντλημα ἔχων καί τοῦ φρέατος ὄντος βαθέος˙ εἶτα καί συγκρίνειν ἐπιχειρεῖ τοῦτον πρός Ἰακώβ, ὅν καί πατέρα καλεῖ, σεμνολογοῦσα τό γένος ἀπό τοῦ τόπου, καί τό ὕδωρ ἐξαίρει τοῦ φρέατος, ὡς μή ἄν εὑρεθέντος καλλίονος˙ ὡς δέ ἤκουσε τοῦ Κυρίου εἰπόντος, ὅτι τό ὕδωρ, ὅ ἐγώ δώσω, πηγή γενήσεται τῷ λαβόντι πρός ζωήν αἰώνιον ἁλλομένη, ψυχῆς μέν ποθούσης ἀφῆκε ρῆμα καί πρός πίστιν ἐναγομένης, μήπω δέ δυνηθείσης πρός τό φῶς τρανῶς ἀναβλέψαι˙ «δός μοι», γάρ φησί, «Κύριε, τό ὕδωρ τοῦτο, ἵνα μή διψῶ, μηδέ ἔρχωμαι ἀντλεῖν»˙ ὁ δέ Κύριος ἔτι κατά μικρόν (σελ. 554) ἑαυτόν ἀνακαλύπτει βουλόμενος προστάττει ταύτῃ καί τόν ἄνδρα φωνῆσαι. Ὡς δ᾽ ἐκείνη, καί κρύπτουσα τά κατ᾽ αὐτήν καί σπεύδουσα τό δῶρον λαβεῖν, ἔλεγεν οὐκ ἔχω ἄνδρα, πόσους οἰκείους ἐκ παιδός ἔσχεν ἀκούει καί νῦν ἐλέγχεται μή τόν οἰκεῖον αὐτῆς ἔχειν ἄνδρα˙ καί πρός μέν τόν ἔλεγχον οὐ δυσχεραίνει, πάραυτα δέ προφήτην ὄντα γνοῦσα τόν προσλαλοῦντα μειζόνων ἅπτεται ζητημάτων.

Ὁρᾶτε τό μακρόθυμον ἅμα καί φιλομαθές τῆς γυναικός ὅσον; «Οἱ πατέρες» γάρ, φησίν, «ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν καί ὑμεῖς λέγετε ὅτι ἐν Ἱεροσολύμοις ἐστίν ὁ τόπος, ὅπου δεῖ προσκυνεῖν». Ὁρᾶτε οἵαν εἶχεν ἐν τῇ διανοίᾳ μελέτην καί πόσην εἶχε τῆς Γραφῆς εἴδησιν; Πόσοι νῦν τῶν ἐκ γενετῆς πιστῶν καί τῇ ἐκκλησίᾳ τροφίμων ἀγνοοῦσιν ὅπερ ἡ Σαμαρεῖτις ἠπίστατο, ὅτι οἱ πατέρς ἡμῶν, Ἰακώβ δηλονότι καί οἱ ἐξ αὐτοῦ πατριάρχαι, ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν τῷ Θεῷ; Ταύτην τήν γνῶσιν καί τήν πρός ἐπίγνωσιν μελέτην τῆς θεοπνεύστου Γραφῆς ὡς ὀσμήν εὐωδίας ὁ Χριστός προσιέμενος προσεκαρτέρει συντυγχάνων ἡδέως τῇ Σαμαρείτιδι. Καθάπερ γάρ ἐπί τῶν ἀνθράκων ἄν μέν τι τῶν εὐόσμων ἐνθῇς, ἐπιστρέφεις καί παρακατέχεις τούς προσιόντας, ἄν δέ τι τῶν βαρυόσμων καί δυσωδῶν, ἀπωθῇ τούτους καί ἀποστρέφεις, οὕτω καί ἐπί τῆς διανοίας, ἄν μέν ἱεράν ἔχῃς μελέτην καί σπουδήν, ἐπισκοπῆς θείας ἄξιον ποιεῖς σεαυτόν, αὕτη γάρ ἧς ὀσφραίνεται Κύριος ὀσμῆς εὐωδίας˙ ἄν δέ πονηρούς καί ρυπαρούς καί γηΐνους ἔνδον τρέφῃς λογισμούς, μακράν γίνῃ τῆς θείας ἐπισκοπῆς, τῆς ἀποστροφῆς τοῦ Θεοῦ φεῦ ἄξιον σαυτόν ἐργασάμενος! «Οὐ γάρ παραμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου», πρός τόν Θεόν φησιν ὁ ψαλμῳδός προφήτης. Τοῦ γάρ νόμου διακελευομένου, (σελ. 556) «μνησθήσῃ διά παντός

Κυρίου τοῦ Θεοῦ σου, καθήμενος καί πορευόμενος, κοιταζόμενος καί διανιστάμενος», καί τοῦ εὐαγγελίου λέγοντος, «ἐρευνᾶτε τάς Γραφάς» καί ἐν αὐταῖς εὑρήσετε ζωήν τήν αἰώνιον, καί τοῦ ἀποστόλου παραγγέλλοντος «ἀδιαλείπτως προσεύχεσθε», ὁ γηΐνοις λογισμοῖς ἐμβραδύνων παράνομός ἐστι πάντως˙ ὁ δέ καί πονηροῖς καί ρυπαροῖς πόσῳ μᾶλλον;

Ἀλά πότε τῷ Θεῷ προσεκύνησαν οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ; Ἡνίκα Ἰακώβ ὁ πατριάρχης, τόν τε ἀδελφόν φθονοῦντα φεύγων Ἡσαῦ καί ταῖς συμβουλαῖς τοῦ πατρός, ὑπείκων Ἰσαάκ, πρός Μεσοποταμίαν ἀπῄει, καί ἡνίκα σύν γυναιξίν ἐκεῖθεν ἐπανῄει καί τέκνοις. Κατά γάρ τήν ἐπάνοδον σκηνάς πηξαμένῳ περίπου τόν τόπον τοῦτον, καθ᾽ ὅν ὁ Κύριος ὡμίλει τῇ Σαμαρείτιδι, μετά τά κατά τήν Δείναν καί τήν ἅλωσιν τῶν Σικήμων, εἶπεν ὁ Θεός τῷ Ἰακώβ, ὡς ἐν τῇ Γενέσει γέγραπται˙ «ἀναστάς ἀνάβηθι εἰς Βαιθήλ, καί ποίησον ἐκεῖ θυσιαστήριον τῷ Θεῷ, τῷ ὀφθέντι σοι ἐν τῷ ἀποδιδράσκειν σε ἀπό προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ σου». Καί μετά τό ρῆμα τοῦτο, μεταναστάς ὁ Ἰακώβ, ἀνέβη εἰς τό παρακείμενον ὄρος καί ᾠκοδόμησε, φησίν, ἐκεῖ θυσιαστήριον καί ἐκάλεσε τό ὄνομα τοῦ τόπου Βαιθήλ˙ ἐκεῖ γάρ ἐπεφάνη αὐτῷ ὁ Θεός. Διά τοῦτό φησιν ἡ Σαμαρεῖτις ὅτι οἱ πατέρες ἡμῶν ἐν τῷ ὄρει τούτῳ προσεκύνησαν, τῶν ἀρχαίων ἐκείνων ἀντεχομένη˙ τά γάρ κατά τόν ἐν Ἱεροσολύμοις ναόν ὕστερον ἐνομοθετήθη. Καί ἐπειδή περ ὁ τόπος ἐκεῖνος οἶκος Θεοῦ ἐκλήθη παρά τοῦ Ἰακώβ, τοῦτο γάρ ἑρμηνευόμενον δηλοῖ τό Βαιθήλ, διαπορεῖ ποθοῦσα μαθεῖν, πῶς οὐκ ἐκεῖ μᾶλλον, ἀλλ᾽ ἐν Ἱερουσαλύμοις εἶναι λέγετε ὁ οἶκος τοῦ Θεοῦ, ἐν ᾧ θύειν καί προσκυνεῖν (σελ. 558) τῷ Θεῷ νομίζετε. Ὁ δέ Κύριος καί τόν σκοπόν τῶν οἰκείων λόγων ἤδη περαίνων καί περί τῆς γυναικός προφητεύων, ὅτι τοιαύτη ἔσται οἵαν ζητεῖ τε καί ἀποδέχεται, καί πρός τούς αὐτῆς λόγους ἀποκρινόμενος, «πίστευσόν μοι, γύναι», φησίν, «ὅτι ἔρχεται ὥρα, ὅτε οὔτε ἐν τῷ ὄρει τούτῳ, οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί»˙ καί μετ᾽ ὀλίγα, «τοιούτους γάρ ὁ Θεός ζητεῖ τούς προσκυνοῦντας αὐτόν».

Ὁρᾶτε ὅτι καί περί αὐτῆς διατείνεται, ὅτι τοιαύτη ἔσται οἵαν ὁ Θεός ζητεῖ καί ὅτι προσκυνήσει τῷ ἀνωτάτῳ Πατρί μή τοπικῶς, ἀλλ᾽ εὐαγγελικῶς (πρός αὐτήν γάρ ὁ λόγος, ὅτι οὔτε ἐν τῷ ὄρει τούτῳ οὔτε ἐν Ἱεροσολύμοις προσκυνήσετε τῷ Πατρί), ἅμα δέ καί τήν τοῦ νόμου μετάθεσιν φανερῶς αὐτῇ προαγγέλλει; Μετατιθεμένης γάρ τῆς προσκυνήσεως, ἐξ ἀνάγκης καί τοῦ νόμου μετάθεσις ἔσται.

Ἀλά καί τό μεταξύ κείμενον «ὑμεῖς προσκυνεῖν ὅ οὐκ οἴδατε, ἡμεῖς προσκυνοῦμεν ὅ εἴδαμεν, ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἐστί», πρός μέν τόν ἐκείνης λόγον ὡς ἀπόκρισίς ἐστιν, ἅμα δέ καί τοῖς οἰκείοις λόγοις ἐστίν ἀκόλουθον. Τοῦτό γάρ, φησίν, ὡς ἡμεῖς οἱ Ἰουδαῖοι (συντάττει γάρ καί ἑαυτόν ἐκείνοις, ὡς ἐξ ἐκείνων ὄντα κατά σάρκα)˙ ἡμεῖς οὖν, φησίν, οἱ μή καταψευδόμενοι τοῦ ὀνόματος, ἀλλ᾽ ἐπιγινώσκοντες τά ἡμέτερα, τοῦτο κατά τήν προσκύνησιν ὑμῶν τῶν Σαμαρειτῶν διαφέρομεν, ὅτι γινώσκομεν διά τοῦτο τήν προσκύνησιν ἐν Ἰουδαίᾳ τελεῖσθαι νομιζομένην, ὅτι ἐκ τῶν Ἰουδαίων ἡ σωτηρία παντός τοῦ κόσμου, τουτέστιν ὁ Χριστός ἐλεύσεται. Ὅτι δέ οὐκέτι μέλλει, αὐτός γάρ ἦν, οὐκ εἶπεν ὅτι ἡ σωτηρία ἐκ τῶν Ἰουδαίων ἔσται, ἀλλ᾽ ὅτι ἐστίν. «Ἀλλ᾽ ἔρχεται», φησίν, (σελ. 560) «ὥρα καί νῦν ἐστι». Καί ταῦτα προφητικά˙ τό μέν γάρ ἔρχεται, ὅτι οὔπω ἐτελέσθη, τελεσθήσεται δέ, τό δέ νῦν ἐστιν, ἐπειδή περ ἑώρα ταύτην ὅσον οὔπω πιστεύουσαν, καί πνευματικῶς καί ἀληθῶς προσκυνοῦσαν. «Ἔρχεται οὖν», φησίν, «ὥρα καί νῦν ἐστιν, ὅτε οἱ ἀληθινοί προσκυνηταί προσκυνήσουσι τῷ Πατρί ἐν πνεύματι καί ἀληθείᾳ»˙ ὁ γάρ ἀνωτάτω καί προσκυνητός Πατήρ, Πατήρ αὐτοαληθείας ἐστί, δηλονότι τοῦ μονογενοῦς Υἱοῦ, καί Πνεῦμα ἀληθείας ἔχει, τό Πνεῦμα τό ἅγιον, καί οἱ ἐν αὐτοῖς τοῦτον προσκυνοῦντες, καί ὡς οὕτω πιστεύοντες καί ὡς διά τούτων ἐνεργούμενοι. Τό Πνεῦμα γάρ ἐστι, φησίν ὁ ἀπόστολος, δι᾽ οὗ προσκυνοῦμεν καί δι᾽ οὗ προσευχόμεθα, καί «οὐδείς ἔρχεται πρός τόν Πατέρα, εἰμή δι᾽ ἐμοῦ», ὁ τοῦ Θεοῦ μονογενής φησιν.

Οἱ οὖν οὕτως ἐν πνεύματι καί ἀληθείᾳ τόν ἀνωτάτω Πατέρα προσκυνοῦντες, οὗτοί εἰσιν οἱ ἀληθινοί προσκυνηταί. Ἐπεί δέ καί τά Ἱεροσόλυμα καί τήν Σαμάρειαν ἐξέβαλεν, ἵνα μή τις νομίσῃ τόπον ἕτερον ἀντεισαχθήσεσθαι μέλλειν, διά τῶν ἑξῆς ἀπάγει πάλιν τόν ἀκροώμενον πάσης σωματικῆς ἐννοίας καί τόπου καί προσκυνήσεως, «Πνεῦμα», λέγων, «ὁ Θεός, καί τούς προσκυνοῦντας αὐτόν ἐν πνεύματι καί ἀληθείᾳ δεί προσκυνεῖν», τουτέστιν ἐκτός σωμάτων πάντῃ τόν ἀσώματον ἐννοῦντας˙ οὕτω γάρ καί ἀληθῶς ὄψονται τοῦτον πανταχοῦ ἐν τῷ πνεύματι καί τῇ ἀληθείᾳ αὐτοῦ. Ὡς μέν γάρ πνεῦμα ὑπάρχων ὁ Θεός ἀσώματός ἐστι, τό δέ ἀσώματον οὐκ ἐν τόπῳ ἐστίν, οὐδέ τοπικοῖς ὅροις περιγράφεται. Οὐκοῦν ὁ λέγων ἐν (σελ. 562) τοῖς ὁρίοις μόνοις τῶν Ἱεροσολύμων ἤ τοῦ τῆς Σαμαρείας ὄρους ἤ ἐν ἄλλῳ τινί τῶν ἁπανταχοῦ γῆς καί οὐρανοῦ τόπων δεῖν προσκυνεῖσθει τόν Θεόν, οὐκ ἀληθῶς φησιν, οὐδ᾽ ἀληθῶς προσκυνεῖ. Ἀλλ᾽ ὡς μέν

ἀσώματος ὁ Θεός οὐδαμοῦ, ὡς δέ Θεός πανταχοῦ˙ εἰ γάρ ἐστιν ὅρος ἤ τόπος ἤ κτίσις, οὗ ἡ ἐστιν ὁ Θεός, πάλιν εὑρεθήσεται περιγραφόμενος ἔν τινι˙ πανταχοῦ οὖν καί ἐν πᾶσιν ὁ Θεός. Πῶς οὖν πανταχοῦ καί ἐν πᾶσιν, ὡς οὐχ ὑπό μέρους, ἀλλ᾽ ὑπό τοῦ παντός περιεχόμενος, οὔμενον˙ σῶμα γάρ ἔσται πάλιν. Οὐκοῦν, ὡς τό πᾶν καί συνέχων καί περιέχων, αὐτός ἐστιν ἐν ἑαυτῷ πανταχοῦ τε καί ὑπέρ τό πᾶν, προσκυνούμενος παρά τῶν ἀληθινῶν προσκυνητῶν ἐν τῷ πνεύματι καί τῇ ἀληθείᾳ αὐτοῦ.

Πανταχοῦ τοίνυν ὁ Θεός, οὐ τῆς γῆς μόνον ἀλλά καί τῶν ὑπέρ γῆν, προσκυνηθήσεται παρά τῶν οὕτω πιστευόντων ἀληθῶς τε καί θεοπρεπῶς, Πατήρ ἀσώματος καί κατά χρόνον καί τόπον ἀόριστος, ἐν ἁγίῳ καί ἀϊδίῳ Πνεύματι καί Υἱῷ καί Λόγῳ συνανάρχῳ, ὅς ἐστιν ἡ ἐνυπόστατος τοῦ Πατρός ἀλήθεια. Ἀλλά καί ψυχή καί ἄγγελος ἀσώματα ὄντα, οὐκ ἐν τόπῳ ἐστίν, ἀλλ᾽ οὐχί καί πανταχοῦ ἐστιν˙ οὐ γάρ συνέχουσι τό πᾶν, ἀλλά καί αὐτά δεῖται τοῦ συνέχοντος, οὐκοῦν καί αὐτά ἐν τῷ συνέχοντι καί περιέχοντι τό πᾶν, ὑπ᾽ αὐτοῦ καταλλήλως ὁριζόμενα. Ἡ μέντοι ψυχή, συνέχουσα τό σῶμα ᾧ καί συνεκτίσθη, πανταχοῦ τοῦ σώματός ἐστιν, οὐχ ὡς ἐν τόπῳ, οὐδ᾽ ὡς περιεχομένη, ἀλλ᾽ ὡς συνέχουσά τε καί περιέχουσα τό σῶμα, κατ᾽ εἰκόνα καί τοῦτ᾽ ἔχουσα Θεοῦ.

Ἡ δέ Σαμαρεῖτις ὡς ἤκουσε παρά Χριστοῦ τῶν ἐξαισίων τούτων καί θεοπρεπῶν φωνῶν, ὡς ὁ Θεός οὐδαμοῦ κατ᾽ ἀλήθειαν προσκυνητός ἐστιν, εἰμή ἐν τῷ πνεύματι καί τῇ ἀληθείᾳ αὐτοῦ, (σελ. 564) καθάπερ ἡ ἐν τοῖς ᾄσμασι τῶν ᾀσμάτων νυμφευομένη τῷ Θεῷ ψυχή, τῇ φωνῇ τοῦ νυμφίου τῆς ἀφθαρσίας ἀναπτερωθεῖσα, τοῦ προσδοκωμένου καί ποθουμένου καί λεληθότως ἔτι παρόντος ποιεῖται μνείαν λέγουσα˙ «οἶδα ὅτι Μεσσίας ἔρχεται, ὁ λεγόμενος Χριστός˙ ὅταν ἔλθῃ ἐκεῖνος ἀναγγελεῖ ἡμῖν πάντα». Ὁρᾶτε πῶς ἦν ἑτοιμοτάτη πρός πίστιν, ὡς ἐγγίζοντος ἤδη τοῦ προδοκωμένου, καί λίαν εὔελπις; Ἆρ᾽ οὐχί καί ταύτης ἦν λέγειν μετά τοῦ Δαβίδ, «ἑτοίμη ἡ καρδία μου, ὁ Θεός, ἑτοίμη ἡ καρδία μου, ᾄσομαι καί ψαλλῶ ἐν τῇ δόξῃ μου»;

Πόθεν δέ καί τοῦτο βεβαίως οὕτως ᾔδει καί ἀσφαλῶς καί τήν ἐκ ψυχῆς εἶχε πρός αὐτό διάθεσιν, εἰ μή μετά συνέσεως ἀκροτάτης τάς προφητικάς ἐξεμελέτησε βίβλους; Ἐντεῦθεν καί τόν νοῦν οὕτω μετάρσιον εἶχε, τῆς θείας ἔμπλεως γεγονότα κατοχῆς˙ ὡς ἐμοί νῦν ἀγαμένως ὁρῶντι τόν τῆς Σαμαρείτιδος ταύτης πρός Χριστόν πνευματικόν τε καί σφοδρόν πόθον, ἐπέρχεται περί αὐτῆς πάλιν τά

τοῦ ᾄσματος ἐκείνου λέγειν, «τίς αὕτη ἡ ἐκκύπτουσα ὡσεί ὄρθρος, καλή ὡς σελήνη, ἐκλεκτή ὡς ὁ ἥλιος;». Τῷ μέν γάρ ἐπαγγέλλεσθαι μετ᾽ ὀλίγον ἐπιφανήσεσθαι τόν τῆς δικαιοσύνης νοητόν ἥλιον Χριστόν καί τῷ τήν ἐξ ἐθνῶν ἐκκλησίαν δι᾽ αὐτῆς ἀρχομένην ὑποφαίνειν ὡς ἐξ ἱερᾶς ἀνίσχουσαν κολυμβήθρας τῆς πηγῆς, ἐφ᾽ ἧς εἱστήκει, καθάπερ κατηχουμένη παρά τοῦ Σωτῆρος, ὁρῶ ταύτην ἐκκύπτουσαν ὡς πολυέραστον ὄρθρον. Καλή δέ ἐστιν ὡσεί σελήνη, ἐπειδή φαίνει, τῆς νυκτός ἔτι τῆς ἀσεβείας ἐπικρατούσης˙ ἐκλεκτή δέ ὡς ὁ ἥλιος, ἅ τε καί Φωτεινή παρά τοῦ Σωτῆρος ὠνομασμένη καί τοῦ καταλόγου καί αὕτη τετελεσμένη τῶν μελλόντων ὡς ἥλιον λάμψειν κατά τό εὐαγγέλιον, ἐπεί καί μακαριωτάτῳ καί μαρτυρικῷ τέλει τόν ἑξῆς (σελ. 566) φωτοειδῆ βίον ἐπεσφραγίσατο, καί νῦν δέ Θεόν οἶδεν ἀληθῆ τόν Χριστόν καί τελέως τοῦτον ἐθεολόγησε, καί ὅπερ αὐτός τοῖς μαθηταῖς εἶπεν ὕστερον περί τοῦ συμφυοῦς καί ὁμοτίμου Πνεύματος, ὡς ὅταν ἔλθῃ ἐκεῖνος διδάξῃ πᾶσαν τήν ἀλήθειαν, τοῦτο καί αὕτη προλαβοῦσα περί αὐτοῦ φησιν, «ὅταν ἔλθῃ ἐκεῖνος ἀναγγελεῖ ἡμῖν πάντα».

Ἀλλ᾽ ὡς εἶδε τοιαύτην οὖσαν ὁ νοητός νυμφίος Χριστός, ἀπερικαλύπτως πρός αὐτήν φησιν, «ἐγώ εἰμι ὁ λαλῶν σοι». Ἡ δέ εὐθέως ὡς ἐκλεκτή ὄντως εὐαγγελίστρια γίνεται καί τήν ὑδρίαν ἀφεῖσα καί πρός τήν πόλιν δραμοῦσα πάντας ἐπιστρέφει τοῖς λόγοις καί πρός πίστιν τοῦ ὀφθέντος ἐνάγει, «δεῦτε ἴδετε», λέγουσα, «ἄνθρωπον, ὅς εἶπέ μοι πάντα ὅσα ἐποίησα˙ μή τοι οὗτός ἐστιν ὁ Χριστός;». Οὕτω δέ φησιν, οὐκ ἀμφιβολίαν αὕτη κεκτημένη τινά, πληροφορηθήσεσθαι δέ μᾶλλον ἐκ τῆς θέας καί διά τῆς πρός τόν Κύριον ὁμιλίας εὐχετέστερον ἀναπεισθήσεσθαι καί τούς ἄλλους πιστεύουσα, καθάπερ καί διά τῶν ἔργων ἐξέβη.

Ἐγώ δέ καί τοῖς προειρημένοις συνοπτικώτερον ἐχρησάμην καί τά ἑξῆς τῶν εὐαγγελικῶν ρημάτων ἀρτίως παρίημι, τήν ὥραν ἐπί τάς τοῦ σώματος χρείας καί τά ἔργα τοῦ βίου κατεπείγουσαν ὑμᾶς ὁρῶν. Ἀλλ᾽ ὑμεῖς σκοπεῖτε τήν Σαμαρείτιδα ταύτην˙ ὡς γάρ ἤκουσε τῶν εὐαγγελικῶν λόγων, οὕς καί ἡμεῖς ἐξαγγέλλομεν πρός τήν ὑμετέραν ἀγάπην, εὐθύς καί τῶν ἀναγκαιοτάτων τοῦ σώματος κατεφρόνησεν˙ ἀφῆκε γάρ πάραυτα καί τήν ὑδρίαν καί τήν οἰκίαν, καί εἰς τήν πόλιν δραμοῦσα καί τούς Σαμαρείτας ἐπισπασαμένη, σύν αὐτοῖς πάλιν ἐπανῆλθε πρός τόν Χριστόν˙ τό γάρ, (σελ. 568) «δεῦτε ἴδετε», τοῦτό

φησιν ἄντικρυς, ἀκολουθήσατέ μοι καί ὁδηγήσω ὑμᾶς καί δείξω νῦν ὑμῖν τόν ἐξ οὐρανῶν σωτῆρα τῷ κόσμῳ παραγενόμενον.

Ἐκείνους μέν οὖν οὕτω τηνικαῦτα προτρεψαμένη τῷ Χριστῷ παρέστησεν, ἡμᾶς δέ διδάσκει διά τοῦ καταλιπεῖν καί τήν οἰκίαν καί τήν ὑδρίαν προτιμοτέραν ἡγεῖσθαι καί τῶν ἀναγκαίων χρειῶν τήν ἐκ τῆς διδασκαλίας ὠφέλειαν, ἥν καί ὁ Κύριος ἀγαθήν μερίδα προσεῖπε πρός τήν ἐν τῷ εὐαγγελίῳ Μάρθαν, ὑπέρ τῆς ἀκροωμένης τοῦ λόγου Μαρίας διαλεγόμενος. Εἰ δέ τῶν ἀναγκαίων περιφρονεῖν δεῖ, πόσω μᾶλλον τῶν ἄλλων; Τί γάρ σε καί κατεπείγει καί τῶν κατά ψυχήν ὠφελίμων ἀκουσμάτων ἀπάγει; Οἴκου καί παίδων καί γυναικός ἐπιμέλεια; οἰκεῖον ἤ συγγενικόν πένθος ἤ χαρμονή; ἀγοαρασία τις κτημάτων ἤ πώλησις; χρῆσις τῶν ὑπαρχόντων σοι πάντων, μᾶλλον δέ κατάχρησις; Ἀλλ᾽ ἄκουε συνετῶς τῶν ἀποστολικῶν διδαγμάτων˙ «ὁ καιρός, ἀδελφοί, συνεσταλμένος τό λοιπόν ἐστιν, ἵνα καί οἱ ἔχοντες γυναῖκας ὡς μή ἔχοντες ὦσι καί οἱ κλαίοντες ὡς μή κλαίοντες καί οἱ χαίροντες ὡς μή χαίροντες καί οἱ ἀγοράζοντες ὡς μή μή κατέχοντες καί οἱ χρώμενοι τῷ κόσμῳ τούτῳ ὡς μή καταχρώμενοι˙ παράγει γάρ τό σχῆμα τοῦ κόσμου τούτου».

Τί ἐστιν, «ὁ καιρός συνεσταλμένος ἐστί»; Βραχύς ὁ βίος, ἐγγύς ὁ θάνατος, φθαρτός ὁ κόσμος οὗτος, ὁ ἀεί μένων ἕτερος˙ παραπέμπει δέ ἡμᾶς πρός ἐκεῖνον ἐν ἀσφαλείᾳ ἡ τοῦ παρόντος καταφρόνησις κόσμου, ἡ πρός τόν μέλλοντα ἐκεῖνον ἑτοιμασία, τό ζῆν κατά τό ἐγχωροῦν ἀπό τῶν ἐνταῦθα κατ᾽ ἐκείνην τήν πολιτείαν καί τό τοῦ παρόντος βίου βλαβερόν ὅση δύναμις φεύγειν. Καθάπερ δέ πολεμίων ἐπιδρομῆς ἐπί τά ἐκτός τῆς πόλεως πυκνά γινομένης, τούς ἀγρούς (σελ. 570) ἔχομεν ὡς μή ἔχοντες καί τόν πλείω χρόνον ἐκείνους φεύγοντες ἐντός ἐν ἀσφαλείᾳ καθήμεθα, κἄν ἐπί καιρόν ἀναχωρήσωσιν οἱ πολέμιοι, χρώμεθα πρός βραχύ τοῖς πρό τοῦ ἄστεος περιπάτοις, ἀλλ᾽ οὐ καταχρώμεθα, τόν καιρόν τῆς χρήσεως συνεσταλμένον ὁρῶντες, οὕτω καί τῷ κόσμῳ τούτῳ χρῆσθαι καί μή καταχρῆσθαι παραινεῖ καλῶς ὁ ἀπόστολος˙ ὁρᾷ γάρ τούς ἀοράτους πολεμίους δεινῶς ἐπεμβαίνοντας καί τό προσδόκιμον τῆς φθορᾶς˙ «παράγει» γάρ φησι «τό σχῆμα τοῦ κόσμου τούτου». Καίτοι ἐπειδή περ οὐ κυρίως ὑφέστηκεν, ἀλλ᾽ ὡς εἶπε σχηματισμός ἐστι τά παρόντα μόνον, καί γίνεται μέν, οὐκ ἔστι δέ, πρός ὀλίγον φαινόμενά τε καί παρερχόμενα, κἄν τις ἐθέλοι κατέχειν, οὐ δυνήσεταί ποτε, καθάπερ θερινῆς ἀγόνου νεφέλης ἐλαυνομένης ὑπ᾽ ἀνέμου καί ταχύ

παρατρεχούσης σκιάν, διά μόνον τό φανεράν γενέσθαι τήν ἑκάστου πρόθεσιν ἡ παραίνεσις καί τό δοῦναι σημεῖον τῆς ἐπιγνώσεως τῶν παρά Θεοῦ διδαγμάτων˙ κἄν γάρ ἐθέλῃ τις κατέχειν, καθάπερ ἔφην, οὐ καθεκτά τά παρόντα καί τοῦτο διχῶς˙ οὐ γάρ μόνον ὁ κόσμος οὗτος παράγει, ἀλλά καί ἡμῶν ἕκαστος τῶν τῷ κόσμῳ τούτῳ χρωμένων, ἔσθ᾽ ὅτε καί πρό τῶν ἀνά χεῖρας ἐν τῷ κόσμῳ παράγει. Καί καθάπερ ὁδόν τινα βαδίζων παρέρχεται πᾶς ἄνθρωπος καί αὐτήν πολυειδῶς κινουμένην καί παρερχομένην αὐτόν, καί δυοῖν ἐξ ἀνάγκης ἐκβαίνει θάτερον, ἤ πρότερα τοῦτον τά τῆς ὁδοῦ παρελθόντα φθάνει καί ἅ κατεῖχεν οὗτος οὐκέτ᾽ ἔχει κατέχειν ἤ αὐτός φθάνει τελείως παρελθών τήν τοῦ βίου ταύτην ὁδόν καί οὐκέτ᾽ ἔχει κατέχειν τά ἐν τῷ βίῳ˙θνητός γάρ ὤν ὁ ἄνθρωπος τοῖς ἐν τῷ βίῳ συνημμένος ἐστίν, ἅ ἐστι καί ταῦτα τρεπτά. Ἤ οὖν πολυτρόπως τρέπεται τοῖς τρεπτοῖς συνημμένος καί ἀπώλεσεν ἅ κατεῖχε, πλοῦτον ἴσως, περιφάνειαν, εὐθυμίαν, (σελ. 572) θανών αὐτός ἑαυτῷ φθάνει τήν τροπήν κεφαλαιωδέστερον ἐπενεγκών, καί γυμνός ἄπεισι, τά νῦν ὄντα καί τάς ἐπί τούτοις ἐλπίδας καταλιπών. Παισίν ἴσως; Ἀλλά τίς καί τούτου τέρψις; Αὐτῷ μέν γάρ αἴσθησις οὐκέτ᾽ ἔστι τῶν ἐνταῦθα, οἱ δέ παῖδες τόν ἴσον ἤ τόν ἕτερον διαπεσοῦνται τρόπον.

Συμφορά οὖν ἀεί τῶν τῷ κόσμῳ τούτῳ προσκειμένων τό τέλος, γυμνῶν ὕστατον ἐκφερομένων καί πάντα καταλιμπανόντων ἐνταῦθα τά καταθύμια. Τοῖς δέ τά τοῦ κόσμου τούτου περιφρονοῦσι καί μανθάνει ζητοῦσι περί τοῦ μέλλοντος κόσμου καί πράττειν σπεύδουσι τά λυσιτελήσοντα πρός ἐκεῖνον, οὐ ζημίαν ὁ θάνατος ἐπελθών ἐπάγει, μετάγει δέ τούτους μᾶλλον ἀπό τῶν ματαίων καί ῥευστῶν τούτων πρός ἡμέραν ἀνέσπερον, πρός ζωήν ἀθάνατον, πρός πλοῦτον ἀδαπάνητον, πρός τρυφήν ἀκήρατον, πρός δόξαν ἀΐδιον, πρός τά ὄντως ὄντα καί ἀναλλοίωτα διαμένοντα.

Ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καί φιλανθρωπίᾳ τοῦ κλίναντος οὐρανοῦ καί καταβάντος ὑπέρ ἡμῶν, οὐ μέχρι μόνον ἡμῶν, ἀλλά μέχρι καί τῶν συγκεκλεισμένων ἐν τοῖς καταχθονίοις ψυχῶν˙ κἀκεῖθεν δι᾽ ἀναστάσεως καί παλινζωίας ἀναδραμόντος καί ἡμῖν παρασχόντος δι᾽ ἑαυτοῦ τόν φωτισμόν καί τήν γνῶσιν καί τήν ἐλπίδα τῶν οὐρανίων καί ἀϊδίων, ἐν οἷς ἐστι δεδοξασμένος εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

*ΟΜΙΛΙΑ Κ’ (σελ.576)*

*ΕΙΣ ΤΟ ΚΑΤΑ ΤΟΝ ΕΥΑΓΓΕΛΙΣΤΗΝ ΙΩΑΝΝΗΝ ΟΓΔΟΟΝ*

*ΕΩΘΙΝΟΝ ΕΥΑΓΓΕΛΙΟΝ*

***Ἐν ᾗ καί ὅτι μεγάλων δωρεῶν ἀξιωθήσονται οἱ μέχρι τέλους μετ᾽ εὐλαβείας ἐν ταῖς ἱραῖς συνάξεσι παραμένοντες***

Ἰωάννης ὁ παρθένος καί τήν ἐν μητράσι μόνην παρθένον μητέρα κατά χάριν μόνους πλουτήσας, ὁ τῷ Χριστῷ διαφερόντως ἠγαπημένος, ὁ καί τῆς βροντῆς, ἥν ὁ Κύριος ἀνέβη εἰς οὐρανούς καί ἐβρόντησε, μᾶλλον τῶν ἄλλων εὐαγγελιστῶν χρηματίσας υἱός, διό καί μεγαλοφωνοτέρῳ χρησάμενος τῷ κηρύγματι, διατρανῶν ἡμῖν τά τῆς ἐκ νεκρῶν δεσποτικῆς ἀναστάσεως καί τόν τρόπον τῆς μετά τήν αὐτοῦ ἀνάστασιν φανερώσεως ἱστορῶν, τῇ μέν παρελθούσῃ Κυριακῇ διά τῆς κατ᾽ αὐτόν εὐαγγελικῆς συγγραφῆς (σελ. 578) ἐπ᾽ ἐκκλησίας ἠκούετο, λέγων, «τῇ μιᾷ τῶν σαββάτων Μαρία ἡ Μαγδαληνή ἔρχεται πρωί, σκοτίας ἔτι οὔσης, εἰς τό μνημεῖον καί βλέπει τόν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. Τρέχει οὖν καί ἔρχεται [ρ’πς Σίμωνα Πέτρον καί πρός τόν ἄλλον μαθητήν ὅν ἐφίλει ὁ Ἰησοῦς», ἑαυτόν ἐνταῦθα δηλῶν.

Νῦν δέ ἠκούσαμεν αὐτοῦ λέγοντος, «Μαρία δέ εἱστήκει πρός τό μνημεῖον κλαίουσα ἔξω». Αὐτός μέν γάρ ὁ Ἰωάννης μετά τοῦ Πέτρου παρ᾽ αὐτῆς ἀκούσαντες καί δραμόντες ἐπί τό μνῆμα τό ζωαρχικόν εἶδον ἅ εἶδον καί διά τεκμηρίων πιστεύσαντες καί θαυμάσαντες ἀπῆλθον πρός ἑαυτούς. Παραμείνασα δέ ἡ Μαρία εἱστήκει πρός τό μνημείῳ κλαίουσα ἔξω˙ δῆλον, ὡς μήπω πληροφορίαν τινά λαβοῦσα περί τῆς δεσποτικῆς ἀναστάσεως, καίτοι δίς ἤδη μεθ᾽ ἑτέρων ἦλθεν ἐπί τό μνῆμα˙ πρῶτον μέν μετά τῆς Θεομήτορος, ὡς ὁ Ματθαῖος ἱστόρησε γράφων, «ὀψέ σαββάτων, τῇ ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἔρχεται Μαρία ἡ Μαγδαληνή καί ἡ ἄλλη Μαρία, θεωρῆσαι τόν τάφον˙καί ἰδού σεισμός ἐγένετο μέγας» καί ὅσα τῶν ἑξῆς. Εἶτα νῦν ἔρχεται μετά Πέτρου καί Ἰωάννου, οἵ καί δι᾽ ὧν εἶδον πιστεύσαντες καί θαυμάσαντες ἀπῆλθον. Δίς οὖν μεθ᾽ ἑτέρων ἐπί τόν τάφον ἐλθοῦσα, πάντων ἐκείνων τῶν συνελθόντων πιστευσάντων καί πληροφορηθέντων, ὡς μηδεμίαν αὕτη πληροφορίαν λαβοῦσα ἀπαραμύθητα κλαίει.

(σελ. 580) Ἴδοι δ᾽ ἄν τις τοῦτο καί ἐπί τῶν κατ᾽ ἀρετήν ἀγώνων τελούμενον˙ τοῖς μέν γάρ τῶν ἀγωνιζομένων εὐθύς ἡ χάρις ὑπαντᾷ καί πληροφορίαν αὐτοῖς παρέχει τῶν ἀρραβώνων, γεύουσα τῶν ἐπηγγελμένων ἐπάθλων, οἱονεί προτείνουσα φιλάνθρωπον χεῖρα καί δεξιουμένη τούτους καί πρός τά ἑξῆς ὑπαλείφουσα˙ τῶν δέ τό τέλος ἀναμένει τῆς ἀγωνίας, ἑτοιμάζουσα πάντως τούτοις καί τῆς ὑπομονῆς τούς στεφάνους, ὥς καί τινα λέγειν τόν θεοφόρων πατέρων, οἱ μέν πρό τῶν καμάτων, οἱ δέ ἐν τοῖς καμάτοις, οἱ δέ ἐν τῇ ἐξόδῳ τάς ὁσίας ἀμοιβάς ἐκδέχονται.

Γίνεται δέ ταῦτα τῆς πανσόφου τοῦ Θεοῦ προνοίας πολυτρόπως οἰκονομούσης τά καθ᾽ ἡμᾶς καί τό προσῆκον καί λυσιτελές ἑκάστῳ φιλανθρώπως νεμούσης ἐπί τε τῶν τῆς ἀρετῆς ἔργων καί τῶν μυστηρίων τῆς πίστεως. Σοφῶς οὖν οὕτω καί φιλανθρώπως καί τά κατά τήν Μαγδαληνήν Μαρίαν οἰκονομῶν ὁ δεσπότης, λαβεῖν οὔπω τότε τήν πληροφορίαν τῆς αὐτοῦ ἀναστάσεως ἐδικαίωσεν, ἅμα δι᾽ αὐτῆς καί τούς ἔπειτα πρός ὑπομονήν ἐνάγων καί προτρεπόμενος. Τίνων γάρ ἠξιώθη μετά ταῦτα διά τήν αὐτῆς καρτερίαν καί τήν ἐπίμονον προσεδρείαν, ἀκούσωμεν. «Ὡς οὖν ἔκλαιε», φησί, «παρέκυψεν εἰς τό μνημεῖον καί θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρός τῇ κεφαλῇ καί ἕνα πρός τοῖς ποσίν, ὅπου ἔκειτο τό σῶμα τοῦ Ἰησοῦ».

Τό μέν οὖν παρακύπτειν καί τά ὄμματα περιπαθῶς ἐπί τό μνῆμα στρέφειν τῆς ἄκρας διαθέσεως ἦν˙ ἐκεῖνο δέ σκοπῆσαι δεῖ πρῶτον, πῶς σκοτίας ἔτι οὔσης, ὡς ἀνωτέρω φησίν ὁ εὐαγγελιστής, ἀκριβῶς αὕτη πάντα ἑώρα καί κατά μέρος ἕκαστον, καί ταῦτα ἔξωθεν τά ἐντός ὄντα τοῦ σπηλαίου. Δῆλον οὖν, ὅτι ἔξω μέν ἦν (σελ. 582) σκοτία ἔτι, μήπω τῆς αἰσθητῆς ἡμέρας τελέως ἐκφανείσης, τό δέ σπήλαιον ἐκεῖνο τοῦ φωτός τῆς ἀναστάσεως ἔγεμεν, ὅ τῇ Μαρίᾳ θείως ὁρώμενον, τόν τε πρός Χριστόν πόθον ἤγειρεν ἐπί τό μεῖζον καί δύναμιν παρεῖχε τοῖς ἐκείνοις ὄμμασιν ἀγγελικῆς ὀπτασίας ἀντιλαμβάνεσθαι, καί μή μόνον ὁρᾶν, ἀλλά καί προσλαλεῖν ἀγγέλοις δύνασθαι˙ τοιοῦτον γάρ ἐκεῖνο τό φῶς.

Ἐν λευκοῖς δέ τούτοις εἶδεν ἠμφιεσμένους, οὐ μόνον διά τό καθαρόν καί φωτοειδές τῆς τῶν ἀγγέλων φύσεως, ἀλλά καί ὡς λευκαίνοντας καί διασαφοῦντας τό τῆς ἀναστάσεως μυστήριον, ἅμα δέ καί ὡς ἔργῳ συνεορτάζοντας ἡμῖν τήν ὄντως λαμπροφόρον ἡμέραν τῆς δεσποτικῆς ἀναστάσεως. Καθεζομένους δέ, ἵνα ἐπιγνῷ μή τότε

ἐλθόντας, ἀλλά καί πρότερον παρόντας, εἰ καί μή πρότερον ἐφαίνοντο, καί τῆς τούτων ἀξίας ἐν περινοίᾳ γένηται, ἀναλογισαμένη τίνες οὗτοι, οἵ καί παρόντες οὐχ ἑωρῶντο. Ἐποίει δέ τούτους οἶμαι καθῆσθαι καί ὁ πόθος τοῦ προσεγγίζειν μᾶλλον τῷ τόπῳ, ἐν ᾧ πρότερον ἔκειτο τό σῶμα τό δεσποτικόν· οἱονεί γάρ ὑπό τῆς ἀγάπης προσεφύοντο τῷ μνήματι καθεζόμενοι, εἷς πρός τῇ κεφαλῇ καί ὁ ἕτερος πρός τοῖς ποσί, καί δεικνῦντες ἐπίσης ἐφετόν καί τίμιον ἀγγέλοις καί τήν τοῦ Χριστοῦ θεότητα, ἧς σύμβολον ὁ τῆς κεφαλῆς τόπος, καί τήν ἐνανθρώπησιν αὐτοῦ, ἧς τύπος ὁ τόπος τῶν ποδῶν. «Καί λέγουσιν αὐτῇ ἐκεῖνοι, Γύναι τί κλαίεις;».

Οὐρανόν ὁρᾷς τό σπήλαιον, μᾶλλον δέ ναόν οὐράνιον ἀντ᾽ ἐπιγείου τάφου καί δεσμωτηρίου τετελεσμένον, ἀγγέλων οὐρανίων (σελ. 584) ἀντ᾽ ἐπιγείων φυλάκων πεπληρωμένον, σεμνυνόντων τοῦτον κενόν· σύ δέ, γύναι, τίνος ἕνεκα κλαίεις; Οὐκ ἀγνοοῦντες δέ τά κατ᾽ αὐτήν ἐρωτῶσιν, ἀλλ᾽ ἵνα τό πένθος ἀναστείλαντες κυρίαν αὐτήν ποιήσωσι τῶν οἰκείων λογισμῶν καί λάβωσι χώραν ἐκτελέσαι τό οἰκεῖον ἔργον· ἔργον δέ ἀγγέλων παρακαθημένων τῷ τάφῳ τοῦ Ζωοδότου τήν τοῦ ἀναστάντος δόξαν ἐξαγγέλλειν. Ἀλλά τῶν ἀγγέλων ἐρωτησάντων, τίνος ἕνεκα κλαίει, «ὅτι ἦραν τόν Κύριόν μου», φησίν ἐκείνη, «καί οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν· καί ταῦτα εἰποῦσα ἐστράφη εἰς τά ὀπίσω». Τί τό τήν Μαρίαν παρασκευάσαν ἐξαίφνης εἰς τό ὀπίσω στραφῆναι; Πάντως ἡ τῶν ἀγγέλων πρός τόν Δεσπότην ἐπιφανέντα δουλικήν νεῦσις καί προσοχή. Ἐκείνη μέν γάρ ἑαυτῆς μόνης κύριον αὐτόν ἐκάλει, καί κλοπήν ὑπενόει καί μετάθεσιν τοῦ σώματος, διάθεσιν μέν πρός αὐτόν ἐκ ψυχῆς ἐνδεικνυμένη, μηδέν δέ θεοπρεπές περί αὐτοῦ φρονοῦσα. Οἱ δέ δι᾽ ἔργων παριστᾶσι καί αὐτῶν τῶν ἀγγέλων τοῦ Θεοῦ τοῦτον εἶναι Κύριον· μήπω γάρ ἐκείνου ἐπιφαινομένου αὐτοί παρεκάθηντο τῷ τάφῳ, τοῦ Δεσπότου δέ καταντικρύ ἐπιφανέντος ἐξανέστησαν εὐθύς καί τούτῳ μετ᾽ εὐλαβείας καί θάμβους ἐν οἰκετικῷ σχήματι προσέσχον ἀτενῶς.

Στραφεῖσα δέ ἡ Μαρία θεωρῆσαι τί τό τούς ἀγγέλους ἐκπλῆξαν καί μόνον φανέν, θεωρεῖ τόν Ἰησοῦν ἑστῶτα, οὐ μέντοι ᾔδει ὅτι Ἰησοῦς ἐστιν, ἀνήκουστον ἔτι καί δυσπαράδεκτον ἔχουσα τήν ἀνάστασιν. Ἐπεί δέ καί ἀμυδρόν ἐκτός ὑπῆρχεν ἔτι τό τῆς ἡμέρας φῶς καί ὁ Κύριος οὐκ ἐπεδείκνυ ταύτῃ τήν θείαν λαμπρότητα, ὡς ἄν αὐτός ἐκεῖνος ὤν ὁ καί παθῶν γνωρίζηται, ἡ Μαρία οὐκ ἐπέγνω αὐτόν, (σελ. 586) ἀλλά καί κηπουρόν τῶν ἐκεῖ φυτῶν ὑπενόει, τόν γεωργόν τῶν

ψυχῶν, τόν δημιουργόν τοῦ παντός. Ὡς δέ φωνήσας ἐκεῖνος καί καλέσας αὐτήν ἐξ ὀνόματος, ἐγνώρισεν ἑαυτόν, Μαρία, εἰπών, ἀπεκρίνατο στραφεῖσα τήν γνώμην ἐκείνη καί φησι, ραββουνί, ὅ λέγεται, διδάσκαλε, οὐδέ οὕτως εἰ καί ζῶντα τοῦτον ἑώρα, θεοπρεπές τι λαβοῦσα ἐπί νοῦν, ἀλλ᾽ ὡς ἁπλῶς ἀνθρώπῳ Θεοῦ καί διδασκάλῳ τῶν θείων προσέχουσα. Διό μή μόνον προσπεσεῖν, ἀλλά καί ἅψασθαι τῶν αὐτοῦ ποδῶν, ὑπό τῆς ἀγάπης ὥρμησεν, ἀλλ᾽ ἀκούει, μή μου ἅπτου, ἐπειδή γάρ, φησίν, ἡ σή διάνοια τοῦ ὕψους οὐχ ἥψατο τοῦ κατ᾽ ἐμέ μυστηρίου, ὅτι Θεός ὤν, ἐν σώματι νῦν ὁρῶμαι διά σέ, καί τούτῳ νῦν μάλιστα θεοειδεῖ, διά τοῦτο, μή μου ἅπτου».

Ἔδει δέ καί τοῦτο τηρηθῆναι τῇ τοῦ Θεοῦ Μητρί, τό μόνην αὐτήν ἐν γυναιξίν ἅψασθαι τοῦ σώματος μετά τήν ἀνάστασιν τοῦ ἐξ αὐτῆς δι᾽ ἡμᾶς ἐνανθρωπήσαντος Θεοῦ, ὅ καί γέγονεν, ὡς ὁ εὐαγγελιστής Ματθαῖος ἱστορεῖ˙ διά ταύτην γάρ φησιν, ὅτι προσελθοῦσαι ἥψαντο τῶν ποδῶν, τῇ δέ Μαρία φησί, «μή μοῦ ἅπτου˙ οὔπω γάρ ἀναβέβηκα πρός τόν Πατέρα μου». Τοῦτο συνηρτημένον μέν ἐστι τοῖς ἑξῆς πρός τούς μαθητάς αὐτοῦ λόγοις, ὅτι ἀναβαίνω πρός τόν Πατέρα μου, οὔπω γάρ ἀναβέβηκα. Λέγει δέ τοῦτο, ἐμμερίμνους αὐτούς ποιῶν καί σπουδαιοτέρους, καί διεγείρων πρός ἐπιπόθησίν τε καί ζήτησιν τῆς αὐτοῦ θέας. Ἔχει δέ τι καί πρός τήν Μαγδαληνήν Μαρίαν, μή μου γάρ ἅπτου, φησίν, ὅτι τοιοῦτον νῦν ἐστιν ὅ περίκειμαι σῶμα, ὡς καί πυρός ἀνωφερέστερον εἶναι καί δραστικώτερον, καί μή μόνον ἀναβαίνειν δύνασθαι πρός οὐρανόν, ἀλλά καί πρός αὐτόν τόν ὑπερουράνιον Πατέρα. Οὔπω δέ (σελ. 588) ἀναβέβηκα πρός τόν Πατέρα μου, ὅτι οὔπω μετά τήν ἐκ νεκρῶν ἀνάστασιν ἑαυτόν ἐφανέρωσε τοῖς οἰκείοις μαθηταῖς.

Πορεύου οὖν πρός τούς ἀδελφούς μου τούτους˙ ἑνός γάρ ἐσμεν Πατρός πάντες, εἰ καί μή κατά τόν αὐτόν τρόπον˙ ἐγώ μέν γάρ ὡς γνήσιος ἐκείνῳ καί ὁμοφυής, ἐκεῖνοι δέ ὡς δι᾽ ἐμοῦ υἱοποίητοι τούτῳ γεγονότες. «Πορεύου δή πρός τούς ἀδελφούς μου τούτους καί εἰπέ αὐτοῖς, ὅτι ἀναβαίνω πρός τόν Πατέρα μου καί Πατέρα ὑμῶν, καί Θεόν μου Θεόν ὑμῶν». Ὡς γάρ ἡμῶν μέν Πατήρ ἐστι χάριτι διά τοῦ τῆς υἱοθεσίας Πνεύματος, ἐκείνου δέ Πατήρ φύσει κατά τήν θεότητα, οὕτως ἡμῶν μέν Θεός, ὡς τῆς φύσεως δημιουργός, ἐκείνου δέ διά τήν κατά τό ἀνθρώπινον οἰκονομίαν˙ καί διά τοῦτο κεχωρισμένως εἶπεν, ἵνα ἡμεῖς τήν κατάλληλον διαφοράν ἐννοήσωμεν. Ἐνῆγε δέ κἀκείνους διά τοῦδε τοῦ μηνύματος, ὅτι ἀναβαίνει πρός τόν Πατέρα περί τοῦ

οἰκείου σώματος ἐννοεῖν, ὡς τοιοῦτόν ἐστιν, οἷον ἐπί γῆς ἀεί καθάπερ καί πρότερον στρέφεσθαι καί συνεῖναι τούτοις διά παντός.

Ἀλλ᾽ ἡ μέν Μαγδαληνή Μαρία, ἥν καί ὡς μίαν τῶν τοῦ Χριστοῦ μυροφόρων ὑμνοῦμεν, εἰς ἥν ἀπελθόντων παρά Χριστοῦ τῶν ἑπτά πνευμάτων τῆς πονηρίας, ἀντεισωκίσθη πάντως ἡ ἑπταχῶς ἐνεργοῦσα θεία χάρις τοῦ Πνεύματος· αὕτη μέν οὖν ἡ Μαγδαληνή Μαρία, διά τήν ἐπίμονον προσεδρείαν καί τῆς ἀγγελικῆς ὀπτασίας καί ὁμιλίας ἀξιωθεῖσα καί αὐτόν ἰδοῦσα τόν Κύριον, ἀπόστολος αὐτοῦ πρός τούς Ἀποστόλους γίνεται, καί παρ᾽ αὐτοῦ τοῦ θείου στόματος διδαχθεῖσα καί πληροφορηθεῖσα τελείως ἀπέρχεται πρός τούς Ἀποστόλους, ἀπαγγελοῦσα τούτοις ὅτι ἑώρακε τόν Κύριον καί ταῦτα εἶπεν αὐτῇ.

(σελ. 590) Ἡμεῖς δέ σκοπήσωμεν, ἀδελφοί, πόσον ἡ Μαγδαληνή Μαρία τῆς ἀξίας ἀπεῖχε Πέτρου τοῦ κορυφαίου τῶν Ἀποστόλων καί Ἰωάννου τοῦ ἠγαπημένου τῷ Χριστῷ θεολόγου, καί πόσῳ τηνικαῦτα μειζόνων ἠξίωται παρ᾽ ἐκείνους. Ἐκεῖνοι γάρ ἐπί τόν τάφον δραμόντες μόνα τά ὀθόνια εἶδον καί τό σουδάριον, αὕτη δέ διά τήν ἐνδιάθετον καί ἐπίμονον καρτερίαν, ἅ τε παραμείνασα μέχρι τέλους καί τῇ θύρᾳ τοῦ σπηλαίου ἐνδιατρίβουσα, οὐ τούς ἀγγέλους μόνον, ἀλλά καί αὐτόν τόν Κύριον τῶν ἀγγέλων ἐκ νεκρῶν ἀναστάντα σαρκί πρό τῶν Ἀποστόλων ἑώρακε καί αὐτήκοος αὐτοῦ γέγονε καί τῶν ἀπό τοῦ θείου στόματος αὐτοῦ προσταγμάτων διάκονος.

Ὁ δέ ναός οὗτος ἐκείνου τοῦ σπηλαίου τύπος ἐστί, μᾶλλον δέ καί πλέον ἔχει τοῦ τύπου, ἄλλο σχεδόν ἐκεῖνο ὑπάρχον· ἔχει γάρ τόπον, ἐν ᾧ τίθεται τό σῶμα τό δεσποτικόν, τό ἐνδότερον τοῦ καταπετάσματος καί τήν ἐν αὐτῷ πανίερον τράπεζαν. Ὅστις οὖν ἐνδιαθέτως ἐπί το θεῖον ὄντως καί θεοδόχον τοῦτον σπήλαιον προστρέχει καί προσεδρεύει καί παραμένει μέχρι τέλους, συνάγων καί ἀνατείνων πρός Θεόν τήν αὐτοῦ διάνοιαν, οὐ μόνον ἐπιγνώσεται τούς ἐν αὐτῇ τῆς θεοπνεύστου Γραφῆς λόγους, οἷόν τινας ἀγγέλους ἐξαγγέλλοντας περί τε τῆς θεότητος καί τῆς ἀνθρωπότητος τοῦ δι᾽ ἡμᾶς ἐνανθρωπήσαντος Λόγου τοῦ Θεοῦ, ἀλλά καί αὐτόν ἀσφαλῶς ὄψεται τόν Κύριον τοῖς τῆς διανοίας ὀφθαλμοῖς, οὐ πολύ δέ εἰπεῖν καί τοῖς τοῦ σώματος. Ὁ γάρ μετά πίστεως βλέπων τήν μυστικήν τράπεζαν καί τόν ἐν αὐτῇ προτιθέμενον ἄρτον τῆς ζωῆς, αὐτόν ὁρᾷ τόν ἐνυπόστατον Λόγον τοῦ Θεοῦ, σάρκα δι᾽ ἡμᾶς γενόμενον καί σκηνώσαντα ἐν ἡμῖν κἄν ἑαυτόν ἄξιον παράσχῃ πρός ὑποδοχήν, (σελ.

592) οὐχ ὁρᾷ μόνον, ἀλλά καί μέτοχος αὐτοῦ γίνεται καί ἔνοικον ἑαυτῷ κτᾶται καί τῆς παρ᾽ αὐτοῦ θείας χάριτος πληροῦται καί καθάπερ ἡ Μαρία ἐκεῖνα εἶδεν, ἅ τότε οἱ Ἀπόστολοι ἐπεθύμουν ἰδεῖν, οὕτως οὗτος ἐκεῖνα βλέπειν καί ἐκεῖνον ἀπολαύειν ἀξιοῦται, εἰς ἅ ἐπιθυμοῦσι κατά τόν ἀπόστολον ἄγγελοι παρακύψαι, καί διά τῆς πρός αὐτά θέας καί μεθέξεως θεοειδής ὅλος ἐκτελεῖται.

Οὐκοῦν, ἀδελφοί, τάς παρειμένας πρός ἀρετήν ὑμῶν χεῖρας καί τά παραλελυμένα γόνατα ἀνορθώσατε καί τροχιάς ὀρθάς ποιεῖτε τοῖς ποσίν ὑμῶν, βαδίζοντες τάς ὁδούς Κυρίου τάς εὐθείας, τήν δικαιοσύνην, τήν σωφροσύνην, τήν ἀγάπην, τήν ταπείνωσιν, τήν ἀλήθειαν˙ διεστραμμέναι δέ ὁδοί πάντως καί σκολιαί, τό μῖσος, τό ψεῦδος, ὁ δόλος, ὁ φθόνος, ἡ πλεονεξία, ἡ ὑπερηφανία, καί τά παραπλήσια τούτοις, ἅ μή μόνον πραττόμενα, ἀλλά καί μόνον ἀγαπώμενα καί μελετώμενα κατά νοῦν, ἄξιον ποιεῖ τόν ἄνθρωπον, Θεός δέ εἰς καρδίαν ὁρᾷ, καί αὐτός ἐστιν ὁ τάς καρδίας ἐτάζων καί τούς νεφρούς.

Ἀλλ᾽ ἡμεῖς ἀθροιζόμενοι ἐν τῷ ναῷ τοῦ Θεοῦ, «ἀναζωσάμενοι τάς ὀσφύας τῆς διανοίας ὑμῶν, κατά τήν τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου φωνήν, καί νήφοντες τελείως, ἐλπίσατε ἐπί τήν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ» οὐδέ γάρ ἐστι δυνατόν τόν ἐπί τῆς ἱερᾶς τοῦ Θεοῦ ἐκκλησίας ἑστῶτα καί συνάγοντα τόν οἰκεῖον νοῦν καί πρός τόν Θεόν ἀνατείνοντα καί τήν (σελ. 594) διάνοιαν τῶν ἱερῶν ᾀσμάτων ἀπ᾽ ἀρχῆς ἄχρι τέλους ἐμμελετῶντα καί προσανέχοντα, μή τήν θείαν ἀλλοίωσιν ἀλλοιωθῆναι, ἀναλόγως τῇ πρός τόν Θεόν καί τά θεῖα λόγια μελέτῃ˙ θέρμη γάρ τις ἐγγίνεται τῇ καρδίᾳ διά τῆς μελέτης ταύτης, ὡς μυίας τούς πονηρούς ἀποσοβοῦσα λογισμούς καί πνευματικήν εἰρήνην καί παράκλησιν ἐμποιοῦσα τῇ ψυχῇ καί τόν ἁγιασμόν τῷ σώματι παρέχουσα, κατά τό εἰπόντα, «ἐθερμάνθη ἡ καρδία μου ἐντός μου καί ἐν τῇ μελέτῃ μου ἐκκαυθήσεται πῦρ». Καί τοῦτό ἐστιν ὅ καί τις τῶν θεοφόρων πατέρων ἐδίδαξεν ἡμᾶς λέγων, «πᾶσαν σου σπουδήν ποίησον, ἵνα ἡ ἔνδον σου ἐργασία κατά Θεόν ᾖ, καί νικήσεις τά ἔξω πάθη». Πρός τοῦτο καί ὁ μέγας Παῦλος ἡμᾶς προτρεπόμενος, «Πνεύματι», φησί, «περιπατεῖτε καί ἐπιθυμίαν σαρκός οὐ μή τελέσητε».

Διό καί ἀλλαχοῦ παραγγέλλει γράφων, «στῆτε περιζωσάμενοι τήν ὀσφύν ὑμῶν ἐν ἀληθείᾳ» ὡς τοῦ λογισμοῦ στρεφομένου περί τά θεῖα καί παραμένοντος τῇ κατά Θεόν ἀληθείᾳ, τό ἐπιθυμητικόν τῆς ψυχῆς

ἐπέχοντος καί περιέποντος καί τάς σαρκικάς ἐπιθυμίας ἀπωθουμένου, τῶν δέ σαρκικῶν λογισμῶν παυσαμένων ἀφ᾽ ἡμῶν, παραλαβοῦσα τήν ψυχήν ἠρεμοῦσαν ἡ τοῦ Πνεύματος χάρις, τῶν μελλόντων ἐκείνων γεύει καί ἀπορρήτων ἀγαθῶν, ἅ ὀφθαλμός ἐμπαθοῦς καί ἀμελοῦς οὐκ οἶδε, καί οὖς οὐκ ἤκουσε, καί ἐπί καρδίαν ἀνθρώπου οὐκ ἀνέβη τοιούτου˙ καί ἡ γεῦσις αὕτη ἀρραβών ἐστιν αὐτῶν, καί ἡ τούς ἀρραβῶνας τούτων δεχομένη καρδία πνευματική γίνεται καί τῆς οἰκείας σωτηρίας λαμβάνει πληροφορίαν. Οὐκοῦν εἴ τις ἐθέλοι τήν πληροφορίαν ταύτην κτήσασθαι καί (σελ. 596) περί τῶν πνευματικῶν ἀρραβώνων τούτων ἀκριβῶς μαθεῖν, πολιτευέσθω καθάπερ νῦν ὑφηγήσατο καί ὑπέδειξεν ὁ λόγος˙ οὕτω γάρ καί συμπολίτης ἔσται τῶν ἁγίων τοῦ Θεοῦ καί κοινωνός τῶν ἐπηγγελμένων ἐκείνοις αἰωνίων καί ἀπορρήτων ἀγαθῶν.

Ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καί φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει δόξα, κράτος, τιμή καί προσκύνησις, σύν τῷ ἀνάρχῳ αὐτοῦ Πατρί καί ζωοποιῷ Πνεύματι, νῦν καί ἀεί καί εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.